B I B L I O T H E C A

SCRIPTORVM GRAECORVM ET ROMANORVM

T E V B N E R I A N A

BT 2031

THEODORUS METOCHITES

ORATIONES

EDIDERUNT

IOANNIS POLEMIS ET ELENI KALTSOGIANNI

DE GRUYTER

ISBN 978-3-11-044099-7
e-ISBN (PDF) 978-3-11-060849-6
ISSN 1864-399X

Library of Congress Control Number: 2018961144

Bibliographic information published by the Deutsche Nationalbibliothek
The Deutsche Nationalbibliothek lists this publication in the Deutsche Nationalbibliografie; detailed bibliographic data are available on the Internet at http://dnb.dnb.de.

Greek font: Orthos by Ralph Hancock
Printing: Hubert & Co. GmbH & Co. KG, Göttingen
♾ Printed on acid-free paper

Printed in Germany

www.degruyter.com

HOC VOLUMINE CONTINENTUR

PRAEFATIO

Hoc volumine continentur orationes Theodori Metochitae, quae personas quasdam (orationes 5 et 7) vel sanctos ecclesiae Byzantinae (orationes 2, 3, 4, 6, 12 et 19) vel urbes laudant (orationes 1 et 11) aut amicos defunctos commemorant (orationes 9, 16 et 17) aut adversarios castigant (orationes 13, 14 et fortasse oratio 10). Omnia opera oratoria Metochitae in codice Vindobonensi phil. gr. 95 collecta sunt, fortasse studio et sumptu ipsius Metochitae paulo tempore ante mortem eius.

DE CODICIBUS

Omnes Metochitae orationes testimonio codicis unici, Vindobonensis phil. gr. 95 (V) nituntur, praeter orationes 1, 2, 4, 6, 10, 12, 13 et 14, quas alii etiam codices servaverunt.

V = codex Vindobonensis phil. gr. 95, membranaceus, mm. 280/287 × 205/220, ff. I–II+373, saec. XIV. Hunc codicem Constantinopoli scribae tres scripserunt, quorum unus Michael Klostomalles erat. Klostomalles scriptor insignis cancellariae imperialis in Metochitae temporibus erat. Codex omnes quae exstant Metochitae orationes continet. Orationes eas, postquam descriptae sunt, emendavit scriba ipse codicis (V^1). Deinde aliquis ignotus codicem iterum emendavit (V^2), quem Ševčenko ipsum Metochitam esse putat. Fortasse paulo post Nicephorus Gregoras, Metochitae discipulus, orationes iterum emendavit. In V lacunae quaedam propter foliorum scissuram ortae sunt. Fusius codex descriptus est: H. Hunger, Katalog der griechischen Handschriften der österreichischen Nationalbibliothek. Teil 1. Codices historici. Codices philosophici et philologici, Vindobonae 1961, 202–204; I. Ševčenko, La vie intellectuelle et politique à Byzance sous les premiers Paléologues: Études sur la polémique entre Théodore Métochite et Nicéphore Choumnos [Corpus Bruxellense Historiae Byzantinae. Subsidia

III], Bruxellis 1962, 137–144, 177–184; E. Lamberz, Das Geschenk des Kaisers Manuel II. an das Kloster Saint-Denis und der "Metochitesschreiber" Michael Klostomalles, in B. Borkopp (ed.), Λιθόστρωτον. Studien zur byzantinischen Kunst und Geschichte. Festschrift für Marcell Restle, Stutgardiae 2000, 155–165; Id., Georgios Bullotes, Michael Klostomalles und die byzantinische Kaiserkanzlei unter Andronikos II. und Andronikos III. in den Jahren 1298–1329, in B. Mondrain, Lire et écrire à Byzance [Centre de recherche d'histoire et civilisation de Byzance, Monographies 19], Parisiis 2006, 33–48; Id., Johannes Kantakuzenos und die Produktion von Luxushandschriften in Konstantinopel in der frühen Palaiologenzeit, in B. Atsalos – N. Tsironi, Actes du VIe colloque international de paléographie grecque (Drama, 21–27 Septembre 2003), Athenis 2008, I, 133–156, III, 982–1005; I. Ševčenko, The Logos on Gregory of Nazianzus by Theodore Metochites, in W. Seibt (ed.), Geschichte und Kultur der Palaiologenzeit. Referate des Internationalen Symposions zu Ehren von H. Hunger (Wien, 30. November bis 3. Dezember 1994), Vindobonae 1996, 221, n. 1; G. Prato, I manoscritti greci dei secoli XIII e XIV: note paleografiche, in Paleografia e codicologia greca (Atti del II Colloquio internazionale Berlino-Wolfenbüttel, 17–20. Ottobre 1983), Alexandriae 1991, I, 131–149 (140–149); I. Hutter, Schreiber und Maler der Palaiologenzeit in Konstantinopel, in B. Atsalos – N. Tsironi, Actes du VIe colloque international de paléographie grecque (Drama, 21–27. Septembre 2003), Athenis 2008, I, 159–190 (172–176); R. Tocci, Zur Interpunktion in Codices der Palaiologenzeit, in A. Giannouli – E. Schiffer, Vom Codex zur Edition. From Manuscripts to Books. Proceedings of the International Workshop on Textual Criticism and Editorial Practice for Byzantine Texts (Vienna, 10–11. December 2009) [Österreichische Akademie der Wissenschaften, Philosophisch-historische Klasse, Denkschriften 431], Vindobonae 2011, 193–203.

DE TRADITIONE SINGULARUM ORATIONUM

Oratio 2: Duo codices fragmenta orationis 2 continent:

1. Vaticanus Palatinus 374, chartaceus, 290x215, ff. I+244+I′, saec. XIV. Opera Synesii Cyrenensis, Thomae Magistri, Nicephori Gregorae et Gregorii Cyprii in hoc codice continentur. Fragmentum orationis 2 in ff. 206v–210v continetur. De codice vide: H. Stevenson, Codices manuscripti Palatini graeci Bibliothecae Vaticanae, Romae 1885, 240–242; Hagiographi Bollandiani – P. Franchi de' Cavalieri, Catalogus codicum hagiographicorum graecorum Bibliothecae Vaticanae [Subsidia Hagiographica 13], Bruxellis 1899, 227–228; S. Kotzabassi, Die handschriftliche Überlieferung der rhetorischen und hagiographischen Werke des Gregor von Zypern [Serta Graeca 6], Mattiaci 1998, 211–214; P. Canart, Additions et corrections au Repertorium der griechischen Kopisten, 800–1600 (Teil 3), in J. Martin (ed.), Vaticana et Medievalia. Études en l'honneur de Louis Duval-Arnould [Millenio Medievale 71], Florentiae 2008, 45.

2. Parisinus Graecus 2629, chartaceus, 400x270, ff. II+182+III′, saec. XVI. Opera grammatica Manuelis Moschopuli, et opera oratoria Synesii Cyrenensis, Thomae Magistri et Gregorii Cyprii in eo continentur. Fragmentum orationis 2 in ff. 180v–182v servatur. Codex apographon codicis Vaticani Palatini 374 est. De codice vide: H. Omont, Inventaire sommaire des manuscrits grecs de la Bibliothèque nationale et des autres bibliothèques de Paris et des départements, III, Parisiis 1888, 15–16; F. Halkin, Manuscrits grecs de Paris. Inventaire hagiographique [Subsidia Hagiographica 44], Bruxellis 1968, 23; S. Kotzabassi, Die handschriftliche Überlieferung der rhetorischen und hagiographischen Werke des Gregor von Zypern [Serta Graeca 6], Mattiaci 1998, 170–172; E. Villani, Le sezioni Lambda e Rho dell'Ecloga vocum Atticarum aucta di Tommaso Magistro nel codice Ambrosiano M 51 sup., Aevum 86, 2012, 713–758.

Oratio 4: Praeter V fragmentum orationis praebet codex Vindobonensis suppl. gr. 103, chartaceus, mm. 365x230, ff. 6, saec. XVII, in foliis 1–5 (mutilus). De eo vide: H. Hunger – Chr. Hannick, Katalog der griechischen Handschriften der österreichischen National-

bibliothek. IV. Supplementum graecum, Vindobonae 1994, 178–179; C. van de Vorst – H. Delehaye, Catalogus codicum hagiographicorum graecorum Germaniae, Belgii, Angliae [Subsidia Hagiographica 13], Bruxellis 1913, 85; A. Ehrhard, Überlieferung und Bestand der hagiographischen und homiletischen Literatur der griechischen Kirche, III, Lipsiae – Berolini 1939, 967 n. 8.

Oratio 6: Praeter V duo codices orationem 6 totam praebent:

C = Chalcensis monasterii Sanctae Trinitatis 90, membranaceus, 380x295, ff. 361 saec. XIV. Homiliarium Decembris et Ianuarii. Codex orationem 6 in foliis 325v–344 continet. Descriptionem codicis invenies in hoc catalogo: Α. Τσακόπουλος, Περιγραφικὸς κατάλογος τῶν χειρογράφων τῆς Βιβλιοθήκης τοῦ Οἰκουμενικοῦ Πατριαρχείου. Β. Τμῆμα χειρογράφων Ἱ. Μονῆς Ἁγ. Τριάδος Χάλκης, Constantinopoli 1956, 88–93. Vide etiam: A. Ehrhard, Überlieferung und Bestand der hagiographischen und homiletischen Literatur der griechischen Kirche, II, Lipsiae – Berolini 1937, 505–506, 564–565; I. Ševčenko, The Logos on Gregory of Nazianzus by Theodore Metochites, in W. Seibt (ed.), Geschichte und Kultur der Palaiologenzeit. Referate des Internationalen Symposions zu Ehren von H. Hunger (Wien, 30. November bis 3. Dezember 1994), Vindobonae 1996, 221, n. 4; M. Detoraki, L'Éloge de saint Démétrios par Grégoire le Référendaire (BHG 544), Revue des Études Byzantines 73, 2015, 5–55 (7–8).

E = Iveron 905 (Athous 5025), chartaceus, 220x140, ff. 233 saec. XV exeuntis. Codex orationem et textus hymnographicos ad sanctam Eirenem referentes, orationem in adorationem Crucis Andreae Cretensis, Alexandri monachi narrationem super inventionem crucis necnon orationem 6 Metochitae continet. Descriptionem invenies in catalogo S. P. Lampros, Catalogue of the Greek Manuscripts on Mount Athos, vol. II, Cantabrigiae 1900 (repr. Amstelodami 1966), 235.

Tres codices fragmenta orationis 6 continent:

B = Bucurestensis Academiae Romanae 377 (Litzica 595), membranaceus, 330x230, pp. 264, saeculi XIV. Codex opera hagiographica et homelias scriptorum ecclesiasticorum continet. Fragmentum orationis 6 in pp. 212–264 codicis continetur. Propter codicis mutilationem finis orationis 6 in codice abest. Descriptio-

nem invenies in hoc catalogo: C. Litzica, Biblioteca Academiei Române, Catalogul manuscriptelor greceşti, Buchuresti 1909, 275–276. Vide etiam: A. Ehrhard, Überlieferung und Bestand der hagiographischen und homiletischen Literatur der griechischen Kirche, III, Lipsiae – Berolini 1939, 821; I. Ševčenko, The Logos on Gregory of Nazianzus by Theodore Metochites, in W. Seibt (ed.), Geschichte und Kultur der Palaiologenzeit. Referate des Internationalen Symposions zu Ehren von H. Hunger (Wien, 30. November bis 3. Dezember 1994), Vindobonae 1996, 221, n. 4; S. Kotzabassi, Die handschriftliche Überlieferung der rhetorischen und hagiographischen Werke des Gregor von Zypern [Serta Graeca 6], Mattiaci 1998, 106–107.

D = Vaticanus gr. 1297, membranaceus, 310x225, ff. 413, saec. XIV ineuntis. Codex Aelii Aristidis orationes, Platonis Gorgiam et Polemonis declamationes duas, necnon fragmentum orationis 6 (in foliis 1–10v) continet. De codice vide: Hagiographi Bollandiani – P. Franchi De' Cavalieri, Catalogus codicum hagiographicorum graecorum Bibliothecae Vaticanae [Subsidia Hagiographica 13], Bruxellis 1899, 125–126; B. Keil, Aelii Aristidis Smyrnaei quae supersunt omnia, Volumen II, orationes XVII–LIII continens, Berolini 1898, X–XI; I. Pérez Martín, El "estilo hodegos" y su proyección en las escrituras constantinopolitanas, Segno e Testo 6, 2008, 452–453 et. n. 226; R. Stefec, Die Überlieferung der Deklamationen Polemons, Römische historische Mitteilungen 55, 2013, 107, 133–135; N. Wilson, Maximus Planudes, the Codex Laurentianus 60.8 and other Aristedean Manuscripts, Revue des Études Grecques 122, 2009, 253–261.

F = Iveron 388 (Athous 4508), 220x140, ff. 994, saeculi XVI. Descriptionem invenies in S. P. Lampros, Catalogue of the Greek Manuscripts on Mount Athos, vol. II, Cantabrigiae 1900 (reproductio Amstelodami 1966), 122–138; B. S. Psephtongas, Le codex 388 du monastère Iviron, dit "Ὠκεανός", Cyrillomethodianum 5, 1981, 135–145; I. Ševčenko, The Logos on Gregory of Nazianzus by Theodore Metochites, in W. Seibt (ed.), Geschichte und Kultur der Palaiologenzeit. Referate des Internationalen Symposions zu Ehren von H. Hunger (Wien, 30. November bis 3. Dezember 1994), Vindobonae 1996, 221, n. 4; Ch. N. Meletiadis, Ἡ ἐκπαίδευση στὴν

Κωνσταντινούπολη κατὰ τὸν 16ο αἰώνα, Thessalonicae 2000, 42–46.

Omnes corruptelae codicis B etiam in codice E inveniuntur, itaque codex E e codice B ante ejus mutilationem (vide supra) descriptus est, vide, e.g., 3, 2–3 τῶν μὴ προσηκόντων BE: μὴ τῶν προσηκόντων cett., 13, 3 ἢ καὶ κατὰ BE: ἢ κατὰ cett., 14, 25 BE omittunt οὕτω. Pars textus orationis 6 quem quattuor codices VBCD similiter conservant minimum est, itaque in stemmate constituendo necessitudinem inter codices reddere difficile est. B, C, et D fratres esse et neminem eorum ex aliquo originem ducere monstrant errores quidam separativi inter eos (vide e.g. in 14, 22 δεσμὸς αὐτῷ B] αὐτῷ δεσμὸς cett., in 14, 14 τῆς ἐντός τε C] τῶν ἐντός τε cett., in 14, 21 ἑαυτὸν D] αὐτὸν cett.). Etsi errores coniunctivos inter codices V, B, C et D non inveniamus, tamen codices BCD e codice V descripti esse videntur, postquam corrector V^2 textum orationis 6 emendavit, nam BCD paene omnes emendationes correctoris V^2 exhibent. Lectiones, quae meliores lectionibus codicis V sunt, a codicibus BCD servari non credimus. Ab archetypo V^2 hyparchetypus α deperditus descendere videtur, nam lectiones quaedam concinentes indicant codices BCD consociari et non directe ex codice V^2 fluxisse:

14, 10 οὕτω δὴ V] οὕτω μὲν δὴ BCD

15, 25 τεμάχη V] τεμμάχη BCD

Lectiones quaedam communes codicum BC et codicum CD fortasse ex hyparchetypo α deperdito manant; nescimus an BC aut CD aut BD aliquo exemplari interposito ab hyparchetypo α descendunt:

17, 6 προβαίνων] προσβαίνων BC

21, 21 προεδρείαν] προεδρίαν BC


23, 5 τοκεῦσι] τεκοῦσι BC

40, 50–51 δυνάμει Χριστοῦ: Χριστοῦ δυνάμει CD

48, 32 ὄντως om. CD

51, 15 τηρῶν] συντηρῶν CD

Codices BCD in titulo Metochitam λογοθέτην τοῦ γενικοῦ designant. Ista designatio fortasse iam in hyparchetypo α erat. Deinde B designationem eam correxit (μεγάλου λογοθέτου).



Oratio 12: Praeter V orationem totam praebet codex Bruxellensis, Bibliothecae Regiae 18906-12, chartaceus, mm. 210x150, ff. 173, saeculi XVII, in foliis 18–29v. De eo vide C. van de Vorst – H. Delehaye, Catalogus codicum hagiographicorum graecorum Germaniae, Belgii, Angliae [Subsidia Hagiographica 13], Bruxellis 1913, 224–225. Codex lectiones memorabiles non praebet, sed, ut videtur, e codice V descriptus est.

Orationes 1, 4, 10, 13 et 14: Fragmenta orationis 10, orationes 13 et 14 integras et fragmenta minima orationum 1 et 4 codex Athonensis monasterii Iveron 388 (Athous 4508), chartaceus, ff. 994, saec. XVI, qui Ὠκεανὸς vocatur, praebet. De codice vide supra. Codex Iveron 388 ex V descriptus est, ut videtur, nam lacunae, quae in V inveniuntur, in codice Iveron 388 eaedem semper repraesentantur, vide I. Polemis, Θεόδωρος Μετοχίτης, Ἠθικὸς ἢ Περὶ παιδείας. Εἰσαγωγὴ-Κριτικὴ ἔκδοση-Μετάφραση-Σημειώσεις, Athenis^2 2002, 164*.

DE EDITIONIBUS PRIORIBUS SINGULARIUM ORATIONUM

Liceat hic editionum notitiam brevem subiungere. Catalogum orationum Metochitae secundum ordinem codicis principalis, Vindobonensis phil. gr. 95, praebemus:

1. Oratio in Nicaeam (Νικαεύς). Textum servat Vindobonensis phil. gr. 95, ff. 1–10^v. Fragmentum orationis in codice Iveron 388 (Athous 4508), f. 857, servatur, quod ex codice Vindobonensi pendet, ut videtur. Primam editionem C. N. Sathas Μεσαιωνικὴ Βιβλιοθήκη, I, Venetiae 1872, 139–153 fecit. Orationem iterum C. Foss (with the collaboration of J. Tulchin), Nicaea: A Byzantine Capital and Its Praises. With the Speeches of Theodore Laskaris in Praise of the Great City of Nicaea and Theodore Metochites, Nicene Oration [Archbishop Iakovos Library of Ecclesiastical and Historical Sources Number 21], Hellenic College Press, Brookline, Massachusetts 1996, 164–194 et E. Mineva, Ὁ «Νικαεὺς» τοῦ Θεοδώρου Μετοχίτου, Δίπτυχα Ἑταιρείας Βυζαντινῶν καὶ Μεταβυζαντινῶν Μελετῶν 6, 1994–1995, 314–325, ediderunt.

2. Oratio in sanctam Marinam. Oratio, quae inedita est, in codice Vindobonensi phil gr. 95, ff. 8^v–32^v et in apographis eius (vide supra) servatur.

3. Oratio in archangelum Michaelem. Orationem, quae inedita est, servat solus Vindobonensis phil. gr. 95, ff. 32^v–59.

4. Oratio in sanctum Demetrium. Textum servat Vindobonensis phil. gr. 95, in ff. 59–80^v. Fragmentum orationis in codice Iveron 388 (Athous 4508), f. 857^v, servatur, quod ex codice Vindobonensi pendet, ut videtur et in codice Vindobonensi suppl. gr. 103, ff. 1–5. Editionem principem B. Laourdas in Μακεδονικὰ 4, 1956, 56–82 fecit.

5. Encomium in Andronicum II Palaeologum imperatorem primum (Βασιλικὸς πρῶτος). Textum servat solus Vindobonensis phil. gr. 95, in ff. 81–96^v. Editionem principem I. Polemis, Θεόδω-

ρος Μετοχίτης, Οἱ δύο βασιλικοὶ λόγοι. Εἰσαγωγὴ-Κριτικὴ ἔκδοση-Μετάφραση-Σημειώσεις, Athenis 2007, 128–282, fecit.

6. Oratio in sanctum Gregorium Nazianzenum. Orationem, quae inedita est, servant cod. Vindobonensis phil. gr. 95, ff. 97–145^{v} et apographa eius.

7. Encomium in Andronicum II Palaeologum imperatorem secundum (Βασιλικὸς δεύτερος). Textum servat solus Vindobonensis phil. gr. 95, in ff. 145^{v}–158. Editionem principem I. Polemis, Θεόδωρος Μετοχίτης, Οἱ δύο βασιλικοὶ λόγοι. Εἰσαγωγὴ-Κριτικὴ ἔκδοση-Μετάφραση-Σημειώσεις, Athenis 2007, 286–420, fecit.

8. De legatione (Πρεσβευτικός). Textum servat solus Vindobonensis phil. gr. 95, ff. 158^{v}–179. Principem editionem C. N. Sathas, Μεσαιωνικὴ Βιβλιοθήκη, I, Venetiis 1872, 154–193, paravit. Iterum textum edidit L. Mavromatis, La fondation de l'empire serbe. Le kralj Milutin [Βυζαντινὰ Κείμενα καὶ Μελέται 16], Thessalonicae 1978, 89–119.

9. Oratio funebris in Theodoram Palaeologinam. Textum servat solus Vindobonensis phil. gr. 95, ff. 179–189. Principem editionem A. Sideras, 25 unedierte byzantinische Grabreden, Thessalonicae 1990, 249–267, fecit.

10. Oratio moralis sive De educatione (Ἠθικὸς ἢ Περὶ παιδείας). Oratio in codice Vindobonensis phil. gr. 95, ff. 189–233^{v} et in apographo eius Iveron 388, servatur. Editionem principem I. Polemis, Θεόδωρος Μετοχίτης, Ἠθικὸς ἢ Περὶ παιδείας. Εἰσαγωγὴ-Κριτικὴ ἔκδοση-Μετάφραση-Σημειώσεις, Athenis^{2} 2002, 2–278, fecit.

11. Oratio de Constantinopoli (Βυζάντιος). Textum solus Vindobonensis phil. gr. 95, ff. 233^{v}–302^{v} servat. Editionem principem I. Polemis, Θεόδωρος Μετοχίτης Βυζάντιος ἢ Περὶ τῆς βασιλίδος μεγαλοπόλεως. Κοσμολογία καὶ ῥητορικὴ κατὰ τὸν ΙΔʹ αἰῶνα. Εἰσαγωγή, κριτικὴ ἔκδοση, μετάφραση, σημειώσεις, Thessalonicae 2013, 110–477, fecit.

12. Oratio in novum sanctum Michaelem. Textum Vindobonensis phil. gr. 95, ff. 303–315 et apographon eius Bruxellensis 18906–12 (v. p. 8) servant. Editionem principem H. Delehaye, Acta Sanctorum Novembris IV, 1925, Appendix, 670–678, fecit.

13. Oratio in ineruditos prima (Ἔλεγχος κατὰ τῶν ἀπαιδεύτως χρωμένων τοῖς λόγοις). Textum Vindobonensis phil. gr. 95, ff. 315^{v}–320 et apographon eius Iveron 388 servant. Editionem principem I. Ševčenko, La vie intellectuelle et politique à Byzance sous les premiers Paléologues: Études sur la polémique entre Théodore Métochite et Nicéphore Choumnos [Corpus Bruxellense Historiae Byzantinae. Subsidia III], Bruxellis 1962, 189–217, fecit.

14. Oratio in ineruditos secunda (Ἔλεγχος δεύτερος πρὸς τοὺς αὐτούς). Textum Vindobonensis phil. gr. 95, ff. 320–328^{v} et apographon eius Iveron 388 servant. Editionem principem I. Ševčenko, La vie intellectuelle et politique à Byzance sous les premiers Paléologues: Études sur la polémique entre Théodore Métochite et Nicéphore Choumnos [Corpus Bruxellense Historiae Byzantinae. Subsidia III], Bruxellis 1962, 219–265, fecit.

15. Chrysobulli prooemium. Textum servat solus Vindobonensis phil. gr. 95, f. 329^{r-v}. Principem editionem C. N. Sathas Μεσαιωνικὴ Βιβλιοθήκη, I, Venetiae 1872, 193–195, fecit.

16. Monodia in Lucam abbatem monasterii Chorae. Textum servat solus Vindobonensis phil. gr. 95, ff. 330–339. Editionem principem, I. Ševčenko, Theodore Metochites, the Chora, and the Intellectual Trends of His Time, in P. A. Underwood (ed.), The Kariye Djami. Vol. 4: Studies in the Art of the Kariye Djami and Its Intellectual Background, Londinii 1984, 19–84, fecit.

17. Oratio funebris in Iosephum philosophum. Textum servat solus Vindobonensis phil. gr. 95, ff. 339–353^{v}, 356. Editionem principem M. Treu, Der Philosoph Joseph, Byzantinische Zeitschrift 8, 1899, 2–31, fecit.

18. Iudicium de Demosthene et Aristide. Textum solus Vindobonensis phil. gr. 95, ff. 354^{r-v}, $354-355^{v}$, 364 servat. Editionem principem M. Gigante, Teodoro Metochites, Saggio critico su Demosthene e Aristide [Testi e documenti per lo studio dell'Antichità XXVII], Mediolani 1969, 47–83, fecit.

19. Oratio in sanctum Iohannem in Didymoteicho. Textum solus Vindobonensis phil. gr. 95, ff. 364–373, 355^{r-v} servat. Editionem principem H. Delehaye, Acta Sanctorum Novembris IV, 1925, Appendix, 679–687, fecit. Cf. I. Ševčenko, On a Lacuna in the Life of Saint John the Younger (BHG3, no. 2192), Analecta Bollandiana 79, 1961, 294–302.

DE RATIONE HUIUS EDITIONIS

In hac editione paranda codicem optimum V semper secuti sumus. Menda aspirationis accentuumque et vitia quae V praebet paene semper servavimus, cum auctores Byzantini his in rebus regulam Atticam non observarent. Interpunctionis notas quas in V invenimus servandas esse iudicavimus, regulas, quas vir doctus D. R. Reinsch in Chronographia Michaelis Pselli edenda observavit,[1] secuti. Solam notam interpunctionis parenthesin, qua editores hodierni utuntur, in hanc editionem introduximus, ut textus facilius intellegatur.

Verborum formae quaedam, quae a scribis religiose transmissa, etsi a nostro more scribendi differunt, a Metochita ipso scriptae sunt, itaque eas servavimus, e.g.: 2, 7, 16 διατοῦτο, 2, 21, 40 προσαρράξαι, 3, 11, 108 ἐφόσον, 3, 12, 85 παρατοσοῦτο, 3, 13, 14 ὡστα-

1 D. Reinsch, Michaelis Pselli Chronographia. Band 1: Einleitung und Text [Millenium Studien Band 51], Berolini 2014, XXXIV–XXXV. Hic exemplum interpunctionis initii orationis 5 ut in codice V servatur praebemus (5, 1, 1–6): Ὁ τοῖς ἄλλοις ἀμέλει περὶ μεγίστων ἔργων προτιθεμένοις. ἀντιπράττει κομιδῆ καὶ προσίσταται. καὶ τὸν ἄρα σφίσιν ἔρωτα καὶ τὴν ἔφεσιν ἐπέχει προαγομένην κατεπιχειρεῖν τοῦ σκοποῦ. καὶ τοῦ πόθου. καὶ προσάπτεσθαι, τοῦτ' ἐμοὶ νῦν ἐπαίρει θαυμαστῶς ὅπως τὸν λόγον. τῷ μεγίστῷ τῶν ἔργων ἐπιβάλλειν, τοῖς ἐγκωμίοις τοῖς περὶ σου θειότατε βασιλεῦ· τοῖς μὲν γὰρ ἄλλοις…

πολλά, 3, 18, 39 ταπρῶτα, 3, 20, 27 Ἀβραὰμ, 3, 24, 63 Ἀρραβίας, 4, 13, 8 τουλοιποῦ, 4, 19, 14 καταχώραν, 5, 5, 3 οὐχήκιστα, 5, 7, 26 παρατοῦτο, 5, 18, 3 Τράλεις, 5, 26, 14 κατακαιρὸν, 5, 36, 4 σφραγίδα, 6, 4, 16 κατανάγκην, 6, 5, 67 φυσσῶντας, 6, 19, 10 κράσιν, 6, 20, 12 καταμέρη, 6, 35, 7 γηρωκομίαν, 6, 37, 19 εἱλικρινὲς, 6, 43, 15 Ἱκάρου, 6, 48, 17 πῶς (pro πως), 7, 6, 7 προσβραχὺ, 7, 22, 19 ἄλλάττα, 7, 23, 3 Εὔριππος, 7, 27, 12 παντοῖάττα, 8, 22, 27 πλάσμα, 9, 5, 9 δράσαι, 10, 16, 35 ἀνύσαι, 10, 36, 22 τεμμαχίοις, 10, 105, 43 τοεξαρχῆς, 11, 115, 9 ἀένναοι, 12, 5, 31 διαδράναι, 13, 3, 1 βραχέαττα, 14, 10, 9 Θρᾴκα, 16, 9, 25 ἀφοῦ, 17, 2, 24 δράσαι, 17, 32, 6 πολλάκι, 17, 35, 2 ὁπαδὸν, 18, 14, 4 καταπίπτον, 19, 8, 43 ταμεγάλα. Quorundam vocabulorum duplicem formam admisimus: 3, 14, 51 ταυτὰ sed 3, 14, 57 ταὐτὸν, 2, 23, 2, ἁλιτήριος, sed 5, 34, 7 ἀλιτηρίους, 4, 12, 104 ταμεῖα sed 6, 54, 28 ταμιεῖον, 6, 43, 25 δράμα, sed 8, 22, 28 δρᾶμα, 6, 43, 66 βδελλυρὸν, sed 11, 137, 12 βδελυρώτατος, 2, 30, 1 τί τίς ἂν, ἔχοι λέγειν, sed 4, 1, 13 τί ἄν τις καὶ χρήσαιτο (cf. 11, 59, 3 et 11, 121, 2), In encliticis scribendis scribarum usum secuti sumus, e.g. 4, 20, 2 ὅ δ', 5, 30, 21 αὐτήν δ', 5, 33, 7 εἴπέρ τινες, 10, 19, 21 τόνδέ τινα, 17, 3, 25 οἶμαι σοι, 19, 8, 44 ἀνιδρύσαί οἱ.

Iota subscriptum constanter a scriptoribus omissum supplevimus.

Restat ut gratias agamus maximas viro docto Rodericho Reinsch, qui multos errores editionis nostrae correxit et liberalissime opera et auxilio nos adiuvit.

Athenis et Thessalonicae, 2018

CONSPECTUS LIBRORUM

Acta Andreae= M. Bonnet, Analecta Bollandiana 13 (1894), 303–378

Act. sanct. Marin.= H. Usener, Acta sanctae Marinae, Festschrift zur fünften Säcularfeier der Carl-Ruprechts-Universität zu Heidelberg, Bonnae 1886

Ael. Arist. Or. = Aelius Aristeides, Orationes, ed. W. Dindorf, Aristides, vol. 1–2, Lipsiae 1829

Aelii Aristidis Smyrnaei, Quae supersunt omnia. Edidit B. Keil, Volumen II, orationes XVII–LIII continens, Berolini 1898

Aesch., Ag. = Aeschylus, Agamemnon

Fragm. = Fragmenta, ed. S. Radt, Tragicorum Graecorum Fragmenta, vol. 3 Aeschylus, Gottingae 1985

Pers. = Persae

Prom. = Prometheus vinctus

Sept. = Septem contra Thebas

Agath., Hist. = Agathias, Historia, ed. R. Keydell, Agathiae Myrinaei historiarum libri quinque [Corpus Fontium Historiae Byzantinae 2. Series Berolinensis], Berolini 1967

Alex. Aphrod., Comm. in Metaph. = Alexander Aphrodisiensis, Commentaria in Metaphysica, ed. M. Hayduck, Alexandri Aphrodisiensis in Aristotelis Metaphysica Commentaria [Commentaria in Aristotelem Graeca 1], Berolini 1891

Alex. Soph., De fig. = Alexander sophista, De figuris, ed. L. Spengel, Rhetores graeci, vol. 3, Lipsiae 1856, 9–40

Anonym., Laud. Anast. Pers. = Anonymus, Laudatio Anastasii Persae, ed. B. Flusin, Saint Anastase le Perse et l'histoire de la Palestine au debut du VIIe siècle. I. Les textes, Parisiis 1992, 267–283

Arist. Categ. = Categoriae

De anim. = De anima

De gener. et corrupt. = De generatione et corruptione

De gener. anim. = De generatione animalium

Ethic. Nicom. = Ethica Nicomachea

Hist. anim. = Historia animalium

Metaph. = Metaphysica

Meteor. = Meteorologica

Phys. = Physica

Polit. = Politica

Probl. = Problemata

Rhet. = Rhetorica

Top. = Topica

Aristoph., Av. = Aristophanes, Aves

Equit. = Equites
Nub. = Nubes
Plut. = Plutus
Vesp. = Vespae

Athen., Deipn. = Athenaeus, Deipnosophistae, ed. G. Kaibel, Athenaei Naucratitae Deipnosophistarum libri XV, vol. 1–3, Lipsiae 1887–1890

Attic. Fragm. = Atticus, Fragmenta, ed. E. des Places, Atticus. Fragments [Les Belles Lettres], Parisiis 2002

Basilac. Niceph., Or. = Nicephori Basilacae, Orationes, ed. A. Garzya, Nicephorus Basilaca Orationes et Epistulae [Bibliotheca scriptorum Graecorum et Romanorum Teubneriana], Lipsiae 1984

Bas. Caes., De leg. gent. libr. = Basilius Caesarensis, De legendis gentilium libris, ed. N. G. Wilson, Saint Basil on Greek Literature, Londinii 1975

Epist. = Basilius Caesarensis, Epistulae, ed. Y. Courtonne, Saint Basile, Lettres, vol. 1 [Les Belles Lettres], Parisiis 1957

Hom. dicta temp. famis = Homilia dicta tempore famis et siccitatis, PG 31, 304–328

Hom. exhort ad bapt. = Homilia exhortatoria ad sanctum baptisma, PG 31, 424–444

Hom. in Att. tibi ipsi = Homilia in illud Attende tibi ipsi, PG 31, 197–217

In Gord. mart. = In Gordium martyrem, PG 31, 489–508

In princ. Prov. = In principium Proverbiorum, PG 31, 385–424

Chon. Mich., Or. = Michael Choniata, Orationes, ed. S. Lampros, Μιχαὴλ Ἀκομινάτου τοῦ Χωνιάτου τὰ σωζόμενα, vol. 1, Athenis 1879

Choumn. Niceph., De orat. jud. = Nicephorus Choumnos, De judicio orationum, ed. Anecdota graeca e codicibus regiis. Descripsit, annotatione illustravit J. Fr. Boissonade, Vol. III, Parisiis 1831 (Nachdruck Georg Olms Verlagsbuchhandlung, Hildesiae 1962), 356–364

Ad malev. = Ad malevolentes, ed. Anecdota graeca e codicibus regiis. Descripsit, annotatione illustravit J. Fr. Boissonade, Vol. III, Parisiis 1831 (Nachdruck Georg Olms Verlagsbuchhandlung, Hildesiae 1962), 365–391

Anepigr. = Anepigraphus, ed. Anecdota graeca e codicibus regiis. Descripsit, annotatione illustravit J. Fr. Boissonade, Vol. V, Parisiis 1833 (Nachdruck Georg Olms Verlagsbuchhandlung, Hildesiae 1962), 297–313

Epist. = Epistulae, ed. Anecdota Nova. Descripsit et annotavit J. Fr. Boissonade, Parisiis 1844 (Reproductio Georg Olms Verlagsbuchhandlung, Hildesiae 1962)

Chrysipp., Fragm. = Chrysippus, Fragmenta, ed. J. von Arnim, Stoicorum veterum fragmenta, vol. 2, Lipsiae 1903, 1–348

Clem. Alex., Paedag. = Clemens Alexandrinus, Paedagogus ed. M. Marcovich adiuvante J.C.M. van Winden, Clementis Alexandrini Paedagogus, Lugduni Batavorum et Bostoniae 2002
Strom. = Clemens Alexandrinus, Stromata, ed. O. Stählin – L. Fruchtel – U. Treu, Clemens Alexandrinus, vol. 2–3 [Die griechischen christlichen Schriftsteller 52 (15), 17], Berolini 1960–1970

David, Proleg. phil.= David, Prolegomena philosophiae, ed. A. Busse, Davidis prolegomena et in Porphyrii isagogen commentarium [Commentaria in Aristotelem Graeca 18.2], Berolini 1904, 1–79
Democr., Fragm. = Democritus, Fragmenta, ed. H. Diels – W. Kranz, Die Fragmente der Vorsokratiker, vol. 2, Berolini 1952, 130–224
Demosth., Ad Lept. = Demosthenes, Ad Leptinem
Contra Spud. = Contra Spudiam
De cor. = De corona
Olynth. = Olynthiaca 1–3
Philipp. = Philippica 1–4
Dio Chrys., Or. = Dio Chrysostomus, Orationes, ed. J. de Arnim, Dionis Prusaensis quem vocant Chrysostomum quae exstant omnia, vol. 1–2, Berolini 1893–1896
Diod. Sic. = Diodorus Siculus, Hist., ed. Diodorus Siculus, Library of History Books 15. 20–16.65. Translated by C.L. Sherman [Loeb Classical Library], Cantabrigiae (Massachussets) – Londinii 1952
Diog. Laert., Vit. phil. = Diogenes Laertius, Vitae philosophorum, ed. M. Marcovich, Diogenes Laertius Vitae philosophorum, Berolini et Novi Eboraci 2008
Dion. Halic., Antiq. Rom. = Dionysius Halicarnassensis, Antiquitates Romanae, ed. E. Cary, The Roman Antiquities, Books I–II with an English Translation on the Basis of the Version of E. Spelman [The Loeb Classical Library], Cantabrigiae (Massachussets) – Londinii 1937
De Demosth. dict. = Dionysius Halicarnassensis, De Demosthenis dictione, ed. H. Usener – L. Radermacher, Dionysii Halicarnasei quae exstant, vol. V, Opusculorum liber primus, Stutgardiae et Lipsiae 1997, 127–252
Thuc. = Dionysius Halicarnassensis, De Thucydide, ed. H. Usener – L. Radermacher, Dionysii Halicarnassei quae exstant, vol. V, Opusculorum liber primus, Stutgardiae et Lipsiae ^{2}1997, 325–418

Eucl. Elem.= Euclides, Elementa
Eurip., Alc. = Euripides, Alcestis
Fragm. = Fragmenta, ed. R. Kannicht, Tragicorum Graecorum Fragmenta. Vol. 5. Pars Posterior, Gottingae 2004
Helen. = Helena
Hipp. = Hippolytus
Phoen. = Phoenissae

Troad. = Troades
Eustath. Thess., De emend. vit. mon. = Eustathius Thessalonicensis, De emendanda vita monastica, Eustathii Thessalonicensis De emendanda vita monastica recensuit, germanice vertit indicibusque instruxit K. Metzler [Corpus Fontium Historiae Byzantinae XLV Series Berolinensis], Berolini et Novi Eboraci 2006

Gabr. Mich., Epist. = Michael Gabras, Epistulae, ed. G. Fatouros, Die Briefe des Michael Gabras (ca. 1290 – nach 1350). II. Teil: Text [Wiener Byzantinistische Studien X/2], Vindobonae 1973
Galen., De sympt. caus. = Galenus, De symptomaton causis libri III, ed. C.G. Kühn, Claudii Galeni opera omnia, vol. 7, Lipsiae 1824, 85–272
Glyc. Mich., Ann. = Michael Glycas, Annales, ed. I. Bekker, Bonnae 1836
Greg. Niceph., Hist. Rom. = Nicephorus Gregoras, Historia Romana, ed. L. Schopen – I. Bekker, Nicephori Gregorae historiae Byzantinae, I–III, Bonnae 1829, 1830, 1855.
Greg. Cypr., Laud. sanct. Georg. = Gregorius Cyprius, Laudatio sancti Georgii, PG 142, 299–345
Laud. sanct. Marin. = Laudatio sanctae Marinae, ed. Gabriel Stauroniketianos, Γρηγόριος ὁ Παλαμᾶς 19 (1935), 189–200, 227–239
Or. in Andr. Imp.= Oratio in Andronicum imperatorem, PG 142, 387–418
Vit. Laz. = Vita Lazari, Acta Sanctorum Novembris III (1910), 588–606
Greg. Naz., Carm. = Gregorius Nazianzenus, Carmina, Saint Grégoire de Nazianze, Œuvres Poétiques. Tome I, 1re partie. Poèmes personnels II, 1, 1–11. Texte établi par A. Tuilier et G. Bady, traduit et annoté par J. Bernardi [Les Belles Lettres], Parisiis 2004
Carm. mor. = Carmina moralia, PG 37, 521–968
Epist. = Epistulae, Saint Grégoire de Nazianze, Correspondance, Tome I–II, Texte établi et traduit par P. Gallay (Les Belles Lettres), Parisiis 2003
Or. = Orationes, ed. Grégoire de Nazianze, Discours 1–3, Introduction, texte critique, traduction et notes par J. Bernardi [Sources chrétiennes 247], Parisiis 1978
Gregoire de Nazianze, Discours 4–5 Contre Julien. Introduction, texte critique, traduction et notes par J. Bernardi [Sources chretiennes 309], Parisiis 1983
Grégoire de Nazianze, Discours 6–12, Introduction, texte critique, traduction et notes par M.-A. Calvet-Sebasti [Sources chrétiennes 405], Parisiis 1995
Orationes 13–19, PG 35, 852–1064
Grégoire de Nazianze, Discours 20–23, Introduction, texte critique, traduction et notes par J. Mossay, avec la collaboration de G. Lafontaine [Sources chrétiennes 270], Parisiis 1980

Grégoire de Nazianze, Discours 24–26, Introduction, texte critique, traduction et notes par J. Mossay, avec la collaboration de G. Lafontaine [Sources chrétiennes 284], Parisiis 1981

Grégoire de Nazianze, Discours 27–31 (Discours théologiques), Introduction, texte critique, traduction et notes par P. Gallay avec la collaboration de M. Jourjon [Sources chrétiennes 250], Parisiis 1978

Grégoire de Nazianze, Discours 32–37. Introduction, texte critique et notes par C. Moreschini, traduction par P. Gallay [Sources chrétiennes 318], Parisiis 1985

Grégoire de Nazianze, Discours 38–41, Introduction, texte critique et notes par C. Moreschini, traduction par P. Gallay [Sources chrétiennes 358], Parisiis 1990

Grégoire de Nazianze, Discours 42–43, Introduction, texte critique, traduction et notes par J. Bernardi [Sources chrétiennes 384], Parisiis 1992

Epist. = Epistulae, ed. Saint Grégoire de Nazianze, Correspondence. Tome I–II, Texte établi et traduit par P. Gallay [Les Belles Lettres], Parisiis 2003

Epist. theol. 101= Grégoire de Nazianze, Lettres théologiques. Introduction, texte critique, traduction et notes par P. Gallay avec la collaboration de M. Jourjon [Sources Chrétiennes 208], Parisiis 1974

Poem. arc. = Poemata arcana, ed. St Gregory of Nazianzus, Poemata Arcana. Edited with a Textual Introduction by C. Moreschini, Introduction, Translation, and Commentary by D.A. Sykes, English Translation of Textual Introduction by L. Holford-Strevens, Clarendon Press, Oxonii 1997

Grégoire de Nazianze, La Passion du Christ, tragédie. Introduction, texte critique, traduction et notes par A. Tuilier [Sources chrétiennes 149], Parisiis 1969

Greg. Presb., Vit. Greg. = Gregorius Presbyterus, Vita Gregorii Nazianzeni, Gregorii Presbyteri Vita sancti Gregorii theologi quam edidit et gallice reddidit X. Lequeux [Corpus Christianorum Series graeca 11], Turnhout – Leuven 2001

Herm., In Phaedr. = Hermias, In Platonis Phaedrum scholia, ed. P. Couvreur, Hermeias von Alexandrien. In Platonis Phaedrum scholia, Parisiis 1901

Hermog., De id. = Hermogenes, De ideis, ed. H. Rabe, Hermogenis opera, Lipsiae 1913, 213–413

Herodot, Hist. = Herodotus, Historiae

Hes., Op. = Hesiodus, Opera et dies

Theog. = Theogonia

Himer., Or. = Himerius, Orationes, ed. A. Colonna, Himerii declamationes et orationes cum deperditarum fragmentis, Romae 1951

Hom., Il. = Homerus, Ilias

Od. = Odyssea

Iambl., De comm. math. scient. = Iamblichus, De communi mathematica scientia, ed. U. Klein (post N. Festa), Iamblichi De communi mathematica scientia, Lipsiae 1891

In Nicom. arithm. intr. = In Nicomachi arithmeticam introductio, ed. U. Klein (post N. Festa), Iamblichi In Nicomachi arithmeticam introductio, Lipsiae 1894

Protr. = Protrepticus, ed. H. Pistelli, Iamblichi Protrepticus ad fidem codicis Florentini, Lipsiae 1888

Vit. pyth. = De vita pythagorica, ed. U. Klein (post N. Festa), Iamblichi De vita pythagorica liber, Lipsiae 1937

Ioh. Chrys., Ad pop. Antioch. = Iohannes Chrysostomus, Ad populum Antiochenum, PG 49, 15–222

Adv, Iud. = Adversus Iudaeos, PG 48, 843–942

De Laz. = De Lazaro homiliae, PG 48, 963–1054

In Act. apost. = In Acta apostolorum homiliae, PG 60, 13–384

In epist. I ad Cor. = In epistulam I ad Corinthios homiliae, PG 61, 9–382

In epist. II ad Cor. = In epistulam II ad Corinthios homiliae, PG 61, 381–610

In epist. ad Hebr. = In epistulam ad Hebraeos homiliae, PG 63, 9–236

In epist. ad Rom. = In epistulam ad Romanos homiliae, PG 60, 391–682

In Gen. = In Genesim homiliae, PG 53, 21–385

In Ioh. = Homiliae in Iohannem, PG 59, 23–482

In Mt. = Homiliae in Matthaeum, PG 57, 13–472, et 58, 471–794

Ioh. Dam., Exp. fid.= Iohannes Damascenus, Expositio fidei, B. Kotter, Die Schriften des Johannes von Damaskos. II. Expositio fidei besorgt von B. Kotter [Patristische Texte und Studien 12], Berolini et Novi Eboraci 1973

Sacra parall. = Sacra parallela, PG 96, 9–544

Ioh. Philop., De opif. mund.= Iohannes Philoponus, De opificio mundi, ed. W. Reichardt, Joannis Philoponi De opificio mundi libri VII, Lipsiae 1897

Ioseph., De bello iud. = Iosephus, De bello judaico, Josephus, The Jewish War Books V–VII with an English Translation by H. St. J. Thackeray (Loeb Classical Library), Cantabrigiae (Massachussetts) et Londinii 1928

Isocr., Areop. = Isocrates, Areopagiticus

Euag. = Euagoras

Panath. = Panathenaicus

Lamp. Nic., Enc. in Andr. imp. = Nicolaus Lampenos, Oratio in Andronicum imperatorem, ed. I. Polemis, Ὁ λόγιος Νικόλαος Λαμπηνὸς καὶ τὸ ἐγκώμιον αὐτοῦ εἰς τὸν Ἀνδρόνικον Β΄ Παλαιολόγον, Athenis 1992

Lasc. Theod., In laud. Nic. = Theodorus Lascaris, In laudem Nicaeae, ed. A. Tartaglia, Theodorus II Ducas Lascaris Opuscula rhetorica, Monachii et Lipsiae 2000, 68–84

Liban., Or. = Libanius, Orationes, Libanius, Opera. Edidit R. Foerster. vol. II, Orationes XII–XXV, Lipsiae 1904

Epist. = Epistulae, Libanius, Opera. Edidit R. Foerster. vol. X, Epistulae 1–839, Lipsiae 1921

Luc., Catapl. = Lucianus, Cataplous, Luciani opera recognovit brevique adnotatione critica instruxit M.D Macleod, vol. I, Oxonii 1974, 178–201

Demon. = Demonax, Luciani opera recognovit brevique adnotatione critica instruxit M.D Macleod, vol. I, Oxonii 1974, 46–57

De salt. = De saltatione, Luciani opera recognovit brevique adnotatione critica instruxit M.D Macleod, vol. III, Oxonii 1980, 26–54

Dial. mar. = Dialogi marini, Luciani opera recognovit brevique adnotatione critica instruxit M.D Macleod, vol. IV, Oxonii 1987, 230–260

Fugit. = Fugitivi, Luciani opera recognovit brevique adnotatione critica instruxit M.D Macleod, vol. III, Oxonii 1980, 206–222

Herm. = Hermotimus, Luciani opera recognovit brevique adnotatione critica instruxit M.D Macleod, vol. IV, Oxonii 1987, 17–84

Jupp. conf. = Juppiter confutatus, Luciani opera recognovit brevique adnotatione critica instruxit M.D Macleod, vol. I, Oxonii 1974, 202–213

Nigrin. = Nigrinus, Luciani opera recognovit brevique adnotatione critica instruxit M.D Macleod, vol. I, Oxonii 1974, 31–45

Tim. = Timon, Luciani opera recognovit brevique adnotatione critica instruxit M.D Macleod, vol. I, Oxonii 1974, 310–336

Macar., Apocr. = Macarius Magnes, Apocriticus, ed. R. Goulet, Macarios Magnès. Apocriticus. Introduction générale, édition critique, traduction française et commentaire [Textes et traditions 7], Parisiis 2003

Max. Conf., Cap. de car. = Maximus Confessor, Capita de caritate, PG 90, 959–1080

Max. Tyr., Or. = Maximus Tyrius, Orationes, Maximus Tyrius, Dissertationes. Edidit M. B. Trapp [Bibliotheca Scriptorum Graecorum et Romanorum Teubneriana], Stutgardiae et Lipsiae 1994

Menand. Rhet., De orat. = Menander Rhetor, De orationibus, ed. D.A. Russell and N.G. Wilson, Menander Rhetor, Oxoniae 1981

Metoch., Carm. = Theodorus Metochita, Carmina, ed. I. Polemis, Theodorus Metochita, Carmina [Corpus Christianorum Series Graeca 83] Turnhout 2016

Misc. = Miscellanea ed. Θεοδώρου Μετοχίτου, *Ὑπομνηματισμοὶ καὶ Σημειώσεις Γνωμικαί* – Theodori Metochitae, Miscellanea philosophica et historica graece. Textum e codice Cizensi descripsit, lectionisque varietatem ex aliquot aliis codicibus enotatam adiecit M.C.G. Müller. Editio auctoris morte praeventa, cui praefatus est M.T. Kiessling, Lipsiae 1821 (repr. A.M. Hakkert, Amstelodami 1966).

Stoich. astr. = Stoicheiosis Astronomike, ed. B. Bydén, Theodore Metochites' Stoicheiosis Astronomike and the Study of Natural Philosophy and Mathematics in Early Palaiologan Byzantium [Studia

Graeca et Latina Gothoburgensia LXVI], Acta Universitatis Gothoburgensis, Gothoburgi 2003

K. Hult, Theodore Metochites On Ancient Authors and Philosophy. Semeioseis gnomicai 1–26 & 71. A Critical Edition with Introduction, Translation, Notes and Indexes. With a Contribution by B. Bydén [Studia Graeca et Latina Gothoburgensia LXV], Acta Universitatis Gothoburgensis, Gothoburgi 2002.

Mich. Sync., Vita Cosm et Ioh. Dam.= Michael Syncelus, Vita Cosmae et Iohannis Damasceni, ed. A. Papadopoulos-Kerameus, Ἀνάλεκτα Ἱεροσολυμιτικῆς σταχυολογίας, IV, Petropoli 1897 (repr. Bruxellis 1963), 271–302.

Pantal. Diac., Mirac. arch. Mich.= Pantaleo Diaconus, Narratio miraculorum maximi archangeli Michaelis, PG 140, 573–592.

Phil. Iud. De Abr.= Philo Judaeus, De Abrahamo, ed. L. Cohn – P. Wendland, Philonis Alexandrini opera quae supersunt, vol. IV, Editio minor, Berolini 1902, 1–50

De agr.= De agricultura, ed. L. Cohn – P. Wendland, Philonis Alexandrini opera quae supersunt, vol. II, Editio minor, Berolini 1897, 90–124

De congr. erud. = De congressu eruditionis, ed. L. Cohn – P. Wendland, Philonis Alexandrini opera quae supersunt, vol. III, Editio minor, Berolini 1898, 62–96

De decal. = De decalogo, ed. L. Cohn – P. Wendland, Philonis Alexandrini opera quae supersunt, vol. IV, Editio minor, Berolini 1902, 222–254

De ebr. = De ebrietate, ed. L. Cohn – P. Wendland, Philonis Alexandrini opera quae supersunt, vol. II, Editio minor, Berolini 1897, 157–203

De fug. = De fuga et inventione, ed. L. Cohn – P. Wendland, Philonis Alexandrini opera quae supersunt, vol. III, Editio minor, Berolini 1898, 139–189

De migr. = De migratione Abrahami, ed. L. Cohn – P. Wendland, Philonis Alexandrini opera quae supersunt, vol. II, Editio minor, Berolini 1897, 259–306

De mut. = De mutatione nominum, ed. L. Cohn – P. Wendland, Philonis Alexandrini opera quae supersunt, vol. III, Editio minor, Berolini 1898, 139–189

De opif. mund. = De opificio mundi, ed. L. Cohn – P. Wendland, Philonis Alexandrini opera quae supersunt, vol. I, Editio minor, Berolini 1896, 1–50

De plant. = De plantatione, ed. L. Cohn – P. Wendland, Philonis Alexandrini opera quae supersunt, vol. IV, Editio minor, Berolini 1897, 125–158

De praem. = De praemiis et poenis, ed. L. Cohn – P. Wendland, Philonis Alexandrini opera quae supersunt, vol. V, Editio minor, Berolini 1896, 271–296

De sacr. = De sacrificiis Abelis et Caini, ed. L. Cohn – P. Wendland, Philonis Alexandrini opera quae supersunt, vol. IV, Editio minor, Berolini 1896, 199–236

De somn. = De somniis I–II, ed. L. Cohn – P. Wendland, Philonis Alexandrini opera quae supersunt, vol. III, Editio minor, Berolini 1898, 190–290

De spec. leg. = De specialibus legibus I–IV, ed. L. Cohn – P. Wendland, Philonis Alexandrini opera quae supersunt, vol. V, Editio minor, Berolini 1906, 1–222

De vit. contempl. = De vita contemplativa, ed. L. Cohn – P. Wendland, Philonis Alexandrini opera quae supersunt, vol. VI, Editio minor, Berolini 1915, 32–50

De vit. Mos. = De vita Mosis I–II, ed. L. Cohn – P. Wendland, Philonis Alexandrini opera quae supersunt, vol. IV, Editio minor, Berolini 1902, 101–221

Legat. = Legatio ad Gaium, ed. L. Cohn – P. Wendland, Philonis Alexandrini opera quae supersunt, vol. IV, Editio minor, Berolini 1915, 121–188

Leg. alleg. = Legum allegoriae, ed. L. Cohn – P. Wendland, Philonis Alexandrini opera quae supersunt, vol. I, Editio minor, Berolini 1896, 51–168

Quis rer. div. her. = Quis rerum divinarum heres sit, ed. L. Cohn – P. Wendland, Philonis Alexandrini opera quae supersunt, vol. IV, Editio minor, Berolini 1898, 1–61

Quod deus sit imm. = Quod deus sit immutabilis, ed. L. Cohn – P. Wendland, Philonis Alexandrini opera quae supersunt, vol. II, Editio minor, Berolini 1897, 58–89

Quod omn. prob. liber = Quod omnis probus liber sit, ed. L. Cohn – P. Wendland, Philonis Alexandrini opera quae supersunt, vol. VI, Editio minor, Berolini 1915, 1–31

Philost., Hist. eccl. = Philostorgius, Historia ecclesiastica ed. F. Winkelmann (post J. Bidez), Philostorgius, Kirchengeschichte [Die griechischen christlichen Schriftsteller], Berolini 1981

Philostr., Imag. = Philostratus iunior, Imagines, ed. C.L. Kayser, Flavii Philostrati opera, vol. 2, Lipsiae 1871, 390–420

Philostr., Vit. Apoll. = Philostratus, Vita Apollonii, ed. C.L. Kayser, Flavii Philostrati opera, vol. 1, Lipsiae 1870, 1–344

Phot. patr., Bibl. = Photius patriarcha, Bibliotheca, ed. R. Henry, Photius, Bibliothèque, vol. 1–8, Parisiis 1959–1977

Epist. = Epistulae, ed. B. Laourdas – L.G. Westerink, Photii patriarchae Constantinopolitani epistulae, vol. 1, Lipsiae 1983

Pind. Fragm. = Pindarus, Fragmenta, ed. A. Turyn, Pindari Carmina cum fragmentis, Cantabrigiae (Massachusetts) 1952, 229–398
Olymp. = Olympia
Nem. = Nemea
Pyth. = Pythia
Plat., Apol. = Plato, Apologia
Charm. = Charmides
Cratyl. = Cratylus
Euthyd. = Euthydemus
Euthyphr. = Euthyphro
Gorg. = Gorgias
Lach. = Laches
Leg. = Leges
Men. = Meno
Menex. = Menexenus
Parm. = Parmenides
Phaed. = Phaedo
Phaedr. = Phaedrus
Phil. = Philebus
Polit. = Politicus
Protag. = Protagoras
Resp. = Respublica
Soph. = Sophista
Symp. = Symposium
Theaet. = Theaetetus
Tim. = Timaeus
Plot., Enn. = Plotinus, Enneades, ed. P. Henry – H.-R. Schwyzer, Plotini opera, vol. I–II Lugduno Batavorum 1951, 1959, 1973
Plut., Ages. = Plutarchus, Agesilaus, Plutarchi Vitae parallelae recognoverunt Cl. Lindskog et K. Ziegler, vol. III, Fasc. 2, Lipsiae 1973, 193–246
Antonius, Plutarchi Vitae parallelae recognoverunt Cl. Lindskog et K. Ziegler, vol. III, Fasc. 1, Lipsiae 1971, 60–152
Cicer. = Cicero, Plutarchi Vitae parallelae recognoverunt Cl. Lindskog et K. Ziegler, vol. I, Fasc. 2, Lipsiae 1964, 312–368
Cim. = Cimon, Plutarchi Vitae parallelae recognoverunt Cl. Lindskog et K. Ziegler, vol. I, Fasc. 1, Lipsiae 1969, 332–359
Comp. Demosth. et Cicer. = Comparatio Demosthenis et Ciceronis, Plutarchi Vitae parallelae recognoverunt Cl. Lindskog et K. Ziegler, vol. I, Fasc. 2, Lipsiae 1964, 368–373
Demetr. = Demetrius, Plutarchi Vitae parallelae recognoverunt Cl. Lindskog et K. Ziegler, vol. III, Fasc. 1, Lipsiae 1971, 1–60
Demosth. = Demosthenes, Plutarchi Vitae parallelae recognoverunt Cl. Lindskog et K. Ziegler, vol. I, Fasc. 2, Lipsiae 1964, 280–312
Fab. Max. = Fabius Maximus, Plutarchi Vitae parallelae recognoverunt Cl. Lindskog et K. Ziegler, vol. I, Fasc. 2, Lipsiae 1964, 47–84

Fragm. = Fragmenta, F. H. Sandbach, Plutarch's Moralia, vol. XV [Loeb Classical Library] Cantabrigiae (Massachusetts) et Londinii 1969
Lys. = Lysander, Plutarchi Vitae parallelae recognoverunt Cl. Lindskog et K. Ziegler, vol. III, Fasc. 2, Lipsiae 1973, 93–131
Mor. = Moralia
Pericles, Plutarchi Vitae parallelae recognoverunt Cl. Lindskog et K. Ziegler, vol. I, Fasc. 2, Lipsiae 1964, 1–47
Phoc. = Phocion, Plutarchi Vitae parallelae recognoverunt Cl. Lindskog et K. Ziegler, vol. II, Fasc. 1, Lipsiae 1964, 1–31
Pomp. = Pompeius, Plutarchi Vitae parallelae recognoverunt Cl. Lindskog et K. Ziegler, vol. III, Fasc. 2, Lipsiae 1973, 246–347
Sol. = Solon, Plutarchi Vitae parallelae recognoverunt Cl. Lindskog et K. Ziegler, vol. I, Fasc. 1, Lipsiae 1969, 82–123
Them. = Themistocles, Plutarchi Vitae parallelae recognoverunt Cl. Lindskog et K. Ziegler, vol. I, Fasc. 1, Lipsiae 1969, 157–197
Thes. = Theseus, Plutarchi Vitae parallelae recognoverunt Cl. Lindskog et K. Ziegler, vol. I, Fasc. 1, Lipsiae 1969, 1–35
Polyaenus, Strategemata, edd. E. Woefflin – J. Melber, Polyaeni strategematon libri VIII, Lipsiae 1887
Procl., In plat. Resp. = Proclus, In Platonis Respublicam commentarii, ed. W. Kroll, Procli Diadochi In Platonis Respublicam commentarii, vol. I–II, Lipsiae 1899–1901
In Plat. Tim. = In Platonis Timaeum, ed. E. Diehl, Procli Diadochi in Platonis Timaeum commentaria, II, Teubner, Lipsiae 1904
Prodr. Theod., Carm. hist. = Prodromus Theodorus, Carmina Historica, ed. W. Hörandner, Theodoros Prodromos Historische Gedichte [Wiener Byzantinistische Studien XI], Vindobonae 1974
Proverbia, Corpus Paroemiographorum graecorum, ediderunt E. L. a Leutsch et F.G. Schneidewin, vol. I–II, Gottingae 1839–1851
D. K. Karathanasis, Sprichwörter und sprichwörtliche Redensarten des Altertums in den rhetorischen Schriften des Michael Psellos, des Eustathios und des Michael Choniates sowie in anderen rhetorischen Quellen des XII. Jahrhunderts, Monachi 1936
Psell. Mich., De omn. doctr. = Psellos Michael, De omnifaria doctrina, ed. L. G. Westerink, Michael Psellos De omnifaria doctrina. Critical Text and Introduction, Novimagi Batavorum 1948
Opusc. = Opuscula philosophica minora, ed. J.M. Duffy, vol. I, Stutgardiae et Lipsiae 1992
Ps.-Arist., De mundo = Pseudo-Aristoteles, De mundo
Ps.-Dion. Areop., De coel. hier. = Pseudo-Dionysius Areopagita, De coelesti hierarchia, *Corpus Dionysiacum II. Pseudo-Dionysius Areopagita, De coelesti hierarchia, De ecclesiastica hierarchia, De mystica theologia, Epistulae*, Herausgegeben von G. Heil und A.M. Ritter [Patristische Texte und Studien, Band 36], Berolini et Novi Eboraci 1991, 7–59

De div. nom. = De divinis nominibus, ed. *Corpus dionysiacum. I. Pseudo-Dionysios Areopagita De divinis nominibus.* Herausgegeben von B.R. Suchla [Patristische Texte und Studien, Band 33], Berolini et Novi Eboraci 1990

De eccl. hier. = De ecclesiastica hierarchia, ed. *Corpus Dionysiacum II. Pseudo-Dionysius Areopagita, De coelesti hierarchia, De ecclesiastica hierarchia, De mystica theologia, Epistulae*, Herausgegeben von G. Heil und A.M. Ritter [Patristische Texte und Studien, Band 36], Berolini et Novi Eboraci 1991, 369–569

De myst. theol. = De mystica theologia, *Corpus Dionysiacum II. Pseudo-Dionysius Areopagita, De coelesti hierarchia, De ecclesiastica hierarchia, De mystica theologia, Epistulae*, Herausgegeben von G. Heil und A.M. Ritter [Patristische Texte und Studien, Band 36], Berolini et Novi Eboraci 1991, 141–150

Ps.-Greg. Naz., Chr. pat. = Pseudo-Gregorius Nazianzenus, Christus patiens, A. Tuilier, Grégoire de Nazianze, La passion du Christ. Tragédie, Introduction, texte critique, traduction, notes et index [Sources Chrétiennes 149], Parisiis 1969

Ps. Hesych., Patr. = Pseudo-Hesychius, Patria Constantinopoleos, ed. T. Preger, Scriptores originum Constantinopolitanarum, Lipsiae 1901

Ps.-Isocr., Ad Demon. = Pseudo-Isocrates, Ad Demonicum

Ps.-Long., De subl. = Pseudo-Longinus, De sublimitate, Liber De sublimitate Dionysio Longino fere adscriptus recognovit brevique adnotatione critica instruxit D. A. Russell, Oxonii 1968

Ps.-Luc., Demosth. enc. = Pseudo-Lucianus, Demosthenis encomium, Luciani opera recognovit brevique adnotatione critica instruxit M. D. Macleod, vol. 3, Oxonii 1980, 262–286

Ps. Plat., Alc. I = Pseudo-Plato, Alcibiades I

Axioch. = Axiochus

Epin. = Epinomis

Ptol. Claud., Geogr.= Claudius Ptolemaeus, Geographica

Synt. Math. = Syntaxis mathematica, ed. J. L. Heiberg, Claudii

Ptolemaei opera quae exstant omnia, vol. 1, 2, Lipsiae 1903

Simon., Fragm. = Simonides, Fragmenta, Poetae Melici Graeci. Edited by D. Page, Oxonii 1962, 237–324

Sext. Empir. = Sextus Empiricus, Adversus mathematicos

Soph., Aj. = Sophocles, Ajax

El. = Electra

Fragm. = Fragmenta, ed. S. Radt, Tragicorum Graecorum Fragmenta, vol. 4. Sophocles. Editio correctior et addendis aucta, Gottingae 1999

Philoct. = Philoctetes

Sozomen., Hist. eccl. = Sozomenus, Historia ecclesiastica, ed. J. Bidez – G. C. Hansen, Sozomenus Kirchengeschichte [Die griechischen christlichen Schrifsteller 50], Berolini 1960

Stethatos Nicetas, Epistulae, ed. J. Darrouzès, Nicétas Stéthatos Opuscules et Lettres. Introduction, texte critique, traduction et notes [Sources chrétiennes 81], Parisiis 1961, 228–290

Stob., Anth. = Stobaeus Iohannes, Anthologium, ed. C. Wachsmuth – O. Hense, Ioannis Stobaei Anthologium, vol. 1–5, Berolini 1884–1912

Sym. Met., Pass. Dem. = Symeon Metaphrastes, Passio sancti Demetrii, PG 116, 1185–1201

Synes. Cyren., Aeg. = Synesius Cyrenensis, Aegyptii, Synésios de Cyrène, vol. IV. Opuscules III. Texte établi par J. Lamoureux, traduit et commenté par N. Ajoulat [Les Belles Lettres] Parisiis 2008, 92–161

Calv. enc. = Calvitiae encomium, Synésios de Cyrène, vol. IV. Opuscules I. Texte établi par J. Lamoureux, traduit et commenté par N. Ajoulat [Les Belles Lettres] Parisiis 2004, 48–90

Catast. = Catastaseis, Synésios de Cyrène, vol. IV. Opuscules III. Texte établi par J. Lamoureux, traduit et commenté par N. Ajoulat [Les Belles Lettres] Parisiis 2008, 196–212

De insomn. = De insomniis, Synésios de Cyrène, vol. IV. Opuscules I. Texte établi par J. Lamoureux, traduit et commenté par N. Ajoulat [Les Belles Lettres] Parisiis 2004, 268–311

De regn. = De regno, Synésios de Cyrène, vol. IV. Opuscules II. Texte établi par J. Lamoureux, traduit et commenté par N. Ajoulat [Les Belles Lettres] Parisiis 2008, 84–141

Dio, Synésios de Cyrène, vol. IV. Opuscules I. Texte établi par J. Lamoureux, traduit et commenté par N. Ajoulat [Les Belles Lettres] Parisiis 2004, 140–185

Synes. Cyren., Epist. = Synesius Cyrenensis Epistulae, A. Garzya, Synesii Cyrenensis, Epistolae, Romae 1979.

Them., Anal. post. paraphr. = Themistius, Analyticorum posteriorum paraphrasis, ed. M. Wallies, Themistii Analyticorum posteriorum paraphrasis [Commentaria in Aristotelem Graeca 5, 1] Berolini 1900

Orationes, Discorsi di Temistio a cura di R. Maisano, Taurini 1995

Theodoret. Cyrr., De prov. = Theodoretus Cyrrensis, De providentia, PG 83, 556–773

Interpretatio Psalmorum, PG 80, 857–1997

Theod. Stud., Catech. magn. = Theodorus Studita, Catechesis magna, ed. A. Papadopoulos-Kerameus, Θεόδωρος Στουδίτης, Μεγάλη Κατήχησις, Petroburgi 1904.

Thom. Mag., De regn. = Thomas Magister, De regno, P. Volpe Cacciatore, Toma Magistro, La regalità, Testo critico, introduzione e indici, Neapoli 1997

Vett. Val. Anth. = Vettius Valens, Anthologium, ed. W. Kroll, Vettii Valentis Anthologiarum libri, Berolini 1908

Xanth. Niceph., De templ. et mirac. = Xanthopoulos Nikephoros Kallistou, De templo et miraculis B. M. V. τῆς Πηγῆς, ed. A. Pamperis, Νικηφόρου Καλλίστου τοῦ Ξανθοπούλου Περὶ συστάσεως τοῦ σεβασμίου οἴκου τῆς ἐν Κωνσταντινουπόλει Ζωοδόχου Πηγῆς καὶ τῶν ἐν αὐτῷ ὑπερφυῶς τελεσθέντων θαυμάτων καὶ ὁ Βίος τοῦ ἐν ἁγίοις Κλήμεντος ἀρχιεπισκόπου Βουλγάρων, Lipsiae 1802
Hist. eccles. = Historia ecclesiastica, PG 145–147
Xen., De vect. = Xenophon, De vectigalibus
Hellen. = Hellenica
Memor. = Memorabilia

SIGLA

CODICES

V = cod. Vindobonensis phil. gr. 95, saec. XIV
V[1] = scriba ipse codicis V
V[2] = manus Metochitae?
B = cod. Bucurestensis, Bibliothecae Academiae Romanae gr. 377, saec. XIV
C = cod. Constantinopolitanus, Monasterii Sanctae Trinitatis Chalcensis 90, saec. XIV
D = cod. Vaticanus gr. 1297, saec. XIV

EDITORES

De = Delehaye
Fo= Foss
Gi = Gigante
La = Laourdas
Ma = Mavromatis
Mi = Mineva
Re = Reinsch
Sa = Sathas
Se = Ševčenko
Si = Sideras
Tr = Treu

ABBREVIATIONES

a. corr. = ante correctionem
add. = addidit, addiderunt
coni. = coniecit
corr. = correxit
del. = delevit
e corr. = e correctione
Edd. = editores
in marg. = in margine
obl. rubr. = oblivione rubricatoris

om. = omisit
p. corr. = post correctionem
ras. = rasura
s.l. = supra lineam
suppl. = supplevit

1

Νικαεὺς f. 1

1. Εἶχον μὲν τέως ἐπὶ τῇδε τῇ πόλει, ὡς σιγῇ μόνον θαυμάζειν· καὶ μὴ πλέον φιλόκαλος εἶναι πειρᾶσθαι· ὥστε καὶ λόγους ἀξιοῦν εἰσφέρειν· καὶ τὴν νομιζομένην χαρίζεσθαι τοῖς καλοῖς εὐφημίαν· ἐπειδή μοι καὶ ἐργῶδες ἐπιεικῶς εἶναι δοκεῖ, τῶν αὐτῇ προσόντων ἀγαθῶν, ἀντιλαβέσθαι μὴ ἀγεννῶς· καὶ ὅσοις πολλή τις ἡ περιουσία τοῦ λέγειν, καὶ τὸ ἐν τούτοις κράτος· μεγάλων ἀξιοῦται πραγμάτων· καὶ ἅμα ὃ πρόσεστι νῦν, ὅτι καὶ πρὸς παρόντας καὶ ὁρῶντας τοὺς ἀκούοντας, γίγνοιντ᾽ ἂν, οἱ λόγοι· καὶ τοῖς φαινομένοις, εἰ μή τι πλέον, ἔστι προσμαρτυρεῖν· καὶ πολλὴ πάντως ἡ αἰσχύνη, μὴ μόνον ὑπερσχεῖν τοῖς ἐγκωμίοις, ἢ τό γε δεύτερον, παραθεῖναι τοῖς πράγμασι τὸν λόγον, ἀλλ᾽ ἔτι καὶ πολὺ τῶν ὄντων ἀπολειφθῆναι ἐν εἰδόσι τοῖς ἀκροωμένοις σπουδάζοντα. ὁ μὲν γὰρ ἀγνοῶν τάχ᾽ ἂν, ἀποχρώντως ἔχειν οἰηθείη τὴν ἀγωνίαν· καὶ ἀγαπήσοι τῷ προστυχόντι. πῶς δ᾽ ἄν τις καὶ διαγένοιτο, περὶ μεγάλων καθιστάμενος, καὶ συνιεὶς ἧττον ἔχων, ὁπόταν ὁ κριτὴς εὐθὺς μεταφέρῃ· καὶ προσαρμόζῃ τοὺς λόγους, τῷ συνεῖναι τοῖς πράγμασιν;

2. Οὐ μὴν ἀλλ᾽ ὃ μάλιστα τὴν δυσχέρειαν ἐδόκει τῷ λόγῳ ποιεῖν, τοῦτό με δὴ πρὸς τοὐναντίον ἅπαν, ἐπιβαλεῖν ἐπέρρωσε τῇ παρούσῃ σπουδῇ· καὶ θαρρῆσαι κατέστησε τοὺς ὑπὲρ τῆς πόλεως ὡς ἔξεστι λόγους. μάλιστα μὲν γὰρ ὅστις μετὰ τῶν πραγμάτων ἀκούει, ἅμα τὲ ἄν, ἔχοι γνῶναι ὅπῃ τὲ τῶν λόγων μακρὰν ἐλαύνει· καὶ συγγνῶναι πάντως, καλῶς διαιτήσας· ὡς τὸ μὲν ἐνδεῶς τῶν ὄντων ἐρεῖν, | τοῦ μεγέθους ὂν τῶν πραγμάτων· τὴν f. 1v
δὲ περὶ τὰ κρείττω προθυμίαν, οὐκ ἀδόκιμον οὖσαν, οὐδ᾽ αἰτίας ἴσως ἀξίαν· καὶ τοσούτῳ μᾶλλον, ὅσῳπερ ἂν, ὡς περὶ μεγάλων φρονῇ τῶν πραγμάτων· καὶ τοὺς ἄλλους βούλοιτ᾽ ἂν, οὕτω λογίζε-

tit. λόγος α´ V[2] in marg. **2,2** τοὐναντίον VMi: τὸ ἐναντίον SaFo **5** τὲ[2] om. SaFo **6** ἐλαύνει V: ἐλαύνοι SaFoMi

1,7–8 cf. Or. 11, 11, 24–34 **2,1–3** cf. Ioh. Chrys. Ad. pop. Antioch., PG 49, 59, 30–32

σθαι. ἔπειτ’ οὐδὲ τοῦτο δεινὸν οὐδὲν, ἀλλὰ καὶ μᾶλλον καθ’ ἡδονὴν, τοῖς διακειμένοις οὕτω τῶν ἀκουόντων· καὶ τῷ λέγοντι δὲ οὐχ ἧττον, ἐλλεῖψαι τοῖς οὖσι, καὶ τὴν ὑπερβολὴν ἐντεῦθεν παραστῆσαι τῶν ἔργων, οἷς ἐνεχείρησε.

3. Τούτοις ἐγὼ τοῖς λόγοις, ἔδωκα τῇ παρούσῃ σπουδῇ· καὶ εἰσήχθην μὲν εἰς ἀνάγκην ταύτην δοκοῦσαν αὐθαίρετον· οὐ μὴν, ἀλλὰ πατρὶς ἡ καλλίστη μοι πόλις αὕτη, τὸ μέρος· καὶ τῇ πατρίδι τί πάντως εἰσφέρειν, ἐκ τῶν ἐνόντων ὀφείλεται. ἔθος δὲ ὂν, τοῖς ἐπὶ ταῦτα καθισταμένοις, οὐ μόνον τοῖς παροῦσι χρῆσθαι καὶ φαινομένοις, ἀλλ’ ἔτι καὶ ἀνατρέχειν· καὶ πόρρω τῶν προτέρων χρόνων ἐπιχειρεῖν, τὰ ἀρχαῖα σεμνύνοντας τοῖς εὐφημουμένοις, εἰ μὲν ᾤμην οἷος τε ὢν ἀμφοτέροις ἀρκέσαι, οὐδὲν ἂν, ἣν ἴσως πρᾶγμα, πλέον τοῦ προχείρου διατρίβειν, καὶ τοῖς παλαιοῖς τῆς πόλεως, φιλοτιμεῖσθαι τοὺς λόγους. νῦν δὲ, τί ἄν τις περὶ ταῦτα φιλονεικῇ, ἐνδεῶς ἔχων, ἢ ὡς τῶν ὁρωμένων περιγενέσθαι· καὶ πολλῷ μᾶλλον ἀναγκαίων προσάγειν· ἐπεὶ βουλομένῳ περιττὰ φρονεῖν, πολλὴ ἀφθονία, τά, τε παλαιὰ σεμνὰ Βιθυνῶν, ἀρχαιολογοῦντα, πολυπραγμονεῖν, καὶ ἔτι τὸ κλέος, ὅσον ἀρχῆθεν ἥκει τῇ πόλει, καὶ ὡς οὐ προσβραχὺ, τὰ κατ’ αὐτὴν· οὐδ’ ὀλίγοις ἐσπουδάσθη, ἀλλ’ ἄλλοις τὲ τῶν πάλαι γενναίων σκοπὸς γέγονε φιλοτιμίας, καὶ δὴ καὶ Τραϊανὸς αὐτὸς, ὕστερον Ῥωμαίων αὐτοκράτωρ, οὗ πολλὰς μὲν τὰς κατὰ γνώμην καὶ τὸ ἦθος εὐδοκιμήσεις, πολλὰς δὲ καὶ τὰς κατὰ χεῖρα μεγαλουργίας, οὐκ ὀκνεῖ παραπέμπων εἰς f. 2 ἡμᾶς ὁ χρόνος, οὐκ ἠδέσθη μᾶλλον, κατὰ τῆς ἑτέρων | φιλοκάλου σπουδῆς, ἐπεξιέναι καὶ διατρίβειν· ἀλλὰ τοῖς ἀγαθοῖς τῶν ἔργων, ὀρέγειν χεῖρα δεῖν ἐγνωκώς· καὶ εἰς ὅσον δύναιτο προάγειν, μετὰ τῶν ἄλλων καὶ Νίκαιαν τήνδε τὴν πόλιν, ὡς ἔχοι νῦν ὑπόμνημα καὶ στήλην τῆς αὐτοῦ μεγαλοψυχίας, ἵστησιν· ὥστε τὴν αὐτὴν ἐξεῖναι, παλαιάν τε ὁμοῦ καὶ νέαν ὁρᾶν; καὶ εἰ δή τῳ σεμνὸν ἢ

11 ἔπειτ’ V: ἔπειτα δ’ SaFoMi **12** λέγοντι VMi: λέγχοντι SaFo **3,2** μὲν om. SaFo **3** μοι post πατρὶς transposuerunt SaFoMi **5–6** φαινομένοις VFoMi: φαινόμενος Sa **12** βουλομένῳ V e corr. **13** πολλὴ ἀφθονία VMi: πολλὴν ἀφθονίαν SaFo **17** οὗ VFoMi: οὐ Sa **23** ἔχοι V[2]SaFoMi: ἔχει V

3,17–25 cf. Acta Andreae (p. 323)

ἀρχαιότης, καὶ τοῦτο μετὰ τῆς πόλεως· καὶ εἰ δή τῳ σοφὸς ὁ χρόνος τὰ κρείττω γνωρίζων ἀεὶ, καὶ τοῦτο πρόσεστιν αὖθις τῇ πόλει.

4. Ἀλλ' ὅπερ ἔλεγον, οὔ μοι σχολὴ περὶ τὰ τοιαῦτα πολυπραγμονεῖν, καὶ τὴν σπουδὴν ἀναλίσκειν. ὅτι δὲ θέσεως ἡ πόλις ἔλαχεν εὐφυῶς· καὶ τῆς γῆς ἐπικαίρως ἵδρυται, τοῦτο καὶ πάρεστιν ὁρᾶν· κἀνταῦθα τῷ λόγῳ πειρᾶσθαι δεικνῦναι προσῆκον. ἔχει γὰρ οὕτω δεξιῶς, ὡς μήτε πρὸς ἀσφάλειαν, μήτε πρὸς χάριν ἐνδεῖν· ἀλλ' ἀμφότερα ἱκανῶς εἶναι, ὡς οὐκ ἔστιν εὑρεῖν ὑπερβολήν. θαλάσσῃ μὲν γὰρ ἔοικεν, οὐ μάλα τοι πιστεύειν· διὸ δήπου, μὴ δὲ συνάπτειν· μὴ δὲ συνοικεῖν ἔγνω· ἀλλ' εἰς τοσοῦτον ἀναχωρεῖ, ὡς τῶν μὲν ἀπ' αὐτῆς πάντων ἀγαθῶν, οὐ δυσχερῶς ἀπολαύειν ἐξεῖναι, εἰ δέ τι που δύσνουν ἐκεῖθεν, οἷα δή που τὰ ἐκ θαλάσσης ἀφανῶς ὑφέρπει, μακρὰν ἀπῳκίσθαι· καὶ μηδὲν ἐντεῦθεν εἶναι δεινόν. καὶ ἔστι τοῦτο, ἡδύ τε ἅμα καὶ καινὸν ἐκτόπως θαυμάσαι, μὴ μετέχειν οἷα δὴ δοκεῖ, πᾶσα ἀνάγκη, τῶν ἐκ τοῦ αὐτοῦ ἐναντίων, ἀλλὰ τὴν μὲν τῶν ἐκεῖθεν καλῶν ἀπόλαυσιν, καθ' αἵρεσιν ἄφθονον εἶναι (καὶ γὰρ δὴ καὶ φιλότιμος ἔλαχεν ἡ γείτων οὖσα), πᾶν δὲ τὸ ἀπ' αὐτῆς δυσχερὲς, ἀργὸν ἐπέχεσθαι· καὶ ἀμήχανον ἐγχειρεῖν. καὶ τοῦτο, οὐ λόγον μόνον, ἔστιν ἀκούειν, ἀλλὰ καὶ ὁ προλαβὼν ἅπας χρόνος, πάρεστιν ἐνταῦθα, τὰς πίστεις εἰς μέσον ἄγων· ἐν ᾧ πολλάκις παράλιαι μὲν ἐκεῖναι τόσαι πόλεις τῶν καθ' ἡμᾶς, αἱ μὲν, μακράν· αἱ δὲ, καὶ ἔγγιστα ταύτης εὐδαιμονοῦσαι ἠλλάξαντο τὰ τῆς τύχης, καὶ κακῶς ἀπηλλάγησαν, | τῶν πρὸς τὴν θάλασσαν συνθηκῶν· τῇ δὲ, περιῆν ὁ βίος, ἀκύμων· f. 2v καὶ ἅμα προσῆν, τὸ καὶ ταῖς ἄλλαις ὡς ἀπὸ ναυαγίων, εἰς λιμένα, γίγνεσθαι.

5. Ἀλλὰ τοῦτο μὲν, ἐκ τοῦ παρήκοντος οὕτως εἰσήχθη. ὅπερ δὲ ἀρτίως ὁ λόγος ἐσπούδαζεν, ὅτι θαλάττῃ μὲν μὴ μάλα τοι θαρρεῖν ἐπιγνοῦσα, διὰ τὸ κρυψίνουν ὡς ταπολλὰ καὶ ἀφανὲς, τῶν ἀπ' αὐτῆς ἐπιχειρήσεων, ἐν ἀσφαλεῖ τῆς γῆς, ἡ πόλις ὑποχωρεῖ.

26 εἰδήτω SaFo **4,20** ταύτης VMi: ταύτῃ SaFo

26–27 Stob., Anth. 4, 50b, 66 (V, p. 1044, 7) **4,10–11** cf. Menand. Rhet., De orat. 1, 348, 32–349, 2 (p. 36) **23** cf. infra, 16, 16–18

ὥσπερ δέ τις ἐφ᾽ ἑαυτῷ τὸ καθ᾽ ἡδονὴν ῥᾴδιον ἔχων ἀνύειν ἢ μή, τὴν θάλασσαν ἐκ τοῦ προχείρου, δαψιλῶς ἄττα πρὸς χρείαν ὑπηρετοῦσαν ἔχει· καὶ πάρεστιν ἐνταῦθα, τὰ ἐκείνης ἄφθονα τρυφᾶν, οὐδὲν ἧττον, ἢ ταῖς παροικούσαις τῶν πόλεων. καὶ οὔπω προσέθηκα τὴν ἐκ τῆς πόλεως ταύτην, φέρουσαν θάλατταν· διειδὲς μὲν ὕδωρ, ὀφθαλμοῖς χρήσασθαι· ἡδὺ δὲ, προσενεγκεῖν· καὶ ἅμα ἀφορμὴν τοῖς σώμασιν ὑγιαίνειν, ὡς οὐκ οἶδ᾽ εἴ τι τῶν ἁπάντων ἔστιν εἰσφέρειν· θεῖον οὕτω καλὸν, εὐπόριστον καὶ πρόχειρον ἰατρεῖον· καὶ μὴν ἔτι μῆκος, ὅσον τῶν ἄλλων οὐδὲ μιᾶς ἑτέρας, λίμνης ἱκανὸν παραθεῖναι· ὡς τοῖς ἀκριβῶς εἰδόσιν, ἀναγκαῖον θαρρεῖν. καὶ πρόσεστι παντοίων ὄψων θησαυρὸς· τοῦτο μὲν, εἰς ἀνάγκης χρείαν· τοῦτο δὲ εἰς τρυφὴν ὑπηρετῶν τῇ βουλήσει. οὐ μόνον δὲ, ἀλλὰ καὶ τὰ ἐκ ποταμῶν, ἔγγιστα παραρρεῖ· ὥστε ἐξεῖναι καὶ εἰ μὴ φίλα πρὸς τὴν θάλατταν ᾖ, αὐτὴν ἐφ᾽ ἑαυτῆς ἔχειν τὴν πόλιν· καὶ τοῖς οἰκείοις ἀνενδεῶς χρῆσθαι. ὅση δὲ ἄλλως ἡ ῥαστώνη ταῖς ὄψεσιν ἐφίσταται τρυφᾶν, ἐξ αὐτῆς πόλεως καθορῶντι τὴν λίμνην, ἐπειγομένην· καὶ ποῖ μὲν τῶν ὑποκειμένων ἀπολαύουσαν πεδίων· ποῖ δὲ συνεχομένην ταῖς δυσχωρίαις καὶ εἴκουσαν, εἰ καὶ τέως ἀντεῖχε τῆς ἐλευθερίας, ἐφ᾽ ἱκανὸν ἀντιποιουμένη. καί σοι οὐδ᾽ ἡ ἐφ᾽ ἑκάτερα ταύτης μετὰ τῶν ὀρῶν συμπλοκὴ, δόξειεν ἂν, ἄχαρι οὔθ᾽ ὡς ἂν ἔτυχε συμβαίνειν· ἀλλ᾽ οἷον ἐναρμονίως καὶ ὁμαλῶς· καὶ σκοπὸν εἶναι, ταύτην, ὥσπερ f. 3 ἀποχαρακοῦσθαι καὶ ἐγκλείεσθαι τῇ | πόλει· οὐκ οἶδ᾽ εἴτε χάριτος ἀσχολίαν, καὶ τρυφῆς ὁρᾶν τε καὶ χρῆσθαι, ὅπῃ ἂν, δοκῇ· καθάπερ ἀμέλει τὰ χειροποίητα σπουδάσματα, εἴτε θαλάττης εἰκόνα δοθεῖσαν τῇ πόλει (καὶ γὰρ δὴ καὶ πρόεισιν εἰς μήκιστον, φεύγουσα τὸν θεατὴν), ἀφορμὴν ἐρωτικοῦ πάθους. οὐ γὰρ ὀλίγον δέος, μήπου βασκήνασα, ἡ γείτων ἐλλοχήσῃ θάλασσα, καὶ ὑφέληται δόλῳ. ἀλλ᾽ ἀσφαλῶς τε ἵεται· καὶ διαπολλοῦ πομπεύει τὰ ἑαυτῆς ἐπιδεικνῦσα, ἐγγὺς ὅτι μάλιστα ταύτῃ· καὶ διαγενομένη τῶν ἐκεῖθεν ἐπιβουλῶν, ἔπειτα μέμνηται, τῶν πρὸς τὴν πόλιν συνθηκῶν· καὶ ἀσμένως ἐπανάγουσα, ἑαυτῆς γίγνεται.

5,5 ἔχων VMi: ἔχον SaFo **9** an post πόλεως lacuna statuenda? | ταύτην V^2: ταύτης VSaFoMi **19** οἰκείοις V^2 SaFoMi: οἰκοίοις V **29** θαλάττης VSaMi: θαλάσσης Fo **32** ἐλλοχήσῃ scripsimus: ἐλλοχήσει VSaFoMi

6. Ἀλλὰ ταῦτα μὲν, ἅλις ἂν, ἴσως ὁ λόγος ἔχοι. ἃ δὲ κατ' ἤπειρον, πολλὴ μὲν ἡ χάρις· πεδιάδες τόσαι, πρὸς τὴν πόλιν πάντοθεν ἀπαντῶσαι· καὶ ἀλλήλαις σὺν ὥρᾳ καὶ τῇ πόλει συμφυόμεναι· πολλὴ δὲ ὄνησις τὸ ἀπ' αὐτῶν γόνιμον, ὡς ἔρρωται πρὸς παντοίαν φοράν. οὐ γάρ ἐστιν ἐφ' ὅτῳ μᾶλλον φέρειν πέφυκε· ἀλλὰ τοῦτο γε δὴ πάντων κομιδῇ δυσχερέστατον συνιδεῖν, ὅποι τῶν γιγνομένων ἑαυτῆς ἡ πόλις ἥττηται. ταῖς μὲν γὰρ ἄλλαις οὐ πάντα ἀρκεῖ τὸ φιλότιμον· ἀλλ' ἔστιν οὗ τῶν ὄντων ἐλλείπει· καὶ τοῦτ' ἔστιν εὖ πράττειν, μὴ τῶν ἀναγκαίων ἐλλείπειν. ἐνταῦθα δὲ ὁμοῦ μὲν ὅσα τὲ ἀνάγκη παρεῖναι· ὁμοῦ δὲ καὶ ὅσα ποικίλλεται τρυφὴ πάντων ἀπολαύειν· ἄφθονον ἡ γῆ ταμεῖον· καὶ μόνῃ ταύτῃ σχεδὸν τῇ πόλει, ἔξεστιν ἀπόνως τρυφᾶν. δαψιλεῖς μὲν αἱ τῶν παντοίων καρπῶν ἀναδόσεις· ἄμπελοι δὲ, θαυμαστὸν γέ τοι τὸ χρῆμα πάρεστιν ὁρᾶν· τὸ πλῆθος τε, καὶ τὴν γιγνομένην ἀρετήν. καὶ οὔπω προσέθηκα τὰ ἐκ φυτῶν ὡραῖα· ὧν εἰ παρήσω τὸ πλῆθος, τοσαύτη γε μὴν ἡ φιλοκαλία καὶ τὸ περὶ ταῦτα τῆς φύσεως εὐμήχανον, ὡς καὶ ἀποφοιτᾶν πόρρω τῆς ἐνεγκούσης, εἰς ὅσον ἂν, ἐξικνεῖσθαι δέδοται ὥσπερ ἃ εἴωθεν ἐξ ἀλλοδαπῶν, περιοδεύειν τεράστια φύσεως. ἤδη δέ τισιν ἐσπουδάσθη, καὶ τὴν οἰκείαν ἐκ τῆς ἐνταῦθα εὐκαρπίας εὐεργετῆσαι | καὶ ἀναγκάσαι πράττειν εὖ· τῆς ἐντεῦθεν βλάστης ἀφορμὴν ἐνθεῖσι δημιουργεῖν παραπλήσια. f. 3v

7. Καὶ ταῦτα μὲν μέτρια τῶν ὄντων, ἐκ τῶν ἔξωθέν ἐστι εἰσφέρειν τῇ πόλει. ὁ δ' οὖν οἰκεῖος αὐτῇ στέφανος καὶ ὁ διὰ πάντων, οὐκ οἶδ' εἴτε τελευταῖος εἴτε πρῶτος νικᾷ λέγειν τῆς εὐδαιμονίας ὅρος ὄντως ἀσάλευτος (τίς ἂν, ἰδὼν, οὐκ ἀγασθείη;), τείχη ταῦτα περὶ αὐτήν· τοσοῦτον ἔχοντα τὸ ἀπὸ τῆς τέχνης θάρρος, ὡς μηδὲν εἶναι πρᾶγμα παντοίαν πρὸς αὐτὰ, μηχανημάτων φιλονεικίαν, ἀλλ' ἀνόνητον ἄλλως, κατὰ τῶν ἀδυνάτων διατριβήν. σχῆμα μὲν δὴ τῇ πόλει κυκλικὸν, τῶν ὄντων τὸ πολυχώρητον· περιφρονεῖ δὲ

6,4 ὤνησις V a. corr. | πρὸς παντοίαν V[1] in marg., πρὸς om. SaFo **5** φέρειν VSaFoMi: συμφέρειν V a. corr. **8** an ⟨πρὸς⟩ πάντα? **13** τὸ V[1] in marg.

6,4–5 cf. Ael. Arist., Or. 13 (p. 165, 19) **7,3** cf. Aesch., Ag. 314 **4** cf. Ael. Arist., Or. 13 (p. 161, 20–21) **7–8** cf. Iambl., In Nicom. arithm. intr. (p. 61, 10–11) **8–11** cf. Or. 7, 20, 22–26

πᾶσαν ἀνισότητα παρακειμένην· καὶ ἀποσεμνύνεται, συνάπτειν οἷα δὴ κλέπτουσιν αἱ πολλαὶ τὰς δυσχωρίας· καὶ τὸ ἐρυμνὸν ἐπίτηδες σοφίζονται. φιλανθρώπως δὲ ἔχουσα καὶ ὁμαλῶς κεχυμένη, ἑαυτῇ πιστεύει καὶ τοῖς ἔξωθεν, περιβλήμασιν· οὕτω τοι καλῶς ἠσκημένοις, ὡς ἡδονήν τε ἅμα εἶναι, καὶ θαῦμα προσβλέπειν· προμήθειαν, ἀκλόνητον· κάλλος ἄμαχον ὅσον· δεσμὸν, εὐπρεπῆ. οἷα μὲν γὰρ ἡ τῆς ὅλης δημιουργίας, ἡρμοσμένης τῆς ὕλης, ἀπαθὴς ἀνάγκη, οἷα δὲ τὰ ἐν μέσῳ πυργώματα· τοῦτο μὲν εἰς ὕψος ἐπείγεται, ταῖς ἕδραις θαρροῦντα· τοῦτο δὲ κάτωθεν προεξίστανται, τῆς συνεχείας τοῦ παντὸς συνασπισμοῦ· καὶ ἀπαντῶσι τοῖς ἐναντίοις, ἄπονοι καὶ ἀκίνητοι πρόμαχοι. τὸ δὲ πρὸς ἄλληλα τούτων φιλικὸν καὶ μὴ προσολίγον ἐθέλειν ἀφίστασθαι, χορείαν σοι τινὰ ταύτην ἂν δόξῃ περιελίττειν· ἐναρμόνιον μὲν καὶ ἡδίστην ἐντὸς τῇ πόλει τρυφᾶν· ἔνοπλον δὲ εἴ τις ἔξωθεν ἐναντίος προσπελάζει καὶ ἀκοινώνητον συγγενέσθαι. οὕτω δὲ περὶ ταῦτα μεγαλοψύχως ἡ πόλις ἔχει, ὥστε σοι καὶ ἕτερον μικρῷ πρόσθεν, περίβολον ἵστησιν· ὃ δὴ κἄν, ἑτέραις ἴσως ἤρκεσε μόνον, προσλα-
f. 4 βὸν καί τινα τοπικὴν δυσχέρειαν σύμμαχον· οἷα δὴ τὰ πολλὰ | μηχανᾶσθαι εἰώθασι. τῇ δὲ, οὐδ᾽ οὕτως ἀπέχρησεν, ἡ περὶ τὸ ἀσφαλὲς περιουσία· οὐ μὴν οὐδ᾽ ἐνέλειψεν, εἰς τοῦτο καινοτομεῖν· ἀλλ᾽ ἔτι σοι πρὸ τούτου, τάφρος ὑποτείνει βαθεῖα· ἰλύος πλέως· ἣν σοφιζομένη τὴν αἴσθησιν, ὑποκρύπτει καὶ θησαυρίζει, τοῖς ἀπροόπτως ἐμπίπτουσιν.

8. Ἀλλὰ τί ταῦθ᾽ ὁ λόγος, ἔξωθεν ἔτι τῆς πόλεως, διατρίβει, καὶ οὐκ εἴσω χωρεῖ; οἷα δὴ παραχρῆμα ταῦτα πάντοθεν προσβάλλει θαυμάζειν· μῆκος τοσοῦτον, ὅσον ταῖς πρώταις τῶν πόλεων ἀρκεῖν, τῷ συνεχεῖ τῶν ἐπικειμένων οἰκοδομημάτων, ἐνδεέστερον ἔχειν ἑαυτοῦ δοκοῦν (ὧν τὰ πλείω, καὶ πρὸς τὸν ἀέρα φιλονεικεῖ· καὶ τὴν εὐπορίαν τῆς τέχνης, ἐπίδειξιν ἐκ μετεώρου ποιεῖται, περιττῶς ἠσκημένα), ἀλλὰ μὴν καὶ βαλανείων, ἄφθονος ἀπόλαυσις· καὶ πρόσεστιν ἡ χάρις, προστιθεῖσα τῇ χρείᾳ τὸ τρυφᾶν. ἃ δὲ

7,12 *κεχυμένη* VFoMi: *κεχυμένῃ* Sa **21** *ἐναρμόνιον* VMi: *εὐαρμόνιον* SaFo **8,2** *εἴσω χωρεῖ* VMi: *εἰσχωρεῖ* SaFo **6** *εὐπορίαν* V[1] in marg.Mi: *περιουσίαν* VSaFo

21 cf. Or. 11, 77, 11

τῆς κρείττονος ὄντως πολιτείας ἐνταῦθα πρόσεστιν, ᾗ που, πολὺς μὲν ὁ κόσμος· μείζων δὲ ἡ ὄνησις, ταῦτα δὴ ταῦτα λέγω, τὰ τῶν καμνόντων ἐν νόσοις, μετὰ τῆς πενίας κοινὰ καταγώγια· ὧν οὐ μᾶλλον τὸ κάλλος τῶν οἰκοδομημάτων ἔστι θαυμάζειν, ἢ τὴν ὁμολογίαν τῆς φυσικῆς ἀσθενείας αἰδεῖσθαι καὶ τὴν συναίσθησιν· καὶ τὴν κατ᾽ ἄμφω τοῦ γένους φιλανθρωπίαν· τήν τε ἐπὶ τῇ νόσῳ παρὰ τῆς τέχνης ἐπικουρίαν· καὶ τὴν τῆς πενίας παραμυθίαν καὶ ταύτην δίχα νενεμημένην, τοῖς τε ὑπὸ τῆς ἱερᾶς νόσου πάντα τὸν βίον ἑαυτῶν ἀπογνοῦσι, καὶ τὸ μόνον κοινὸν ἰατρεῖον τῆς φυσικῆς ἡμῶν οὐκ οἶδ᾽ εἴτε ἀσθενείας, εἴτε κουφότητος χρὴ λέγειν, ἀπολέσασι, τὰς ἐλπίδας, καὶ τοῖς μετ᾽ αὐτῶν ἔτι σὺν ἀπορίᾳ κάμνουσι, τῶν, τε ξένων· καὶ ὅστις ἐγχώριος. κατ᾽ ἀμφότερα γὰρ ἡ βασιλικὴ φιλανθρωπία, τὸν οἶκτον μερίζει· καὶ νικᾷ τῇ μεγαλοψυχίᾳ, τὴν χρείαν· τά τε ἄλλα τιμῶσα τὴν πόλιν, τοῖς γιγνομένοις καὶ ἔτι ὑπόμνησιν ἑαυτῶν εἶναι· καὶ μηδὲν πλέον τῆς σωματικῆς | ταπεινώσεως φρονεῖν. f. 4v

9. Τὰ δὲ δὴ σεμνὰ ταῦτα τοῦ κάλλους ἀγάλματα, αἱ περιφανεῖς στῆλαι τῆς καθ᾽ ἡμᾶς φιλοσοφίας· οἱ ταύτης καρποί· τὰ λαμπρὰ καὶ φιλότιμα τέλη· τὰ ἱερὰ φροντιστήρια· τῶν ἑλομένων τῆς ὕλης ἀναχωρεῖν· καὶ μόνῳ σχολάζειν Θεῷ, τίνος ἄν, ἑτέρας εἴη πόλεως, τοσαῦτα ἢ οὕτως ἔχοντα παραθεῖναι· τοῦτο μὲν ἀνδρῶν· τοῦτο δὲ καὶ τῆς ἑτέρας μερίδος, μεγαλοψύχως, τὴν αὐτὴν ἀνελομένων σπουδήν; ὧν τὸ περὶ τὴν αἵρεσιν φιλόπονον· καὶ ὅση τις ἡ περὶ αὐτὴν τοῖς μὲν ἁπαλοῖς ἔτι καὶ τῶν καιρῶν ἐνδεῶς ἔχουσιν ἡ παρασκευή, τοῖς δὲ τῶν χρόνων ἀπολαύσασιν, ἡ τελείωσις, μεγάλη μὲν ἡ τῆς δόξης αὕτη προσθήκη τῇ πόλει, καὶ μείζων ἴσως τῶν ὄντων.

10. Οὐ μὴν ἀλλ᾽ οὐκ ἐμὸν ταῦτα προφέρειν καὶ ἱστοροῦντα διατρίβειν· ὡς ἐγὼ δέδοικα μὲν σφόδρα, ἧττον ἔχων, ἢ ὡς τῶν ὄντων, ἐγγὺς γενέσθαι· αἰσχύνομαι δὲ γέλωτα ὀφλῆσαι τοῖς συνεσομένοις, οὕτως ἔχων, ἔπειτα τοῖς τοιούτοις, ἐπιχειρῶν προσάγειν τὸν λόγον. ὅτι δὲ καὶ πλῆθος ὅσον οὐκ ἄλλη τῶν, τε

9 ὄντως V^{1} in marg. **10** ὄνησις FoMi: ὤνησις VSa **13** συναίσθησιν V e corr. **22** γιγνομένοις V^{2}SaFoMi: γινομένοις V **23** an ὑπόμνησιν ⟨φέρουσα⟩? **9,7** αὐτὴν ἀνελομένων V^{1} SaFoMi: αὐτὴν ἑλομένων V

οὕτω βιοῦν ᾑρημένων· καὶ αὐτῶν δὴ τῶν θείων οἴκων ἐν οἷς ἡ μεγαλόφρων αἵρεσις αὕτη φιλοσοφεῖται· καὶ κάλλος τῶν πλειόνων οἷον ἀμήχανον ἐρεῖν, πολλή τε τρυφὴ τοῖς ὀφθαλμοῖς ὁρᾶν, καὶ τῷ λόγῳ πάντως, περὶ ταῦτ' ἔχειν, ἀκίνδυνον. αὐτίκα πολλὴ μὲν ἡ περὶ τοὺς θείους νεώς, εὐμήχανος παρὰ τῆς δημιουργίας ἀσφάλεια· πολλὴ δὲ, ἡ ἐπανθοῦσα χάρις· ὄροφος μὲν ἄνωθεν, ἁβρῶς ᾐσκημένος, χρυσοῦ τὲ αὐγαῖς, καὶ τοῖς ἐκ βαφῶν ἄνθεσι· τὴν πᾶσαν ποικιλίαν ἐνταῦθα δαπανώσης τῆς τέχνης· ταὐτά δ' ἐπιπολὺ κάτεισιν ἐφ' ἑκάτερα. διαδέχεται δὲ ποικίλης λίθου διαύγεια· πρὸς τὴν ἄνω χάριν ἐπειγομένη· τῇ παντοίᾳ τῆς χρόας ἑτερότητι συνεργούσης τῆς τέχνης καὶ σοφιζομένης, τὴν ἀναλογίαν τῆς ἁρμονίας. τό δ' αὐτὸ κάτωθεν καὶ τὸ ἔδαφος, ταῖς αὐταῖς ποικιλίαις ὑφαίνεται (ἔδει γὰρ εἶναι πάντα τοῖς ἄνω τὰ ἐντεῦθεν
f. 5 ἐφάμιλλα), στοαὶ δὲ ὑπαλλάττουσι, | ταῖς ὑφισταμέναις κίοσιν, ἔχουσαι τὸ θαρρεῖν· καὶ προαρπάζειν φιλονεικοῦσαι τὴν ἕδραν, τὴν ἐντυγχάνουσαν ἀπατῶσιν ὄψιν. κίονές τε ἀνατείνουσιν ἐν μέσῳ, αἱ μὲν, τὸν ὄγκον, αἱ δὲ, τὴν ἔνδειαν παρεχόμεναι θαυμάζειν· τὸ μὲν, φυσικῆς περιουσίας· τὸ δὲ, τεχνικῆς οἰκονομίας, ἐπίδειξιν· κορυφαὶ τούτων καὶ βάσεις μυρίαν ὑπέχουσαι, τὴν ἀπὸ τῆς τέχνης τομὴν· καὶ ὁ διὰ πλοῦτον κάλλους πάντα τυραννούμενος χρυσὸς, κἀνταῦθα ὠθούμενος. πάντα φαιδρὰ· πάντα ἀλλήλοις, ἀναλογεῖ. καὶ οὔπω προσέθηκα, θείων εἰκόνων λαμπρότητας· κἀνταῦθα τῶν πολυτελῶν λίθων, τιμίαν ὄντως τὴν χρείαν· καὶ τὸν χρυσὸν αὖθις εἰς κόσμον βιαζόμενον· καὶ σεπτῶν ἀναθημάτων εὐσέβειαν· πολυτάλαντα σκεύη· καὶ βίβλων, ἱερῶν θησαυροὺς. ἃ δὲ ἐξιόντι τοῦ νεὼ· παραχρῆμα ἀπαντᾷ, ἦ που πολλὴ χάρις ὁρᾶν, ἔνθεν μὲν λειμῶνας κεχυμένους, ἔνθεν δὲ φυτῶν εὐκαρπίαν τὲ ὁμοῦ καὶ πολυκαρπίαν· καὶ ἔτι τὴν ἐνίων ἀγονίαν, ἐνταῦθα εἰσφέρουσαν. καὶ γὰρ ἄκαρπον μὲν, ἀλλ' ἰθυτενὲς, ἡ κυπάριττος· καὶ εἰς οὐρανοὺς ἀναχωροῦν· ἐμοὶ δοκεῖν ἀτεχνῶς ὑποδεικνύει, τοῖς ἐκεῖ φιλοσοφοῦσιν, ὅποι δεῖ τρέχειν καὶ ἀνατείνεσθαι, μετὰ τῆς ἀνόδου καταβραχὺ τὰ περιττὰ τῆς ὕλης ἀποτιθεμένους, καὶ στενουμένους πρὸς τὴν ἀνάβασιν. πάρεστι δὲ καὶ ὑδάτων θαυμάζειν ἐπιρροίας, ὅσας τὲ δαψιλῶς ἡ γῆ χορηγεῖ καὶ ὅσας ἐπὶ τῇ φύσει, μηχανᾶται τέχνη τὰς ἀναδόσεις, ἐκ μετεώρου σοφιζομένη. καὶ σιγῆσαι μοι τὰ πλείω δοκῶ ὅσα τοῖς ἐνοικοῦσιν ἐγγίνεται, τῆς φυσικῆς ἀσθενείας

10,13 ταὐτὰ VMi: ταῦτα SaFo **33** ἀγωνίαν V a. corr.

ἀναψυχὴ· καὶ τῷ κατὰ τὴν ἔφεσιν ἀλόγῳ, τῆς ψυχῆς ἐνδίδωσι, τρυφῇ σχολάζειν καθαρωτέρᾳ· τοῦ λογισμοῦ κάμνοντος καὶ προσβραχὺ τῶν πόνων μεθιεμένου.

11. Καὶ ταῦτα μὲν μέτρια πάνυ τῶν ὑπαρχόντων· παρῆκα δὲ τῶν ἄλλων ναῶν πλήθη καὶ κόσμους, οἳ διὰ πάσης τῆς πόλεως ἵστανται, κάλλους περιουσία· ὑπόμνησις | ἀρετῆς· τῆς κοινῆς f. 5v εὐσεβείας ἀρραγεῖς σύνδεσμοι. ὧν εἴ μοι βουλομένῳ σχολὴ προσῆν ἕνα τῶν πάντων τῷ λόγῳ προθεῖναι σπουδῆς ὑπόθεσιν, καὶ εἰ βούλει τοῦτον δὴ τὸν ἐπὶ τῇ κλήσει φρονοῦντα τοῦ γενναίου τὴν ἄθλησιν Τρύφωνος, ὅπως μὲν μεγέθους, ὅπως δὲ ὥρας ἔχει, μέγιστον ἔργον ἄν, ἦν διαγενέσθαι· καὶ τῶν ὄντων μὴ πάνυ τοι ἐνδεῶς ἀνῦσαι.

12. Καίτοι τί τοῦτο παρελθεῖν ὁ λόγος ἐπείγεται, τέρας ἡδονῇ σύμμικτον· καὶ ἅμα δόξης ἀφορμὴν τῇ πόλει, οὐκ οἶδ' ὡς εἴ τι τῶν ἄλλων, ὅπως ἔτους ἑκάστου, τῷ καιρῷ τῆς μνήμης ἐκ τῶν ἄνω λειμώνων, ὁ μάρτυς μετὰ τῶν ἀνθέων ἐνταῦθα γίνεται· καὶ προβάλλεται θαυμάζειν, αὐτόματα ὡραῖα· λειμῶνας ἀερίους· μᾶλλον δὲ ἄνευ λειμώνων, ἄνθη· ἄνευ ῥίζης καρπούς; καὶ τοῦτο δεῖγμα μὲν τῆς περὶ τὴν πόλιν σπουδῆς τοῦ μάρτυρος· δεῖγμα δὲ εὐσεβείας αὐτῇ, δι' ἣν ἡ σπουδή. τοῖς μὲν γὰρ ἐνταῦθα τὴν τῶν ἔργων ἐπίδειξιν ποιουμένοις, ἔνθα ἢ πατρὶς· ἢ χρονία διατριβὴ· ἢ τὸ τελευταῖον τοῦτο, τοῦ μακαρίου τέλους ἐπιτυχία πρόσεστιν ἕλκουσα, κἂν ἀνάγκην εἶναι τῇ φιλοτιμίᾳ, φαίη τις τὴν παλαιὰν κοινωνίαν· κἄν, ἀντίδοσιν ταῦτα τῆς ἡγησαμένης τύχης, τῇ μεγαλοψυχίᾳ νικῶσαν. ὅταν δὲ πάντα ἀπῇ, καθάπερ ἀμέλει νῦν ἔχει τῷ μάρτυρι καὶ τῇ πόλει, τί τίς ἄν, λέγοι ἢ ὅτι χάριτος εἶναι μόνον· καὶ χάριτος, τῇ εὐσεβείᾳ πάντως προσμαρτυρούσης;

13. Ἀλλ' ἐπειδήπερ εὐσεβείας ἐμνήσθην, τίς οὐκ οἶδε καὶ τῶν πάντα ἀμαθῶς ἐχόντων ὅτι τοσοῦτον περίεστιν ἐνταῦθα τῇ πόλει φρονεῖν, ὡς ἐντεῦθεν οὖσαν τοῖς ἄλλοις ἅπασι τὴν πηγήν, τῶν τῆς

11,5 προσθεῖναι V a. corr. **12,5** λειμῶνας ἀερίους VMi: λειμώνων ἀερίας SaFo **8** αὐτῇ VMi: αὐτῷ SaFo **14** τίς V: τις SaFoMi | an ὅτι delendum?

10,43 cf. Or. 10, 48, 25–29 **13,3–4** cf. Or. 11, 105, 18–19

ἀληθείας δογμάτων· καὶ τὴν ἀρχὴν καὶ τὴν ὑπόθεσιν ὅπως ἄρα ἔχει, περὶ τῶν θείων ὀρθῶς νομίζειν; καὶ πάρεστιν ἡ δεῖξις ἐγγὺς αὕτη, ὅτι πρῶτος συνασπισμὸς ἐπὶ γῆς, κατὰ τῶν ἀποστατῶν τοῦ Χριστοῦ· πρώτη παράταξις ἀληθείας, κατὰ τῶν τοῦ ψεύδους προμάχων, ἐνταῦθα συνέστη· καὶ τὸ ἀλλότριον ἅπαν καὶ δύσνουν, f. 6 | ἐξέτεμε τῇ μαχαίρᾳ τοῦ πνεύματος. τῆς γὰρ Ἀρείου δυσσεβείας τὸ θράσος ἀπ' Αἰγύπτου μὲν τὴν ἀρχήν, κατὰ πάσης ἐπανέστη τῆς οἰκουμένης· καὶ ὥσπέρ τι νόσημα δεινὸν ὑφέρπον, περιλαβεῖν ἤδη τὸ καλὸν ἐφιλονείκει σῶμα τῆς ἐκκλησίας· ἐνταῦθα δὲ ἔστη καὶ ἤλεγκται τῇ πόλει, ἧττον ἔχον ἢ περιγενέσθαι, καὶ πάντα ἄρδην ἀνατρέψαι τὰ καλῶς κείμενα. ὁ γὰρ δὴ μέγας ἐκεῖνος τῆς εὐσεβείας οὐκ οἶδα εἴτε διδάσκαλος εἴτε ὑπηρέτης χρὴ λέγειν, ὁ βασιλεύσας πρῶτος μετὰ Χριστοῦ, ἔγνω μέν τινα συμμαχίαν καταστῆσαι, ταῖς αὐτὸς αὐτοῦ πράξεσι· καὶ πάντοθεν εἰς ἓν ἀγαγών, τοὺς τοῦ θείου Πνεύματος ὑποφήτας, μίαν δὴ ταύτην ἀγωνίαν, ἀναγκαίαν εἰς μέσον προθεῖναι· τῇ τε ἐκκλησίᾳ τὴν ἀσφάλειαν ἀποδοῦναι, τῆς περὶ Θεοῦ δόξης· καὶ τὸ ἐπίβουλον ἅπαν καὶ νόθον, ἐπισχεῖν τε καὶ ἀποθέσθαι· μόνην δὲ ἀρκοῦσαν τῷ σκοπῷ καὶ τῇ χρείᾳ, τήνδε τὴν πόλιν ᾠήθη· καὶ μόνην ἀξίαν χωρῆσαι, τόν τε ὄγκον τῆς παρούσης σπουδῆς, καὶ τῆς ἐσομένης ἐντεῦθεν τὸν ἑξῆς πάντα χρόνον, ἀγαθῆς τύχης. καὶ οὐκ ἴσχυσαν ἀνθελέσθαι τὴν κρίσιν, τόσαι μὲν ἐπὶ τῆς γῆς πόλεις, τόσαι δέ, ἐπ' αὐτῆς μάλιστα τῆς θαλάττης· τῆς τῶν Ῥωμαίων ἡγεμονίας, τῷ τῆς οἰκουμένης σχεδὸν μήκει, τηνικαῦτα συμμετρουμένης. καὶ οὐκ ἔγνω μὲν οὕτω περὶ ταύτης μεγαλοψύχως, οὐκ ἐπέθηκε δὲ παραχρῆμα τὸ τέλος· ἀλλ' εὐθὺς πάντα ἠρευνᾶτο· καὶ πάντα εἰσέφερε καὶ συνετέλει τῇ πόλει, τὸν καλὸν τοῦτον, ἔρανον.

14. Ἐν ἐκείνοις τοίνυν τοῖς χρόνοις, ἐπεστάτει μὲν τῆς οἰκουμένης ἡ πόλις· καὶ θειοτέραν ὄντως ἐπιστασίαν· προσεῖχον δὲ πᾶσαι· καὶ ἅμα ἔπεμπον, εὐσεβείας συνθήματα δέχεσθαι. ἐπεὶ δὲ ὁ Φαραὼ τὸν ἄξιον ὄλεθρον ὑπέστη τοῦ θράσους· καὶ ἡ ἀκρότομος ἐρράγη· καὶ ἀνέδωκεν ἀφθόνους, τὰς τῆς ἀληθείας ῥοάς· καὶ ἡ

13,16 ἔγνω μὲν VMi: ἔγνωκεν Sa, ἔγνωκε Fo

9 Eph. 6, 17 **15** cf. Or. 11, 37, 16–20 **14,3–4** Ex. 14, 28 **4** De. 8, 15 **5–6** Ibid. 10, 2–5

κιβωτὸς οὐκέτι συνέκρυψε τὰς πλάκας· ἀλλ’ ἠνοίγη καὶ προέθετο παρρησίᾳ τοὺς θείους νόμους, καὶ ὁ ταμίας τῆς ἁρμονίας ὑπέκρουσεν ἀρχὴν ἐμμελοῦς συμφωνίας, | τηνικαῦτα ἦν ὁμοῦ πάντα χρήματα· πρόχειρος μὲν ἀπόλαυσις τῶν ἐντεῦθεν τῆς εὐσεβείας ῥευμάτων, ὅστις βούλεται χρῆσθαι· πανταχοῦ δὲ ἀνακήρυξις καὶ διάδοσις, τῶν θείων τῆς ἀληθείας ὅρων· καὶ τέλος ἡ παγκόσμιος αὕτη λύρα, μετὰ τὴν ἐντεῦθεν ἀφορμὴν καὶ κίνησιν πρώτην, πάντα ἁρμοζομένη καλῶς καὶ πρὸς τὴν ἀσφαλῆ περὶ Θεοῦ δόξαν, ἐμμελῶς συμφωνοῦσα. αὕτη τῶν ὅλων τῆς ἐκκλησίας δογμάτων ἀρχὴ, καὶ κατάστασις πρώτη· τοῦτο τῆς καθ’ ἡμᾶς εὐσεβείας, τὸ στήριγμα. ἐπὶ ταύταις ταῖς ὑποθέσεσιν· ἐπὶ ταύτῃ τῇ βάσει, τῶν ἑξῆς ἡ δημιουργία· καὶ ἡ πρὸς τοὺς κατὰ καιροὺς ἀποστάτας τῆς ἀληθείας ἀντικατάστασις. f. 6v

15. Τοῖς μὲν οὖν πολλοῖς ἴσως ἂν, ἔδοξεν, ἐνταῦθα εἶναι τὸ πέρας τῶν ἀγαθῶν· καὶ ἀποχρώντως ἔχειν, τῇ τε πόλει, τῆς περὶ ταῦτα φιλοτιμίας τῶν ἔργων, καὶ τῷ λόγῳ τῆς ἱστορίας· ὡς οὐκ ἄδηλον ὂν τὴν πᾶσαν, ἑξῆς ἀκολουθίαν, τῆς εὐσεβείας, εἶναι τῆς ἐνταῦθα τῇ πόλει δεδομένης ἀρχῆς. καὶ γὰρ ἱκανῶς ἔχειν, τοῖς τε ἄλλοις, οὕτω λογίζεσθαι καὶ κρίνειν· καὶ ἔτι τῷ λόγῳ νῦν πρὸς τοῖς ἄλλοις. ἀλλ’ ἡ πόλις οὕτω τοι παρῆλθε τῇ μεγαλοψυχίᾳ, καὶ διὰ πάντων ἐγένετο σαφῶς ἑαυτῆς ποιουμένη τὲ καὶ συνάπτουσα, ὥστε καὶ τὰ δεύτερα κρείττω πάσης ἐπιθεῖναι προσδοκίας· καὶ τὸ τέλος τῆς ὅλης κατὰ τῶν αἱρετικῶν ἀγωνίας καὶ μάχης ἐπαγαγεῖν. ἐπεὶ γὰρ ἔδει καὶ τὴν τελευταίαν ταύτην ἀκολουθῆσαι, ταῖς προλαβούσαις ἓξ, τῶν ἱερῶν διδασκάλων σύστασιν, ποῦ μᾶλλον ἔδει, ἢ ἔνθα τὸ τῆς εὐσεβείας ἀσφαλὲς ταμεῖον· ἔνθα ἡ πρώτη τῆς ὑγιαινούσης πίστεως πῆξις; καὶ μέντοι συνοῖδε τὸ δέον ὁ χρόνος· καὶ προσαπέδοτο τῇ πόλει, καὶ ταύτην· μᾶλλον δὲ τῇ ἐκκλησίᾳ, καὶ ταύτην ἡ πόλις ἀπέδωκε· καὶ ὑπέθετο μὲν τέως τὴν βάσιν καὶ τὴν ἀρχὴν, τῆς ὅλης περὶ ταῦτα κινήσεως· ἐπήνεγκε δὲ, τὴν ἐπὶ πᾶσι κορυφὴν· καὶ τελευταίαν συνοχὴν, καὶ ἀσφάλειαν. καὶ εἰ δή τις μέγα οἴεται (πάντως δὲ μέγιστον), τὴν πρώτην | τῆς ἀληθείας f. 7

15,16 ἀπέδωκε V[1]Mi: ἀπέδοτο VSaFo

9 cf. Theod. Lasc., In laud. Nic. 134–136 (p. 73)

φανέρωσιν, παρέσχεν ἡ πόλις· καὶ εἴ τις τὴν ὑστέραν αὖθις σφραγίδα, καὶ τὸ διὰ πάντων κῦρος, καὶ τοῦτο μετὰ τῆς πόλεως.

16. Τοῖς δὲ παλαιοῖς κομιδῇ καὶ τὰ νέα συμβαίνει. τῶν γὰρ δὴ προτέρων χρόνων, ὅτε καὶ τὰ Ῥωμαίων τῆς ἐπὶ θάτερα ῥοπῆς ᾔσθετο· καὶ μετέβαλε τῆς πρώην εὐδαιμονίας, καὶ πόλις μὲν ἐκείνη προϊσταμένη καὶ τῶν ἄλλων τὸ κράτος ἔχουσα, δουλεύειν ἔγνω τῇ τύχῃ· ἐτράπη δὲ ἡ τῆς ὅλης ἡγεμονίας παραχρῆμα εὐκληρία· κἀντεῦθεν ἐνόσει· τὰ μὲν, εἴχετο· τὰ δὲ, ἐκινδύνευε· τὰ δὲ, προσεδοκᾶτο· πάντα ἦν ὁμοῦ τὰ δεινά· στάσεις τῶν οἰκείων· τῶν κύκλῳ βαρβάρων, ἐπιθέσεις μετὰ τοῦ καιροῦ· καὶ ἔτι πρὸ πάντων, κίνησις αὕτη δὴ μεγίστη, τῶν ἐπὶ παντὸς τοῦ κόσμου πραγμάτων, ἐδόκει γίγνεσθαι· καὶ ἅμα δέος οὐ βραχὺ τὴν κρείττω καὶ σεμνοτέραν τῶν ἐπὶ γῆς ἀρχὴν, ἄρδην ἀνάρπαστον γενέσθαι καὶ ἀνῃρῆσθαι, ἆρ' οὐκ ἔδεισας ἂν, τηνικαῦτα περὶ τῇδε τῇ πόλει, μή που τι καὶ αὕτη μετὰ τῶν πραγμάτων γένηται, καὶ τῆς κοινῆς σὺν ταῖς ἄλλαις αἴσθηται τύχης; ἡ δὲ, οὕτω τοι γενναίως ἀντέσχε τῇ δυσχερεῖ φορᾷ· μᾶλλον δὲ ὑπερέσχε καὶ διεγένετο, ὥστε μὴ μόνον ἀντὶ ἀκροπόλεως κατέστη τοῖς ὅλοις τῶν Ῥωμαίων πράγμασιν ἀσμένως ὑποδεξαμένη προσχωρήσασαν τὴν βασιλικὴν ἐπιστασίαν· καὶ τέως μὲν συστῆναι χαρισαμένη· τὰ δ' ἑξῆς καὶ τοῖς οἰκείοις ἐπεξελθεῖν, ἀλλὰ καὶ ἔτι προστιθεῖσα τῆς εὐποιίας, ἐδέξατο μὲν τὴν τῆς εὐσεβείας ἕδραν· τὸ τῆς ἐκκλησίας εὔκοσμον σύνταγμα· τὴν πρώτην καὶ τελεωτέραν ὄντως, τῶν καθ' ἡμᾶς πραγμάτων, ἀσφάλειαν καὶ συνοχὴν· ἐδέξατο δὲ τοὺς λόγους αὐτοὺς, μετὰ τῶν ἄλλων πλανωμένους καὶ κινδυνεύοντας. καίτοι πῶς ἂν, ἔδειξε μᾶλλον ἡ πόλις ἑαυτῆς οὖσα, καὶ τοῦ πάλαι, περὶ ταῦτα φρονήματος, ἢ πῶς ἂν, μᾶλλον τοῖς τε οἰκείοις ἐνέπνευσέ τι φρονεῖν ἑαυτῶν ἄξιον, καὶ τοῖς ἐναντίοις ἐνέκοψε τὴν ἄσχετον τοῦ
f. 7v θράσους ὁρμὴν, ὡς οὐδὲν ὂν Ῥωμαίοις δυσχερὲς | οὐδ' οἷον ἐλλείπειν τῆς πρώτης εὐδαιμονίας, μέχρις ἂν, ἡ Νικαέων ὑποδέχηται πόλις· ἡ τοιαῦτα ἑλομένη καὶ ἀνύσασα, ἐξ ὧν οὐ μόνον ἐστιν

16,2 θάτερα V[1]SaFoMi: θατέρα V **6** an ⟨καὶ⟩ τὰ μὲν? **12** ἔδεισας VMi: ἔδεισεν SaFo **14** τοι V[1] s.l. **29** ἡ scripsimus: ἢ VSaFoMi

16,4–5 cf. Eurip., Herc. 1357 **9** Thuc. 1, 1 **12–13** cf. Greg. Naz., Or. 7, 13, 1 (p. 210) **17–18** cf. Theod. Lasc., In laud. Nic. 275–277 (p. 79)

ὅπερ ἔφην, πάντα ἀσφαλῶς ἔχεσθαι, ἀλλὰ καὶ ἔτι πρόσεστιν αὕτη δόξα, μόνων εἶναι τῶν πλέον τοῦ μετρίου, καὶ αὐτάρκους ὄντων περὶ ταῦτα μεγαλοψύχως σχολάζειν; τοῦτο τὸ ἔργον ἔθραυσε μὲν τέως, τὰς ἀκρατεῖς τῶν ἐχθρῶν ἐλπίδας, ἐπέσχε δὲ τὸν παντελῆ τῆς ἀρχῆς ὄλεθρον· διέσωσε δὲ ὑστέρας ἀναβιώσεως σπέρματα. καὶ γέγονεν ἡ πόλις ὥσπερ ὀπὸς τῇ πάσῃ τῶν Ῥωμαίων ἡγεμονίᾳ, διαλελυμένῃ· καὶ συνῆξεν αὖθις καὶ συνεστήσατο. τοῦτο τὸ ἔργον ἐμοὶ δοκεῖν, οὐχ ὁποίας βούλει τῶν ἐπὶ τῇ γείτονι θαλάσσῃ φρονουσῶν πόλεων ἀνῦσαι, ὥσπερ δῆτα παρέσχεν ἐπικαίρως εὐεργετῆσαι τὴν σωτηρίαν, ἡ ἀνήμερος τὴν ἀσφάλειαν αὕτη πόλις, καὶ μὴ τρυφῶσα τὰ ἐκ θαλάττης. ἀλλ᾽ ἐπειδὴ χρόνοις ὕστερον Ῥωμαίοις ἐπανῆλθε τὰ πράγματα, καὶ ἡ κατεσκαμμένη τέως σκηνὴ τοῦ Δαυὶδ αὖθις συνεπήγνυτο καὶ συνίστατο, καὶ ὁ νόθος καὶ ὑβριστὴς ἡττήθη καὶ ὑπεχώρησε, καὶ ἡ κιβωτὸς ἐπανῆλθε τῷ Ἰσραήλ· καὶ ὁ χρόνος φέρων ἀπέδωκε τὸ χρέος οἷς ὤφειλε τὸν κάλλιστον κόσμον τῆς ὅλης ἀρχῆς τὴν βασιλίδα τῶν πόλεων, τηνικαῦτα δὴ καὶ ἡ πόλις ὥσπερ μήτηρ ἐν καιρῷ χρείας περιποιησαμένη καὶ συντηρήσασα, ἀπεδίδου μὲν τῇ φιλτάτῃ τὴν καλὴν παρακαταθήκην· τὸν κόσμον τῆς ἐκκλησίας· καὶ προσετίθει φιλοτίμως, ἐκ τῶν οἰκείων· ἐξέπεμπε δὲ τοὺς λόγους αὐτούς, ἐξέπεμπε δὲ τὰς καλὰς ἀποικίας, ἀφορμὴν βιοτῆς δευτέρας· παρέσχε δὲ τεχνῶν χρείαν ἄφθονον· τὰς μέν, συνεκπέμψασα· τὰς δέ, παρ᾽ αὐτῇ κατασχοῦσα, ὧν ἐνταῦθα μόνον, ἡ τῆς ἀσκήσεως τελειότης· ὑπόμνησιν ἔρωτος ἴσως· καὶ ἅμα χάριν τῆς τῶν ὅλων εὐποιίας εἰδέναι. οὐ μὴν ἀλλὰ καὶ τούτων συνεκπέμπει τὴν χρείαν· καὶ διὰ τῆς ἐνταῦθα μόνον καλλίστης ἱστουργικῆς, κοσμεῖ τὰ βασίλεια. καὶ σιωπῆσαι γε τὰ πλείω δεῖν ᾠήθην· | καὶ τῇ τῆς f. 8 πόλεως χρήσασθαι μεγαλοψυχίᾳ. πάντων δὲ οὕτω μεταδοῦσα· πάντων ὅμως εὐπορεῖ, καὶ οὐδὲ μιᾶς ἐνδεῖ, τῶν πρώτων ἐν πόλεσιν· ἀλλὰ τὰς μὲν τῷ τῆς θέσεως ἐπικαίρῳ παρέρχεται· τὰς δέ, τῇ φύσει τῆς γῆς καὶ τῇ παντοίᾳ τῶν ἐντεῦθεν φορᾷ· τὰς δέ,

31 ⟨ἡ⟩ δόξα coni. Re **47** τῇ φιλτάτῃ VSaFoMi: τὴν φιλτάτην V a. corr. **48** προσετίθει VMi: προσετίμησε SaFo **49** ἐξέπεμπε VSaFoMi: ἐξεπέμπετο V a. corr.

35 cf. Hom., Il. 5, 902 **41–42** II Reg. 6, 17; Amos 9, 11 **43–44** cf. II Reg. 6, 4–5 **45–51** cf. Plut., Mor. 345F **46–48** cf. Theod. Lasc., In laud. Nic. 367–370 (p. 83)

τῷ μήκει τοῦ περιβόλου· τὰς δὲ, τῷ θάρρει (καὶ ἅμα πρόσεστιν ἡ χάρις), τὰς δὲ, τοῖς ἐντὸς κάλλεσι· τὰς δὲ, τῷ κοινωφελεῖ τῶν ἐν αὐτῇ παλαιῶν τε καὶ νέων φιλανθρώπων ἔργων· πάσας δὲ πᾶσι· καὶ ἰδίᾳ ἑκάστῳ τινι καὶ πᾶσιν ὁμοῦ.

17. Τὸ δὲ δὴ σὸν τοῦτο κράτιστε βασιλεῦ, πῶς ἄν τις καὶ παρέλθοι σιγῇ· μάλιστα μὲν, ὅτι σὲ καὶ δεσπότην καὶ κηδεμόνα πλουτεῖ, καὶ τῆς ἐκ Θεοῦ τοσαύτης εὐκληρίας, ἀπολαύει μετὰ τῶν ἄλλων, καὶ συνίσταται καὶ προάγεται· καὶ ἔτι ταῖς ἐλπίσιν, ἀεὶ τὰ κρείττω θαρρεῖ; ἔπειτα, οὐδὲ τοῦτο βραχὺ (πῶς γὰρ οὔ;), μέγα μὲν οὖν καὶ πάντων μέγιστον τοῦ κάλλους μαρτύριον, ἡ σὴ περὶ τὴν πόλιν σπουδή· ὁ φιλότιμος πόθος· ὁ ἐκ τῶν λόγων κόσμος ἐπὶ τοῖς ἔργοις. καὶ ὅτι μὲν τὰ παρόντα τρυφᾷς, καὶ πλείω βούλεσθαι κατάδηλος εἶ· ὅτι δὲ δύνῃ, πάντα προστίθῃς ἑξῆς. τεκμήριον δὲ, ἐπιδημεῖς τῇ πόλει· καὶ θερμαίνει μὲν τὸν πόθον, ἡ τῶν καλῶν ἔντευξις· προσφέρειν δὲ νομίζεις καὶ χαρίζεσθαι δῶρα, ὁπόσα τοῖς ἐκ γειτόνων ὀχληροῖς πρόσεστι· καὶ μετάγεις ἐκεῖθεν, λείαν φησὶν ὁ λόγος Μυσῶν· ἀνθρώπων μὲν οὐκ εὐαρίθμητον θεραπείαν· μυρίαν δὲ ἵππον· μυρίαν δὲ βοῦν· βοσκήματα δὲ ἄλλα πάντα τόσα καὶ τόσα· καὶ προσάγεις τῇ πόλει τῶν μεγάλων ἐλπίδων ἐχέγγυα. οὕτω νικᾷς μὲν, ἀεὶ τοὺς ἐχθροὺς· νικᾷς δὲ τοὺς πρὸ σοῦ πάντας, ἐπὶ τῶν πραγμάτων στάντας· νικᾷς δὲ τὸ μεῖζον σαυτὸν ταῖς καθεκάστην ἐπιδόσεσι κρείττων φαινόμενος· μόνων δὲ τῶν καλῶν γίνῃ· κἀνταῦθα ἁλίσκῃ ὁ πάντα ἀνάλωτος· καὶ οὐδὲν οὕτως ἔχει σε τῶν πάντων, ὡς ὁ τῶν ἀγαθῶν ἔρως, ἡ περὶ τὰ κρείττω f. 8v σπουδή. ἐπεὶ δὲ μετὰ τῶν ἄλλων καὶ λόγους | νικᾷς, καὶ πάντες ἐπίσης καὶ μικροὶ καὶ μείζους τῶν σῶν ἀπολιμπάνονται πράξεων, τί χρὴ πλείω διατρίβειν ἐν τούτοις; μόνον εἴης ἐνταῦθα μνημονευθεὶς, ὕστερος ἐπὶ πᾶσι κόσμος τῇ πόλει τε καὶ τῷ λόγῳ.

63 πάσας VMi: πᾶσα SaFoMi **17,24** τε om. SaFo

17,13 CPG II, 38, 14 **23** cf. Isocr., Panath. 105

2

Εἰς τὴν ἁγίαν μεγαλομάρτυρα Μαρίναν f. 8v

1. Ἐμοὶ δὲ καὶ οὐρανὸς εἶναι δοκεῖ τὸ τῆς ἐκκλησίας στερέωμα· ἰδεῖν τε κάλλιστος· καὶ πολλῷ τοῦ φαινομένου τούτου φαιδρότερος. ἄστρασιν οὗτος ἥδιστον πάντοθεν καὶ χαροπὸν ἀποστίλβουσιν, ἐπανθίζεταί τε καὶ ὡραΐζεται· ὧν ἡγεμὼν ἁπάντων, ὁ τῆς ἡμέρας ἐστὶν ἡγεμὼν· ὁ φωσφόρος ὁ λαμπρὸς ὁρᾶν· καὶ μεγέθει καὶ δυνάμει καὶ φύσεως ὥρᾳ φέρων ἐν πᾶσι τὸ κράτος· τὸ κρεῖττον ἢ καὶ θαυμάζειν ἀξίως καὶ φθέγγεσθαι καὶ καθιστορεῖν θέαμα· τὸ αὐτὸ συνηθέστατόν τε ἅμα καὶ ποθεινότατον· καὶ οὗ κόρος, οὐχ ὁπωσοῦν ἅπτεται καὶ φύσιν ἔχει περιφρονεῖν· καθάπερ ἐν ἄλλοις τῆς συνεχοῦς ἀπολαύσεως. ἀλλὰ καὶ τὸ νοητὸν ἄρα τόδε τῆς ἐκκλησίας οὐράνιον σῶμα, ἀστέρες ὡραῖοι τούτῳ πάντῃ πεπήγασιν· ἀστέρες περιφανεῖς καὶ περίλαμπροι· καὶ προσβλέπειν κάλλιστοι· καὶ θαυμάζειν μάλιστα καὶ ἥδεσθαι· ἀστέρες ὧν ὁ τῆς δικαιοσύνης ἥλιος, προεκλάμπει Χριστὸς· ὃς αὐτὸς τὲ φῶς ἐστι κόσμου καὶ φωτὸς παντὸς δημιουργός τε καὶ ἀρχηγὸς· ὅσον τε νοητὸν ὑπὲρ αἴσθησιν· καὶ ὅσον περιαυγάζει τὴν αἴσθησιν· ὁρᾶν τε χώραν ἐφαπλοῦν καὶ προσάγον καὶ ξυγχωροῦν· καὶ τοῖς ὀφθαλμοῖς ὑπανοῖγον τὸ τοῦ κόσμου παντὸς θέατρον· καὶ πρώτως αὐτὸ μάλισθ᾽ ὁρώμενον. περὶ οὗ καὶ σιγητέον εἶναί μοι δοκεῖ· καὶ μάλα δικαίως· ὅτι μὴ δὲ ῥᾴδιον ὡς ἀληθῶς μὴ δ᾽ ἀζήμιον ἡλίῳ προσβάλλειν τὰς ὄψεις ἀναίδην τολμᾶν.

2. | Ἀλλ᾽ ὅπερ τῷ λόγῳ σκοπὸς, ἀστέρες οὗτοι (καὶ ὢ τῆς f. 9
ἐκεῖθεν πυρσευούσης μεγαλοφυοῦς αἴγλης· καὶ χάριτος τοῖς πρὸς αὐτοὺς ἀτενίζουσιν), ἀστέρες οὗτοι περὶ τὸ μέγα τῆς ἐκκλησίας τοῦτο στερέωμα ἡ τῶν ἁγίων πάντων πληθὺς· τῷ τε σώματι τῆς ἐκκλησίας ἕκαστός τε αὐτόθεν καὶ ἅμα τῇ παραθέσει καὶ τάξει, καὶ τῷ πρὸς ἀλλήλους ἡρμοσμένως σύμπαντες ἑαυτοῖς τε καὶ πᾶσι πάντες κόσμος ὁρώμενοι· καὶ πρός γε μὴν ἔτι κατὰ μετάδοσιν

tit. λόγος β´ V^2 in marg. **2,6** ἡρμοσμένως V: an ἡρμοσμένῳ?

1,1–2 cf. Greg. Cypr., Laud. sanct. Marin. (p. 189, 1–2) **13–14** Mal. 3, 20; cf. etiam, e.g., Anon., Laud. sanct. Anast. Persae 1, 13–15 (p. 267) **14** Io. 8, 12; 9, 5

αὐτοί τε φωτιζόμενοι τῷ πρώτῳ φωτί· καὶ τοὺς ἐν τῷ σκότει τοῦδε τοῦ βίου φωτίζοντες. τίνες οὗτοι; τοὺς παλαιοὺς ἐκείνους φημὶ· τοὺς πρὸ τοῦ νόμου· τοὺς πατριάρχας· τοὺς ἄλλως εὐηρεστηκότας Θεῷ· τοὺς μετὰ τὸν νόμον προφήτας· ἑξῆς δὲ τὰ τελευταῖα ταῦτα καὶ κρείττω, τοὺς μετὰ τὸ μέγα τῆς οἰκονομίας μυστήριον· τοὺς μαθητὰς τοῦ σωτῆρος· οἳ πρὸς πᾶσαν ἐξεπέμφθησαν τὴν γῆν ἐφῷ τὸν λόγον τῆς ἀληθείας πρῶτοι σπείρειν· τοὺς διαδεξαμένους τὸν λόγον καὶ τὴν τοῦ σπόρου συντήρησιν· καὶ προαγαγόντας λαῶν προστασίαις· καὶ ψυχὰς πολλῶν γεωργήσαντας· τοὺς ὑπὲρ Χριστοῦ γενναίως ἐν τοῖς διωγμοῖς στάντας· καὶ μετὰ πολλοὺς αἰκισμοὺς πεσόντας τοῖς σώμασι καὶ τῇ φύσει δουλεύσαντας· εἰ καὶ τὰς ψυχὰς ἀήττητοι διετέλεσαν· τοὺς κατὰ παθῶν ἀνδρισθέντας· καὶ τοῦ κόσμου καὶ τῶν ὁρωμένων πάντων ὑπεραναβάντας· καὶ πρὸς οὐρανοὺς μεταθεμένους τὴν πολιτείαν διὰ τῆς τῶν παρόντων ἀγωγῆς ἀπολύτου καὶ περιφρονήσεως· πάντας ἁπλῶς τοὺς πρὸ τοῦ Χριστοῦ· τοὺς μετὰ Χριστὸν ταῖς καλαῖς ἐργασίαις τῆς ἄνω τυχεῖν ἠξιωμένους μακαριότητος.

3. Ἐν τούτοις καὶ γυναῖκες εἰσὶν ἐναρίθμιοι (οὐδὲ γὰρ ἡ φύσις ἀδίκως τὸ θῆλυ τῶν καλῶν ἐξωστράκισε πράξεων), γυναῖκες ἀνδρικὴν ἀκμὴν καὶ στερρότητα μιμησάμεναι· μᾶλλον δ᾽ οὐκ
f. 9^{v} ὀλίγαι καὶ ταύτην ὑπερελάσασαι. ἐν | αἷς Μαρίνα τὰ πρῶτα φέρει· Μαρίνα, τὸ Χριστοῦ θρέμμα· Μαρίνα τὸ τῆς ἐκκλησίας ἄνθος ἀμάραντον· Μαρίνα τὸ τῆς γυναικείας καύχημα φύσεως. ἧς οὐκ ἤμβλυνε τὸ φρόνημα, οὐκ ἀσθένεια φύσεως· οὐ τυράννων ἀπήνεια· οὐ δαιμόνων σοφίσματα, ὅσα ποικίλως ἐπήγαγον κρύφα τὲ καὶ ἀναίδην αὐτῇ· ἀλλὰ τὸ μὲν τῆς φύσεως ταπεινὸν, κράτει λογισμῶν ἀρρενώσασα· κατὰ δὲ τῆς τῶν τυράννων ἀπηνείας προσέτι καὶ ἀπονοίας, εὖ μάλα γεννικῶς ἀντιταξαμένη· ἔτι δὲ σοφισθεῖσα τῇ ὄντως αὐτοσοφίᾳ· τῷ δεσπότῃ καὶ σωτῆρι Χριστῷ· δι᾽ ὃν ὁ βαρὺς ἐκεῖνος καὶ χαλεπὸς ἀγὼν καὶ τὰ σκάμματα, καὶ πρὸς τὰ τῶν δαιμόνων σοφίσματα, τοῦτο μὲν, ἀντισοφιζομένη·

12 οἰκονομίας V^{2} e corr. **13** ἐξεπέμφθησαν scripsimus: ἐξεπέμφησαν V

2,8 Ps. 106, 10; cf. etiam Greg. Naz., Or. 40, 5, 1–10 **21** cf. Phil. 3, 20
3,1–4 cf. Greg. Cypr., Laud. sanct. Marin. (pp. 190, 7–191, 2) **4** cf. Ibid. (p. 191, 7–8)

τοῦτο δὲ πάντ᾽ ἄλλον τρόπον, κραταιῶς ἀντιπράττουσα, κατὰ πάντων τούτων ἔσχε τὴν νίκην· τῆς τε φύσεως καὶ τῶν ἐχθρῶν ἁπάντων ὑπερισχύσασα. ταύτῃ τῇ σεμνῇ παρθένῳ καὶ μάρτυρι, ἔχω πάλαι φθάσας καὶ προϋποσχόμενος, εὐφημίαν τινὰ λόγων εἰσενεγκεῖν· καὶ ὥσπέρ τινα φορὰν ἐπιδοῦναι, τοῦ πόθου βιασαμένου· καὶ τὴν ὑπόσχεσιν παραπείσαντος. οὐδὲ γὰρ οἶδε μετρεῖν ἀξίαν ἀλλὰ πλέον τῶν σωφρόνων λογισμῶν ἐξάπτειν, ὥστε καὶ τοῖς ὑπὲρ αὐτόν τινα παρεκτείνεσθαι. ὃ δὴ παθὼν ᾐσθόμην κἀγώ· καί με κατέσχε πόθος οὗτος οὐ μέτριος, ἀλλὰ πραγμάτων ὑπὲρ ἐμέ· καί με σφόδρα παρήγαγε τοῦ πάθους μὴ κατισχύσαντα· καὶ τὴν εὐφημίαν εὐθὺς ὑπέστην τῇ μάρτυρι. ἀλλ᾽ ἀπέστην τηνικαῦθ᾽ ὅμως, ἐφῷ μὴ τῶν λόγων ἅμα ταῖς ὑποσχέσεσιν ἅψασθαι· ἀλλ᾽ ἐπέσχον ἐμαυτὸν ἐς δεῦρο· χρόνος οὐκ ὀλίγος ἐξ οὗ· λογισμῷ τό γ᾽ ἐπ᾽ ἐμοὶ δοκοῦν τέως ἄγχων τὸν πόθον· καὶ τῷ νῷ προτιθεὶς εἰς σκέψιν τὰ θαυμαστὰ τῆς μάρτυρος ἔργα· ὡς μὲν ὑπερφυῆ πράττειν· ὡς δὲ θαυμάζειν ἀξίως, ὡς δὲ καὶ λέγειν καὶ καθιστορεῖν καὶ προφέρειν, ἀνέφικτα· κἄν, ἀπέστην παντάπασι τῶν λόγων· κἄν, ὁ λογισμὸς τοῦ | πόθου περιεγένετο τέλεον· καὶ πραγμάτων ἄν, ἣν f. 10
ἐκτός· σιωπὴν ἀκίνδυνον προκρίνων, τῆς ἐν μεγαλοψύχοις ἐπιχειρήσεσι φιλοτιμίας ἐπισφαλοῦς. ἐπεί δ᾽ οὐκ ἦν ὅλως πρὸς ἀνδρὸς δικαίου μετὰ τὸν τολμηρὸν ἐκεῖνον πόθον καὶ τὴν ὑπόσχεσιν εἰς τέλος ἀποφυγεῖν· καὶ κατολιγωρῆσαι καὶ ψεύσασθαι, ἢ τάχα γε καὶ τοῦτο, συνεχῶς ἀεὶ τοὖργον ὑπερτίθεσθαι καὶ χαρίζεσθαι ταῖς ἐλπίσιν· ὡς ἄν, ἔπειθ᾽ ὕστερον ἀνύτειν ἐξὸν, καὶ πρὸς τὴν ὑπόσχεσιν ἀπαντᾶν, καὶ πράγματι θαρρεῖν οὕτως ἀβεβαίῳ τῷ μέλλοντι, ἤδη καὶ τὸν λογισμὸν ὡς ἔοικεν ἐπὶ τούτοις ἄρα προσλαβόμενος σύμμαχον, ἐνταῦθά τε γίγνομαι, καὶ τῶν περὶ τῆς μάρτυρος ἄρχεσθαι λοιπὸν λόγων· καὶ καθ᾽ ὅσον οἷον τέ ἐστιν ἐμαυτοῦ πειρᾶσθαι, ἀξιῶ. χρῆναι γὰρ ἢ μηδόλως ὑφίστασθαι τὴν ἀρχὴν ὁτιοῦν, ἢ τάχιστα καθ᾽ ὅσον ἔξεστι τέλος ἐπάγειν, οἷς φθάσει τις ὑποσχόμενος. ὃ δὲ πλέον ἡμῖν ἐνταῦθα, ὅτι μοι καὶ γενναίως ἡ μάρτυς χρήσεται. εὖ γάρ ἐστιν εἰδέναι συγγνώμονα ταύτην γενέσθαι τῷ λόγῳ, καὶ εἰ σφόδρα τῆς ἀξίας ἀπολιμπάνοιτο· τά τε ἄλλα μεγαλοψύχως λογισαμένην, κἀνταῦθα μιμησαμένην Θεόν· ὃς τὸ δυνατὸν ἐν πᾶσι τιμῶν, προθυμίαν μόνην ἡμῶν λαμβάνει·

3,28 προστιθεὶς V a. corr.

ἰσχὺν δ᾿ εἰς τὰς πράξεις αὐτὸς ἐπιτίθησιν. ὃ δὴ προσδοκᾶν ἔξεστι τάχ᾿ ἂν, καὶ δρᾶσαι ταύτην καὶ χορηγῆσαι δύναμιν ἄνωθεν. ταῦτ᾿ ἄρα καὶ σπουδαστέον ἡμῖν ἐστιν, εἰς τὴν ὑπόσχεσιν ἐκείνην ἤδη καὶ τὸν ἁρπάσαντα πόθον· οὐκ ἀλογίστως παντάπασιν ὡς δηλοῦμεν· καὶ τοῖς λόγοις ἐγχειρητέον· ἀρκτέον τὲ ὅθεν προσήκειν δοκεῖ, αὐτῇ τῇ τῆς μάρτυρος προστασίᾳ τεθαρρηκόσι· καὶ πρὸ ταύτης, τῷ ταύτης καὶ πάντων Θεῷ· τῷ καλοῦ παντὸς, ὁδηγῷ τε καὶ ἀρχηγῷ.

4. Πατέρες τοίνυν ἐκείνῃ τὸ γένος τὲ καὶ τὴν περὶ τὸ θεῖον ἀσέβειαν, Ἕλληνες· οὔτ᾿ οἴκοθεν τῇ τοῦ καλοῦ ζητήσει, οὔτ᾿ ἐκ f. 10[v] προγόνων τὸν τῆς ἀληθείας λόγον διαδεξάμενοι. | καὶ μή μοι τίς αἰσχυνέσθω τῷ λόγῳ. οὐδὲ γὰρ αἰσχύνην τοῦτο φέρει τῇ μάρτυρι, ὅτι μὴ μᾶλλον θαυμασιωτέραν αὐτὴν ἀποδείκνυσιν· οἷς τὸ μὲν ἐξ ἀγαθῶν προελθοῦσαν τῶν ὁμοίων ἀντιποιήσασθαι· ἢ τάχα καὶ πρὸς ἔτι τελειότερον ἀφικέσθαι, μεγαλοψυχίᾳ καὶ φρονήματι, κἂν, ἀναλογίᾳ τίς δοίη· κἂν, τῆς ἀρχῆς εἶναι τοῦτο λογίσοιτο· κἂν, ἀκολουθίαν εἶναι τίς ἡγήσαιτο φύσεως· τοῖς ὁμοίοις κατὰ λόγον ἀεὶ κινουμένης καὶ προαγομένης ὡσταπολλὰ, τῷ συνεχεῖ τῆς ταυτότητος· καὶ οὐδὲν ἂν εἴη καινὸν, εἴ τις πατέρων λαχὼν τῇ τοῦ καλοῦ γνώσει συνδιαγαγόντων τὸν βίον, ταὐτὰ φρονεῖν ἠρετίσατο· καὶ τέκνον ἐν πᾶσιν ὤφθη τῶν γεννησάντων· καὶ κληρονόμος οὐχήκιστα καὶ τῶν τρόπων, ὥσπερ δὴ καὶ τῆς φύσεως· εἰ δέ τις τὸ ἦθος τὲ καὶ τὴν γνώμην· καὶ τὴν περὶ τὸ θεῖον ὑπόληψιν ἐκ διαμέτρου τοῖς πατράσιν ἀντέστησε, τὸν δεσμὸν διαρρήξας τῆς φυσικῆς ἀκολουθίας καὶ ὁμοιότητος· καὶ τοὐναντίον ἅπαν ἑλόμενος, τοῦτ᾿ ἂν, εἴη τὸ τοὺς πολλοὺς δικαίως ἀναγκάζον θαυμάζειν ἐφ᾿ ἑαυτῷ, ὥσπερ ῥεῦμα μὴ συνεχῶς ἑαυτῷ κατὰ τὴν δοθεῖσαν ἀρχὴν τῆς φορᾶς, κατατρέχον καὶ περαῖνον τὴν πρόοδον· ἀλλ᾿ ἀθρόον ὑβρίσαν ἐφ᾿ ἑαυτὸ· καὶ ἀντιστρέψαν τὴν κίνησιν· καὶ μάλιστ᾿ ἂν τῶν ὑποκειμένων τόπων, πόρρω που τὸν ὅμοιον ἥκοι τρόπον· καὶ

50 ἐπιτίθησιν V[1]: ἐπιτίθησι V | προσδοκᾶν scripsimus: προδοκᾶν V **4,7** πρὸς ἔτι V[2]: προσέτι V **8** λογίσοιτο V: an λογίσαιτο? **10** προσαγομένης V a. corr. **17** τότ᾿ ἂν V a. corr. **18** θαυμάζειν V[1] in marg. **21** ἐφ᾿ ἑαυτὸ V[2]: ἐφ᾿ ἑαυτῷ V

4,1–3 cf. Greg. Cypr., Laud. sanct. Marin. (p. 192, 13–22) **16** Ps. 2, 3

τῆς ἀρχῆς, ἐξ ὑψηλοτέρων προάγοιτο. ἂν μὲν οὖν ἀρετήν τις ἀντιθείη κακίᾳ· καὶ τὸ καλὸν προκρίνοι τῆς φύσεως, εὖ γε ἂν εἴη κομιδῆ καὶ θαυμαστὴ μὲν ἡ κρίσις· πολλήν δ᾽ ἐμφαίνει καὶ τὴν σοφίαν καὶ τὴν μεγαλουργίαν τῷ προαιρουμένῳ καὶ κρίνοντι· καὶ μάλιστ᾽ εἰ δή τις στοχάζοιτο, τῆς πρὸς τὸ κακὸν ἡμετέρας ῥᾴονος μάλιστα καὶ φύσει προχείρου ῥοπῆς· καὶ ὅπως τῶν φαύλων μᾶλλον, ἢ τῶν ἐναντίων ἀντιλαμβανόμεθα· ἅτε καὶ ἡδυτέρων ὡς εὐθὺς ἐντυχεῖν. ὃς δὲ τὴν τοῦ καλοῦ διαδοχὴν ἀτιμάσειε· καὶ πρὸς τοὐναντίον ἐμπαθείας ἡττημένος | ἢ οὐκ οἶδ᾽ ἧστινος ἀμαθίας f. 11
ἐκτραπείη, οὗτος ἔμοιγε πάντως ἐξ ἀντιθέτου τῇ κακίᾳ θαυμάζειν ἔτι μᾶλλον ἄξιος· καὶ τοσούτῳ μᾶλλον ὅσονπερ καὶ μᾶλλον ἀτιμάσας ἔχει τὴν τοῦ καλοῦ φύσιν· τῷ μήτ᾽ οἴκοθεν ἑαυτὸν δοῦναι τοῖς καλλίστοις, τῷ φωτὶ τῆς ἀληθείας ὁδηγηθείς, μήτ᾽ ἄλλως ἀκολουθῆσαι φύσεως συνεχείᾳ καὶ τοῖς αὐτῷ προσήκουσιν. ἔχω μὲν οὖν ἐγὼ περὶ τούτων οὕτω φρονῶν· καὶ τούτοις ἐμαυτὸν πείθω τοῖς λογισμοῖς, μειζόνων ἐπαίνων ἀξίαν εἶναι τὴν μάρτυρα· ὅτι μὴ γεγονυῖα προγόνων εὐσεβῶν, αὐτὴ τῆς ἀληθείας ἐρρωμένως ἀντεποιήσατο· καὶ γενναίως προύστη τοῦ τῆς εὐσεβείας κηρύγματος. εἰ δέ τις ἐνταῦθα καὶ ῥόδον ἐξ ἀκανθῶν προφέρει· ὡς μὲν ὀφθαλμοῖς ἰδεῖν τερπνὸν· ὡς δὲ προσαγαγεῖν ὀσφρήσεσιν εὐωδέστατον· εἰ δέ τις πρὸς τούτῳ καὶ μαργάρους καὶ πορφύρας· καὶ τἆλλα πάντα ὅσοις ἐκ φαύλων προελθοῦσι κάλλος ἡ φύσις ἐχαρίσατο, οὐδ᾽ οὗτος ἄν, εἴη πόρρω βάλλων σκοποῦ.

5. Προῆλθε μὲν οὖν, ἐξ ὧν ἔφην ἡ κόρη· ἐτράφη δὲ σεμνῶς ἐξέτι παιδὸς εὐθύς. παιδεύεται γὰρ τὸ τῆς ἀληθείας μυστήριον ὑπὸ τῇ τροφῷ· καὶ καλῶς ὄντως τρέφεται τοῖς θείοις διδάγμασιν· ὧν ἀρχηγὸς τὲ καὶ χορηγὸς ὁ ἄρτος ὁ ἐξ οὐρανοῦ κατελθὼν, καὶ παντὶ τῷ κόσμῳ σιτοδότης ἑαυτοῦ καὶ τροφῆς παροχεὺς· ὁ αὐτὸς ταῖς καθαραῖς ψυχαῖς καὶ πάσης ὑλικῆς ἐκτὸς ἐμπαθείας, καὶ καχεξίας ὁμοῦ τροφή τε ὢν καὶ τροφεύς. ἀλλὰ καὶ πᾶσαν τὴν περὶ τὸ ἦθος εὐκοσμίαν ὅσην ὁ τοῦ Χριστοῦ διατάττεται νόμος μυηθεῖσα, τοῖς

41 προσφέρει V a. corr. **43** τούτῳ V²: τοῦτο V

41 proverbium; cf. Greg. Naz., Carm. mor., PG 37, 696A **5,2–3** Act. sanct. Marin. (p. 16, 26); cf. Greg. Cypr., Laud. sanct. Marin. (p. 192, 32–33) **4** Io. 6, 32–33

ἔργοις ἤσκησε κάλλιστα καὶ τελεώτατα· καὶ δείξει προϊὼν ὁ λόγος· νυνὶ δὲ ὅτι καὶ κάλλος· καὶ τὴν σωματικὴν εὐφυΐαν· καὶ τὴν τῶν μελῶν ἀρίστην σύνθεσιν· καὶ πάνθ᾽ ἁπλῶς ὅσοις τὸ ἐκτὸς ἀνθρώπινον ἁρμόζεται, ἡ δὲ, καὶ τούτοις περιττῶς κεκόσμητο· καὶ πολὺ δὴ τὸ ἐπανθοῦν τῆς ὥρας αὐτῇ· ὥσπερ φιλοτιμηθείσης τῆς f. 11v φύσεως, τοῖς ἐντὸς ἀγαθοῖς προσμαρ|τυρῆσαι· καὶ προσθήκην χαρίσασθαι· διὰ τῆς ἔξωθεν προαπαντώσης ὀφθαλμοῖς καὶ προεντυγχανούσης συμμετρίας καὶ καλλονῆς· καὶ πανταχόθεν αὐτῇ τὰ κάλλιστα συντελέσαι· ἑκάτερόν τε δι᾽ ἑκατέρου περιφανέστερον ἀπεργάσασθαι· καὶ δι᾽ ἀμφοτέρων τὴν ἀμφοτέρων ἐπιτυχῇ· ἐπειδήπερ ἔστιν ἐν οἷς, ὡς ἐν ἐσόπτρῳ τὸ ἐντὸς τῶν ἔξωθεν διεμφαίνεται· καὶ τοῖς κατ᾽ αὐτὴν ὁρατοῖς εὐγενῶς ἔχουσι καὶ ἡρμοσμένοις ἐμπλεκομένη τὴν ἀρχὴν ἡ κατ᾽ αἴσθησιν ὅρασις αὕτη, ἥδεταί τε (πῶς ἂν, εἴποιμι;), εὐπρεπῶς, καὶ παραχρῆμα τὴν συγγενῆ μετὰ ῥᾳστώνης ὑποκινεῖ καὶ ἀνίστησι τὴν ἐντὸς αὐτὴν ὅρασιν ἀντιλαβέσθαι τῶν κατ᾽ αὐτήν. Ἑλλήνων μὲν οὖν φιλοσοφία προσδεῖται καὶ τούτων ἔξωθεν πρὸς τελείωσιν εὐδαιμονίας, ἣν Ἀριστοτέλης τέλος ἄριστον βιοτῆς, ἀνθρώποις διὰ πάντων ὁρίζεται· ἐπειδήπερ καὶ τοῖς ἀνθρώποις ὡς ἀνθρώποις εἶναι τί τέλος φιλοσοφία βούλεται. τῇ παρθένῳ δὲ ταύτῃ, τούτων ὀλίγον ἐμέλησε· παρουδὲν τιθεμένῃ τὴν ἐκτὸς ταύτην καὶ ῥέουσαν τῆς φύσεως ἐπιμέλειαν· καὶ πᾶσαν περὶ τὸ τῆς ψυχῆς ἔσω κάλλος (ὢ τῆς μεγαλοψυχίας), τὴν σπουδὴν προθεμένῃ. ἦν γὰρ ὅλη τοῦ νοητοῦ κάλλους ἐκείνη καθάπαξ ἐξηρτημένη· κἀκεῖσε μόνον παντάπασι τὸν νοῦν ἀνατείνουσα· καὶ ὅλως πρὸς Χριστὸν ὁρῶσα· οὗ τὸ θεῖον καὶ τοῖς πολλοῖς ἀόρατον πρόσωπον, ὡραῖον κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων· καὶ ἡ λευκότης αὐτοῦ φάναι τὸ τῆς γραφῆς, ὑπὲρ ἥλιον. ταύτην ἐκείνη τὴν εὐκοσμίαν ἐπόθει· ταύτης ἀντεποιεῖτο· ταύτην καὶ ὄντως εὐκοσμίαν ἐνόμιζεν ἧς ἐντὸς καὶ μόνῃ νοήσει θεατὸν τὸ κάλλος. ταῦτ᾽ ἄρα καὶ πάντα τρόπον ταύτης ἐπεμελεῖτο, τῆς ἀτρέπτου μόνης καὶ ἀληθοῦς ὥρας· καὶ ἦν ἡ πᾶσα δόξα τῆς τοῦ βασιλέως θυγατρὸς ἔσωθεν· σώματος δὲ καὶ

5,10 νυνὶ V^{2}: υνὶ V (obl. rubr.) **19** ἐστιν V | τῶν V: an τῷ? **25** προσδεῖται V^{2}: ροσδεῖται V (obl. rubr.) | an τούτων ⟨τῶν⟩?

26 Arist., Ethic. Nicom. 1097b20–21 **34–35** Ps. 44, 3 **35–36** cf. Mt. 17, 2? **40** Ps. 44, 14

τῆς περὶ τοῦτο καλλονῆς ἠφείδει· καθόσον οἷόν τέ ἐστι τούτων ὑπερορῶσα καὶ κατεξανισταμένη ὡς προσισταμένων τοῖς | κρείτ- f. 12 τοσιν· εἰς ἃ κακοῦργος ὄψις καὶ δολία λιχνεύεται· καὶ θέλγεταί τε καὶ θέλγει· καὶ συναρπάζεταί τε καὶ συναρπάζει τοὺς ὑπ᾽ ἀμαθίας μὴ προασφαλισθέντας συντόνῳ τῇ φυλακῇ. ἃ δὴ πάντα καλῶς ἐκείνη λογιζομένη, ἐς τοσοῦτον ἄριστα παρεσκευάσθη καὶ πάντοθεν εὐφυλάκτως σωφροσύνης ἀντεποιήσατο, ὥστε καὶ γάμον καθάπαξ φυγεῖν, ὡς τῆς κοσμικῆς ταύτης ὕλης δεσμὸν· καὶ ταπεινοῦντα τὸ τῆς ψυχῆς ἡγεμονικὸν· εὖ εἰδυῖα τοῦτον εἶναι τῆς ἀρχαίας ἁμαρτίας, ἐπὶ τῇ πρώτῃ παρακοῇ· καὶ τῆς δι᾽ αὐτὴν ἡμῶν ἐξορίας τοῦ παραδείσου, τῆς ἡμετέρας πατρίδος, καὶ κατακρίσεως γέννημα· ἡνίκα φθορᾷ λοιπὸν ἡ καθ᾽ ἡμᾶς δουλεύσασα φύσις, τὴν ἐκ τοῦ γάμου τῇ διαδοχῇ τοῦ γένους ἀθανασίαν ἡμῖν ἐσοφίσατο. ἀλλ᾽ ἡ μάρτυς ἔγνώ τοι καὶ τῆς φύσεως ὄντως, σοφώτερόν τε καὶ μεγαλοπρεπέστερον· καὶ γάμον σαρκικὸν ἐν δευτέρῳ θεμένη, ὅλον τὸν νοῦν· ὅλον τὸν ἔρωτα, πρὸς Χριστὸν τὸν καλὸν νυμφίον ἀνύψωσε, παρθενίαν προκρίνασα. ὢ παρθενίας ὑπὲρ τὰ παρόντα φρονούσης. ὢ γάμου σεμνοῦ, ὃν παρθενία, καθαραῖς ψυχαῖς προμνηστεύεται. παρθενία, τῶν ἀγγέλων ἐστὶ βιοτὴ· παρθενία, τῆς φθορᾶς ἀναιρέτις· παρθενία βροτοὺς ἀγγέλους ποιεῖ· παρθενία συνάπτει Θεῷ, καὶ τελευταῖον θεοποιεῖ. ἀλλὰ καὶ Θεῷ δεῆσαν ἐν ἀνθρώποις γενέσθαι· καὶ ἄνθρωπον γενέσθαι, ἵνα θεώσῃ τὸν ἄνθρωπον, κἀνταῦθα δὴ παρθένος προκρίνεται, τῇ χρείᾳ τῆς θείας οἰκονομίας καθυπουργῆσαι· δι᾽ ἧς τῷ κόσμῳ τὸ φῶς ἐκλάμπει τοῦ κόσμου· καὶ τῆς δικαιοσύνης ὁ ἥλιος, μυρίᾳ φωτὸς αἴγλῃ καταυγάζει τὰ σύμπαντα.

6. Ταύτῃ τοι καὶ Μαρίνα παρθενίαν ὡς ταῦτα προξενοῦσαν, ἐν αἱρέσει βίου γενομένη, προτίθεται· καὶ ὥστε καθαρὰ τὸν βίον ἐπιεικῶς ἀνῦσαι, καὶ σώματι· καὶ γλώττῃ· καὶ γνώμῃ· καὶ ταῖς τοῦ λογισμοῦ κινήσεσιν ὅλως καὶ διαθέσεσιν. ἐνταῦθα δὲ καὶ τὸ περιὸν τῇ παρθένῳ τῆς | φρονήσεως ὁρᾶν ἔξεστιν· ὅπως ἄρα f. 12^v καλῶς ἀμφοτέροις διαιτήσασα φαίνεται· γάμῳ καὶ παρθενίᾳ φημὶ·

44 τε V^2 s.l. **49** εἰδυῖα V^2: εἰδεῖα V **54** τοι V: an τι? **6,2** προστίθεται V a. corr.

51 Gen. 3, 23 **64–65** Io. 9, 5 et Mal. 3, 20

καὶ τὸ κρεῖττον τοῦ χείρονος προτιμήσασα. ὃ δέ γε καὶ τούτου μεῖζον εἰς ἀπόδειξιν φρονήσεως καὶ σοφίας αὐτῇ, ἡ τοῦ ἀληθοῦς ἀμέλει δόγματος, τῆς χριστιανικῆς ἡμῶν εὐσεβείας ἐπίγνωσις· ὡς ἐζήτησε μόνη τὴν ὀρθὴν περὶ τὸ θεῖον ὑπόληψιν· οὐ παρὰ τῶν πατέρων λαβοῦσα τὸν σπόρον· ὡς ἔγνω ζητήσασα· ὡς προσεδέξατο γνοῦσα· ὡς ἀντέστη γενναίως ὑπὲρ τὴν φύσιν αὐτὴν· ὡς οὐ προήκατο τοῖς διωγμοῖς τὴν εὐσέβειαν. ταῦτα γὰρ οὐ πάσης ἐμοὶ δοκεῖν εἶναι γνώμης· ἀλλά τινος ὑψηλῆς ὄντως· καὶ ὑπὲρ τὸ ταπεινὸν τῆς τοῦ θήλεος φύσεως. τί δὲ οἱ πρὸς τὸν διώκτην αὐτῆς λόγοι· μετ᾽ εὐκοσμίας καὶ ἅμα μὲν παρρησίας ἅμα δὲ καὶ τοῦ ἤθους σεμνοῦ· συνεχῶς ἐν τῷ καιρῷ τῶν ἀγώνων πειρώμενον; τί δὲ τὸ περὶ τὰς ἀποκρίσεις ἕτοιμόν τε καὶ μάλ᾽ ἔγκαιρον· νῦν μὲν πρὸς τὸν τύραννον· νῦν δὲ πρὸς τοὺς τῆς κακίας αὐτῷ σπουδαστὰς· προτρεπομένους ὅσαι ὧραι σχεδὸν εἰς τὴν ἀσέβειαν; δικαιοσύνης δὲ τὸ μὲν περὶ τοὺς πολλοὺς πρακτικὸν, οὐκ ἔσχεν ὕλην τῇ μάρτυρι (οὐδὲ γὰρ προύστη πολλῶν· οὗ δεῖ τῇ τῆς δικαιοσύνης ἕξει ὡς ἂν, ἀμέλει χώραν ἔχοι πρὸς τὴν ἐνέργειαν· ἀλλὰ μὴ μόνον ὁρῷτο διάθεσις ἄπρακτος, ἀγαθὸν τοῖς πολλοῖς οὐκ ὀνήσιμον), ἐν δὲ τῇ καθ᾽ ἡμᾶς αὐτοὺς πολιτείᾳ ᾗ δηλαδὴ πάντες ζῶμεν ἐν αὐτοῖς· ἐφ᾽ ᾗ δικαιοσύνη τοῖς καλῶς ὁρῶσι γνωρίζεται μὴ παντάπασι τοῖς καλλίστοις τῶν ἀνθρώπων ἐνδεὴς οὖσα πράξεως, ἐνταῦθα γε μὴν καλῶς ἡ παρθένος καὶ δικαίως κρίνει καὶ χρῆται, λόγον μὲν τῶν ἄλλων προστησαμένη κύριον καὶ κυβερνήτην, τῶν τῆς ψυχῆς καὶ τοῦ συγκράτου σώματος κινημάτων· καὶ τεχνίτην· τἆλλα δὲ καλῶς ὑποτάξασα νόμοις ἀρίστοις εὐπειθείας· καὶ μέτροις ἐγκαίροις· ὥστε παρ᾽ ἐκείνου καλῶς κεκοσμῆσθαι· καὶ πρὸς τὸ εὖ ἡρμόσθαι, τάξεως ὁδηγούσης, ἣ συνέχει πάντα
f. 13 πράγματα· | καὶ ταῦτα ἐν ἀσθενεῖ τῇ φύσει καὶ νέᾳ κομιδῇ τῇ ἡλικίᾳ· ἡνίκα σὺν ὕβρει τοῦ λογισμοῦ τὰ πάθη κατεξανίσταται. ὅλον μὲν γὰρ τὸ περὶ τὴν ἐπιθυμίαν κινητικὸν, τῆς ψυχῆς πρὸς Θεὸν ἀνεπτέρωσεν· ἀπάρασά τε τῶν ὑλικῶν, ἐκεῖσε μεταβιβάζει·

8 εἰς ἀπόδειξιν … αὐτῇ V in marg. (manu Nicephori Gregorae?) **14** δοκεῖν V: an δοκεῖ? **17** ἤθους scripsimus: ἥθους V **18** ἕτοιμον scripsimus: ἔτοιμον V **21** μὲν V^2 s.l.

6,20 cf. Arist., Ethic. Nicom. 1129a7–8 **29** cf. Phil. Iud., Leg. alleg. 3, 81 (p. 123, 30–31) **29–30** cf. Greg. Naz., Or. 4, 106, 15 (p. 258)

τῷ θυμῷ δὲ πρὸς μόνους χρῆται τοὺς νοητοὺς πολεμίους μεταποιησαμένη πρὸς ζῆλον· καὶ πάντα καλῶς διῳκήσατο· καὶ τὴν ἐν αὐτῇ πολιτείαν ἡ παρθένος ἡρμόσατο. καὶ ὁ Σολομών, «ἰδοὺ ἡ νύμφη» φησὶν «ὡραία· καὶ ἡ δικαιοσύνη αὐτῆς, ἐν αὐτῇ». περὶ δὲ τῆς ἀνδρίας, τίς ἄν, ἀξίως ἐρεῖ· ἢ τίς ἄν, μάλιστ᾽ ἀξίως θαυμάσειεν, ὁπόσον τὸ λῆμμα τοῦτο μὲν κατὰ τῶν παθῶν· τοῦτο δὲ κατὰ τῶν τῆς ἀληθείας ἐχθρῶν, τῶν τῆς ἀσεβείας ἐκείνων ἀγωνιστῶν ἐπεδείξατο; «γυναῖκα μὲν ἀνδρείαν, τίς εὑρήσει;» φησὶν. ἀλλ᾽ εὗρε ταύτην ὁ χρόνος καὶ τοῖς ἐντυχοῦσιν ἀνέδειξε· καὶ κρειττόνων καὶ ὑψηλοτέρων αὐτουργὸν γενομένην· ἢ ἃ προσήκειν τῇ τοιαύτῃ γυναικὶ Σολομὼν ἐκεῖνος ἔργα λογισάμενος ἑξῆς ἐπιτίθησιν. ἀτεχνῶς γὰρ ἀμάχοις δυσὶ πολεμίοις, αὐθόρμητος συμπλακεῖσα· καὶ ἁμιλλησαμένη καὶ ἀμφοτέροις ὑπερισχύσασα, τοὺς ἀντιπάλους ὑπερέσχε παντάπασι καὶ κατετροπώσατο· τοὺς αὐτοὺς μὲν ἀμφοῖν τοῖν πολέμοιν· διαφόροις δὲ τρόποις ἀντικαταστάντας· κομιδῇ χαλεπώτατα καὶ κακουργότατα. τὰ γὰρ ἐχθρὰ τῆς ἡμῶν σωτηρίας ἐξαρχῆς καὶ πρὸς κακίαν τὸν ἀεὶ χρόνον ἡμᾶς ἐρεθίζοντα πνεύματα· μετὰ τὴν ἀπόστασιν ἐκπεσόντα τῶν ἄνω τῆς θείας αἴγλης ἀπαυγασμάτων, τῶν καλλίστων ἡμῖν σφόδρα βασκαίνουσι· καὶ πάντα τρόπον οὐ παύονται κατεπανιστάμενα καὶ πρὸς τὴν αὐτῶν ἐξωθοῦντα κακίαν, τὴν καθ᾽ ἡμᾶς φύσιν· καὶ νῦν μὲν πάθεσι σώματος καὶ σαρκὸς ὑβριζούσης καὶ ταραττομένης ἀλόγως προσβάλλοντα· νῦν δὲ σφοδροτάταις ταῖς βίαις καὶ ταῖς ἐπιχειρήσεσι κατὰ τῆς εὐσεβείας ἡμῶν· νῦν δὲ πᾶσι τρόποις ἄλλοις. | f. 13v
πολύτροπα γὰρ καὶ ποικίλα πρὸς πᾶσαν κακίας ἐπίνοιαν καὶ δημιουργίαν. ὡς δὴ καὶ ταύτῃ τῇ μάρτυρι κατ᾽ ἀμφότερα· λίαν ἐπιβούλως ἐπέθεντο· τῇ τε ταύτης φθονήσαντες παρθενίᾳ καὶ χαλεπῶς ἔξωθεν ἐνοχλήσαντες· τὸ τῆς φύσεως ῥᾴδιον, καὶ περὶ τὰ χείρω σφόδρα εὔτροπον συνεργὸν ἔχοντες· πρὸς δὲ τούτῳ καὶ διωκτῶν ἀπηνείᾳ· καὶ κολαστηρίοις δεινοῖς πολλοῖς τὲ καὶ συνεχέσι τὸ παρθενικὸν ἐκεῖνο καὶ ἁπαλὸν καταπολιορκήσαντες σῶμα· ὥστε τῆς ἀληθείας ἀποστῆσαι καὶ τοῦ Χριστοῦ δόγματος. ἀλλὰ καθ᾽ ἑαυτῶν ἔγνωσαν ἐγχειρήσαντες· ἀλλ᾽ ἀπεκρούσθησαν· ἀλλ᾽ ᾐσχύνθησαν· ἀλλ᾽ ἡττήθησαν· γυναικὸς καὶ ταῦτα παρθένου

42 τῆς V^{2}: ῆς V (obl. rubr.)

41 locum non invenimus **45** Prov. 31, 10

καὶ νέας δυναμωθείσης· τῷ πάντας τοὺς αὐτοῦ δυναμοῦντι Χριστῷ· καὶ μεμένηκεν ἡ Μαρίνα καθάπαξ τὲ καὶ πάντων ἀλώβητος· περιφανεστέρα μᾶλλον ἐντεῦθεν δειχθεῖσα· παρθενίᾳ τὲ μέχρι παντὸς ἀσυλήτῳ καὶ μαρτυρικοῖς παλαίσμασιν· ἑκάτερόν τε δι᾽ ἑκατέρου κοσμήσασα· καὶ δι᾽ ἀμφοτέρων σεμνοτέραν ἑαυτὴν ἀποδείξασα.

7. Ἀλλὰ φέρε καὶ διηγητέον ἡμῖν, τοὺς μαρτυρικοὺς αὐτῆς ἀγῶνας· καὶ συναγωνιστέον τῷ λόγῳ εἰς ἀρχὴν αὖθις ἀναδραμοῦσιν ἥντινά μοι δοκεῖ προσήκουσαν. ἐγενόμεθα τὴν ἀρχὴν, χειρὶ Θεοῦ κατ᾽ εἰκόνα Θεοῦ· τὸν παράδεισον ἐπιστεύθημεν· ἐντολὴν ἐδεξάμεθα· ταύτην παριδόντες, τοῦ χωρίου τῆς τρυφῆς ἐξερρίφημεν (φεῦ τοῦ πάθους), πάθεσιν ἐδουλεύσαμεν καὶ φθορᾷ· λόγῳ· νόμῳ· προφήταις· πολλοῖς ἄλλοις τοῖς τρόποις παιδευθέντες χρόνοις διαφόροις, ἐπιστροφῆς οὐκ ἐγενόμεθα κρείττονος· ἐδεήθημεν μείζονος θεραπείας· ἐτύχομεν εὐδοκίᾳ τοῦ κρείττονος· δι᾽ ἡμᾶς ἐπιδειξαμένου φιλανθρωπίαν παντάπασιν ἀνυπονόητον καὶ ἀδόκητον. διατοῦτο τὸ μέγα καὶ φρικτὸν τῆς οἰκονομίας ἐν γῇ μυστήριον· καὶ Θεὸς ἐπὶ γῆς· καὶ προσλαμβάνει τὸν ἄνθρωπον· καὶ θεοῦται τὸ προσληφθὲν. διατοῦτο γέννησις τοῦ ἀνάρχως προόντος· f. 14 καὶ παρθένος χωρεῖ τὸ μυστήριον· | καὶ τῆς σωτηρίας ἡμῶν ὄργανον γίνεται· ἀντὶ τῆς προμήτορος Εὔας, δι᾽ ἧς ἀπωλόμεθα. διατοῦτο σπήλαιον τὸν ἐν οὐρανοῖς ὑποδέχεται· καὶ φάτνη φέρει τὸν ἀχώρητον τῷ παντὶ· καὶ προσκυνοῦσι μάγοι· καὶ ποιμένες δοξάζουσιν. ἐντεῦθεν Ἡρώδης μαινόμενος, καὶ παιδοκτονῶν· καὶ Ῥαχὴλ τὰ τέκνα θρηνοῦσα, καὶ παρακληθῆναι μὴ θέλουσα· καὶ Ἰησοῦς εἰς Αἴγυπτον φεύγων· καὶ αὖθις ἐξ Αἰγύπτου τῷ Πατρὶ προσκαλούμενος· καὶ ἐπανιὼν· καὶ θαυματουργῶν· καὶ τὰς νόσους τῶν ἀσθενούντων ἰώμενος· καὶ Ἰουδαῖοι φθονοῦντες· καὶ μαθητὴς προδότης· καὶ συλλαμβανόμενος ὁ πάντων δεσπότης· καὶ πάσχων ὑπὲρ ἡμῶν καὶ σταυρούμενος· καὶ θνήσκων ὁ ζωῆς χορηγὸς· ἀνιστάμενός τε τῶν νεκρῶν καὶ συνανιστῶν τὴν ἡμετέραν φύσιν.

7,20 Ἰησοῦς V² e corr.

72–73 2 Tim. 4, 17 **7,3–9,65** cf. Greg. Cypr., Laud. sanct. Marin. (pp. 193, 21–195, 2) **4** Gen. 5, 1 **4–13** Greg. Naz., Or. 45, 28, PG 36, 661CD **5–6** Gen. 3, 23 **11–12** Eph. 3, 9 **19** Mt. 2, 18 **23** Mt. 26, 47–56 **24** Mt. 27, 38

ἐντεῦθεν ἡ πρὸς οὐρανοὺς ἄνοδος τοῦ σωτῆρος· καὶ ἡ τοῦ θείου Πνεύματος ἐπιδημία· καὶ πτωχοὶ μαθηταὶ τὴν οἰκουμένην ἅπασαν πιστευόμενοι· καὶ τὸ μέγα τῆς ἀληθείας καὶ ἰσχυρὸν κήρυγμα· καὶ ἁλιεῖς ἀπόστολοι· χάριτος πλήρεις· τὸν κόσμον σοφίζοντες· καὶ τὰ ἔθνη σαγηνεύοντες Χριστῷ θήραμα· καὶ πάντα τῶν ἀνθρώπων τὰ γένη τοῦ σκότους ἐλεύθεροι· καὶ τῷ φωτὶ τῆς ἀληθείας καταυγαζόμενοι.

8. Ἀλλ᾽ ἐπὶ τούτοις οὐκ ἦν ἠρεμῆσαι τὸν ἡμῖν ἐξαρχῆς τῶν καλλίστων, καὶ τῆς εὐδοξίας καὶ τῆς εὐπραγίας βασκαίνοντα· ἀλλ᾽ ἐπὶ τούτοις οὐκ ἦν ἡσυχῇ τὸ πραττόμενον ἐνεγκεῖν. ἔνθέν τοι καὶ αὖθις τῇ προκοπῇ τῶν ἀγαθῶν ἀντιπράττει· καὶ αὖθις κατὰ τῆς ἀληθείας προσίσταται· καὶ πᾶσαν κινεῖ μηχανὴν, ὥστε καὶ διαρρῆξαι καὶ κατασχεῖν τὴν τοῦ καλοῦ πρόοδον· καὶ εὐετηρίαν· καὶ ῥαστώνην ἀνύτειν. διατοῦτο Σίμωνας τοῖς ἀποστόλοις εὐθὺς ἐναρξαμένοις ἐπανίστησι· καὶ Μοντανοὺς ἑξῆς καὶ Μαρκίωνας· καὶ τὴν ἄλλην τῶν αἱρετιζόντων ἐπιβουλὴν, καὶ ἀποστασίαν· παντὶ τρόπῳ τὸν τῆς εὐσεβείας δρόμον πειρώμενος ἀνακόπτειν. πρὸς δὲ τούτοις, καὶ τυράννους παλαμναίους ἐγείρει, τῷ | f. 14v εὐαγγελίῳ, καὶ τοῖς εὐσεβεῖν ἡρημένοις· καὶ Νέρωνες ἐκεῖνοι καὶ Δομετιανοί· καὶ Κόμοδοι καὶ Σεβῆροι, κατὰ τῶν τοῦ Χριστοῦ σπουδαστῶν, καὶ φρόνημα· καὶ χεῖρας ὁπλίζουσι. καὶ γὰρ ἔδει καθάπερ πυρὶ χρυσὸν δοκιμασθεῖσαν, τοῖς χαλεποῖς ἐκείνοις καθαρωτέραν ὀφθῆναι τὴν τῆς Χριστοῦ θεοσεβείας ἀλήθειαν· καὶ κρείττω μάλιστα καταστράψαι, διὰ τῆς περὶ τἀναντία ταῦτα λαμπρᾶς ἀντιπαραθέσεως καὶ ἁμίλλης· καθάπερ ἐν τῷ σκότει τὸ φῶς ὁρᾶται πολλῷ τηλαυγέστατον. ὃ καὶ πράττων ὁ πονηρὸς ἠγνόει καθ᾽ ἑαυτοῦ· ἐφόσον κατεπεχείρει βαρύτερον ἀεὶ καὶ βιαιότερον, ἐπιτοσοῦτον μᾶλλον ἀνάπτων, τὸν τῶν πολλῶν πόθον διὰ τὴν οὐχ ὅσον ἤδη τοῖς ὀφθαλμοῖς ὁρωμένην, ἀπόλαυσιν τῶν μελλόντων καὶ διαδοχὴν· καὶ τὴν ἐπιλάμπουσαν τοῦ σωτῆρος τοῖς κινδύνοις

30 σοφίζοντες V^2 e corr. **8,1** ἠρεμῆσαι V^2: ῥεμῆσαι V (obl. rubr.) **20** κατεπεχείρει scripsimus: κατεπιχείρει V

26 Luc. 24, 51 et Act. 1, 9 **27** Act. 2, 1–13 **30** Mt. 13, 47 **8,7–8** Act. 8, 9–24 **8** cf. Greg. Naz., Or. 33, 16, 11–12 (p. 192) **12–13** cf. Greg. Cypr., Laud. sanct. Marin. (p. 193, 35) **14–15** Sir. 2, 5

ἐκείνοις δύναμιν καὶ τὸ κράτος· πάντων ἑαυτοὺς τοῖς δεινοῖς ἀνδρικώτερον ἔτι μᾶλλον εἰσαγόντων, καὶ μετὰ φρονήματος καὶ θάρρους ἀτρέπτου· καὶ ἀεὶ κρείττονος, ἀποδυομένων εἰς τοὺς ἀγῶνας· ἔστιν ὅτε καὶ πρὸς ἀλλήλους ἀντιφιλοτιμουμένων ἐνταῦθα κάλλιστα· αἱμάτων τὲ καὶ σωμάτων καθόλου γε εἰπεῖν ἀφειδούντων, καὶ ὑπὲρ τῆς πάντων ζωῆς αὐτοῦ τοῦ Χριστοῦ, δεχομένων ἡδέως τὸν θάνατον· ὡς πρὸς ζωὴν τάχιστα μετάγοντα παντάπασιν, ἄνοσον καὶ ἀνώλεθρον· καὶ πιπτόντων οὐκ ἀηδῶς ὑπὲρ τῆς ἐν ἀπολαύσεσιν ἀναστάσεως· καὶ ὡς ἔπος εἰπεῖν, ἀπόνως τὲ καὶ μετὰ ῥᾳστώνης, ὡς ἀληθῶς καθάπέρ τι φορτίον, ἄλλως ἀποτιθεμένων τὸ παχὺ τόδε καὶ δυσάγωγον σῶμα καὶ δυσήνιον.

9. Οὐ μὴν ἀλλ᾽ οἳ χαλεπῶς ἐπέθεντο τῶν ἄλλων μάλιστα πλέον, τοῖς τῷ τοῦ Χριστοῦ πανσέμνῳ τὲ καὶ τιμίῳ κοσμουμένοις ὀνόματι· καὶ οἷς ἀρίστοις καὶ ὄντως οἰκείοις, ἑαυτῶν ὀργάνοις δαίμονες κατ᾽ αὐτῶν ἐχρήσαντο, Διοκλητιανὸς οὗτοι καὶ Μαξιμιανὸς· ἡ κακίᾳ περιώνυμος ξυνωρὶς· οἱ σκεύη τῆς σατανικῆς ἀπονοίας ἑαυτοὺς ἀναδείξαντες ἄξια· καὶ σκεύη θανάτου γεγονότες f. 15 αὐτῇ· οἱ τὴν | ἀνθρωπίνην ἡμῶν ὄντως φύσιν, ἀτιμάσαντες· καὶ δῆλον μάλιστα ποιησάμενοι, ἐφόσον χωρεῖ κακίαν ἄνθρωπος, μακρὰν ἑαυτὸν ἐκτοπίσας Θεοῦ· καὶ παραδοὺς ἑαυτὸν καὶ τοῖς πονηροῖς ἐγχειρήσας· μᾶλλον δὲ ὅσον κακία τοῖς πᾶσι λυμαίνεται γενομένη πραγμάτων ἐν ὕλῃ· καὶ δυναστείαν τινὰ πιστευθεῖσα χρόνων ἀλόγων φορᾷ· μᾶλλον δὲ λόγοις ὑψηλοτέροις καὶ ἀρρήτοις τῆς ἄνω προνοίας. ἐντεῦθεν γὰρ ὥσπερ ἐξ ἀπόπτου τινὸς ἀγαθοεργία τὲ καὶ τοὐναντίον, εὖ μάλα δείκνυται· καὶ χώραν ἔχει. οἳ κακὴν ἅμιλλαν ἀτεχνῶς πρός τε πάντας τοὺς πρὸ αὐτῶν τῆς αὐτῆς σπουδαστὰς κακίας, καὶ πρὸς ἀλλήλους φιλονείκως θέμενοι, τάχα δὲ καὶ πρὸς τοὺς τῆς πονηρίας ἀρχηγοὺς αὐτούς, καὶ πάντας τοὺς πρότερον ἐκείνους μεγαλωνύμους περιουσίᾳ καὶ κράτει παραπλησίων κακουργημάτων ὑπερβαλόντες πολλῷ τῷ μέτρῳ, ἑκάτερος θατέρῳ τῶν ἐνταῦθα πρωτείων οὐ παρεχώρησεν. οἳ πάντως

9,3 ὄντως V e corr. **7** ὄντως V[2]: ὄντος V **8** κακίαν V[1]: κακίας V **19** ὑπερβαλόντες V[2] e corr.

29 Io. 11, 25 **9,5** cf. Greg. Cypr., Laud. sanct. Marin. (p. 194, 1) **6** cf. Ibid. (p. 194, 3)

ἐπὶ κακῷ τῆς τῶν Ῥωμαίων ἡγεμονίας, συνάρξαντές τε καὶ συμφρονήσαντες· μᾶλλον δὲ τὸν νοῦν ὅλον συληθέντες τοῖς δαίμοσι, κατὰ τοῦ Χριστοῦ καὶ τῶν ἀπὸ Χριστοῦ, μᾶλλον δ' ὡς ἀληθῶς καθ' ἑαυτῶν, καὶ τῆς ἑαυτῶν σωτηρίας, ἐμάνησαν ἀδελφοὶ κακοποιοὶ γεγονότες τῷ Ἰσραὴλ τὴν τῶν τρόπων συγγένειαν· ἀλάστορες κοινοί τινες ἀναδειχθέντες Χριστιανοῖς· μαρτυρικῶν αἱμάτων, ἀκόρεστοι· καὶ πάντων τῶν τῆς ἀρχῆς ἀμελήσαντες πραγμάτων· καὶ τῶν πρὸς τοὺς ἐναντίους ἀφέμενοι πολέμων, ἐνὶ τούτῳ μάλιστα τὸν νοῦν προσεῖχον, τῷ κατὰ τῶν εὐσεβούντων πολέμῳ· καὶ τῇ κατὰ τῆς ἀληθείας ἐπιχειρήσει πάσῃ καὶ παρασκευῇ· καὶ ὅλοι τούτου καθάπαξ γίνονται· τῶν τῆς ἡμετέρας εὐετηρίας καὶ προκοπῆς, νοητῶν ἐναντίων ἐχθρῶν καὶ δυσνουστάτων ὡς ἀληθῶς καὶ κακουργοτάτων πολεμίων ὅλους ἑαυτοὺς ἐξαρτήσαντες. ἔνθέν τοι φόνοις ἁγίων ἀνδρῶν, τὴν οἰκουμένην ἐμίαναν· πανταχοῦ συλλαμβανομένων | καθόσον οἷον τ' ἦν ἐπιμελέστατα· πανταχοῦ προστάγμασι δεσμουμένων καὶ πασχόντων τὰ χαλεπώτατα· ἀντιφιλονεικούντων ἀλλήλοις τῶν τε διωκόντων καὶ τῶν διωκομένων· τῶν μὲν, ὥστε καινοτέρας εὑρίσκειν ἰδέας βασάνων· τῶν δὲ, ὥστε φέρειν πάσας, εὐπεριφρονήτως· καὶ ἀκμαιότερον ἀεὶ· τῶν μὲν, χερσὶ μαχομένων καὶ ὅπλοις, ὥστε κρατῆσαι πράγματος τοῖς τοιούτοις ἀλήπτου, ψυχῆς, διὰ τῆς πρὸς τὸ συγγενὲς τοῦτο σῶμα, συμπαθείας καὶ τοῦ δεσμοῦ· τῶν δὲ, ταύτην ἀντανιστώντων ὑψηλὴν παντάπασι καὶ ἀνάλωτον· καὶ τῆς φύσεως ἔξω· καὶ ταύτῃ τὸ νικᾶν ἀξιούντων· καὶ μέντοι νικώντων· καὶ πρὸς οὐρανοὺς ἀναγόντων τῆς σωματικῆς ταύτης ἐλευθέραν καθείρξεως καὶ ἀπαθῆ· τὸ δὲ σῶμα ταῖς βασάνοις διδόντων· καὶ παραχωρούντων αὐτοῦ τῇ φύσει καὶ τοῖς διώκουσιν. ὢ τῆς τῶν τυράννων ἀπονοίας τὲ καὶ μικρολογίας περὶ τὴν μάχην. ὢ τῆς τῶν μαρτύρων μεγαλοψυχίας τὲ καὶ συνέσεως. ὢ τῆς τῶν διωκόντων ἐπὶ τῇ κακίᾳ φιλονεικίας. ὢ τῆς τῶν διωκομένων ἐπὶ τοῖς καλλίστοις φιλοτιμίας· τὰ μὲν, πρὸς τοὺς τυράννους αὐτοὺς· τὰ δὲ, πρὸς τοὺς ὑπ' αὐτῶν ἄρχειν ᾑρημένους· ἀξίους γινομένους αὐτῶν, ἐν ταῖς ἡγεμονίαις· καὶ ὡς ἀληθῶς προσήκοντας (κατὰ γὰρ τὸν κριτὴν τοῦ λαοῦ φησι καὶ οἱ λειτουργοὶ αὐτοῦ· καὶ πρὸς τὸ τῶν ἀρχόντων f. 15v

34 ἔνθέν τοι scripsimus: ἐνθέν τοι V **48** ἀπηνείας V a. corr.

24–25 Gen. 43, 6 **53–54** Sirac. 10, 2

ἦθος πλάττεται τὸ ἀρχόμενον), καὶ τοῦτο πρὸς αὐτοὺς γινομένους, ὅπερ αὐτοὶ πρὸς τοὺς δαίμονας· οἵους ἐκείνους τοὺς Λυσίας τὲ καὶ τοὺς Ἀγροικολάους· ἀκούομεν, τῆς περὶ αὐτῶν φήμης εἰς ἡμᾶς παραπεμπομένης, ἐκεῖθεν τῷ χρόνῳ. Διοκλητιανῷ γὰρ ἔργον τηνικαῦτα καὶ Μαξιμιανῷ, τοὺς ὑπάρξοντας, οὐχ ὡς βελτίστους ἐξαιρεῖσθαι· ἀλλὰ τοὺς τῶν αὐτῶν ζηλωτάς· καὶ ὅσοι παραπλησίαν κατὰ τοῦ χριστιανικοῦ λαοῦ τὴν μανίαν ἔπνεον. ὧν εἷς καὶ πρῶτος· ἢ ὅτι μάλιστα καὶ οὗτος τοῖς πρώτοις ἀριθμεῖσθαι ἄξιος, f. 16 ἐκεῖνος Ὀλύβριος ὁ πρὸς πολλοῖς ἄλλοις | μάρτυσι, καὶ Μαρίναν χαλεπαῖς καὶ βαρυτάταις ἐκπολιορκήσας κολάσεσιν· ὁ τῆς Πισιδίας (ἐκ ταύτης ἡ παρθένος), ἡγεμὼν τότε.

10. Εἶχε μὲν οὖν ἡ κόρη καὶ πρὶν ἢ συλληφθῆναι, τέλους ἐρῶσα μαρτυρικοῦ· τοὺς ἄλλους γενναίως πᾶσαν βασάνων ἰδέαν, ὑπὲρ τῆς εἰς Χριστὸν πίστεως ὑφισταμένους ὁρῶσα· κἀντεῦθεν ζήλῳ θερμαινομένη πρὸς μίμησιν. ἐπεὶ δὲ πρὸς αὐτῆς οὐκ ἦν κατὰ τῶν τοῦ Χριστοῦ περὶ τούτου νόμων θρασύνεσθαι, οἳ μήτε τοῖς δεινοῖς ἑκόντας αὐτοὺς προτρέπουσιν ἐπιτρέχειν, μήτε συμβὰν οὕτω κατασχεθέντας ἀφίστασθαι (τὸ μὲν, γὰρ, αὐθαδείας καὶ λογισμῶν ἴσως ἔξω· τὸ δὲ, ἀνανδρίας· καὶ ἀμφότερα πάντως ἔργα κακίας), ἐπόθει μὲν· ἀλλὰ τὸν πόθον ὅμως ἐφιλοσόφει σιγῇ. ἀλλὰ μετ᾽ ὀλίγον κατὰ θεῖον ὡς ἔοικε συμβὰν ἁλοῦσα, ἡδέως ἐδέξατο τὸ συμβάν. αὐτίκα αὐτόθεν γεννικῶς ἐπαρρησιάσατο τὴν ἀλήθειαν· εἰς τέλος τοῖς χαλεπωτάτοις κολαστηρίοις ἤρκεσεν ἀνάλωτος· καὶ τῆς καλῆς καὶ μεγίστης ἐκείνης, οὐκ ἀπέτυχεν ἐπιθυμίας· οὐδὲ τῶν εὐγενῶν ἐρώτων· οὐδὲ τῆς ἀνδρικῆς προθέσεως. ἄρχεται δὲ τῆς ἀγωνίας καὶ τῶν ὑπὲρ Χριστοῦ παλαισμάτων, ἐπειδὴ σωματικαῖς ἡδοναῖς Ὀλυβρίῳ καὶ ἀκολασίαις ἀνδραποδιζομένῳ· καὶ δουλεύοντι, πάθος ἔρωτος συμβαίνει περὶ τῇ παρθένῳ τοῖς ὀφθαλμοῖς ἐπιβούλως, τὴν ἀρχὴν ἐντυχοῦσι τῷ κάλλει ταύτης κεκινημένῳ· καὶ τῆς εὐφυοῦς ταύτης ὥρας (πῶς ἄν, εἴπῃ τις;), ὁλοσχερῶς ἡττημένῳ, ὥστε καὶ κατατολμᾶν μεταπέμπεσθαι τὴν πάνσε-

57 Ἀγροικολάους sic V: servavimus **63** ⟨ὁ⟩ Ὀλύβριος coni. Re **10,1** ἢ V^{2} s.l. **2** μαρτυρικοῦ V^{2}: αρτυρικοῦ V (obl. rubr.) **7** τὸν V a. corr.

57 cf. Greg. Cypr., Laud. sanct. Marin. (p. 194, 26–27) **63–65** cf. Act. sanct. Marin. (p. 17, 4–6) **10,15–22** cf. Ibid. (p. 17, 10–16)

μνον ἐκείνην παρθένον καὶ φθονεροῖς ὄμμασιν, ὡς ἀληθῶς ἀνεπιχείρητον καὶ ἀζήμιον, ἡ δὲ, λοιπὸν τοῦτον ἤδη καιρὸν εἶναι παρρησίας ἀξιώσασα· καὶ τοῦ γυμνῶσαι τὸν πρὸς Χριστὸν θεῖον πόθον, ἀρχὴν κάλλιστα σχεδιασθεῖσαν τῷ χρόνῳ· καὶ πρὸς φῶς ἐξάψαι τὸν ἀφανῆ τῆς ἀθλήσεως ἔρωτα, εὐθέως μετὰ γενναίων ἄρχεται τῶν προοιμίων· οὐχ᾽ ὑπεξελθεῖν μόνον τὴν ὕβριν ταύτην καὶ διαδράναι προελομένη, καὶ κατεξαναστῆναι τῆς λίχνου· | f. 16v καὶ βασκάνου· καὶ τολμηρᾶς ἐκείνης ἐπιχειρήσεως· καὶ ἀναιδείας καὶ καθαρὰν ἑαυτὴν διατηρῆσαι, τῷ καθαρῷ νυμφίῳ Χριστῷ· καὶ τοῦτ᾽ αὐτὸ κέρδος ἐνταῦθα νομίσασα, ἀλλὰ καὶ πρὸς διττοὺς ἐπαρθεῖσα φρονήματι τοὺς ἀγῶνας, καὶ πρὸς διττοὺς ἐπὶ τούτοις στεφάνους, ὥστε καὶ τὴν σωματικὴν ἐκείνην ἐπήρειαν ἀποκρούσασθαι καὶ ἀσχημοσύνην· ἑξῆς τὲ φανερωθεῖσαν Χριστιανὴν, ἀντικαταστῆναι πρὸς τὰς βασάνους, καὶ γεννικῶς ἐναθλῆσαι κινδύνοις ὑπὲρ Χριστοῦ· παρὰ τοσοῦτο πάντως χαλεπωτέροις, παρόσον τὸ πάθος τῆς σαρκικῆς ὀχλήσεως καὶ τῶν πόθων ἀποτυχὸν, πρὸς ἕτερον ἀκολουθοῦν πάθος τὸν ἀλογώτατον θυμὸν ἐκτόπως μάλα κινεῖν ἔμελλεν Ὀλύβριον.

11. Ἔγνω ταῦτα καλῶς ἡ Μαρίνα· καὶ ὡς ἔγνω, τοὖργον εὐθὺς εἵπετο. συλλαμβάνεται τοῖς ὑπηρέταις ἐκείνου, σαφῶς ἧς εἴρηται χάριν προθέσεως· ἀποκρούεται παραχρῆμα τοὺς ἄνδρας εὖ μάλα· ματαίοις αὐτοὺς ἐπιβάλλειν ἀπαγορεύει πράγμασι· καὶ ἄγεται πρὸς τὸν Ὀλύβριον βίᾳ· τὴν θείαν, μεταξὺ τὴν ὁδὸν ἀνύτουσα, δύναμιν ἐπικαλουμένη σύμμαχον, ἄνωθεν ἐν πᾶσι προστῆναι τῶν ἔργων τὲ καὶ τῶν λόγων αὐτῇ· καὶ πάντ᾽ εὖ διαθέσθαι τὰ τῆς ἀγωνίας· καὶ μὴ παραχωρῆσαι συναπαχθῆναι τοῖς ἀσεβέσι μὴ δὲ μιανθῆναι τῇ κοίτῃ αὐτῶν τὸ τῆς παρθενίας αὐτῇ σεμνόν· μὴ δὲ σαλευθῆναι τὰ κατὰ Θεὸν αὐτῆς διαβήματα· ἀντισχεῖν τε μέχρι καὶ τοῦ παντὸς ἐνισχῦσαι τέλους· πρὸς τὰς ἀφανεῖς· πρὸς τὰς φανερὰς τῶν ἐχθρῶν ἐπιθέσεις· καὶ μηδαμῶς ἡττηθῆναι, μὴ δὲ τοῖς δαίμοσι θῦσαι· ἀλλ᾽ ἑαυτὴν καθαρὰν προσα-

11,6 ἄνωθεν ἐν πᾶσι V[2] e corr.

23–24 cf. Greg. Cypr., Laud. sanct. Marin. (p. 195, 22–23) **11,5–15** cf. Ibid. (p. 195, 25–33) **6–15** cf. Act. sanct. Marin. (pp. 17, 18–18, 30) **10** Ps. 16, 5

γαγεῖν τῷ Θεῷ θυσίαν εἰς τὸ ἄνω θυσιαστήριον· καὶ τοῦτ᾽ ἔμβραχυ κατερεῖν, περιγενέσθαι παντάπασι τῶν ἐχθρῶν.

12. Ταῦτ᾽ εἶχε καθ᾽ ὁδὸν οὐχ ὁ νοῦς μόνον ἀλλὰ καὶ ἡ γλῶττα τρανῶς τῇ μάρτυρι. ὡς δὲ προσήχθη τῷ ἡγεμόνι καὶ σεμνῶς παρέστη· μηδὲν ἀγεννές τι τῇ φύσει παθοῦσα· καί οἱ σαφῶς f. 17 ἐρωτῶντι· καὶ παρρησίᾳ καὶ στερρῶς ἀπεκρίνατο, |τὸ μὲν γένος, Ἕλληνας εἶναι ταύτῃ προγόνους· Χριστιανὴν δὲ τὸ σέβας αὐτὴν· ὄνομα δὲ Μαρίναν οὕτω δὴ καλεῖσθαι· πρὸς δὴ τούτοις, καὶ τὴν αὐτοῦ κοινωνίαν εἰς γάμους· καὶ τὴν τῶν εἰδώλων προσκύνησιν, ἰσχυρᾷ καὶ γνώμῃ καὶ γλώττῃ· καὶ ἀσείστῳ φρονήματι παντάπασιν ἀπείπατο, τέως μὲν ἐπὶ τούτοις κατασχεῖν θαῦμα τὸν Ὀλύβριον· σφόδρα καταλογιζόμενον καὶ καταπληττόμενον, τὸ γενναῖον ἅμα σὺν αἰδοῖ καὶ κόσμιον τῆς ἀνθρώπου· καὶ ταῦτα πρὸς τὴν ἡλικίαν ὁρῶντα· ἁπαλὴν οὕτω καὶ παρθενικὴν καὶ νεάζουσαν· μόλις δ᾽ ὅμως ἑαυτοῦ γενόμενον τὰ περὶ αὐτῆς ταμιεῦσαι τῇ ὑστεραίᾳ καὶ ὑπερθέσθαι· καὶ δὴ καθεῖρξαι κελεῦσαι ὡς ἄν, ἔπειθ᾽ οὕτω σκέψει τὸ πρακτέον ἐπ᾽ αὐτῇ δοίη τοῦτο· καὶ τὴν ἐπιοῦσαν ἐπαγγεῖλαι τοῖς θεοῖς θυσίαν· καὶ παρεῖναι καὶ ὅσοι τὰ πρῶτα τῆς ὑπ᾽ αὐτόν. ἐπεὶ δὲ τέλος ἔσχε τὰ τῆς θυσίας, προστάξαι λοιπὸν τὸν ἔπαρχον, Μαρίναν τάχιστα καὶ αὐτὴν παρεῖναι· καὶ τοῖς ἄλλοις παραπλήσια δρᾶν καὶ θύεσθαι. ἠπάτα γὰρ ὁ λογισμὸς καὶ τὸ βούλεσθαι· καὶ προσεδόκα ῥᾳδίως εὐπειθῆ φανῆναι τῷ τε πλήθει τὸν νοῦν συγχυθεῖσαν καὶ ἅμα τῷ θαυμαστῷ καὶ περιφανεῖ καὶ σοβαρῷ βήματι· καὶ ἀήθει. ἐδόκει γὰρ τὴν ἡλικίαν καὶ τὴν τοῦ θήλεος φύσιν, ὡς ᾤετο κατὰ καιρὸν λογιζόμενος. ἐπεὶ δ᾽ οὖν ἡ μάρτυς ἀφίκοιτό τε καὶ πρὸ τοῦ βήματος σταίη, – ὢ πῶς ἄν, παραστήσῳ τῷ λόγῳ τὸ θέατρον; ὢ πῶς ἂν ἐξισχύσω προσθεῖναι καὶ διελθεῖν ἅπανθ᾽ ἕκαστα τὰ τότε πραχθέντα; καίτοι γε μόνον οὐκ ἐν ὀφθαλμοῖς ὁρᾶν μοι δοκῶ τὴν παρθένον· ὡς εἰσῄει σὺν κόσμῳ· ὡς ἀπτόητος τηνικαῦτα παρέστη τῇ τοσαύτῃ σκηνῇ· καὶ τοῖς ἐπαρχικοῖς ἐκείνοις θαύμασιν· ὡς ἀκλονήτως καὶ παντάπασι

12,20 ῥᾳδίως: lectio incerta **25** προσθεῖναι V: an προθεῖναι?

14 Ps. 50, 19 **12,4–6** cf. Act. sanct. Marin. (p. 18, 36–40) **4–6** cf. Greg. Cypr., Laud. sanct. Marin. (p. 196, 13–15) **14–22** cf. Act. sanct. Marin. (p. 19, 11–16)

γεννικῶς, μὴ θύσασθαι τοῖς θεοῖς ἀπεῖπεν ἐκείνη· μὴ συγχυθεῖσα· μὴ χαυνωθεῖσα· μή τι παθοῦσα ταπεινὸν ὡς τέως Ὀλύβριος ἐδόκει. ἀλλὰ καὶ τῶν λόγων ἐπακούειν ὥσπερ δοκῶ μοι τοῦτο μὲν τοῦ τυράννου ποῖ μὲν | κολακεύοντος· ποῖ δὲ ἀπειλοῦντος· ποῖ δὲ f. 17v τὰ συμφέροντα δῆθεν ὑποτιθεμένου· πάντα λέγοντος· πάντα πράττοντος· πάντα τρόπον, πειρωμένου τῆς ἀκλονήτου καὶ κατεπιχειροῦντος· τοῦτο δὲ καὶ τῆς γενναίας παρθένου μήτε κολακείαις· μήτ᾽ ἀπειλαῖς· μὴ δὲ κατ᾽ ὀλίγον ὁτιοῦν, ἔπειτα ταπεινουμένης· μὴ δ᾽ ὑφιεμένης ὅλως τοῦ στερροῦ φρονήματος, καὶ τῆς ὑψηλῆς ἐκείνης προθέσεως. ποθεῖτε πάντες ἀμφοτέρων ἴσως τοὺς λόγους· ποθεῖτε καὶ ὡς ἔξεστι τοιγαροῦν ἡμῖν εἰρήσονται.

13. Τὸν ἔπαρχον τοίνυν ὡς ἔφην τὴν Μαρίναν παραστησάμενον· καὶ πάντα τρόπον θεατρικὸν δρᾶμα καὶ παντάπασι σοφιστικόν τε καὶ τερατῶδες εἰς ἔκπληξιν ἑαυτόν τε καὶ ὅσα περὶ αὐτὸν ὡς ἐνῆν μάλιστα καταστησάμενον, τέως γε μὴν ἐρεῖν σεμνῇ τε ἅμα καὶ καθόσον οἷον τ᾽ ἦν, τῷ ἱλαρῷ κεκραμένῃ τῇ φωνῇ, «ἡ μὲν δὴ τελετὴ τοῖς θεοῖς καὶ θυσία, καὶ δὴ πέρας ἔχει παρθένε· ἥ τε πρὸς τοὺς εὐσεβεῖς αὐτοκράτορας εὔνοια, ὁρᾷς ὅσοις ἐπαίνοις καὶ κρότοις καὶ εὐφημίαις, ταύτην πάντες οὗτοι τρανοῦσι. σὲ δὲ δεῖ μήτ᾽ ἀνδρῶν γυναῖκα καὶ νέαν οὖσαν, μήτε πολλῶν μίαν σοφώτερον φρονεῖν οἴεσθαί τι καὶ πάντων ὑπεράνω περὶ τὸ θεῖον· μήτε πρὸς τὸ κρατοῦν ὡς ἄν, ἰσχυροτέραν αὐθαδίζεσθαι, καὶ ἀκαίρως φιλοτιμεῖσθαι· ἀλλὰ γενομένην κρείττονος λογισμοῦ, μετὰ πάντων ἡμῶν θύεσθαί τε τοῖς κρείττοσι καὶ πείθεσθαι· ἡττηθεῖσαν τὲ τῶν πολλῶν καὶ μέτριον ὡς εἰκὸς περὶ σεαυτῆς λογισαμένην, τήν τε ἀρχὴν αἰδεσθεῖσαν· καὶ (τί ποτ᾽ ἐρῶ;), παραχωρήσασαν αὐτῇ πάντως τοῦ κράτους· πρὸς δὲ τούτοις χρόνῳ τὲ πιστεῦσαι· καὶ τούτῳ τὰ καθ᾽ ἑαυτὴν ἐπιτρέψαι· ὃς φύσιν ἔχων τὸ πρακτέον τῇ διαδοχῇ σαφὲς παριστᾶν τε καὶ συνιστᾶν τοῖς γε νοῦν ἔχουσι τῶν ἀνθρώπων· καὶ προΐσχειν τὲ καὶ κρατύνειν, πολλὰ ἤδη ἔτη τὴν ἐς τοὺς θεοὺς ἐβεβαίωσε τιμήν. κάλλος μὲν δὴ καὶ σύνεσιν ὡς ὁρᾶν ἅπασιν ἔξεστι, τούτοις δή σε λαμπρῶς ἡ φύσις· μᾶλλον δ᾽ οἱ καὶ τῆς φύσεως ἄρχοντες θεοὶ, σφόδρα διαπρεπῆ κατεστήσαντο, καὶ κομιδῇ καλλίστην ἰδεῖν. | σὲ δ᾽ ἐπὶ τούτοις δεῖ μήτε τοῖς θεοῖς f. 18 ἀχάριστον γενέσθαι, τὴν αὐτῶν ἀπειπαμένην τιμὴν καὶ προσκύ-

32 ἐπακούειν: lectio incerta **39** ποθεῖτε V²: οθεῖτε V (obl. rubr.)

νησιν, μήτ᾽ ἀλόγως παντάπασι καὶ ἀμαθῶς, εἰς αὐτὴν ὑβρίσαι τὴν φύσιν· παρουδὲν ὥσπερ θεμένην τὸν παρ᾽ αὐτῆς σοι τοσοῦτον πλοῦτον· καὶ τὰ δῶρα· καὶ καταπροεμένην ἀλογώτατα τοῖς κινδύνοις· καὶ ῥίψασαν ἀναισθήτως. εἰ δέ σε δόξης ἔρως, οὐκ οἶδ᾽ ὅστις οὕτω δύσερως καὶ μάταιος πρὸς τὴν ἔνστασιν ταύτην ἤγαγε καὶ καινοτομίαν τοῦ βίου, συγγνώμη μέν σοι τοῦ πάθους ἴσως ἄν, εἴη· ἅλις δέ σοι τῆς φιλοτιμίας ταύτης τῆς ἀνοήτου· καὶ μεταμαθεῖν ἂν εἴη δίκαιον τὸ συμφέρον ἤδη· καὶ τῆς τῶν θεῶν εὐσεβείας ἀντιποιήσασθαι· λογισαμένην εὖ μάλα καὶ τοῦτο κατὰ καιρὸν, ὅσα σοι τῶν ἀγαθῶν, θυσαμένῃ καὶ τοὺς θεοὺς ἐπιγνούσῃ, τάχιστα προσέσται καὶ δαψιλῶς, εὐμένεια πρὸς τῶν κρειττόνων· καὶ βασιλικῶν ἀπολαύσεις δωρεῶν· πλοῦτος· καὶ γάμος σεμνὸς· καὶ τύχης εὔρροια· καὶ τἆλλα τῶν ἐν τῷ βίῳ κάλλιστα. εἰ δ᾽ οὔ, ἀλλὰ σιγητέον ἄν, εἴη, ὃ μὴ δὲ πρακτέον ἄν, εἴη· καὶ μήτε λέγοιτο, μήτ᾽ εἴη τὰ δυσχερῆ. ὅμως δ᾽ οὖν ἃ μὴ πεισθείσῃ παραχρῆμα γενέσθαι λείπεται, ταῦτ᾽ ἀνάγκη μάλιστα νῦν προειπεῖν· ὡς ἄν, μήτε σὺ· μήτ᾽ ἐμαυτὸν ἐγὼ μὴ περὶ τούτων προειπόντα μεμφοίμεθα· μὴ δὲ τῇ προρρήσει τῶν δεινῶν τῆς ἀμαθοῦς ἐνστάσεως ταύτης ἀποστήσαντα. μένει σε παρθένε μένει μὴ μεταβουλευσαμένην, δεινὰ κολαστήρια· αἰκισμοί τε καὶ δεσμοὶ βίαιοι καὶ στρεβλώσεις· καὶ ξέσεις σαρκῶν· καὶ μελῶν ἐκτομαὶ· καὶ ἄλλα πάνυ τοι πλεῖστα· ὅσα μὴ δὲ νῦν ἐγὼ προλέγειν δύναμαι, παρ᾽ αὐτοῖς καινουργούμενα βαρύτατα τοῖς πράγμασιν· ὧν ἔνια καὶ ἀκοῇ καὶ θέᾳ, τάχ᾽ ἄν, ἔφθης μαθοῦσα· καὶ μήποτε γνοίης πείρᾳ σαφῶς. ὡς ἔγωγε (καὶ ναὶ Μαρίνα πείσθητι λέγοντι), τήν τε σωματικὴν σὴν ὁρῶν εὐφυΐαν· καὶ τὴν τῶν κολάσεων ἐπ᾽ αὐτὴν χαλεπότητα καὶ κακουργίαν, καὶ οἵαις βασάνοις τὰ τῆς καλλίστης
f. 18v ὥρας· καὶ ἡ κατὰ τοῦ προσώπου σοι καὶ τῆς θέας | πανήγυρις αὕτη καθυβρισθήσεται συνορῶν· καὶ ἡ τῶν μελῶν ἁρμονία ῥηχθήσεται, πάθει δεινῷ τὴν καρδίαν τιτρώσκομαι· καί με πρὸς οἶκτον ἀγεννῶς, ἐξίστησι καὶ δάκρυα· ὡς ἄν, συμφορὰν οἰκείαν τὰ σὰ λογιζόμενον. πρὸς ταῦτα δεῖ σοι παρθένε βουλῆς· δεῖ δὲ λογισμοῦ

13,26 τὸν V^2 e corr. **31** ἀνοήτου V: an ἀνονήτου? **37** εὔρροια sic V: servavimus **40** ὡς scripsimus: ὣς V **46** προλέγειν V^2 e corr. **55** post ἂν rasura trium litterarum in V

13,40–48 cf. Ibid. (p. 20, 27–31) **53–55** cf. Ibid. (p. 19, 17–18)

σώφρονος· δεῖ δὲ εἴπερ ἄρα, καὶ τοῦτο δεῖ πρὸς τοῖς ἄλλοις ἐρεῖν, τύχης εἰς τὸ λυσιτελῆσον· ἐπειδήπερ ἐν ἀκμῇ προδήλως ὡς ὁρᾷς σοι τὰ πράγματα· καὶ δεῖ δυοῖν ἑλέσθαι θάτερον· ἢ γνώμης ἔμφρονος ἔργον νῦν δεῖξαι καὶ βαλεῖν εἰς νοῦν τάχιστα τὴν ἐπὶ τῷ ποιητέῳ μετάνοιαν, ἢ τῇ τῶν κολαστηρίων ἀνάγκῃ ταμιεύσασθαι τοῦτο· κἀκείνῃ μεθύστερον ἀμαθῶς τὸ βέλτιον παραχωρῆσαι· καρπὸν ταύτης ἔπειτα μᾶλλον ἢ συνέσεως (ὃ μήποτε γένοιτο), γενέσθαι, τὴν τῶν λυσιτελούντων γνῶσιν προεμένην. ἔσται γὰρ ἔσται σαφῶς οἶδα τῆς ἀμαθίας ταύτης μετάνοια. δειναὶ γὰρ αἱ τῶν βασάνων φύσεις, καὶ γνώμης βεβαίαν πρόθεσιν τρέψαι, καὶ ῥᾷστα μεταβαλεῖν μὴ λόγῳ κυβερνωμένην αὐθάδειαν. ὃ δ᾽ ἔσται σχεδὸν ὅσον οὐκ ἤδη, τῆς βίας καὶ τῶν δεινῶν, τοῦτο χρῆναι φημί, φθάσασαν, φρονήσει καὶ λογισμῷ δοῦναι καὶ χαρίσασθαι· οὐδαμῶς αἰσχύνην φέρον εἴ τις ἐπὶ τοῖς βελτίοσι, μεταμέλοιτο».

14. Ἐπὶ τούτοις καὶ ἄλλοις οἶμαι παραπλησίοις «ἐγώ» φησιν ἡ σεμνὴ παρθένος «ὦ ἔπαρχε, καὶ πρὶν ἢ συλληφθῆναι, τοῖς ὑπὲρ Χριστοῦ πάθεσι τὸ ὑπὲρ ἡμῶν ἐκείνου πάθος μιμήσασθαι, τοῦ παντὸς ἐτιμώμην ἀεί· καί μοι μεγίστη τίς ἦν ἔφεσις, ἐξαρχῆς, τέλει μαρτυρικῷ τὸν βίον σφραγίσασθαι. ἐπεὶ δὲ καὶ συνελήφθην ἤδη· καί σοι προσήχθην, τοσούτου δέω ἢ τῆς καλλίστης ἐκείνης μεταγνῶναι καὶ μεταστῆναι προθυμίας τὲ καὶ προθέσεως, ἢ τοῖς σοῖς θωπευτικοῖς καὶ ἀπειλητικοῖς εἶξαι λόγοις καὶ καταμικρὸν ἐνδοῦναι, ὥστε καὶ ζημίαν ἀληθῶς ἡγοῦμαι τὸν μεταξὺ τοῦτον χρόνον, ὅτι μὴ νῦν ἤδη τοῖς κολαστηρίοις τὸν πόθον γυμνάζομαι. τί γὰρ ὄντως ἥδιον ἐμοὶ τοῦ μετὰ Χριστοῦ πάσχειν τὲ καὶ ὑπὲρ Χριστοῦ; καὶ ἵνα μή μοι φιλοτιμίαν ἄκαιρον ὡς λέγεις ἡγῇ τὸ | f. 19
πρᾶγμα, ἢ μανίας ἄλλως ἔργον καὶ αὐθαδείας, φέρε σοι περὶ τῆς ἡμῶν ἐλπίδος βραχὺ διηγήσομαι. ἡμεῖς ὦ ἡγεμὼν σαφῶς ἐρεῖν οἱ ἀπὸ Χριστοῦ, οὐδὲν ὅσα πρὸς τὸν παρόντα μόνον ὁρᾷ βίον ὑπολαμβάνομεν περισπούδαστα· οὐ πλοῦτον· οὐ δόξαν· οὐκ ἀρχάς· οὐκ ἄλλό τι τῶν παρόντων· ὅσα δὴ φέρεται παντάπασιν ἀβεβαίως ἄλλοθεν ἄλλῃ· καὶ μυρίαν τροπὴν στρέφεταί τε καὶ περιάγεται· ἢ τὸ τελευταῖον εἰπεῖν τῷ βίῳ συγκαταλύεται τούτῳ· ἀλλὰ ζῶμεν

14,1 ἐπὶ V[2] e corr. **14** ἐρεῖν V[2]: ρεῖν V (obl. rubr.)

14,1–101 cf. Greg. Cypr., Laud. sanct. Marin. (pp. 197, 6–198, 13)

ἐλπίσι θειοτέραις, πρὸς τὸ μέλλον ἀπανιστῶντες ἑαυτούς· ὅτι καὶ τὴν ἐν ἐκείνῳ ζωὴν, ἀθάνατον εἶναι νομίζομεν· τὴν δὲ παροῦσαν ταύτην καὶ ὁρωμένην· καὶ ᾗ νῦν εἶναι χρώμεθα, πρὸς τῷ ἀβεβαίῳ, καὶ χρόνων ὀλίγων ὁριζομένην ἀριθμῷ· καὶ φθορᾷ πάντως δουλεύουσαν· ἐκεῖ δ᾽ εἶναι τὸ πέρας καὶ τὸν σκοπὸν, τῶν ἐνταῦθα πολιτευμάτων· καὶ πρὸς βίον τὸν ἐκεῖσε, φέροντα τὸν τοῖς πολλοῖς, ἀνιαρώτατον τόνδε δοκοῦντα θάνατον· καὶ ἣν μετ᾽ ὀλίγον αὐτίκα πιστεύομεν ἀνάστασιν· ἔνθα δὴ καὶ τῶν ἐνθάδε πράξεων, ἀγαθῶν τε καὶ μὴ, τὰς ἀμοιβὰς ἀντιδοθῆναι, τέλος οὐκέτ᾽ ἐχούσας. εἶναι γὰρ ἐκεῖσε, κολάσεις τὲ βαρυτάτας τοῖς φαύλως τῷ ζῆν χρησαμένοις· καὶ τοῖς καλῶς βιώσασιν ἀπολαύσεις· τοσαύτας τὲ καὶ τοιαύτας, ὥστε μήτε νοήσει καταλαβεῖν, μήτε νοήσαντα λόγῳ διεξελθεῖν, ὅλως ἐξεῖναι· ἀλλὰ πᾶσαν ὑπερβαίνειν ὁπόσην νοῦς τε πλάττειν, καὶ λόγος ἱστορεῖν δύναται, μακαριότητα. καὶ ὥστε τυχεῖν τῆς ἀλήκτου τὲ καὶ ἀρρήτου ταύτης εὐδαιμονίας, πάντα καὶ ποιεῖν καὶ πάσχειν, ἡμεῖς πρόθυμοι· μεγάλην καὶ σφόδρα πολυκερδῆ καὶ θαυμάζειν, ὄντως ἀξίαν ἐμπορίαν ἡγούμενοι· πόνων ὀλίγων, τὴν καὶ λογισμὸν καὶ λόγον νικῶσαν, ἐκείνην εὔκλειαν ἀλλάξασθαι. ταύτῃ τοι, οὔτε δεσμοὺς, οὔτ᾽ αἰκισμοὺς, οὔτε πῦρ· οὔτε ξίφη· οὔτ᾽ ἄλλό τι τῶν παρόντων δεινῶν, ἐν λόγῳ τιθέμεθα· οὐδὲ δεινὸν ὅλως λογιζόμεθα, τὴν ἀγαθὴν ἐλπίδα προβαλλόμενοι. οὐδὲ γὰρ οὐδενὸς ἄξια τὰ τοῦ παρόντος καιροῦ f. 19v παθήματα πρὸς τὴν μέλλουσαν | ἀποκαλυφθῆναι δόξαν ἡμῖν. ὅθεν ἡδέως πάντα δεχόμεθα· χαίρομεν πάσχοντες· ταῖς κολάσεσιν ὡς ἀπολαύσεσιν εὐφραινόμεθα· πλείους ζητοῦμεν πλειόνων ἕνεκεν ἀγαθῶν. πρὸς γὰρ τὸ μέτρον τῶν παθημάτων, τὸ μέτρον τῶν μισθῶν ἔσται· μᾶλλον δὲ πρὸς τὸ μέτρον, ἔσται τοῦ ζήλου καὶ τῆς προθέσεως. ποθοῦμεν τὴν ἐκδημίαν, τὴν ἐκ τοῦ σώματος· ὡς ἂν ἀμέλει πρὸς τὰ ποθούμενα τάχιστα γενοίμεθα· ὡς ἂν, αὐτῷ καταντήσωμεν Χριστῷ. Χριστῷ γὰρ καθάπαξ ζῶμεν· Χριστῷ κινούμεθα· Χριστῷ πάσχομεν· Χριστῷ θνήσκομεν· τοῦ παντὸς ὡς ἔπος εἰπεῖν, βίου, Χριστὸν προτιθέμεθα. ὡς εὐεργέτας ἡγούμεθα τοὺς βασανιστάς· ὅτι τῇ καλῇ προθυμίᾳ τῆς ἡμῶν εὐσεβείας, συμπράττουσιν εὖ ἀνύτειν. τί τὰ πολλά; καὶ ὑπὲρ αὐτῶν εὐχόμεθα. Στέφανον ἐν τούτῳ μιμούμεθα· Στέφανον ἐκεῖνον (οὗτος πρῶτος ὦ

31–32 cf. Plat., Tim. 28c **41–42** Rom. 8, 18 **49–50** Act. 17, 28 **54–56** Act. 7, 1–60

δικαστὰ τὸν ὑπὲρ Χριστοῦ θάνατον, ἡδὺς εὖ μάλα καὶ πρόθυμος ἐδέξατο), μᾶλλον δὲ Χριστὸν αὐτὸν τὸ τῶν ἀγαθῶν ἁπάντων ἡμῖν ἀρχέτυπον· ὃς καὶ σταυρούμενος· καὶ πάσχων μὲν, ἀλλ᾽ ὅμως ἑκὼν, ὑπὲρ αὐτῶν τῶν σταυρούντων συγγνώμην τοῦ Πατρὸς ἐδεῖτο. πρὸς ταῦθ᾽ ὥρα σοι τῶν χαλεπῶν ἐκείνων ἀπειλῶν ἄρξασθαι. χρῶ τοῖς ὅπλοις· πειρῶ τῶν ἐμῶν σαρκῶν. μὴ γενοῦ περὶ ἐμὲ μετριώτερος, ἢ κατὰ τὴν φύσιν τὴν σήν· ἀλλ᾽ εἴ σοι καὶ πρόσεστιν, ἀγριώτερος· ἀλλ᾽ ὠμότερός τις, ἢ πρὸς τοὺς ἄλλους· ἀλλὰ σοφώτερος πρὸς βαρυτέρων ἐπινοίας κολαστηρίων· ἵν᾽ εὖ ποιήσαις με πλείονα. παρόντων οἱ δήμιοι· αἰκιζόντων· καόντων· τεμνόντων· ποιούντων ἅπαν, ὅ σοι δόξειεν ἂν, ἰσχυρὸν· καὶ ἀεί γ᾽ ἔτι, νῦν ἑκάστοτ᾽ ἰσχυρότερον· ὡς ἐμέ γε, οὐχ αἱρήσεις οἷς προτείνεις δεινοῖς. ἐν δευτέρῳ μοι πάντα τῶν αἰωνίων ἐκείνων, ὧν ἄρα πολλάκις ἔφθην εἰποῦσα τερπνῶν. οὐδείς μοι πλούτου λόγος· ἀντὶ πάντων τὸ καλὸν μαργαρίτην ἐώνημαι. ἀλλὰ καὶ τῆς ἐνθάδε πάσης δόξης, οὐκ ἀξιῶ καθοτιοῦν λόγον ἔχειν, πρὸς τὴν ἀσάλευτον δόξαν βλέπουσα. δόξα γὰρ ἐμοὶ Θεὸς· καὶ ἡ δόξα μου ἐν Θεῷ, προφήτης φησὶν ἡμέτερος. τρυφῆς δὲ πάσης τὴν θείαν καὶ ὄντως ἡδίστην καὶ | ἄπονον προτιμῶμαι τρυφὴν· καὶ ἧς κόρος οὐδεὶς f. 20
ἅπτεται· τὸν οὐράνιον ἄρτον· τὸ μάννα τὸ νοητὸν· τὸ πάσχα τὸ τελειότερον οὗ καινοτέρου Χριστὸς, σὺν τοῖς αὐτοῦ μεταλήψεται. γάμος δὲ, ἄτιμος, καὶ οὗτος ἅπας ἐμοί. Χριστῷ νενύμφευμαι· Χριστῷ προμεμνήστευμαι· οὐκ ἀφέξομαι τῆς καλῆς συζυγίας· οὐ τῶν ἀλλοτρίων· οὐ τῶν νόθων· οὐ τῶν ἀναξίων ἀνθέξομαι· καὶ βεβηλώσω Θεὸν, ᾧ δέδεμαι, τοῖς εἰδώλοις καὶ τῇ ματαίᾳ τούτων προσκυνήσει, φαύλως καὶ ἀναιδῶς ἐκπορνεύσασα· ὃ διὰ τῶν πάλαι θαυμασίων αὐτοῦ προφητῶν, τὸν ἀνάξιον ὀνειδίζει Θεὸς τῆς αὐτοῦ μεγαλειότητος καὶ οἰκειότητος, τὸν Ἰσραηλίτην ἐκεῖνον λαὸν. τί λέγεις ὦ δικαστά; τί σιγᾷς μάλιστα; τί τὴν ἐπιχείρησιν ἀναβάλλῃ, πάνυ τοι πλεῖστον ὡς ἀληθῶς πρὸς τὸν ἐμὸν φλέγοντα πόθον; μηδὲν ἔτι προσδόκα περὶ ἐμοῦ ταπεινὸν· μὴ δ᾽ ἀνάξιον Χριστοῦ καὶ τῆς περὶ Χριστοῦ μεγαλόφρονος γνώμης· καὶ προθυμίας ἐμῆς· μὴ δ᾽ ἀπάτα χρησταῖς ἐλπίσι σαυτόν. μὴ πρὸς τὸ σῶμα βλέπε· μὴ πρὸς τὴν ὥραν· μὴ τὰ τῆς ἐμῆς ἡλικίας μὴ τὸ τοῦ θήλεος ἀσθενές. ὑπὲρ ταῦτα με φρονεῖν Χριστὸς ἔχει πείσας· πρὸς

57–59 Luc. 23, 34 **69** Mt. 13, 45–46 **71–72** Ps. 61, 8 **74** Io. 6, 31–35 **74–75** I Cor. 5, 7 **79** cf. Act. 20, 22

ἐκεῖνον ὁρᾶν μόνον· τῶν αἰδίων μόνον ἐρᾶν· ταῦτα δὲ ταῦτα ῥᾷστα· καὶ ὡς ἄλλως ὕλην καὶ φλυαρίαν· καὶ ὄντως οὐδὲν ἱερόν· οὐδ᾽ ὑγιὲς αὖ φασίν, ὑπὲρ αὐτῶν ἀποτίθεσθαι. παρήτωσαν οἱ κολάσοντες· ἐγχειρείτωσαν ταῖς βασάνοις. ἁπαλαῖς μὲν ἐντεύξονται ταῖς σαρξὶν· ἀλλ᾽ ἀδαμαντίνῳ καὶ ἀκαμάτῳ φρονήματι. πειράσονται μὲν τοῖς τοῦ σώματος δεσμοῖς τε καὶ πάθεσι κατασχεῖν καὶ ταπεινῶσαι τὴν συνεζευγμένην αὐτῷ ψυχὴν· ἀλλ᾽ ἡττηθήσονται μάλιστα αὐτῆς. οὐδὲν αὐτοῖς ἔσται πλέον ἐν πάσαις βασάνων ἰδέαις· εὖ οἶδα· προλέγω τοῦτο σαφῶς. εἰ καὶ τὸ σῶμα δουλεύσει τῇ φύσει, ἀλλ᾽ ὁ λογισμὸς νικήσει τὰ τοῦ σώματος πάθη καὶ πρὸ τούτων τοὺς δαίμονας· τῇ τοῦ Χριστοῦ ῥωσθεὶς δυνάμει, τοῦ τὸν κόσμον νικήσαντος».

15. Τὸν δ᾽ ἔπαρχον ἐπὶ τούτοις ἀπογνόντα τῆς διὰ λόγων f. 20v πείρας καὶ τῆς πολλῆς | θωπείας, καὶ τῶν ἀπειλῶν ἔργοις λοιπὸν ἐγχειρῆσαι. τὰ δ᾽ ἑξῆς παρεῖναι μὲν τοὺς τῆς ἐκείνου κακίας, ὄντας ὑπουργοὺς ἀξίους· οὓς Ἡσαΐας ἱστορεῖ φθάσας· «οἱ ὑπουργοὶ αὐτοῦ» φησί, «ταχεῖς εἰς φόνον»· τὴν δὲ παρθένον πάντων ὁρώντων τῶν παρεστώτων (ὢ τῆς ὕβρεως), αἰκίζεσθαι γυμνωθεῖσαν· καὶ φέρειν γενναίως αἰκιζομένην· μηδὲν ἐπιστρεφομένην ὑπὸ μεγαλοψυχίας τῶν προσορώντων ἐκείνων ἢ τῶν πληγῶν· ἀλλ᾽ ὅλῳ τῷ νοῒ σχολάζουσαν εὐχῇ καὶ διὰ ταύτης ἄνω χωροῦσαν εἰς οὐρανοὺς· καὶ Θεῷ συγγινομένην· δύναμίν τε λαβεῖν δεομένην ἐκεῖθεν· ἐξ ἁγίου κατοικητηρίου ὡς ἄν, κατὰ δαιμόνων ἀνδρίσαιτο· καὶ τὸν ἀγῶνα κάλλιστα διαθλεύσοι· καὶ μέντοι καὶ λαμβάνουσαν ὥστε καρτερεῖν ἀνύποιστα πάσχουσαν. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ πρὸς τοὺς παρατυχόντας, τῇ χαλεπῇ τῶν πραττομένων ἐκείνων θέᾳ, καὶ οἶκτον ἐπὶ τῇ φύσει πάσχοντας· καὶ προσποιουμένους δῆθεν τὰ λυσιτελοῦντα καὶ φείσασθαι τοῦ σώματος καὶ Χριστὸν ἀθετῆσαι· καὶ τῆς ἀληθείας ἀποστᾶσαν, τοῖς θεοῖς θύσασθαι, σφόδρα τε ἤχθετο καὶ ἀπωθεῖτο φανερῶς καὶ ἐπετίμα, πειρωμένοις οὕτω

93 ἐγχειρείτωσαν scripsimus: ἐγχειρήτωσαν V **15,1** ἐπὶ V[2]: πὶ V (obl. rubr.) **3** τά V a. corr. **18** ἐπετίμα καὶ φανερῶς ἀπωθεῖτο primum scripsit, deinde litteris γβα suprascriptis ordinem invertit V

91–92 CPG II, 581, 21 **100** Io. 16, 33 **15,4–5** locum non invenimus **6–7** cf. Act. sanct. Marin. (p. 21, 13–14) **10–11** Ex. 15, 17 **13–39** cf. Greg. Cypr., Laud. sanct. Marin. (pp. 199, 20–200, 3)

κακούργως· τοῦτό τε καὶ ὑπεδείκνυε μηδὲν εἶναι λέγουσα δεινόν, εἴ τις ὑπὲρ τοῦ καλοῦ καὶ τῆς ἀληθείας αὐτῆς, ἑκών γε εἶναι τὸ σῶμα προπηλακισμοῖς δίδωσι καὶ κολάσεσι· μὴ δ᾽ αἰσχύνην φέρον ἡντιναοῦν, εἰ καὶ γυμνῇ τῇ φύσει παλαίει τις ἐπὶ μυρίας ὄψεως· ἀλλ᾽ ἐκεῖνο δεινότερον εἶναι καὶ παντάπασιν αἴσχιστον, εἴ τις τῶν μὲν ἔξωθεν κόσμων λόγον ἔχει καὶ τῆς εὐπρεπείας· καὶ περὶ τὴν σωματικὴν ὥραν, τὴν πᾶσαν κατατείνοι σπουδήν· κἂν ὅτι μάλιστα περιποιοῖτο, μετολίγον πάντως λυθησομένην, τῆς δὲ ψυχῆς ἀθανάτου πράγματος· καὶ τὰς ἀμοιβὰς ἀθανάτους ληψομένου τῶν εὖ τε καὶ ὡς ἑτέρως βεβιωμένων καὶ πεπραγμένων οὐδαμῶς φροντίζων ὁρῷτο· μὴ δ᾽ ἐπιμέλειαν τινὰ ποιούμενος ὅπως ἐν τοῖς ἀρίστοις εἴη· καὶ κατὰ Θεὸν εὖ μάλιστα πραγματεύοιτο· ὃ δὴ πάσχοντας ὁρᾶν αὐτοὺς τῆς μὲν ψυχῆς | καθάπαξ f. 21 ὀλιγωροῦντας· περὶ δὲ τὸ σῶμα τὴν πᾶσαν σπουδὴν ἔχοντας. ὅθεν εἰκότα μάλιστ᾽ αὐτοὶ ποιοῖεν καὶ ἀμείνους ἂν εἶεν· εἰ γένοινθ᾽ ἑαυτῶν καὶ τῆς ἀληθείας φροντίσαντες, τῶν κακῶν ἀπόσχοιντο παραινέσεων· ὁδηγῷ τε πρὸς τὰ καλὰ τῇ ταύτης φιλοσοφίᾳ καὶ μεγαλοψυχίᾳ χρήσαιντο· πρὸς τὸν τῶν ὁμοίων ζῆλον καὶ τὴν τοῦ καλοῦ σύνεσιν· καὶ σὺν αὐτῇ τὰ ὑπὲρ Χριστοῦ πάθη μάλιστα προέλοιντο, τῆς σωματικῆς ταύτης, δοκούσης ἀσφαλείας, ἐπικινδύνου σφόδρα καὶ λίαν ἐπισφαλοῦς, ὄντως καὶ σαθρᾶς. οὐ μήν, ἀλλ᾽ οὐδὲν ἧττον καὶ πρὸς αὐτὸν ἐκεῖνον Ὀλύβριον· τὰ ὅμοια λέγειν οὐκ ὤκνει προτρεπομένη πρὸς τὴν εὐσέβειαν· εἰ καὶ νεκροῖς τὸ τοῦ λόγου προσάγουσα λόγους ἠλέγχετο. οὐ γὰρ ἤκουσαν· οὐδ᾽ ἐπείσθησαν· οὐδὲ μεταμαθεῖν εἵλοντο τὴν ἀλήθειαν· ἀλλ᾽ ἐστερέωσαν τὰ πρόσωπα αὐτῶν ὑπὲρ τὴν πέτραν· καὶ οὐκ ἠθέλησαν ἐπιστραφῆναι· ἀλλ᾽ ἔδωκαν νῶτον παραφρονοῦντα· καὶ τὰ ὦτα αὐτῶν ἐβάρυναν τοῦ μὴ ἀκούειν· ἀλλ᾽ εἶπον «ἀνδριούμεθα· ὀπίσω τῶν ἀποστροφῶν ἡμῶν πορευσόμεθα· καὶ ἕκαστος τὰ ἀρεστὰ τῆς καρδίας ποιήσομεν». τοιοῦτο γάρ ἐστι ψυχῇ, κακίας ἕξις, μετὰ ῥᾳστώνης καὶ ὑλικῆς τινος εὐδρομίας, καὶ προσπαθείας ἐντυπωθεῖσα· ὡς ταυτὸν εἶναι τοῖς τοιούτοις ἀλήθειαν ἐγκαινίζειν· καὶ γράφειν κατὰ γραμμάτων πονηρῶν οἶμαι καὶ δογμάτων ἀληθῶς

24 ἔχει V: an ἔχοι? **35** τῆς V a. corr.

41–42 CPG II, 41, 5 **43–45** Ier. 5, 3 **45–46** Zach. 7, 11 **46–48** Ier. 18, 12

καὶ τυπωμάτων· ἢ τάχα καὶ σπείρειν εἰς θάλασσαν, τὴν τῆς κακίας ἄστατον χῦσιν τὸν τῆς ἀληθείας σπόρον οὐ δεχομένην εἰς ῥίζωσιν.

16. Ὀλύβριος μὲν οὖν ἐκεῖνος καὶ πρὸς θυμὸν ἀνήπτετο μᾶλλον τοῖς λόγοις· καὶ χείρους ἐπενόει καὶ δεινοτέρας δευτέρας βασάνους· καὶ ἦν αὐτίκα καὶ χαλεπωτάτη κόλασις ἑτέρα διαδεχομένη τοὺς αἰκισμοὺς ἐκείνους· ὄνυχες ἐκ σιδήρου τὰς ἁπαλὰς ἐκείνας σάρκας τῆς παρθένου ξέοντες. ἡ δὲ, καὶ αὖθις, ἐφιλοσόφει τὴν καρτερίαν, ἐπὶ τῷ πάσχειν· μήθ᾽ αἱμάτων μήτε σαρκῶν, ἀποκοπτομένων καὶ ῥιπτομένων κατὰ γῆς, μήτε τῶν δεσμῶν
f. 21v ῥηγνυμένων τοῦ σώματος μηδένα ποιουμένη | τὸν λόγον, ὥσπερ οὐκ αὐτὴ πάσχουσα. ὢ ψυχῆς ἐκείνης ἀπαθοῦς· καὶ ἀηττήτου, κρατούσης ἐν σώματι δαπανωμένῳ καὶ πάσχοντι. ὢ σώματος ἐκείνου καλῶς ταῖς ὑψηλαῖς δουλεύοντος τῆς συνεζευγμένης, ὥστε καὶ κυριεύειν ψυχῆς, γνώμαις καὶ κρίσεσι· Χριστῷ προϊεμένης αὐτὸ καὶ σοφῇ φιλοτιμίᾳ φθανούσης τὴν ἐκ τοῦ χρόνου λύσιν καὶ τὴν ἀκολουθίαν τῆς φύσεως. ὢ παντίμων ἐκείνων καὶ πανσέμνων αἱμάτων καταρρεόντων, ὑπὲρ τοῦ πάλαι χεθέντος αἵματος τοῦ Χριστοῦ· καὶ τοὺς ἐν τῇ γῇ πάντας, τῶν τῆς ἁμαρτίας μολυσμῶν ἀποπλύναντος. ὢ πλευρῶν σπαραττομένων καὶ ξεομένων, ὑπὲρ τῆς κεντηθείσης πάλαι τοῦ δεσπότου πλευρᾶς. ὢ πῶς ἂν παραστήσω τῷ λόγῳ νῦν ἐνταῦθα τὸ θέατρον· ἐν ᾧ κόρη νέα καὶ παρθένος ἐν ἁπαλῷ σώματι, μετὰ φρονήματος εὐγενοῦς ἡμιλλᾶτο· πρός τε τὴν τῶν ἀφανῶς ἐπιτιθεμένων δαιμόνων ἐπιβουλὴν καὶ κακουργίαν, καὶ τὴν τῶν ἐπιδήλως τυραννούντων· ἀπήνειαν καὶ τόλμαν· ἐν ᾧ θεῖος ἔρως, δυναστείαν ὑπερεφρόνει καὶ κράτος κοσμικῆς ἐξουσίας ἀνθέλκον· καὶ πάντα τρόπον ἀποσπᾶν πειρώμενον· ἐν ᾧ ψυχῆς ἀνδρία σαρκικῆς ἀσθενείας, παντάπασιν ὠλιγώρει· καὶ λογισμὸς καρτερῶν ταύτης ἀνάλγητος καὶ ἀνάλωτος· καὶ τῆς ἐπ᾽ αὐτῇ κατελπιζούσης τῶν διωκόντων ὠμότητος. ἔπασχεν ἡ παρθένος· ἀντέπληττε τὰ δεινὰ φέρουσα γενναίως τοὺς δαίμονας. ἀπετέμνοντο σάρκες τῇ μάρτυρι· οὐκ ἀπετέμνετο τῆς καλλίστης

53–54 εἰς ῥίζωσιν V[2] e corr.

52 CPG II, 173, 1 **16,2–5** cf. Act. sanct. Marin. (p. 22, 8–10) **17–18** Io. 19, 34

συζυγίας Χριστοῦ. ᾔσχυνον ὡς ᾤοντο τῇ γυμνώσει ταύτην· ἐστεφάνου Χριστὸς ἄνωθεν. διερρήγνυον τὴν τοῦ σώματος ἁρμονίαν· ἀλλὰ διερρήγνυντο τῇ φιλοσοφίᾳ τῆς μάρτυρος· καὶ ἡ διάρρηξις ἐν τῇ καρδίᾳ αὐτῶν, τὸ τῆς γραφῆς φάναι.

17. Πλὴν ἀλλ᾽ ὅπερ ἐπὶ τούτοις ἀνθρώπινον φιλεῖ γίγνεσθαι, οἱ παρόντες πάντες καὶ τὸ χαλεπώτατον ὁρῶντες καὶ οἰκτρότατον ἐκεῖνο θέαμα, οὗτοι δὴ τῆς φύσεως ἡττῶντο· καὶ πρὸς ὀδυρμοὺς ἐκινοῦντο καὶ δάκρυα· πρᾶγμα τοσοῦτο πάνδεινον καὶ τοῖς ὀφθαλμοῖς οὐκ ἀπαθῶς ἐς αὐτὸ συγχωροῦν | ὁρᾶν, οὐκ ἔχοντες ὅλως f. 22 ὁρᾶν, παρθενικὴν ὑβριζομένην αἰδῶ, καὶ κόσμον· καὶ σωφροσύνην· καὶ μερῶν τοιαύτην εὐφυΐαν καὶ ἁρμονίαν, ὠμότατα διατεμνομένην· καὶ ῥιπτόμενον κατὰ γῆς κάλλος· καὶ ποταμοὺς αἱμάτων· καὶ τεμμάχια σαρκῶν· καὶ δαπάνην μελῶν· καὶ κατάλυσιν ἀγρίαν καὶ θηριώδη· τοῦ σώματος ὅλου· καὶ τἆλλα ὅσα καὶ νῦν οὐκ ἀδακρυτὶ τό γ᾽ ἐμοὶ δοκοῦν ἐνέγκῃ τίς ἄν, μνημονεύων. ἃ καὶ τὸν τύραννον αὐτὸν ἠνάγκαζε προσορᾶν οὐκ ἀναίδην, ἀλλὰ χρήσασθαι προκαλύμματι ὅτῳ δή· οὐκ οἶδ᾽ εἴτ᾽ αἰσχυνόμενον τοῖς πραττομένοις· εἴτ᾽ ἴσως εὐλαβούμενον τὸ τῆς θέας ἐκείνης ἄτοπον, οὕτω, καὶ φύσεως ἔξω· ἢ μᾶλλον τἀληθὲς ἐρεῖν, ὡς πρὸς ἥλιον ἀτενῶς βλέπειν, τὴν μαρτυρικὴν οὐκ ἰσχύοντα καρτερίαν· καὶ τὴν ἐκεῖθεν αἴγλην· ἢ τῷ φαινομένῳ τάχα προκαλύμματι τῷδ᾽ ἔξωθεν, καὶ τὴν ἔσωθεν τῆς ψυχῆς ὥσπερ ἐμφαίνοντα καὶ προδεικνῦντα πώρωσιν· ὡς ἐσκέπασε τὴν καρδίαν αὐτοῦ καὶ ᾠκοδόμησε φησὶ πύργον ἐν μέσῳ αὐτῆς· ἐφῷ μὴ τὸ φέγγος εἰσδῦναι τῆς ἀληθείας· ἐφῷ μὴ φρυκτωρῆσαι Χριστὸν ἐν αὐτῇ, τὸν τῆς δικαιοσύνης ἥλιον. ἀλλ᾽ ἐπειδήπερ ἀπέγνω τῆς ἐπ᾽ ὀλίγον ζωῆς τῆς παρθένου πρὸς τὴν φύσιν ἔπειθ᾽ ὁρῶν ὁ κολάζων, ἢ μᾶλλον εἰπεῖν ἀπέκαμε πράττων τὲ κατ᾽ αὐτῆς καὶ πάσχων παρ᾽ αὐτῆς τῷ μηδὲν ἀνύτειν αὐτὸς τὰ βαρύτατα, τότε δὴ τότε λοιπὸν προστάττει, καὶ τὸ μαρτυρικὸν

17,9 τεμμάχια V[2], servavimus: τεμμάχη V **11** γ᾽ ἐμοὶ V e corr. **18–19** πώρωσιν V: an πήρωσιν? **20** φέγγος V[2]: φθέγγος V

33 Os. 13, 8; Ioel 2, 13 **17,1–10** cf. Greg. Cypr., Laud. sanct. Marin. (p. 199, 5–10) **12–13** cf. Ibid. (p. 199, 10–12) **13** cf. Act. sanct. Marin. (p. 23, 24–25) **19–20** Is. 5, 2 **21** cf. supra, 1, 14 **25–26** cf. Act. sanct. Marin. (p. 24, 1–2)

αὐτῆς σῶμα τῇ φρουρᾷ παραδίδοται· μὴ δ᾽ εἰς τὸ βραχύτατον ἀρκέσαι προσδοκώμενον.

18. Ἀλλ᾽ ὅ γε λόγος ἐνταῦθα γενόμενος ὀκνεῖ τοῖς λοιποῖς ἑξῆς προσελθεῖν· δεδοικὼς ὡς ἔοικε τὸ φοβερὸν αὐτὸ τῶν τότε πραγμάτων καὶ δυσχερῆ καθιστορεῖν, οὐχήκιστα καὶ προφέρειν εἰς πολλῶν ἀκοάς· ὥσπερ γε καὶ πράττειν τὰ πραχθέντα τότε τῇ μάρτυρι, λογιζόμενος καὶ κρίνων· ἐπειδήπερ ἐμοὶ δοκεῖν ταῦτ᾽ ἀλλήλοις ἕπεσθαι, καὶ συμβαίνειν ὡσταπολλὰ πέφυκεν· ἃ μὲν γενέσθαι φύσιν ἔχει, ταῦτα καὶ λέγειν ἐξεῖναι· καὶ τοὺς πολλοὺς f. 22v ἔχειν πειθομένους ῥᾷστα· οἷς δ᾽ ἡ πρᾶξις σαφῶς ὑπὲρ φύσιν, | τούτοις καὶ λόγον ἰσχύειν οὐδαμῶς παρεκτείνεσθαι· ἀλλ᾽ ἐπίσης ἀμφότερα καὶ φύσιν καὶ λόγον ἀτεχνῶς ὑπερβαίνουσιν· ὅτι καὶ λόγος φύσει δουλεύει καὶ μόνα καὶ πάντ᾽ ἴσως τὰ ταύτης ἔργα χωρεῖ· καὶ φύσις ἀμέλει κατὰ λόγον κινεῖται· καὶ τούτῳ χωρεῖται πᾶσα· καὶ ἀντιδουλεύειν ὡς ἄν, εἴπῃ τίς ἐπίσης αἱρεῖται. ἐπεὶ δὲ τὴν ἀκολουθίαν διαρρῆξαι τῶν καλλίστων ἐκείνων· καὶ ἄθλων· καὶ δρόμων· καὶ παλαισμάτων· τῆς παρθένου καὶ πράξεων, οὔτε ῥᾴδιον οὔτ᾽ ἄλλως εὔλογόν τε καὶ δίκαιον καθάπαξ ἐνταῦθα γενόμενον (ὁ γάρ μοι γενναῖος ἀκροατής, τάχα καὶ δυσχερανεῖ τὸ εἰκὸς ἅπαν καὶ συνεχές, ἑξῆς εἰσπραττόμενος· καὶ πᾶσιν ἐπιεικῶς ἐντρυφᾶν τοῖς κατ᾽ ἐκείνην πράγμασιν εὖ μάλα προθυμούμενος), καὶ μὴν ἔτι μάλιστα τοῦτ᾽ ἄν, εἴη καὶ νοῦ καὶ λόγου· παντὸς πόρρω, αὐτὸ τοῦτ᾽ ἔργον προθέμενον τὴν τῆς μάρτυρος εὐφημίαν, λίαν ἀγεννῶς ἢ ἀμαθῶς ἢ οὐκ οἶδ᾽ ὅ,τί ποτ᾽ ἂν ἐρῶ, αὐτὰ προέσθαι τὰ μείζω καὶ τελεώτερα καὶ μάλιστα πρὸς τὸν σκοπὸν καὶ τὴν πρόθεσιν καιρὸν ἔχοντα, φέρε καὶ αὖθις τολμητέον ἤδη· καὶ τοῖς ἑξῆς καὶ λοιποῖς ἐγχειρητέον· αὐτῇ θαρρήσαντας κἀνταῦθα τῇ τῆς μάρτυρος ἐπικουρίᾳ καὶ προστασίᾳ.

19. Εἶχε μὲν οὖν ὡς ἔφην τὴν κόρην τὸ δεσμωτήριον· τὸν ἐντὸς πάντα πλήρη σκότους ἔχον ἀέρα· τῷ μὴ προσβάλλειν ἐκεῖσε, μὴ δ᾽ ἐπιδημεῖν ὅλως τὸν ἥλιον. εἶπε τίς ἂν τῶν ἔξω ταμεῖον Ἅιδου· καὶ

18,1 γενόμενος V[2]: ενόμενος V (obl. rubr.) **5** δοκεῖν V[2]: δοκεῖ V **6** πέφυκεν V[2] e corr. **13** ἐπεὶ V[2]: πεὶ V (obl. rubr.) **19,1** ὡς V[2]: ς V (obl. rubr.)

18,1 cf. Greg. Naz., Or. 43, 78, 12–13 (p. 298) **6–9** cf. Or. 10, 65, 11–14

Τάρταρον ἀφεγγῆ· καὶ Τιτάνων κατάκρισιν. ἐνταῦθα δὴ καινουργεῖται τῇ παρθένῳ φανερῶς, ἡ μάχη πρὸς τοὺς ἀφανεῖς πολεμίους· πρὸς τὰς ἀρχάς· πρὸς τὰς ἐξουσίας· τοὺς ὅσα καὶ πονηροῖς ὀργάνοις χρωμένους, τοῖς ὁρωμένοις διώκταις· αὐτοὺς δὲ τὸ πᾶν ὄντας τῆς μάχης καὶ ἀρχηγοὺς καὶ προστάτας. ἐνταῦθα δὴ τῆς ψυχῆς μόνης ἡ πάλη, γίνεται· πρὸς τὰ πνευματικὰ τῆς πονηρίας· ὡς ἄν, ἄρα τοῦ σώματος ἀπογνόντα ἢ τἀληθὲς ἐρεῖν· καὶ ὃ τῆς ἀπονοίας ἐκείνων καὶ κακονοίας σκοπὸς, εἰς τὸν ἀγῶνα τὸν πρὸς ἐκείνην ἀεὶ, χαλεπώτερον ἐπιχειροῦντα· τῷ τε συνεχεῖ μετὰ τὴν ἔξωθεν μάχην παραχρῆμα καὶ | τῷ ποικίλῳ τῆς ἐπιθέσεως. f. 23
ἐφθόνει γὰρ καὶ μετρίας ῥᾳστώνης τῇ μάρτυρι· οὐ τοῦτο δὲ μόνον ἀλλὰ καὶ δι᾽ ἑαυτῶν πεῖραν λαβεῖν· τῆς πάντα γενναίας ἐκείνης καὶ ἀηττήτου· καὶ τὴν μάχην αὐτουργῆσαι κατὰ καιρὸν ἠξίουν· ἵνα δυοῖν θάτερον, ἢ νικήσαντες καὶ περιγενόμενοι (πῶς ἂν εἴποι τις;), ἑαυτοῖς χαρίσαιντο εὖ μάλα τοῦ σκοποῦ τυχόντες· καὶ τοῖς ἔξω διώκταις· καὶ σφῶν αὐτῶν ὑπηρέταις ὡς οὐ καλοῖς ὑπηρέταις ἐπιτιμᾶν ἔχοιεν, ἢ παντάπασιν ἡττηθέντες, ἀπογνοῖεν τῆς πάντα καρτερᾶς ἐκείνης καὶ ἀηττήτου παρθένου· ἢ μᾶλλον εἰπεῖν, ἑαυτῶν τε καὶ τῶν οἰκείων σπουδαστῶν. συμβαίνειν δὲ πάντως εἴωθε τοῖς πολλάκις ἐπιβαλοῦσιν ἔργοις δι᾽ ἄλλων ὑπηρετουμένων, ἀνύτουσι δὲ πρὸς τὸν σκοπὸν οὐδὲν, ἀπονοίᾳ δι᾽ ἑαυτῶν ἐγχειρεῖν ἐκτρέπεσθαι· καὶ ᾄττειν ἄλογα. καὶ μὴν δὴ κἀκείνην τοῦτο ποθεῖν, φθάσας ἡμῖν ὁ λόγος ἱστορεῖ εἰς ὄψιν, τὸν νοητὸν ὡς οἷόν τέ ἐστιν ὀφθῆναι πρῶτον ἐχθρὸν καὶ πολέμιον· ὥστε καὶ συμπλακῆναι· ὥστε πεῖραν κἀκείνου ταύτην λαβεῖν. καὶ πῶς γὰρ οὐκ ἔμελλε τὴν μάχην θαρρεῖν ταύτην, πάνυ τοι θαρροῦσα τῷ κράτει καὶ τῇ δυνάμει Χριστοῦ· ὃς τὴν ὡς κόκκον σινάπεος πίστιν, ὄρη μεθιστάνειν καὶ ῥίπτειν εἰς θάλασσαν, ἀψευδέστατα πείθει, τὴν δαιμονικὴν αὐτὴν ἔπαρσιν· καὶ κακίστην ὑψηλοφροσύνην, ὑψηλοῖς ὄρεσιν εἰκονίζων; ὢ φιλοτιμίας εὐγενοῦς ἐκείνης· ὢ μεγαλοψυχίας τοσαύτης, καὶ μεγαλοφροσύνης ἐπαινετῆς· γυναικὸς καὶ ταῦτα παρθέ-

4 ἀφεγγῆ scripsimus: ἀφθεγγῆ V **11** σκοπὸς εἰς V[2] e corr. **13** ἐπιθέσεως V e corr. **24** ἀπόνοια V a. corr.

19,4 cf. Hes., Theog. 814 et 851 **6** cf. Greg. Cypr., Laud. sanct. Marin. (pp. 228, 35 et 227, 9) | Luc. 12, 11; Eph. 6, 12; Col. 2, 15 **9** Eph. 6, 12 **11–14** cf. Greg. Cypr., Laud. sanct. Marin. (p. 228, 29–34) **30–33** Mt. 17, 20

νου μηκέτ᾽ ἀνεχομένης, μὴ δ᾽ ἀξιούσης τοῖς ἔξωθεν ἐπιχειροῦσιν ὥσπερ ὑποστρατήγοις τισὶ καὶ ταξιάρχαις, τοῦ πρώτου καὶ μεγίστου νοητοῦ πολεμίου· παραβάλλεσθαί τε καὶ συνεξετάζεσθαι.

20. Καὶ τοίνυν εἴχετο μὲν ἡ μάρτυς, καὶ τὸ δεσμωτήριον οἰκοῦσα, τῆς προσευχῆς. καὶ πῶς γὰρ οὐκ ἔμελλε παντάπασι καὶ διὰ πάντων πραγμάτων, ὅπως ποτ᾽ ἂν ἔχοι Θεοῦ καὶ τῶν θείων ἑαυτὴν ἐξαρτήσασα, μὴ δι᾽ εὐχῆς τὸν ἐνόντα τρόπον ἀεὶ πρὸς αὐτὸν ἀνανεύειν· καὶ συνεῖναι καὶ προλαμβάνειν ὡς ἔπος εἰπεῖν, οὕτως ἐκδημοῦσα τῶν ὧδε τὴν μέλλουσαν εὐκληρίαν; εἴχετο μὲν
f. 23^{v} οὖν | ὡς ἔφην τῆς προσευχῆς· εἴχετο δὲ ἄλλοθεν ἄλλο τῶν τῆς γραφῆς κατὰ καιρὸν συνείρουσα ὡς ἕκαστον ἐπέλθοι τῇ μνήμῃ· τοῦτο μὲν δοξολογοῦσα τὸ θεῖον, ἐπὶ τῷ μεγέθει τῆς συνέσεως· καὶ τῆς ἰσχύος αὐτοῦ· τοῦτο δ᾽ εὐχαριστοῦσα τῆς δεδομένης αὐτῇ πρὸς τὰς βασάνους ἄνωθεν καρτερίας, καὶ τοῦ κράτους. πρὸς πᾶσι γε μὴν ἔτι καὶ τοῦθ᾽ ἓν ἦν, τῆς εὐχῆς ὡς ἔφην ἡ κατὰ τοῦ πρώτου καὶ ἀφανοῦς ἐχθροῦ, προφανὴς πάλη· καὶ τὸ κατ᾽ αὐτοῦ τρόπαιον. ἀλλ᾽ ἐνταῦθα μοι καὶ τὰ θαύματα. ὁ γὰρ δεινὸς αὐτῇ πολέμιος ἐκεῖνος καὶ βάσκανος καὶ κακοῦργος· μάλιστα μὲν ἐκπληρουμένης ἐμοὶ δοκεῖν αὐτῇ παρὰ Θεοῦ τῆς αἰτήσεως, οὐ μὴν ἀλλ᾽ οὐδὲ φέρων αὐτὸς ὡς ἔοικε τὴν παρρησίαν τῆς παρθένου καὶ τὴν πρόκλησιν, ἀλλ᾽ ὥσπερ αἰσχυνόμενος ἀποχωρεῖν ἐς πολὺ τῆς μάχης καὶ μὴ συναποδύεσθαι, γυναικὸς ἐκκαλουμένης παρθένου καὶ ἁπαλῆς, καταλογισάμενος καὶ συνιδὼν τὸ ταπεινὸν τῆς τοῦ θήλεος φύσεως περὶ τὰ φάσματα καὶ θορυβῶδες, καὶ ὀλίγον ὡς ἀληθῶς καὶ μικρόψυχον (ὢ τῆς ἐπιβουλῆς· ὢ τῆς δυσνοίας), πρόσεισι κἀνταῦθα σοφιστὴς τῇ κόρῃ· καὶ δράκοντα δεινὸν ἑαυτὸν σχηματίζει· τὸ θαρρεῖν ἔχων ἐκ τῆς παλαιᾶς ἀπάτης· ὡς τότε δὴ πρότερον τῇ ταύτης ἐπέθετο προμήτορι, μετὰ τῆς κακομηχάνου τερατουργίας τοῦ ὄφεως. πρόσεισι τοίνυν ὁ κατὰ Θεοῦ τραχηλιάσας ἀποστάτης δράκων· καὶ ἦν τὸ σόφισμα περιττὸν καὶ ἐπιεικῶς τῷ

36 καὶ^{2} V^{1} s.l. **20,2** οἰκοῦσα V^{2} e corr. **14** πολέμιος V^{2}: ολέμιος V (obl. rubr.) **18** ἀποχωρεῖν V^{2}: ὑποχωρεῖν V | τῆς μάχης V^{2}: τὴν μάχην V

20,6–7 cf. Act. sanct. Marin. (p. 24, 2) **9–10** cf. Ps. 146, 5 **13** cf. Greg. Cypr., Laud. sanct. Marin. (p. 228, 35) **23–26** cf. Ibid (p. 229, 9–10) **24–25** Gen. 3, 1–6 **26–27** cf. Greg. Cypr., Laud. sanct. Marin. (p. 233, 3–4) **26** Iob 15, 25 **26–68** cf. Act. sanct. Marin. (pp. 25, 23–27, 14)

κακούργῳ δαιμόνιον· δράκων κατὰ γῆς συρόμενος· τὸ τοῦ σώματος μέγεθος· τὸ σχῆμα· τἆλλα πάντα, φοβερὸς ἰδεῖν· καὶ περιτρέπων· καὶ νικῶν τὴν ὄψιν. ὁτὲ μὲν εἰς ὕψος ὤρθου τὴν κεφαλὴν· ὁτέ δ᾽ εἰς κύκλους τινὰς οὐκ ὀλίγους καὶ στροφὰς εἰλίσσετο. νῦν μὲν περιήει τὸν οἶκον καὶ τὴν εἱρκτὴν ἐκείνην, ὡς ἐνῆν μάλιστα τάχιστα· ὁτὲ δὲ πρὸς αὐτὴν Μαρίναν ἐῴκει τρέχοντι. χρώμασι ποικίλοις ὥστε καὶ καταπλήττειν κομιδῇ, τὴν μορφὴν ἄνωθεν ἐπὶ τοῦ σώματος, ἑαυτὸν ἐζωγράφει. πάντα ἦν αὐτῷ δεινά· πάντα συγχεῖν καὶ ταράττειν καὶ νοῦν καὶ ὀφθαλμοὺς | ἔχοντα. πυρῶδες αὐτῷ καὶ ἄγριον τῶν ὀμμάτων ἤστραπτε. τρίχες αἱ μὲν περὶ τὴν κεφαλὴν καὶ τὸν πώγωνα, ἐδόκουν ἐκ χρυσοῦ τῷ θηρίῳ· ἀλλ᾽ αἱ περὶ τὰς ὀφρῦς ἐξ ἀργύρου. φεῦ τῶν μυκτήρων. καπνὸς δι᾽ αὐτῶν ἐξέπνει· καὶ οἶμαί γε τὴν ἔσω κατ᾽ αὐτὸν ὑπέφαινε πυρκαϊὰν· ἣν ἡ κατὰ τὸν Ἰὼβ βίβλος, «ἡ ψυχὴ αὐτοῦ» φησὶν «ἄνθρακες». ὀδόντες ἐκτόπως λευκοί. γλώσσης ἐξήπτετο ἐρύθημα· ἣν ἐκίνει καὶ πρὸς συριγμοὺς· πάντα τρόπον δεδιττόμενος τὴν παρθένον. καὶ ἅμα προσετίθει βαρείας ὀδμὰς· καὶ ἀηδεῖς καὶ δυσώδεις ἐκ βάθους ἀναφέρων. ἀλλὰ καὶ πρὸς τὰ ἑξῆς, χρήσασθαι νῦν ἐστι τοῖς λοιποῖς ἐκ τῆς ἄνωθεν τοῦ Ἰὼβ βίβλου. καὶ γὰρ ὡς ἀληθῶς, προσκιάζει· καὶ χαράττειν δοκεῖ, τὰ τότε τινὰ σοφίσματα. ἡ καρδία αὐτοῦ, πέπηγεν ὥσπερ σίδηρος· αἱ πλευραὶ αὐτοῦ χαλκαὶ· ἡ δὲ ῥᾶχις, σίδηρος χυτὸς· τὰ δὲ νεῦρα αὐτοῦ συμπέπλεκται ὥσπερ σχοινίου· ἔστησε δὲ τὴν οὐρὰν αὐτοῦ ὡς κυπάρισσον· καὶ τἆλλα παραπλήσια τούτοις τὲ, τοῖς ἐκ τῆς γραφῆς καὶ ὅλως τοῖς εἰρημένοις. ἐπεὶ δὲ πάντα δράματα· καὶ πᾶσαν σκηνὴν· καὶ τραγικὸν θρίαμβον σχηματισάμενος, οὐδὲν ἐπέραινε πρὸς τὸν σκοπὸν (ὁ δὲ, ἦν, δέει κατασχεθεῖσαν καὶ ταράχῳ, καὶ καταπλήξει, τῆς εὐχῆς ἀμελῆσαι τὴν μάρτυρα), τί λοιπὸν ἐπὶ τούτοις; ὢ τῆς τόλμης. ὁμόσε χωρῆσαι δεῖν ἔγνω κατὰ τῆς κόρης· καὶ χωρητικὸν σφόδρα τάχιστα διανοίξας τὸ στόμα· καὶ κατευρύνας τὴν γαστέρα μετ᾽ ἀκμῆς καὶ ῥύμης, ὅτι μάλιστα αὐτίκα αὐτόθεν φέρεται καὶ προσβάλλει τῇ μάρτυρι· καὶ ὡς ἔτυχεν εὐθὺς ἐπισπᾶται μέχρις αὐτῶν χειρῶν τῷ στόματι ταύτην. οἶδα θορυβουμένους πρὸς τὸ δεινὸν τοὺς ἀκούον-

f. 24

46 προσκιάζει V: an προσκιάζειν?

29–45 cf. Greg. Cypr., Laud. sanct. Marin. (p. 229, 11–21) **41** Iob 41, 13 **47–48** Iob 41, 16 **48–49** Iob 40, 18 **49–50** Iob 40, 17

τας· οἶδα δειλαινομένους περὶ τῇ μάρτυρι. ἀλλὰ θαρσεῖτε. νικᾷ γὰρ ἡ κόρη· μᾶλλον δὲ δι᾽ αὐτῆς ὁ Χριστός· καὶ στερρῷ λογισμῷ καὶ παντάπασιν ἀσείστῳ τὸ θεῖον ὅπλον τὸν σταυρὸν τοῦ Χριστοῦ τυπώσασα ταῖς χερσὶ κατὰ τοῦ δράκοντος ἐκείνου, πλήττει μὲν ὡς ἔοικε, καιρίαν ἐν αὐτῇ τῇ γαστρί· κενοῖ δὲ τὰ σπλάγχνα τοῦ f. 24v δυνατοῦ· καὶ νεκρὸς πρὸ αὐτῆς ὁρᾶται, | παραχρῆμα· καὶ τὴν νοητὴν μάλιστα προδείκνυσιν ἐντεῦθεν αὐτοῦ νέκρωσιν· καὶ ἡ μάρτυς ὡς Ἰωνᾶς ἐξάγεται τοῦ θηρὸς ἀζήμιος· πλὴν οὐ τριήμερος· ἀλλὰ τάχιστ᾽ αὐτίκα· ὅτι μὴ δὲ φεύγουσαν ἀμαθῶς καὶ παντὸς ἔξω λόγου τὸν πάντα χερσὶ κατέχοντα Θεόν, ὡς Ἰωνᾶν τὸ θηρίον εἰσοικίζεται· ἀλλ᾽ αὐτὸν ποθοῦσαν μάλιστα Θεόν· καὶ πάσῃ φορᾷ πρὸς αὐτόν, ἐπειγομένην καὶ τρέχουσαν· καὶ τὴν πρὸς ἐκεῖνον ἐκδημίαν μαρτυρικῷ τῷ τέλει σπουδάζουσαν.

21. Ἓν μὲν δὴ τοῦτο καὶ πρῶτον τῆς κατὰ τῶν δαιμόνων ἀγωνίας ἔργον καινουργεῖται, τῇ μάρτυρι· ἕτερον δὲ τοῦ προλαβόντος θαυμασιώτερον, ὅτι δὴ καὶ τοῦ προλαβόντος ἐκδηλότερον γίνεται. ἐπειδὴ γὰρ ἔγνω τῆς παρθενικῆς ἀνδρίας ἡττημένος ὁ πονηρός, οὐκ ἀπογινώσκει παντάπασι μὴ οὐ καὶ δευτέραν πεῖραν ἄλλην προσάγειν· καὶ ὡς οἷόν τε κακουργότερόν τε καὶ χεῖρον· ἵν᾽ ἢ τοῖς δευτέροις ἐκείνης περιγένηται, ἢ τὴν νίκην ἀπαγορεύσῃ καθάπαξ ἅτε μηδεμίαν ἑαυτῷ λιπὼν ὕστερον πρόφασιν· κἄπειθ᾽ οὕτως ἀποσταίη λοιπὸν τοῦ τολμᾶν ἔτι. ἠπατᾶτο γὰρ ἔτι καὶ περὶ ἐκείνης ἀμαθῶς ᾤετο ἐπηρείᾳ χαλεπωτέρᾳ κατ᾽ αὐτῆς θαρρῶν· καὶ ταπεινότερον ἤπερ ἐχρῆν κατεπιχειρῆσαι πρότερον λογισάμενος. ὃ δὲ μᾶλλον αὐτὸν ἐξετάραττε καὶ ἀνῆπτεν, οὐκ ἔφερεν ἐπὶ τῷ φθάσαντι λίαν ἡδομένην καὶ τρυφῶσαν τὴν μάρτυρα· κροτοῦσαν τῇ νίκῃ· δοξολογοῦσαν Χριστόν· ἀνθομολογουμένην ὅτι δὴ περὶ τοὺς κινδύνους ἐκείνους, οὕτω προύστη· ὅτι κραταιῶς ἐρρώσατο, καὶ τάχιστα τῶν δεινῶν ἐρρύσατο· ὅτι τοσαύτην περὶ αὐτὴν ἐνεδείξατο περιουσίαν καὶ φιλανθρωπίας αὐτοῦ καὶ δυνάμεως. ταῦτ᾽ ἄρα καὶ δόξαν οὕτως, φαντασίας αὖθις κατὰ τῆς παρθένου καὶ σκηνικὰ τέρατα, περινοεῖ, δεύτερα καὶ χαλεπώτερα· καὶ σκότους ἄνθρωπος ὅλος ὁρᾶται· ὁ ταύτην δικαίως ἀλλαξάμενος τὴν μορφήν, ἐξ οὗ τῆς

66–67 cf. Greg. Cypr., Laud. sanct. Marin. (p. 230, 2–4) **68–71** Ionas 2, 1–11 **68–73** cf. Greg. Cypr., Laud. sanct. Marin. (p. 237, 25–35) **21,20–21** Is. 14, 12

ἄνω χοροστασίας ἐξέπεσε· καὶ τῆς θείας ἐλλάμψεως καὶ φωταυγείας, ἐμάκρυνεν ἑαυτὸν· καὶ πόρρω τῆς καθαρωτάτης, ἐξῳκίσθη φύσεως· Ταρτάρῳ καὶ ζόφῳ παντάπασιν | ἀφεγγεῖ δέσμιος (φεῦ f. 25 τῆς αἰσχύνης· φεῦ τῆς ἐς τὰ χείρω τοσαύτης μεταβολῆς), ὁ παρὰ Θεοῦ δημιουργηθεὶς πάλαι πρότερον, ἑωσφόρος εἶναι· καὶ πρωὶ ἀνατέλλειν. ἐξ ἐκείνου γὰρ καὶ τῆς ἀποστασίας ἐκείνης· καὶ ἀπονοίας, τῆς θείας ἑκών γε εἶναι διακοπεὶς τάξεως· σκοτασμῷ κακίας ἀεὶ σύνεστι· μᾶλλον δ' ὅλος ἐστὶν αὐτοσκότος· εἰ καὶ φῶς ἔστιν ὅτε κακομηχάνως πρὸς ἀπάτην, τῶν εὐκολωτέρων, ὑποκρίνεται. ἀλλ' ὅπερ ἠβουλόμην, τοιοῦτος ὡς ἔφην ἀνθρωπίνῳ τῷ σχήματι κατεσκοτωμένῳ καὶ λίαν ἀηδεῖ· καὶ ἀγριωπῷ καὶ ἀήθει, καὶ οἵῳ δεινοτάτῳ πρὸς ἔκπληξιν καὶ δέος ἐκτρέπειν ὁραθεὶς τηνικαῦτα τῇ παρθένῳ· καὶ προσιδὼν ὅλον ἀνήμερον καὶ φοβερὸν, τάχει δὴ ποδῶν ἔπειτα χρῆται· καὶ κατ' αὐτῆς ὁρμᾷ· καὶ σφοδρῶς φέρεται· καὶ τὰς ἀνατεταμένας αὐτῆς συνήθως εἰς οὐρανοὺς χεῖρας ἐκείνας πανάγνους ἐπισχὼν (ὢ τῆς ἀναιδείας· ὢ τοῦ θράσους), ἐγκελεύεται σιγᾶν. τὴν κόρην δὲ (καὶ πῶς γὰρ οὐκ ἔμελλεν ἐκείνη Μαρίνα;), τὸ προλαβὸν τῆς ἀσθενείας τῶν δαιμόνων μεγίστην καὶ βεβαιοτάτην, ἀπόδειξιν ἔχουσαν, τὴν δὲ, δράξασθαί τε τοῦ φαινομένου τῆς κεφαλῆς αὐτίκα, καὶ προσαρράξαι τῇ γῇ· καὶ παίειν ὅπως ἄρα ὅπλῳ τῷ προστυχόντι χρησαμένην εἰς ἄμυναν. ἐμοὶ μὲν οὐδὲν τῶν ὅσα πρὸς θείαν ἀνάγεται δύναμιν, τοιοῦτον, ἄπιστον δοκεῖ, κἂν ὅτι μάλιστα τοῖς πολλοῖς οὕτω δοκῇ, νόμοις ἴσως ἑπομένοις φύσεως. ταύτῃ τοι καὶ δαίμονας πάσχειν χερσὶ δικαίων καὶ ξαίνεσθαι καὶ ἡττᾶσθαι μαρτυρικῆς ἀνδρίας· καὶ ὁμολογεῖν ἡττᾶσθαι· καὶ τἆλλ' ὅσα τισὶν ὡς εὐθὺς ἀκοῦσαι μακρὰν εἶναι δοκεῖ τοῦ πιστῶς ἔχειν, ταῦτα δὴ καὶ προσίεμαι· καὶ φρονεῖν ἀληθῆ καὶ λέγειν, μάλισθ' ἕτοιμος εἰμὶ· καὶ σφόδρ' ἐμαυτὸν εἰς τοῦτο πείθω· ὅπως δ' ἄρ' ἔχει· καὶ ὅπως πάσχει τὸ ἄληπτον καὶ ἀλγεῖ· ὁμολογῶ τε αὐτὸς ἀγνοεῖν· καὶ ἴσως νοῦν ἔχων, καὶ τῆς περὶ τούτων ἐξίσταμαι καὶ παραχωρῶ γνώσεως, Θεῷ· καὶ τοῖς ἐπιχει-

21,21 ἐλλάμψεως V[2]: ἐλλάψεως V **30** τῷ V[2] s.l. **39** ἔχουσαν V[2]: ἔχουσα V **40** προσαρράξαι sic V: servavimus **44** τοι V[2] s.l. **50** post τε καὶ erasum in V

23 cf. supra, 19, 4 **25–26** Is. 14, 12 **28–30** II Cor. 11, 14 **32–41** cf. Act. sanct. Marin. (pp. 29, 17–30, 26)

f. 25v ροῦσιν αὐτοῖς καὶ διαπραττομένοις δυνάμει θείᾳ τὰ καινὰ ταῦτα· | τάχα δ᾽ ἂν, καὶ αὐτοῖς ἐκείνοις εἰκότως τοῖς πάσχουσι δαίμοσιν.

22. Ἀλλ᾽ ἐπανακτέον τὸν λόγον. ἔσχε μὲν ὡς εἴρηται ταῦτα· καὶ ἡ μάρτυς οὕτω δὴ σαφῶς, τὸν ἀφανῆ κατατροποῦται τύραννον· τὸν πικρὸν αὐτῆς ἀντίπαλον καὶ διώκτην· τὸν καὶ τοὺς ἔξωθεν ἐπεγείροντα. ἐπεὶ δὲ πρὸς ὑψηλοτέραν ὡς ἔοικε· καὶ θειοτέραν καὶ κρείττω τάξιν ἤδη καθίσταται Μαρίνα· καὶ τελειότερον ἢ πρώην, ἔσχε τὸ τῆς διανοίας καὶ τὸ τῆς ψυχῆς ὀπτικὸν, ὥστε μὴ μόνον ἃ τοῖς πολλοῖς ἀλλὰ καὶ αὐτῇ γε ἴσως, πρότερον ἀθέατα καθορᾶν καὶ προσίεσθαι, τερατουργεῖται δὴ λοιπὸν ἐνταῦθα τὰ μείζω καὶ θαυμαστότερα. φωτὸς πλουσίου τὸ ζοφερώτατον ἐκεῖνο καὶ ἀφεγγέστατον δεσμωτήριον καταλάμπον· σταυρὸς τῆς εἱρκτῆς ἐν μέσῳ φαινόμενος (τῆς κατὰ τῶν δαιμόνων ἀγωνίας· ἦν δὲ ἄρα τὸ μέγιστον τοῦτο τρόπαιον), καὶ μάλιστ᾽ εἰς ὕψος ἤρετο· ψαύειν ὥσπερ ἐπειγόμενος οὐρανοῦ· περιστερᾷ τὸ θεῖον ὡς καὶ πρὶν ἐν ἄλλοις καὶ νῦν εἰκονιζόμενον· καὶ ταύτῃ τὸ χρῶμα λευκὸν οἷον. τῇ γὰρ φανοτάτῃ φύσει τὸ χρῶμα τόδε προσῆκον ἂν εἴη, δεῆσαν ὁρᾶσθαι· ὅτῳ δὴ τρόπῳ περὶ αὐτὴν τοῦτο μορφούμενον. ἐπὶ τούτοις παρὰ Θεοῦ τὰ συντρίμματα τῆς σαρκὸς θεραπευόμενα τῇ παρθένῳ· ἀλλὰ καὶ λόγοι πρὸς αὐτὴν ἐκεῖθεν· τὰ μὲν, ἐπαινοῦντος τῆς παρρησίας· τῆς ἀνδρίας· τῆς καρτερίας· ἐπεὶ δὴ τοῦτο πρὸς πᾶσι· μᾶλλον δὲ καὶ πρὸ πάντων, μισθὸν ἀρετὴ τὰς εὐφημίας ἀποφέρεται· τὰ δὲ, παρακαλοῦντος ἔτι καὶ ῥωννύντος πρὸς τὴν ἑξῆς ἅμιλλαν καὶ τὰ λοιπὰ παλαίσματα· ἀφ᾽ ὧν καὶ πλέον οὐδὲν τοῖς ἐπιχειροῦσιν ἔσται, πρὸς τὴν παρθένον εἴρητο· οὔκουν γε οὐδὲν φέρον αὐτῇ ζημίαν πρὸς τὴν πρόθεσιν· τῇ τε δυνάμει ῥωσθείσῃ τοῦ Πνεύματος, καὶ ἅμα τῇ προσδοκίᾳ καὶ πίστει τῶν μενόντων αὐτὴν ἀγαθῶν, εἰς ὄψιν ὡσπερεὶ προκειμένων· καὶ κατεπαίρεσθαι (πῶς ἄν, εἴποι τις;), εὖ μάλα πειθόντων· ὅσα καὶ μηδὲν λογιζομένην τὰ δοκοῦντα τοῖς πολλοῖς δεινότατα. φύσις γὰρ τοῦτο, φέρειν ἅπασαν δυσκολίαν γενναίως, εἴ τις ἄρα τὸν

22,1 ἀλλ᾽ V2: λλ᾽ V (obl. rubr.) **9–10** ἀφθεγγέστατον V a. corr.

22,6 cf. Plat., Resp. 533d **10–16** cf. Act. sanct. Marin. (p. 30, 26–30) **13** Mt. 3, 16; Marc. 1, 20; Luc. 3, 20; Io. 1, 32 **17** Is. 30, 26 **20–21** Ael. Arist., Or. 54 (p. 665, 7)

χρόνον βραχὺν | ὀρῴη· καὶ μεγάλαις ἔπειτ᾽ αὖθις ταῖς ἐλπίσιν ἐπὶ f. 26 τούτῳ θερμαίνοιτο. ταῦτά τε καὶ τούτοις ἕτερα παραπλήσια· καὶ μὴν ἔτι καὶ αὖθις κατεχόμενος ὁ δαίμων καὶ τυπτόμενος, καὶ τίς τε καὶ ὅθεν εἴη· καὶ ὅ,τι πράττειν καθάπαξ αἱροῖτο, λέγειν, περιττῇ φωνῇ λαμβάνων ἐντολὰς, τῆς πάντα κρατούσης αὐτοῦ γυναικὸς· καὶ λέγειν οὐκ ἀναινόμενος· ἃ καὶ μόνῃ συγχωρητέον ἔγωγ᾽ ἀξιῶ, καὶ πράττειν· καὶ ἀκούειν καὶ εἰδέναι τῇ μάρτυρι. ἀλλ᾽ ἡμῖν γε καὶ τῶν ἑξῆς ἀνθεκτέον αὐτῆς ἀγωνισμάτων τῷ λόγῳ.

23. Εἶχε μὲν οὖν ἡμέραν ἐπὶ τῆς γῆς, τῇ μετ᾽ αὐτοῦ τοῦ φωτὸς ἐπιδημίᾳ, δημιουργήσας ἥλιος· ὁ δ᾽ ἀλιτήριος ἡγεμὼν ἐκεῖνος ἀδικίαν ὡς ἔοικεν νυκτὸς ὅλης ἐπὶ τῆς κοίτης αὐτοῦ λογισάμενος, ἕωθεν εὐθὺς καὶ δὴ προυκάθητο σοβαρὸς· καὶ θερμός τις ἐξάπτων καὶ ἄσχετος· ὅλος τῆς τῶν ἀγόντων αὐτὸν δαιμόνων ἀπονοίας κατάσχετος· τὰ δὲ περὶ αὐτὸν, ἄνδρες εὐοπλοῦντες νεανίαι· καὶ ὥρας ἀκμῇ τὰ μεγάλα πιστεύοντες· λογχηφόροι τὲ καὶ κατάχαλκοι, τὸ βῆμα πάντοθεν περιίσταντο· ἄνδρες αἱμάτων ὄντως καὶ δολιότητος· ἄνδρες δεινοὶ τὰς ὄψεις καὶ χαλεπώτατοι, προσορᾶν τε καὶ προσορᾶσθαι· ὅλοι τῆς Ὀλυβρίου καὶ γνώμης· καὶ γλώττης ἐξηρτημένοι· καὶ δοῦλοι τὲ καὶ Κορύβαντες, πάντα καὶ λέγειν, πάντα καὶ πράττειν· καὶ πρὸς πάντα κινεῖν ἑαυτοὺς, ᾗ προστάττει ταχεῖς. ἀλλὰ δὴ καὶ πᾶσα σχεδὸν ἡ πόλις, τηνικαῦτα θεαταὶ παρῆσαν· οἱ μὲν, ἐντολὰς ἔχοντες συνελθόντες εἰς ἀξίωμα τῷ βήματι καὶ ὄγκον· οἵ δ᾽ οἴκοθεν, τῷ καινῷ τοῦ πράγματος καλούμενοι· τὸ τοῦ ἀγῶνος τέλος αὐτὸς ἰδεῖν ἕκαστος, ἀλλὰ μὴ μαθεῖν ἄλλου φιλοτιμούμενοι· ὥσπερ δὴ τοῖς τοιούτοις δῆμος ἄλογος εἴωθε πρὸς τὰς καινουργίας ὑβρίζων καὶ κουφιζόμενος. ἀλλ᾽ ἐπειδὴ πάντα πρὸς τὸ φοβερώτερον εἶχε, προσκαλεῖται λοιπὸν ἡ παρθένος, καὶ τῆς φρουρᾶς ἐξάγεται. καί μοι προσέχειν ὦ παρόντες τὸν νοῦν τοῖς λεγομένοις. ὁ γάρ μοι λόγος, ἐνταῦθα κατασχεῖν ὡς

30 μεγάλαις V e corr. **23,2** ἐπιδημίᾳ V²: πιδημίᾳ V (obl. rubr.) **5** δαιμόνων V¹ in marg.

32–35 cf. Act. sanct. Marin. (pp. 31, 7–32, 14) **23,3** Ps. 51, 4 **8–9** Ps. 54, 24 **9–10** cf. Greg. Cypr., Laud. sanct. Marin. (p. 233, 33–34) **21–25** Greg. Naz., Or. 4, 7, 1–2 (p. 96)

f. 26v ἀληθῶς ἑαυτὸν, οὐχ οἷος τε· | πηδᾷ δὲ οὐκ οἶδα μὲν ὅπως· οὐδ᾽ εἰ παντάπασιν ἀλόγως· πηδᾷ δ᾽ ὅμως· καὶ θειασμοῦ πληροῦται· καὶ κροτεῖ καὶ ἵεται· καὶ τὴν εἰς τὸ θέατρον εὐσταλῆ καὶ κοσμίαν ἐπιδημίαν τῆς παρθένου καθιστορεῖν· καὶ γράφειν ὅπῃ ἄρα ποθεῖ μὲν σφόδρα· ἀλλ᾽ ἧττον ἔχων αἰσθάνεται· ἀλλὰ τὴν οἰκείαν φύσιν καταμετρεῖ καὶ λογίζεται· καὶ πολλῷ τινὶ δευτέραν· καὶ πολὺ λειπομένην ξυνορᾷ τοῦ πράγματος. ἢ τί γὰρ οὕτω κάλλιστον· ἢ τί γὰρ οὕτω τερπνόν τε καὶ ἥδιστον· καὶ τότ᾽ ἐπὶ τῶν ἔργων θέαμα· καὶ ὡς ἀληθῶς θαῦμα· καὶ νῦν ἐπὶ τῶν λόγων ἱστορούμενον; γυνὴ παρθένος καὶ νέα τὴν ἔξωθεν ὥραν εὐγενὴς καὶ καλλίστη· τὴν ἐντὸς καλλίων· θέατρον θαρροῦσα τοσοῦτον· ὅλον συστὰν ἐπ᾽ αὐτῇ· καὶ χαλεπὸν ἐκεῖνον καὶ ὠμότατον ἡγεμόνα κατ᾽ αὐτῆς ὡπλισμένον, καὶ προθέσει γνώμης καὶ γλώττῃ· καὶ νεανίσκους ἐκείνους, αἰχμητὰς καὶ ξιφήρεις καὶ τόσα καὶ τόσα κατ᾽ αὐτῆς ὅπλα· καὶ παρασκευὴν καὶ πόλιν ὅλην συρρεύσαντας. ὢ τίς ἄν, γένωμαι, τεμνόμενος ἀμφότερα; ὢ πῶς ἄν, διαιτήσω πόθου θερμότητι καὶ δεσμοῖς ἀσθενείας; ὁ μὲν γὰρ ἐπαίρει· καὶ πρὸς τοσοῦτο μέγιστον ἔργον ἐκτόπως κινεῖ· ἡ δὲ, κατάγχει· καὶ πάντως ἄρρηκτά τε καὶ ἄφυκτα. ὢ πῶς ὁρᾶν μόνον, οὐκ ἐν ὀφθαλμοῖς τὴν παρθένον δοκῶ· καί γε ὑμεῖς ὁρῴητε προσέχοντες εὖ μάλα μεθ᾽ ἡδονῆς. ὢ τῆς ποθεινῆς ἐκείνης ἐξόδου, ὡς ἐξήει Μαρίνα τὸ δεσμωτήριον. ὢ τῆς γενναίας προόδου πορευομένης ἐν ὁδῷ ἀμώμῳ ἐν τοῖς δικαιώμασι τοῦ Χριστοῦ· ἐν τῇ πέτρᾳ Χριστῷ στηριζούσης τὰ διαβήματα, ὁδὸν κατευθυνούσης, ἐν τῷ τῆς ἀληθείας φωτί. ὢ τῆς ἀσείστου καὶ ἀπτοήτου τῆς κόρης εἰσόδου, μεθ᾽ οἵου φρονήματος εἴσεισι τὸ δικαστήριον. ὢ τῆς ἀνδρικῆς καὶ σεμνοτάτης ἐν προοιμίοις τῶν ἄθλων στάσεως, δι᾽ ἣν τοὺς πάντων εἰς ἑαυτὴν παραχρῆμα κεκίνηκεν ὀφθαλμούς· ὡς ἄν τις ἀμέλει τῶν κρειττόνων τοὺς θεωμένους καταπλήττουσα· δι᾽ ἣν καὶ τὸν ἀλαζόνα καὶ ἀνήμερον· μᾶλλον δὲ
f. 27 μάταιον Ὀλύβριον ἐκεῖνον, ἔσχεν αὐτίκα καθάπερ ἐξ | ἐφόδου τῷ θάμβει τῶν ὁρωμένων ἀπροσδοκήτως κατασεισθέντα. ὡς γὰρ εἰσέλθοι καὶ σταίη μέσον ἡ κόρη τὸ θέατρον, τέως μὲν οὖν παραχρῆμα τοῦτ᾽ ἐκπλῆξαι τὸν ἔπαρχον· ὅτι δὴ παντελῶς ἀσινὴς ὁρῷτο, καὶ μηδὲν ἔχουσα τῶν πολλῶν ἐκείνων αἰκισμῶν καὶ

22 πηδᾷ δὲ V^2 e corr. **29** τερπνόν τε V^2: τερπνὸν V

43–44 Ps. 100, 2 et 6; Luc. 1, 6 **44** I Cor. 10, 4 et Ps. 39, 3

ξεσμῶν σύμβολον (οὐδὲ γὰρ ἐδόκει προσβραχὺ τοῖς ζῶσιν ἔτι συναριθμεῖσθαι Μαρίναν· ὡς ἄν, τὴν φύσιν μετρῶν καὶ λογιζόμενος τὸ εἰκός· τοσούτοις καταδαπανηθεῖσαν τοῖς κολαστηρίοις καὶ τοῖς δεινοῖς), σχολῇ δ᾽ ὅμως τῆς ἐκπλήξεως ἀνενεγκόντα· καὶ γενόμενον ἑαυτοῦ, χρήσασθαι λόγοις αὖθις θωπείας· ὑποτιθέμενον τάχα, τὴν ἐς τὰ λυσιτελοῦντα μετάνοιαν τῇ παρθένῳ. ὢ τῆς ἀνοίας· τί λέγεις· τί δρᾷς, ἀσεβέστατε σὺ καὶ πάντων ἀνθρώπων ἀναιδέστατε καὶ ἀμαθέστατε; λόγοις συλῆσαι Μαρίναν πειρᾷ; λόγοις ἣν ἐν πᾶσιν ἔγνως οὕτω καρτερὰν καὶ ἀήττητον; ἧς οὐκ ἐχαύνωσαν τὴν ἀνδρίαν· οὐκ ἀπετρέψαντο τὸν πρὸς Χριστὸν θεῖον ἔρωτα, οὐ φύσεως ἐπαναστάσεις· οὐ γάμος τίμιος· οὐ πλοῦτος ἐπαίρων· οὐ δόξης ὄγκος· οὐ τρυφῆς ἀπόλαυσις· οὐ τἆλλα πάντα ὅσα προυτείνετό σοι· οὐ κολάσεις ἀπειλούμεναι καὶ χαλεπώτεραι τῶν ἀπειλῶν, ἐπαγόμεναι· οὐ φρουρᾶς σκότωσις· οὐ δαίμονες ἀναιδῶς ἐπανιστάμενοι καὶ συμπλεκόμενοι; ἧς μάλιστα τὸ πρόθυμον ἀνῆψαν αὐτοί, σταυροῦ τύπῳ καὶ δυνάμει νικώμενοι· καὶ ῥηγνύμενοι· καὶ νεκρούμενοι· καὶ συλλαμβανόμενοι· καὶ ξαινόμενοι· καὶ τὴν αὐτῶν ἀσθένειαν καὶ ἀνανδρίαν, οὐκ ὀλίγῃ φωνῇ παρρησιαζόμενοι; ἑξῆς δὲ τὰ μείζω καὶ κάλλιστα, φωτὸς ἀστραπὴ μυρία, τὸ σκότος τῆς φρουρᾶς ἐξωθοῦσα· καὶ σταυρὸς ἱστάμενος τρόπαιον· καὶ Χριστὸς αὐτὸς ἐπιδημῶν· καὶ τοὺς μώλωπας τῆς σαρκὸς θεραπεύων, καὶ τιμῶν εὐφημίαις· καὶ πρὸς τὰς μελλούσας ἀνδρίζων βασάνους· καὶ βεβαίως τὰς ἐλπίδας προτείνων· τάχος ἐκδημίας· καὶ τρυφὰς οὐ ῥεούσας· καὶ δόξαν ἄρρητον καὶ κάλλος τῆς ἐκεῖ φωταυγείας· καὶ ὅλως ἑορταζόντων χοροὺς | καὶ πρωτοτόκων πανήγυριν ἄλυτον; ταύτην νῦν ἀπατῆσαι λόγοις ἡγῇ; φεῦ τῆς ἀλογίας· φεῦ τῆς αἰσχύνης, εἰ τοσοῦτον ἠγνόει· φαύλαις οὕτω καὶ ματαίαις πιστεύων ταῖς προσδοκίαις καὶ κλεπτόμενος. ἐμοὶ μὲν οὖν καὶ τοὺς λόγους αὖθις, ἑξῆς προστιθέναι ὅσοις Ὀλύβριος ἀπατᾶν ἐπειρᾶτο τὴν κόρην· ἠπατᾶτο δ᾽ αὐτὸς μάλισθ᾽ ἁπάντων ἀμαθέστατα καὶ ἀλογώτατα τὰς ἐντεῦθεν προσβολὰς εἶναί τι, καὶ καιρὸν ὁπωσοῦν πρὸς αὐτὴν ἔχειν λογιζόμενος, οὐ μὴν ἀλλὰ καὶ ὅσους ἀντιπρούτεινεν ἐφ᾽ ἑκάστοις ἡ παρθένος ἀποκρουομένη f. 27v

65 ἀπετρέψαντο V²: ἀπέτρεψατο V **66** ἔρωτα V² e corr. **82** ἠγνόει V: an ἠγνόεις? **83** ἐμοὶ V²: μοι V (obl. rubr.)

66 Hebr. 13, 4 **80–81** Ibid. 12, 22–23

γεννικῶς, τὰς ἐκείνου μηχανὰς καὶ τοὺς λόγους, πάντων ἥδιστόν τε κομιδῇ καὶ ποθεινότατον. ἐπεί δ᾽ ἡ περὶ ταῦτα διατριβὴ τῶν πραγμάτων αὐτῶν ἀφιστῶσα· ἃ καὶ μᾶλλον ἐμοὶ δοκεῖν ἕλκει πρὸς ἑαυτὰ τόν τε λόγον· τάχα δ᾽ ἄν, καὶ τὸν ἀκροατὴν οὐχ ἧττον ὡς ἐμαυτὸν πείθω, ἄκαιρος ἂν ἴσως μηκύνειν δόξαι· καὶ μὴν ἔτι τοῖς πράγμασι μάλιστα κοσμεῖν ἄν, εἴη πλεῖν ἢ τοῖς λόγοις τὴν μάρτυρα· καὶ τὴν αὐτῆς ἱστορεῖν καρτερίαν, ὅτι καὶ πᾶς λόγος, ὡς ὁ παλαιὸς ἄρα λόγος ἔργου σκιά, εἰ καὶ οἱ λόγοι ταύτης νῦν ἐνταῦθα καθάπερ αἱ πράξεις τὰς ἄλλων πράξεις, οὕτω καὶ οὗτοι τοὺς τῶν ἄλλων λόγους, μᾶλλον δὲ καὶ τὰς πράξεις αὐτάς, ὡς ἀληθῶς νικῶσι, φέρε τῶν ἐφεξῆς ἀγώνων ἁψώμεθα.

24. Ὡς γὰρ ἀπέγνω καὶ αὖθις τῶν λόγων Ὀλύβριος· καὶ τεῖχος ἀδαμάντινον ἡ μάρτυς ὡρᾶτο, πρὸς σαθρὰ μηχανήματα, οὕτω δὴ πάλιν ὅλος τῶν κολάσεων γίνεται· καὶ πρὸς πῦρ τὸ τοῦ θυμοῦ πῦρ ἐκεῖνον ἀνάπτει καὶ μάστιγας. ἀναρτᾶται τοίνυν ἡ μάρτυς· καίεται τὰς σάρκας λαμπάσι πυρός· τὴν αὐτὴν ἣν ἄρα καὶ πρώην ἀποδείκνυται καρτερίαν· οὐδέν τι μικρόψυχον καὶ Χριστοῦ, καὶ τῆς ὑπὲρ Χριστοῦ μεγίστης προθέσεως, ἀνάξιον ἢ ἐρεῖν ὁτιοῦν ἢ παθεῖν ἐξάγεται. ἀλλὰ τὸ μὲν σῶμα, τοῦ πυρὸς ἡττᾶται καὶ τῆς φύσεως· καὶ πάσχει τὸ εἰκὸς αὐτῷ· καὶ δαπανώμενον λύεται· καὶ
f. 28 κατὰ γῆς ῥεῖ· καὶ χέει τὴν ὕλην· ἡ ψυχὴ δὲ τοῦ | σώματος ἐν τούτοις ὄντος, ἑαυτῆς ἐστι παντάπασιν, ὑψηλὴ καὶ ἀπαθὴς καὶ ἀήττητος· καὶ ὡς ἄρα προύβαλεν ἐφάπαξ ἵσταται· καὶ τοῦ δεσμοῦ καὶ τοῦ πάχους ὑπερφρονεῖ· καὶ πρὸς οὐρανοὺς κατ᾽ ἔθος ἄνω διὰ τῶν εὐχῶν φέρει· καὶ τῷ ποθουμένῳ συγγίνεται.

25. Ἀλλ᾽ ἐνταῦθα δὴ πᾶς τις ἂν οἶμαι, καὶ τὴν Βαβυλωνίαν ἐρεῖ κάμινον· καὶ τοὺς ἐκεῖσε παραθείη παῖδας τῇ μάρτυρι· παραπλήσια πεπονθότας, καὶ δοξασθέντας παραπλησίως· καὶ σεσωσμένους ἀζημίους καθάπαξ τοῦ πάντα κατισχύοντος θεϊκοῦ

89 ἐκείνου V² e corr. **24,1** ἀπέγνω V²: πέγνω V (obl. rubr.) **25,4** an ⟨ὑπὸ⟩ τοῦ?

95–96 cf. Phil. Iud., De mut. 243 (p. 184, 4) **24,4** cf. Act. sanct. Marin. (p. 37, 19–22) **25,1–10** cf. Greg. Cypr., Laud. sanct. Marin. (p. 237, 36–238, 1) **1–5** Dan. 3, 1–30

κράτους· ὅτι καὶ τῶν αὐτῶν ἕνεκεν τῆς θεοσεβείας σκοπῶν. ἀλλ' ἐκεῖ μὲν οὐχ εἷς· ἀλλ' εἰς κοινὸν τὸν ἀγῶνα· κοινωνοὶ καὶ συμμερισταί, καὶ δεύτερός τε καὶ τρίτος, τἄλγεινὸν ἀλλήλοις κουφίζοντες· καὶ οὔπω προστίθημι καὶ τὸν τέταρτον. ἐνταῦθα δὲ Μαρίνα γυνὴ καὶ παρθένος· ἐν ἡλικίᾳ νῦν ἀνθούσῃ· καὶ κομιδῇ προώρῳ τὲ καὶ ὀλίγῃ, μόνη διαθλεῖ τὸν κίνδυνον. ἀλλ' οὐδ' ἐνταῦθα τἀληθὲς ἐρεῖν μόνη Μαρίνα. «ἡ γὰρ μόνωσίς μου» προφητικῶς φησὶν «ἐν Θεῷ». Χριστὸς γὰρ μετ' αὐτῆς· καὶ μονὴν ἐν αὐτῇ ποιεῖται· κατὰ τὴν ἀψευδεστάτην καὶ μεγίστην ἐπαγγελίαν, ἅμα τῷ Πατρὶ καὶ τῷ Πνεύματι. οὐ μὴν ἀλλὰ καὶ βάτον ἐρεῖ τις ἐνταῦθα, καὶ τὸ κατ' αὐτὴν θαῦμα· καιομένην μὲν· οὐ μὴν ἄρα κατακαιομένην· ᾗ παρθένος Χριστοῦ μήτηρ εἰκονίζεται καὶ τυποῦται· ὅτι κἀνταῦθα νῦν ἀτεχνῶς, ἐν τοῖς αὐτοῖς ὁρᾶται Μαρίνα· εἰ καὶ μὴ μήτηρ παρθένος· ἀλλὰ παρθένος νύμφη Χριστοῦ.

26. Ἐπεὶ δὲ οὐδ' ἐντεῦθεν κρατῆσαι τῆς μαρτυρικῆς ἐκείνης ἀνδρίας καὶ προθέσεως Ὀλύβριος ἴσχυσεν, ἢ μᾶλλον εἰπεῖν ὁ δι' ἐκείνου πάντ' ἐπιχειρῶν κατ' αὐτῆς, ἔτι δ' εἰς τὰς βασάνους ἑώρα καὶ τοῦ θαρρεῖν ἐν αὐταῖς οὐ πώποτε ἀπέτραπτο (ἔδει γὰρ ἔδει, καὶ Χριστὸν ἐντεῦθεν κερδαίνειν, τὴν τῶν πολλῶν ἐπίγνωσιν τοῦ καλοῦ· καὶ σωτηρίαν· ὃ δὴ κέρδος αὐτῷ παντὸς τιμώμενον· καὶ Μαρίναν πλείοσιν ἐντρυφῆσαι καὶ λαμπρυνθῆναι τοῖς στεφάνοις, ἐπὶ πλείοσι καὶ βαρυτέροις ἀεὶ τοῖς ἄθλοις), ἐπὶ δὴ τούτοις, τί λοιπὸν ἔτι; καὶ χεῖρας καὶ | πόδας ἡ μάρτυς δεθεῖσα, καθ' ὕδατος f. 28v ῥίπτεται. ἀλλὰ τίς ἀξίως κἀνταῦθα λαλήσει τὰς δυναστείας Κυρίου· ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ καὶ τὰ θαύματα; ὁ γὰρ τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ ἐπιτιμῶν· καὶ περιπατήσας ὡς ἐν στερεᾷ κατὰ τῆς θαλάσσης καὶ τῶν κυμάτων· καὶ Πέτρον παραπλήσια δρᾶν προτρεπόμενος· καὶ δρᾶν ἐνισχύσας· καὶ διασώσας τοῦ κλύδωνος· αὐτῶν τῶν τοῦ δέους λογισμῶν καὶ τῆς φύσεως· καὶ «σιώπα πεφίμωσο» τῇ θαλάττῃ ἐγκελευσάμε-

5 θεοσεβείας V[2]: θεοσεβεία V **9** καὶ[1] V[2] s.l. **11** μου V[2] s.l. **14** οὐ V[2]: ὐ V (obl. rubr.)

12–14 Io. 14, 23 **14–15** Exod. 3, 2ff. **26,9–28** cf. Act. sanct. Marin. (p. 39, 3–13) **10–12** Ps. 105, 2; cf. Or. 3, 21, 1–2 **12** Mt. 8, 26; Marc. 4, 35–41 **13–15** Mt. 14, 25–32 **16** Marc. 4, 39

νος, καὶ «ἐν σεαυτῇ συντριβήσονταί σου τὰ κύματα»· καὶ οὗπερ ἐν ἀβύσσῳ πολλῶν ὑδάτων τὰ ἴχνη ἐπισημαίνεται τὰ τεράστια τῆς αὐτοῦ θαυμαστῆς διεξόδου, τῶν γεγονότων ἢ καὶ ἀεὶ γινομένων· καὶ πορείας τὲ καὶ δυνάμεως, κἀνταῦθα νῦν εἶναι, τὸ μέγιστον ἐπιδείκνυται κράτος· καὶ ὢ τοῦ θαύματος, σεισμὸς ἦν ἀθρόον τοὺς παρόντας ἐκπλήττων· καὶ ἀληθῶς κατὰ τὸν πάλαι λόγον δίδωσι καὶ τότε κραυγὴν Θεὸς ἐν τοῖς ὕδασι· καὶ ἐβόμβησε τὰ κύματα· καὶ πάντων ὁρώντων, ἡ μάρτυς λελυμένη τοῦ δεσμοῦ· καὶ τοῦ βυθοῦ τῶν ὑδάτων· καὶ τοῦ κλύδωνος ἐκείνου, ἀζήμιος ἀναδίδοται· καὶ περιστερὰ πάλιν λευκὴ, περιίπταται ταύτην· τὴν νίκην εὐαγγελιζομένη καὶ τὴν ἐκδημίαν εἰς τὰ τῶν ἀγώνων ἔπαθλα προσημαίνουσα. ἔδει γὰρ ὄντως ἔδει, καὶ Μαρίναν σὺν ἄλλοις τὴν μακαρίαν ἐκείνην φωνὴν οἰκειώσασθαι, «διήλθομεν διὰ πυρός τε καὶ ὕδατος· καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχὴν»· τὴν ἐντεῦθεν ἀμέλει τῶν τῆς ὕλης ὀχληρῶν καὶ τοῦ κόσμου πραγμάτων ἔξοδον ἄρα καὶ παῦλαν· καὶ μετοικίαν ἄπονον· καὶ μετάβασιν εἰς εὐδαιμονίαν ἀνώλεθρον. τοιγαροῦν ὅπερ εἰκὸς ἐπὶ τούτοις τῶν παρόντων οὐκ ὀλίγοι τὸ καινὸν ἐκεῖνο πρᾶγμα· καὶ πάνθ᾽ ὑπερβαῖνον λόγον, εἰς νοῦν βαλόμενοι, καὶ μετρήσαντες· καὶ φύσιν νικῶν· καὶ φύσεως δύναμιν· κἀντεῦθεν ἐπιγνόντες· τὴν κινοῦσαν τὲ καὶ μεγαλουργοῦσαν τὰ τοιαῦτα δύναμιν θείαν· καὶ Θεὸν ἰσχυρόν· καὶ f. 29 Θεὸν παντοδύναμον· καὶ Θεὸν μόνον ἀληθινὸν | τὸν τῆς παρθένου γνόντες Θεὸν, τῆς ἀληθείας γίνονται· καὶ Χριστιανοὺς ἑαυτοὺς ἀναγορεύουσι καὶ τρανοῦσιν εἰς ἐπίδηλον καὶ τοῦ ἡγεμόνος, καὶ τῶν τότε παρόντων πάντων. οὐ γὰρ μόνον ἐπέγνωσαν τἀληθὲς καὶ λογισμοῖς ἐτίμησαν καὶ προείλοντο, ἀλλὰ καὶ τὴν Ὀλυβρίου μανίαν θαρροῦσι· καὶ παρ᾽ οὐδὲν τίθενται· καὶ τὴν εὐσέβειαν αὐτίκα περιτράνως παρρησιάζονται.

27. Ὡς δ᾽ ἄρ᾽ ἐπὶ τούτοις ἐκεῖνος Ὀλύβριος πλήττεται τὴν ψυχὴν καὶ ἀλγεῖ· καὶ μυρίαν τὴν αἰσχύνην δοκεῖ πάσχειν· καὶ πρὸ τούτου μᾶλλον, ὁ καὶ τοῦτον ἄγων· καὶ πρῶτος αὐτὸς ἀντίπαλος,

26,17 σου τὰ κύματα V^2 e corr. (σου add. s.l.) **35** βαλόμενοι V^2: βαλλόμενοι V **44** περιτράνως V^2: περιλάμπρως V

17 ἐν^1…κύματα Iob 38, 11 **17–18** ἐν^2…ἴχνη Iob 38, 16 **22–23** Ier. 38, 36 **28–30** cf. Greg. Cypr., Laud. sanct. Marin. (p. 235, 24–26) **29–30** Ps. 65, 12

γυναικὸς οὕτω κομιδῇ νέας καὶ παρθένου τοσαύτας πείρας ἡττημένος, καὶ τό γε δὴ μεῖζον, τῷ μιᾶς κρατῆσαι φιλονεικεῖν καὶ περιγενέσθαι, τοσούτους οἰκείους ἀποβαλὼν (τί χρὴ λέγειν;), πάντων οἶμαι ξυνορώντων τὸ τοῦ πράγματος εἰκὸς, καὶ τὴν τοῦ ἀνδρὸς ἀπόνοιαν – καίτοι καὶ τοσοῦτο γε φασὶ καὶ ἔοικα προσθεῖναι νῦν ἂν, εἰκότως, ὡς εἰ μὴ προφανὴς ἦν τῆς κατ᾽ αὐτοῦ νίκης, τῆς μάρτυρος θρίαμβος· καὶ μέγα κράτους σύμβολον, κἂν, αὐτίκα τὴν ἡγεμονίαν ἐκεῖνος ἀπείπατο· κἂν, ἀπείπατο πρὸς αὐτῇ τὴν ζωήν. νυνὶ δὲ τοῦ πάθους ὡς οἷόν τε κατεξαναστὰς, καὶ σκέψεως γενόμενος, ἔγνώ τι τηνικαῦτα ὃ συνετόν τε πρὸς τὴν αὐτοῦ πρόθεσιν, καὶ ὄντως ἀδικώτατον ἔξεστι προσειπεῖν· ὡς εἰ μὲν λόγοις μεταπείθειν πειρῷτο τοὺς ἐπιγνόντας ἐκείνους τἀληθὲς τοῦ Χριστοῦ κήρυγμα, τάχα δὲ καὶ κολάσεσι, πρὸς τῷ μηδὲν ἔπειτ᾽ ἀνῦσαι, ἴσως ἂν καὶ πλεῖστον τῇ ζημίᾳ προσθεῖναι· καὶ πολλοὺς τῶν λειφθέντων ἐφ᾽ ὁμοίας γενέσθαι καὶ τῆς δόξης καὶ τῆς παρρησίας· καὶ τὴν εὐσέβειαν τοῦ Χριστοῦ μεταμαθεῖν τε καὶ μεταθέσθαι (ἐῴκει γὰρ οὕτω κατὰ καιρὸν νομίζειν καὶ συλλογίζεσθαι, τοῖς ἤδη φθάσασιν), εἰ δὲ τῷ ξίφει χρήσαιτο κατ᾽ αὐτῶν αὐτίκα, πολλὴ μὲν ἀγνωμοσύνη· καὶ χαλεπὸν μάλιστα καὶ ζημιῶδες, ἐν πολλοῖς τοὖργον αὐτὸ καὶ τόλμημα· βέλτιστον δ᾽ ὅμως οὕτω· | καὶ f. 29v βουλεύσαιτ᾽ ἂν, περὶ τῶν λοιπῶν ἀσφαλέστερον, ταῦτ᾽ ἄρα καὶ προκρίνας οὕτω, πάντας ἐκποδὼν ἀξιοῖ φόνῳ ποιεῖσθαι.

28. Ἔγνω ταῦτα· καὶ τοὖργον εὐθὺς εἵπετο· καὶ πάντες μαρτυρικῷ τέλει καὶ σφαγῇ, πρὸς τὰς μακαρίας καὶ ἀφθάρτους ἐκείνας σκηνὰς παραπέμπονται· μακάριοι τοῦ μεταστῆναι τῆς πλάνης, καὶ παραδέξασθαι τὴν εὐσέβειαν τοῦ Χριστοῦ· μακάριοι γε μὴν ἔτι τοῦ μαρτυρικοῦ τέλους· καὶ τῆς καλῆς ἐμπορίας ἐντεῦθεν καὶ μεγαλοδοξίας· μακάριοι καὶ τοῦ τάχους αὐτοῦ τῆς ἐκδημίας· καὶ τοῦ τῶν ποθουμένων παραχρῆμα λαβέσθαι. αὕτη πάντως ἡ πρᾶξις· τὸ τέλος τοῦτο τῶν ἀγώνων· οὗτος ὁ καρπὸς τῇ μάρτυρι, τοῖς ἀποστόλοις αὐτὴν συντάττει· τοσοῦτον ἀριθμὸν ἀνθρώπων, Χριστῷ προσαγαγοῦσαν· καὶ διὰ τῶν αὐτῆς καὶ λόγων καὶ ἄθλων καὶ παθημάτων· καὶ τῶν μεγίστων τροπαίων κατὰ δαιμονικῆς πλάνης ἡγησαμένην αὐτοῖς εἰς τὴν εὐσέβειαν. ὢ λαμπρᾶς παρθενίας τέλει ξυλλαχούσης μαρτυρικῷ. ὢ μαρτυρικῶν

28,1–3 cf. Act. sanct. Marin. (p. 40, 27–30) **2–3** Luc. 16, 9

ἀγώνων ἀποστολικὸν προσκτησαμένων ἀξίωμα. ὢ τῆς ἀποστολικῆς τῶν πολλῶν σωτηριώδους ἡγεμονίας· παρθενίᾳ προκεκοσμημένης καὶ μαρτυρικοῖς παλαίσμασιν. ὢ πῶς πάντα δι᾽ αὐτῶν τε καὶ ἀλλήλων τιμᾶται. ὢ πῶς ἕκαστον δι᾽ αὐτοῦ τε καὶ τῇ συντυχίᾳ καὶ συνόδῳ τῶν ἄλλων, τιμᾷ τὴν ὁμοῦ πάντων ἐπιτυχῇ. διῆλθεν ὡς ἱστορεῖται Μωσῆς τὴν Ἐρυθρὰν ἐκείνην θάλασσαν· καὶ τὸν παλαιὸν Ἰσραήλ διεσώσατο. ἐρρύσθη κἀνταῦθα ἐκ τῶν βαθέων κατὰ τὴν γραφὴν ὑδάτων ἡ κόρη· καὶ τοσοῦτον λαὸν τῷ Χριστῷ προσήγαγε· καὶ νέον πεποίηκεν Ἰσραὴλ, ἐξ Αἰγύπτου τῆς ἀθεΐας πρὸς γῆν ἐπαγγελίας καὶ τὴν εὐσέβειαν. ἐνίκησε Νῶε Θεοῦ βουλῇ τὸν γεγονότα πάλαι κατακλυσμὸν· κιβωτῷ πιστεύσας ἑαυτὸν καὶ ξυλίνοις τείχεσιν ἐντολῇ δημιουργηθεῖσι παντοδυνάμου Θεοῦ· κἀνταῦθα δευτέρας ζωῆς καὶ βίου ταμιεύσας σπέρματα. f. 30 ὑπεισῆλθε κἀνταῦθα δαψιλῇ χύσιν ὑγρὰν ἡ Μαρίνα· καὶ | χείμαρρον ἐπιρραγέντα διῆλθεν ἡ ψυχὴ αὐτῆς· καὶ δυναστείᾳ Θεοῦ καθάπαξ ἀζήμιος περιγίνεται· καὶ σπόρον εὐσεβείας ἐν τούτοις βαλοῦσα ὡς ἀνατετράφθαι τὸν πάλαι λόγον· καὶ σπείρειν ἀτεχνῶς ἐξεῖναι καὶ καθ᾽ ὑδάτων αὐτῶν, αὐτίκα δὴ κεφαλὰς τοσαύτας μαρτυρικὰς, τῷ φονευτῇ θερισθείσας εἰς οὐρανοὺς ἐγεώργησεν. οὐ μὴν ἀλλὰ καὶ αὕτη τὸν θερισμὸν ἐσφραγίσατο· καὶ συναπῆλθεν ἐκείνοις ὥσπέρ τινας καρποὺς τῶν οἰκείων ἄθλων, αὐτοὺς προεκπέμψασα· φιλοτίμως ὡσπερεὶ βουλομένη προδεῖξαι, καὶ προεισενεγκεῖν τὸ οἰκεῖον ἔργον· καὶ τὴν τῶν αὐτῆς πόνων φορὰν τῷ καλῷ γεωργῷ τῶν ψυχῶν· εἶτα καὶ αὐτὴ κατακολουθήσασα· καὶ καθάπερ ἐφοδίοις καλλίστοις, ἐκείνοις χρησαμένη πρὸς τὴν ἄνοδον.

29. Ὡς γὰρ ἀπέγνω παντάπασιν ὁ κολάζων· ἢ μᾶλλον ἔγνω σαφέστατα καὶ προδήλως· τῷ σύνεγγυς γενομένῳ, βουλευόμενος κακῶς τῷ τὴν παρθένον ἐς πολὺ συντηρεῖν, καὶ ταύτης ἀφαιρεῖται ξίφει τὴν κεφαλὴν· καὶ οὕτως ἀμέλει πρὸς τὴν οἰκείαν αὐτῆς

28,19 ὡς V[2]: ς V (obl. rubr.) **27** κἀνταῦθα scripsimus: κανταῦθα V **29,1** ὡς V[2]: ς V (obl. rubr.)

18–20 Exod. 14, 15–31 **20–21** Ps. 143, 7 **23–26** Gen. 6, 5–8, 22 **25** Herodot., Hist. 7, 141 **27** Ps. 128, 4 **29–30** Luc. 8, 5 **30–31** CPG II, 27, 9–10 **29,3–5** cf. Act. sanct. Marin. (p. 45, 34–36)

κεφαλὴν τὸν αὐτῆς δηλαδὴ νυμφίον Χριστὸν ἐντεῦθεν ἀποχωρεῖ· καὶ πρὸ τῆς ἐκδημίας ὡς ἡ περὶ αὐτῆς ἱστορία φησὶν, εὐχομένῃ ταύτῃ σὺν ἀγγέλοις ἐπιδεδημηκότα· εἰς δόξαν ὄντως μεγίστην· καὶ τῆς ἐκδεχομένης ἀξίας ἀρραβῶνα καὶ μεγαλοπρεπὲς προοίμιον. ἀλλά γε μὴν καὶ τοῦτο προσθήκη τίς ἦν αὐτῇ τῆς εὐδοξίας· καὶ φιλότιμος ἀμοιβὴ τῶν ὑπὲρ αὐτοῦ πόνων, ἐπαγγελίαι καὶ συνθήματα, περὶ ὧν ἂν, αὐτῆς ἄνθρωποι δέοιντο, ἐν παντὶ τῷ παραστάντι τῆς χρείας, καὶ δι᾽ αὐτῆς τοῦ Θεοῦ, πᾶσαν αἴτησιν εὖ μάλα προσίεσθαι. εἶναι γὰρ καὶ τὴν αἴτησιν, οὐδ᾽ αὐτῷ πάντως μὴ προσήκουσαν· ἁμαρτανόντων ἀνθρώπων καὶ τῶν ἄλλως ἐπικαλουμένων, ἐν καιροῦ χαλεπαῖς περιστάσεσιν, οἷα δὴ τἀνθρώπεια καὶ ὁσημέραι γίγνεται, σωτηρίαν καὶ ταχίστην βοήθειαν.

30. Καὶ τοίνυν τί τίς ἂν, ἔχοι λέγειν ἐν τούτοις· ἢ τί πρῶτον ἢ τί μέγιστον τῶν τηλικούτων τὲ καὶ τοσούτων; παρόντων αὐτοὶ | f. 30v νῦν ἐνταῦθα, ὁπόσοι τὴν μαρτυρικὴν ταύτην ἐπαγγελίαν, ἐφ᾽ ἑαυτοῖς πέρας ᾔσθοντο λαβοῦσαν· πλεῖστοι καὶ περὶ πλείστων· ὡς ἵλεω τῆς μάρτυρος ἔτυχον, ἕκαστος διεξιόντες· καὶ οὐκ οἶδ᾽ ἐφ᾽ ὅτῳ μή. ἐμοὶ γὰρ οὔτ᾽ ἴσως σχολὴ, οὔθ᾽ ὅλως ἔξεστι περὶ τῶν τοιούτων ἐνθάδε νῦν διατρίβειν ἄρα καὶ προστιθέναι· ἐπαναληπτέον δ᾽ ἔστι μοι περὶ τῶν ἐξ ἀρχῆς εἰρημένων. ἐχρήσατο πατράσιν εἰς τὸν βίον Μαρίνα, ὧν τὴν ἀσέβειαν ἀπεκρούσατο· καὶ πατέρα τὸν Θεὸν προεστήσατο. ἔγνω τὸν κόσμον ἐν αὐτῷ γενομένη· ἀλλὰ κατέγνω τοῦδε τοῦ κόσμου· καὶ πρὸς τὸν ἄνω τὴν σπουδὴν ἅπασαν ἔθετο· οὗ νῦν ἐστι· μᾶλλον δὲ καὶ τότ᾽ ἦν τῇ γνώμῃ· καὶ εἰ τῷ σώματι συνεδέδετο. ἐδούλευσε φύσει καὶ γέγονεν ἄνθρωπος· ἀλλ᾽ ὑπὲρ ἄνθρωπον γέγονε· καὶ τῇ φύσει διαιτησαμένη καλῶς· καὶ νομοθετήσασα, δοῦλον τὸ χεῖρον τοῦ κρείττονος κατεστήσατο· ὥστε δὴ καὶ καθυπουργεῖν τὸ σῶμα, ταῖς τῆς ψυχῆς ἐντολαῖς καὶ κρίσεσι· καὶ σαφὴς ἡ δεῖξις· ὅτι δεῆσαν αὐτῇ παρρησίας ὑπὲρ Χριστοῦ, τὸ σῶμα δουλεύει τοῖς δόγμασι τῆς ψυχῆς. νυμφίον εἵλετο τὸν Χριστὸν, παρθενίαν τιμήσασα. νενίκηκε τὰς πείρας τῶν ἐχθρῶν, ὅσαις ἀναίδην· ὅσαις ἀφανῶς ἐπέθεντο. ἐπόθει τὴν ἐκδημίαν·

30,4 καὶ V[1] s.l. **7** ἐπαναληπτέον V[2]: παναληπτέον V (obl. rubr.) **8** πατράσιν V[2]: πατρᾶσιν V **13** ἐδούλευσεν ὁ φύσει V a. corr.

30,1–2 cf. Greg. Naz., Or. 7, 6, 12 (p. 192)

ἔτυχε τῆς ἐπιθυμίας· ἐξεδήμησε τάχιστα κόσμου· πρὸς Θεὸν ἐπεδήμησε· καὶ νῦν περιπολεύει τοὺς οὐρανούς· καὶ νῦν ἀπολαύει τῶν ἐκεῖ τερπνῶν· καὶ νῦν ὡς ἤρα τὲ καὶ παρεσκεύαστο, τῇ γνώμῃ, Θεῷ τε καὶ τοῖς ποθουμένοις σύνεστι.

31. Ταύτην ἐγὼ τὴν παρθένον καὶ φυσικῆς ἀρρένων ἀνδρίας, ἐπίπροσθεν ἄγειν ἀξιῶ τὴν φύσιν ἐκλογιζόμενος· καὶ πρὸς ἐκείνην γνώμην τιθείς. ὁ γὰρ οἷς τὴν φύσιν ἥττων ὤφθη, τούτοις τὴν φύσιν ὑπερβαλὼν, τοῦ κατὰ φύσιν νικῶντος, μάλιστα θαυμάζειν ὡς ἀληθῶς ἄξιον. ὅτι δὲ γυνὴ τὴν φύσιν πάντα τῶν ἀνδρῶν ἥττων, τίς ὅλως ἀμφιγνοεῖ; καὶ μὴν οὐκ αἰσθήσει μόνον αὐτῇ πιστεύειν ἐν τούτοις οὕτω προδήλως ἔξεστιν, ἀλλ᾿ ἔστι μάλιστα κἀντεῦθεν συλλογίζεσθαι, τοῖς θείοις ἑπόμενον λόγοις. ἐκ πλευρᾶς γὰρ τοῦ
f. 31 Ἀδὰμ δημι|ουργεῖται γυνή· θεῖαι βίβλοι φασίν· κἀντεῦθεν ἔμοιγε δοκεῖ δηλοῦσθαι μάλιστα τὸ φύσει τοῦ θήλεος εὐπαθέστερον· καὶ ἀσθενὲς· τοῦ μέρους τούτου τοῖς περὶ τὴν ὀσφὺν τοῦ σώματος πλησιάζοντος. ὅτι δ᾿ οὕτως ἔχει κατὰ φύσιν ὀσφὺς, πολλά τε ἄλλα δηλοῖ καὶ βίβλος αὐτὴ, τῶν τοῦ Ἰὼβ παθημάτων καὶ τῆς ἀνδρίας· ἣ τὴν τοῦ σατανᾶ δύναμιν, ἐπ᾿ ὀμφαλοῦ τῆς γαστρὸς ἀποφαίνεται καὶ προδείκνυσι· καὶ τὸ περιζώσασθαι τὰς ὀσφύας καὶ στῆναι, τὸ εὐόλισθον αὐτὸ καθυπογράφει· γενναίοις καὶ καρτεροῖς λογισμοῖς ἱστάμενον καὶ κρατυνόμενον. ἀλλ᾿ ἔμοιγε καὶ τοῦτ᾿ εἶναι δοκεῖ τὸ τὴν Εὔαν ὡς ἁπαλωτέραν παθεῖν, ὡς ἄρα τὸ πρὸς πάθος ἑτοιμότατον, ῥᾷστα δὴ λοιπὸν καὶ τὰ τοῦ πάθους δέχεται· καὶ πίπτει μᾶλλον τὸ εὔσειστον. τὸ γὰρ εὐπαθὲς καὶ ῥᾴδιον εὐκατάθετον. ταύτῃ τοι καὶ γυναῖκα τὸ οἰκεῖον ὑπεραναβᾶσαν τὲ καὶ ἀρνησαμένην· ἀρθεῖσαν τὲ πρὸς τὰ μείζω μεγαλοψυχίᾳ καὶ φρονήματι, τῆς ἀρρένων ἔγωγ᾿ αὐτὸς ἀνδρίας προκρίνειν νομίζω· ὅτι μὴ δ᾿ ἴσης ἀξιωτέον εὐφημίας καὶ τιμῆς, τοῖς ἐν ἀνέσει μάλιστ᾿ εὐδρομοῦσιν, εἴ τις ἐν δεσμοῖς καταθέων, ὁπωσοῦν συνεξετάζεται. καὶ στρατιώτην ἐκεῖνον θαυμάσαι τίς ἂν μᾶλλον, τοῦ καλῶς ὡπλισμένου πάνυ τοι δικαίως, ὅστις καὶ γυμνὸς οὐ φεύγει· θαρρεῖ δὲ τὴν μάχην καὶ συμπλέκεται. καὶ Λὼτ ἀκούω μάλιστα τιμώμενόν τε καὶ σφόδρα

31,1 παρθένον V^2: αρθένον V (obl. rubr.) **14** ἣ V^2 e corr. **18** ὡς^2 V^2 s.l. **25** συνεξετάζεται V^2: συνεξετάζηται V

31,8–9 Gen. 2, 21–25 **14–15** Iob 40, 16 **15** Iob 40, 7 **28–32** Gen. 19, 1ff.

μετ᾽ εὐφήμου τῆς μνήμης ἐξ ἐκείνου καὶ νῦν περιλαλούμενον, ὅτι τοσούτων ἐν μέσῳ τὰ κάκιστα καὶ φαυλότατα σπουδαζόντων, τῆς τῶν κακῶν κοινωνίας ἀνώτερος, τἀναντία πράττων ἐκεῖνος, ἀρτίως ἀντεποιεῖτο.

32. Ἐπαινεῖ τις ἄνδρας· ἐν ἀσθενείᾳ κρατοῦντας; ἐπαινείτω γυναῖκας ἐν τῇ τῆς φύσεως ἀσθενείᾳ μᾶλλον κρατούσας. θαυμάζει τίς τὴν ἀνδρίαν, ἣν καὶ φύσις αὐτὴ δίδωσι; θαυμαζέτω μᾶλλον τὴν ἀνδρίαν, ἣν γνώμης ἐξάπτει θερμότης· | ἀνθισταμένης τῆς f. 31v φύσεως. καὶ εἴ σοι μέγα τὸ ῥᾷστα κρατεῖν ἀμάχως, πολλῷ μεῖζον ἔμοιγε δικαίως, τὸ σὺν μάχῃ μᾶλλον κρατεῖν. τὰ γὰρ τῆς φύσεως δῶρα καὶ χάριτος καὶ στεφάνων, οὐκ ἂν ἴσως ἀξιοῖντο. οὐδ᾽ ἀετιδεῖς ἔγωγε θαυμάζω, τῷ ἡλίῳ τὰς ὄψεις ἀντανιστῶντας· ἀλλ᾽ εἴ τις ἐκείνῳ καὶ ὁπωσοῦν ἴσως γλαὺξ ἀντωπήσειε. καὶ τὸ φῶς τὴν φύσιν ὂν πάντων ἥδιστον, τῷ σκότει φαῖνον ἡδύτερον. καὶ ἀγγελικῶς ἀνθρώποις βιώσασιν, ἀγγέλων μᾶλλον τοὺς ἐπαίνους ψηφιζόμεθα· ὅτι δὴ φύσις ὥσπερ ἐκείνοις τἀγαθόν. τούτοις ἐγὼ τοῖς λόγοις πειθόμενος ἵνα μὴ λέγων μηκύνω, Μαρίναν τῆς κατὰ φύσιν ἀρρένων ἀνδρίας, καὶ τῆς ἄλλης εὐδοκιμήσεως, προτιθέναι δεῖν ἥγημαι. καὶ τοίνυν εἰς νοῦν ἔπεισί μοι παραβάλλειν τὰ κατ᾽ αὐτὴν, ἀνδρικαῖς ἀρεταῖς καὶ τολμήμασιν ἀφέμενον, ἐπὶ τὰς πάλαι πρότερον μεγαλωνύμους γυναῖκας, ἔργοις οἷστισιν ἄρα καλλίστοις καὶ περιδόξοις ἀναδραμεῖν τῷ λόγῳ· καὶ τοῖς ἐκείνων παραθεῖναι τὰ τῆς μάρτυρος.

33. Δεβώρα τῆς προφητείας οὐδὲν ἧττον· τῆς κατὰ τῶν ἐναντίων στρατηγίας, ἅμα τῷ κριτῇ καὶ νίκης θαυμάζεται. ἀλλ᾽ ἐνταῦθα Μαρίνα μὴ μόνον τῶν ἔξω τούτων καὶ ὁρωμένων· ἀλλὰ καὶ τῶν νοητῶς κατεπιχειρούντων καὶ μάλα βαρύτατα καὶ κακουργότατα, κατεστρατήγησε· καὶ μέντοι καὶ κατακράτος ἀμφοτέρους καταγωνισαμένη, νίκης ἀπ᾽ αὐτῶν μέγιστον ἐστήσατο τρόπαιον. Ἰαὴλ δὲ μάλιστ᾽ ἐπαινεῖν ἔξεστι καὶ θαυμάζειν τῆς τόλμης, ὅτι δὴ τῷ παττάλῳ τὸν Σισάρα φόνον, σχέδιον οὕτω

29 εὐφήμου V[2] e corr. **32,13** πειθόμενος V e corr. **14** προστιθέναι V a. corr.

32,8 cf. Mich. Chon., Or. 14 (p. 209, 26–27) **33,1–2** Iud. 4, 1–5, 31 **7–9** Iud. 4, 21–22

παραστὰν κατεπράξατο. ἡ δὲ μάρτυς ὥσπερ ῥομφαίᾳ τῷ σταυρῷ χρησαμένη, κατὰ τοῦ δράκοντος ἐν τοῖς δεινοῖς αὐτόθι τάχιστα, τὴν ἐκείνου ῥήγνυσι γαστέρα, καὶ πρὸ τῶν ποδῶν ῥιπτεῖ νεκρόν. Ἰουδὴθ ὑπνώττοντος ἐν ἐκστάσει γραφικῶς ἐρεῖν, κεφαλὴν f. 32 διέκοψε. τῆς δὲ νῦν ἡ νίκη, πρὸς τὸν ἡμέρας καὶ νυκτὸς, | ἀγρύπνως ἐπιτιθέμενον. Ἐσθὴρ ὑπερεῖδε θανάτου· καὶ θανάτου τὸν Ἰσραὴλ ἐλυτρώσατο· καὶ γνώμῃ μὲν τὸ σῶμα τοῦ παντὸς ἔθνους προήκατο· πείρᾳ δὲ τῶν δεινῶν καὶ τῶν κινδύνων τὴν ἐπ᾽ αὐτῷ καρτερίαν, οὐκ ἐπιστώσατο· Θεοῦ τὴν γνώμην ἀπόνῳ φρονήματι κατορθοῦντος. Μαρίνα δὲ τὴν ἀνδρίαν· καὶ ψυχῇ καὶ σώματι· καὶ γνώμης προθέσει· καὶ πείρᾳ σαφεῖ τῶν δυσχερῶν ἐπιδειξαμένη, τοσοῦτο πλῆθος, τὴν εὐσέβειαν ἐπιγνόντας νέον Ἰσραὴλ προσήγαγε τῷ Χριστῷ, καὶ τοῦ θανάτου τῆς πλάνης ἐρρύσατο. Σωσσάνης δὲ τὸ μὲν σῶφρον, αἰδέσιμον· ἡ δ᾽ ἐπὶ τούτῳ καταδίκη· καὶ οἱ κίνδυνοι, οὐκ ἐκείνῃ καταγνώμην ἀπήντων· ἀλλ᾽ ἀκουσίως· καὶ δρᾶν οὐκέτ᾽ ἄλλο καὶ ὁτιοῦν ἔχουσα μετ᾽ ἀνάγκης, ἔφερεν. ἡ δὲ, τήν τε παρθενίαν ἁγνοτάτην τηρήσασα· καὶ προσενεγκοῦσα Χριστῷ· καὶ τῷ τοῖς κινδύνοις αὐθορμήτως χωρῆσαι, μεθ᾽ ὅσης οὐκ ἄν τις ἐρεῖ τῆς ἡδονῆς, τὴν νίκην ἑαυτῆς πάντως ποιεῖται. Ῥαὰβ δὲ πόρνη μὲν· ἀλλὰ φίλοικτος· καὶ τολμηρὰ καὶ φιλόξενος, καὶ τοῦτο πρὸς ἐμπορίαν ἴσως τῆς σωτηρίας· καὶ τὸ τέλος οἶμαι ἔγωγε δηλοῖ. τῇ δὲ, καὶ βίου πάνυ τοι σεμνότητος ἐμέλησεν· ἀλλὰ καὶ πάντα τἀνθάδε παρεῖδε· καὶ πάντων ἠλλάξατο τὰ μέλλοντα· καὶ προέθετο τῶν δοκούντων ἀσφαλῶν καὶ προδήλων. ἀλλὰ καὶ τῆς Σαραφθίας καὶ τῆς Σουμανίτιδος ἐπαινετέον μὲν, τὸ φιλόξενον· αὐτίκα δ᾽ αὐτόθι καὶ τῆς ἀρετῆς ἐν προθύροις, ἡ τῆς μεταδόσεως ἀντίδοσις· καὶ καταπόδας μέγιστον εἰς παραμυθίαν καὶ ῥαστώνην, ἐπὶ τῇ παρασκευῇ τοῦ καλοῦ, τῇ μὲν, τὸ τρέφεσθαι, παραδόξως, τρέφουσαν· Σουμανίτιδι δὲ τάχισθ᾽ ὁ παῖς καὶ ῥᾷστα, νεκρὸς ἀνιστάμενος. Μαρίνα δὲ Χριστὸν αὐτὴ ξενίσασα· μᾶλλον δὲ ἑαυτὴν ἐκείνῳ προσαγαγοῦσα, διὰ μαρτυρίου θυσίαν· καὶ θυσίαν ὄντως εὐάρεστον καὶ δεκτὴν, ἡ δὲ, μισθὸν,

33,21 προσήγαγε V[2] e corr. **37** τάχισθ᾽ ὁ V[2] e corr.

12–13 Iudith 13, 3–10 **14–18** Esther 2, 1–9, 31 **22–25** Sus. 1–64 **28–29** Ios. 2, 1–21 **36–37** III Reg. 17, 7–24 **37–38** IV Reg. 4, 8–37 **40** θυσίαν[2] … δεκτὴν Phil. 4, 18

λοιπὸν ἔχει, τὸ συνεῖναι Χριστῷ· καὶ ζῆν ἀθάνατα· καὶ τρυφὴν ἀιδίων ἀγαθῶν καὶ μενόντων. τὰς τοῦ Χριστοῦ | μαθητρίας f. 32v ἐμιμήσατο· μάλα δὴ ψυχῆς ὅλῃ παρασκευῇ ἐδούλευσεν ὅλης τῷ Χριστῷ ζωῆς. ἐζήτησε τὸν Χριστὸν ὑπὲρ ἡμῶν θανόντα· ἔδραμε πρὸς τὸν τάφον· ἔσπευσε πρὸς τὸν θάνατον· ἰδεῖν ἐκεῖνον ποθοῦσα. κατὰ τὴν θαυμασίαν Θέκλαν ἐκείνην ὑπὲρ Χριστοῦ, μυρίοις κινδύνοις ἐνήθλησε· καὶ νῦν τὸν οὐρανὸν οἰκεῖ σὺν ἐκείνῃ, τῶν αὐτῶν ἀπολαύουσα πάντων ἐπιτυχὴς ὧν ἤρα.

34. Καὶ τὰ μὲν ἐκείνης τοιαῦτα. ἀλλ᾽ ἡμῖν γε λοιπὸν ὁ λόγος πέρας ἔχει καὶ εἴργασται. εἰ δὲ μὴ παντάπασιν ἀναξίως τῆς μάρτυρος, ἐκείνῃ δὴ πάντως εἴργασται· ᾗ καὶ θαρρήσας, ἐπεβαλόμην τὴν ἀρχὴν, τοῖς αὐτῆς ἐγκωμίοις. εἰ δ᾽ ἄρα καὶ ὡς ἑτέρως ἔχει, τοῦτο μὲν ἤδη σαφῶς ἐμὸν ἁμαρτίας ἢ οὐκ οἶδ᾽ ἧστινος ἀμαθίας ἂν, εἴη αἰτίαμα. ἀλλ᾽ ἥ γε μάρτυς εὖ οἶδα, καὶ οὕτω συγγνώμων ἡμῖν ἔσται πρὸς τὸν πόθον καὶ τὸν ὅλον ὁρῶσα τοῦ λόγου σκοπόν. καὶ ναὶ, συγγνοίης ἡμῖν κατ᾽ ἐλπίδας ὦ παρθένε καὶ μεγαλόμαρτυς, κατευθύνουσα πρὸς τὰ κρείττω· καὶ προάγουσα λόγοις οἷς ἀμέλει σπουδάζομεν ἀεὶ καὶ πράγμασιν.

43 an δι᾽ ante ὅλης addendum? **34,9–10** προσάγουσα V a. corr.

42 Mt. 28, 1; Marc. 16, 1–2; Luc. 24, 1

3

f. 32v

Εἰς τὸν ἀρχιστράτηγον Μιχαὴλ· καὶ εἰς τὰς ἀγγελικὰς ἀσωμάτους οὐσίας

1. Καὶ φύσις ἔοικε καὶ τέχνη κατὰ τάξιν ἄγεται· καὶ κινεῖται· καὶ νόμους αὐτῆς ἑκατέρα τιμᾷ· καὶ δρᾶν ὁτιποτοῦν οἵα τ᾿ ἐστί· καὶ ὡς ἀληθῶς ἄφυκτόν τινα ταύτην ἀνάγκην ἔχει· καὶ λόγου μέτροις ὁρίζεται. ὡς δ᾿ ἄρ᾿ οὕτως ἔχει, πάντως οὐ χαλεπὸν κατιδεῖν· εἴ τις ἅπασιν ἐφιστάνει προσέχων τὸν νοῦν· καὶ φυσικοῖς τὲ καὶ τεχνικοῖς. ἦσαν ἄρα καὶ ζωγράφοι τέχνης καὶ αὐτοὶ δουλεύ- (f. 33) οντες ὅροις· καὶ οὐδὲ τούτοις ἔξω τῶν νενομισμένων, | κινεῖσθαι φαίη τις ἄν, ἐξεῖναι. ταῦτ᾿ ἄρα τούτων εἴ τις πρὸς τὰ τῆς τέχνης ἀποσεμνύνοιτο μέτρα, ὥστε τὰ ὑπὲρ αἴσθησιν ὅπως ἄρα περικλείειν κατατολμᾶν ὑλαίοις μορφώμασι, μαίνεσθαί τε δοκεῖ· καὶ παραχρῆμα μηδὲν ἀνύτων ἔπειτα ξυνίησιν. εἰ δὲ καὶ λόγῳ κοινὰ πρὸς τοὺς ζωγράφους ἐστὶν (ἔστι μὲν οὖν, ὅτι δὴ πρὸς ἕν τι τέλος, ἔστιν οὗ τῶν πραγμάτων ὁρῶσιν ἀμφότεροι· ἄλλως τε καὶ λόγος μετὰ τούτων τὲ καὶ τῶν ἄλλων ἁπάντων τοῖς τῆς φύσεώς τε καὶ τέχνης νόμοις ἔχεται, ὅτι δὴ παρ᾿ ἑκατέρας τούτων ἀληθῶς οὐσίωται), ἀγαπητέον ἔστι καὶ τούτῳ μετὰ τῶν ἄλλων τοὺς τῶν οἰκείων ὅρων δεσμούς· καὶ μέχρι τούτου κινητέον, μέχρις ἄν, ἐκείνοις οἶμαι δοκῇ· ὡς τό γε καὶ καταβραχὺ νεωτερίζειν· καὶ ὑπεράλλεσθαι μειζόνων ἢ καθ᾿ αὑτὸν ἁπτόμενον, οὐ μετρίως ἅπασι λυμαινόμενον.

2. Ἐπεὶ δὲ οὕτω ταῦτα· καὶ οὐδεὶς ἀντερεῖ πάντως τῶν βουλομένων τιμᾶν τἀληθὲς, τί ποτ᾿ ἄρα χρησαίμεθα τῷ τε λόγῳ τὸ προσῆκον ἑαυτῷ συνορῶντι· καὶ καλῶς αἱρουμένῳ· καὶ φίλοις ἀνδράσιν οἳ πρὸς ὑψηλότερα τοῦτον διανιστῶσι καὶ (πῶς ἂν εἴποι τις;), εὖ μάλα τυραννοῦσι καὶ βιάζονται; ὁ μὲν γὰρ, ταῖς ἀγγελικαῖς οὐσίαις προσιέναι· καὶ εἰσφοράν τινα δικαίαν ἀφοσιοῦσθαι, ποθεῖ μὲν ἐπιεικῶς· ἀλλ᾿ ἧττον ἔχων αἰσθάνεται· οἱ δὲ καθόσον οἷόν τε προτρεπόμενοι καὶ τὸν πόθον ἐξάπτοντες· ἐφῷ τῷ τῆς ἀγγελικῆς χοροστασίας ἡγεμόνι τὸν δυνατὸν ὕμνον εἰσενεγκεῖν,

tit. λόγος γ´ V² in marg. **2,4** οἳ V²: ἢ V | τοῦτον V² e corr. **7** ἧττον correximus: ἥττων V

οὐκ ἀνιᾶσι (πολὺς ἤδη χρόνος), οὐδὲ φασὶν ἀνήσειν, μέχρις ἄν, περιγένοιντο. καὶ δὴ περιγίνονται· καὶ δὴ πρὸς τοὖργον νῦν ὁ λόγος οὗτος ἄρα τὴν εἴτε δειλίαν χρὴ λέγειν· εἴτε σώφρονα τέως εὐλάβειαν ἀποσεισάμενος· καὶ τῆς τῶν ἐπαιρόντων προθυμίας παντάπασι καὶ σπουδῆς γενόμενος – εἴη δ' ὦ τῶν ἄνω Μιχαὴλ ἀρχηγὲ | ταγμάτων· μήτε σοῦ πάμπαν ἀναξίως πονεῖν, μήτε τῶν κοινῶν ἐμοῦ, τε· καὶ τῶν κινησάντων ἐλπίδων καὶ πόθων. σοί τε γὰρ θαρρῶν ὡς προστησομένῳ, καὶ ταῖς ἐκείνων εὐχαῖς ἤδη τοῖς περὶ σοῦ λόγοις, ἐπιβάλλειν κατατολμῶ· καὶ πειρᾶσθαι λοιπὸν ὡς οἷόν τε, καὶ μετὰ ταύτης δὴ τῆς προσδοκίας, τὸ γιγνόμενον ἀξιῶ προσάγειν. καὶ ἅμα (οὐδὲ γὰρ οὐδὲ τοῦτο παραλιπεῖν δίκαιον), καὶ τοῦτο πρὸς τοῖς εἰρημένοις οὐκ οἶδα μὲν εἰ συνετῶς· ὅμως δ' οὖν, ἔπεισί μοι λογίζεσθαι· ὡς παντὸς μᾶλλον ὁ Μιχαὴλ, τὴν δυνατήν μοι ταύτην εὐφημίαν καὶ φορὰν προσήσεται· ἅτε περὶ Θεὸν ὢν τὰ πρῶτα· καὶ τὰ τῆς θείας μάλιστα φύσεως· καὶ ξυνορῶν αὐτὸς καὶ μιμούμενος· ἧς οὐκ οἶδ' ὡς εἴ τι καὶ ἄλλο τῶν ἁπάντων ἰδιαίτατον, τὸ μὴ πρὸς αὐτὴν ὁρᾶν τὴν ἑκάστων ἑκάστοτε προσαγωγὴν καὶ φορὰν· ἀλλ' εἰς αὐτὴν φιλανθρώπως τοῦ προσάγοντος τὴν προθυμίαν καὶ τὴν τῆς γνώμης παρασκευήν. f. 33v

3. Οὐ μὴν ἀλλὰ καὶ ὃ προυθέμεθα τὴν ἀρχὴν· τὸ τῆς γραφικῆς ἐργασίας ὡς ἔχον τινὰ τοῖς τοῦ λόγου πράγμασιν ὡς ἀληθῶς συγγένειαν, τοῦτο καὶ μᾶλλον νῦν ἐνθάδε συμπράττον· καὶ τρόπον τινὰ καταπεῖθον ἐπιχειρεῖν· ὅτι καὶ ζωγράφος τὰ τῆς ἀγγελικῆς οὐσίας ἀΰλου θρασὺς, οὐκ ἀποκνεῖ χαρακτηρίζειν, ὑλικοῖς μορφώμασι· καίτοι ζωγράφος ἐκεῖνος, τεχνίτης ἐστὶ παντάπασιν, αἰσθήσει δοὺς ἑαυτὸν· καὶ συγκλειόμενος, ἐπὶ ῥητοῖς τῇ τέχνῃ· καὶ ὅλως αὐτῆς ὡς εἰπεῖν ἐξημμένος· αἰσθητὰ μὲν τὸ πρῶτον ἔχων ἀρχέτυπα· καὶ δι' εἰκόνων αἰσθητῶν αὖθις ταῦτα, διαπορθμεύων, πρὸς τὴν ἐντυγχάνουσαν καὶ προσαπτομένην αἴσθησιν· συνεργῷ προσχρώμενος φαντασίᾳ. καὶ καθόλου γ' ἐρεῖν ὁ ζωγράφος, αἰσθήσεως ὑπηρέτης· ὁ δέ γε λόγος, λογισμοῦ τε καὶ νοῦ· ὅτι διὰ τούτου πάντως ὡς ἀυλοτέρου γραφέως, τὰ νοητὰ καθιστορεῖται· καὶ ὥσπερ εἰκονίζεται· καὶ πομ|πεύει καὶ παραπέμπεται πρὸς f. 34 ἐποπτίαν νοητὴν ταύτην, πάσης ὑπερκειμένην αἰσθήσεως. ὅτε δ' οὕτω ταῦτ' ἔχει, καὶ διὰ λόγου μᾶλλον τοῖς νοητοῖς συναπτόμεθα·

3,1 ὃ V² e corr. **10** ἐντυγχάνουσαν V²: τυγχάνουσαν V

ζωγράφος δὲ καίτοι γε περὶ τὴν αἴσθησιν ὁριζόμενος· τοῖς νοητοῖς ἐκείνοις ὅμως καὶ ἀΰλοις, καὶ καθόλου γε εἰπεῖν τοῖς ὑπὲρ αὐτὸν, ἐπιπηδᾷ· καὶ λειποτακτεῖ καὶ προάλλεται, τί οὐκ ἀποδειλιατέον ἡμῖν ἂν εἴη κἀντεῦθεν· καὶ ὡς ἔνεστι πειρατέον, ὧν τὴν ἀρχὴν ἐπεβαλόμεθα· ποιησαμένους ἀρχὴν τῶν λόγων ἐμοὶ δοκεῖν, προσήκουσαν· αὐτὴν τὴν ὑπεράρχιον, τῶν ὄντων ἀρχήν;

4. Θεὸς ἔστι μὲν ὑπερκειμένη τῶν ὄντων πάντων φύσις· ἁπλῆ τε καὶ νοερὰ· ἀόριστος τοπικῷ καὶ χρονικῷ διαστήματι· καὶ καταλήψει νοήσεως ἀλλοτρίας· αὐτὴ δ᾽ ἑαυτὴν νοοῦσα τὲ καὶ καταλαμβάνουσα· ὅτι μὲν ἔστι· καὶ πάντων ἔστι τῶν ὄντων προνοουμένη· καὶ συνέχει τὰ πάντα· δυνάμεως περιουσίᾳ· μᾶλλον δὲ καὶ προήγαγε τὴν ἀρχὴν, πᾶσι γινωσκομένη τοῖς γε νοῦν ἔχουσι· τίς δ᾽ ἐστὶ τὴν οὐσίαν· καὶ οἵα, λογισμοῖς ἀνθρωπίνοις καθάπαξ ἀσυλλόγιστός τε καὶ ἄληπτος· αὐτῷ δὴ τούτῳ μόνῳ καταλαμβανομένη τρόπον τινὰ ὡς ἔστιν ἀκατάληπτος· καὶ θεωρίαν ὑπερβαίνει πᾶσαν αἰσθήσεως, καὶ λόγου καὶ νοῦ. φύσις γὰρ τίς ὑπερφυὴς, ἔστι· καὶ οὐσία τις ὑπερούσιος· καὶ νοῦς ὑπὲρ νοῦν. καὶ τἆλλα πάντα τῶν ἐπὶ Θεοῦ λεγομένων, μετ᾽ ἀφαιρέσεως λέγεται· ὅτι μὴ δ᾽ ἔστι τί τῶν ἐπ᾽ αὐτοῦ λεγομένων κύριον. ὅρος μὲν γάρ τις οὐσίας ὥσπερ συνεσταλμένος τοὔνομα ἐστὶ· τὴν δ᾽ ἄρα θείαν φύσιν, παντελῶς ἀόριστον ἤδη φθάνομεν εἰρηκότες· κἂν θεὸν ἐρεῖ τις τὸν Θεὸν· κἂν δημιουργὸν· κἂν πατέρα, οὐδὲν τῆς οὐσίας ἐντεῦθεν ἥψατο τοῦ Θεοῦ· ἀλλά τι περὶ τὴν μακαρίαν ἐκείνην φύσιν ἱστορεῖ θεωρούμενον· τοῦτό τε καὶ ἅμα διὰ τῶν καθ᾽ ἡμᾶς δηλοῖ τὰ ὑπὲρ ἡμᾶς· μὴ ἔχων ὅπως ἄλλως χρήσαιτο· ἀποροῦντος
f. 34v τοῦ νοῦ ῥήμασιν ἐντυχεῖν οἰκείοις τῆς θείας φύσεως· | καὶ διατοῦτο τοῖς καθ᾽ ἡμᾶς ἀμέλει τούτοις καὶ εὐποριστοις εἴ ποι παρήκει χρωμένου πρὸς ἀπαγγελίαν τῆς περὶ Θεοῦ καταλήψεως.

4,1 θεὸς V^2 (abbreviatura): ς V (obl. rubr.) **3** δ᾽ ἑαυτὴν νοοῦσα V^2: δὲ αὑτὴν κατανοοῦσα V **8** αὐτῷ δὴ τούτῳ μόνῳ V^2: αὐτὸ δὴ τοῦτο μόνον V

3,22 cf. Ps.-Dion. Areop., De coel. hier. 7, 4 (p. 32, 11) **4,3–4** cf. Alex. Aphr., Comm. in Metaph. (p. 699, 1–11) **4–6** cf. Ps.-Dion. Areop., De div. nom. 1, 3 (p. 111, 12–16) **7–10** cf. Ps.-Dion. Areop., De div. nom. 1, 2 (p. 110, 5–6) et 1, 5 (p. 117, 5–13); Ioh. Dam., Exp. fid. 4, 2–3 (p. 12) **10–11** cf. Id., De coel. hier. 15, 2 (p. 52, 9) **12** cf. Id., De myst. theol. 2 (p. 145, 7–8) **13–14** cf. e.g. David, Proleg. phil. 12, 1–2

ἔστι δὲ τριὰς ταῖς ὑποστάσεσιν ὁ Θεός· καὶ εἰ τὴν φύσιν εἷς ὁ Θεός· ἡ Τριάς· ὁ Πατήρ· ὁ Υἱός· καὶ τὸ Πνεῦμα τὸ Ἅγιον. ἄναρχος ὁ Πατὴρ τήν τε κατὰ χρόνον· καὶ ἔτι γε τὴν κατὰ τὴν αἰτίαν τοῦ εἶναι θεωρουμένην ἀρχήν· ὁ δ᾽ Υἱὸς καὶ τὸ Πνεῦμα, τὴν μὲν χρονικὴν καὶ ταῦτα πάντως ὑπερβέβηκεν ἀρχήν· μόνην δὲ φυσικὴν ἀρχὴν ἔχει τὸν Πατέρα, κατά τινα διάφορον ὕπαρξιν. ὁ μὲν, γὰρ ἐκ Πατρὸς ἄχρονον ἔχει τὴν γέννησιν· τὸ δὲ, τὸν αὐτὸν λόγον ὑπὲρ λόγον· ὑπὲρ χρόνον, ἐκ τοῦ Πατρὸς ἐκπορεύεται· μόνον αὐτὸν τὸν Πατέρα τῆς οἰκείας ὑπάρξεως ἔχον αἴτιον.

5. Καὶ ταῦτα μὲν εἰς τοσοῦτο. οὐδὲ γὰρ ἴσως ὑπὲρ ταῦτα δέον ἡμῖν ἐκτείνεσθαι· ἀλλὰ ταῖς ἁπλαῖς τῆς θεολογίας ἱστάνειν τὸν νοῦν θέσεσιν· ὅτι μήτ᾽ ἄλλοτ᾽ ἦν ἀσφαλές· μήτ᾽ ἐν τοῖς νῦν μάλιστα καιροῖς, περαιτέρω προϊέναι καὶ διερευνᾶσθαι τὰ περὶ Θεοῦ· ἐξὸν δὲ οὕτως ἁπλῶς εὐσεβεῖν, καὶ ῥᾷστα καλῶς τε καὶ ἀσφαλῶς, ἔχειν, φεύγοντα τὸ δυσχερὲς τῆς ζητήσεως, ἄνοια πάντως ἂν εἴη μεγίστη, κινδύνων ἀλόγως τοσούτων κατατολμᾶν, καὶ λόγον ὑπέχειν τοῖς πλείοσιν. ὃ δέ γε νῦν ὁ λόγος ἠβούλετο· καὶ πρὸς ὃ διὰ τῶν εἰρημένων ἠπείγετο, ὅτι Θεὸς ἦν μὲν καὶ ἔστι φύσις ἀνενδεής· ἀγαθότητι δὲ μόνον, οὐ πρὸς χρείαν, δημιουργεῖ· καὶ πρὸς οὐσίαν προάγει, τήν τε ὁρωμένην ταύτην κτίσιν, καὶ ὅση τοῖς αἰσθητοῖς ὀφθαλμοῖς ἀθεώρητος (τὴν νοητὴν λέγω πᾶσαν φύσιν), πρώτως δεχομένην τὴν ἄνωθεν θείαν αἴγλην· τῷ μᾶλλον πρὸς Θεὸν ἐγγίζειν καὶ μεσάζειν ἐντεῦθεν ἡμῖν φυσικῶς· καὶ διαπορθμεύειν ἐκεῖθεν τὴν ἔλλαμψιν. ταύτας δὴ τὰς νοερὰς οὐσίας, οἱ μὲν, οὐρανοῦ καὶ γῆς· καὶ τῶν ὁρωμένων ἁπάντων κτισμάτων, προγεγενῆσθαι φασίν· ὡς ἄν, περὶ Θεὸν ἀεὶ στρεφομένας, οἰκειότερον· καὶ νοεῖν· καὶ ὑμνεῖν, | εἰ καὶ μὴ καθόσον εἰκός, τὴν θείαν οὐσίαν f. 35
καὶ δύναμιν· οἱ δέ, τῶν ὁρωμένων τούτων, μὴ προδεδημιουργῆσθαι βούλονται ὡς οὐδεμίαν οὖσαν ἀνάγκην τῶν ὑμνούντων δεῖσθαι τὸ θεῖον· καὶ τούτου δὴ πάντως χάριν πάντων, ὑποστῆναι

31 ἔχων V a. corr.

5,2–8 cf. Or. 10, 12, 14–18 et 13, 24–25; cf. etiam Greg. Naz., Or. 4, 117, 18–19 (p. 282) **9–10** cf. Ps.-Dion. Areop., De coel. hier. 4, 1 (p. 20, 9–10); cf. Or. 10, 10, 5–7 **12–15** cf. Ps.-Dion. Areop., De coel. hier. 4, 2 (p. 21, 3–14) **16–18** cf. Ioh. Dam., Exp. fid. 17, 75–81 (p. 48); Ioh. Philop., De opif. mundi 15 (p. 33, 11–25); Mich. Glyc., Annal. (pp. 152, 10–154, 2)

πρότερον τοὺς αὐτοὺς τῶν ἄλλων πάντων, τιμιωτέρους ὑμνῳδοὺς τῆς ἄνω μεγαλοπρεποῦς ἐκείνης λαμπρότητος. ἢ γὰρ ἄν, φασὶν οὕτω, καὶ εἰς πάνυ τοι τὸν λόγον ἄτοπον καὶ τολμηρὸν προάγειν· ὡς καὶ συναϊδίους τῷ δημιουργῷ τῶν ὅλων, τὰς ἀγγελικὰς οὐσίας ἐντεῦθεν καταναγκάζειν· εἴπερ τῶν ὑμνούντων ἀεὶ προσδεόμενος· καὶ εἶχε πάντως ἀεί. τὸ γὰρ προσδεόμενον μὴ τυγχάνειν, τολμᾶν λέγειν· μὴ καὶ ἀσεβέστατον ἢ καὶ πολλῷ γε ἀτοπώτερον. ὃ δὲ πρὸς τὸν Ἰὼβ εἴρηται παρὰ Θεοῦ, «ὅτε ἐποίουν ἄστρα ᾔνεσάν με πάντες ἄγγελοί μου», οὐδὲν πρὸς τὸν λόγον εἶναι φασίν· οὐδὲ προύργου τῷ σφετέρῳ σκοπῷ. ἄστρα μὲν γάρ· καὶ ἥλιον· καὶ σελήνην, ἡμέρᾳ γενέσθαι τετάρτῃ, τὰς ἱερὰς ἱστορεῖν βίβλους· ἀγγέλους μέν γε τῇ πρώτῃ τῶν ἡμερῶν, εἰκὸς εἶναι συνδημιουργηθῆναι τοῖς πρώτοις οὐρανῷ τὲ καὶ γῇ. τοῦτό τε καὶ ἅμα προσεπάγουσιν· ὡς ἐπεὶ Θεὸς μόνον τῶν ἁπάντων ἀπερίγραπτον· ἄγγελοι δὲ καὶ αὐτοὶ πρὸς τοῖς ἄλλοις· καὶ εἰ νοεροὶ τὴν φύσιν, περιγράφονται γοῦν ὅμως καὶ τόποις ὁρίζονται, πῶς ποτ᾽ ἄν, οὐρανοῦ καὶ γῆς πρότερον, φθάσαντες ἄν, γεγένηντο, μή τινος οὔσης διαστάσεως τοπικῆς, πρὸ τῆς τοῦ παντὸς τοῦδε δημιουργίας τὲ καὶ συστάσεως; μὴ δὲ γὰρ εἶναι φύσιν περιεχόμενον ὅλως εἶναί τι, μὴ φθάσαντος ἤδη καὶ προϋποκειμένου τοῦ περιέχοντος.

6. Ταῦτα μὲν οὖν οὕτως ἐκεῖνοι περὶ τούτων ἑκατέρωθεν, συνιστᾶν τὸ δοκοῦν καὶ κρατύνειν ἀξιοῦσιν. ἐμοὶ δὲ τὸ μὲν περὶ τὰ τοιαῦτα, ζητεῖν· καὶ τρίβειν· καὶ πολυπραγμονεῖν· ἀκαίρως ἴσως
f. 35v φιλοτιμούμενον, οὐδὲν εἶναι προύργου δοκεῖ τῷ λόγῳ· | οὔτ᾽ οἴκοθεν τολμηρῶς αὐτὸν ἀποφαινόμενον, οὔτ᾽ ἄρα τοῖς ἑτέροις οἷστισιν ἄν, αὐτὸν προστιθέμενον. ταύτῃ τοι, τὸν περὶ τούτων λόγον, δοκῶ μοι παρήσειν. ὅτι δὲ καὶ αὗται· πάντως αἱ νοεραὶ δυνάμεις, μετὰ πάντων παρὰ τοῦ πάντων ποιητοῦ καὶ γεγόνασι καὶ ἀρχὴν χρονικὴν ἔσχον· εἰ καὶ τὴν φύσιν λοιπὸν ἄφθαρτοι μένουσιν ἐκεῖθεν καὶ ἀτελεύτητοι, τοῦτο καὶ παντάπασιν ἀληθὲς

5,22 αὐτοὺς V^2: αὐτοῦ V **31** προύργου V^2 e corr. **36** εἰ V^1: οἱ V **38** πρότερον V^1 in marg. **40** φύσιν V e corr. **6,1** Ταῦτα scripsimus: αῦτα V (obl. rubr.) **8** καὶ γεγόνασι V^1 in marg. **9** οὐ χρονίαν ἔσχον ἀρχὴν ἀλλ᾽ ὑπέρχρονον τὴν δι᾽ αἰῶνος scholium in marg. altera manu

29–30 Iob 38, 7 **31–32** Gen. 1, 14–19

καὶ πάντων μάλιστ᾽ ἀναγκαῖον ἐρεῖν. οὐδὲν γὰρ τῶν ὄντων ἄνευ τῆς ὑπὲρ πάντα τὰ ὄντα θείας Τριάδος, ὡς ἡ καθ᾽ ἡμᾶς φιλοσοφία φησὶν, ὃ μὴ γένεσιν ἔσχε δουλεύουσαν χρόνῳ· καὶ τοῦτο γε μὴν ἄρα κἀν τοῖς ἀγγέλοις αὐτοῖς, ῥημάτων ἔξεστι γραφικῶν πιστοῦσθαι. ὑμνεῖν γὰρ τὸν Θεὸν καὶ τούτοις Δαβὶδ ἐγκελεύεται. «αἰνεῖτε» γὰρ «αὐτὸν» φησὶ «πάντες ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτὸν πᾶσαι αἱ δυνάμεις αὐτοῦ»· καὶ τὴν αἰτίαν ἐπὶ τούτοις ἐπάγει δι᾽ ἣν, «ὅτι αὐτὸς εἶπε καὶ ἐγενήθησαν· αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν»· καὶ αὖθις ἐν ἑτέροις· «ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα· καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα»· τὸ πρὸς τὴν θείαν φύσιν ἐοικὸς ἐντεῦθεν ὑπογράφων· ὅτι Θεὸς, καὶ πνεῦμα καὶ πῦρ ὀνομάζεται τῇ γραφῇ. τό δ᾽ αὐτὸ τοῦτο καὶ οἱ μακαριστοὶ παῖδες ἐκεῖνοι, περὶ τῆς ἀγγελικῆς τρανοῦσιν οὐσίας. τὴν γὰρ θαυμασίαν ἐκείνην ὑμνῳδίαν ἐπὶ τῆς καμίνου· τῷ κτίστῃ τῶν ὅλων καταριθμοῦντες καὶ συνείροντες· τοῦ λόγου παντὸς ἐκεῖνο προθέμενοι, «εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον», εὐθὺς ὡς πρῶτον τῶν ἄλλων ἐκείνου δημιουργημάτων καὶ τιμιώτερον, ἐπάγουσιν αὐτίκα προτάττοντες· «εὐλογεῖτε ἄγγελοι Κυρίου τὸν Κύριον».

7. Καὶ τί δεῖ προστιθέντα πάνθ᾽ ἑξῆς ἀπειροκάλως ἴσως ἐνθάδε τρίβειν; ἀποχρώντως γὰρ ἔχειν μοι δοκῶ, καὶ ταῦτα πρὸς τὴν τοῦ λόγου βούλησιν. ἀλλὰ καὶ ἀριθμητοὶ τὸ πλῆθος καὶ περιγραπτοὶ τὴν φύσιν οἱ ἄγγελοι· καὶ οὕτως ἄρα πέρας ἔχουσιν ἀριθμῷ· καὶ τῷ περιγράφεσθαι τοπικῶς· καὶ τούτων ἑκάτερον, διὰ θάτερον· | f. 36
ἀριθμητοὶ τὸ πλῆθος ὅτι περιγραπτοί. εἰ γὰρ πᾶσα τοπική τις διάστασις, ὁρίζεται τῷ παρόντι κόσμῳ καὶ συγκλείεται· καὶ οὐδέν ἐστι τοπικῶς περιέχον, τοῦ κόσμου τοῦδε πάντως ἐκτὸς· οὗτος δὲ πεπερασμένος ἐστὶ, τά γε παρὰ τούτου λοιπὸν ἐχόμενα· καὶ εἰ πάνυ τοι πρὸς πλῆθος μερίζοιτο, οὐκέτι καὶ μέτρον ὑπερβαίνει· πρὸς τόπον οὐκ ἄπειρον, κἂν εἰ διωρισμένως ἀριθμῷ περαίνοντα.

13 ἔσχε V^2: ἔσχεν V **14** *διὰ ῥημάτων* exspectaveris **21** *πνεῦμα* V^2: *πνα* V (in abbreviatura) **25** *καταρριθμοῦντες* V a. corr. **7,2** *ἀποχρώντως* V^2: *ἀποχρῶντας* V **10** *μερίζοιτο* corr. Re: *μερίζοιντο* V

6,16–17 Ps. 148, 2 **18–19** Ps. 148, 5 **19–20** Ps. 103, 4 **26** Dan. 3, 57 **28–29** Dan. 3, 58 **7,6–13** *εἰ…τοῖσδε*[1] cf. Ioh. Dam., Exp. fid. 17, 31 (p. 46) et Sacra parall., PG 96, 477BC; Arist., De cael. 276a21–22

περιγραπτοὶ τὴν φύσιν αὖθις ὅτι κατὰ τοπικὰς διαιρέσεις ἀριθμητοί. εἰ γὰρ ὁ μὲν, τοῖσδε· ὁ δὲ, τοῖσδε τοῖς ἔθνεσί τε καὶ τόποις, καὶ κλίμασιν ἐφεστήκασι· καὶ τῶν ἀνθρώπων ἑκάστῳ κατὰ τὸ θεῖον ἡμέτερον δόγμα παρέπεταί τις ἄγγελος καὶ σύνεστι καὶ πρὸς τὰ κρείττω καὶ βιοῦν εὖ συναίρεται καὶ ἡγεμονεύει, μήποτε λείπων ᾧ ξυνέλαχεν, ἐντεῦθεν οἶμαι δῆλον, ὡς καὶ περιέχονται τοπικῶς καὶ περιγράφονται. ἢ πῶς ἄν τις νοήσειε τὰς παρὰ τῷ θαυμαστῷ Δανιὴλ χιλίας χιλιάδας· καὶ μυρίας μυριάδας ἀγγέλων μηδαμῶς ὁρίζων αὐτὰς· τοπικαῖς διαστάσεσιν· ἢ τὰς τῶν ἐθνῶν τε· καὶ τὰς καταμέρος τῶν ἀνθρώπων προστασίας τὲ καὶ ἡγεμονίας; ὅπερ αἱ θεῖαι γραφαὶ καὶ Χριστὸς ἐπὶ πᾶσι φησὶν ἡ αὐτοαλήθεια· μὴ καταφρονεῖν ἑνὸς δὴ τούτων, τῶν εἰς αὐτὸν πιστευόντων ἐγκελευόμενος· καὶ τὸ τῆς ἐντολῆς εἰκὸς προστιθείς. τοὺς γὰρ ἀγγέλους αὐτῶν, τὸ τοῦ Θεοῦ πρόσωπον ἐν τοῖς οὐρανοῖς ὁρᾶν. Μωσῆς δὲ ὁ μέγας· καὶ πάντων σχεδὸν ἐπόπτης τὲ καὶ διδάσκαλος, καὶ τῶν τοῖς πλείστοις ἀρρήτων καὶ ἀπορρήτων, καὶ τοῦτο δὴ πρὸς τοῖς ἄλλοις ἱστορεῖ· ὡς ἄγγελοι παρὰ Θεοῦ τοῖς ἔθνεσιν ἅπασιν, ἐπιστάται νενέμηνται. «ὅτε γὰρ διεμέριζε» φησὶν «ἔθνη ὁ ὕψιστος, ἔστησεν ὅρια ἐθνῶν, κατὰ ἀριθμὸν ἀγγέλων». ὁρᾷς ὡς καὶ ἀριθμὸν ἀγγέλων· καὶ τοπικὸν ὅρον ἐν τούτοις Μωσῆς ὁ θεῖος νομοθετεῖ, καὶ δοκεῖν δίδωσι; τοιγαροῦν ὁ τῷ Δανιὴλ διαλεγόμενος ἄγγελος· καὶ Περσῶν φησὶ καὶ Ἑλλήνων ἄρχοντα· καὶ
f. 36v Μιχαὴλ ὁ ἀρχάγγελος, τὸ | τῶν Ἰουδαίων ἔθνος κληροῦται· καὶ ἄλλος ἄλλο· καὶ τῶν ἐκκλησιῶν ἑκάστη διὰ τῆς ἀποκαλύψεως, ὁ μέγας εὐαγγελιστὴς Ἰωάννης ἄγγελον ὑπὸ Θεοῦ τεταγμένον ἐπιστάτην βούλεται καὶ καθιστορεῖ. καὶ δυσχερὲς ἂν, εἴη τὰ πάντα προφέρειν· καὶ ἅμα περιττὸν ἴσως ἐξ ὧν ὅτι περιγραπτὴ τῶν ἀγγέλων ἡ φύσις ἔξεστιν ἀσφαλῶς συλλογίζεσθαι.

8. Τοῦτο γε μὴν καὶ πᾶσι τοῖς τῶν θείων ἐπιστήμοσι· καὶ δοκεῖ· καὶ τρανῶς εἴρηται. εἰ δέ τις τοῦθ᾽ ἡμῖν ἴσως προφέρει ὡς δή τι μέγα προφέρων· καὶ ἀναγκαίως αἱρήσων· ὡς ἀσωμάτους οὔσας τὰς ἀγγελικὰς οὐσίας, καὶ ἀνάγκη μὴ περιγράφεσθαι· ἐπειδήπερ

16 εὖ V^2 s.l. **31** καὶ[1] V^2 s.l.

19 Dan. 7, 10 **23–25** Mt. 18, 10 **29–30** Deut. 32, 8 **32–33** Dan. 10, 20 **35–37** Apoc. Io. 1, 20–3, 22

τῶν σωμάτων τὸ περιγράφεσθαι (τὸ γὰρ ἐναντίον τῷ ἐναντίῳ λόγος ἐστὶν ἐκ φιλοσοφίας, ὡς τάχα δοκεῖ τισιν, ἀξιωματικῶς προτεινόμενος), πρῶτον μὲν ἴστω μηδαμῶς ἐν πᾶσιν ἔχουσαν τἀληθὲς τὴν ἀξίωσιν· ἀλλὰ δοξαστικῶς κειμένην. ἔπειτ᾽ εἰ καὶ μάλιστα δοίη τις ἀληθῆ τὴν ὑπόθεσιν, οὐδὲν ἄν, ἐντεῦθεν εἴη τι πλέον, τῇ τῶν προτεινόντων σπουδῇ· ὡς οὐδεμίαν οὖσαν ἀνάγκην, τὸ ἀσώματον ἐκ τούτων ἀπερίγραπτον ἀποδείκνυσθαι· μέχρις ἂν μηδαμῶς ἐναντίον ὁρῷτο τῷ σώματι, τὸ ἀσώματον· ἐπεὶ λοιπὸν ἄν, ἔγωγ᾽ ἐροίμην, πῶς ἐναντίον τῷ σώματι τὸ ἀσώματον, ὡς μέσον ἆρ᾽ ὁτιοῦν ἔχον, ἢ τουναντίον ἅπαν, εἰς ἀδιάλλακτον μάχην ἀντικείμενον. ἀλλ᾽ εἰ μὲν τὸ πρῶτον, ζητῶ τὸ μέσον. δειξάτω τίς ὅρον ἐν τούτοις κοινὸν τῆς σωματικῆς καὶ ἀσωμάτου φύσεως· ἑκατέρωθεν συνιστάμενον· καὶ μήτε ταὐτὸν ἀμφοτέροις μήτε πάμπαν ἀλλότριον· ὥσπερ ἐν τοῖς τοιούτοις ἡ φύσις οἰκονομήσασα τὴν τέχνην ἔσχε κάλλιστον ἑρμηνέα· σοφῶς τοῖς πολλοῖς ὑποδεικνῦσαν. εἰ δὲ τοῦτο παντάπασι τῶν ἀδυνάτων ἐστὶ καὶ οὐδεὶς ἀντερεῖ, λείπεται τῶν ἀμέσων ἐναντίων εἶναι τὸ σῶμα καὶ τὸ ἀσώματον. ἀλλὰ καὶ οὕτω τιθεμένων, ἀδύνατα πλεῖστα τὸν λόγον ὁρῶμεν ἐπαγόμενον. | ἓν μὲν δὴ τοῦτο πρῶτον καὶ μέγιστον· ὅτι f. 37
καὶ περὶ οὐσίαν ἐναντιότης ἐντεῦθεν φαίνεται· εἴ γε πάντως οὐσία καὶ τὸ σῶμα· καὶ τὸ ἀσώματον· ἄμφω δέ γ᾽ ἐναντία κατὰ τὸν λόγον ἐστὸν· ὅπερ ἀδύνατον ὂν Ἀριστοτέλους καὶ φιλοσοφίας ἠκούσαμεν· ἐναργεῖς ἐκ τῶν πραγμάτων αὐτῶν φερόμενον τὰς ἀποδείξεις. ἔπειτ᾽ οὐ γὰρ οὐδὲ τοῦτο μικρὸν πρὸς τὴν ζήτησιν. τοῖς μὲν ἐναντίοις ἡ φύσις ἀλλήλων ἐστὶ φθαρτική· καὶ μάλιστα τοῖς τοιούτοις περὶ ὧν νῦν ὁ λόγος, τοῖς ἀμέσως κεκτημένοις τὸ διαφέρεσθαι. τὸ δ᾽ αὐτὸ τοῦτο, χάριεν ἄν, εἴη περὶ τῆς σωματικῆς καὶ ἀσωμάτου φύσεως, οἴεσθαι ὡς ἀλλήλων ἐστι φθαρτικά· ἧπερ τοῖς ἐναντίοις ἡ φύσις ἐστὶ. καίτοι τίς οὐκ οἶδε καὶ τῶν μετρίως τὸν νοῦν προσεχόντων τοῖς πράγμασιν, ὡς ἐν ταὐτῷ πολλάκις τὸ σῶμα, καὶ τὸ ἀσώματον, καὶ συγγίνονται καὶ συνίστανται· πάνυ γε συμβατικῶς· καὶ τοσούτῳ μᾶλλον εὖ ἔχει, ὅσῳ καὶ μᾶλλον ἔχει συμβατικῶς· εἴ γε σῶμα τὲ καὶ ψυχὴ τὸν ἄνθρωπον οὐσιοῖ λόγοις

8,14 ὁτιοῦν V[2] e corr.

8,5–6 cf. Arist., Top. 113b27–31; 114a6–12; 123b3–4 **21** cf. Arist., Categ. 12a1–6 **23–27** cf. Arist, Categ. 3b24–39 **29** cf. Arist., Phys. 192a19–20

ἀρρήτοις, συναπτόμενά τε καὶ συνεχόμενα· καὶ ζῷον ἕν· καὶ μίαν ὑπόστασιν ἀπαρτίζοντα· οὕτω μέντοι ὡς θάτερον συνιστᾶν θάτερον· εἴπερ δὴ ψυχὴ σώματος σύστασις; εἰ δέ τις καὶ πρὸς ὑψηλότερα τούτων τὸν νοῦν ἀνατείνειε· τὴν τῶν ὁρωμένων πάντων προαγωγήν τε καὶ σύστασιν λογισάμενος, σχολῇ πάντως ἂν τῷ δόγματι πρόσθειτο· ἢ (οὐκ οἶδα πῶς ἄν, εἴποιμι εὐπρεπῶς), πολλὴν τὴν εὐήθειαν ἐπιεικῶς καταγνοίη τῶν τιθεμένων, ἀλλήλων εἶναι φθαρτικὰ· ὡς ἄν, ἐναντία, τὸ σῶμα καὶ τὸ ἀσώματον. τίς γὰρ οὐκ οἶδε τῶν νοῦν ὅλως ἐχόντων ὡς ἀσώματός τις φύσις καὶ παντελῶς αἰσθήσεσί τε καὶ λογισμοῖς ἀκατάληπτος (τὴν ἐν τῇ Τριάδι θείαν ἑνιαίαν φύσιν φημὶ), τὸν τῶν ὁρωμένων τούτων πάντα σωματικὸν κόσμον, τήν τε ἀρχὴν ὑπεστήσατο, καὶ εἰς τὸ ἑξῆς ἐξ ἐκείνου συνέχει μὴ διαλύουσα· καίτοι τὴν οἰκείαν οὐσίαν
f. 37v τρεπτήν τε καὶ ῥέουσαν ἔχοντα; | τοῦτο μέν γε πῶς ἂν ἦν οὕτως εἴ γε ἄρα φθαρτικὸν ἦν πάντως ὡς ἐναντίον τῷ σώματι τὸ ἀσώματον; ἀλλ᾽ ὄντως μήτε τοῦτο φθαρτικὸν ἐκείνου, μήτ᾽ ἐναντίον ἐρεῖν ἄν, οἶμαι πάντα σοφῶς, τὸν νοῦν τοῖς οὖσι προσέχοντα· μὴ δ᾽ ἀνάγκην ἐντεῦθεν εἶναι, τὸ σῶμα μὲν περιγράφεσθαι, τὸ δ᾽ ἐναντίον αὖθις εἶναι τῷ ἐναντίῳ· τῷ ἀσωμάτῳ τὸ ἀπερίγραπτον· ἐπεὶ τί κωλύει κἀμὲ τῆς ὑποθέσεως κειμένης ἐκείνης, τὰ ἐναντία πάντως εἶναι τοῖς ἐναντίοις, εἶτα τὸν ὅμοιον τρόπον ἐναντίον ὑποθέμενον, τῷ θνητῷ τὸ ἀθάνατον· εἰ δὲ βούλει τοῦτ᾽ αὐτὸ τῷ σώματι τὸ ἀσώματον, οὕτω τὰς ψυχάς τε καὶ τοὺς ἀγγέλους, ἀγεννήτους τολμᾶν τίθεσθαι (εἰ γὰρ τὸ θνητὸν· εἰ δὲ βούλει τὸ σῶμα πᾶν ὑπὸ γέννησιν, πάντως ἄν, τὸ ἀθάνατον ἢ τὸ ἀσώματον, ὡς ἐναντίον ἀγέννητον), καὶ οὕτως ὡς ἀθάνατα τοὺς ἀγγέλους καὶ τὰς ψυχὰς, καὶ ἀγέννητα κατεξανιστᾶν καὶ ἰσοῦν τῇ θείᾳ φύσει. τάχα δ᾽ αὖθις ἄν, τὸν ὅμοιόν τις τρόπον· καὶ μάλιστ᾽ ἴσως ἀληθέστερον ἀποδείξαι θνητά. εἰ γὰρ πᾶν τὸ ἀγέννητον καὶ ἀθάνατον, τὸ ἐναντίον ἄν, εἴη κατὰ τὸν λόγον, ὡς ἐναντίῳ τῷ γεννητῷ τὸ θνητὸν· καὶ οὕτως ἄν, εἶεν ἐντεῦθεν ἄγγελοι καὶ ψυχαὶ κατὰ τὸ δόγμα τῆς ἡμῶν εὐσεβείας καὶ θανάτῳ δουλεύοντα. ἀλλ᾽ οἶμαι ταῦτα παιζόντων ἐν οὐ παικτοῖς· καὶ σοφιζομένων ἐν οὐ προσήκουσι· τὸ δ᾽ ἀληθές τε εἶναι καὶ ἅμα πιστὸν, μήτ᾽ ἐναντία τιθέναι

42 προσαγωγήν V a. corr. **43** δόγματι V e corr. | πρόσθειτο V^2: πρόσθοιτο V **46** τῶν V^2 e corr. **48** τὸν V^2 e corr. **49** εἰς τὸν V a. corr. **62** γέννησιν V^2: γένεσιν V **66** ἀποδείξαι V^2: ἀποδεῖξαι V

τὸ σῶμα καὶ τὸ ἀσώματον, μήτ᾽ ἐντεῦθεν ἅπαν ἀποδεικνύειν τὸ ἀσώματον, ἀπερίγραπτον· ἀλλὰ τὴν μὲν θείαν οὐσίαν τὴν πάντα καὶ παραγαγοῦσαν τὲ καὶ συνέχουσαν, ἀσώματον οὖσαν καὶ ἀπερίγραπτον, μόνην εἶναι· ὡς ἐν τῷ παντί τε οὖσαν καὶ νοουμένην ὑπὲρ τὸ πᾶν· πᾶσαν δ᾽ ἄλλην οὐσίαν ὅση τὲ ταῖς τρισὶ σωματικαῖς παχύνεται διαστάσεσι καὶ ὅση γέγονε μέν· γέγονε δ᾽ ὅμως ἀσώματος, πᾶσαν εἶναι ταύτην περιγραπτήν. ταύτῃ τοι καὶ τὰς ἀγγελικὰς οὐσίας τόπῳ |περιορίζεσθαι· καὶ μετὰ τούτων καὶ τὰς f. 38
ψυχὰς ἐξελθούσας ἀπὸ τοῦ σώματος· μενούσας δ᾽ ἔτι, τοῖς σώμασι περιγράφεσθαι· καὶ οὐ τοῦτο μόνον· ἀλλὰ καὶ τόπῳ μένειν καὶ κινεῖσθαι κατὰ συμβεβηκὸς ᾗπερ δοκεῖ, τῷ τόπῳ τοῦ σώματος· ὥσπερ δὴ καὶ τὸ ἐν κεραμείῳ ὕδωρ περικλειόμενον, προσεχῆ μὲν ἔχει τόπον τοῦ κεραμείου, τὴν ἐντὸς ἐπιφάνειαν καὶ δι᾽ ἐκείνου πάλιν τὸν περιλαμβάνοντα τόπον ἐκεῖνο· ὥσπερ δὴ καὶ ὁ μένων ἐν τῇ νηὶ πρῶτον μὲν αὐτὴν ἐκείνην ἔχει τὴν νῆα τόπον περιορίζοντα· καὶ δι᾽ αὐτῆς ἐκείνης, αὖθις τὴν θάλασσαν.

9. Ἀλλὰ γὰρ ἐπαναληπτέον αὖθις τὸν λόγον, εἰς ὅπερ ἠβούλετο. εἰ γάρ ἐστι τοῦτο τοῖς ἔξω παντὸς μᾶλλον ἀληθὲς εἰρημένον· ὡς ἡ κατὰ φορὰν κίνησις ἀρχή πως, τῆς περὶ τόπου δόξης τῇ φιλοσοφίᾳ γεγένηται· ὡς ἀδύνατον ὂν, εἴ τι τὸν τρόπον τοῦτον κινοῖτο, μὴ καὶ ἐν τόπῳ κινεῖσθαι καὶ παρὰ τοῦτο, τόπῳ περιορίζεσθαι, κἀντεῦθεν οὐχήκιστα δεδειγμένον ἄν, εἴη, πάντως τὸ ζητούμενον τῷ λόγῳ· ὡς περιγραπτοὶ τὴν φύσιν οἱ ἄγγελοι. εἰ γὰρ ἐκπέμπονται πρὸς Θεοῦ· καὶ τοῖς τόποις οἷς ἐξεπέμφθησαν ἐπιδημοῦντες ἐμφαίνονται· εἰ συνοδεύουσι τοπικῶς ἀνθρώποις καὶ συγγίνονται· εἰ πάντες εἰσὶ λειτουργικὰ πνεύματα πρὸς διακονίαν, ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν ὁ θεῖος φησὶν ἀπόστολος, εἰ πάνθ᾽ ὅσα τῆς τοπικῆς κινήσεως καὶ μονῆς ἵνα συνελὼν εἴποιμι, περὶ αὐτοὺς ἐκ τούτων φαίνεται, τίς ἀντερεῖ τῶν αἰδουμένων ἀλήθειαν, μὴ καὶ τοπικῶς αὐτοὺς

84 ἐκεῖνον V a. corr. **86** πρῶτον V[2]: πρῶτος V **9,3** κίνησις V e corr. **8** ἐξεπέμφθησαν scripsimus: ἐξεπέμφησαν V **13** φαίνεται V e corr.

73–79 cf. Nicet. Steth., Epist. 5, 7, 10–10, 29 (pp. 252–256) **83–85** cf. Arist., Phys. 211b25–29; Metaph. 1023a14–16 **9,3–4** cf. Plato, Leg. 893d; Arist., Top. 122b26–27 **10–11** Hebr. 1, 14

ὁρίζεσθαί τε καὶ περιγράφεσθαι; ἐπεὶ τί σοι δοκεῖ ὁ νῦν μὲν ἐνταῦθα· νῦν δ᾿ ἐκεῖσε τισὶ τῶν ἀνθρώπων συγγινόμενος ἄγγελος· οἷον ὁ τῷ Ζαχαρίᾳ πρὸς τοῖς ἀδύτοις καὶ τῷ νεῷ· ἢ τῇ Θεοτόκῳ καὶ παρθένῳ διαλεγόμενος, ἵν᾿ ἐκ τῶν πολλῶν ταῦτα τῷ λόγῳ προθείην· μηδαμῶς ἐκεῖσε παρεῖναι τοπικῶς ἢ μόνον ἐκεῖσε, ἢ πρὸς τῷ ἐκεῖσε καὶ ἀλλαχοῦ· εἰ δὲ βούλει, πανταχοῦ καὶ ὑπὲρ τὸ πᾶν; ἀλλ᾿ ὅτι μὲν οὐδαμῶς ἐκεῖσε παρῆν· οὐδαμῶς ἄν, ἐρεῖν οἶμαι, f. 38v τῶν νοῦν μετρίως | ἐχόντων τινά. εἰ δ᾿ ἐκεῖσε πάντως παρῆν, εἰ μὲν μόνον ἐκεῖσε, τὸν τρόπον ἄν, εἴη τοῦτον ἀποδεδειγμένον, τὸ τῷ λόγῳ ζητούμενον. εἰ δὲ πρὸς τῷ ἐκεῖσε· καὶ πανταχοῦ· καὶ ὑπὲρ τὸ πᾶν, ποῦ τὸ τῆς θείας μόνης Τριάδος ἄπειρον καὶ ἀόριστον, εἰ πρὸς ταύτῃ καὶ ἀγγέλοις τοῦτο κοινόν; εἰ δ᾿ ἄρα πρὸς τῷ ἐκεῖσε παρεῖναι, παρῆν μὲν καὶ ἄλλῃ πῃ· οὐ μὴν εἰς ἄπειρον· τοῦτο μὲν οὐδὲν ἄν, εἴη τῷ παρόντι σκοπῷ λυμαινόμενον· ἐκείνῳ δὲ τί ποτ᾿ ἂν εἴη τοῦτο φέρον ἡντιναοῦν ὄνησιν εἰς τὸν λόγον· ἐφῷ τὸ ἀσώματον ἐντεῦθεν εἶναι καὶ ἀπερίγραπτον· εἴ γε τὴν ἀγγελικὴν παρουσίαν, οὐκ ἐπ᾿ ὀλίγον φαίημεν στενοῦσθαι· οὐ μὴν οὐδ᾿ εἰς ἄπειρον ἐκτείνεσθαι; τί γὰρ ἄν, ἧττον εἴη τόπῳ περιεχόμενον τοῦ παρ᾿ ἐλάττονος τόπου περιγράφεσθαι νοουμένου, τὸ πρὸς πλείονος μὲν· ὅμως δ᾿ οὖν περαῖνον ὁπηοῦν;

10. Ὅτι μὲν οὖν πρὸς τοῖς ἄλλοις πᾶσιν αἱ νοεραὶ δυνάμεις γεγόνασι· καὶ ἀριθμηταὶ τὸ πλῆθος καὶ περιγραπταὶ τὴν φύσιν γεγόνασιν, ἀποχρώντως ἐν τούτοις οἶμαι τὸν λόγον δηλοῦν· καὶ τὸ μηκύνειν ἔτι καὶ προστιθέναι, τοῖς αὐτοῖς ἐμφιλοχωροῦντα, φορτικὸν ἴσως ἄν, εἴη. ὅτι δὲ τῶν ὁρωμένων πάντων κρείττους τὴν οὐσίαν εἰσὶν, οὐ μόνον τῶν περιγείων τούτων καὶ ὑλικῶν, ἀλλὰ καὶ αὐτῆς τῆς οὐρανίας συστάσεώς τε καὶ φύσεως· καὶ τῶν κατ᾿ αὐτὴν πεπηγότων τὲ καὶ κινουμένων σωμάτων, πάντως ἂν ἐρεῖν οἶμαι πάντα τῶν προτιθεμένων ἀυλίαν ἀσώματον, πάχους σωματικοῦ· καὶ νοῦν ἀξιούντων αἰσθήσεως, προτιμότερον. ἐπεὶ γὰρ τοὺς αὐτοὺς καὶ νόας· ἀλλὰ καὶ νοητοὺς πρὸς τούτῳ φαμὲν· ὅτι δὴ πᾶς νοῦς· καὶ νοῦς ἐστι καὶ νοούμενος, ὑφ᾿ ἑαυτοῦ τὲ καὶ τῶν ὁμοειδῶν,

19 προσθείην V a. corr. **22** τῶν scripsimus: τὸν V **24** τῷ^2 V^2: τὸ V
10,2 ἀριθμηταὶ V^2: ἀριθμητοὶ V | περιγραπταὶ V^2: περιγραπτοὶ V

17–18 cf. Luc. 1, 5–20 et 26–38 **10,11–12** cf. Arist., De anim. 429b9–10

ἔστι δ᾽ ὁ αὐτὸς λόγος, τῇ αἰσθήσει τὲ πρὸς τὰ αἰσθητά· καὶ τῷ νῷ πρὸς τὰ νοητά· καὶ ἐναλλὰξ τιθεῖσι | κατὰ τὰς γεωμετρικὰς f. 39 ἀνάγκας, τῶν ἀποδείξεων, τὸν αὐτὸν ἂν, τὰ νοητὰ λόγον, ἔχειν ἡγητέον ἐστὶ, πρὸς τὰ αἰσθητά· καὶ παρὰ τοσοῦτον ὑπερκεῖσθαι τοὺς ἀγγέλους ὡς νοητοὺς τῶν ὁρωμένων ἁπάντων, οὐδὲν δ᾽ ἧττον καὶ αὐτῆς τῆς φύσεως οὐρανῶν ὡς ὑποκειμένης αἰσθήσεσιν, ὅσον νοῦς τῆς αἰσθήσεως. καὶ γὰρ οὕτως ἔχον ἐστὶ· τὸ μάλιστα προσεγγίζον τῇ θείᾳ φύσει καὶ τὴν ἐκείνης πλείονα μετουσίαν ἔχον· τοῦτο καὶ τὴν φύσιν ἐστὶν ὑψηλότερον. τί δ᾽ ἄν, εἴη μᾶλλον ἐγγύτερον ἐκείνῃ τῶν ἄλλων, ἢ τὰ νοητά τε καὶ νοερὰ· ᾗπερ δὴ τῶν ἀγγέλων ἡ θαυμαστὴ φύσις οὐσίωται; τὴν γὰρ τῆς φύσεως ἀκολουθίαν ἡ ποιητικὴ σοφία, τάξει συνεχῶς δημιουργεῖ καὶ προάγει· ὡς πάντα μὲν αὐτῆς ἠρτῆσθαι· κἀντεῦθεν οὐσιοῦσθαι τὲ καὶ ἵστασθαι· οὐ μὴν ἀλλὰ τὰ μὲν, μᾶλλον τὰ δ᾽ ἧττον· καί τις ἐστὶν ἁρμονία τοῖς οὖσι· καὶ προχώρησις κατὰ λόγον ἔπειθ᾽ ἑξῆς. ἔστι μὲν οὖν ἐκείνης πορρωτάτω ὅσα σωματικῶς παχυνθέντα παντελῶς ἄψυχα· καὶ τὴν προαιρετικὴν, ἀκίνητα κίνησιν. τὴν γὰρ πολυειδῆ κίνησιν οὐδὲν ἀμέλει τῶν φύσει συνεστώτων καθάπαξ ἀφῄρηται· εἴ γε φύσις ἐστὶν ἠρεμίας οἴκοθεν ἀρχὴ καὶ κινήσεως· ἀλλ᾽ ἔστιν ἕξις ἐν φυσικοῖς ἅπασι δεικνυμένη· καὶ οἷον κοινός τις διὰ πάντων χωρῶν σύνδεσμος· εἰ καὶ μὴ πᾶσιν ἄρα τοῖς αὐτῆς εἴδεσιν, ὅμως δ᾽ οὖν ἐνίοις, πάντ᾽ ἀλλήλοις συνδέουσα. ἀκολούθως δ᾽ ἡ φύσις πρόεισι· καὶ τελειοῖ τὸ εἶναι πρὸς τὸ βέλτιον ἑξῆς ἀεὶ· τῷ ὄντως ὄντι κατὰ πρόοδον ἄγουσα σὺν τάξει, καὶ συνάπτουσα· ὡς εἶναι τῶν προειρημένων λοιπὸν, ἐφεξῆς οὐσίαν· ἣ τὴν κατὰ τὸ ἔμψυχον προσείληφε κίνησιν· καὶ ταύτην μάλιστα πρώτως κατὰ τὸ φυτικὸν· ἣν τριχῇ φιλοσοφία τέμνει θρεπτικῷ τε καὶ αὔξειν πεφυκότι· καὶ τρίτῳ γεννᾶν ὅμοια τὴν φύσιν καὶ δημιουργεῖν | παραπλήσια· ἐν f. 39v οἷς δὴ πρώτοις, τὴν ἔμψυχον ἔξεστιν οἶμαι κίνησιν ὁρᾶν, καὶ καταριθμεῖν καὶ λογίζεσθαι. τοῦ λοιποῦ δὲ τῷ ζωτικῷ προχωρεῖ· καὶ προσέτι λαμβάνει τὴν αἴσθησιν ᾗ φαντασία πάντως σύνεστιν

14 νοητὰ V e corr. **18** οὐρανῶν V e corr. **19–20** προσεγγίζον V e corr. **27** ἐκείνης V e corr. **31** φύσεις V a. corr. **33** αὐτῆς V e corr. **34** ἀλλήλοις V e corr. **35** ἑξῆς scripsimus: ἐξῆς V **39** πεφυκόντι V a. corr. **43** λαμβάνειν V a. corr.

13–14 cf. Id., De anim. 429a16–18 **31** cf. Id., Phys. 253a22–253b6 **36–47** cf. Id., De anim. 412a13–415a13 **43–45** cf. Arist., De anim. 429a1–2

ἀχώριστος· ἀναγκαῖον σύζυγον· καὶ φύσις ἄτμητος· καὶ πρῶτον εἰς νοῦν ὄχημα· κἆτα ἐπὶ δὴ τούτοις, τὰ τῆς λογικῆς ἀξίας τὲ καὶ περιουσίας· τὴν προαιρετικὴν προσκτησάμενα κίνησιν· καὶ τῷ θείῳ πλεῖν ἢ κατὰ τἆλλα πάντα τέως ἐγγίσαντα. ἀλλ᾽ εἰ καὶ εἰκὼν ἡ λογικὴ ψυχὴ τοῦ Θεοῦ· ἀλλ᾽ εἰ καὶ τἆλλα πάνθ᾽ ὑπερβαίνει, ἀλλ᾽ οὔπω τὸ πέρας ἐνταῦθα δή, τῆς τῶν ὄντων προαγωγῆς· ἀλλ᾽ ἔστιν ἄρα καὶ πρόσω· καὶ ταύτης ἔθ᾽ ὑψηλότερόν τε καὶ τελεώτερον· καὶ μᾶλλον ἔγγιστα Θεῷ, ἡ τῶν ἀγγέλων φύσις· ἐπὶ πᾶσιν ἄρα τοῖς ἠριθμημένοις πλεονάζουσα· παντάπασιν ἔξω τῆς ὕλης καὶ πάχους σώματος· κἀν τούτῳ τῶν ἄλλων ἁπάντων μᾶλλον Θεῷ συνάπτουσα.

11. Οὗτος ὁ λόγος τῆς φύσεως· αὕτη κατὰ τάξιν ἡ πρόοδος· τοῦτο τῆς δημιουργίας τὸ τέλος· ἡ τῆς οὐσίας ἀκρότης· εἰς ἣν ἡ προχώρησις ἵσταται· νοῦς καθ᾽ ἑαυτὸν ἐνυπόστατος· νοῦς ἀμέθεκτος ὕλῃ· νοῦς ἀσύνδετος σώματι. εἰ γάρ ἐστι νοῦς ψυχῇ κόσμος· ὥσπερ ψυχὴ σώματι ψυχῆς οἱονεὶ ψυχή· ὅνπερ οἶμαι τρόπον ὀφθαλμῷ κόρη· λόγον ἔχουσα τὸν αὐτὸν ὃν ὀφθαλμὸς ὅλος αὐτῷ σώματι, εἰ τοίνυν ὁ νοῦς τοιοῦτος ψυχῇ, καὶ δι᾽ αὐτῆς τῷ σώματι, σπέρμα θεῖον· κάλλος οὐράνιον, τίς ἂν εἴη καθ᾽ ἑαυτὸν ὑφιστάμενος· καὶ πάσης ὑλικῆς ἑνώσεως ἀμεθέκτως αὐτουργῶν καὶ πολιτεύων· ὥσπερ δὴ τοὺς ἀγγέλους νόας, ὁ ποιητὴς Λόγος οὐσίωσεν ἀνωτέρους πάσης τῆς ὑλικῆς συμπλοκῆς· καὶ ὅλως καὶ μόνως τῇ κατὰ νοῦν ζωῇ χρωμένους, ὡς αὐτονόας τὲ ὄντας καὶ ἀεὶ περὶ τὸν πρῶτον τὲ καὶ ὑπὲρ πάντα νοῦν, νοῦν στρεφομένους καὶ φωτιζομένους κατὰ πρώτην μεθέξεως ἔλλαμψιν· πλουσίαν καὶ ἅμα
f. 40 ἄμεσον ἵν᾽ οὕτως | εἴποιμι, δεχομένους τὴν ἐκεῖθεν αἴγλην τοῦ μεγίστου καὶ ἀνωτάτου φωτός, ἰοῦσαν εὖ μάλα θᾶττον, ὡς διαφανεστέρων αὐτῶν καὶ κρεῖττον ἤπερ τῶν ἄλλων, ὑλικῷ δεδεμένων πάχει κἀντεῦθεν μὴ δεχομένων ῥᾳδίως, τὴν ἐκεῖθεν τῆς ἀκτῖνος δίοδον· δι᾽ ἀντιτυπίαν ὡς ἐρεῖν φύσεως; ὃ δὴ καὶ κατ᾽ αἴσθησιν ὁρᾶν ἔξεστιν. ὅσα μὲν τῶν σωμάτων οἷς τὸ φῶς ἐντυγχάνει,

49 προσαγωγῆς V a. corr. **11,2** εἰς ἣν V[2]: εἰσῆν V **13** τὸν πρῶτον V[2] e corr.

11,4–7 cf. Phil. Iud., De opificio mundi 66 (p. 17, 24–18, 10) **5–6** cf. Or. 11, 91, 2 **11–12** Ps.-Dion. Areop., De coel. hier. 4, 2 (p. 21, 9) **19–27** cf. Ibid. 13, 3 (p. 45, 2–6)

διαφανέστερα ταῦτα· καὶ τῶν ἄλλων αὐτὸ προαρπάζειν· παρ᾽ αὐτὰ σχεδὸν ἀχρόνως, συγγινόμενόν τε καὶ συγκιρνάμενον· οἷς δ᾽ ἡ φύσις διὰ πάχος ἀντίτυπον, ἀσύμβατος πρὸς τὴν κοινωνίαν· καὶ μὴ δεξιουμένη δι᾽ εὐφυΐαν τὴν ἐπιδημίαν ὁπωσοῦν τῆς αἴγλης· μὴ δὲ χεῖρα φιλίας προτείνουσα· καὶ πρὸς ἑαυτὴν ἐφέλκουσά τε καὶ σπεύδουσα, τούτοις οὐδ᾽ ἡ μετουσία ῥᾳδία· οὐδ᾽ ἡ πάροδος ἀνύσιμος τῆς ἐλλάμψεως. εἰ δὲ τοῦθ᾽ οὕτως ἔχει· τόν δ᾽ ὅμοιον τρόπον ἐπ᾽ ἀμφότερ᾽ ἐστὶ· καὶ ὅσα κατὰ νοῦν· καὶ ὅσα κατ᾽ αἴσθησιν· καὶ μᾶλλον ἡ τῶν ἀγγέλων οὐσία πρὸς ὑποδοχὴν τοῦ θείου καὶ ἀρρήτου φωτὸς ἐκείνου ῥᾳστώνην ἔχει, καὶ τὴν φύσιν οὕτως ἄν, εἴη μάλιστ᾽ ἐγγυτάτω τῇ θείᾳ φύσει· καὶ παρὰ τοῦτο καὶ μᾶλλον θεοειδής, ἢ κατὰ τἆλλα πάντα. ταύτῃ τοι καὶ πῦρ καὶ πνεῦμα παρὰ τῆς γραφῆς ὀνομάζεται. «ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ» φησὶ «πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα»· τὸ κοῦφον ἐντεῦθεν εἰκονίζων καὶ πρὸς τὴν ἀνωτάτω θείαν φύσιν, ἀνατατικὸν καὶ μετάρσιον· ὅτι δὴ ταύτῃ τῇ κατὰ φύσιν ἄνω φορᾷ καὶ ἄμφω τὰ στοιχεῖα ταῦτα διενήνοχε τῶν ἄλλων· καὶ χαρακτῆρα κοινὸν ἔχει· καὶ τῷ λεπτότερα πρός γ᾽ ἔτι τῶν ἄλλων εἶναι καὶ ὡς εἰπεῖν ἀυλότερα· καὶ πρὸς τὸ ἀσώματον ὥσπερ ἐπειγόμενα· καὶ τὴν αἴσθησιν ἀτεχνῶς ὑπερβαίνοντα· ἔτι δὲ πρὸς τούτοις, εὐκίνητα καὶ σχεδὸν ἀεικίνητα· οἷς δὴ λοιπὸν ἡ τῶν ἀγγέλων ἀσώματος φύσις, ἐοικέναι δοκεῖ· | καὶ διὰ τοῦτο πῦρ [f. 40v] ἀκούει καὶ πνεῦμα. οὐ μὴν ἀλλὰ καὶ τὸ θεοειδὲς αὐτὸ ἐκ τούτων καθιστορεῖται· καὶ πρὸς τὴν θείαν ἐμφερὲς μάλιστα φύσιν· ὅτι δὴ καὶ τῶν αὐτῶν αὕτη λόγων, εἵνεκα τούτοις αὐτοῖς εἰκονίζεται. «πνεῦμα γὰρ ὁ Θεός· καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ, δεῖ προσκυνεῖν»· καὶ «πῦρ ἐνώπιον αὐτοῦ» φησὶ «προπορεύσεται»· καὶ «ἰδοὺ Κύριος ὡς πῦρ ἥξει»· καὶ «ἐν τῷ πυρὶ Κυρίου κριθήσεται πᾶσα ἡ γῆ». ἔνθέν τοι καὶ «ἄνθρακες ἀνήφθησαν ἀπ᾽ αὐτοῦ»· οὕστινας δὴ τούτους ὑποληπτέον τοὺς ἄνθρακας,

21 διαφανέστερα V^2: δι᾽ ἀφανέστερα V | προαρπάζειν V: an προαρπάζει? **22** συγκιρνάμενον V^1: συγκιρνώμενον V **32** θεοειδὴς V^2: θεοειδεῖς V **43** αὐτὸ V^2: αὐτῶν V **47–48** προπορεύσεται φησὶ primum scripsit, deinde litteris βα suprascriptis ordinem invertit V

30–45 cf. Ibid. 15, 2 (p. 53, 4–5) **33–34** Hebr. 1, 7 **46–47** cf. Io. 4, 24 **47–48** Ps. 96, 3 **48–49** Is. 66, 15–16 **49–50** Ps. 17, 9

ἴσως δὲ τὰς ἀγγελικὰς οὐσίας καὶ νοεράς. καὶ μὴν ἔτι καὶ τὰ τῶν ἄλλων ὑψηλότερα νοερῶν ταγμάτων Σεραφὶμ, δηλοῖντ᾽ ἂν, ἐξελληνιζομένης τῆς ἐπωνυμίας ἐμπρησταὶ καὶ θερμαίνοντες· ὡς ἂν τὸ δραστήριον καὶ τὸ τῶν φαύλων ἀναλωτικὸν ἐκ τούτων ὑποσημαίνοιτο· πρὸς τούτῳ καὶ τὸ φωτιστικὸν τῶν καθαρωτέρων καὶ ἀξίων φωτίζεσθαι. ἔστι γὰρ ὡσπερεὶ τύπος ταῦτα τῷ θεατῇ λογισμῷ, καθόσον ἔνεστιν ἀναζωγραφῶν τὰ ζητούμενα· καὶ μορφώμασι διαβιβάζων ἀυλοτέροις εἰς τὰ πρωτότυπα. ὃ δὴ πάντως καὶ γραφικῆς ἀρίστης εὐτεχνίας εἶναι· λόγος εἰκονικὸς ὥσπερ ἐν ἐσόπτρῳ, διὰ τῶν ὑποφαινομένων χειραγωγῶν πρὸς τὰ τελεώτερα· καὶ τῇ ταπεινώσει τῶν ἐντυγχανόντων, φιλανθρώπως οἶμαι συγκαταβαίνων καὶ ταπεινούμενος. ὃ καὶ θαυμάσας ἔχω τὴν τοσαύτην εὐποιίαν καὶ τὸ φίλοικτον οὕτως ἀμέλει τοῦ θείου ὅτι μὴ δυσχεραῖνον ὁρῷτο, ὡς ἂν δὴ καὶ καθυβριζόμενον τῷ τοῖς εὐτελεστέροις παρὰ τὴν τῶν ὁρώντων ἀσθένειαν εἰκονίζεσθαι· μὴ δ᾽ ἀποσεμνύνοιτο μονονοὺ πρὸς τοὺς ποθοῦντας τὴν αὐτοῦ θεωρίαν τὲ καὶ κατάληψιν· μὴ δ᾽ ἐῴη κάτω χαίρειν αὐτοῖς ὑλικοῖς πάχεσιν·
f. 41 αὐταῖς αἰσθήσεσιν· ἀλλ᾽ ὑποκύπτον φαίνοιτο καὶ συγκαταβαῖνον· | καὶ οὐκ ἀπαξιοῖ διὰ τὸ μεγαλοφυὲς ἑαυτοῦ χωρούμενον ὕλῃ· ἐπεὶ ποθεῖ μὲν ὁ λογισμὸς, ἀκραιφνῶς ἐντυχεῖν τοῖς ἄνω· διὰ τὸ φύσιν εἶναι τοῦ μείζονος τὸ ἧττον ἐφίεσθαι· ἢ τὸ αὐτὸ γενέσθαι· ἢ αὐτῷ συγγενέσθαι τὸ δεύτερον· καὶ ἀμέσως ἐντρυφῆσαι τῇ θεωρίᾳ· καὶ κατιδεῖν ἅπασαν ᾗπερ ἔχει τὴν τῶν ὄντων οὐσίαν· οὐκ ἐφικνεῖται δὲ καθελκόμενος τῷ σωματικῷ πάχει· καὶ τῆς ὕλης μὴ δυνάμενος ἀποστῆναι καθάπαξ· καὶ τῷ τῶν αἰσθήσεων ὄχλῳ, πέδαις ἀρρήκτοις δεσμούμενος· οἷς καὶ φύσις καὶ χρόνος τοῦτον ἐθίζει· καὶ ὧν ἀποδράναι παντάπασιν οὐκ ἔστι. τούτου δὲ ταχίστη τις καὶ σαφεστάτη δεῖξις. εἰ γάρ τις ἑαυτὸν, πρὸς τὴν τῶν ὑψηλοτέρων ἀνατείνειε νόησιν, ὅπως ἔχοι κατασκοπούμενος, οὐκ ἐλεύθερος τῷ νῷ μόνον καὶ κούφως ἄνω χωρεῖ, ἀλλ᾽ αἴσθησίν τε καὶ φαντασίαν ἀχωρίστους ἕλκων καὶ συνεπαγόμενος· φεῦ τῶν δεσμῶν· φεῦ τῆς ὑλικῆς ἐπιθέσεως. οὕτως αὐτῷ ταύτας ἀδιαιρέτους ἡ φύσις, ἔδησε

59 εἰκονικὸς V[1]: εἰκονικῶς V **63** εὐποιίαν V[2]: εὐποίαν V **64** τῷ V[2]: τὸ V **67** μὴ δ᾽ ἐῴη V[2] e corr. **76** χρόνος V[2] e corr.

51–53 cf. Ps.-Dion. Areop., De coel. hier. 7, 1 (p. 27, 6–7) **69–77** cf. Or. 10, 19, 1–12 **77–88** cf. Metoch., Misc. 292–296

καὶ συνέπλεξεν· ὥστε παραπλήσιόν τι πάσχειν ὥσπερ ἄν, εἴ τις ἐν ποδοκάκῃ χρόνον οὐκ ὀλίγον προσταλαιπωρησάμενος· καὶ τῇ μετὰ ταύτης κινήσει μάλιστ᾽ ἐθισθεὶς, ἔπειτα καὶ ταύτης ὅμως λυθεὶς διὰ τὴν τοῦ χρονίου βίαν ἔθους, τὸν ὅμοιον τρόπον δυσκολαίνοι τῇ κινήσει, καὶ τὴν ἐκ δεσμῶν ἐκείνην, ἀηδῆ τε καὶ ἀήθη τῇ φύσει πρότερον· καὶ νοσερὰν, φέροιτο. παραπλησίως ἄρα καὶ ὁ καθ᾽ ἡμᾶς οὗτος νοῦς, ποθεῖ μὲν ὡς ἔφην συναφθῆναι τοῖς ἄνω· καὶ συγγενέσθαι τέλεον· καὶ παντάπασιν ἀκραιφνῶς· μὴ ἔχων δ᾽ ὅπως ἑαυτῷ τε καὶ τῷ πόθῳ· καὶ τῇ τῆς αἰσθήσεως ἀφύκτῳ συμπλοκῇ· μᾶλλον δὲ δυσνοίᾳ καὶ κακουργίᾳ καὶ ἐπιθέσει χρήσαιτο, καὶ λοιπὸν κινδυνεύων ἀποτυχεῖν τῶν μεγάλων ἐκείνων ἐρώτων, διαφέρει μετ᾽ οἰκονομίας ἐν τούτοις τὰ πράγματα· καὶ δεῖται τῆς ὕλης· τὸν δεύτερον πλοῦν ὅ φασὶ χειραγωγούσης πρὸς τὰ ποθού|μενα· καὶ ταύτης τὰς εἰκόνας τῶν ζητουμένων, ἐκ τοῦ f. 41v προχείρου πορίζεται· καὶ λαμβάνει μέντοι ῥᾳδίως μεταδιδούσης· καὶ χαρακτηρίζει τυπωτικῶς ἐντεῦθεν, καὶ τὸν τρόπον οὕτω γνωρίζει τὸ παραστάν· καὶ θεραπεύει τὸν πόθον· καὶ ἀφοσιοῦται τὴν ἔφεσιν· καὶ γίνεται γραφεύς τις οὕτω καινὸς καὶ τεχνίτης· μορφαῖς ὑλικαῖς ὑποδεικνύων, τὴν ἀόρατον φύσιν καὶ ἀσώματον. ταύτῃ τοι καὶ δεῖ μεγάλης λοιπὸν ἐνταῦθα τῆς σκέψεως, καὶ τῆς γνώμης τὲ καὶ τῆς τέχνης· ὡς ἄν, πρὸς τὸ σεμνότερον τὰ ὑποδείγματα τιθείη· ὡς ἔστι δέος μὴ ἐν ᾧ κατανύοι δι᾽ ἐκτύπων τὸ βούλημα, ὑβρίζοι πρὸς τὴν σεμνοτάτην καὶ πάντιμον· καὶ ὑπερφυῆ φύσιν, κατάγων εἰς ἃ μὴ προσήκει· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ὅπως εἴη τι συγγενὲς τοῖς εἰκονιζομένοις πρὸς τὰς εἰκόνας, ἐφόσον οἷόν τε μάλιστα, ἵνα μὴ λάθοι τις ἀμαθῶς συνάπτων, ἃ μὴ συνάπτεσθαι πέφυκεν· ἐπεὶ πάντων ὡς ἀληθῶς ἐργωδέστατον, τό τε προσῆκον εὑρεῖν τε καὶ βαλεῖν εἰς νοῦν τὴν ἀρχὴν, κἄπειτα λόγῳ τοῖς ἄλλοις ὑποδεῖξαι, καὶ πρὸς φῶς ἀγαγεῖν, καὶ καταγγεῖλαι τὸ νόημα. ἔσται γὰρ ὄντως ἔσται τοιοῦτο, καὶ οὕτω κάλλιστ᾽ ἔχον τὸ προτιθέμενον ἐκεῖνο, καὶ

83 ὥστε V e corr. **84** προσταλαιπωρησάμενος V[2]: προσταλαιπωρσάμενος V **101** ὑποδεικνύων V e corr. **103** τῆς γνώμης τὲ καὶ τῆς τέχνης V[2]: γνώμης τὲ καὶ τέχνης V

84 cf. Plat., Resp. 515c **86–109** cf. Metoch., Carm. 10, 236–285 (pp. 184–186) **94–101** cf. Ps.-Dion. Areop., De coel. hier. 1, 3 (p. 8, 19–21) **95** CPG I, 359, 2; II, 24, 155 **110–112** cf. Or. 2, 14, 31–32

προσαγόμενον σεμνότητός τε καὶ ὁμοιότητος, ᾧ προεντυχὸν ἴσως, τὸ μὲν ἄρα πλεῖστον καὶ ταπεινὸν τῆς τῶν ἀνθρώπων ἐπισκοπῆς ἐνσχεθήσεται· μετ᾽ ἀσφαλείας αὐτόθι καὶ ἀζημίως καὶ μηδὲν ἔτι πολυπραγμονοῦν ἐλεύσεται πρόσω· εἰ δέ τις εἴη περιττὸς συνεῖναι· καὶ μὴ τοῖς ὁρωμένοις καθάπαξ ἁλίσκοιτο, δι᾽ αὐτοῦ προχωρήσει πρὸς τὸ δηλούμενον· καὶ ἀνακαλύψει τἀπόρρητον καὶ κρυπτόμενον· ὃν τρόπον εἶχον οἱ πρὸς ταῖς ὁδοῖς Ἀθήνησιν Ἑρμαῖ πάλαι· καὶ τοῖς πολλοῖς ἐν παρόδῳ προκείμενοι· καὶ τοῖς γ᾽ ἐξεταστικοῖς καὶ τῶν μυστηρίων ἐπόπταις καὶ πολυπράγμοσιν. οὗτος ὁ λόγος τῶν ὑλικῶν ἐκτυπωμάτων, ἐπὶ τὴν ἄυλον φύσιν καὶ ἀσχημάτιστον· τοῦτο τὸ περὶ ταῦτα τῆς οἰκονομίας | f. 42 μυστήριον· τοῦτον τὸν τρόπον καὶ πῦρ· καὶ πνεῦμα· καὶ τἆλλα τῶν σωματικῶν εἰκονισμάτων, τὴν ἀσώματον φύσιν ἀκούομεν· μὴ τοῖς ὁρωμένοις πάμπαν ἐναπομένοντες· ἀλλὰ δι᾽ αὐτῶν πρὸς τὰ δι᾽ αὐτῶν δηλούμενα, καλῶς ἀγόμενοι. τὸ γὰρ ὅλον τὸν νοῦν τῶν λεγομένων τούτων ἐξαρτᾶσθαι· καὶ μηκέτ᾽ ἐντεῦθεν προϊέναι· ἀλλὰ παντελῶς ἐνταῦθα κατέχεσθαι· μὴ καὶ ἀνδρὸς εἴη φορτικῶς, ταῖς θείαις ὁμιλοῦντος γραφαῖς. καὶ τί γὰρ ἄν, ἀτοπώτερον εἴη, ἢ πρὸς τῷ κατασπᾶν τὴν ἀσώματον φύσιν ἐν σώματι· ἔτι καὶ πτεροφυΐαν αὐτῇ περιτιθέναι, καὶ θηριομορφίαν παντοίαν τὲ καὶ πολυειδῆ σύνθετον· καὶ τὸ τούτων ἀτοπώτερον, ἔτι γε μήν ἐστιν οὗ, καὶ φύσιν ἄψυχον ἐπ᾽ αὐτοῖς οἴεσθαι· καθάπερ δὴ πολλάκις αἱ θεῖαι βίβλοι τὰς ἀγγελικὰς καταποικίλλουσιν εἰκόνας; ὧν δὴ πάντων τούτων, λόγους ἡμεῖς εἶναι μὲν ἀποφαινόμεθα· πάνυ τοι θαρροῦντες· οὐ μὴν ἀλλὰ καὶ προστιθέναι νῦν· καὶ διὰ πάντων ἰέναι τῷ λόγῳ· δυσχερές τε δοκοῦμεν· καί τινος θεωρίας τελειοτέρας, καὶ ὡς ἀληθῶς ὑπὲρ ἡμᾶς· τάχα δὲ καὶ τοῦ παρόντος ἔξω σκοποῦ καὶ τῆς προθέσεως.

12. Ἡμῖν δὲ ὅπερ ὁ λόγος ἠβούλετο, ὅτι ταῦτα μέν εἰσι πάντα συμβολικοί τινες πίνακες πρὸς ὑψηλότερα διὰ τῶν ὁρωμένων ἄγοντες, τοὺς αὐτοῖς ὡς ἔξεστι προσέχοντας τὸν νοῦν. ἡ δ᾽ ἀγγε-

117 περιττὸς V^{2}: περιττῶς V **131** γραφαῖς καὶ τί V e corr. **138** ἰέναι V^{2}: ἱέναι V

120–121 cf. Plat., Symp. 215b; cf. etiam Or. 10, 7, 28 **131–134** cf. Ps.-Dion. Areop., De coel. hier. 2, 1 (pp. 9, 21–10, 5)

λικὴ φύσις νοερά τε καὶ πάσης ὑλικῆς ἀνωτέρα παχύτητος ἐν ἁπλότητι καθ᾿ ἑαυτὴν δίχα στοιχειώδους συνθέσεως ἐνυπόστατος· τῷ πρώτῳ νῷ παρ᾿ οὗ πᾶσα φύσις οὐσίωται νοερά τε καὶ ὑλικὴ μᾶλλον τῶν ἄλλων ὡς εἴρηται πλησιάζουσα· καὶ πρώτη τοῦ θείου καὶ ἀρρήτου κάλλους ἐκείνου, πάντως ἐμφορουμένη· καὶ τοῖς ἄλλοις μεσάζουσα, κατὰ τὴν ἐνέργειαν ἑκάστῳ τῆς φύσεως. ἔστι γὰρ καθαρωτάτη ταύτῃ καὶ θεία τροφὴ, εἰ οὕτω χρὴ λέγειν· μᾶλλον δὲ τρυφὴ καὶ ἀπόλαυσις, ἡ περὶ τὴν ἀνωτάτω θεωρίαν σχολή· καὶ τὴν τοῦ ὄντος ὄντως ἀντίληψιν· καθ᾿ ἣν ἀμέσως ἵν᾿ οὕτως εἴποιμι, τούτῳ πρόσεισι καὶ συγγίνεται· | μάλιστα μὲν τῷ f. 42v τε πάντων ὑπεραναβεβηκέναι τῶν ἄλλων ὡς ἔφην, καὶ μηκέτ᾿ ἄλλ᾿ ὁτιποτοῦν, εἶναι κατὰ φύσιν ὡς εἰκὸς τὸ μεσιτεῦον, οὐ μὴν ἀλλὰ καὶ πρὸς ὃ νῦν ὁ λόγος ἔβλεπε, τῷ φύσιν εἶναι· καθὼς ἄρα τὰ φιλοσοφίας δόγματα τὸν νοῦν ἀμέσως τῶν προκειμένων εἰς θεωρίαν ἀντιλαμβάνεσθαι· ὅτι δὴ νοῦς τῶν κατὰ τὴν ἐπιστήμην μεσοτήτων, ἀνενδεὴς ὡς τῶν ἀναγκῶν τῆς ἐπιστήμης ἐλεύθερος. μὴ δὲ γὰρ εἶναι φύσιν τὸ κρεῖττον δεῖσθαι τοῦ χείρονος. ἦν δὲ ἄρα πάντως ἡ κατὰ νοῦν θεωρία, πολλοῖς τοῖς μέτροις ὑψηλοτέρα· καὶ βριαρώτερον ἔχουσα τὸ θάρρος διὰ τὴν οἴκοθεν μεγαλοφυΐαν, τῆς κατὰ τὴν ἐπιστήμην ἀκλονήτου φαινομένης ἰσχύος. ἐπιστήμη γὰρ διανοίας ἤρτηται προσεχῶς· τοῦ γὰρ νοὸς δι᾿ αὐτῆς. ἐπὶ ταύτῃ γὰρ ὁρᾶται πάντως ἑδραζομένη καὶ ἱσταμένη· ὡς ἐξ αὐτῆς τὴν ἀρχὴν, ὡς ἀπὸ πηγῆς ἀναδοθεῖσα, καὶ λοιπὸν βρύουσα. ἣν ἄρα δή τις διάνοιαν τῶν ἔξωθεν ἀστείως ἐγχαράττει καὶ καθυποδείκνυσι καὶ τυποῖ μεγαλοφυὴς ἀνὴρ ἐννοῆσαι τὲ, καὶ τὴν τοῦ νοηθέντος ἑρμηνείαν ἐκθέσθαι, διάλογον αὐτῆς τῆς ψυχῆς, αὐτῆς ἐντὸς πρὸς αὐτήν. ταῦτ᾿ ἄρα καὶ πρὸς λόγον ταύτης πάντως ἡ γένεσις ἐπιστήμῃ· καὶ τοῦ νοὸς ὡς εἴρηται, δι᾿ αὐτῆς· ὅτι δὴ διανοίᾳ τὰς ἀρχὰς ὁ νοῦς ὑποτίθησιν ἀμέσους· αὐτὰς ἐκεῖνος καὶ πρώτας καὶ μεγαλοπρεπεῖς· καὶ ἀλόγους ἵν᾿ οὕτως εἴποιμι προευεργετῶν καὶ χαριζόμενος· δι᾿ ὧν ἐκείνη τοῖς ζητουμένοις προσάγεται· ὡς ἂν, ἐν

12,4 ἀνωτέρα ὑλικῆς primum scripsit, deinde litteris βα suprascriptis ordinem invertit V **6** πᾶσα φύσις V[1] in marg. **20** φύσιν V[1]: φύσει V **24** γὰρ V: an δὲ?

12,7–8 cf. Synes. Cyren., Aeg. 1, 9, 1 (p. 108) **16–19** cf. Phil. Iud., De migr. 77 (p. 274, 16–19) **23–24** cf. Plat., Resp. 533de; cf. etiam Metoch., Carm. 10, 210–217 (p. 183) **26–30** Plat., Soph. 264a

ταύταις ἐρειδομένη κινεῖσθαι· καὶ τὸ πρὸς βουλῆς δι᾽ αὐτῶν ἀνύτειν ῥᾷστα. οὐδὲ γὰρ ἄλλως ἔχει προαχθῆναι καὶ ὁπωσοῦν· καὶ συγγενέσθαι τοῖς οὖσι· καὶ περὶ αὐτῶν κατοπτεύειν καὶ νομοθετεῖν ἀσφαλέστερον ὅτι μὴ προϋποθεμένη τὰ τοῦ νοῦ δῶρα, καὶ διὰ τούτων τὰ τῆς προκειμένης ἀνάγκης περαίνουσα. αὕτη τῆς γνωστικῆς ἐνεργείας ἡ τάξις· αὕτη τῆς ἀπονενεμημένης ἑκάστῳ f. 43 δυνάμεως κατὰ λόγον | φυσικῆς ἡ διαίρεσις· τὸν νοῦν μὲν, ἀνενδεῶς τοῖς πράγμασι συμφύεσθαι· καὶ μεγαλοπρεπῶς καὶ βασιλικῶς ἐπιχειρεῖν, μετ᾽ ἐξουσίας καὶ ὥσπερ εἰπεῖν αὐτοκρατορικῶς· τὴν δὲ διάνοιαν τὰς ἀρχὰς ἐκεῖθεν ποριζομένην, δι᾽ αὐτῶν ἐφάπτεσθαι τῶν ὄντων. ἐπεὶ δὲ οὕτω ταῦτα· καὶ τοσοῦτον ὁ νοῦς παρὰ τῆς φύσεως ἀξίωμα κεκλήρωται· νοερὰν δὲ τὴν τῶν ἀγγέλων ἀσώματον οὐσίαν φαμὲν, ἀκόλουθον ὁ λόγος εἶναι φησὶ ταῖς περὶ αὐτοῦ θεωρίαις, ἀμέσως τοὺς ἀγγέλους, τῷ θείῳ φωτὶ συνάπτειν· μᾶλλον δὲ τἀληθὲς ἐρεῖν διὰ μέσων τῶν ἐκεῖθεν ἐλλάμψεων, ὃ δή γε, περὶ τὴν αἴσθησιν ὁρῶμεν. μᾶλλον δ᾽ εἰ δοκεῖ καταδηλότερον διὰ τῶν ὁρωμένων ἐνταῦθα, καθόσον οἷόν τε, εἰκονιστέον τὸ σκέμμα· ἵνα μὴ δ᾽ οὕτως ἀποστῶμεν τῆς ὕλης· ἀλλ᾽ αὐτόθεν παραχρῆμα τὴν πίστιν ἔχῃ τὸ πρότερον ἤδη ῥηθέν· ὡς περὶ τὰ νοητὰ σπουδὴν ἔχων ὁ νοῦς· καὶ ἀπορῶν ἐφικέσθαι τελείως· κἀντεῦθεν εἰκονικῆς ἡγεμονίας ἐπὶ τὰ ζητούμενα χειραγωγούσης δεόμενος, αὐτίκα τῶν ἀνωτάτω περὶ τὰ τῇδε πίπτων ὁρᾶται· καὶ τοῖς ὑλικοῖς συμφυόμενος δι᾽ αὐτῶν ἀμυδρῶς ὑποφαινόντων, πρὸς τὴν τῶν ἐρευνωμένων ἐνέργειαν ἀνατείνεται· ὥσπερ δὴ ποιοῦσιν ἀτεχνῶς, οἱ δι᾽ ὑδάτων τὸν ἥλιον βλέποντες· ὡς ἂν, πρὸς αὐτὸν ἀντωπῆσαι, μὴ κατισχύοντες. τὸ μὲν αἰσθητικὸν ἓν ὂν πνεῦμα, ὄργανα ταῦτα δὴ πενταχῶς πρὸς διαφόρους ἐνεργείας διανενέμηνται· ἐπεὶ δὲ τούτων πάντων ὅρασις ἔχει τι συγγενὲς πρὸς νόησιν, ὡς ἂν, καὶ τῶν ἄλλων ἁπάντων ἀυλότερόν τε καὶ τιμιώτερον, φέρε τὰ κατ᾽ αὐτὴν ὅσα πρὸς τὸν παρόντα τείνει τοῦ λόγου σκοπὸν, θεωρήσωμεν. ὅρασις τοίνυν τοῖς ὑποκειμένοις αὐτῇ

39 προκειμένης V e corr. **49** συνάπτειν V[2]: συνάπτει V **53** ἔχῃ correximus: ἔχει V **62** διανενέμηνται V: an διανενέμηται scribendum? **65** θεωρήσωμεν correximus: θεωρήσομεν V | τοῖς ὑποκειμένοις V[2]: τῆς ὑποκειμένης V

58–59 cf. Id., Phaed. 99d; cf. etiam Metoch., Carm. 10, 241–245 (p. 184) **62–66** cf. Arist., Metaph. 1048b33–36

σχεδὸν ἀχρόνως συναπτομένη, αὐτοτελὴς ἐστὶν ἐνέργεια. οὐ γάρ ἐστι χρόνου διαστήματος ἐνδεὴς· κατολίγον προαγομένη κατὰ τοὺς | νόμους τοὺς τῆς κινήσεως· περὶ ἣν ὁ χρόνος οὐσίωται· ἀλλὰ (f. 43v) παρ᾽ αὐτὰ τελεία τίς ὁρᾶται τὴν οἰκείαν ἐνέργειαν· καὶ τοῖς ὁρωμένοις ἅμα τῷ βούλεσθαι, προσβάλλει καὶ συμπλέκεται. οὐ μὴν ἀλλὰ καίπερ οὕτω δραστικωτάτη τίς οὖσα, δεῖται μέσου φωτὸς· ὃ τοῖς αἰσθητοῖς πλουσίως ἐπιχεόμενον, ὥσπερ τις αὐτοῖς δευτέρα φύσις εἶδος δημιουργεῖ· μᾶλλον δὲ τὸ παρὰ τῆς φύσεως τὴν ἀρχὴν γεγονὸς, εἰς ἐνάργειαν ἐμφανίζον, αἴσθησιν δεξιοῦται· καὶ κατευθύνει καὶ συνάπτει πρὸς ἃ βούλεται· καὶ σπεύδει καὶ ποθεῖ· οὐ μόνον δὲ ἀλλὰ καὶ πρό γε τούτου πρὸς τὴν αὐτὸ ἑαυτοῦ μεσάζει ταῖς αἰσθήσεσι συμπλοκήν. οὐ γὰρ ἄλλου δεῖται τοῦ μέσου πρὸς ἑαυτό. τὸ δ᾽ αὐτὸ κατίδοι τίς ἂν, ἐν τοῖς νοητοῖς εἴ γε καλῶς τὸν νοῦν ἐφίστησι. τὸ γὰρ ἄυλον τῆς θεότητος φῶς νοητὸν· μᾶλλον δ᾽ ἀνόητόν τε καὶ ἀκατάληπτον, πᾶσι τοῖς τε νοοῦσι καὶ τοῖς νοουμένοις· μεσάζον καὶ συνδέον ἀμφότερα, πρὸς αὐτὸ, μάλιστα πρότερον αὐγάζει πᾶσαν ὁρμὴν θεωρίας καὶ γνώσεως· καὶ φιλανθρώπως ἐφέλκεται. οὐ γάρ ἐστι νοῦν ἄλλως ἐν ὄψει τῶν κρειττόνων γενέσθαι, ὅτι μὴ ταῖς ἐκεῖθεν χειραγωγούμενον ἀκτῖσιν. ὃ δὴ καὶ περὶ τὰς ἀγγελικὰς οὐσίας ὁ λόγος βούλεται· παρατοσοῦτο καθορᾶν τὴν ὑπερτάτην ἐκείνην, καὶ ἀχώρητον φύσιν καὶ ἀθεώρητον, καθάπαξ, παρόσον ἂν, ἐκεῖθεν φωτίζοιντο· ἐλλαμπομένας ἴσως κατὰ τὸ μέτρον, ἧς πρὸς ἐκείνην ἐγγύτητος ἔχει· ὡς ἐντεῦθεν καὶ πᾶσαν, ἐκείνοις τὴν κατὰ νοῦν φυσικὴν ἐνέργειαν, προάγεσθαι πρὸς τὸ κρεῖττον ἀεὶ καὶ τελειότερον. ἐπεὶ δὲ πᾶς νοῦς πρὸς δύο μερίζει ταῦτα τὴν οἰκείαν ἐνέργειαν· πρός τε θεωρίαν τὸ πρῶτον· καὶ πρὸς πρᾶξιν τὸ δεύτερον· ὥσπερ δὴ καὶ τοῖς ἐνταῦθα σοφοῖς καὶ τεχνίταις ὀνομάζεται· νοῦς θεωρητικὸς· καὶ νοῦς πρακτικὸς (τούτων γὰρ δὴ χάριν, καὶ φιλοσοφία πρὸς δύο τὴν φύσιν τέμνεται· ὡς νοῦ πάντως ἔκγονον· πράξει μὲν τέλος ἔχουσα τὸ καλὸν· θεωρίᾳ δὲ τὴν τοῦ ὄντος ἀλήθειαν), φέρε δὴ |λοιπὸν ὡς ἔχομεν, (f. 44)

66 ἐστιν V a. corr. **74** ἐνάργειαν V[2]: ἐνέργειαν V **81** συνδέον V e corr. **87** παρ᾽ ὅσον V a. corr. **92** ὥσπερ V[1]: ὅπερ V

66–68 cf. Id., Phys. 219a13–14 **84–88** cf. Ps.-Dion. Areop., De coel. hier. 11, 2 (p. 42, 8–12) **92–93** cf. Arist., De anim. 433a14–15; Ethic. Nicom. 1139a29–31 **94–96** cf. Id., Metaph. 993b19–21

καὶ περὶ τὴν ἀγγελικὴν νοερὰν οὐσίαν, τὴν κατὰ νοῦν ἐνέργειαν, διπλῇ θεωρήσωμεν.

13. Ὅτι μὲν οὖν ἡ πρώτη καὶ τιμιωτέρα, μάλιστα κατὰ φύσιν τοῖς νοεροῖς καὶ τοῖς ἀγγέλοις αὐτοῖς, ἡ κατὰ θεωρίαν ἐστὶν ἐνέργεια· ὡς ἂν τῇ ἀνωτάτω θεωρίᾳ τοῦ ὄντος ὄντως, πᾶσαν τὴν σχολὴν ἔχουσι· καὶ τελεώτερον ἐφικνουμένοις, εὖ μάλα τῆς ἐνταῦθα σπουδῆς, ἤπερ οἱ καθ' ἡμᾶς πάντες νόες, μέγιστα τούτοις προσισταμένου τοῦ τῆς ὕλης συνδυασμοῦ· μᾶλλον δ' ὡς ἀληθῶς εἰπεῖν ἀρρήκτου δεσμοῦ καὶ τῆς ἐντεῦθεν καθάπαξ ἐπιθέσεως καὶ τῶν ὄχλων, τίς ἀντερεῖ τῶν καὶ μετρίως ἀγομένων νοῦ κρίσει, καὶ σώφροσι λογισμοῖς; οἵα δ' ἐστὶν αὐτοῖς ἡ κατὰ τὸ θεωρεῖν ἄνοδος· καὶ μέχρι τίνος προαγομένη· καὶ παύεται, αὐτοῖς ἂν εἴη παραχωρητέον εἰδέναι, πάντως οἳ καὶ νοοῦσι καὶ τὸ καθ' ἑαυτοὺς ἐντελῶς ἴσασιν· οὐ μόνον δὲ, ἀλλὰ καὶ πρὸς τούτοις· μᾶλλον δὲ καὶ πρὸ τούτων, αὐτῇ τῇ καθαρωτάτῃ τῆς θεότητος φύσει· περὶ ἣν αὐτοῖς ἡ τῆς ἐποπτείας ὁρμή. ἀνθρώποις δὲ τό γ' ἐμοὶ δοκοῦν ὡσταπολλὰ, καὶ τοῦτ' ἄληπτον ἂν, εἴη· καὶ ἄρρητον· πλὴν ὅτι τοῦτο μόνον ἔχομεν καὶ νοῆσαι τὲ καὶ κατερεῖν, ὡς καὶ τούτοις πρὸς τὸ νοεῖν κατὰ μέτρον ἡ κίνησις· καὶ σὺν τάξει κατ' ἀναλογίαν ἡ πρόοδος· ὡς τοὺς μὲν, μᾶλλον· τούς δ' ἧττον· ἐγγυτέρω τῆς θείας ἐκείνης αἴγλης, καὶ εἶναι καὶ γίνεσθαι· πᾶσι δ' ὅμως εἶναι καὶ τούτοις τὴν τελείαν κατάληψιν, τῶν ποθουμένων, ἀνέφικτον καὶ ἀνεπιχείρητον ὥστ' ἐξανάγκης καὶ σφίσι τέλος ἕπεσθαι, τοῦτ' αὐτὸ τῆς καταλήψεως, ἵν' οὕτως εἴποιμι, τὸ ἀκατάληπτον γινωσκόμενον· καὶ τὸ ἐπὶ τούτῳ κατὰ τὸ εἰκὸς θαῦμα, καὶ ἡ πλείων αὖθις θερμότης τοῦ περὶ τὴν κατάληψιν ἔρωτος. ὃ δὴ φύσις γίγνεσθαι, τὸ μήτε τελείως ληπτὸν, μήτ' ἄληπτον παντάπασιν, ἀλλ' ἀμηγέπη κρατούμενον, μᾶλλον ἐπαίρει πρὸς ἑαυτὸ, μετὰ σφοδροτέρου τοῦ f. 44ᵛ πόθου, | τὸν ὁρῶντα τὲ καὶ ἐρῶντα· καὶ τὴν περὶ τὸ νοεῖν ἔπειτα λιχνείαν εἰς ἀεὶ πλέον ἀνάπτει τῆς φύσεως· ὡς ἄρα τοῦτο καὶ περὶ

13,9 οἵα scripsimus: οἷα V **10** προσαγομένη V a. corr. **23** εἰκὸς V e corr. πλείων V²: πλεῖων V **24** δὴ V: an δὲ? **28** λιχνείαν V²: λυχνίαν V | ἀνάπτειν V a. corr.

13,22–23 cf. Mich. Psell., Opusc. 36, 371 (p. 132)

τὴν ἀγγελικὴν ταύτην θεωρίαν, καθάπερ ἐν τοῖς ἄλλοις ἔοικε γίγνεσθαι.

14. Καὶ τὰ μὲν κατ᾽ αὐτὴν δὴ τὴν αὐτῶν θεωρίαν, καὶ τὸ περὶ ταύτην μέρος τῆς διπλῆς τοῦ νοὸς ἐνεργείας· καὶ νομῆς· ὃ δὴ καὶ πρῶτον καὶ τιμιώτερον εἴρηται· καὶ ἀληθῶς εἴρηται, ταύτῃ πως ἐχέτω μετρίως εἰρημένα· μᾶλλον δὲ τρόπον τινὰ τῷ ἀλήπτῳ τὲ καὶ ἀρρήτῳ τετιμημένα· ἤδη δὲ ἰτέον ἐστὶν ἐπ᾽ ἄλλοις· καὶ θεωρητέον πρὸς τούτῳ καὶ θάτερον· καθ᾽ ὃ δὴ καὶ νοῦν πρακτικὸν, ὁ μὲν δημιουργικὸς καὶ πρῶτος νοῦς ἡμῖν δωρεῖται· ἡ φιλοσοφία δὲ ξυνεῖδε τὲ καὶ διείλετο. ἡμῖν μὲν οὖν ἡ τοῦ νοὸς ἐνέργεια· περὶ τὸ πράττειν ὡς ἔπος εἰπεῖν, ὅλη τῆς ὕλης ἐξῆπται· ὡς ἂν, περὶ αὐτὴν ἀεὶ τρίβουσα· καὶ κρίσιν τινὰ καὶ λογισμοὺς ποιουμένη, πρός τινα κοινὸν ὅρον ὑποτεθέντα· διὰ πάντων, τοῦ μετρίου τοῖς περὶ τὴν ὕλην, πάθεσί τε καὶ πράξεσιν. οὐ γάρ ἐστιν ἄλλῄ ποι σχολάζειν τῷ νῷ, περὶ τοῦτο τὸ μέρος γιγνομένῳ, ὅτι μὴ τοῖς εἰρημένοις τὴν χρῆσιν ὁριζόμενον καὶ μετροῦντα, καθότι τὲ καλῶς ἔχει, καὶ καθότι μή· καὶ πράξεσι μὲν νομοθετοῦντα καθάπερ εἴρηται πρὸς τοὺς κανόνας καὶ τὰς ὑποθέσεις τὰς τῆς μεσότητος· ἐξ ὧν ἡμῖν δικαιοσύνη καὶ φρόνησις· καὶ ὅσαι μερικῶς ὑπ᾽ αὐτὰς τέμνονται· τῷ δὲ περὶ τὴν ὕλην ἢ παρὰ τῆς ὕλης παθητικῷ τῆς ψυχῆς, μὴ συγχωροῦντα παρὰ τὸ εὖ· ἀλλὰ χρώμενον ᾗ καλῶς αὐτὸς ἐπιστατεῖ καὶ νομίζει· καὶ συμβαίνει τοῖς αὐτοῦ λογισμοῖς καὶ μέτροις· ἢ πείθοντα, ἢ καὶ ἴσως βιαζόμενον· ᾗ δὴ καὶ ἀνδρία καὶ σωφροσύνη· καὶ ὅσαι πάλιν ὑπ᾽ αὐτὰς ταξιαρχοῦνται καὶ κατακοσμοῦνται τὸ μέρος. καὶ συνελόντ᾽ εἰπεῖν ὁ νοῦς ὡς ἄρά τι κάλλιστον εἶδος ὕλῃ χρώμενον, σὺν λόγῳ καὶ μέτροις τοῖς ὑλικοῖς αὐτοῖς, | ἐπιφύεται f. 45 τοῦτον τὸν τρόπον, καὶ οὐσίωται περὶ τὸ πράττειν. ὢ θαυμασίας περὶ τὴν τούτων συμπλοκὴν ἁρμονίας. ὢ καλλίστου καὶ καινοτάτου συνδυασμοῦ, εἴ γε περὶ τὴν ὕλην οὕτω δὴ γιγνόμενος καὶ ξυντυγχάνων μηδέν τι πάσχων αὐτῆς ὑβριζούσης, ἀνάξιον τοῦ κατ᾽ αὐτὸν κάλλους ὁρᾶται· καὶ ταύτης εἴσω χωρῶν, οὐχ ὑπ᾽ ἐκείνης οὐ τελείως ἔχεται· καὶ ταύτης κοσμῶν τὸ ἀκόσμητον,

14,7 δημιουργικὸς V e corr. **11** κοινὸν V e corr. **14** καθότι V^2: καθ᾽ ὅτι V **28** αὐτῆς V^1 in marg.

14,8–9 cf. Arist., Ethic. Nicom. 1094a4–6 **9** cf. Ibid. 1104a2–3

οὐδαμῶς ἀκοσμίας ἐντεῦθεν ἐμπίπλαται· ὡς ἔστι δέος μὴ ἐν ᾧ περὶ ταῦτα γίγνεται, καὶ νόμους ἀρχικῶς αὐτοῖς καθιστᾷ, λάθῃ κλαπεὶς ταῖς τῆς ὕλης κολακείαις, πάνυ τοι τὸ ἐπαγωγὸν ἰσχυρὸν ἐχούσαις· καὶ παρατραπεὶς τῆς προσηκούσης ἐπιστασίας καὶ κρίσεως. ἀλλὰ ταῦτα μὲν, ἐατέον ἂν, εἴη πολυπραγμονεῖν περαιτέρω. ὃ δὲ ὁ λόγος ἠβούλετο· τὸ τοῦ ἀγγελικοῦ νοὸς θεωρῆσαι βουλόμενος πρακτικὸν, ὅτι τοῖς νοεροῖς ἐκείνοις πνεύμασιν, οὐκ ἔστιν ὥσπερ ἡμῖν περὶ τὴν ὕλην ἡ περὶ τοῦτο τὸ μέρος ἐνέργεια· ἀλλ᾽ ἔστιν ἀνωτέρα ταύτης ἅτε καὶ φύσεως ἀσυνδέτου παντάπασιν, ὕλῃ λαχοῦσι· καὶ παρὰ τοῦτο πρακτικῇ περὶ τὸ καλὸν εὑρέσει καὶ χρήσει τῆς ἀρετῆς ὑψηλοτέρᾳ χρωμένοις ἤπερ ἡ καθ᾽ ἡμᾶς· ὡς ἄρα τοῦτον τὸν τρόπον, ἀλογώτατ᾽ ἂν εἴη τοῖς ἐξῃρημένοις οὕτω τῆς ὕλης εἴ τις τὰς καθ᾽ ἡμᾶς ἠθικὰς ἀρετὰς ἐνθεωρεῖ καὶ ὅλως ἀντεξετάζει αἷς ἡ πρᾶξις περὶ τὴν ὕλην οὐσίωται· ὥσπερ ἂν, εἴ τις καὶ κάλλους αὐτοῖς, ἁρμονίας σωματικῆς καὶ ὑγείας μεταδιδοίη· μέγα τι πάντως οἰόμενος χαρίζεσθαι· ὃ δὴ ποιεῖν ἢ μᾶλλον τἀληθὲς εἰπεῖν πάσχειν εἰώθασιν οἷς ὁ νοῦς εἴθισται περὶ ταπεινὰ· λίαν εὐτελῶς, μηδὲν μέγα φρονεῖν· μὴ δ᾽ ὑπερβαίνειν καὶ μικρὸν, τῶν περὶ αὐτοὺς καὶ τῶν ὑπὲρ αὐτοὺς, τῆς μεγαλοφυΐας στοχάζεσθαι. ἔστι γὰρ ὥσπερ τἆλλα καὶ ἀρετὴ καὶ κακία, κατὰ τὰ μέτρα τῆς φύσεως. οὐ γὰρ παρὰ πᾶσι ταυτὰ, πάντα τρόπον τὰ κατ᾽ εἶδος f. 45v ὁτιοῦν ταυτὰ· ἀλλὰ τὰ τῷ | εἴδει τῆς κινήσεως παραπλήσια, κατὰ τὴν πρόοδον ἄνισα, διὰ τὴν ἀνωμαλίαν τῆς φύσεως· μᾶλλον δ᾽ ἄλλον λόγον ὡς ἀληθῶς, ἴσα κατὰ τὴν τῆς γεωμετρικῆς ἀναλογίας ἰσότητα, κατὰ τὴν ἀναλογίαν δηλαδὴ τῆς φύσεως, πρὸς τὴν δύναμιν τῆς ἀρχῆς, προαγόμενά τε καὶ ὑστερίζοντα. οὐ γὰρ οἶμαι ταὐτὸν ἵν᾽ ἐκ τῶν καθ᾽ ἡμᾶς τούτων καὶ προχείρων δηλωθείη, τὸ σκέμμα, καλόν τε καὶ φαῦλον· ἀνδρί τε καὶ γυναικὶ· οὐδὲ νέῳ τὲ καὶ πρεσβύτῃ· ἀλλ᾽ ἄνισον ὂν ὡς εὐθὺς ἰδεῖν, ἰσοῦται τὸν τρόπον ὃν ἔφην, γεωμετρικῆς ἀναλογίας ἰσότητι. τὰ γὰρ τέλη ταῖς φυσικαῖς ἀρχαῖς ὁμολογοῦσι τῶν πράξεων· καί που τις ἔφη κάλλιστα τῶν ἔξω σοφῶν εἰς ταῦτ᾽ ἀπιδὼν, ὡς αἱ μεγάλαι φύσεις ὅπῃ ἂν, νεύσω-

40 καλὸν V e corr. **42** ἀλογώτατ᾽ ἂν V e corr. **43** ἠθικὰς scripsimus: ἡθικὰς V **51** παρὰ πᾶσι V¹ e corr. (partim in marg.) **54** τῆς V² s.l **59** ἰδεῖν ἰσοῦται V² e corr.

61–66 cf. Plato, Resp. 491be **62–64** Plut., Demetr. 1, 8 (p. 2, 25–26)

σιν· εἴτ᾽ εἰς ἀρετὴν· εἴτ᾽ εἰς κακίαν, καθ᾽ ἑκάτερον περιτταὶ δείκνυνται· καὶ ῥοπὴν βάρους ἔχουσι· καὶ τοσοῦτο νικῶσαι, τοὺς ἥττονος λαχόντας τῆς φύσεως, καθόσον ἂν, καὶ μεγαλοφυΐας ἔχωσι· καὶ τὴν ἀξίαν τῆς φύσεως ὑπεραίρωσι. μαρτυρεῖ τῷ λόγῳ πρὸς τοῖς ἄλλοις πολλοῖς, τὸ περὶ τὰς ἀγγελικὰς οὐσίας αὐτὰς, πάλαι πρότερον τὴν ἀρχὴν, ὡς αἱ μὲν ἄρα βεβαίως στᾶσαι, περὶ τὴν τοῦ καλοῦ μονὴν· καὶ μηδαμῶς ἐκκλίνασαι, μεγάλην τινὰ παρ᾽ αὐταῖς τὴν ἀγαθουργίαν, καὶ θαυμαστὴν παρέχονται καθορᾶν· αἱ δὲ τῆς θείας αὐγῆς ἐκτραπόμεναι καὶ πρὸς τοὐναντίον νεύσασαι (τὰς ἀποστατικὰς φημὶ δυνάμεις), τὸν ὅμοιον τρόπον περὶ τὰ φαῦλα, τὴν μεγαλουργίαν παρέχονται θαυμάζειν· καὶ εἰσὶν ἀμφότεροι τῆς ἀνθρωπίνης ἀρετῆς, καὶ κακίας ἐπίσης κατὰ τὴν οἰκείαν ἐνέργειαν ὑπερβαίνουσαι. διὰ ταῦτα τοίνυν τό γ᾽ ἐμοὶ δοκοῦν ἐστὶ, τὴν καθ᾽ ἡμᾶς ἀρετὴν καὶ τὴν τοῦ ἡμετέρου πρακτικοῦ νοὸς, περὶ ταύτην ἐνέργειαν, μὴ προσάγειν ἀλόγως τῇ ἀγγελικῇ μεγαλοφυΐᾳ· καὶ πρὸς ἐκείνην ὡς ἂν, πρὸς κοινὸν τινὰ γνώμονα τῶν ἀγγέλων ἐπιζητεῖν, τὴν ἐνταῦθ᾽ ἕξιν.

15. Ἀλλ᾽ ἐοίκαμεν πρός τι μεῖζον ὁρᾶν καὶ τὸν νοῦν προσέχειν, τοῦ μεγέθους καταστοχαζόμενοι τῆς φύσεως. τίνα γὰρ ὄντως καὶ ὑπολήψεταί τις, εἴ γε ὅλως καὶ ὑπολήψεται, | τὴν ἀγγελικὴν f. 46 σωφροσύνην (προκείσθω γὰρ τοῦτο, τό γε νῦν ἔχον), παραπλησίαν, ὡς ἄρα τὴν καθ᾽ ἡμᾶς; φεῦ τῆς ὕβρεως· φεῦ τῆς τοῦ λογισμοῦ ταπεινώσεως, εἴ τις φέρων ἐπιτιθείη, ταῖς ἀσωμάτοις οὐσίαις, τοσοῦτον ὄχλον ὑλικῆς ἐπιθέσεως· ὅπερ εἴωθε τὰ νήπια δρᾶν τὰ τῆς ἀμαθοῦς ἡλικίας παίγνια συνασχημονεῖν, τοὺς πατέρας, ἀναγκάζοντα. ἀλλ᾽ οἶμαι μὴ οὕτως ἂν, ἀλόγως, ἠθικὰς ἀρετὰς τινὰ προσάγειν ταῖς ἀΰλοις οὐσίαις, καὶ ὑπὲρ αἴσθησιν· ἢ εἰ προσάγει τις, πάντως ἂν, ἀϋλότερον προσάγοι καὶ καθαρώτερον· καὶ οὕτως ἂν, εὖ γε ποιῇ χαριέντως, σὺν τοῖς καθ᾽ ἡμᾶς πρὸς τὰ ὑπὲρ ἡμᾶς ἀναγόμενος· καὶ ταῦτ᾽ ἀμέλει λεπτύνων· ἀλλὰ μὴ τοσοῦτον ἄχθος, ἑκών γε εἶναι τῇ ἀνόδῳ συνεφελκόμενος· καὶ συνάπτειν φιλονεικῶν τὰ ἀσύναπτα. ἡμῖν δὲ ἄλλῃ πῃ θεωρητέον τὸ σπουδαζόμενον. ἔστι μὲν οὖν τοῖς οὖσι τοῦ τε εἶναι· καὶ τοῦ εὖ εἶναι, πᾶσιν ἡ θεία φύσις ποιητική τις ἀρχὴ· οὐ μὴν ἀλλ᾽ ἐκ

64 καὶ τοσοῦτο V: an κατὰ τοσοῦτο? **65** καθόσον V^{2}: καθ᾽ ὅσον V **68** στᾶσαι scripsimus: στάσαι V **78** πρὸς κοινὸν V^{2} e corr. **15,9** ἠθικὰς V a. corr.

περιουσίας, τοῖς νῷ τε καὶ λόγῳ κεκοσμημένοις, καὶ τὴν παραδειγματικὴν αἰτίαν χαρίζεται καὶ προσεπιτίθησιν. οὐ γὰρ ἔστιν ἄλλως τοῖς κατὰ νοῦν κινουμένοις, ἡ κατ᾽ αὐτὸν τελειότης τοῦ εὖ εἶναι, ὅτι μὴ πρὸς τὴν τῶν ἀγαθῶν πάντων ἀρχὴν, τὴν ἀνωτάτω καὶ θείαν οὐσίαν, τὸ πρακτικὸν κατορθοῦν πειρωμένοις· καὶ καθόσον οἷόν τε τῆς ὁμοιότητος ἐχομένοις· συνταπεινουμένης κἀκείνης καὶ καταβαινούσης, ἁμωσγέπως· καὶ τοῖς πολλοῖς χωρεῖσθαι, κατὰ τὴν ἀναλογίαν τῆς φύσεως οὐκ ἀπαξιούσης· καὶ τοῖς ἐφιεμένοις μετριαζούσης, περὶ τὴν δυνατὴν ἐξομοίωσιν. τοιγαροῦν καὶ νοῦς ὕλῃ μετὰ τῆς φυσικῆς ἡγεμονίας συνδυασθεὶς· καὶ νοῦς καθ᾽ ἑαυτὸν ἀγγελικὸς ἐνυπόστατος, κατὰ φύσιν ἂν, πάντως κινοῖτο, τῇ ἐξουσίᾳ πρὸς τὸ γινόμενον χρώμενος, εἴ γε μὴ πάμπαν ἀποτυγχάνοι τῆς ἐνδεχομένης τοῦ θείου μιμήσεως. οὐ
f. 46v γὰρ ἂν, εἴη πᾶσι, τέλος ταυτὸν τῇ σπουδῇ· ἀλλ᾽ ἀναλόγως | ἑκάστῳ, καθ᾽ ὅσον ἂν, ἡ φύσις προάγεσθαι δύναιτο· δύναιτο δ᾽ ἄλλη τις ἂν, ἄλλης καὶ μᾶλλον καὶ ἔλαττον, κατὰ τοὺς ἀσαλεύτους ὅρους τῆς θείας τάξεως. ταύτῃ τοι, τὸ μὲν τέλος ἓν πᾶσι· καὶ σκοπὸς εἷς προκείμενος· φέρει δ᾽ ἄλλον ἄλλη πρὸς τοῦτον. πολλαί τε γὰρ αἱ πρὸς αὐτὸν ὁδοὶ καὶ ποικίλαι· κατὰ τὰς τῶν φύσεων ἑτερότητας· ἀλλ᾽ ἓν ταῖς πάσαις ἐστὶ τὸ κατάντημα· καὶ δι᾽ αὐτῶν, πρὸς τοῦτο πάντες σπεύδουσιν ὥσπερ πρὸς ἕν τι κέντρον, ἄλλη τις ἄλλοθεν εὐθεῖα· κοινῶς δ᾽ ὅμως αἱ πᾶσαι πρὸς τοῦτο περαίνουσαι· τὴν πρὸς τὸ θεῖον φημὶ πάντων σπουδὴν· καὶ τὴν γιγνομένην ἀφομοίωσιν. «ἐξ αὐτοῦ» τε γὰρ φησὶ, «καὶ εἰς αὐτὸν τὰ πάντα». καὶ γίγνεται κυκλική τις τῶν ὄντων ἡ περιδίνησις· ἐκεῖ καλῶς ληγόντων ὅθεν ἄρα καὶ ἤρξαντο. καὶ γὰρ ἐκεῖθεν τὰ πάντα· καὶ πρὸς αὐτὸ καθ᾽ ὅσον ἔνεστιν ἀνατείνεται καὶ περιστρέφεται. ἔστι τοίνυν καὶ ταῖς ἀγγελικαῖς οὐσίαις, παραδειγματική τις αἰτία, πρὸ πάντων ὅπερ ἐρεῖν ὁ λόγος ἠβούλετο τὸ θεῖον αὐτὸ· τῆς τοῦ εὖ εἶναι φυσικῆς τελειότητος· καὶ τὸ πρακτικὸν αὐτοῖς τοῦ νοὸς, πρὸς ἐκεῖνο κατευθύνει τὴν κίνησιν, ὡς πρὸς κάλλιστον τῶν ὄντων

19 γὰρ scripsimus: γάρ V **36** ποικίλαι V^2: ποικίλλαι V **42** ὄντων V^2: ὅλων V **44** καθ᾽ V^2 s.l.

15,29–30 cf. Synes. Cyren., Epist. 31 (p. 46, 1) **38–44** cf. Ps.-Dion. Areop., De div. nom. 4, 14 (p. 160, 11–15) **41** I Cor. 8, 6 **42** cf. Bas. Caes., In Hex. 1, 11, 14 (p. 130)

πάντων ἀρχέτυπον· παρατοσοῦτον κρεῖττον, ἥπερ τἄλλα τῆς μιμήσεως ἐφικνούμενον, παρόσον καὶ μᾶλλον ἐκείνῳ τῶν ἄλλων ἐγγίζει τῇ φύσει· καὶ παρὰ τοῦτο καὶ μάλιστα πλουτεῖ τῶν ἄλλων, τὴν ἐκείνου κατάληψιν· ὡς ἔστι τοῦθ᾽ οὕτως ἔχον, καὶ καλλίστην τὴν ἀντιστροφὴν ἐνδεικνύμενον. τό τε γὰρ περὶ τὴν τοῦ θείου κατάληψιν ὑψηλότερον, καὶ τὴν ἐκείνου μίμησιν τελειότερον· καὶ τὸ τῆς ἀφομοιώσεως ἐφικνούμενον τῶν ἄλλων μάλιστα, καὶ πρὸς θεωρίαν τὸν ὅμοιον τρόπον ἀνατείνεται μάλιστα.

16. Ὅτι μὲν οὖν τὸ τοῦ ἀγγελικοῦ νοὸς πρακτικὸν, ἡ πρὸς τὸ θεῖον κατὰ τὸ δυνατόν ἐστιν ἀφομοίωσις, πάντ᾽ ἂν, ἐρεῖν δοκῶ μοι, τῆς ἀληθείας ὡς εἰκὸς γιγνόμενον· ἐς ὅσον δὲ· καὶ ὃν τρόπον ἡ κατ᾽ αὐτοὺς προάγεται μίμησις, | αὐτοῖς ἂν εἴη παραχωρητέον f. 47 οἶμαί γε εἰδέναι, καὶ ὅσοις δι᾽ αὐτῶν ἴσως ἔγνωσται· καὶ οὐκ ἄλλον πάντως τὸν τρόπον· πλὴν ὅτι μὴ ζητητέον εἶναι ταύτην, ὁμοίοις λόγοις καὶ κανόσι, τῇ καθ᾽ ἡμᾶς· μηδὲν ὑπὲρ τὴν ὕλην φρονούσῃ. ἐπεὶ δὲ μεταξὺ τῆς τε θείας φύσεως καὶ ἡμῶν τὰς νοερὰς οὐσίας τῶν ἀγγέλων φαμὲν· καὶ διὰ τούτων μέσων ὥσπέρ τινων κοινῶν συνδέσμων τὰ καθ᾽ ἡμᾶς τοῖς ἀνωτάτω συνάπτεσθαι, πρὸς μὲν τὴν ὑπὲρ ταύτας τὲ καὶ ὑπὲρ πάντα τὰ ὄντα, τὴν θεότητος οὐσίαν καὶ δύναμιν ἑνοῖντ᾽ ἂν, τὸν εἰρημένον τρόπον, διὰ τὴν πρὸς αὐτὴν τῆς θεωρίας ἀνάτασιν· καὶ τὴν ἄπαυστον σπουδὴν τῆς γιγνομένης ὁμοιώσεως· πρὸς ἡμᾶς δὲ, τῷ πρὸς ἡμᾶς φιλανθρώπως κατέρχεσθαι· ὡς ἂν, δὴ πρὸς τὸ κρεῖττον ἡγεῖσθαι· καὶ πρὸς τὴν τῶν ἀγαθῶν ἐργασίαν βοηθεῖν ὅπῃ ἄρα· ἵνα δὴ κἀν τούτοις τῆς θείας μιμήσεως ἔχοιντο. ἦν δὲ ἄρα τὸ τῆς θείας φύσεως ἰδιαίτατον, ταῖς τῆς προνοίας εἰ οὕτω χρὴ λέγειν καθόδοις μέχρι πάντων τῶν ὑπ᾽ αὐτῆς δημιουργηθέντων καὶ τῶν δοκούντων εὐτελῶν καὶ χειρόνων αὐτὴν κατιέναι καὶ συγγίνεσθαι· εἰ καὶ μηδαμῶς τοῦ οἰκείου ὕψους· καὶ τῆς φυσικῆς ἐπικρύψεως ἐξίσταται· διὰ πάντων τὲ χωροῦσα, καὶ ὑπὲρ πάντα μένουσα· καὶ οὕτως οὖσα τὲ καθ᾽ ἑαυτὴν ἀνεκφοίτητος καὶ μέχρι τῆς τῶν ὄντων ἐσχατιᾶς γιγνομένη, καὶ πάντα σοφῶς ἄγουσα. ὃ δὴ καὶ τὰς

16,4 προσάγεται V a. corr. **12** ἑνοῖντ᾽ V² e corr. **20** εἰ καὶ V² e corr.

16,1–2 cf. Ps.-Dion. Areop., De coel. hier. 3, 2 (p. 17, 10–11) **24–32** cf. Ibid. 4, 2 (p. 21, 9–14)

νοερὰς ἀγγελικὰς οὐσίας, δρᾶν ὑπὸ φιλανθρωπίας· κατιούσας τὲ ἡμῖν, πρὸς τὰ κρείττω συμμαχεῖν· καὶ χεῖρα διδόναι· καὶ ἡγεῖσθαι τῶν ἀγαθῶν· καὶ μεσάζειν κοινωνικῶς τὴν θείαν αἴγλην καὶ τὰς ἐκεῖθεν ἐλλάμψεις, καὶ διαγγέλλειν οἷα εἰκὸς· καὶ ὅσα εἰκός· τὰ τῆς ἄνω θείας οὐσίας ἀπόρρητα· παρὸ δὴ καὶ πάσας μὲν κοινῶς ὀνομάζεσθαι τὰς νοερὰς οὐσίας ἀγγέλους· διὰ τὴν πρὸς ἀλλήλας καὶ πρὸς ἡμᾶς, κατὰ τοὺς ἄνω τῆς τάξεως νόμους, τῶν θείων f. 47ᵛ ἐξαγγελίαν τὲ καὶ φανέρωσιν· οὐ μὴν ἀλλὰ προσεχῶς | ὡς πρὸς ἡμᾶς τὲ καὶ πρὸς ἡμῶν, τὰ τῶν ἄλλων ὑποβεβηκότα νοερῶν ταγμάτων, τὴν ἀγγελικὴν κλῆσιν, ἰδίαν κλῆσιν λαβεῖν· ἐναργέστερον σύμβολον, τῆς αὐτῶν ἐνεργείας· καὶ ἅμα μὲν, τῆς πρὸς τὸ ὑπερέχον εὐγνώμονος ὑπουργίας τὲ καὶ ὑποταγῆς· ἅμα δὲ καὶ πρὸς τὴν σύνδουλον μὲν ταπεινοτέραν δ᾽ ὅμως κτίσιν, φιλανθρωπίας τὲ καὶ συγκαταβάσεως· ὡς ἔστι τοῦτο γε καλλίστης ὄντως τῆς ἕξεως συνταπεινοῦσθαι μὲν πρὸς τὸ ταπεινότερον ἑαυτοῦ καὶ συνανυψοῦν ἑαυτῷ καθόσον οἷόν τε· πρὸς δὲ τὸ κρεῖττον αὖθις ὑπείκειν· καὶ μηδαμῶς ἀντιπράττειν ὑπὸ φιλοτιμίας ἀκαίρου καὶ φιλαυτίας· ἀλλ᾽ ὡς ἐγχωρεῖ, καὶ θαυμάζειν καὶ ἀνυμνεῖν· καὶ συνεῖναι ποθεῖν· καὶ πρὸς τὴν ἐκείνου λοιπὸν ἕνωσιν· καὶ μίμησιν ἐγείρεσθαι· περὶ ὃ δὴ σχολάζειν· καὶ τὴν τῶν νοερῶν ἀγγελικῶν οὐσιῶν, οὐρανίαν ἱεραρχίαν δεδιδάγμεθα. ἔστι γὰρ ὄντως ἔστιν ἡ κατ᾽ αὐτὰς ἱεραρχία, καθαρὰ καὶ τιμία καὶ ὄντως ὑψηλὴ· καὶ κρείττονος ἀγωγῆς τὸ κατ᾽ αὐτὰς ὑποσημαίνουσα πρακτικὸν, περὶ τὴν θείαν ὡς ἔφην ὁμοίωσιν ἐπειγόμενον· καὶ τὰς καθάρσεις τὲ καὶ τοὺς φωτισμοὺς, καὶ τὰς τελετὰς διαυγεστέρας τὲ καὶ πολλῷ τῷ μέτρῳ· τιμιωτέρας καὶ θεοπρεπεῖς τῶν καθ᾽ ἡμᾶς ἔχουσα. τὰ δὲ δὴ κατὰ ταύτην τὴν τῶν ἀύλων ἱεραρχίαν ὡς ἔχει κατὰ φύσιν, ἱστορεῖν, ὑπὲρ τὸν παρόντα τοῦ λόγου σκοπὸν· μᾶλλον δ᾽ ὅλως ὑπὲρ ἡμᾶς. τοῦτο γε μὴν εἰρήσθω τό γε νῦν ἔχον· ὅτι κἀνταῦθα δὴ τὸ σεμνὸν τῆς τριαδικῆς, ἀριθμήσεως δείκνυται· τετραγωνικῶς ἐφ᾽ ἑαυτὴν θεωρουμένης. τριχῇ γὰρ διαιρεθεῖσα, διὰ τριῶν ἑκάστη ταγμάτων συνίσταται· ὡς τὴν μὲν πρώτην ἐν Θρόνοις εἶναι

32 τοπροσεχῶς V a. corr. **33** ὑποβεβήκοτα V e corr. **40** ἑαυτῷ V e corr. **44** περὶ ὃ δὴ V²: περὶ ὃ δεῖ V **45** ἐστὶν V a. corr. **47** ἀγωγῆς τὸ V² e corr. **49** καὶ² V¹ s.l. **51** τὴν V² in marg. **55** διαιρεθεῖσα V²: διαιρεθῆσα V

53–59 cf. Ibid. 6, 2 (pp. 26, 11–27, 3)

Χερουβίμ τε καὶ Σεραφίμ· μεθ᾽ ἣν ἐν τῇ δευτέρᾳ καὶ μέσῃ, τὰς Κυριότητας καὶ τὰς Δυνάμεις ἀριθμεῖσθαι, καὶ τὰς Ἐξουσίας· Ἀρχαὶ δὲ τὴν τρίτην κοσμοῦσιν, Ἀρχάγγελοί τε καὶ Ἄγγελοι.

17. Ἀλλ᾽ ὢ τῆς σεμνότητος τῶν λόγων· ὢ τοῦ θράσους· ὢ τῆς τόλμης· ὢ τῆς ἐγχειρήσεως ταύτης· τῆς οὐκ οἶδ᾽ ὅ,τί ποτ᾽ ἐρῶ, μεγάλης ἢ σφόδρ᾽ ἀμαθοῦς. | ἔλαθον ἐμαυτὸν τοῖς ἀδύτοις εἰσπη- f. 48
δήσας ἀκαίρως. ἔλαθον ἐμαυτὸν πορρωτάτω παρενεχθείς, ἢ κατὰ τὴν πρόθεσιν· μᾶλλον δ᾽ ἢ κατὰ τὸ προσῆκον αὐτὸ καὶ δίκαιον, ἔμοιγ᾽ οὖν· ἐπεὶ πρὸς ἄλλοις ἔχων τὴν ἀρχὴν κινῆσαι τὸν λόγον, οὐκ οἶδ᾽ ὅπως ἐκκλίνας τῆς προκειμένης εἰς ἄλλην καὶ μέχρι πόρρω ταύτης ἐχόμενος, μόλις ᾐσθόμην γενόμενος ἐμαυτοῦ ἐπιβαλὼν ὑψηλοτέροις ἢ κατ᾽ ἐμὲ· καὶ αὐτὸς ἐμαυτοῦ νεανικώτερος γεγονώς. φρονήματος γὰρ οὐκ οἶδ᾽ ὁποίού τινος τοῦδε παρὰ προσδοκίαν ἐκ τοῦ παραχρῆμα γενόμενος, ὑπερβὰς τὰ κάτω ὅλος ἄνω βλέπων, μετέωρός τις ἐδόκουν, πρὸς ὕψος ἀνίπτασθαι· ὥσπερ ἀποσεμνυνόμενος πρὸς τὰ τῇδε καὶ μηκέτ᾽ ἀξιῶν ἐπιστρέφεσθαι εἴ τις κάτωθεν καταγελάσειεν ἀφορῶν, ἢ τῆς ἀνόδου μοι ταύτης ἐπιβασκήνειε· λόγους ὥσπερ ἀποτοξεύων κακοήθεις καὶ ἰταμοὺς ἐξεπιπολῆς ἴσως ἢ κατ᾽ οὐδὲν ἡμῶν ἁπτομένους· καὶ εἰ παρ᾽ ἐκείνου κακουργότατά τε καὶ μετ᾽ ἐπιμελείας, ἔπειτα σφόδρα φέροιντο ἐπικεχρωσμένοι τάχα τὸν ἰὸν, οὐκ ἐν χρῷ μόνον, ἀλλ᾽ εἰς βάθος ὅτι μάλιστα. οὕτω δὴ νεανικός τις ἐξαίφνης ὤφθην καὶ γενναῖος (πῶς ἄν, εἴποιμι εὐπρεπῶς), οὕτως ὅλος ἐγενόμην τῆς μεταρσίου φορᾶς· ὑπεριδὼν καὶ νέμεσιν· καὶ νόμους σώφρονας εὐλαβείας· καὶ τοῦ ταπεινὰ λογίζεσθαι, κατ᾽ ἐμέ γ᾽ αὐτὸν ὅλως. ἀλλὰ γὰρ αἰσθάνομαι βαρούμενός τε καὶ καθελκόμενος· καὶ πρὸς ἐμαυτὸν, ἵν᾽ οὕτως εἴποιμι κατιὼν· ὥσπερ κάλως εἰς πολὺ ταθεὶς, εἰς ἑαυτὸν ῥαγεὶς ὑπεχώρησε· καί μοι δοκῶ ταυτόν τοι παθεῖν ἀτεχνῶς ὥσπερ ἔνιάττα κατὰ τὸν ἀέρα πρὸς βίαν, ἄνω ῥιπτεῖται παρὰ τὴν φύσιν· ἃ τέως μὲν ἀντέχει· καὶ πρόεισι καὶ περιγίνεται τῆς φύσεως· μέχρι τινὸς ἰσχύουσαν ἔχοντα, τὴν ἀρχὴν τῆς παραφύσιν ἀνόδου καὶ κινήσεως· τὴν ἀπὸ τοῦ ῥίψαντος βίαν, τελευτῶντα δ᾽ ὅμως ἡττᾶται, τῆς φύσεως καὶ τῆς ἐκεῖθεν ἐννόμου

59 τε V² s.l. **17,5** μᾶλλον δ᾽ ἢ V²: μᾶλλον δὴ V **14** μοι V² s.l. **19** οὕτω V²: ὅτι V | νεανικός τις V²: νεανικὸς V **20** ὅλος V¹: ὅλως V **23** βαρούμενός τε V²: βαρούμενος V

φορᾶς. ὃ δὴ κἀγὼ σχεδὸν πεπονθὼς, οὐκ ἐπ᾽ ὀλίγον μὲν ὅμως f. 48v ἐκουφίσθην δ᾽ οὖν ὑπὸ προθυμίας | οὐκ οἶδ᾽ ὅπως ἀναπεμπόμενος. ἀλλ᾽ ἤδη πάντως ἐμαυτοῦ γίγνομαι· καὶ πρὸς τὴν φύσιν ἐπανελθεῖν δοκιμάζω· μᾶλλον δὲ πρὸς τὸν ἐξαρχῆς τοῦ λόγου σκοπόν. ὄντως γὰρ ὄντως ἄλλην τρέχων, ἄλλην ἐβάδισα. εἰς ἄλλα καὶ γὰρ τοπρῶτον ὁρῶν, ἔλαθον ἐμαυτὸν κατ᾽ ὀλίγον ἐν ἑτέροις γενόμενος· καὶ μέχρι πολλοῦ διατρίβων οὐκ ἀηδῶς, γιγνόμενον οὕτω. ἡ γὰρ παραβραχὺ τῆς προκειμένης ἐκτροπὴ, κλέπτει μὲν τὴν αἴσθησιν τῷ συνεχεῖ τῆς κινήσεως· καὶ τῷ φαινομένῳ κομιδῇ τῆς τοῦ χρόνου τὲ καὶ τοῦ μεγέθους τομῆς ὀλίγῳ· μᾶλλον δὲ ἀμερεῖ· τελευτῶσα δ᾽ οὖν ἀμέλει φέρει, τῆς τὴν ἀρχὴν προτεθειμένης μακράν. ἀλλ᾽ ἵνα μὴ περὶ τούτου πλείω λέγων τοῦτ᾽ αὐτὸ πάσχων ἀγνοῶ, κατ᾽ ὀλίγον συνεχῶς ἐκφέρων καὶ παραγόμενος καὶ πράγμασι παρ᾽ αὐτοῖς τοῖς λόγοις, τοῖς λόγοις ἀτεχνῶς τὸ πιστὸν διδοὺς, φέρε τὸν λόγον ἀναληπτέον· μᾶλλον δὲ τῶν ἐξαρχῆς ἠρημένων ἀντιληπτέον ἡμῖν· καὶ τὴν γιγνομένην εὐφημίαν ἀποδοτέον· καὶ φορὰν ὡς προυθέμεθα, τῷ πρωτοστάτῃ τῶν ἄνω ταγμάτων Μιχαὴλ· ὡς ἂν, οὕτως ἐκ τῶν ἐνόντων ἀποδοίημεν ἡμῖν αὐτοῖς, καὶ τοῖς προτρεψαμένοις τὸ χρέος· καὶ φροντίδος καὶ πάντων πραγμάτων ἔξω γενοίμεθα. καὶ δὴ πρὸς τοῦτο νῦν ἄγομεν· καί μοι τοιγαροῦν ἡγοῦ τῶν ἀγγελικῶν ταγμάτων, ὁ μέγας ἡγεμὼν Μιχαήλ.

18. Εἶχε μὲν ὁ παρὰ Θεοῦ δημιουργηθεὶς ἑωσφόρος ἀνατέλλειν πρωὶ τῆς ἀνωτάτω καὶ μεγαλοπρεποῦς ἐκείνης λαμπρότητος, καὶ δόξης καταπεσὼν· καὶ σκότος τοῦ φωτὸς ἀλλαξάμενος, ὡς ἀδικίαν εἰς τὸ ὕψος λαλήσας· καὶ κατὰ Θεοῦ παντοκράτορος φρυαξάμενος· καὶ τραχηλιάσας ὡς ἡ γραφή φησιν· αἵ τε ὑπ᾽ αὐτὸν καὶ σὺν αὐτῷ ταὐτὰ καὶ δράσασαι καὶ παθοῦσαι δυνάμεις συναποστάτιδες. τῷ δέ γε θείῳ Μιχαὴλ τότε δὴ τότε σαφῶς, ἐδείχθη τὸ περιὸν κράτος τῆς περὶ τὸ καλὸν ἀκλονήτου παντάπασι καὶ ἀτρέπτου μονῆς. οὐ f. 49 γὰρ ἐξέστη καὶ ὁπωσοῦν τοῦ | ἀγαθοῦ· οὐδέ τι μεῖζον ἢ καθ᾽ ἑαυτὸν ἐλογίσατο· οὔτ᾽ οἴκοθεν αὐτὸς εἰς τοῦτο κεκινημένος, οὔτε

41 τῆς V e corr.

18,1–3 Is. 14, 12; cf. Pantal. Diac., Mirac. arch. Mich., PG 140, 576C **3–4** Ps. 72, 8 **4–5** Iob 15, 25

δὴ τοῖς ἀρχηγοῖς ἀμέλει τῶν τοιούτων ἀκολουθήσας· καὶ ταὐτὸν τοῖς ἄλλοις παθὼν· ὃ δὴ συμβαίνειν φιλεῖ παραπλήσιον ὥσπερ ἐν ὀρνίθων ἀγέλῃ· τοῖς προαναπτᾶσιν οἱ λοιποὶ πάντες, ἑξῆς ἕπονται μεθιπτάμενοι. ἀλλ᾽ ἐν τούτοις ὄντως ἐκεῖνος τοῦ λυσιτελοῦντος ἑαυτῷ γενόμενος· καὶ μέτρων καὶ λογισμῶν ὑγιῶν καὶ ἀσείστων, τῶν κατ᾽ αὐτὸν νοερῶν οὐσιῶν ἐν θαύματι καὶ θορύβῳ ποιουμένων τοῦ νεωτερισμοῦ τὴν καινότητα, καὶ συνελόντ᾽ εἰπεῖν τοῦ τάγματος τῶν ἀγγέλων οὕτως αἴφνης ἐρρηγμένου καὶ κινδυνεύοντος, ὥσπέρ τινος ὁλομελείας κοσμίας· εἰς κάλλος τῷ παντί τε καὶ τοῖς μέρεσιν εὖ ἡρμοσμένης· περὶ τὸ καιριώτατον παθούσης, μᾶλλον δ᾽ αὐτὸ τὸ καιριώτατον ἀθρόον κατατετμημένης κακῶς ἐκκοπὲν, ἐν τούτοις οὖν ἐκεῖνος μείνας ἐν τῇ ταυτότητι τοῦ καλοῦ· καὶ πάντας οἱονεί τινι κοινῷ συνδέσμῳ τούτῳ συναγαγών τε καὶ συναρμόσας· ὡς οἷόν τε κάλλιστά τε καὶ τάχιστα, τῷ κοινῷ δεσπότῃ τὰ τῆς εὐγνωμοσύνης ἀνταπεδίδου ῥήματά τε καὶ πράγματα. ὢ στερρότητος ἐκείνης καὶ περὶ τὰ καλὰ καρτερίας καὶ πήξεως, ὡς ἄρ᾽ ἐπὶ τούτοις οὐκ ἔπαθε τὸ συμβαῖνον ὡσταπολλὰ· ἀλλ᾽ ἑαυτόν τε καὶ τοὺς ἄλλους πάντας ὑπ᾽ αὐτὸν ὅτι κάλλιστα συνεστήσατο. ὢ θαυμαστῶν τῶν τότε καὶ λόγων καὶ πράξεων ἐν οἷς τοῦ Μιχαὴλ πρωτοστατοῦντος, καὶ τῆς χορείας ἐξάρχοντος, ὁ τῶν ὅλων ἀνυμνεῖτο δεσπότης, καὶ τῶν ὅλων δεσπότης ἀνεκηρύττετο· καὶ οἱ παρ᾽ αὐτοῦ γεγονότες, ἠγάπων ὑποταττόμενοι καὶ κατὰ χώραν μένοντες· κρείττους ἀναφανέντες, τοῦ παρὰ τῶν ἄλλων νεωτερισμοῦ παρὰ προσδοκίαν ἀθρόον συμβάντος καὶ τῆς ἀλόγου φιλοτιμίας, καὶ τῆς μετ᾽ αὐτὴν ἀποστασίας τὲ καὶ συγχύσεως. ταύτῃ τοι, ὁ μὲν, εὐθὺς ᾔσθετο καθ᾽ ἑαυτοῦ μανεὶς, καὶ σκότος | καὶ f. 49v Τάρταρον κατακρίνεται· ὁ δέ γε Μιχαὴλ ἐπὶ τούτοις ὑπὸ τοῦ Θεοῦ πρωτοστάτης τῶν ἀγγελικῶν, ταγμάτων ἀνακηρύττεται. καὶ τιμᾶται μὲν οὕτω ταπρῶτα παρὰ τοῦ τὰ πάντα κατὰ τοὺς τῆς ἰσότητος νόμους καὶ σὺν λόγῳ διεξάγοντός τε καὶ διευθύνοντος· οὐ

18,13 προαναπτᾶσιν V^2: προαναπτάσιν V **15** ὑγιῶν V^2: ὑγειῶν V **16** κατ᾽ αὐτὸν V^2 e corr. **17** συνελόντ᾽ scripsimus: συνελόντ V **20** παθούσης V^2 e corr. **28** συνεστήσατο V e corr. **32** παρ᾽ αὐτοῦ scripsimus: παραὐτοῦ V **35** αὐτὴν V e corr. **36** post ᾔσθετο rasura trium litterarum in V (an καὶ erasum?) **37** κατακρίνεται V e corr. **39** τῆς V^2 s.l.

14–37 Apoc. Io. 12, 7–9 **14–44** cf. Pantal. Diac., Mirac. arch. Mich., PG 140, 577C–578A

μὴν ἀλλ’ ἔχει καὶ οὕτω τιμήσας τὸ μέτριον· καὶ τὸ καθ’ αὑτὸν φρονεῖν· καὶ ἀγαπᾷ τοῖς δεδωρημένοις· καὶ μηδὲν πολυπραγμονεῖν ἔτι, ἀλλὰ γινώσκειν ἑαυτόν τε καὶ τὸν δεσπότην· καὶ ἀντιδιδόναι τὴν εὐγνωμοσύνην· καὶ ὑπηρετεῖν τοῖς θείοις προστάγμασιν.

19. Ἐπεὶ δὲ τὸ κάλλιστον ἔργον τῆς δημιουργικῆς καὶ θείας χειρὸς, τὸν ἄνθρωπον φθόνῳ κινηθεὶς ὁ πονηρὸς ὑπεσύλησεν· ἀλογῆσαι παραπείσας τῆς θείας ἐντολῆς· καὶ τῶν ἐν παρασκευῇ καὶ κάλλιστ’ ἐπηγγελμένων ἀγαθῶν κακούργως αὐτὸν ἠλλοτρίωσεν (οὐ γὰρ εἶχεν ἐνεγκεῖν φύσις ἔμπληκτός τε καὶ κακοήθης μετὰ τὴν ἀποστασίαν γενόμενος, καὶ φθόνου· καὶ δόλου· καὶ πάσης κακίας τῇ φυγῇ τοῦ καλοῦ δοχεῖον ἀπειργασμένος, αὐτὸς μὲν οὕτω καταπεσεῖν καὶ γυμνωθῆναι, τῆς μεγίστης ἐκείνης ἀξίας· τοὺς δ’ ἐκ τῆς γῆς γεγονότας· καὶ λαχόντας ἥττονος φύσεως, οὕτως ἀνυψωθῆναι καὶ γενέσθαι μετὰ Θεοῦ), ὑποσπάσας δ’ οὕτω δολίως τὸν ἄνθρωπον· καὶ ἀπαγαγὼν τοῦ καλοῦ ἐξ ἐκείνου δῆτα πρὸς ὕβριν· ᾤετο ῥᾷστα χρῆσθαι· καὶ τῆς οἰκείας ἀπονοίας (ὢ τοῦ θράσους), ὅσα καὶ παίγνιον ἔχειν, ἐπὶ δὴ τούτοις κινεῖται πρὸς οἶκτον ὁ ταχὺς εἰς οἶκτον Θεός. καὶ πῶς γὰρ οὐκ ἔμελλεν, ἢ πῶς ἂν, οἷον τ’ ἦν, παριδεῖν τὸ κάλλιστον αὐτοῦ καὶ τιμιώτατον πλάσμα, καταπροέσθαι τῷ ἀποστάτῃ; διατοῦτο κολάζει μὲν, ἀλλὰ μετρίως τὸν παρακούσαντα· καὶ τέμνει μὲν αὐτῷ τὴν ζωὴν ὁρίσας τέλει (ἀλλ’ ἔχει καὶ φιλανθρωπίαν ἡ τιμωρία· ἵνα μὴ πρὸς ἀθανασίαν τὸ κακὸν ἐκτείνηται μᾶλλον· ὅστις ὁ τρόπος τῆς ἀκαταλήπτου καὶ ἀρρήτου θείας σοφίας καὶ ἀγαθότητος· τῷ ἐναντίῳ
f. 50 δοκοῦντι, τοὐναντίον οἰκονομεῖν· καὶ ποικί|λως ὑπὲρ νοῦν καὶ λόγον τὰ πάντα κινεῖν), οὐ μὴν ἀλλ’ οὐδ’ ὅλης ζωῆς συγχωρεῖ τῷ κακούργῳ, τοῖς ἀνθρώποις ὅ,τι βούλοιτο χρῆσθαι· ἀλλ’ ἐν αὐτεξουσίῳ τῇ προαιρέσει κάλλιστα καὶ δικαιότατα θέμενος· ἀρχῆθεν τὴν τοῦ καλοῦ καὶ μὴ, πρᾶξιν ἡμῖν, ἵνα τοῖν δυοῖν προκειμένοιν εἰς αἵρεσιν, μήτε τὸ καλὸν δῶρον δοκοίη τῆς φύσεως, καὶ ὡς ἀλόγιστον ἀστεφάνωτον, μήτε τὸ φαῦλον, ἑτοίμην ἔχοι καὶ δικαιοτάτην

42 ἀγαπᾷ V: an ἀγαπᾶν? **19,13** ἐπὶ δὴ V[2]: ἐπειδὴ V **22** οὐδ’ ὅλης V: an οὐ δι’ ὅλης? **24** τῇ V[2] s.l. **27** ἔχοι correximus: ἔχει V

19,1–5 cf. Gen. 3, 1ff. **13** cf. Pantal. Diac., Mirac. arch. Mich., PG 140, 578AB **18–19** Greg. Naz., Or. 38, 12, 29–30 (p. 130)

ἅμα παραίτησιν τὴν φύσιν· ἀλλ᾽ ἀμφότερα παρ᾽ ἡμῖν ὄντα· καὶ μὴ δεσμοῖς δουλεύοντα φύσεως, τῶν προσηκόντων ἔπειθ᾽ ἑξῆς τυγχάνοιεν, οὕτω δὴ τὸν κόσμον τοῦτον δίδωσιν οἰκητήριον· ἀδούλωτον αὐτὸν ἑαυτοῦ ποιήσας τὸν ἄνθρωπον κύριον· καὶ πρὸς τόνδε φέρων εἰσάγει· ὥσπερ εἴς τινα πόλιν, κοσμοπολίτην ἀναδείξας αὐτόν· ὁ σοφὸς ἀρχιτέκτων πάντων λόγους τῶν εὖ τε καὶ ὡς ἑτέρως, αὐτῷ πρὸς ἑαυτὸν καὶ τοὺς ἄλλους εἰργασμένον ὑφέξοντα· ὡς παρ᾽ αὐτῷ γε ὃν οὗτινος ἂν καὶ βούλοιτο βίου λοιπὸν εὖ μάλ᾽ ἔχεσθαι. καὶ μὴν ἔτ᾽ ἐρεῖν ὥσπερ θέατρον αὐτῷ προτίθησιν οἶμαι, τὴν τοῦ κόσμου τοῦδε σκηνήν· αὐτὸς ἄνωθεν ἐφορῶν καθάπερ ἀγωνοθέτης, καὶ τοὺς ἄθλους ἀποσκοπῶν καὶ ταμιεύων τὴν κρίσιν· καὶ τοὺς ἐπὶ τῇ νίκῃ στεφάνους μετὰ τὴν τοῦ θεάτρου τοῦδε κατάλυσιν. ἐπὶ δὴ τούτοις, τὸ κάλλιστόν τε καὶ φιλανθρωπότατον τῆς περὶ ἡμᾶς τοῦ Θεοῦ προνοίας ἔργον, ἀγγέλους ἡμῖν, ἀλείπτας τοῖς ἄθλοις ἐφίστησιν ἡγεμόνας ἑκάστῳ καὶ συνεργούς, εἰς τὰ κάλλιστα, οἳ κρατουμένων μὲν ἡμῶν καὶ πιπτόντων δυσχεραίνουσι (πῶς ἄν, εἴποι τις;), καὶ καθόσον οἷόν τέ ἐστιν, ἀνάπτουσιν αὖθις καὶ ἀνεγείρουσιν εἰς τὴν μάχην· περιγινομένων δὲ καὶ τὸ κράτος ἀποφερομένων, ἔχουσί τε ἥδιστα· καὶ τὰ μέγιστα κροτοῦσι· κἀνταῦθα τέως εὖ μάλα χεῖρα διδόντες ὅσα φύσει γε ὄντες, φιλάνθρωποι καὶ φιλόκαλοι· καὶ πρὸς τοῦτο τῶν ἀνθρώπων ἑκάστῳ κεκληρωμένοι, παρὰ τοῦ πάντων κοινοῦ δεσπότου. οὐ μόνον δὲ οὕτω καθ᾽ ἕνα ποιεῖται τὴν | πρόνοιαν, ἀλλὰ καὶ κατ᾽ ἔθνη πᾶσαν f. 50v διαιρεῖ τὴν ὑπ᾽ οὐρανόν· καὶ κατατέμνει τὰς ἡγεμονίας ὁ μέγας τῶν ὅλων ἡγεμὼν καὶ δημιουργός· ἄγγελον τῶν ἐθνῶν ἑκάστῳ κατανέμων ἄρχοντα· ὡς ἄρα γε τῶν καλῶν ἡγεῖσθαι τοῖς ὑπ᾽ αὐτόν· καὶ τὸν δυνατὸν πάντα τρόπον, ἀποσοβεῖν τὴν ἐπίθεσιν, τῶν ἐναντίων. ἀμέλει τοι διαλαχόντες οὕτω τὴν οἰκουμένην, τάξεως νόμοις, ὁ μέν, Περσῶν ἄρχων· ὁ δέ, Ἰνδῶν· ὁ δέ, Μήδων· ἄλλος δ᾽ ἄλλων ἐστὶ καὶ καλεῖται· ὁ δέ γε πρωτοστάτης πάντων Μιχαήλ, τὸ πάντων τῶν τότε τιμιώτατον ἔθνος κληροῦται παρὰ

28 μὴ V[2] s.l. **45** περιγινομένων δὲ V[2]: περιγινομένων τὲ V **52** ἑκάστων V a. corr. **58** τὸ V[2] e corr.

30–32 cf. Phil. Iud., De somn. 1, 39 (p. 198, 5–6) **31–32** cf. Id., De vit. Mos. 1, 157 (p. 132, 1–4) **36–37** cf. Greg. Naz., Or. 4, 9, 1–2 (p. 98) **39–49** cf. Pantal. Diac., Mirac. arch. Mich., PG 140, 578B–579A **49–67** cf. Ibid. 579AB **50–54** cf. supra, 7, 28–30 **56–57** ὁ[1]…καλεῖται cf. supra, 7, 32–33

Θεοῦ· τὸν πρωτότοκον Ἰσραήλ. ἐξ ἐκείνου τοίνυν καὶ τοῖς ἄλλοις μὲν πᾶσι τῶν ἀνθρώπων ἐπικαλουμένοις ὅτι μάλιστα πρόθυμος ἀοράτως ἐφίπτατο· καὶ φύλαξ· καὶ τῶν καλῶν προστάτης καὶ χορηγὸς (ἔστι γὰρ ἔστι φιλανθρωπότατός τε καὶ τῶν ἄλλων πάντων μᾶλλον πρὸς ἀντίληψιν τῶν ἐν χρείᾳ, καὶ ἰσχύων κομιδῇ καὶ προθυμούμενος), οὐ μὴν ἀλλ' ἰδίᾳ τοῦ τῶν Ἰουδαίων ἔθνους ὡς οἰκείου τοῦ λάχους, τὸν πάντα χρόνον προυμάχει καὶ πάντα προΐστατο· ἡγεμών τε δεικνύμενος ἐν τοῖς ἀγαθοῖς, καὶ κατὰ τῶν ἐναντίων, ἀκαταγώνιστος στρατηγός. ἐκινδύνευον δίκαιοι· ἐφίπτατο ταχέως ὁ Μιχαήλ· καὶ τῶν δυσμενῶν ἀπηλλάττοντο. ἐπετίθεντο τοῖς εὐσεβοῦσιν ἄνδρες αἱμάτων καὶ δολιότητος· ἄνδρες ἐλπίζοντες, ἐν παροξυσμῷ καὶ μαχαίρᾳ αὐτῶν, οἷα τὰ τῶν ἀσεβούντων νεανιεύματα, ἐν ποσὶν ἡ δίκη· ἀφανὴς ἡ μάχη· ὁ μαχόμενος ἐγγὺς· καὶ τέμνων καὶ μὴ βλεπόμενος. ὢ τῆς ἰσχύος· ὢ τῆς καινότητος.

20. Τοιγαροῦν πολλὰ μὲν αὐτῷ, τὰ κατὰ τῶν ἀφανῶς ἐπιτιθεμένων τρόπαια· πολλὰ δὲ καὶ κατὰ τῶν φανερῶς ἐπανισταμένων πολεμίων τεράστια· καὶ πράγματα καὶ φύσιν καὶ λόγον ὅλως νικῶντα· ἃ καὶ βίβλοι παλαιαί τε καὶ νέαι, περιέχουσι, καὶ συγγράφουσιν. ἡμῖν δ' ὅμως ἐκ πλείστων, ὀλίγαττα νῦν γε εἶναι λοιπὸν εἰρήσεται· ἐπειδὴ δυσχερὲς, μᾶλλον δὲ καὶ ὅλως ἀδύνατον, f. 51 ἅπανθ' ἑξῆς τιθέναι τὲ καὶ προφέρειν· καὶ τὸ μηκύνειν | τὸν λόγον, ἄλογον ἴσως, ἐξὸν ὀλίγοις δηλοῦν ὃ βούλεται· αὐτὸν δηλαδὴ τὸν τῆς ἀγγελικῆς δυνάμεως καὶ φιλανθρωπίας θησαυρόν. τοῦτο μέν γε πάντων ὅτι μάλιστ' ἄξιον προειρῆσθαι· μηδὲν τῶν θαυμαστῶς γεγονότων ἐκείνων πάλαι, τῆς ἀγγελικῆς ἡγεμονίας τοῦ Μιχαὴλ δίχα γενέσθαι· μὴ δ' ὁποῖον ἂν, εἴη· ἀλλ' εἰς ἐκεῖνον ἀνάγοι τις ἂν πάντα δικαίως ὡς ἐφιστάμενον ἄρχοντα. καὶ γὰρ δὴ καὶ ἔστι μάλιστ' ἔχον τοῦτο γε λόγον, εἴ τις τὰ τῶν ὑπηκόων φέρων ἀνατιθείη τοῖς ἄρχουσι. ταύτῃ τοι τό γ' ἐμοὶ δοκοῦν ὅσα τὲ τοῖς πατριάρχαις· ὅσα τὲ τοῖς περὶ Μωυσῆν ἐθαυματουργεῖτο καὶ Ἰησοῦν, τοῖς τε κριταῖς· καὶ βασιλεῦσι καὶ πᾶσι τοῖς ἄλλοις ἑξῆς,

63 πάντων μᾶλλον πρὸς V e corr. **67** οἱ ante δίκαιοι erasum in V **20,2** καὶ V[1] s.l.

69 Ps. 54, 24

πάντ᾽ ἐγίγνετο ἢ προφανῶς, προστατοῦντος τοῦ Μιχαὴλ αὐτοῦ· ἢ ἀφανῶς πρὸς τὸ τῆς χρείας ἔγκαιρον διαφέροντος. ἢ τί ἄν τις ἐρεῖ βούλεσθαί οἱ τὰς συνεχεῖς ἐπιδημίας τὲ καὶ ἐντεύξεις, ὁτὲ μὲν πρὸς Μωυσῆν· ὁτὲ δὲ πρὸς Ἰησοῦν· ἄλλοτε δὲ πρὸς ἄλλον τινὰ τῶν ὄντων ἐπὶ τοῖς πράγμασιν; οὐδὲν ἕτερον ὡς παντί γε δῆλον ἢ μηνύσεις ἀπορρήτους ἐντεῦθεν ἀγγέλλεσθαι καὶ δόγματα καὶ ψήφους ἐπὶ τοῖς πραττομένοις· ὡς ἄν, ὅτι μάλιστα κάλλιστ᾽ ἔχοι καὶ γίγνοιτο. διατοῦτο μετὰ τὴν πεῖραν καὶ τὴν τῆς εὐσεβείας ἀπόδειξιν· καὶ τῆς ἐντελεστάτης ἀγάπης καὶ πίστεως, ἐπέχει Μιχαὴλ οὐρανόθεν τὸν Ἀβραάμ, μὴ τὴν χεῖρα ἐπιβαλεῖν ἐπὶ τὸ παιδάριον· μόνον οὐκ ἐν χρῷ τῆς μαχαίρας ἤδη πρὸς τὴν σφαγὴν γενομένης· μὴ δὲ θῦσαι τὸν ἀγαπητὸν υἱόν, ὡς ἐντολὰς εἶχε· καὶ γυμνοῖ τῆς θείας βουλῆς τἀπόρρητον· ὡς δοκιμασία τίς ἦν, τῆς περὶ τὸ θεῖον εὐπειθείας καὶ πίστεως· καὶ τὸν πατριάρχην ἀνακηρύττει καὶ δοξάζει διὰ τὴν ὑπακοὴν τὴν θαυμαστὴν ἐκείνην· καὶ παντάπασιν ἀδόκητον καὶ ἀπολυπραγμόνητον· καὶ προμηνύει· καὶ προαγγέλλει καὶ ὑπισχνεῖταί οἱ, πολυγονίαν ἀντὶ τῆς πρὶν ἀπαιδίας· καὶ τόσα καὶ τόσα, κάλλιστα· καὶ θησαυροὺς καὶ χῦσιν ἀγαθῶν· καὶ οὐδὲν ὅ,τι οὐ τῶν ἀνθρώποις ἐφετῶν καὶ μεγίστων· | f. 51v
καὶ ὑποδεικνύει τὸν δεδεμένον κριὸν τῇ προνοίᾳ σχεδιασθὲν ὁλοκάρπωμα καὶ ἀντιδοθὲν τῷ τάχει τῆς τοῦ ἀνδρὸς θεοσεβείας· καὶ σκιαγραφεῖται παραδόξως ἐκεῖθεν, οὕτω τὸ μέγα καὶ πρὸ τῶν αἰώνων ἀποκεχρυμμένον, τῆς θείας οἰκονομίας μυστήριον. ἀλλὰ καὶ τὸν Ἰακὼβ ἀνδρίζει καὶ θαρρύνει, μηκέτ᾽ ἐν λόγῳ ποιεῖσθαι τὸν ἀδελφόν, ὑπόπτως τὸν ἀεὶ χρόνον, καὶ μάλιστ᾽ ἐπιβούλως ἔχοντα· καὶ τοῦτο οὐ λόγοις μόνον· ἀλλὰ καὶ πράγμασι. συμπλέκεται γὰρ εἰς πάλην αὐτῷ καινότατα· καὶ ὡσπερεὶ μὴ δεδοικέναι προτρεπόμενος· αὐτῷ προσπαλαίσαντα, τὴν περὶ τὰς μάχας τοῦ Ἠσαῦ ἄσκησιν. Μωυσῇ δὲ πρὸς τῷ ὄρει ἐπὶ τῇ καινουργίᾳ τῆς βάτου, προσλαλεῖ τότε δὴ καὶ βοᾷ· καὶ μηνύει τὰ τῆς θείας βουλῆς· καὶ προτρέπεται τῶν πραγμάτων ἐρρωμένως ἀντιλαβέ-

39–40 πρὸ τῶν αἰώνων V[2]: προαιώνων V

20,21 cf. infra, 22, 16–27 **25–40** Gen. 22, 1–24; cf. Pantal. Diac., Mirac. arch. Mich., PG 140, 580B **40–46** Gen. 32, 3–33, 16; cf. Pantal. Diac., Mirac. arch. Mich., PG 140, 580C **46–54** Ex. 3, 2ff. **46–63** cf. Pantal. Diac., Mirac. arch. Mich., PG 140, 580CD

σθαι· τὴν γενναίαν καὶ μὴ καταισχύνουσαν ἐλπίδα τοῦ παντὸς προστησάμενον· τὴν ὑπερφυῆ τοῦ καλοῦντος δύναμιν πάντ᾽ ἰσχύουσαν ὅσα δὴ καὶ βούλεται· προϋποτίθησι τὰ τῆς οἰκονομίας τῶν ἔργων· προλέγει τὰ γενησόμενα· τοῖς παραδόξοις ἐκείνοις ἀνδρίζει πρὸς τοὖργον, καὶ παρασκευάζει γεννικῶς. τί μοι τὰ πολλὰ λέγειν; ἀλλὰ κάτεισιν ἐκεῖθεν Μωσῆς· ἀλλὰ προσέρχεται Φαραὼ· καὶ τὸν Ἰσραὴλ ἐξαιτεῖται καὶ ἀποπέμπεται· καὶ ληρεῖν δοκεῖ πραγμάτων ἀνηνύτων πειρώμενος. ἐντεῦθεν τὰ τοῦ θείου κράτους τῶν ἀπὸ τοῦ παντὸς αἰῶνος, ἐκεῖνα μέγιστα τεράστια· κολαζομένη καινοτάταις Αἴγυπτος καὶ βαρυτάταις πληγαῖς· καὶ Φαραὼ τῇ μὲν παρουσίᾳ τῶν δεινῶν, καταπίπτων καὶ ταπεινὸς· ἡνίκα δ᾽ ἐπ᾽ ὀλίγον ἀποχωροίη τὰ χαλεπὰ καὶ καταπαύοιτο, καὶ αὖθις ἐν τοῖς αὐτοῖς· καὶ τοῦτο πολλάκις· καὶ τελευτῶν νικᾶται τῇ βίᾳ· καὶ συγχωρεῖ τῷ Μωσεῖ τὴν ἔξοδον. ἐξάγεται τοίνυν ἐκεῖνος οὕτω· καὶ τὸν Ἰσραὴλ ἐξάγει· καὶ χειρὸς λυτροῦται τῶν δυναστῶν.

21. Τὰ δ᾽ ἑξῆς, «τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου· ἀκουστὰς ποιήσει, πάσας τὰς αἰνέσεις αὐτοῦ;», τίς πρὸς ἀξίαν τὰ f. 52 τότε | πραχθέντα οὐκ ἐρεῖ λέγων, ἀλλά γε δὴ καὶ θαυμάσεται, ἃ βίβλοι συγγράφονται θεῖαι καὶ πάντες ἴσασι μέχρι καὶ νῦν περιβόητα; ἀλλ᾽ ὃ τῷ λόγῳ σκοπὸς τὰ πάντα γενέσθαι ταῦτα προστατοῦντος αὐτοῦ Μιχαὴλ· καὶ τὰ τῆς ὁδοιπορίας ὡς ἐνῆν μάλιστα κατορθοῦντος· καὶ πράττοντος πάντ᾽ ἔχειν εὖ· καὶ ῥᾷστ᾽ ἀνύτειν καὶ τὰ τῆς πορίας καὶ τὰ τῶν θαυμάτων αὐτῶν· καὶ δείκνυσιν ἄλλά τε καὶ τὸ κατὰ τὸν μάγον μάλιστα Βαλαάμ· ὃν ἐπικαλεῖται μὲν Βαλαὰκ ὁ τῶν Μωαβιτῶν βασιλεὺς, ὡς ἂν, ἐπαράσασθαι τῷ Ἰσραὴλ, τὰ πάνδεινα καὶ χαλεπώτατα· καὶ τὸν ἐγχωροῦντά οἱ τρόπον τὴν ἀήττητον, ἐκείνην συνεπιοῦσαν εὐθὺς ἰσχὺν ἀνακόψαι (ὢ τῆς ἀλογίας· ὢ τῆς σκαιότητος· εἰ μαγικὰς δυσφημίας, καὶ τερθρείας περιγενέσθαι τοσούτου θείου κράτους, ἐκεῖνος ᾤετο),

53 τοὖργον V^2: τοῦργον V **21,3** λέγων V^2 e corr. | γε δὴ V^2 s.l. **4** post ἴσασι rasura duarum litterarum in V | καὶ^2 V^1 s.l. **5** τὰ V: an τὸ? **8** πορίας V^2, servavimus: πορείας V | τὰ^2 V^2 s.l. | an καὶ^3 delendum? **14** post περιγενέσθαι rasura trium litterarum in V (an τοῦ erasum?)

49 Rom. 5, 5 **54–56** ἀλλὰ^1…πειρώμενος Ex. 5, 1ff. **58–63** Ex. 6, 1ff. **21,1–2** Ps. 105, 2 **9–30** Num. 22, 20–35 **9–46** cf. Pantal. Diac., Mirac. arch. Mich., PG 140, 580D–581A

σωφρονίζει δὲ πρὸς ἔλεγχον τῆς ἀνοίας, τὸ φέρον αὐτὸν ὑποζύγιον· ἀγγελικῆς καθ᾽ ὁδὸν πεπειραμένον, ἀντιπραττούσης δυναστείας ἀφανοῦς· καὶ τὸ εἰκὸς αὐτὸ πράττον· μᾶλλον δὲ πάσχον· τῷ δέει τῆς θέας τὸν δρόμον ἐπεχόμενον· καὶ εἰς τοὔπισθεν ὠθούμενον βιαίως· καὶ προσαράττον τὸν μάταιον ἐκεῖνον καὶ λῆρον ἔποχον· καὶ μόνον οὐ κατασπῶν πρὸς γῆν· καὶ οὐ τοῦτο μόνον (ἀλλ᾽ ὢ τῆς καινουργίας), ἀνθρωπικῶς ἐπεὶ καὶ βιάζοιτο καὶ κατωθοῖτο, φθεγγόμενον· καὶ ὑπεμφαῖνον τὴν ἐμπεσοῦσαν φοβερὰν ἐκείνην ὀπτασίαν· καὶ παιδεῦον μὴ τοῖς κρείττοσιν, ἢ κατ᾽ αὐτὸν ἐγχειρεῖν, τοῦ λοιποῦ· καὶ τῶν θείων καταθρασύνεσθαι. καὶ εἶναι γὰρ αὐτῷ τούτου μεγίστη καὶ σαφεστάτη τίς ἀπόδειξις καὶ παιδαγωγία τοῦ βελτίονος, ἄγγελος φοβερὸς· ὁρῶν καὶ ὁρώμενος, ἐκείνῃ τότε καὶ δεδιττόμενος· καὶ ὄνος αὐτὴ πρώτη τῆς μεγίστης ταύτης καὶ θαυμαστῆς, ἐποπτείας ἀξιουμένη· καὶ τὸ εἰκὸς ξυνορῶσα καὶ ὥσπερ μεταβάλλουσα τὴν φύσιν αὐτίκα, καὶ τὴν ὁμιλίαν ἀνθρωπικήν. ἀλλ᾽ ἐπειδὴ γέρων | ὢν ὡς ἔοικε τὴν κακίαν ὁ μάντις ἐκεῖνος f. 52v τοῦ νεωτερίζειν ὅμως οὐδαμῶς ἀνεκόπτετο, ἀλλ᾽ ἐθρασύνετο καὶ ὑπὲρ αὐτὸν ἔτ᾽ ᾤετο μάλιστα· καὶ φρονήματος ἦν πλέως (δεινὸν γὰρ εἶναι, εἰ τοσούτοις ἄρα τοῖς φθάσασι χρόνοις, μέγας ἐν τοῖς τοιούτοις καὶ ὢν καὶ δοκῶν, ἔπειτα παρὰ προσδοκίαν τήν τε αὐτὸς αὐτοῦ· καὶ τῶν ἄλλων περὶ αὐτοῦ, οὕτω δὴ τάχιστα, καὶ ῥᾷσθ᾽ ὑποτρέσας, ἡττηθείη τὲ καὶ τραπόμενος, ὑποχωρήσειε), φιλονεικεῖ μὲν καὶ ἄνεισιν αὖθις ὡς καταρασόμενος τὸν Ἰσραὴλ, εἰς τὸ ὄρος· ἀλλὰ καὶ τότ᾽ αὖθις παραχρῆμα, τὰ τῆς θείας ἔργα δυνάμεως, μεταποιεῖταί οἱ θαυμαστῶς, καὶ τὰ τῆς γνώμης καὶ τὰ τῆς γλώττης· καὶ ἀντὶ δυσφημιῶν, εὐφημίας ἐπιβοᾶται· καὶ τρανοῖ· τῷ καλέσαντι πάσης ἐκτὸς ἐλπίδος· καὶ μάλιστα δὴ σαφῶς ἐκεῖνος δείκνυσι καὶ λόγοις καὶ πράγμασι, τὸ τῆς θείας ἀνέφικτον ἰσχύος· οὐ μόνον δὲ, ἀλλὰ καὶ τὰ μέλλοντα προφητεύει· καὶ φαίνεται λοιπὸν, μὴ δ᾽ ἑαυτοῦ κύριος ὤν· ἄλλῃ δέ πῃ καὶ μὴ καταγνώμην

15 δὲ V[1] s.l. **25–26** μεγίστη καὶ σαφεστάτη τίς ἀπόδειξις καὶ παιδαγωγία V[2]: μεγίστην καὶ σαφεστάτην τὴν ἀπόδειξιν καὶ παιδαγωγίαν V **28** ἐποπτείας V[2]: ἐποπτίας V **32** αὐτῶν V a. corr. **33** μέγας V[2]: μέγαν V **38** τότ᾽ αὖθις V e corr.

36–46 Num. 23, 1–24, 25

αὐτὸς ὠθούμενος, καὶ τυραννούμενος· ὁ κατ᾽ ἄλλων ὡς ἄρά τι μέγα δυνάμενος τέως θρασυνόμενος.

22. Καὶ τοῦτο μὲν, οὕτως ἔστω· ὁ λόγος δ᾽ ἐχέσθω τῶν ἑξῆς. μεθίσταται μὲν τῶν ὧδε Μωσῆς· καὶ τελευτᾷ τὸν βίον, ἐπ᾽ ἀτελέσιν οἷς ἐνεχείρησε τοῖς ἔργοις· μᾶλλον δὲ τἀληθὲς ἐρεῖν τοῦ καλλίστου τυγχάνει τέλους, τῆς μετὰ τὴν ἐκδημίαν ταύτην ἑνώσεως θείας· πρὸς ἣν τὸν πάντα τῆς ζωῆς χρόνον, ὡς πρὸς ἄριστον ἀληθῶς τέλος, ἐκεῖνος ἑώρα καθάπαξ καὶ τὸν νοῦν, προσεῖχε· διαδέχεται δὲ τὰ τῆς ἀρχῆς, Ἰησοῦς· Ἰησοῦς ἐκεῖνος, ὁ κατ᾽ αὐτὸν μετ᾽ αὐτὸν ἐκλελεγμένος παρὰ Θεοῦ καὶ μὴν ἔτι ζῶντος τὴν τῶν ὅλων παρ᾽ αὐτοῦ διοίκησιν, ἐν πολλοῖς πιστευόμενος· καὶ τὰ τῶν πολέμων καὶ τῆς μάχης αὐτὸς διαφέρων. οὐ μὴν ἀλλ᾽ οὐ μετέστη γε τῆς τοῦ Ἰσραὴλ ἡγεμονίας, καὶ στρατηγίας ὁ μέγας τῶν ἄνω f. 53 ταγμάτων, ἀρχιστράτηγος Μιχαήλ· ἀλλ᾽ ὁμοίως | καὶ αὖθις ἀεὶ, περιέπει τῶν ἀγαθῶν πάντα τρόπον προνοῶν· καὶ πάντα συμπράττων τῷ στρατηγῷ· μᾶλλον δ᾽ αὐτὸς τὸ πᾶν ἀνύτων ᾗ δὴ βέλτιον ἐδόκει, ταῖς πρὸς τοὺς ἀλλοφύλλους ἑκάστοτε παρατάξεσι καὶ συμπλοκαῖς. ἔδειξε δὲ, παρατακτομένῳ γὰρ Ἰησοῦ, ἡνίκα τὴν μεγάλην ἐπολιόρκει πόλιν Ἱεριχὼ· καὶ τὸ στράτευμα κατ᾽ αὐτῆς ἀγείροντι, τότε δῆτ᾽ ἀθρόον καινὸς ἐπιστὰς φοβερός τε ἰδεῖν ἐκεῖνος καὶ πολὺ τὸ σεμνὸν ἔχων, μετὰ τῆς χάριτος, ἐρομένῳ τῷ Ἰησοῦ· τίς τε εἴη· καὶ ὅθεν· καὶ ὅτου χάριν ἀφίκοιτο, τὴν μάχαιραν ἐσπασμένος· ἀπειλοῦσαν καὶ δεδιττομένην δεινὸν μάλιστα, ὁ δὲ, θείας τὲ εἶναι φησὶ δυνάμεως ἀρχιστράτηγος· καὶ τῷ ἀνδρὶ περὶ τῶν πραγμάτων τὰ βέλτιστα συγγίνεται· καὶ πρὸς τοὺς ἀγῶνας θαρρύνει· ἐγχειρεῖν τὲ καὶ μὴ μέλλειν· καὶ ὡς ἄρα δεῖ ἐγχειρεῖν πάντα πρὸς τὸ λυσιτελοῦν, καθιστάνει· καὶ προσδοκᾶν πάντα χρηστὰ τέλη, προλέγει νῦν τε καὶ τουλοιποῦ· πάντως αὐτοῦ συναιρομένου καὶ πᾶν ἐκποδὼν ποιουμένου δυσχερές. καὶ τὸ πρᾶγμα δείκνυσιν ἔπειθ᾽ ὕστερον· καὶ ὡς ἄρα προείρητο γέγονε·

22,1 ἔστω V e corr. **6** ἐκεῖνος V in marg. (manu Nicephori Gregorae?) **10–11** μετέστη γε V^{2}: μετέστησε V **13** τῶν ἀγαθῶν V^{2}: τὸν ἀγαθὸν V **15** ἀλλοφύλλους sic V; servavimus **24** ἐγχειρεῖν[1] correximus: ἐγχερεῖν V **25** προσδοκᾶν scripsimus: προδοκᾶν V

22,2–10 Deut. 34, 5–9 **16–27** Ios. 5, 13ff. **16–32** cf. Pantal. Diac., Mirac. arch. Mich., PG 140, 581D–582C

καὶ διαγέγονεν ἐν πᾶσι πολέμοις, ἀήττητος Ἰησοῦς ἐκεῖνος, πλείστοις βασιλεῦσι καὶ ἔθνεσιν, οὐκ οἶδ᾽ ὡς εἴ τις ἄλλος, ἀντικαταστάς, καὶ παντάπασι περιγενόμενος κατακράτος· καὶ τὰς ὑπ᾽ ἐκείνοις πόλεις, κατακληρουχήσας τοῖς ὑπ᾽ αὐτόν.

23. Ἐπεὶ δὲ τοῦθ᾽ ὡσπερεὶ φύσις τῆς ἀνθρωπίνης ἀσθενείας ἐστὶ· καὶ ξυμβαίνειν εἴωθεν ὡσταπολλὰ, ὑβρίζουσι τυχόντες ὧν οὐκ ἂν ἤλπισαν, καὶ ὅσα δὴ πόνος καὶ σπουδὴ προσεκτήσατο, ταῦτα ῥᾳστώνη καὶ τρυφὴ καθάπαξ ἐνταῦθ᾽ ἑπόμενα, προΐεται καὶ ἀπόλλυσι (τῷ ὄντι γὰρ, εὖ ἔχειν μοι δοκῶ καὶ λίαν ἀληθὲς εἰρημένον εἶναι, ῥᾷον εἶναι πολλῷ τὸ τὰ μὴ παρόντα περιποιήσασθαι, τοῦ τὰ προσγεγονότα καὶ συντηρῆσαι καὶ ἀσφαλίσασθαι), τοῦτο δὴ τοῦτο, καὶ ὁ παλαιὸς πέπονθεν ἐν τούτοις Ἰσραὴλ, τυχόντες τῶν μεγίστων ἐκείνων, καὶ ὧν οὐκ ᾤοντό γε, τέως, οὐκέτ᾽ ἦσαν ἑαυτῶν· καὶ | παρὰ τὴν εὐθηνίαν τῶν ἀγαθῶν ἡ γραφή φησιν f. 53v ἀπελάκτισαν· καὶ νεωτερίζειν ἤρξαντο, τρυφαῖς τε τὴν σάρκα κολακεύοντες· καὶ τοῖς αἰσχροτάτοις πάθεσι κακοὶ κακῶς μολυνόμενοι. καὶ οὔπω ταῦτα· καίπερ ὄντα τοιαῦτα· δεινὰ· ἀλλὰ τό γε μεῖζον καὶ πολλῷ χαλεπώτερον, ἀφίστανται τοῦ ποιήσαντος αὐτοῦ· τοῦ λυτρωσαμένου τῶν τοσούτων ἐν Αἰγύπτῳ δεινῶν· τοῦ τοσαῦτα καινουργήσαντος εἰς αὐτῶν σωτηρίαν καὶ δόξαν· καὶ θεοῖς ἀλλοτρίοις οἷς οὐκ ᾔδεισαν οἱ πατέρες αὐτῶν ὑποτάσσονται· τὴν τοῦ σεσωκότος τιμὴν, τὴν τοῦ κοινοῦ δεσπότου τῶν ὅλων, ἐν δευτέρῳ θέμενοι. ταύτῃ τοι καὶ παραδίδονται μὲν εἰς χεῖρας τῶν ἀσεβῶν καὶ ταλαιπωροῦσι· κἀντεῦθεν οὕτω δὴ λοιπὸν ἔπειτα παιδεύονται· καὶ πρὸς Θεὸν ἐπιστρέφουσιν· οὗ τυγχάνοντες ἵλεω, κακῶς ἐφρόνουν καὶ παρετρέποντο, τῆς τοῦ Θεοῦ φιλανθρωπίας, ἀμαθέστατα κατατρυφῶντες. «ὅτε δὲ ἀπέκτενεν αὐτοὺς, τότε» φησὶν «ἐξεζήτουν αὐτὸν»· ὃ δὴ πάντως, ἀφρόνων ἔργον· ἐξὸν ἀκινδύνως βιοῦν ἐν τιμῇ τοῦ καλοῦ, τὴν εἰς τὸ χεῖρον ἐκτροπὴν αἱρεῖσθαι· κἀντεῦθεν τὰ δίκαια πάσχοντας, μετὰ τὴν ἐπιτίμησιν

30 ἔθνεσιν V^2: ἔθνεσι V **23,7** προσγεγονότα V^1: προσγεγότα V **12** αἰσχοτάτοις V a. corr. **17** ᾔδεισαν V^2: ᾔδεσαν V | αὐτῶν V^2: αὐτὸν V

23,5–7 Greg. Naz., Or. 4, 32, 1–4 (p. 128) **10–11** Deut. 32, 15 **23–24** Ps. 77, 34

ἐπανάγεσθαι· καὶ καταφεύγειν πρὸς τὸν παιδεύοντα. καὶ δὴ καὶ τότε γίνεται τοῦτο· καὶ αὖθις ὁρᾷ πρὸς αὐτοὺς Θεὸς ἵλεως· καὶ οἶκτον πάσχει· καὶ πρὸς τὴν φύσιν ἐπαναστρέφει, τὴν φύσιν ὢν ἀγαθοποιός τε καὶ συμπαθὴς καὶ φιλάνθρωπος· καὶ παραφύσιν εἰς ὀργὴν παρ᾽ ἡμῶν ἐκκλίνων· εἰ καὶ τοῦτο τρόπον ἄλλον φιλάνθρωπον ὡς ἀληθῶς· παιδεύειν καὶ ἀνακόπτειν οἰκονομίᾳ τινὶ κἀντεῦθεν τοῦ χείρονος· καὶ πρὸς ἑαυτὸν ἕλκειν, οἷα τὰ τῆς ἀκαταλήπτου προνοίας ἀπόρρητα· ὥσπερ δὴ καὶ πατέρες τοὺς παῖδας ἀφισταμένους αὐτῶν, ἀμαθῶς δέος διὰ φασμάτων ἐνσείσαντες, εἰς ἑαυτοὺς ἐπιστρέφουσιν. ἀλλ᾽ ἐν τούτοις ὄντων τηνικαῦτα τῶν πραγμάτων τῷ Ἰσραὴλ· αὐτόματος ὁ Μιχαὴλ τῷ Γεδεὼν ἀπογνόντι τῶν ὅλων, ἀοράτως ἐφίσταται· καὶ παραμυθεῖται μὲν τὰ πρῶτα τοῖς λογισμοῖς παντάπασι, πεσόντα· καὶ λόγοις παρακλητικοῖς, f. 54 ἀρήγει· καὶ ἀνεγείρει· καὶ τῶν δυσχερῶν, ἀναρρώνυσιν. | ἔπειτα φρονεῖν τι μέγα, περὶ τῶν πραγμάτων ἀναπείθει· καὶ χρηστότερα προσδοκᾶν· εὐμένειαν ἐπ᾽ αὐτοῖς τοῦ Θεοῦ καὶ οἶκτον ταλαιπωρουμένοις ἐπαγγελλόμενος· τῆς τε ἡγεμονίας ἅπτεσθαι μάλιστ᾽ ἐρρωμένως προτρέπεται, οὐκ ἀβεβαίοις ἐλπίσι πτερούμενον· ἀλλ᾽ ἀσφαλέστατα περὶ τῶν μελλόντων θαρροῦντα· ὡς ἄν, αὐτοῦ προστησομένου, τῆς ἀγωνίας ἁπάσης. ἐντεῦθεν αἱ παράδοξοι θαυματουργίαι, καινουργούμεναι παραχρῆμα· τοὺς λόγους ἐνδοιάζοντι βεβαιοῦσαι· πόκος καὶ γῆ πᾶσα παραμέρος, ἑκάτερον τῶν συνήθων ἔξω νόμων ὑόμενα· καὶ ἄβροχα μένοντα· καὶ τὴν ἐπὶ τοῖς δεινοῖς τοῦ Γεδεὼν κατάπτωσιν· καὶ μικροψυχίαν καὶ παντελῆ, τῶν πραγμάτων ἀπόγνωσιν, ἀναψύχοντα. ἐντεῦθεν οἱ λάψαντες τριακόσιοι, τὸν πόλεμον πιστευόμενοι· καὶ παραδόξως νικῶντες· καὶ πατασσομένη Μαδιάμ, ἐν χειρὶ Γεδεὼν· καὶ τοῦτο τῆς ἀγγελικῆς πάντως ἔργον χειρὸς, ἡ μεγάλη τῶν ἀλλοφύλλων ἐκείνη πτῶσις. καὶ μὴν ἄλλά τε πλεῖστα τοῦτο πιστοῦται παρὰ τοὺς καιροὺς ἑκάστους αὐτουργούμενα τῷ Μιχαὴλ· καὶ τὸ κατὰ τοὺς Ἀσσυρίους μάλιστα, χρόνοις ὕστερον μέγιστον ἐκεῖνο τρόπαιον. ἵνα γὰρ τἄν μέσῳ, φεύγων, τὸ μῆκος ἐάσω, πολὺ τὸ

27 ἐπανάγεσθαι V e corr. | πρὸς scripsimus: προς V **42–43** ταλαιπωρουμένοις V[1]: ταλαιπωμένοις V **48** παραμέρος V[2]: μέρος V **52** λάμψαντες V a. corr. **54** ἀλλοφύλλων sic V; servavimus

36–46 Iud. 6, 11ff. **48–51** Iud. 6, 37–40 **51–53** Iud. 7, 5–25

κράτος ἐπ’ ἐκείνων τῶν χρόνων, ταύτης δὴ τῆς Ἀσσυρίων ἀρχῆς. ἐπὶ ταύτης πρὸς πολλοῖς ἄλλοις καί τις ἀνὴρ, ἰταμὸς ἵσταται καὶ φρονήματος πλήρης, τὸν Σεναχηρεὶμ ἀκούουσι πάντες. οὗτος τὰ τῆς ἡγεμονίας ὅτι μάλιστα προαγαγὼν· καὶ πολλὰ τῶν ἐθνῶν δουλωσάμενος καὶ τοὺς πρὸ αὐτοῦ πάντας, ὑπερβαλόμενος· κἀντεῦθεν μεῖζον ἢ κατ’ αὐτὸν φρονήσας, καὶ γενόμενος θερμότερος, οἷς ὕβρισεν, ἔπταισεν αὐτίκα. τέως μὲν οὖν ἐπὶ πᾶσι καὶ τοῖς Ἰουδαίοις ἐπιχειρεῖ καὶ προσβάλλει· τῇ τοῦ Θεοῦ πόλει, τοῖς Ἱεροσολύμοις, στρατὸν ἀριθμὸν σχεδὸν νικῶντα, τῇ πολιορκίᾳ προσάγων. καὶ μὴν τὰ μὲν ἄλλα τοῖς Ἰουδαίοις, παντάπασιν ἐν ἀπόροις καὶ προὖπτος ὁ κίνδυνος· ἀλλ’ ἦρχεν αὐτῶν ἀνὴρ εὐσεβής, τὰ πρὸς Θεὸν καὶ δίκαιος Ἐζεκίας | ὄνομα. οὗτος δὴ λοιπὸν τὰ f. 54v
παρόντα, τῆς θείας ἐξαρτησάμενος προνοίας, θαρρῶν εἶχεν ὡς βεβαίῳ τινὶ τῇ περὶ τὸ θεῖον ἐλπίδι· καὶ ὅλον ἑαυτὸν καὶ τὰ πράγματα πιστεύσας, τῷ τὰ πάντα δυναμένῳ Θεῷ· καὶ νύκτα τὲ καὶ μεθημέραν ἀεὶ προσκείμενος καὶ τρίβων· ταῖς πρὸς Θεὸν ἱκεσίαις, διαφέρειν ἐδοκίμαζεν, οὕτω τὰ τοῦ πολέμου· ὡς ἄν, αὐτὸς μὲν μηδὲν ἔχων ὅ,τι καὶ δράσειε· τὸ δὲ θεῖον εὖ μάλ’ ἕτοιμον ὄν, πρὸς ἀντίληψιν, τῶν αὐτοῦ σπουδαστῶν καὶ πᾶν ἰσχύον ὅ,τι βούλοιτο· καὶ προσδεχομένῳ ἐῴκει γε πιστῶς πάνυ τοι, τὸ τῶν πραγμάτων πέρας χρηστὸν καὶ τὴν θείαν αὐτὴν χεῖρα· τῆς ἀγωνίας προστησομένην. πρὸς ἥν, οὐδὲν ἠξίου τὸ Σεναχηρεὶμ κράτος· ἐν δευτέρῳ τὲ τὴν ἄμαχον ἐκείνου στρατιὰν, ἐτίθετο· καὶ τοσούτῳ μᾶλλον ὅσῳ γε ταύτῃ μέγα φρονῶν ἐκεῖνος, ὑβρίζοι τὲ· καὶ τῆς θείας καταθρασύνοιτο δυνάμεως, βλασφημῶν Θεὸν· καὶ καταγελῶν Ἐζεκίου, τῶν γενναίων ἐκείνων ἐλπίδων. ταῦτ’ ἄρα τἀληθὲς ἡ τῶν ἔργων δείκνυσιν ἔκβασις· καὶ οὐκ ἐψεύσθη τῆς μεγίστης προσδοκίας βασιλεὺς, εὐσεβής. κἀνταῦθα μοι τὸ θαυμαστότατον τῆς τοῦ Μιχαὴλ ἔργον χειρός. νὺξ μία· καὶ στρατὸς ὅσος καὶ λεγόμενος σχεδὸν ἀπιστεῖσθαι, τάχιστ’ ὀλλύμενοι καὶ ἀθρόον· καὶ ὡς ἄν, μηδόλως αἰσθέσθαι. ὦ τῆς μεγάλης· καὶ ἀκαμάτου· καὶ

59 ἐπ’ ἐκείνων τῶν χρόνων V^{2}: ἐπ’ ἐκεῖνον τὸν χρόνον V **63** ὑπερβαλόμενος V^{2} e corr. **76** μὲν V^{2} s.l. **79** πραγμάτων scripsimus: παγμάτων V | πέρας V^{1} in marg. **82** τοσοῦτο V a. corr. **83** Θεὸν V^{2}: Θεῷ V **84** ἐκείνων V: ἐκείνου coni. Re

60–92 IV Reg. 18, 13–19, 36 **60–93** cf. Pantal. Diac., Mirac. arch. Mich., PG 140, 583AD

ἀηττήτου, τοῦ Μιχαὴλ, ἰσχύος· ὢ τοῦ τάχους, τῆς καινουργίας. ἡ ἔφοδος ἀφανής· ὁ πολέμιος οὐ πόρρω· καὶ ἀναιρῶν τοὺς παλαμναίους ἐκείνους καὶ μὴ ὁρώμενος. οἳ θνήσκοντες οὐκ ᾐσθάνοντο· ἀλλ' ὕπνωσαν ὄντως εἰς θάνατον· καὶ διεδέξατο τὸν ὕπνον, ὁ συνεχὴς ὕπνος καὶ ἀκατάλυτος. οὐ γὰρ ἀνέστησαν ἐν τῷ ὕπνῳ αὐτῶν Ἰωὴλ φησί· καὶ σιωπῇ τὸ τοσοῦτον ἐπράττετο θαῦμα· τοῦ Θεοῦ κηρύττον τὰ μεγαλεῖα· καὶ τῆς αὐτοῦ δυναστείας στήλη μεγίστη· ὡς συνέθλασε δυνάστας καὶ ἀσεβεῖς εἰς γῆν ἐταπείνωσε, τῷ κράτει τῆς δυνάμεως αὐτοῦ. ἡ γὰρ χεὶρ αὐτοῦ φησιν, εἰργά-
f. 55 σατο ταῦτα· ἐπεὶ καὶ χεῖρες | ὄντως Θεοῦ, τὰ νοερὰ τῶν ἀγγέλων τάγματα· πρὸς πάνθ' ὑπηρετούμενα ῥᾷστα τοῖς βουλήμασιν.

24. Ἀλλὰ ταῦτα μὲν, ταύτῃ πως ἔσχε· καὶ τὰ πλείω τοῖς ἐξετάζειν βουλομένοις παρήσομεν· ὁ δέ γε πρωτοστάτης τῶν ἀγγελικῶν ταγμάτων ἀεί γε οὐ μεθίετο, καὶ τὸν ἔπειθ' ἑξῆς χρόνον, τῆς τῶν εὐσεβούντων προστασίας καὶ φυλακῆς· ἀλλὰ τοῖς κινδυνεύουσιν ἑκάστοτε, τῶν δικαίων ἐφιπτάμενος ταχὺς, ἀνωτέρους τῶν κινδύνων ἦγε· τὰ δυσχερῆ νικῶντας· καὶ νικῶνθ' ὡς ἀληθῶς ἔργα τὴν φύσιν καταπραττόμενος. σαφὴς ἡ τοῦ λόγου πρὸς πολλοῖς ἄλλοις δεῖξις· καὶ οἱ θαυμαστοὶ τρεῖς ἐκεῖνοι παῖδες, ἐν τῇ καμίνῳ τοῦ πυρὸς ὑπ' ἀγγέλου δροσιζόμενοι, καὶ μένοντες ἀβλαβεῖς καὶ ἀζήμιοι· καὶ τὴν πίστιν· καὶ τὴν φύσιν ὑπὲρ τὴν φύσιν· καὶ Δανιὴλ σὺν αὐτοῖς ὁ πάνυ· ὁ μέγας ἀνὴρ τῶν ἐπιθυμιῶν, ἐν λάκκῳ τρεφόμενος παραδόξως, καὶ Ἀββακοὺμ, ἐν ἀτόμῳ σχεδὸν χρόνῳ ταῖς ἀγγελικαῖς πτέρυξιν, ἐξ Ἰουδαίας εἰς Βαβυλῶνα κουφιζόμενος καὶ τρέφων τὸν δέσμιον· καὶ πρὸς τὸν αὐτὸν αὖθις τόπον τοῖς θερισταῖς ἐπανιὼν οὐ πόρρω τοῦ ἔθους· ἀλλ' ἔγκαιρος. ὁ δ' αὐτὸς οὗτος Μιχαὴλ πτηνοδρόμος, Ἰεζεκιὴλ ἐμφανισθεὶς τῷ προφήτῃ, κάλλιστός τε καὶ μέγιστος ἰδεῖν καὶ φοβερώτατος· οἷος ἐκεῖνος ἑκάστοτε πρὸς τὴν χρείαν ἑαυτὸν δεικνύων, ἐλάβετό τε τῆς κορυφῆς ἐν χρῷ καὶ εἰς Ἱερουσαλὴμ ἀγαγὼν,

92 οἳ corr. Re: οἱ V | ᾐσθάνοντο V[2]: ᾔσθοντο V **24,15** ἔθνους V a. corr.

93 Ps. 12, 4 **94–95** Iob 14, 12 **97** Ps. 142, 3 **98–99** Ps. 43, 3; cf. Or. 6, 7, 39–40 **24,8–11** Dan. 3, 1–30; cf. Pantal. Diac., Mirac. arch. Mich., PG 140, 583D–584C **11–14** Bel et Draco 31–39 **11–16** Dan. 12, 28–42; cf. Pantal. Diac., Mirac. arch. Mich., PG 140, 584D–585C **16–20** Ezech. 8, 1ff.; cf. Pantal. Diac., Mirac. arch. Mich., PG 140, 585CD

αὐτίκα λοιπὸν ἀφανὴς μετὰ τὴν παραδοξοποιίαν ἦν τῷ προφήτῃ. τὸ δ᾽ αὐτὸ καὶ χρόνοις πολλοῖς ὕστερον, καὶ Φίλιππον βαπτίσαντα τὸν εὐνοῦχον, εὐθὺς ὁ Μιχαὴλ ἁρπάζει καὶ μετατίθησιν εἰς Ἄζωτον. ὢ τῆς πορείας τοῦ τάχους· ὢ τῆς πάντα δυναμένης βουλήσεως θείας. καὶ σιωπῆσαι μοι δοκῶ τἆλλα παλαιὰ πρότερον ἐκεῖνα φεύγων τὸ μῆκος. ἀλλ᾽ ἐπεὶ τὸ προωρισμένον ἀπὸ τῶν αἰώνων τῆς τοῦ σωτῆρος οἰκονομίας· πέρας ἐλάμβανε μυστήριον· καὶ τῇ ἀνθρωπίνῃ τοῦ Θεοῦ προσλήψει, ὁ παλαιὸς τὴν ἁμαρτίαν ἄνθρωπος ἀνεκαινίζετό τε | (f. 55v) καὶ ἀνεπλάττετο· καὶ Θεὸς ἐν ἀνθρώποις ἦν οὕτω θεῶσαι τἀνθρώπινον βουλόμενος, ὁ παλαιὸς ἡμερῶν· ὁ μονογενὴς Υἱὸς τοῦ Πατρὸς παραδόξως νέος ἐκ παρθένου προελθὼν μητρὸς, τότε δὴ τότε τὰς ἀγγελικὰς δυνάμεις ὁ πρωτοστάτης Μιχαὴλ εἰς ἓν ἀγαγὼν· καὶ χορείαν ἐναρμόνιον καὶ ἀρίστην συστησάμενος· ὡς ἄν, ἡμῖν συνηδόμενος τῶν τοσούτων ἀγαθῶν· καὶ τῆς μεγίστης καὶ καινῆς χάριτος· τὴν θαυμασίαν ἐκείνην σὺν τοῖς ἄλλοις ὑπ᾽ αὐτὸν ᾠδὴν, ἀνύμνει καὶ προεξῆρχεν. ἣν δὴ μέχρι καὶ δεῦρο, ταμιεύει καλῶς ὁ χρόνος· ὁ πιστὸς τῶν ἀγαθῶν φύλαξ τῆς εὐχαριστίας ὑπόμνησιν· ὥσπερ ἐξ ἀπόπτου τινὸς προκηρύττων τὰ τῆς σωτηρίας πᾶσιν ἡμῖν εὐαγγέλια καὶ χαίρειν ἀξιῶν, ὡς ἄρα εἰκὸς τοὺς τῆς δουλείας ἐλευθερουμένους· καὶ τῶν τοῦ διαβόλου δεσμῶν, οἷς πεδήσας, κατεῖχεν ἡμᾶς. ταῦτ᾽ ἄρα καὶ τῆς ὑποθέσεως, ἐναργὲς τεκμήριον, ἄγγελος ἐπὶ τούτοις ποιμέσιν ἐμφανιζόμενος· καὶ πρὸς ἡδονὴν συγγινόμενος αὐτοῖς. ἐμήνυε δὲ τοῦτ᾽ ἄρ᾽ αὐτὸ χρησταῖς ἐπαίρων, ἐλπίσι· Θεὸν γινόμενον ἄνθρωπον· καὶ θεοῦντα τὸν ἄνθρωπον· καὶ παρθένον γεννῶσαν, τὸν ἀχρόνως γεννηθέντα παρὰ Πατρὸς· σκοπὸν δὲ εἶναι τοῦ μυστηρίου τὴν εἰκόνα τὴν θείαν ὑβρισθεῖσαν ἀναπλασθῆναι· καὶ τὸν Ἀδὰμ ἀναστῆναι πεσόντα· καὶ ἀνακαινισθῆναι τὴν κτίσιν, τῆς δουλείας ἀπηλλαγμένην· ταῦτά τε· καὶ τῶν λόγων τούτων εἶναι τὴν δήλωσιν, νεογενὲς παιδίον, ἐν φάτνῃ κείμενον, τὸν ἀχώρητον τῷ παντὶ· καὶ σπαργάνοις ὅσα καὶ βρέφος εἱλούμενον. ὢ τῆς ἀρρήτου φιλανθρωπίας· ὢ τῆς τοσαύτης δι᾽ αὐτὴν, ὑπὲρ νοῦν καὶ λόγον συγκατα-

21 τό δ᾽ V a. corr. **24** σιωπῆσαι μοι V^{2}: σιωπήσαιμι V **49** νεογενὲς V^{2} e corr.

21–23 Act. 8, 39–40; cf. Pantal. Diac., Mirac. arch. Mich., PG 140, 585D **29** Dan. 7, 9; 13, 22 **31–40** Luc. 2, 13–14 **41–50** Luc. 2, 8–12

βάσεως. εἶδε τὸ τιμιώτατον ἔργον τῆς αὐτοῦ χειρὸς ὁ Θεὸς, ὑπὸ τοῦ ἐχθροῦ τυραννούμενον· ἐπὶ τούτῳ τὸν ἀποστάτην μέγα φρονοῦντα· οὐ φέρει τὴν ὕβριν· κινεῖται πρὸς οἶκτον. τί μοι τὰ πολλὰ λέγειν; κλίνει τοὺς οὐρανοὺς· κάτεισι· τίκτεται προσλαβὼν τἀνθρώπινον· καὶ ἡ γέννησις εὐπρεπὴς (ἡ γὰρ μήτηρ παρθένος), f. 56 καὶ τὰ ἐπὶ τῇ γεννήσει σεμνά· σπήλαιον τὸ βασίλειον· | ἡ φάτνη, κλίνη· τῆς ἐν εὐτελείᾳ φιλοσοφίας ὑπόδειγμα· σεμνὰ καὶ ταῦτα· καὶ τῶν τοῦ Χριστοῦ γενεθλίων ἐπάξια. ἄνωθεν δοξάζοντες ἄγγελοι· λειτουργοῦντες τῷ μυστηρίῳ· καὶ προτελούμενοι καὶ θειάζοντες. ἀστὴρ ὁδηγῶν, τὸ ἄδυτον φθέγγος μηνύων· τὸν ἀνέσπερον ἥλιον ἤδη τοῖς ἐν σκότει καθημένοις αὐγάζοντα. μάγοι δωροφοροῦντες τὸ χρυσίον τῆς Ἀρραβίας· καὶ τὰ σκύλα τῆς Σαμαρείας προσφέροντες· ὑπ᾽ ἀγγέλου τὲ χρηματιζόμενοι· καὶ ἡγεμόνι τούτῳ τῆς ὁδοῦ τρεπόμενοι ἄλλῃ ποι, μὴ κατὰ τὰς πρὸς Ἡρώδην συνθήκας· τὸν ἀπατεῶνα καὶ δύσνουν φεύγοντες τύραννον. ἐπὶ τούτοις ὡς κατασοφισθεὶς δυσχεραίνων αὐτὸς Ἡρώδης· καὶ τοῖς νηπίοις κινῶν φονικὴν χεῖρα. ὢ τῆς ἀνοίας· ὢ τοῦ θράσους, εἰ Θεὸν συλλαβεῖν τε καὶ ἀνελεῖν ἐδόκει, καὶ ὅλως περιγενέσθαι Θεοῦ βουλῆς, καὶ κρατήσαντος δόγματος. ἀλλ᾽ ἐπειδήπερ ἔδει τὰ τῆς θείας οἰκονομίας πάντα γενέσθαι· καὶ πέρας λαβεῖν τὰ προειρημένα πάλαι διὰ τῶν προφητῶν τῷ Θεῷ, τηνικαῦτα δὴ τῷ Ἰωσὴφ ἄγγελος ἐφίσταται· καὶ τὴν εἰς Αἴγυπτον φυγὴν ὑποτίθεται· σὺν ἅμα τῇ γυναικὶ καὶ τῷ νέον γεννηθέντι, παιδί· ἵν᾽ ἐξ Αἰγύπτου τῷ Πατρὶ προσκληθῇ. ὃ δὴ καὶ γίγνεται· καὶ θανόντος Ἡρώδου προσκαλεῖται τὲ, καὶ πρὸς τὴν Ἰουδαίαν αὖθις ἐπαναστρέφει· καὶ βαπτίζεται καθαίρων τὰς ἐμὰς ἁμαρτίας, ὁ ἀναμάρτητος· καὶ αὖθις ἐπιδημοῦντες ἄγγελοι καὶ δοξάζοντες. ἀναχωρεῖ πρὸς ὄρος· καὶ τὴν ἡσυχίαν φιλοσοφεῖ· ἵν᾽ ὑποδειχθείη τὸν τρόπον τοῦτον τὸ τῆς ἡσυχίας ἡμῖν ἀγαθόν· καὶ Μιχαὴλ ἐνταῦθα σὺν ἀγγέλοις πάλιν ὑπηρετούμενος. ἐπεὶ δὲ καὶ πάσχειν ἔμελλε τὸ σωτήριον πάθος ὑπὲρ ἡμῶν καὶ τἀνθρώπινον τὰ τῆς φύσεως ἔπασχεν, οἷα εἰκὸς, ἐδειλίᾳ πρὸς τοὺς κινδύνους, κἀντεῦθεν Θεῷ προστρέχειν ἠξίου· καὶ προσηύχετο, ἀγγελική τις λοιπὸν, κἀν

55 Ps. 17, 10; II Reg. 22, 10 **61–66** Mt. 2, 1–12 **62** Is. 42, 7; Ps. 106, 10; Luc 1, 79 **63** Ps. 71, 15 | Is. 8, 4 **66–75** Mt. 2, 13–18 **75–77** Mt. 2, 19–23 **77–78** Mt. 3, 13–17; Marc. 1, 9–11; Luc. 3, 21–38 **78–81** Mt. 4, 1–11; Marc. 1, 12–13; Luc. 4, 1–13 **81–88** Luc. 22, 41–43

τούτοις ἐπιδημία· ἀνερρώνυε δὲ ἄρα, καὶ κατὰ τοὺς θείους λόγους ἐνίσχυε τῶν δυσχερῶν, ὀλιγωρεῖν, τὸ τοῦ σωτῆρος ἀνθρώπινον· καὶ παρουδὲν τίθεσθαι τὰ παθήματα· | καὶ τοὺς προπηλακισμοὺς f. 56v καὶ τὸν θάνατον. τὰ δ᾽ ἑξῆς προδίδοται Χριστὸς ἀργυρίων ὀλίγων ὑπὸ τοῦ μαθητοῦ· συλλαμβάνεται· πάσχει τὰ τῶν κακούργων· σταυροῦται· θνήσκει· νικᾷ τὸν ἐχθρόν· καταργεῖ τὸν Ἅιδην· ἀνίσταται. ἀλλὰ κἀν τούτοις ὑπηρετοῦντες αὖθις ἄγγελοι· τὸν λίθον ἀποκυλίοντες· τὴν ἀνάστασιν ταῖς γυναιξὶ προκηρύττοντες· τὴν χαρὰν εὐαγγελιζόμενοι· καὶ εἰς οὐρανοὺς τὸν Υἱὸν πρὸς τὸν πατρικὸν ἀνερχόμενον θρόνον μετὰ τὴν τοῦ μυστηρίου τελείωσιν τοῖς ὤμοις ἀναλαμβάνοντες· τοὺς ἀποστόλους ἀναδιδάσκοντες, τἀληθῆ περὶ τῶν ὁρωμένων, ἀποροῦντας. καὶ τοίνυν ταῦτα πάντα, τῆς τοῦ Μιχαὴλ ἡγεμονίας τιθέμενός τις, οὐκ ἂν ἁμάρτοι τῶν δικαίων τῆς ἀληθείας αὐτῆς. τὰ γὰρ μέγιστα τῶν ἔργων καὶ τιμιώτερα, τῷ πρωτοστάτῃ τῶν ἄλλων καὶ καθηγεμόνι, προσανατιθέναι καὶ λογίζεσθαι, τῶν εἰκότων ἐμοὶ δοκεῖν ἄν, εἴη· καὶ πρὸς ἀνδρὸς οὐ πόρρω λόγου τοῖς πράγμασιν ἐφιστάνοντος· ἄλλωστε καὶ τοῦ ὅλου τὴν ἡγεμονίαν ἔθνους, αὐτοῦ Μιχαὴλ λαχόντος καθ᾽ ὃ δὴ τὰ προειρημένα παραδόξως γίνονται πάντα.

25. Οὕτω μὲν οὖν ὁ πρωτοστάτης ἀρχῆθεν, εἰς τέλος καθυπηρετεῖ τῷ μυστηρίῳ, τῆς τοῦ σωτῆρος ἐνανθρωπήσεως· καὶ οὕτως ἵν᾽ εἴποιμι συνελών, τῇ τῆς ἀνθρωπίνης φύσεως ἀναπλάσει, πρόθυμον ἑαυτὸν ὑπουργὸν δίδωσι τῷ δεσπότῃ· τὰ μὲν, λέγων· τὰ δὲ, πράττων, παρὰ τοὺς καιροὺς ἑκάστους τῆς χρείας· ὡς ἄρ᾽ ἐδοκιμάζετο, τῷ πάντα πρὸς τὸ κάλλιστον διεξάγοντί τε καὶ διευθύνοντι. ἐπεὶ δὲ ὁ σωτὴρ ἀνελήφθη· καὶ παρὰ τὸν πατρικὸν ἐκάθισε θρόνον· καὶ οἱ μαθηταὶ τὸ κήρυγμα διεδέξαντο, τὴν οἰκουμένην διαλαχόντες, πιστεύεται μὲν καὶ αὖθις τὸν νέον Ἰσραὴλ τὸν ἐξ ἐθνῶν ἐν Χριστῷ συνερχόμενον· λοιπὸν ἐκ πολλῶν εἰς ἕνα κλῆρον καὶ συνιστάμενον· καὶ μετατίθεταί οἱ, τὰ τῆς ἡγεμονίας καὶ προστα-

88 τά δ᾽ V a. corr. **89** πάσχει V p. corr.: πάσχειν V a. corr. **95** ἀναλαμβάνοντες V[2]: ἀναλαβόντες V

88–91 Mt. 26, 47ff.; Marc. 14, 43ff.; Luc. 22, 47ff.; Io. 18, 1ff. **91–93** Mt. 28, 1–7; Marc. 16, 1–8; Luc. 24, 1–7 **95–96** Act. 1, 9–11

σίας ἐνταῦθα· καὶ τὸν ἀπωσμένον ἐκεῖνον καὶ σκληροκάρδιον λαὸν ἀφεὶς, ὡς τῆς ἀρχῆς αὐτοῦ καὶ προνοίας ἀνάξιον, κατ᾽ ἐντολὴν f. 57 μετατάττεται· | καὶ τῆς ἡμετέρας ἀντιλαμβάνεται προστασίας. φεῦ τῆς τῶν ἀσεβησάντων ὀρφανίας καὶ κατακρίσεως. ἀπερρίφησαν γὰρ οἱ παραπικραίνοντες παῖδες· καὶ διεσχίσθη φησὶν ἡ συναγωγὴ τῶν υἱῶν Ἰσραὴλ, διὰ τὸ μὴ εἶναι αὐτοῖς ἡγεμόνα. εἰς γὰρ πᾶσαν τὴν ὑπ᾽ οὐρανὸν ὡς ἀληθῶς ἐμερίσθησαν· τὸν κάλλιστον ἀρχηγὸν τῆς αὐτῶν σωτηρίας ἑκόντες ἀποσεισάμενοι. ὁ γὰρ τὰς τοῦ ἄρχοντος πρὸς τὸ συνοῖσον ἐντολὰς παρορῶν καὶ τιθέμενος, ἐν δευτέρῳ· καὶ μηδένα λόγον τοῦ προσήκοντος αὐτῷ ποιούμενος· οὗτος ἑκών γε εἶναι τοῖς ἔργοις αὐτοῖς, ἀπωθεῖται τοῦτον· καὶ δραπετεύει τὴν ἡγεμονίαν· καὶ ἰδοὺ ἡ δόξα τοῦ Ἰσραὴλ, ἐν τοῖς ἔθνεσιν. ἡμῖν γὰρ ὄντως ἡμῖν τοῖς ἐξ ἐθνῶν τῷ Χριστῷ συνημμένοις, ὁ γενναῖος οὗτος καὶ κάλλιστος ἡγεμὼν, ἀντὶ τῶν ἀθετησάντων τῶν υἱῶν Ἰακὼβ δίδοται· ἐν πᾶσι καιροῖς ἐξεκείνου μέχρι καὶ νῦν· ἐποπτεύων καὶ περιέπων τὴν κληρονομίαν Χριστοῦ· καὶ τὸν κατεσκευασμένον αὐτῷ λαὸν περιούσιον· τῶν ἀγαθῶν ἀεὶ προστάτης· καὶ οἰκονόμος καὶ χορηγὸς· καὶ πάντων κακῶν ἀλεξίκακός τε καὶ ἀποτρόπαιος. ταύτῃ τοι συνῆν τοῖς ἀποστόλοις πλεῖστον, ὅσον τῷ τῆς ἀληθείας κηρύγματι συμπράττων ἑκάστοτε· συνώδευε παραβαλλομένοις πρὸς τὸν τοῦ εὐαγγελίου δρόμον· ἐπτέρου πρὸς τὸ τῆς ἀποστολῆς εὔτονον· ἤλειφε πρὸς τοὺς ἄθλους, συνεγίνετο διδάσκουσι προβουλεύων· συνεγίνετο κρινομένοις· καὶ διδοῦσιν εὐθύνας, ἐπὶ παντὸς δικαστηρίου· καὶ συνηγόρει· καὶ προεστάτει· καὶ συνετάττετο· καὶ προετάττετο· καὶ προήσπιζεν αὐτὸς εἰς ἑκάστην ἐμπίπτουσαν ἐπήρειαν· καὶ πάντα δυσχερῆ πράγματα· καὶ πάντα κλύδωνα παρὼν ἐκυβέρνα· τεχνικῶς καὶ γενναίως εὖ τιθέμενος. δεσμῶν ἐρρύετο· φυλακαῖς καὶ φύλαξιν ἀφανὴς ἐφίπτατο· πορείας ἡγεῖτο· πάσης ἀνοδίας καὶ δυσκολίας· νῦν μὲν, φρονήματος ἐμπιπλῶν καὶ θάρρους· νῦν δὲ τὸ γιγνόμενον ἐν τοῖς ἑκάστοτε προκειμένοις, προεισφέρων αὐτὸς καὶ ὑποτιθέμενος· καὶ

25,21 αὐτῷ V[1]: αὐτὸς V **21–22** ποιούμενος V[1] in marg. **22** οὗτος V e corr. γε εἶναι τοῖς V e corr. **26** an τῶν delendum? **28** κατεσκευασμένον V[2] e corr. **30** ταύτῃ τοι V[2]: ταυτοι V **41** γιγνόμενον V[2]: γινόμενον V

25,12 Ex. 33, 3 et 5; 34, 9; Deut. 9, 6 et 13 **16** Ps. 65, 7? **16–17** Ps. 34, 15 **23–24** Ps. 95, 3; Is. 66, 19 **39** cf. e.g. Act. 5, 17–20; 12, 6–11

τὰς θείας ὑποφαίνων ἐντολάς. παρῆν αὐτοῖς ἐπὶ τῶν τυράννων· παρῆν ἐπὶ τῶν δήμων· κινδυνεύουσι πάντη παρῆν· συνιοῦσιν ἐπὶ ῥητοῖς καὶ σκεπτομένοις καθ᾽ ὁτιοῦν | συμπαρῆν· συνδιαφέρων τὰ f. 57^{v} σκέμματα· καὶ τῶν αἱρέσεων· καὶ τῶν ψήφων προήγορος ἦν. καθίστη σὺν αὐτοῖς τὰς ἐκκλησίας· καθίστη τοὺς τῶν ἐκκλησιῶν ἡγεμόνας· παντοῖος ἦν ἐν τούτοις· ὡς ἄν, ὅτι μάλιστα πάντα τρόπον, τὸ τῆς εὐσεβείας προχωροίη κήρυγμα.

26. Οὕτω μὲν οὖν τὰ πρῶτα τοῖς ἀποστόλοις· οὕτω δὲ καὶ τοῖς διαδεξαμένοις μετ᾽ αὐτοὺς τὸν δρόμον τῆς εὐσεβείας· περιεῖπε τὸν ὅμοιον τρόπον τὰς ἐκκλησίας· τοὺς ἐφεστῶτας ταῖς ἐκκλησίαις· εἰς μέσον ἦγεν ἔστιν οὗ τοὺς προστασίας ἀξίους· καὶ τοῖς πράγμασιν αὐτὸς ἐφίστη· τὴν ἡσυχίαν ποθοῦντας, καὶ φιλοσοφοῦντας, τὸ μέτριον. ἐξωθεῖτο τοὺς ἀλλοτρίους καὶ ἀναξίους· ἀπέτεμνε τῆς ὁλομελείας Χριστοῦ τοὺς τὸ δόγμα τῆς ἀληθείας, ἀδικοῦντας καὶ κατατέμνοντας. φιλοσοφίαν εἵλετό τις ὑπερφρονήσας τὰ τῇδε· καὶ τὸν σταυρὸν τοῦ σωτῆρος κατωμαδὸν ἀράμενος, ἔτι δὲ κόσμον καὶ κοσμοκράτορας· τὰ τῆς ἄνω προελόμενος πολιτείας μάλιστα βιοῦν ἐνθάδε. συνῆν ἀεὶ φύλαξ ὁ Μιχαὴλ· συνήργει προθυμουμένῳ· καὶ πρὸς τὸν πόθον ἀνῆπτε καρτερῶς· τὰς τῶν δαιμόνων ἐπηρείας ἀποτρεπόμενος. ἐκινδύνευον δίκαιοι· οἷα δὴ τἀπόρρητα τῆς προνοίας, ἐρρύετο τῶν κινδύνων· προσκαλούμενός τε καὶ ταχὺς αὐτόκλητος ἐφιπτάμενος. παρῆν ἀγωνιζομένοις τοῖς μάρτυσι· παρεκάλει πρὸς τὰ παλαίσματα· ἀνερρώννυεν· ἀνεκτᾶτο τῶν δυσχερῶν· σαφὴς ἐμφανιζόμενος, ἐκούφιζε τὰς βασάνους· καὶ στεφάνοις ἀνεδεῖτο τὰς κεφαλάς· τὴν προθυμίαν ἐξάπτων· καὶ τὰ μέλλοντα τοῖς ὁρωμένοις προεγγυώμενος· καὶ πάντα πείθων ἐν δευτέρῳ ποιεῖσθαι, ὡς ἄν, τὴν καλλίστην ἐμπορίαν ποιουμένους· αἵματος ὀλίγου· καὶ πόνων βραχεῖ μετρουμένων τῷ χρόνῳ· βασιλείαν οὐρανῶν· καὶ τρυφὴν ἀίδιον ἐξωνήσασθαι· καὶ καθόλου γε εἰπεῖν τῶν πρὸς ὀλίγον μενόντων, μακρὰν ὄντως εὐδαιμονίαν ἀλλάξασθαι. ὢ πόσοι τοῖς θείοις αὐτοῦ προσιόντες ναοῖς, καὶ δεόμενοι· καὶ προσπίπτοντες, ἀπαλλάττουσιν αὐτίκα τῶν λυπούν-

44 δημίων V a. corr. **26,13** τἀπόρρητα V^2: τἀπόρητα V **14** ταχεῖς V a. corr. **21** μετρουμένων V^2: μετρουμένῳ V **23** τῶν V^2 s.l.

26,9 Luc. 9, 23 **10** Eph. 6, 12

f. 58 των αὐτόθεν ἐξάντεις. ὢ πόσοις | ἐν τοῖς ὕδασι τοῖς δι᾽ αὐτὸν σεμνοῖς καὶ παντίμοις, ἐχαρίσατο νοσοῦσιν ἰάσεις· καὶ μέχρι καὶ νῦν θαυμαστῶς ἀεὶ χαρίζεται. καὶ γὰρ δὴ καὶ τοῦτο πρὸς τοῖς ἄλλοις πολλὰς καὶ μεγίστας τὰς εὐεργεσίας τὲ, καὶ θαυματουργίας ἐν ὕδασιν, ἔστιν οὗ τῶν τόπων καινουργεῖ τὸν ἀεὶ χρόνον· πάντα τῇ παρουσίᾳ καὶ τῇ μεθέξει πάντως αὐτοῦ τιμῶν καὶ σεμνύνων· πῦρ καλούμενος· ἐν ἀέρι κινούμενος· ἐπιδημῶν ἑκάστοτε τοῖς ἐν γῇ· θαυματουργῶν ἐν ὕδασι· καὶ μάλιστα τοῦτο κατὰ λόγον ἴσως· ἵνα κἀν τούτοις ἧττον ἔχοι· καὶ ὑποχωροίη τῷ κρείττονι· ὁ τὰ μεγάλα τούτοις ἐπιφυσσῶν· ὁ βασιλεύων, ἐν ὕδασιν.

27. Ἀλλά μοι δοκῶ τὰ πλείω λοιπὸν παρήσειν· καὶ δὴ τὸν λόγον ὡς οἷόν τε, συνέλωμεν. ὑπηρέτησε Θεῷ τοῖς πρὸ τοῦ νόμου καιροῖς· τά τε ἄλλα, καὶ τοῖς πατριάρχαις τοῖς σεμνοῖς ἐκείνοις καὶ μεγαλωνύμοις, πολλάκις ἐπιφαινόμενος· καὶ πρὸς τὸ λυσιτελοῦν ἑκάστοτε συγγινόμενος· ὅσα εἰκὸς τὸν θείας ἐντολὰς ἐκείνοις φέροντα. ἐδόθη νόμος, κἀνταῦθα τοῦ Μιχαὴλ ὑπουργοῦντος· καὶ μάρτυς τῶν λόγων Παῦλος· ὁ μέγας τῶν ἐθνῶν ἀπόστολος· δι᾽ ἀγγέλων λαληθῆναι τὸν νόμον ὑπαγορεύων. ὧν δὴ πάντως προήγορος ἦν, αὐτὸς ὁ τῶν ἄλλων πρωτοστάτης, ὁ Μιχαήλ. ἢ πῶς γὰρ εὔλογον, τοὺς μὲν ἥττους ὑπηρετεῖν ἐν τοῖς μεγίστοις, οὕτω καὶ καλλίστοις τῶν ἔργων, αὐτὸν δὲ μή· τὸν τῶν ἄλλων ἁπάντων προτεταγμένον, καὶ τὰ πρῶτα τῶν ἄλλων φέροντα; ἀλλὰ μαινομένων ὡς ἀληθῶς τοῦτ᾽ ἄν, εἴη, καὶ φρονεῖν ἀμέλει καὶ λέγειν· καὶ τοῦ μεγίστου ταξιάρχου, τοσαύτην ἐν τοῖς τοιούτοις ἀργίαν καταψηφίζεσθαι· τὸ δὲ προσῆκον εἶναι μάλιστα· καὶ ἀληθὲς ἅμα τῶν ἄλλων αὐτὸν, ἐν πᾶσι προτιθέντας, ὁπόσα κοινῇ πραχθῆναι, τοῖς ἀγγέλοις μανθάνομεν, εἰς ἀξίωμα πάντως αὐτῶν δὴ τῶν γιγνομένων, καὶ περιουσίαν δόξης τὲ, καὶ σεμνότητος, κἀνταῦθ᾽ ἔπειτ᾽ αὐτὸν ἐνεργεῖν οἴεσθαι, ὅποι δὴ μάλιστα κάλλιστ᾽ ἐδόκει τὰ τοῦ νόμου μετὰ τῶν ἄλλων, ἢ μᾶλλον εἰπεῖν πρὸ τῶν ἄλλων·

26 αὐτόθεν V[1] **30** τῶν τόπων V[1] in marg. **34** ὑποχωροίη V[2]: ὑποχωροῖ V **27,9** πρωτοστάτης V[2]: προστάτης V **18** κἀνταῦθ᾽ V e corr. **19** οἴεσθαι V[2] s.l. | κάλλιστ᾽ V[1]: κάλιστ᾽ V

31 Ps. 103, 4 **35–36** Iob 41, 26 **27,6–8** Hebr. 2, 2

μάλιστα μὲν, | δι᾽ ἣν ἔφην αἰτίαν. ἔπειτ᾽ οὐδὲ γὰρ οὐδὲ τοῦτο μικρὸν, πρὸς τὴν πίστιν τοῦ ζητουμένου· ὅτι δεῆσαν τὸν ἄριστον ἡγεμόνα τοῖς ὑπὸ νόμον αἱρεθῆναι τὲ καὶ δοθῆναι, πρῶτος οὗτος καὶ μόνος τῶν ἄλλων ἀπόλεκτος εἰς τὴν ἀρχὴν· καὶ πιστεύεται τὴν τοῦ ἔθνους προστασίαν· καὶ κάλλιστα τοῖς πράγμασι τῆς ἀρχῆς δείκνυται· καὶ μετρίως ἐν τοῖς φθάσασιν ἱστόρηται. f. 58v

28. Ἀλλ᾽ ὃ νῦν τῷ λόγῳ σκοπός· προέστη μὲν οὕτω σαφῶς τῶν πρὸ τοῦ νόμου· καὶ διδομένου τοῦ νόμου· καὶ τῶν ὑπὸ τὸν νόμον αὐτῶν· ὑπούργησε δὲ κἀν τοῖς τοῦ σωτῆρος θαύμασι, καὶ τῷ μεγίστῳ τῆς οἰκονομίας αὐτοῦ μυστηρίῳ· καὶ τοῦθ᾽ ὁ λόγος ἔν τε τοῖς προλαβοῦσιν ἔχει δηλώσας, καὶ οἷς νῦν ἔπειθε περὶ τοῦ νόμου, τῷ τῶν πραγμάτων εἰκότι, προσέχων τὸν νοῦν· καὶ τιθέμενος εὖ μάλα· ὅτι δὴ ταῖς μεγίσταις, τῶν ἀγγελικῶν ὑπουργίαις ἠξίου, ταῖς γραφαῖς ἑπομένους τὸν πρωτοστάτην ἡγεῖσθαι Μιχαὴλ· καὶ λέγειν πρὸ τῶν ἄλλων αὐτὸν οἰκονόμον καὶ ταχὺν λειτουργόν· καὶ περιττὸν, ἂν, εἴη, περὶ ταυτὰ διατρίβειν, καὶ ἴσως ἀκαίρως. ἀλλὰ πρὸς ὃ νῦν ὁ λόγος ὥρμητο, ὅτι κἀν τῇ τελευταίᾳ λοιπὸν τοῦ σωτῆρος ἐπιδημίᾳ· καθ᾽ ἣν φοβερὸς τότε· καὶ ἄνωθεν ὑψηλὸς ὑψηλῶς μετὰ δόξης ἐλεύσεται· καὶ τὰ πάντα τὴν φύσιν ἀλλαγήσεται· καὶ μεταβαλεῖ καινισμὸν· οἷον ἄρρητον· καὶ δικαστὴς ἀπαραλόγιστος καθίσει, τὰς ἀξίας ἀποδιδοὺς ἀμοιβὰς· ὧν εὖ τε· καὶ ὡς ἑτέρως αἱρούμεθα· καὶ δρῶμεν, καὶ τηνικαῦτα δὴ πολὺς ὑπηρέτης ὁ πρωτοστάτης ἀγγέλων οὗτος ἔσται· οὐ τἆλλα μόνον· ἀλλὰ καὶ περὶ τὴν ἀνάστασιν αὐτὴν, τῶν ἐκ τοῦ παντὸς βίου νεκρῶν. καὶ δηλοῖ πλεῖστά τε τῶν ἱερῶν λογίων, ἄλλα· καὶ μὴν αὐτὸς μάλιστα τρανῶς ὁ θεῖος ἀπόστολος· ὁ τῶν ἀρρήτων ἐπήκοος καὶ ἐπόπτης· καὶ τῶν θείων βουλευμάτων, καὶ θεσμῶν ὑποφήτης· καὶ μυστηρίων τελεσιουργός· καὶ διδάσκαλος· ἐν φωνῇ ἀρχαγγέλου καθιστορῶν, ἡμῖν καὶ προϋπογράφων, τὴν τοσαύτην | καινουργίαν, ἐκείνην· καὶ τὰ τότε θαύματα. ἐν ᾗ τοῦ δικαίου μὲν· ἀλλὰ καὶ φιλανθρώπου κριτοῦ, καὶ αὐτὸς ἔγωγε Μιχαὴλ διὰ σοῦ ἵλεω, τύχοιμι· καί μοι τὸν φοβερὸν δικαστὴν, εὐμενῆ θείης, πάνυ τοι f. 59

21 μὲν V² e corr. **23** καὶ V² s.l. **28,2** τὸν νόμον V²: τῶν νόμων V **8** τὸν V² in ras. **26** τοι V: τί coni. Re

28,19–24 I Thess. 4, 16 **20** I Cor. 2, 9

παρ᾽ αὐτῷ δυνάμενος· ὡς ἔγωγε δέδοικα, καὶ οὐκ ἔχω τίς γένωμαι· καὶ ἀπογινώσκω παντάπασιν ἐμαυτοῦ· τὰς ἐμὰς, ἁμαρτίας καταλογιζόμενος· μᾶλλον δ᾽ οὐδ᾽ ἀριθμεῖν ἐξισχύων τῷ πλήθει· καὶ τὸ δικαιότατον ἐκεῖνο· καὶ παρὰ τοῦτο φοβερὸν δικαστήριον, ἀναλαμβάνων τῷ νῷ· καὶ προὖπτον ἐπὶ τῶν λογισμῶν ἐμοὶ τιθέμενος. ἐν ᾧ πάντως παραστήσομαι, λόγους ὑφέξων ὧν κάκιστα παντὸς εἴργασμαι τοῦ βίου, παραχρησάμενος κακὸς κακῶς πάνυ τοι πλεῖστον, τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ διδούσῃ πρὸς ἐπίγνωσιν, χώραν τινὰ καὶ μεταστροφὴν ἑκάστοτε, καὶ τῶν αἰσχρῶν προσεπιφορήσας τοῖς φθάσασι· μᾶλλον δὲ προσεπαύξων ἀεὶ καὶ προστιθείς. ὢ τῆς τοσαύτης καὶ φαύλης ἀπληστίας· ὢ τοῦ βαρυτάτου μοι φόρτου, μεθ᾽ οὗ κατενεχθήσομαι δείλαιος. ἀλλ᾽ ἀνακτήσαιο τοσούτοις συνόντας ἡμᾶς τοῖς δεινοῖς φιλάνθρωπε, Μιχαὴλ· ἀλλ᾽ ἀναλάβοις τῆς βαρυτάτης καὶ χαλεπῆς καταπτώσεως· καὶ μεταποιήσαις τό γ᾽ ἡμέτερον πᾶν ὅπῃ ἄρα βέλτιον ἵνα καὶ ἡμῖν οὕτω δῆτ᾽ εὖ μάλα, καταδειχθείη τὸ περιόν σοι, καὶ τῆς φιλανθρωπίας καὶ τῆς δυνάμεως· καὶ τοῦ λόγου λήγοντος ἤδη· καὶ τὸ προσῆκον ἐμοὶ δοκεῖν ἀπολαμβάνοντος πέρας, μὴ λήγοις αὐτὸς· τὸν πάντα τῆς ἡμετέρας ζωῆς χρόνον, περιέπων ἡμᾶς· καὶ πᾶν ἀνιαρόν τε καὶ δυσχερὲς ἀφ᾽ ἡμῶν ποιούμενος.

41 βέλτιον ἄρα primum scripsit, deinde litteris βα ordinem invertit V

30–31 cf. Metoch., Carm. 15, 267–282 (pp. 269–270); Carm. 18, 83–93 (pp. 302–303)

4

Εἰς τὸν ἅγιον μεγαλομάρτυρα καὶ μυροβλύτην Δημήτριον f. 59

1. Εἰ μὲν περί τινος ἄλλου πρὸς καινὴν ἄρ᾽ ὁ λόγος εἶχε f. 59^v σπουδὴν, τό τε μέγεθος οἶμαι περὶ αὐτῆς, ἔδει κατ᾽ ἐμαυτὸν ὑπολογίζεσθαι· καὶ ἅμα δεδιέναι, εἰ μὴ κατὰ λόγον ἀπαντᾶν ἐξείη· μὴ δ᾽ ἱκανῶς πρὸς αὐτὴν, ἐπιχειρεῖν τε καὶ διανύειν. εἰ δ᾽ οὕτω καὶ συγγνώμην ᾐτούμην καὶ ἴσως ἐλάμβανον, εἶχον ἂν οὕτως ἐπὶ τῶν ἔργων ἐμοὶ δοκεῖν, μετ᾽ ἀσφαλοῦς καταστάσεως. ἀλλ᾽ ἐπειδὴ πᾶσιν ἤδη καὶ ἀνεῖται τὰ μαρτυρικὰ τοῦ γενναίου Δημητρίου παλαίσματα· πονεῖν τε καὶ διατιθέναι τοῖς ἐγκωμίοις σεμνύνοντας· καὶ δῆτα πολλὰ πάρεστιν ἀμφοτέρωθεν, μᾶλλον δὲ πάντοθεν σπουδῆς ἔργα καὶ ὑποδείγματα, τοῦτο μὲν ὅσοις τὰ εἰς λόγων ἐπιστήμην εὖ ἔχει· τοῦτο δὲ καὶ οἷς ἐνταῦθ᾽ ἧττον εἴργασται, δεδομένον ἄνωθεν τῷ μάρτυρι συντελεῖν, ὅστις βούλοιτο τὴν γιγνομένην τῆς εὐφημίας φορὰν, τί ἄν τις καὶ χρήσαιτο· τί ἄν τις καὶ διατρίβοι, τῷ μεγέθει τῆς ὑποθέσεως, περὶ τὸν ἀκροατὴν μάλα τοι κάμνων, καὶ φιλοπονῶν ἐνταῦθα μάτην καὶ παραιτούμενος, ἐνὸν οὕτω τῆς κοινῆς ἀπολαύειν τῶν λόγων, ἐλευθερίας, καὶ πεῖραν ἑαυτοῦ διδόναι τὲ καὶ λαμβάνειν, τὰς ἀγαθὰς ἐλπίδας τοῦ παντὸς ἀγωνίσματος προστησάμενον; ἀλλ᾽ ἐγὼ μέντοι τοσοῦτο μοι δοκῶ προσθεῖναι, καὶ προειπεῖν τἀληθὲς, ὅτι καὶ μετὰ τούτων ὅμως τῶν λογισμῶν, πρότερον ὤκνουν ἀεὶ, κατὰ μεγάλων οὕτω ῥιπτεῖν ἐμαυτὸν ἐγχειρήσεων· καὶ ἅμα κατὰ χώραν ἐν τούτοις ἔχειν, βίᾳ μὲν, ὅμως δ᾽ οὖν ἔπειθε καὶ διαφέρειν ὡς οἷόν τε σιγῇ, τὸν ἐπὶ τῷ μάρτυρι μάλιστα πόθον ἠξίου, τῶν ἄριστα προειληφότων, αἰδώς· ὥσπερ εἰς πομπήν τινα πάνδημον, εἰσιέναι δέον καὶ θεωρίαν ἐφ᾽ ἱεροῖς, οὐ μετ᾽ ἀξιολόγου, παρασκευῆς· πρὸς ἣν κάλλιστά τε καὶ ἥδιστα, τοῖς θεωμένοις οἱ φθάσαντες ἀπηντήκεσαν. δεινόν γε μὴν εἶναι κἀν τοῖς μουσικοῖς ἀγῶσι κἀν τοῖς γυμνικοῖς, κἀν τοῖς εἰθισμένοις, ὅπη τίς ἂν, ἐρῇ πανταχῇ, ἐφ᾽ οἷς οἱ προειπόντες· οἱ προαποδυσάμενοι, καθόσον ἔξεστιν ἐπὶ τῶν |πραγμά- f. 60

tit. λόγος δ᾽ εἰς ἅγιον Δημήτριον V^2 in marg. **1,9** δῆτα V^2 La: δὴ V **18** προστησάμενον V^2 La: προστησάμενος V **24** πάνδημον V^2 La: πάντιμον V **27** γε VLa: an γὰρ (cf. infra, 7, 39)? **28** ἐρῇ V^2 e corr. **29** καθόσον V^2: καθ᾽ ὅσον V La

των, ἄριστα διεγένοντο, παρακινδυνεύειν ἀλόγως, καὶ ᾄδειν μὲν παρὰ μέλος· ἐλαύνειν δὲ, παρὰ Λύδιον· καὶ πάντα ὁμοῦ μεμῖχθαι χρήματα. ὥστε καὶ εἰχόμην ἂν, οὕτω μάλα τοι νεανικῶς τῆς ψήφου ταύτης τῶν λογισμῶν· καὶ ὑπεχώρουν ἂν, τῆς παρούσης ἀγωνίας, ἐν ἀσφαλεῖ τῆς σιγῆς. νυνὶ δὲ ζάλη τις ἀνθυπήνεγκε, καὶ κλύδων αἴφνης ἐπιπεσὼν· καὶ τοεντεῦθεν κἂν ὁ λόγος ὀκνῇ μεμνῆσθαι τῶν δυσχερῶν, κάμπτει τὸ σῶμα νόσος, ἐν ἀφύκτῳ συνέχουσα· καὶ ἡ πληγή μου τὸ τῆς γραφῆς ἀλγεινή. ἐπ᾽ ἀλλοδαπῆς ἡ νόσος· χρόνος ἐπὶ ταύτῃ παρερρύη συχνὸς· καὶ οὐδὲν πλέον, πᾶσαν συμμαχίαν τῇ φύσει πάντοθεν ἐπιχειρούσης τῆς τέχνης. ἀλλ᾽ ἐπὶ τούτοις πονήρως οὕτω κάμνων, καὶ πάντων ὁμοῦ τῶν ἄλλων ἀπεγνωκὼς, τελευτῶν δὴ πρὸς τὸν κοινόν σε πάντων, μετὰ τοῦ λόγου καταφεύγω προστάτην Δημήτριε. ἐπεὶ δὲ ἡ ἐλπὶς ὑπερέσχε· καὶ τὸ σῶμα κάμνον ἐρρώσθη (πῶς ἄν σοι καὶ ἀνθομολογήσωμαι; πῶς ἄν σοι καὶ ἀποδοίην τὴν ὀφειλὴν, τὰς ἐμὰς αἰνέσεις, ἀξίως τῷ σεσωκότι;), ὡς μέντοι γε ὑπ᾽ ἀνάγκης, ὅμως ἐνταῦθα ἐπέστην. τί γὰρ δεῖ καὶ διατρίβειν, ἔτι πλείω τοῦ καιροῦ καὶ τῆς χρείας; ἱκανὸς ὁ λόγος ἐν τούτοις. ἀλλ᾽ ἐπειδὴ καὶ ἐπέστην ἄρα, ἀρκτέον ἤδη τῆς εὐφημίας· αὐτὴν ἐπικαλεσαμένῳ, τὴν σὴν ἄνωθεν θείαν χάριν ὀρέγειν χεῖρα· καὶ συναίρεσθαι πρὸς τὴν ἀγωνίαν καθάπαξ ἐπιχειρήσαντι.

2. Ἐπεί δ᾽ ἡ τῶν λόγων ἐνταῦθα τέχνη, καὶ πατρίδος πρὸ τῶν ἄλλων νομίζει χρείαν· καὶ ὁ παλαιός φησι λόγος τῷ εὐδαίμονι μετὰ τῶν ἄλλων, ἢ πρὸ τῶν ἄλλων, δεῖν εἶναι καὶ τὴν πόλιν εὐδαίμονα, τοῖς μὲν ἄλλοις ἴσως μηδὲν ἔστω πρᾶγμα, πάντοθεν ὡς ἐμπίπτει περαίνειν· καὶ τοῖς τε λόγοις αὐτοῖς καὶ τοῖς ἐπαινουμένοις ἅμα, φιλοτιμεῖσθαι τὴν ἀφθονίαν· ἀλλ᾽ ἡμῖν ἐντεῦθεν, καὶ ὅσοις ἐφ᾽ ὁμοίαις ὁ λόγος ταῖς ὑποθέσεσιν, οὐκ οἶδ᾽ ὅ,τι ἂν, εἴη, πλέον ἀξιοῦν εἰσφέρειν πρὸς τὴν ἐνισταμένην σπουδήν. εἰ μὲν γὰρ f. 60^{v} ἐνέδει τοῖς ἐγκωμίοις | πραγμάτων· εἰ διὰ πάντων ὁμοῦ τῶν

43 κάμνον V^2 La: άμνον V (obl. rubr.) **46** ἐνταῦθα ἐπέστην V^2 La: ἐνταῦθ᾽ ἐπέστην V

1,30–31 proverbium; cf. Plut., Themist. 5, 6–7 (p. 163, 12) **31** cf. CPG II, 77, 15–16 **37** Ier. 10, 19; 37, 12 **44–45** Sirac. 51, 11–12 **2,2–4** cf. Plut., Demosth. 1, 1 (p. 280, 5–6) **9–10** cf. Greg. Naz. Or. 30, 16, 1 (p. 258)

ὄντων αὐτάρκης ἦν ὁ λόγος ἐπιχειρεῖν ὡς ἠβούλετο, τάχα μὲν οὐδ᾽ οὕτως ἦν ἄν, προὔργου, πλείω τῶν εἰκότων ἐξάγεσθαι καὶ περινοεῖν· τάχα δ᾽ οὐκ ἄλογον οὐδὲ φορτικὸν, ἱκανῶς ἔχοντα, πόρρω διατρίβειν μετὰ τῆς τέχνης. ἐπεί δ᾽ ἐνταῦθα καὶ πλεῖστα καὶ μέγιστα τοῖς βουλομένοις ὁ μάρτυς οἴκοθεν αὐτοῦ χρῆσθαι προβάλλεται· καὶ ἅμα περὶ ὧν, οὐκ ἄν τις καὶ σφόδρα τοῖς λόγοις θαρρῶν, φιλονεικήσας ἐξίκοιτο, ἀνάγκη μὲν οὐκ οἶδ᾽ εἴ τις ἂν εἴη τοσαύτη· καὶ νόμων τέχνης καὶ πόλεων, κἀκεῖνα ὁποῖα ἅττ᾽ ἂν καὶ εἴη πειρᾶσθαι προστιθέναι καὶ προσάγειν τῷ μάρτυρι. ἀλλ᾽ ἔστι μέντοι τοσοῦτο μὴ προΐεσθαι τελείως, μὴ δ᾽ ἔτι γ᾽ ὑποχωρεῖν ἀξιοῦν, ὅτι πατρίδος ἐνταῦθα δεῆσαν, ἔλαχε μὲν, ἥπερ αὕτη κάλλιστα περὶ πάντων ἐστιν, ὅσα κόσμον ἔχει μάλιστα πόλεσιν· οὐ μὴν ἀλλ᾽ ἐπέδωκε διὰ τούτων ὁμοῦ πάντων, καὶ προῆλθεν ἡ μαρτυρικὴ τῇ πόλει φορά· καὶ τούτου πάνθ᾽ ἑνὸς, τἆλλα ἥττω παλαιά τε καὶ νέα ταύτῃ συντελεῖν, ὡς οὐκ ἄν, ἔτι λείπεσθαι λόγον. ἔξεστι δὲ ὁρᾶν τε καὶ ἅμα προϊέναι τῶν χρόνων τῇ μνήμῃ χρώμενον. ἡ γὰρ δὴ πόλις, προκάθηται μὲν Μακεδονίας καὶ Θετταλίας ἁπάσης· τὴν δ᾽ ἐπωνυμίαν ἐντεῦθεν μετὰ τῆς νίκης ἀξιουμένην προΐσχουσα, δεξιοῖς οὕτω τοῖς προοιμίοις παραχρῆμα, ἀπαντᾷ καὶ φθάνει χειρουμένη τὸν λογισμὸν πρὶν ἢ πολυπραγμονεῖν ἐγχειρῆσαι περὶ τῶν ὄντων. καίτοι γε μάλιστά τις ἄν, οὑτωσὶ σκοπῶν καὶ προβαίνων, οὐ Θετταλίας μόνον, οὐδ᾽ ἧστινος ἂν βούλει τῶν Ἑλληνίδων, ἀλλὰ διὰ πάσης αὐτῆς Ἑλλάδος, νικῶσαν ὄψεται. καὶ οὐ τοῦτο γε μὴν ἔτι, ἀλλὰ καὶ ἔστιν ἐνταῦθα προσθεῖναι τῶν κατ᾽ Εὐρώπην σχεδὸν ἁπασῶν ἐν πρώταις εἶναι τὴν πόλιν· τοῦτο μὲν μῆκος ὅσον ἐξεῖναι μέγιστον· τοῦτο δὲ θέσεως, εὐκαιρίαν· καὶ τὸ γιγνόμενον εἰς ἅπασαν ἀρετὴν πόλεσιν ὡς οὐκ ἄλλης τινος ἐγγὺς εἶναι προσάγειν· ἕστηκε μὲν δὴ, κατ᾽ αὐτὸ γῆς

2,13 καὶ[1] V[2] s.l. **14** οἴκοθεν αὐτοῦ V in marg. (manu Nicephori Gregorae?): οἴκοθεν τούτοις La **16** εἴ τις V: ἥτις La **17** τέχνης V e corr. | κἀκεῖνα – καὶ εἴη V in marg. (manu Nicephori Gregorae?) **18** προτιθέναι V a. corr. **19** γ᾽ om. La **22** ἐπέδωκε V e corr. **24** ὡς οὐκ ἂν V: καὶ οὐκ ἂν La **26** Μακεδονίας καὶ V[1] in marg. **28** προΐσχουσα V: προϊσχύουσα La **30** ἐγχειρῆσαι V[1] La: ἐγχειρεῖσαι V **32** βούλει V: βούλῃ La **34** εἶναι V in marg. (manu Nicephori Gregorae?) La: ἔχειν V **36–37** ὡς οὐκ ἄλλης V[2] e corr.

f. 61 τε ἅμα καὶ θαλάττης τὸ κάλλιστον. εἰ γὰρ δή τις πόλεων | ἐν μέσῳ, καὶ αὕτη γε τῶν ἄλλων, οὐχήκιστα νικᾷ λέγειν· καὶ πάρεστιν ὡς οὐ γῆς μόνον, ἀλλὰ καὶ αὐτῆς θαλάσσης ὁρᾶν. τοὐντεῦθεν δὲ ἤδη πάνθ᾽ ἑξῆς ἕπεται· καὶ ἅμα μὲν ἐφ᾽ ἑαυτῆς ὡς ἔστιν ἱκέσθαι, μάλιστ᾽ ἀμφότερα πρός τε χάριν καὶ χρείαν ἅπασαν, ἐντελῶς ἥρμοσται· ἅμα δὲ οὐκ οἶδ᾽ ὅτου δεῆσαν, οὐκ ἄν τις ἴδῃ περὶ πάντ᾽ ἀνύειν, πᾶσαν οὖσαν εὐχέρειαν. τῶν γὰρ ἁπανταχοῦ τῆς θαλάσσης ἄκρων, ἐπίσης ἀφισταμένη, τοῦτο μὲν εἰς Εὐρώπην, καὶ ἐπὶ θάτερα· τοῦτο δ᾽ εἰς αὐτὸν Εὔξεινον· καὶ τὴν ἀντιπράττουσαν ἐπὶ Λιβύης· καὶ πρὸς Αἰγύπτῳ θάλασσαν, ἔχει μὲν πάντοθεν φέρειν σὺν ῥαστώνῃ καὶ περαίνειν ὃ βούλοιτο· ἔχει δὲ τῶν ἐνόντων ὡσαύτως, ἀντευποιεῖν, ὅς γε δῆτα τρόπος τῆς κατὰ θάλατταν, εὐεξίας τῶν πόλεων. αὐτήν γε μὴν ἔτι τὴν ἔσωθεν εὐπραγίαν, μάλιστα τί τίς ἄν, ἔχοι λέγειν· ὡς ἀμφότερα ἐξεῖναι· μᾶλλον μὲν, τὴν τοσαύτην περιουσίαν θαυμάζειν, τῶν ἐνοικούντων, μᾶλλον δὲ τὸ διὰ πάντων εὐγενὲς τῆς πολιτείας καὶ τὴν ἰσότητα· καὶ τὴν τῶν τρόπων εὐκολίαν, καὶ τὸ πεφυκὸς ἡρμόσθαι, τοῦτο μὲν πρὸς αὑτοὺς, τοῦτο δὲ πρὸς τὴν τῶν ξένων ἐπιδημίαν, περὶ ὧν οὐχ᾽ ἱκανὸς διατρίβειν ὁ χρόνος; καὶ οὔπω προσέθηκα, τὰ κρείττω ταῦτα, καὶ τῆς ὑψηλοτέρας εὐνομίας καὶ καταστάσεως, τὴν περὶ τὸ δόγμα δηλαδὴ τῆς ἀληθείας θερμότητα, τά τε ἄλλα πάνθ᾽ ὁμοῦ χρήματα, καὶ περὶ τοὺς θείους νεὼς φιλοκαλίαν ἄσχετον παντάπασι καὶ σπουδήν· ἱερὰς τῶν τὰ θεῖα φιλοσοφούντων συνοικίας καὶ φροντιστήρια καὶ τὴν ἄλλην ἅπασαν τῆς εὐσεβείας χύσιν, καὶ ὡς ἄν τις ἐρεῖ τρυφήν. ταῦτα μέντοι πάντα, καὶ ὅσα γ᾽ εἰκὸς παραπλήσια, οὐκ οἶδ᾽ ὅστις τῶν ἁπάντων σφόδρ᾽ οὕτως ἐστὶν ἀμαθής. ἡμῖν γὰρ δὴ πόρρω σχολῆς ὁ λόγος ἐξετάζεσθαι περὶ τούτων· ἴσως δὲ καὶ ἱκανῶς ἔχει· ὡς ἂν ἐν μέρει βραχεῖ τῆς σπουδῆς. ἀλλ᾽ ὅθεν ὥρμηται, τί ταῦτα πρὸς τὴν μαρτυρικὴν
f. 61^v τῇ πόλει φοράν; τί πρὸς ἡλιακῶν ἀκτίνων ὑπερβολὴν, ἀστέρων | φαύσεις, ὥστε παραβάλλειν εὐθὺς ἀμαυρούμεναι; οὕτω τοι πάντ᾽

38 τὸ V^2 e corr. **39** οὐχήκιστα V^2: οὐχ ἥκιστα V La **42** ἐστὶν La | χάριν καὶ χρείαν V^2 e corr. **45** ἀφισταμένη V^2 La: ἐφισταμένη V **47** Αἰγύπτῳ V^2: Αἴγυπτον V, Αἰγύπτου La **50** θάλατταν V: θάλασσαν La **52** μὲν V^2 e corr. **54** τῶν V^2 s.l. **62** ἐρεῖ V: ἐρῇ La **63** ὅσα γ᾽ V: ὅσά γε La

38–39 cf. Or. 11, 19, 27

ἐπέσχε καὶ διεγένετο καὶ συνέφυ τῇ πατρίδι τὰ ἐκ τοῦ μάρτυρος, καὶ ὅλη τις ἠρτῆσθαι τοῦδε δοκεῖ, καὶ εἶναι, καὶ συνεῖναι, καὶ ἀμερῶς ἔχειν, ἢ μᾶλλον ἔχεσθαι, οὐκ οἶδ᾽ ἧστινος ἀνάγκης ὁλκαῖς. καὶ εἰ δή τις ψυχὰς εἶναι βούλεται πόλεων, μάλιστα μὲν ἐχέτω· δεικνύτω φιλονεικείτω, μετὰ τῆς τοῦ λόγου προθέσεως· εἰ δ᾽ οὖν, ἐρρέτω κακὸς κακῶς τὰ ἀκίνητα κινῶν, αὐταῖς γεωμετρικαῖς εἴτουν φυσικαῖς ἀνάγκαις, αὐτοῖς ἵν᾽ οὕτως εἴπω, τοῖς τῆς ἐπιστήμης σοφίσμασι. τὸ δ᾽ οὖν ἡμέτερον, ὡς ὁ γενναῖος οὗτος μάρτυς Χριστοῦ, ἀντὶ ψυχῆς τῇ πόλει καθίσταται, ὑπὲρ πάντα φυσικὸν σύνδεσμον· ὑπὲρ πάντα νοῦν κυβερνήτην καὶ λόγον· καὶ ἅμα μὲν, ἐντέλειά τις καὶ συνοχὴ τοῦ εἶναι, καὶ εἶδος ἥρμοσται· ἅμα δὲ ἡγεμὼν διὰ πάσης γίνεται πράξεως, καὶ ἐπιστάτης· ἅμα δὲ καὶ προστάτης καὶ πρόμαχος. καὶ τοῦτο οὐκ ἐπὶ ῥητοῖς· οὐδ᾽ εἰς ἀριθμητὴν τῶν χρόνων περίοδον· ἀλλὰ ψυχὴ μὲν ἐξίσταται σώματος· καὶ ὑποχωρεῖ τῇ φύσει τῆς ὕλης πράττειν ἢ πάσχειν, τὰ ἑαυτῆς· καὶ κυβερνήτης ἤδη τοῦ κλύδωνος ἥττηται· καὶ ὁμοῦ τε μεθίεται τῆς ἡγεμονίας, καὶ τῇ φορᾷ τῆς εἱμαρμένης ἐφίησιν· ἀλλὰ καὶ χορηγὸς ἅπας· ἀλλὰ καὶ ταξίαρχος· καὶ παντὸς ἄλλου συστήματος ἡγεμὼν, εἴθ᾽ ἑκὼν, εἴτ᾽ ἄκων, ὅμως δ᾽ οὖν, λειτουργεῖ τῷ χρόνῳ· καὶ τοῦ τάγματος ἔξεισι· τοῦ δὲ, περὶ τὴν πόλιν, ὁ πόθος ἀήττητος· καὶ οὐκ οἶδ᾽ ὅπως ἀπλήστως ἔχει, τῆς περὶ ταύτην σπουδῆς, συνεῖναι τὲ ἀεὶ πάντα διὰ πάντων ὡς ἔπος εἰπεῖν συνελόντα, καὶ προμαχεῖν καὶ προΐσταθαι.

3. Ἀλλὰ τὰ μὲν δὴ πρὸς τὴν εὐδαίμονα ταύτην πόλιν, τῷ μάρτυρι τοσαῦτα· καὶ τὰ πλείω γε παρεῖται, φειδοῖ τοῦ μήκους τῆς ἐκδρομῆς· ἴσως δὲ καὶ αὖθις ἐξέσται προσάγειν· ὁ δ᾽ οὖν λόγος, ἐπαναγέσθω. τὰ μὲν δὴ πρῶτα τῷ μάρτυρι, κάλλιστ᾽ εὐθὺς ἐξαρχῆς συντελεῖ· καὶ οἷα μὴ πολλοῖς | ἄλλοις, ἐξεῖναι τῶν λίαν f. 62
φιλοτίμων, κοσμεῖν τε καὶ παραβάλλειν· καὶ ὥσπερ εἰς κοινόν τινα σκοπὸν, ἐν μέσοις ἀφειμένον, πάντα πάντοθεν πρὸς ἓν φέρει· τοῦτο μὲν τύχης δῶρα· τοῦτο δὲ φύσεως· γένους σεμνότης· οὐσίας ἀφθόνου κλῆρος· ἰσχὺς σώματος· κάλλους ἰσότης· ἠθῶν εὐγένεια·

79 ἥρμοσται tacite corr. La: ἥρμοται V

72 Stob., Anth., 4, 1, 144 (p. 90, 10) **74** CPG II, 5, 10 **78–79** cf. Plat., Politic. 272e et Or. 10, 96, 15–16

καὶ ἡ διὰ πάντων τούτων ἁρμονία καὶ σύμβασις· ὡς μήτε τὸ ῥωμαλέον ἐξάγειν ἀηδὲς καὶ ἀκάθεκτον, μήτε τὸ ἀστεῖον ἀγενὲς εἶναι καὶ ἀνελεύθερον. καὶ μὴν οὐκ ἦν μᾶλλον τὴν ἕξιν θαυμάζειν, καὶ τοὺς ἀγαθοὺς θησαυρούς, ἢ τὴν ἐφ᾽ ἅπασι χρῆσιν, μετὰ τοῦ δικαίου καὶ τῆς ἐννόμου καὶ τεταγμένης αἱρέσεως, ὡς μήτε πρὸς ὄγκον· μήτε πρὸς ἄλλην ἅπασαν ἀηδίαν, ἐνταῦθα βασκαίνουσαν ἐκτρέπεσθαι. καὶ γὰρ δὴ καὶ ἡ τῶν λόγων ἄσκησις, ἐγγὺς συνέφυ· καὶ τὸ ἐντεῦθεν κράτος διὰ πάντων γενόμενον καὶ νομοθετῆσαν, πείθει νῦν ἴσως ἐρεῖν, ὡς πάντα τηνικαῦτα κεραννὺς ὁ τεχνίτης ἔοικε λόγος καὶ δημιουργῶν ἔμμετρα, τῆς τῶν ὄντων ὁμοῦ πάντων ἀνίστη τελειότητος ἄγαλμα. ἀλλὰ γὰρ δὴ τὸ μέγιστον ἐπὶ τούτοις, ὁ τῆς εὐσεβείας προσῆν κόσμος· καὶ ὥσπερ εἶδος διὰ πάντων, ἐρρύθμιζέ τε καὶ συνηρμόζετο, ᾗ καὶ συνέφυ τὴν ἀρχὴν ὁ μάρτυς· καὶ προέκοπτε τὴν ἡλικίαν, μετὰ τῆς τοῦ Πνεύματος χάριτος ἀεὶ προϊὼν ἴσος ἀμφότερα, ὅσα τῆς ἔξωθεν διαρτίας, ὅσα τῆς ψυχικῆς διαπλάσεως· ἢ μάλιστα τἀληθές, ἐνταῦθα προσεξετάσαι καὶ διελέσθαι, ἣν μὲν δὴ τέως ὁ σκοπὸς καὶ ὁ δρόμος, ἀμφοτέρωθεν πρόσω χωρεῖν, καὶ ἅμιλλά τις ἐντεῦθεν οὐκ ἀγεννής· ἀλλ᾽ ὁ λογισμὸς ἐξῆς ἐπεκράτει· καὶ ὑπερέσχε· τοῦ λόγου· καὶ τῆς εὐσεβείας τὰ δόγματα. παρὰ τοσοῦτον γε μήν, τἆλλα πάντ᾽ ἐρρίφη τὲ καὶ παρώφθη, παρόσον καὶ δαπανᾶν ἔδει καὶ ὑφαιρεῖσθαι, τὰ τῶν παθῶν ὑπεκκαύματα· καὶ τῶν ἐκ τῆς ὕλης τοιγαροῦν ἐπιθέσεων σχολὴν ἄγειν ὁ νοῦς, καὶ ἄνω φέρειν ἐλεύθερος ἐπειγό-
f. 62v μενος, τοὐντεῦθεν | ἄρ᾽ εἶχεν ὅ,τι χρῆσθαι, καὶ καθ᾽ ἑαυτὸν ἐνεργεῖν. εὐγενὴς μὲν ἦν· καὶ μάλα τοι τρυφᾶν αὐτῷ περιῆν ὡς ἐρρέθη τὰ ἐκ τοῦ γένους. ἀλλὰ τίς οὕτω, τὸν ἐν τούτοις κόσμον καὶ νόμον, ἄκαιρον ᾠήθη τὲ καὶ παρῆλθε; τίς μᾶλλον εἰς τὸ τῆς ψυχῆς ἔνευσεν εὐγενές; τίς εἰς τοσοῦτον ἐπέγνω; τίς ἐνταῦθα καλῶς ἀναφέρειν ἐσπούδασεν· ὥστε καὶ εὐγενὴς ἐντεῦθεν ἀκούειν εἰκότως καὶ εἶναι, τῶν ἀφ᾽ ἡλίου ἀνατολῶν, τῶν νοητῶν τοῦ τῆς δικαιοσύνης ἡλίου ἐλλάμψεων; ὥστε καὶ κατηυγάσθη καὶ φῶς ἐγένετο κόσμου· καὶ δίκην ἀκτίνων ἐθησαύρισε τὴν αἴγλην ἐκεῖθεν, καὶ

3,27 πρόσω χωρεῖν V: προσυγχωρεῖν La **36** τὲ om. La **38** εἰκότως V e corr.

3,18–19 cf. Greg. Naz., Or. 38, 11, 8 (p. 124) **23** Luc. 2, 52 **31** cf. Greg. Naz., Or. 24, 11, 5 (p. 60) **39–40** Mt. 5, 14; Io. 8, 12 et 9, 5

πρὸς πάντα τῆς οἰκουμένης ἐξέχεε καὶ διέδοτο. ἀλλὰ μὴν ὅ γε πλοῦτος, οὐ μόνον ἡγεμὼν ἡγεμόνων ὡς ἔφη τις ἤδη· καὶ πάντα πάντων κρατῶν, ἀλλ᾿ ἄρα καὶ οἶδεν ἡττώμενος· καὶ οὐχ᾿ ὅτι γ᾿ ἡττώμενος, ἀλλὰ καὶ πᾶσιν ὑπηρετῶν, ὅστις ἄριστα χρῆσθαι βούλοιτο· ἔδειξε δὲ, ὡς προύθετο κοινὸν ὁ μάρτυς, ὅτου τις δέοιτο, φέρειν, ἀπολαύειν, μηδὲν εἶναι πρᾶγμα, μηδενὸς ἀτυχεῖν. ὀρφανοῖς ἦν πατὴρ· χηρῶν προστάτης. ἐσκόρπισεν· ἔδωκε τοῖς πένησι· διέθρυψε πεινῶσι τὸν ἄρτον. πτωχοῖς ἀστέγοις, τὰ τῆς οἰκίας ἀνεῖτο· καὶ ἅμα προσῆν τὸ τῆς ῥᾳστώνης, τῇ χρείᾳ· καὶ τὸ εὔκολον, ἤδη κτωμένοις καὶ ἄλυπον, ὡς ἄν τις ἐπὶ τοῖς οἰκείοις ἕλοιτο μάλιστα· καὶ πάντα μεγαλοψύχως· καὶ πάσης ἀνελευθερίας ἀπήλλακτο. καὶ τοῦτο πλέον ἐντεῦθεν ἐποιεῖτο μόνον τῶν λαμβανόντων, ἔχειν ὥσπερ δεικνῦναι τὴν φύσιν, καὶ ὕλης μᾶλλον πρὸς ἀρετὴν εὐπορεῖν· ἢ μὴ δὲ τοῦτο σχεδὸν· ἀλλ᾿ ἑκατέρωθεν ἀπαντᾶν ἐξεῖναι τὸν τοῦ καλοῦ νόμον ᾤετο· καὶ συντελεῖν ἅμα τῇ κοινῇ φύσει, τὸν ὀφειλόμενον ἔρανον· τῶν μὲν, διδόναι καλῶς· τῶν δὲ, σὺν κόσμῳ λαμβάνειν· καὶ ἀμφότερ᾿ ὡς ἔξεστιν, ἀπαθῶς τε καὶ ἐλευθέρως.

4. Εἰ δὲ καὶ τὴν ὥραν εἶχε τοῦ σώματος εὐφυὴς· εἰ δὲ καὶ τὴν χεῖρα γενναῖος· καὶ τὸ ἄνθος ἡρωϊκὸν, μετὰ τῆς ἀκμῆς, «τίς ὁ πολὺς πόνος· τίς ἡ χάρις» φησὶ· «τίς ἡ κενὴ φιλο|τιμία τῆς f. 63 φύσεως; τίς ὁ κόσμος, οὐχ᾿ ἱσταμένων; τίς ὠφέλεια τῷ αἵματί μου ἐν τῷ καταβαίνειν με εἰς διαφθορὰν ὅ φησιν ἡ γραφή; τί μοι πλέον ἃ μὴ πέφυκε μένειν; τί χαρίζῃ τὰ μὴ προσόντα; τί φέρεις ἃ μὴ πάντως ἔχεις; τί συνέχεις ἃ ῥέει· καὶ ἅμα μὲν, λῖνον λίνῳ συνάπτεις, ἔφη τις ἤδη· ἅμα δ᾿ ἐξ ἄμμων, πλέκεις σχοινία· καὶ συνδεῖς ἃ φεύγει· καὶ κατὰ τῶν μὴ ὄντων φιλονεικεῖς; εἴσω δεῖ νεύειν· εἰς ἑαυτὸν πάντοθεν ἐπεστράφθαι· μόνης ἐπιμελεῖσθαι καθόσον ἔξεστι, τῆς ἀΰλου καὶ ἀνωλέθρου ψυχῆς· τὰ δ᾿ ἄλλ᾿ ὁμοῦ χαίρειν ἐᾶν· καὶ πάντ᾿ ἄνω καὶ κάτω μετὰ τῶν χρόνων κινεῖσθαι καὶ ῥέειν ἀεὶ τῆς ὕλης τὰ παίγνια.» καὶ ταῦτα μὲν οἱ λόγοι τῶν

48 ἦν V[2]: ἢ V, om. La **4,3** τίς[2] om. La

42–43 locum non invenimus **48–49** Ps. 111, 9; II Cor. 9, 9 **49–50** Is. 58, 7 **4,4–5** Ps. 29, 10 **6–7** I Cor. 4, 7 **7–8** cf. Plat., Euthyd. 298c **8** cf. Karathanasis 191

ἔργων κριταί· τὸ δὲ πείθειν, μάλιστ᾽ εἶχον αἱ πράξεις. ἀμέλει τοι πᾶσα μὲν, ἀπῆν ἀπειροκαλία· πᾶσα δὲ ῥᾳστώνη καὶ ἁπαλότης ἀγεννής· πᾶσα δὲ τρυφή· πᾶσα δὲ ὕβρις, ὁμοῦ καὶ τῦφος ἅπας ἐξώριστο. οὐ θυμὸς ἁρπάζων ἀλόγιστος ἐκλόνει καὶ ἄσχετος· οὐ γέλως ἐθριάμβευεν ἀσωφρόνιστος· οὐ γλώττης ἐξῆγεν αὐθάδεια· οὐκ ἄλλη πᾶσα τις ἀβασάνιστος ὁρμή τε καὶ κίνησις· ἀλλὰ σεμνότης ἐκράτει· καὶ νοῦς ἀληθὴς ἐνομοθέτει, καὶ ἡγνισμένος· καὶ λογισμοῦ καθαρότης καὶ ὕψος· καὶ ἦθος ἐλεύθερον· καὶ λόγων μέτρα καὶ πράξεων.

5. Εἶχε μὲν, οὕτω ταῦτα· ἔδει δὲ ἄρα δειχθῆναι· μᾶλλον δὲ χωρῆσαι πρόσω τὴν φύσιν, ὕλης τυχοῦσαν, ὡς ὥρμησεν ἐξαρχῆς πρὸ τῶν χρόνων· ἔδει τὰς ὑποθέσεις, ἀξίας ἀπαντῆσαι τῶν ὄντων· ἔδει τὸν τόπον ἐσκευάσθαι· ἔδει τὸ θέατρον τοῦ καλοῦ θησαυροῦ. ἔδει ταῦτα, καὶ γέγονεν· ὡς δὲ γέγονε, καὶ εἰρήσεται. ὄνομα μὲν ἤδη μέγιστον, Δημητρίου πρὸς ἅπαντας ᾔει· καὶ κούφοις ἡ φήμη πτεροῖς ὡς ὁ λόγος βούλεται φοιτῶσα, πάντ᾽ ἐπελάμβανεν, ὁπόσοις ἐντύχοι. φθάνει δ᾽ οὕτως ἄρα, καὶ εἰς αὐτὸν ἥκει τὸν βασιλέα· καὶ παραχρῆμα χειροῦται· ἔδειξε δ᾽ ὅτι καὶ μεταπέμπεσθαι δεῖν ἡγεῖτο, καὶ μετεπέμπετο. ἀλλ᾽ ἐντεῦθεν ἡ | f. 63v πεῖρα, κρείττων τῆς φήμης· δηλοῖ δὲ οἷα καὶ ὅσα εὐθὺς εἵπετο. συγκλήτου γὰρ δὴ ταπρῶτα κοινωνία τῷ Δημητρίῳ καὶ μετουσία καὶ τῶν ἐν τέλει τοῖς πρώτοις ἐγκρίνεται· ὃ γέρας ἀρετῆς· ἢ γένους ἐπιφανοῦς ἀναγκάζει κλῆρος· ἢ ἄμφω μοι δοκῶ ταῦτα μάλιστα, καὶ ὡς ἄρ᾽ εἶχε τῷ μάρτυρι. τά δ᾽ ἑξῆς, οὐ πολλοῦ τοῦ χρόνου, καὶ τῆς Ἑλλάδος προυβέβλητο πάσης ἀνθύπατος. ἀλλ᾽ ἡ μὲν δὴ πρὸ τῶν ἔργων παρασκευὴ τῷ μάρτυρι, καὶ κατάστασις, εἴρηται. τό γε μὴν ἔτι μέγεθος τῆς ἀρχῆς τοσοῦτο θαυμάζειν, ὡς εὐθὺς ἀκοῦσαι· τοῦτο μὲν ἀξίας ὄγκος ἤδη τοσαύτης, ἐπὶ τῶν προτέρων μάλιστα χρόνων, ὑπολογιζομένῳ· τοῦτο δ᾽ ἐπαρχίας ταύτης κράτος, ἔθνους ἀρχαίου, ἔθνους, οὗ μέγιστον ἄνωθεν ἐπ᾽ εὐγενείᾳ φρόνημα· τά τε

15 ἁπαλότης V^2 La: ἁπλότης V **5,1** ἄρα V^2La: ρα V (obl. rubr.) **6** μέγιστον V^2La: έγιστον V (obl. rubr.) **10** ἡ iteratum in V, tacite del. La **12** καὶ μετουσία τῷ Δημητρίῳ primum scripsit, deinde litteris βα suprascriptis ordinem invertit V

5,4 cf. Or. 2, 12, 25; Or. 12, 8, 10 **6–7** cf. e.g. Aristoph., Av. 1453 **15–16** cf. Sym. Met., Passio Dem., PG 116, 1185C

ἄλλα, καὶ σοφίας σεμνότης καὶ κάλλος προσῆν· καὶ ἠθῶν· καὶ πολιτειῶν· καὶ νόμων αἱρέσεις· κρείττους, ἢ παραβάλλειν κατ᾽ ἄλλους ἐξεῖναι. τοσοῦτο γε μὴν ἔτι κάλλιστόν ἐστιν, ἐπ᾽ αὐτοῦ τοῦ γένους· ἐπ᾽ αὐτῆς μάλιστα τῆς πατρίδος, προστῆναι καὶ παρὰ τοῦ βήματος συγγίνεσθαι τοῖς πολλοῖς· καὶ ταῦτ᾽ ἐν ὀλίγῳ κομιδῇ, τῷ προλαβόντι καὶ πόνῳ καὶ χρόνῳ, ἃ δὴ μᾶλλον περὶ ταῦτ᾽ ἀνύειν δοκεῖ. οὔπω γὰρ ἦν ἔτι τῆς ἡλικίας, ὥστε καὶ στρατιωτικοῖς σχεδὸν ἐξετάζεσθαι καταλόγοις· οὔπω τοσοῦτος, ὥστε καὶ ὑπηρετεῖν ἀξιοῦσθαι· καὶ προέδραμεν οὕτω σφόδρα· καὶ εἰς ἡγεμόνας ἐκρίθη· καὶ τούτων, εἰς ὅσον ἔξεστι μέγιστον.

6. Ἀλλ᾽ ἐπὶ τοιούτων δὴ τῶν πραγμάτων γενόμενος, καὶ ὥσπερ ἐξ ἀπόπτου τινὸς εἰς πέλαγος ἀποβλέψας ἀδάπανον ὀφθαλμοῖς περαίνειν, ἢ πρὸς θεωρικοῦ τινος ἐπιστὰς ἐκ τῶν ὑπαρχόντων ἐπίδοσιν καὶ νομὴν ἄμετρον, οὐκ ἠπόρησεν ἂν ἐπὶ τούτοις· οὐδ᾽ ἐξεπλάγη· οὐδὲ πρύμναν ἐκρούσατο· οὐδὲ μὴν ταυτὸν τοῦτ᾽ ἔπαθεν, ὁμοῦ τε εἶδε· καὶ φέρειν ἀλογίστως ἐφῆκεν ἔμπληκτος· ὥσπερ οἱ πλείους πάντα μιγνῦντες· καὶ συγχέοντες πράγματα. ἀλλ᾽ ἀπορῶ μὲν ὅ,τι ἂν καὶ χρήσωμαι. μᾶλλον δὲ εἰ δοκοίη, | τὰ μὲν ἄλλα τῶν τῆς ἀρχῆς παρείσθω (ἢ πῶς γὰρ ἄν τις f.64
ἐνταῦθα, τὴν ἀξίαν ἀποδοῦναι γένοιτο, καὶ περὶ πάντων ἑξῆς διορίσασθαι, καὶ ἐπεξελθεῖν, μὴ οὖν σὺν μεγάλῳ τῷ τῶν λόγων πόνῳ· καὶ κράτει, καὶ τύχῃ, καὶ ἅμα τῶν καιρῶν ἀφθονίᾳ, καθ᾽ ἕκαστον ἀνῦσαι;), περὶ δὲ τῶν μάλιστ᾽ ἀναγκαίων νῦν εἶναι· καὶ ἃ μὴ δὲ παραλιπεῖν θέμις, οὔτ᾽ εὔλογον, οὔθ᾽ ὅλως ἔξεστι, καὶ δὴ νῦν ἤδη πειράσομαι δεικνῦναι, καὶ λέγειν ἄρχομαι.

7. Οὕτω γὰρ ἐκεῖνος θεόθεν, ὡς ἔοικε πάντα ἥλω· καὶ θείᾳ τινὶ κινήσει, καὶ συνέφυ τὴν ἀρχὴν καὶ ὅλως ἀεὶ συγκεκλήρωτο, ὥστε ὁμοῦ τε ἐπέβη τῆς ἀρχῆς, καὶ ὥσπερ ἐκ πολλοῦ συνθέμενος καί τινα ὀφειλὴν ἀμήχανον ὑπεξελθεῖν τοῖς πράγμασιν ἀποδιδούς, ἢ

22 ἠθῶν corr. La: ἠθῶν V **6,1** τῶν V^{2}La: ῶν V (obl. rubr.) **4** ἂν La: ἀν V^{2} s.l. **8** ἂν V^{2} s.l. **10** an ⟨ἱκανὸς⟩ γένοιτο? **12–13** καθ᾽ ἕκαστον V^{2} La: καθέκαστον V **13** μάλιστ᾽ V: μάλιστα La **14** οὔθ᾽ ὅλως V: οὔδ᾽ ὅλως La **7,1** θεόθεν V^{2} e corr. | καὶ V^{2}La: αὶ V (obl. rubr.)

6,1–3 cf. Greg. Naz., Or. 21, 28, 11 (p. 168)

μᾶλλον ὥσπερ πόρρωθεν ὠδίνων, καὶ πρός τι κατάντημα καὶ λιμένα τῆς φύσεως ἐπειγόμενος, καὶ δὴ καὶ τυχὼν τοῦ καιροῦ, καὶ τοῦ πράγματος, παραχρῆμα δὴ ῥήγνυσιν ἐν τῷ μέσῳ καὶ ἀνακαλύπτει καὶ προΐσταται σαφῶς τὴν εὐσέβειαν. ὢ ψυχῆς ἐκείνης ἀσχέτου καὶ μηδὲν ἔμπροσθεν τιθείσης, μέτριον· μὴ δ᾿ ὑποπεπτωκός, μὴ δ᾿ ἀνθρώπινον. ὢ λογισμοῦ πάντα ἐν πᾶσι κρατοῦντος καὶ νομοθετοῦντος σὺν νόμῳ· καὶ μέτρῳ· καὶ τάξει, τελεωτέρᾳ τὰ κρείττονα. ὢ τάχους ἐπιχειρήσεως, πάσης ἀναβολῆς ἀνύειν ἀσφαλεστέρου. ὢ πάντα πάντων ἑξῆς ἄξια· καὶ οὐδὲν ὅ,τι μὴ συμβαῖνον· μὴ δ᾿ ἡρμόσθαι πεφυκός, πρὸς ἄλληλα· καὶ νοῦς· καὶ λόγος· καὶ κίνησις. ἦλθεν εἰς τὰ βάθη τῆς κοσμικῆς ταύτης θαλάσσης· καὶ τῇ ῥοῇ τῆς φύσεως ἐδούλευσε· καὶ γέγονεν ἄνθρωπος· ἀλλ᾿ ἀνέσχεν· ἀλλὰ κούφως ἀνέδραμε· καὶ τὸν μόνον τῶν πάντων ἔγνω δεσπότην, καὶ ὑπὲρ τὴν ὕλην ἐφρόνησε. τὰ τῆς εὐσεβείας ἐδέξατο σπέρματα, ἀλλ᾿ ἐπόθει καὶ γεωργῆσαι· καὶ προσεπιδοῦναι· καὶ εἰς ἑκατὸν ἐπεργάσασθαι. ἄνωθεν ἐπλάσθη μετὰ τῆς φύσεως· ἀλλ᾿ οὐκ
f. 64^v εἶχε μόνον ἐνταῦθα χρῆσθαι· καὶ πρὸς τέλος | ἀφεώρα μέγα, καὶ τῆς ὑποθέσεως ἄξιον. ἐζήτει τόπον κοινὸν καὶ θέατρον ἱκανὸν ἀναδείξεως· ἀλλὰ τυγχάνει· καὶ εἰς ἡγεμονίας τοσαύτης ὕψος ἀρθείς, τηνικαῦτα δὴ τὸν καιρὸν λαμβάνει· καὶ ὥσπερ ἐξ ἀπόπτου τινὸς εἰς τὴν οἰκουμένην πᾶσαν, φωνὰς ἐντεῦθεν ἀφίησι· καὶ μετατάττεται· καὶ ἀντὶ πάντων πάντα Χριστῷ μετατίθησι. καὶ πόλις μὲν ἐπ᾿ ὄρους κειμένη φησὶν ὁ θεῖος λόγος, οὐκ ἂν καὶ δύναιτο κρύπτεσθαι· καὶ νῦν δὴ τοῦτό τε οὐδὲν ἧττον, καὶ ἅμα πρόσεστιν ἐρεῖν, ὡς ὁμοῦ τε τὸ φῶς ἐπὶ τὴν λυχνίαν ἐτέθη· καὶ τὰ εἰκότα εἵπετο τῇ φύσει καὶ ηὔγασε. καὶ εἰ δή τις κάλλιστα ἐπὶ τῶν ὄντων ἔχειν ἀξιοῖ, τὸ πάλαι δὴ τοῦτο κινούμενον ὡς ἀρχὴ δείκνυσιν ἄνδρα, καὶ τὰ ἐκ τοῦ μάρτυρος ἐνταῦθα μάλιστα δηλοῖ· καὶ οὐκ οἶδ᾿ ὡς εἴ τι τῶν ἁπάντων, τὸ πιστὸν τῷ λόγῳ δίδωσιν. ὡς γὰρ δὴ καὶ τῶν πραγμάτων ἥψατο, γυμνοῦται μὲν αὐτίκα τἀληθὲς εἰς προῦπτον ἅπασιν, ὅ,τί ποτέ ἐστι περὶ Θεοῦ φρονεῖν· καὶ καθάπερ

8 σαφῶς τὴν εὐσέβειαν V^2 s.l. **27** ἐπ᾿ ὄρους V: ἐπὶ ὄρους La **29** ἐρεῖν V^2 s.l. ἐτέθη V: ἀνετέθη La **32** δηλοῖ V^2 La: συνέστη V **33** δίδωσιν. ὡς γὰρ V: δίδωσι μὲν γὰρ La **34** τἀληθὲς V: τ᾿ ἀληθὲς La

7,15 Ps. 68, 2 **18–20** cf. Greg. Cypr., Laud. sanct. Georg., PG 142, 305A **19–20** Mt. 13, 23; Marc. 4, 20 **24–25** cf. Greg. Naz., Or. 4. 1, 2–4 (p. 86) **27–29** Mt. 5, 15 **31–32** cf. Plut., Mor. 811B; CPG II, 310, 8

ἀμέλει σύνθημα τῆς ἀρχῆς αἴρει καὶ προβάλλεται. οὐ μόνον δὲ ἄρα χρῆναι φησὶν ὁ τοῦ δεσπότου τὴν ὑπόθεσιν λαβὼν καὶ τὸ τάλαντον, ἀμειαγώγητον ὡς ἐδέξατο συντηρεῖν, ἀλλὰ καὶ πανταχῇ φέρειν· καὶ πάντοθεν προσπορίζεσθαι. δεινὸν γὰρ εἶναι κἀνταῦθα γε μὴν ἔτι τὸ καθ᾽ ἑαυτὸν ἀξιοῦν, ἀλλὰ μὴ χάριν εἰδέναι τῷ χρόνῳ, τῆς δεδομένης νομῆς καὶ τάξεως, μεγάλων ἀφορμὰς ἔργων προβαλλομένῳ, περὶ πολλοὺς ἐπιχειρεῖν καὶ δείκνυσθαι, τῶν ὄντων ἀξίως. κἀκ τούτων οὕτως ἤδη μεγαλοψύχως, πρόσω ᾔει· καὶ ὥσπερ ἄνωθεν ἐπὶ ῥητοῖς ἥκων παγκόσμιον ἀγαθὸν καὶ θείάν τινα λειτουργίαν ταύτην, ἀποδιδοὺς τῇ κοινῇ φύσει, μεταποιεῖ τὰ τῆς ἀρχῆς κάλλιστα χρῆσθαι, πρὸς τὸ βέλτιον καὶ τοῖς ὑπὸ χεῖρα μάλιστα λυσιτελοῦν. καὶ οὐδὲν ὑπελογίσατο τηνικαῦτα, οὐδ᾽ ἤμβλυνεν· οὐδ᾽ ἔσχέ τι τὴν ὁρμὴν ἐκείνου, οὐ δόξης ἔρως· οὐ στοργὴ τῶν παρόντων· | οὐ μειζόνων ἐλπὶς· οὐδ᾽ f. 65
αὖ τοὔμπαλιν, οὐκ ἀρχῆς ἀποβολὴ καὶ ζημία τοσαύτης· καὶ κύβου περιτροπὴ· καὶ φορά τις ἀντίρροπος, ἀκάθεκτός τε καὶ ἄνισος, τῷ περιόντι τῆς δυσχερείας, ὡς εὔδηλόν γε ἦν εἰκάσαι παντὶ· οὐ τροπὴ τύχης καὶ μεταβολῆς αἰδὼς ἑπομένη, ἐπ᾽ αὐτῆς μάλιστα τῆς ἡγεμονίας, ἐπ᾽ αὐτῆς μάλιστα τῆς πατρίδος· οὐ βάσκανος ἐφηδόμενος ἐντεῦθεν· οὐ φίλοι κατακλῶντες· οὐκ ἄλλη τις μικροψυχίας ἐπιβουλὴ καὶ ἐπήρεια· οὐδὲ μὴν τὰ ἐπὶ τούτοις ἑξῆς· οὐ σώματος ἀνθολκὴ, καὶ δεσμὸς· οὐ τυράννων ἐν ἐκείνοις τότε δὴ τότε τοῖς χρόνοις διαφερόντως περὶ τὸ σέβας σπουδὴ· οὐ διωγμοῦ κατακλυσμὸς κατὰ πάσης ἄσχετα φέρων τῆς οἰκουμένης, καὶ πάντα περιλαμβάνων, καὶ πάντα παρασύρων, ὁπόσοις ἐντύχοι· οὐ βασάνων ὠμότης· οὐχ᾽ ὑπηρετῶν ἑτοιμότης μείζων τῆς χρείας· οὐκ ἄλλό τι τῶν ἁπάντων οὐδὲν· οὐδ᾽ ἅπανθ᾽ ὁμοῦ· ἀλλ᾽ εἰς ὕψος τὸν νοῦν ἐκεῖνος διάρας, ὁ γενναῖος καὶ πάντα ἀήττητος, καὶ τὴν τιμὴν τοῦ καλοῦ καὶ τὰς ἀγαθὰς ἐλπίδας ἐπίπροσθεν θέμενος, ὅλος ἡρωϊκὸς· ὅλος ἀνδρεῖος· ὅλος τῆς ὕλης ἀνώτερος, πρὸς τὸ μέγα τοῦτο τοῦ κόσμου στρατόπεδον ἀποδύεται παρρησίᾳ· τὴν

40 καθ᾽ ἑαυτὸν V[2] La: καθ᾽ αὑτὸν V **55** ἄλλη τις V: ἄλλη τῆς La **66** ἀποδύεται V: ὑποδύεται La

36–39 Mt. 25, 14–30 **45–46** cf. Synes. Cyren., Aeg. 1, 11, 2 (p. 115) **49** cf. Ioh. Chrys., In Mt., PG 58, 624, 16

μάχην ἀναγορεύει· πρὸς οἰκουμενικὴν τῆς πλάνης ἰσχὺν ἐπανίσταται.

8. Ὁ μὲν οὖν ἀγών, τοσοῦτος· ἡ δὲ παρασκευὴ τοῦ μάρτυρος, οὐκ ἀγεννής· οὐδ᾽ ἀνελευθέρως κλέπτουσα· ἀλλὰ καὶ σφόδρα ἐπίδηλος ἅπαντι συνιδεῖν, ὡς ἀνὴρ ἐκεῖνος, ἔοικε σπουδάζειν· καὶ μάλιστα ἐστὶν ἐν τοῖς πράγμασι· καὶ οὐκέτι λείπεται φειδώ τις· οὐδ᾽ ἀναχώρησις. τὸ γὰρ πρᾶγμα σαφῶς ἐχώρει· καὶ πολλοὶ κατ᾽ ὀλίγους· ἤδη δὲ καὶ κατὰ πλείους, ὅμως ἀεὶ προσεχώρουν, καὶ προσετίθεντο· καὶ τῆς τῶν δαιμόνων ἀφίσταντο μανίας· καὶ τὸν ἀληθινὸν καὶ μόνον Θεόν, ἀνωμολόγουν παρρησίᾳ καὶ ἀνεκήρυττον· ὡς τούτοις | f. 65v μηδένα τινὶ τῶν ἁπάντων λείπεσθαι λόγον, ὅτι καὶ παρεσκευασμένοις ἐοίκασιν εἴ τις ἅπτοιτο καὶ πειρῷτο μεταποιεῖν, καὶ μέχρις αἵματος ἀγωνιεῖσθαι· καὶ δεῆσαν καταπροέσθαι τὸ σῶμα τοῦ δόγματος, ἐνταῦθα τῆς εὐσεβείας τὸ κέρδος, ἄνω ταχέως δραμεῖν, καὶ τοῦ ποθουμένου λαβέσθαι, καὶ τῆς χρηστῆς προσδοκίας.

9. Μαξιμιανὸς δὲ τέως μὲν καθῆστο, μετὰ τὴν ψῆφον ἐκείνην, πλήρης ἐλπίδων τὸ μέλλον σκοπῶν, καὶ μέγιστα ἐκεῖθεν ἀγαθὰ μένων ἥκειν αὐτόματα· καὶ συντόμως ἐρεῖν, οὐδὲν ὀλίγον ἐφρόνει περὶ τοῦ ἀνδρός· οὐδ᾽ οἷον καὶ παραβάλλειν ἑτέροις ἠξίου· ὡς ἄρα τοῦτο γε μόνον ἔδειξεν ἀσφαλῶς οἴεσθαι, καὶ οὐκέτ᾽ ἔπειτ᾽ ἐψεύσθη, τῆς προσδοκίας, οὐδ᾽ ἥμαρτε. τὰ γὰρ δὴ κρείττω συμπάσης ὁμοῦ φύσεως ἐγχειρεῖν, ταῦτ᾽ ἐκεῖθεν ἀπήντα καὶ ἅ, μὴ δὲ βουλομένῳ θαυμάζειν ἀξίως ἐξῆν. ἐπανιόντα δὲ αὐτὸν οἴκαδε, τοῦ πρὸς Σαυρομάτας πολέμου, ᾧ μέγιστα ηὔχει, καὶ πολὺς ἦν ἐπὶ τῇ τύχῃ φρονῶν, ὡς κάλλιστα διενεγκὼν καὶ ἀνύσας, τηνικαῦτα δὴ καταλαμβάνει τὰ πάντων δεινότατα· ὡς ὁ γενναῖος ἐκεῖνος ἀνὴρ καὶ πάντολμος, μετέβαλεν ἀθρόον καὶ εἰς προῦπτον ἔρρηξεν ἤδη, καὶ πάντ᾽ ἄνω καὶ κάτω χωρεῖ· καὶ τοὔμπαλιν γίγνεται πράγματα· θεῶν μὲν καὶ δαιμόνων αἰδώς, ἐτράπη καὶ πάντα

8,3 an σπουδάζει? **5** τὸ γὰρ πρᾶγμα V: τό γε πρᾶγμα La **6** δὲ om. La **10** παρεσκευασμένοις tacite corr. La: παρεσσκευασμένοις V **9,5–6** ἔπειτ᾽ ἐψεύσθη V[2] e corr. La: ἐψεῦσθαι V **7** ἀπήντα V[2] e corr.

9,8–28 cf. Sym. Met., Pass. Dem., PG 116, 1188D–1189A

οἴχεται· τὰ Χριστοῦ δὲ μόνον κρατεῖ· καὶ τὸ νέον ἤδη τοῦτο δόγμα, κατὰ πάσης τῆς Ἑλλάδος ἀνίσταται· ταξίαρχος δὲ σαφῶς οὑτωσὶ καὶ προστάτης· καὶ τοῦ παντὸς ἡγεμὼν ἔργου, καὶ τὴν ὅλην ῥοπὴν διδοὺς τῷ συστήματι, αὐτὸς ἐκεῖνος μόνος Δημήτριος ἅπαντας αἴρων ἀνθρώπους, ὁμοῦ καὶ συνασπίζων, μὴ κατὰ χώραν ἔχειν, μὴ δ᾽ ἐν μετρίοις φρονεῖν. ὃ δ᾽ ὡς ἤκουσε, τὴν ἀρχὴν μὲν (οὐ γὰρ ἐχώρει τοὺς λόγους ἡ φύσις), οὐκ εἶχε πείθεσθαι, καὶ ἅμα ἡ βούλησις | οὐκ εἴα μάλιστα, καὶ τὸν λογισμὸν ἀνθεῖλκε, καὶ f. 66 ἔτρεπε· μόλις δ᾽ οὖν ὡς ἔγνω, καὶ ἄκων συνεχώρει, ἠνιάθη μὲν (πῶς γὰρ οὐκ ἔμελλεν;), ἀμφότερα δ᾽ ὅμως μετ᾽ ἐλπίδος τὲ ὢν ἔτι καὶ δέους, τοῦτο μὲν περὶ τοῦ ἀνδρὸς αὐτοῦ, τοῦτο δὲ καὶ περὶ τῶν ἄλλων ὁμοῦ πάντων, εἰς αὐτὴν ὁμόσε χωρεῖν ἠξίου Θεσσαλονίκην τὴν πόλιν. καὶ δὴ τάχιστ᾽ ἐχώρει· καὶ ἧκε καὶ παραχρῆμα Δημήτριον μεταπέμπεται.

10. Τὸ τοίνυν κεφάλαιον τῆς ὅλης οἰκονομίας τῷ μάρτυρι· καὶ ὁ τοῦ βίου παντὸς· καὶ τῶν ἔργων καὶ τῶν λόγων σκοπὸς· καὶ ἡ τῆς φύσεως ἐξέτασις· καὶ ἡ τῆς πόρρωθεν παρασκευῆς χρεία καὶ προθεσμία, ἐνταῦθα νῦν ἐστι. καὶ τοίνυν ἐντεῦθεν, ἤνοικται πέλαγος ἀγώνων μέγιστον, ἐπ᾽ αὐτῆς δὴ μάλιστα τῆς εὐφημίας· κατ᾽ ἴχνος διὰ πάντων δραμεῖν καὶ μηδὲν ὑποτρέσαι, μὴ δ᾽ ὥσπερ ἀπειπόντας ἀναχωρῆσαι, καὶ προλιπεῖν τὴν τάξιν. εἰς γὰρ ἐκεῖνον ὄντως τὸν χρόνον, καινότης μεγίστων πραγμάτων, εἰς ἅπαντας ἐκράτει· καὶ σύμπας ἥλατο λογισμὸς· καὶ ψυχῶν ἦν ἐξέτασις· καὶ ἅμιλλα καὶ ὁρμὴ· καὶ δρόμος ὥσπερ ἐν τοῖς ἄθλοις εἰς ὅσον τις ἱκνεῖται· καὶ ὥσπερ ἀπὸ συνθήματος, εἰς ἕνα τοῦτον σκοπὸν πάντες ἔβαλλον· καὶ οὐκ ἐξῆν καθεύδειν οὐδ᾽ ἠρέμα ἔχειν οὐκέτι, οὐδ᾽ ὅστις κομιδῇ τὴν γνώμην ὀλίγος καὶ μάλα ἀκίνητος· πᾶς δέ τις ἠνάγκαστο δρᾶν· καὶ πᾶς τις ἠγέρθη· καὶ πᾶς ἀπηώρητο. καὶ ὁ μέν τις ἐθαύμαζεν· ὃ δ᾽ ἔτρεχεν εἰς τὸ μέλλον· καὶ τὸ τέλος ἥρπαζε. καὶ ὁ μέν τις παρώρμηται· καὶ παρῆλθε τοὺς ἄλλους, ἔγγιστα συνορᾶν καὶ συλλογίζεσθαι, «ἧπου μέγιστος ἀγὼν ἤδη συμβαίνει· καὶ παράταξις αὐτῆς ψυχῆς ἄοπλος πρὸς πᾶσαν ὕλην καὶ πάντα πράγματα, καὶ πρὸς νόμον θεῖον, καὶ παντάπασιν

10,6 ἴχνος V^2 La: ἶχνος V **7** ἀπειπόντας VLa: an ἀπειπόντα?

10,12 cf. Or. 10, 45, 6

ἄσχετον· καὶ παντὸς ἁπτόμενον ἄτρεπτον νοῦ, κόσμος ἀνίσταται· καὶ κόσμου δεσπότης, τρέπων τὴν μάχην· καὶ φιλονεικῶν ἐν f. 66v σώμασι· καὶ δόγμα οὐράνιον | ἐπὶ γῆς κρίνεται· καὶ ἤδη τις ἀθλητὴς ἐνταῦθα ἑστὼς, καὶ παραβαλλόμενος, εἰς οὐρανὸν ὁμολογεῖ καὶ συνθήκας ποιεῖται· καὶ τὸ σῶμα ῥίπτων εἰς μέσον καὶ προτιθεὶς, ἐπείγεται θαρρῶν ἄνω λαβεῖν ἔπαθλα»· ὁ δὲ, ἀπεῖπε λογιζόμενος εὐψυχίαν ἁπλῶς καὶ λῆμμα τοσοῦτον· ἅπας δὲ ἠθλοθέτει· καὶ εἶχεν ἐπὶ τοῦ νοῦ θέατρον· καὶ ἤνοιγε τῷ λογισμῷ θεωρίαν· καὶ ἵστη τὸν μάρτυρα· ἤδη δέ τις καὶ ἐδεδίει τί ἂν, γένοιτο· τί ἂν, δράσειεν.

11. Ἀλλ᾽ ἐν τοιαύτῃ δὴ πραγμάτων ἀκμῇ· καὶ τοσαύτης ὑποθέσεως ὄγκῳ· καὶ μὴν ἔτι παντοίᾳ τῶν τοῦ τυράννου λόγων ἀνάγκῃ· ἐπειδὴ καὶ οὕτως ἠξίου τὴν ἀρχὴν πειρᾶσθαι, ποῖόν τινα παρέσχεν ἑαυτὸν ὁ μάρτυς· ἢ τίνας ἀντεῖπε λόγους· ἢ πῶς ἀντετάξατο; καίτοι ἠβουλόμην μὲν ἔγωγε, καὶ τὰς πάντοθεν προσβολὰς, τοῦ τυράννου· καὶ αὐτὰς δὲ μᾶλλον τὰς ἐφ᾽ ἑκάστοις, ἀσφαλεῖς ἀπαντήσεις τοῦ μάρτυρος, ἅπαντα ἑξῆς ἐνταῦθα καθίστασθαι πρὸς τὸν λόγον· ἐπεὶ δὲ τοῦτο μὲν ἔξεστιν οὐδαμῶς· καὶ ἅμα ὑπερβαίνει τὴν σπουδὴν ἡ διατριβὴ, βραχὺς ὁ λόγος περὶ τούτων ἀρκέσει.

12. Ὡς γὰρ δὴ καὶ παρεστήσατο τὸν μάρτυρα· καὶ εἶχεν ἐγγὺς μάλιστα· φειδομένως ἔτι καὶ κοσμίως ὁ τύραννος, «τίς ἡ καινότης» φησὶν «αὕτη Δημήτριε; τίς ἡ ἀωρία· τί τὸ τάχος ἀθρόον οὕτω δὴ μεταμαθεῖν τε καὶ μεταθέσθαι; πῶς ἅμα τὲ ἐπέστης ἐνταῦθα, καὶ ἅμα μετέβαλες ἄρδην· καὶ πρύμναν ἐκρούσω· καὶ πάντα ἤλεγξας ὁμοῦ πράγματα· καὶ τοὔμπαλιν ἔθου, γνώμην ὁρᾶν ἐφ᾽ ἑκάστοις; ᾔσχυνας μὲν, σαυτὸν· ᾔσχυνας δὲ, τοὺς προβεβληκότας ἡμᾶς, καὶ τὴν ἐπὶ σοὶ ψῆφον· ἐτόλμησας δὲ περὶ τῶν κρειττόνων αὐτῶν· καὶ πατρῷον, ἔτρεψας σέβας· καὶ νεωτερίζειν ἤρω φρόνημα· καθ᾽ ὧν f. 67 οὐκ ἔξεστιν· οὐδὲ μετρίως· οὐδὲ ῥᾷστ᾽ ἔχον· οὐδ᾽ ἀσφαλῶς· | τοῖς πάλαι καλῶς κειμένοις ἐπαναστάς;» καὶ τόν γε δὴ μάλιστ᾽ ἀπτοήτῳ γνώμῃ· στερρᾷ τῇ φωνῇ· καὶ καθάπαξ τῇ συμπάσῃ τάξει τῶν λόγων, σφόδρα σεμνῶς, καὶ ὡς ἂν, ἅπας τις ἠδέσθη τὲ καὶ

26 λῆμμα V[2] La: λῆμα V **28** τί VLa: an τίς? **11,4–5** ἀντετάξατο V[2] e corr. **12,1** εἶχεν La: ἶχεν V (obl. rubr.) **10** ἔχον V e corr.

ἠγάσθη, «καινότητα μὲν οὐκ οἶδ' ἥντιν' ἐγκέκληκας, αὐτοκράτορ» φάναι· «καὶ τί σοι βούλεται μεταβολή τις αὕτη καὶ μετάθεσις ἐνταῦθα προφέρειν· εἰ μὴ ταῦτ' ἄρ' ἴσως οἴει περὶ τῆς ἀληθείας αὐτῆς· ἣν ἐγὼ πρεσβεύω τὰ Χριστοῦ· καὶ παρρησίᾳ κηρύττω· καὶ βίου· καὶ λόγου· καὶ πάντων ἄλλων ὁμοῦ προΐσταμαι. τοῦτο μέν γε οὐκ ἤδη πρώτως οὐδ' ἔστιν ἔγγιστα συνορᾶν· ἀλλὰ πόρρωθεν εὖ ἴσθι· καὶ παρ' αὐτὴν τὴν τῆς φύσεως ἀγωγὴν, κάλλιστ' ἔγωγε καὶ συνέφυν τῷ Χριστοῦ δόγματι, καὶ μέχρι νῦν προῆλθον. καὶ εἰ μὲν ἐνταῦθα ἥκων ἄλλό τι συνεθέμην καὶ συνεῖπον πυνθανομένῳ, μάλιστα μὲν, οὐδ' οὕτως οὐδέπω γε δεινὸν, οὐδὲν, ἐπικαλεῖσθαι τὸ βέλτιον ἐνταῦθα μεταθέσθαι, καὶ πεισθῆναι τὰ κρείττονα. ὅμως, εἰπὲ καὶ τὰς εὐθύνας οἴσομεν· καὶ πεισόμεθα εἰκότως ἔοικεν, ὡς μὴ πάλαι μετὰ τοῦ καλοῦ γεγονότες. εἰ δ' οὐδὲν οὐδαμῶς οὐδ' ἔξεστι, τοιοῦτον ἡμῖν ἐπενεγκεῖν καὶ σφόδρα βουλομένῳ φιλονεικεῖν, τίς ὁ λόγος ἐνταῦθα πειρᾶσθαι· ἢ τί φορτικὸν ἢ ἀηδὲς· ἢ τίς αἰσχύνη ταύτῃ πως ἔχειν πάλαι, καὶ συνεῖναι τῷ περὶ τῶν ὄντων ἀληθεῖ· καὶ τῆς θείας γνώμης καὶ τάξεως; ἀλλ' ἔμοιγε (καὶ σαφῶς ἤδη λέγω, καὶ αὖθις ἐρῶ· καὶ μάλ' αὖθις· καὶ οὔποτε μεταστήσομαι), μέγιστος κόσμος· καὶ δόξα καὶ καύχημα, ἡ περὶ Χριστοῦ πίστις· καὶ ἡ τῆς εὐσεβείας ἀπλανὴς αἴσθησις· καὶ οὐ μέμφομαι τῆς κρίσεως ταύτης καὶ τῆς γνώμης, οὔτε πατράσιν· οὔτ' ἄλλοις ἡγεμόσιν, οὔτ' ἐμαυτῷ· οὔτε μὴν τῆς παρρησίας αὐτῆς· οἷς τοῦ δόξαντος ἀληθοῦς ἀγαθοῦ, προκινδυνεύω τὲ καὶ προμάχομαι· καὶ σὺ δὲ | οὐκ αἰσχυνθήσῃ μᾶλλον ἐντεῦθεν· ἢ προδήλως ὀνήσῃ τῶν f. 67v
ἡμετέρων· καὶ κάλλιστα ἕξεις ἐπὶ σαυτοῦ, εἴ γε μοι πείθῃ, μεταμαθεῖν αὐτὸς τὰ συνοίσοντα». καὶ τόν γε, κομψὸν δὴ τοῦτο καὶ σεσηρὸς, «ἦ χάριέν γε ἦν ἂν,» φάναι, «καὶ σφόδρα ἡδὺ νῦν ἡμᾶς σοῦ μετατίθεσθαι τῶν χρόνων ὀψὲ, τὰς περὶ τῶν θείων δόξας, καὶ συγχωρεῖν τε καὶ πείθεσθαι· πάλαι τὸν πρότερον ἄρα χρόνον ἔοικεν, ἀεὶ δυστυχοῦντας καὶ περὶ τῶν μάλιστ' ἀναγκαίων, ἀμαθῶς οὕτως ἔχοντας». «καὶ μάλα γε χάριεν» ἔφη· «καὶ μάλα γενναῖον τὲ καὶ ἐλεύθερον· φαύλως ἔχοντα, μόλις μὲν, ἀλλ' ὅμως αἰσθέσθαι· καὶ μὴ φείσασθαι μὴ δ' ἀπαξιῶσαι μὴ δ' αἰσχυνθῆναι,

14 ἥντιν' ἐγκέκληκας V[2] e corr. La: ἥντινα κέκληκας V **19** ἤδη V[1] La: εἴδει V **35** οἷς V[2] La: ἧς V **36** ἀληθοῦς V[2] La: ἀληθῶς V | ἀγαθοῦ V: καὶ ἀγαθοῦ La **39** καὶ τὸν γε[2] V[2]: καὶ τό γε V, καίτοι γε La **41** σοῦ V: σοὶ coni. Re; an ὑπὸ ante σοῦ addendum?

τὰς περὶ τοῦ καλοῦ δοκιμασίας». «καὶ τίνες ἄν, εἶεν αὗται ἃς περὶ τοῦ καλοῦ φῂς δοκιμασίας,» ἔφη· «καὶ πόθεν ἡ τῶν ἀθανάτων ἄρα θεῶν ἀρχαιότης· καὶ τὰ πάλαι μὴ κινούμενα μυστήρια, πρὸς βραχεῖαν οὕτω τοῦ καιροῦ χώραν κέκριται· καὶ δεῖ πεπαῦσθαι μετὰ τῶν ὅρων· ἐπειδὴ καὶ διαρκῶς ὡς ἔοικεν, ἐπόμπευσεν εἰς τὸν βίον· καὶ οὔθ᾽ ἡ τῶν χρόνων σεμνότης καὶ ἀξίωσις, οὔθ᾽ ἡ τῆς σοφίας ἀνάγκη, οὔθ᾽ ἡ κρατήσασα πόρρωθεν φύσις, μέγα οὐδὲν οὐδ᾽ ἔχει τι πλέον, οὐδ᾽ ἐξετάζειν βουλομένῳ φανήσεται; ἀλλ᾽ ἄρα τὸ καινὸν δὴ τοῦτο καθ᾽ ὑμᾶς, περὶ Χριστοῦ δόγμα· ὁμοῦ τε ἐξανέστη καὶ εἰσόδου πρὸς τὸν κόσμον ἔτυχε· καὶ πάντ᾽ ἄρδην ἤλεγκται ποτὶ τὸν λίθον φασί· καὶ εἴκειν δὴ τῇ βίᾳ· καὶ κάτω μένειν, ὥσπερ τοῖς τυράννοις οἱ παρελθόντες καὶ παρακμάσαντες· μόνον δ᾽ ἔξεστιν ἰσχύειν ὃ χθὲς οὔπω φασὶ καὶ πρὸ τρίτης ἀνθρώπων ἅπτεται; καὶ ἡγεμόνας μὲν αἱρεῖσθαι, καὶ αὖ ὅπῃ τύχῃ τῶν χρόνων, ἀπολαύσαντας μετατίθεσθαι, οὔτε ῥᾴδιον τοῦτο γε οὐδέπω, οὔτε σεμνὸν οὔ τοι ἔξεστι· τὰ θεῶν δὲ ἀνταλλαξαίμεθα, καὶ νέον πριαίμεθα θεὸν καὶ δεσπότην, καὶ συνεροῦμεν, καὶ συνθήκας, περὶ τῆς τῶν ὄντων αἰτίας ἐπ᾽ ἐξουσίας ὡς ἀμφοτέροις δοκεῖ
f. 68 ποιησόμεθα, καθ᾽ ὧν | μάλα οὐκ ἔστι ῥᾷστα τίθεσθαί τε καὶ μετατίθεσθαι; τίς ταῦτα ἡμῶν ἐπαινέσεται Δημήτριε; τίς ἡμῖν ἐπ᾽ αὐτοῖς συνησθήσεται; τίς ἐρεῖ κατὰ λόγον κινεῖσθαι; τίς μὲν οὖν καὶ συγγνώσεται;.» «τί ταῦτα μᾶλλον» ὁ μάρτυς ἔφησεν «εἰς μέσον φέρειν· καὶ συνεπιτίθεσθαι μετὰ τῶν χρόνων· καὶ ὥσπερ ἄλλό τι, καὶ τοῦτ᾽ ἀξιοῦν εἶναι τῶν προτέρων χρόνων, ἐνεγκεῖν θεῶν φοράν· ἢ καθάπερ ἀμέλει τοσαῦτα κινεῖσθαι δέον, καὶ τοσαῦτα λογίζεσθαι καὶ φρονεῖν, καὶ τοσαῦτα καθάπαξ εἶναι καὶ ζῆν, ὁπόσα κἀκεῖνοι πρότερον ἄνθρωποι· εἰ δὴ καὶ ἔξεστι ταῦτα παίζειν περὶ τοιούτων ὄντος τοῦ λόγου· καὶ πατράσιν οὐκ ἔστιν εἰσαεὶ φειδώ, οὔτε παρὰ τῶν ἔξωθεν νόμων, οὔτε παρ᾽ αὐτῆς δὴ μάλιστα τῆς φύσεως, καὶ τοῖς προλαβοῦσιν ἄνωθεν ὁμοῦ, καθάπαξ

47 καὶ V² La: αὶ V (obl. rubr.) **51** μετὰ τῶν ὅρων V: μετὰ τῶν χρόνων corr. La **55** ὑμᾶς V e corr. **56** πάντ᾽ V: πάντας La **57** δὴ V: an δεῖ? **62** οὔ τοι V² s.l.: οὕτως La **64** ἀμφοτέροις V² e corr. **65** ῥᾷστα V in ras. (manu Nicephori Gregorae?) **65–66** τε καὶ μετατίθεσθαι V s.l. (manu Nicephori Gregorae?) **66** τίς ταῦτα V² La: τί ταῦτα V **66–67** ἡμῖν ἐπ᾽ αὐτοῖς V in marg. (manu Nicephori Gregorae?) **74–75** ἔστιν αεὶ V a. corr.

12,57 Karathanasis 145 **59** cf. e.g. Ex. 4, 10

περὶ τῶν ἄλλων, οὐ πάνυ τοι χρώμεθα συμβούλοις, οὐδὲ πάντα περὶ πάντων πιστεύειν νομίζομεν· ἀλλ᾽ ἔστιν ἃ καὶ ἡμῶν αὐτῶν ποιούμεθα καὶ πλέον ἀξιοῦμεν φρονεῖν, καὶ πάντ᾽ ἄνω καὶ κάτω μεταχωρεῖ διόλου καὶ ῥέει καὶ μετατίθεται, καὶ οὐδὲν ὁμαλὸν ἐν ἀνθρώποις, οὐδ᾽ ἀσφαλὲς, τοὺς δὲ περὶ τῶν ἀεὶ μενόντων λόγους, μόνοις κομιδῇ τοῖς πάλαι θαρρήσομεν, καὶ συγχωρήσομεν ὡς παρὰ κρείττονος φύσεως, ἐπιθειάζειν καὶ χρησμῳδεῖν, καὶ πεισόμεθα ποιηταῖς ἐκείνοις, περὶ τῶν ἀναγκαίων μάλιστα χαριζομένοις, μετὰ τοῦ μέτρου καὶ τοῦ μύθου καὶ τοῦ ῥυθμοῦ, τὰ δ᾽ ἑξῆς τὴν ἀκμὴν ἀτεχνῶς τοῦ κόσμου, πάντ᾽ ἀργεῖν χρῆναι, καὶ ὥσπερ ἀνδριάντες ἑστήξομεν ἄφωνοι, μᾶλλον δὲ ὡς πρὸς ἀνδριάντας ἐκείνους ἱεροὺς, ἀνοίσομεν καὶ θεραπεύσομεν εἴκοντες, καὶ καταγνωσόμεθα τοῦ λοιποῦ χρόνου, μετὰ τῆς παροιμίας, οὐδὲν ἱερὸν οὔθ᾽ ὑγιὲς αὖ φασίν; οὐκ ἄν γε ἡμεῖς ὑγιαίνωμεν· οὐδ᾽ ἂν σωφρονῶμεν ὦ βασιλεῦ· οὐδὲ μετρίως· πολλοῦ γε δεῖ. ἀλλ᾽ ἔμοιγ᾽ οὖν μάλιστα μὲν τόσα καὶ τόσα μήκη χρόνων καὶ πλήθη, πρᾶγμα οὐδὲν· οὐδ᾽ ἀξιῶ τίθεσθαι· ὁ λόγος δὲ πάνθ᾽ αἱρεῖ· καὶ ἡ τῆς ἀληθείας | εὕρεσις, καὶ μετὰ τούτου πείθομαι γίγνεσθαι. ἔπειτα, f. 68v
οὐ πρὸς ἀγνοοῦντα μὲν ἴσως· ὅμως δ᾽ οὖν καὶ αὐτὸς ἐρῶ. εἰ γὰρ δή τῳ σεμνὸν ὁ χρόνος καὶ βούλοιτο πείθεσθαι, καὶ ἡμῖν γε τοῦτο μάλιστα, ἔξεστι τοῖς ἀπὸ Χριστοῦ. οὐ γὰρ δὴ νέον τὸ καθ᾽ ἡμᾶς τοῦθ᾽ ὡς ἄν, ὑμεῖς γε φαίητε· ἀλλὰ καὶ πάντων ὁμοῦ τῶν ἄλλων διαφερόντως πόρρωθεν ἧκον. εἰ γὰρ δή τινα παλαιὰν ἀκούεις Ἑβραίων νομοθεσίαν, πάντ᾽ ἀρίστην· καὶ πολιτείαν ἔνθεον· καὶ παρασκευὴν καὶ βίον, εὐδαίμονα· καὶ Μωυσῆν τινα θεῖον ἐκεῖνον ἄνδρα τοῦ παντὸς ἔθνους τούτου προστάτην ἀπ᾽ ὅρους, εἰς ἅπαντας ἀνθρώπους συγγενόμενον καὶ νομοθετήσαντα· καὶ πλάκας θείων δογμάτων ταμεῖα· καὶ Θεοῦ τύπους καὶ διατάγματα· καὶ θαυμαστῶν πραγμάτων τηνικαῦτα τῶν χρόνων· εἰς τὸν βίον ἐπίδειξιν· καὶ φορὰν (καὶ πάντα οὐδεὶς ἄν, ἐρεῖ σφόδρα σπουδάζων), ταῦτα ἐσμὲν ἡμεῖς ὦ βασιλεῦ· καὶ ταῦτα ἡ τῆς ἀληθείας ἑστία, καὶ πατρὶς καὶ πρώτη πῆξις, κἀκεῖθεν ὥσπερ ἀπὸ πηγῆς εἰς τὸν βίον ἕλκει θάλασσα μεγίστη τὸ Χριστοῦ μυστήριον· καὶ πᾶς ὁ διψῶν,

81 τῶν V[2] e corr. **92** μὲν V[2] in marg. **102** ἀπ᾽ V[2] La: ἐπ᾽ V

79–81 cf. Metoch., Carm. 15, 198–206 (p. 267) **81–82** cf. Ael. Arist., Or. 45 (p. 1, 11–13) **90** CPG II, 581, 21 **104–105** Ex. 31, 18

πορεύεται καὶ πίνει· ὕδατος ζῶντος· ὕδατος ἀλλομένου· καὶ οὐ μὴ διψήσῃ εἰς τὸν αἰῶνα· οὐδ᾽ οὐκ ἄν, ἀπορήσῃ περὶ παντὸς τοῦ βίου καὶ τοῦ χρόνου φιλοσοφεῖν. οὕτως ἡμῖν τά τε ἄλλα περὶ τὸ εὐσεβὲς, καὶ ἀρχαῖον ἐστὶ μάλιστα δίκαιον ὑπολογιζομένοις σύμπαντα καιρὸν ἄνωθεν· καὶ πρῶτος ἀνὴρ ἐκεῖνος Μωυσῆς, ἄνθρωπος ἄρα ἐπὶ γῆς ἀνέστη· καὶ δόγμα κοινὸν ἐξήνεγκεν, εἰς ἅπαντας οἶμαι περὶ Θεοῦ, καὶ τῆς τῶν ὄντων φύσεως καὶ δημιουργίας· καὶ τῶν εἰς ἦθος ἡκόντων, χρωμένους κατορθοῦν· καὶ παγκόσμιον ἡρμόσατο πολιτείαν· καὶ κοινὴν ἀνθρώπων παιδείαν προύθετο καὶ παρασκευήν. τὰ δὲ ὑμέτερα, περὶ ὧν ἐμοὶ δοκεῖν, ὄντως αἰσχύνη μὲν λέγειν, αἰσχύνη δὲ μάλιστα χρῆσθαι, ὅσα μὲν εἰς ποιητὰς ἄνω φέρει, καὶ τοὺς πρώτους ὑμῶν θεολόγους, πάντα
f. 69 μὲν οὖν καὶ αὖθις τῷ χρόνῳ λείπεται. | τίς δ᾽ ἄν, ὅμως ἀνάσχοιτο, τίς ἄν, ὑποσταίη ὕβριν ἐκείνην· καὶ οὐκ οἶδ᾽ ἥντινα φλυαρίαν καὶ γοητείαν, δῆμον θεῶν ἄτακτον καὶ πολυαρχίαν, καὶ θροῦν ἄλογον· καὶ στάσιν θείας οὐσίας· καὶ παθῶν θρίαμβον· καὶ τοιαῦθ᾽ ὁμοῦ τἆλλα πάντα, ἃ κἂν περὶ φαύλων τίς ἀνθρώπων, κἂν περὶ βαρβάρων, οὐκ ἀνάσχοιτο, καὶ λέγειν καὶ γράφειν; διαδεξαμένη δὲ ἡ τῆς φιλοσοφίας ἑξῆς πολυπραγμοσύνη τὰ σπέρματα, τὰ μὲν, οὐκ εἶχεν ὅπως χρῷτο καὶ πείθοιτο· τὰ δὲ, ἠνάγκαστο· κἀντεῦθεν ἤδη πενομένη χειραγωγίας, καὶ πλανωμένη περὶ τὴν τῶν ὄντων ζήτησιν, ἐσχίσθη· καὶ πρὸς ἑαυτὴν ἐστασίασε· καὶ οὕτω μᾶλλον ἄνθρωπος ἤλεγκται τῆς θείας ἄνευ ἡγεμονίας καὶ συνεργίας οὐδὲν ἱκανὸς, πάντα πάντων τιθεμένων, καὶ ὥσπερ ἐν νυκτομαχίᾳ, βαλλόντων αὖθις καὶ ἀλλήλους κλονούντων, καὶ περιτρεπόντων τὰ δόγματα. ταύτῃ μὲν οὖν ἔχει τὰ σὰ· ταύτῃ δὲ τὰ ἡμέτερα καθόλου διελέσθαι· πρὸς ταῦτα ἑλοῦ τὰ κρείττονα».

13. Ἐπὶ τούτοις ἀπειπεῖν μὲν ἐκεῖνον· ἀλλ᾽ ὅμως καὶ αὖθις, πειρᾶσθαι· καὶ «σὺ δὲ εἴ μοι πείθῃ» φάναι «Δημήτριε σωφρονεῖν, τὴν μὲν τερατείαν ταύτην ἐάσεις· μεθ᾽ ἡμῶν δὲ γενήσῃ καὶ θύσεις,

110 ἀλλομένου V^2La: ἁλομένου V **130** περὶ V^2 in ras. **134** κλονούντων ἀλλήλους primum scripsit, deinde litteris βα suprascriptis ordinem invertit V
13,1 ἐπὶ V^2 La: πι V (obl. rubr.) **2** πείθει V a. corr. **3** ἐάσεις V e corr.

110–111 Io. 4, 14 **124–125** cf. Plat., Resp. 378bc et Phil. Iud., De spec. leg. 1, 331 (p. 68, 27–31) **128** cf. Synes. Cyren., Dio 4, 3 (p. 152)

τοῖς ἀθανάτοις θεοῖς· καὶ τὰ ἑξῆς τόσα καὶ τόσα προσέσται· τιμαί σοι· καὶ βασιλικῶν δωρημάτων ὑπερβολαὶ· καὶ τὰ προλαβόντα λόγος παραβάλλειν οὐκ ἔσται, κἂν μέν γε πείσῃ· κἂν μεταγνώσῃ τὰ κρείττω, εἰ δὲ μὴ, σύνες ὃ λέγω φασὶ. πάντως οὐ σύ γε μοι καὶ τὰ φίλτατα, ἀλλ᾽ εἰς τοὺς νόμους ἀνάγκη βλέπειν· καὶ τουλοιποῦ καὶ δεθήσῃ· καὶ στρεβλώσῃ· καὶ μετέωρος αἰκίσῃ· καὶ παντοίαν οἴσεις δυσκολίαν· καὶ τελευτῶν γνώσῃ πάντως, κάκιστα ἐλέγξας σαυτὸν, ὑφ᾽ ἡλίῳ μάρτυρι καὶ ἡμῖν γε τοσούτοις. ἀλλὰ πείθου καὶ χάρισαι σαυτῷ καὶ τῷ λόγῳ· εἰ βούλει δὲ καὶ ἡμῖν, ἃ μετολίγον, ταῖς βασάνοις αὐταῖς». «εἴρηταί» φησι «βασιλεῦ τὴν ἀρχὴν εἴρηται, ὡς οὐκ ἔστι γε μεταχωρεῖν τε καὶ μετατίθεσθαι· καὶ ταυτὸ τοῦτο γ᾽ ἐπ᾽ ἀμφότερα, κομιδῇ | f. 69v πάντων αἴσχιστον καὶ ἀγεννὲς· καὶ λογισμὸν ἀνδρὸς οὐκ ἔχοντος· τό τε μηδὲν περὶ μηδενὸς ἐπέχειν ἑαυτὸν, καὶ τρέπειν, ἀλλ᾽ ἀλογίστως ταχύτατα σφόδρα νοῦ, καὶ προβάλλειν εἰς μέσους ἀξιοῦν, καὶ περὶ παντὸς ἐγχειρεῖν· καὶ μὴν πρός γ᾽ ἔτι μηδενὶ σὺν λόγῳ καὶ κόσμῳ φείδεσθαι· μήθ᾽ ἑαυτοῦ μάλιστα πρὸς τὸν βίον, μήτε τῶν ἄλλων καθάπαξ οἳ ὁρῶσιν ἄνθρωποι (ἅ τις ἂν ἕλοιτο;), ἀλλ᾽ ἐπίδηλον τοὔμπαλιν ἀθρόον, εἰς μέσους ἀναχωρεῖν· καὶ προΐεσθαι τὰ δόξαντα· καὶ ἅμα τὰς ἐναντίας φέρειν ψήφους· καὶ περὶ τῶν αὐτῶν πρὸς ἑαυτὸν στασιάζειν καὶ ἀντιπράττειν, καὶ μετατάττεσθαι. καὶ εἰ μὲν ἔγωγέ τις παραπλὴξ ἄνθρωπος· περὶ παντὸς ἔργου καὶ λόγου· καὶ δρᾶν, καὶ φρονεῖν· καί σύ γε οὕτως οἴει, τίς ὁ λόγος· ἢ τί φημι χρῆναι καὶ πειρᾶσθαι ὕδωρ ἐν χερσὶν ἔχειν· καὶ συνδεῖν ἃ μὴ συνδεῖται· καὶ ἱστᾶν ἃ μὴ πέφυκεν; εἰ δ᾽ εἰς ἅπαντα, λογισμός τις ἐστὶ· καὶ ἡ κρίσις καθίσταται· καὶ νικᾷ πρῶτον· καὶ δεῖ μένειν ἐνταῦθα κατὰ χώραν· καὶ ἵστασθαι τὴν λαχοῦσαν· καὶ ὡς ἔοικε σὺν Θεῷ λέγειν, οὐ πάντα φαῦλοι περὶ ὁτουοῦν ἡμεῖς τὸ βέλτιστον, ἔδειξεν ἡ προλαβοῦσα πεῖρα, ἣν οὐκ ἔγωγε μάλιστα, οὐκ ἐνεσχέθην· οὐδ᾽ ἥττημαι· οὐδ᾽ ἔδωκα τινὶ τῶν ἁπάντων, πρὸ τῆς τοῦ καλοῦ δοκιμασίας· ἃ δεξιῶς ἀπήντησεν αὐτόματα παρὰ σοῦ,

4 προσέσται V^2 e corr. **7** καὶ V^1 s.l. **9** στρεβλώσῃ V^1 La: στρεβλώσει V **11** πείθου καὶ V^2 in marg. **17** τρέπειν V^2 e corr. **18** νοῦ VLa: corruptum videtur; an σφόδρ᾽ἄνου? | μέσους V: μέσον La **19** μὴν V^2 s.l. **21** οἳ V: οἷα La **22** τοὔμπαλιν V^2 e corr. **31** ὁτουοῦν V^1: ὁτοοῦν V a. corr., ὁτιοῦν La

13,7 cf. Pind., Fragm. 105a (p. 318) **23–24** cf. Or. 10, 79, 10–19 et 41–45

τύχης ἔργα βουλομένῳ πρὸς χάριν χρῆσθαι. ἀλλὰ μὴν ἐκ τῶν αὐτῶν αὖθις ἐπιχειρεῖν, ἀγεννές τε καὶ ἀνελεύθερον· καὶ παῦσαι γε περὶ τούτων μικρολογούμενος. περὶ δὲ τῶν βασάνων ἐνταῦθα πειρᾶσθαι, τί χρὴ καὶ λέγειν· ἢ τί καὶ αὖθις, ὃ πολλάκις, ὡς πάντων ὁ λόγος ἐπίπροσθεν· καὶ πάντα ἥττηται, καὶ δουλεύει; ἀλλ᾽ ἐγγὺς ἡ δεῖξις· χρῷ σαφῶς· λάμβανε πεῖραν. ἰδού σοι τουτὶ σῶμα· ἔρριπται· δέδοται· εἰς μέσον ἀκίνητον ἑστήξει πάντοθεν προσβάλλειν· ὁ νοῦς δὲ ἄληπτος ἄνω φέρει· καὶ ὁ λόγος φασὶν οὐ δέδεται· οὐδ᾽ ἔχει τι κοινὸν ἐνταῦθα· οὔκουν γε ὅτι μὴ ὅσα πρὸς
f. 70 δούλους δεσπόται. καὶ οὐ δέος ἔπειτα | τουτί, μήπως ἐλέγξωμεν ἑαυτούς, ὑφ᾽ ἡλίῳ μάρτυρι· καὶ ὑμῖν γε τοσούτοις· ἀλλὰ τοῦτο μάλιστα, ὑμᾶς αὐτοὺς τρέπειν ἀλόγως τὴν μάχην· καὶ οὐκ εἰδέναι περὶ ὧν ἐστι φιλονεικεῖν· καὶ τὸν μὴ παρόντα ποθεῖν. κἀνταῦθα σύνες· κἀγώ σοι λέγω· καὶ σκόπησον πρὸ τῆς χρείας εἰς τοὖργον· κἂν μὲν ἐγχωρῇ, πρᾶξον ἑαυτῷ καὶ τῷ λόγῳ δοῦναι, καὶ ἡμῖν γε κάλλιστα πάντως ὅπῃ σοι δοκεῖ· εἰ δ᾽ οὖν, ἔπειτ᾽ ἐπιχειρεῖν ὅθεν ἂν ᾖ βουλομένῳ σοι».

14. Ὡς δὲ καὶ αὖθις εἶπε· καὶ αὖθις ἤκουσεν ὅμοια, καὶ τελευτῶν ἀπέγνω τῶν λόγων ὁ τύραννος, ὁ θυμὸς μὲν αὐτίκα πρὸς τὰς βασάνους ὥπλιζε καὶ σαφῶς ἐκλόνει· νικᾷ δ᾽ ὅμως κἀνταῦθα τὰ κρείττω· καὶ τῷ λόγῳ τίθεται κατέχειν ἔτι· καὶ μὴ προΐεσθαι· μὴ δὲ προσάγειν ἀξιοῦν, ἡντινοῦν ἐπήρειαν· καὶ τοῦ κολάζειν ἀνάγκην. ἀνίησι μέντοι τοὐντεῦθεν, οὐκέτι φέρειν ὡς βούλοιτο, καὶ μετ᾽ ἐξουσίας ἑαυτῷ χρῆσθαι· ὁ δέ, ἄρα φρουρᾷ δίδωσι· χώραν ἐμοὶ δοκεῖν ἑαυτῷ τε κἀκείνῳ σκέψεως. τάχα μὲν οὖν καὶ ὁ πόθος εἷλκεν οἶμαι· καὶ ἀπέσπα· καὶ οὐδέπω προυδίδου τὰς ἐλπίδας· καὶ μάλιστ᾽ εἶχεν αἰδώς· τάχα δὲ καὶ τοῦτο μόνον, ὡς ἔοικε τηνικαῦτα καλῶς ἐκεῖνος εἶδε· καὶ εἶχεν ἄκων, ὡς τὸ μὲν λόγῳ πείθειν καὶ μετακλίνειν πειρᾶσθαι, καιρὸν ἴσως ἔχον ἀνύειν ἔστιν οὗ· καὶ οὐχ οὕτως οὐδὲν ὡς ἡ τῶν λόγων διαφερόντως, ἀναγκάζει λειότης· καὶ

36 παύσαι V a. corr. **38** πειρᾶσθαι V¹ in marg.: χρῆσθαι VLa | ἢ τί καὶ αὖθις V: ἢ τί καὶ αὖθις πειρᾶσθαι La **40** post χρῷ ras. duarum litterarum in V **41** δέδοται VLa: an δέδεται (cf. infra, 13, 42–43)? **44** οὐ δέος ἔπειτα V: οὐδὲ τὰ La **48** πρὸς V a. corr. **14,1** ἤκουσεν V²La: χουσεν V (obl. rubr.) **12** μετακλίνειν scripsimus: μεταταπκλίνειν V², κατακλίνειν VLa

39–40 cf. Arist., Top. 105a8 **42–43** II Tim. 2, 9 **48** cf. supra, 13, 7

νικᾷ χειροῦσθαι· τὴν δὲ τῶν ἔργων χαλεπότητα καὶ χρείαν, ἄτοπον οὖσαν κομιδῇ πρὸς ἄνδρα τοσοῦτον ἐπιχειρεῖν, ᾧ διὰ πάντων μὲν ὁ λόγος ἡγεῖται δρᾶν· καὶ ἡ τῆς ἀληθείας οὐσία προΐσταται· κοινὸν δὲ οὐδὲν πρὸς τὸ σῶμα μεμνῆσθαι καὶ λόγον ἔχειν καὶ στρέφεσθαι· ἀλλ' ἔρριπται πρὸ τῆς κρίσεως δουλεύειν τὰ κοινὰ τῆς φύσεως· καὶ μὴ ταράττειν· μὴ δ' ἀνασοβεῖν τὸν δεσμὸν τἀληθῆ δόγματα.

15. Ἀλλ' εἶχε μὲν ὡς ἔφην οὕτω τὸν μέγαν τὸ δεσμωτήριον· καὶ εἶχε μάλα ἡδόμενον | καὶ ὥσπερ ἐντρυφῶντα· καὶ κατ' εὐχὴν f.70v πράττοντα. τοῦτο μέν γε παραχρῆμα καὶ ἦν, ἀνθομολόγησις καὶ παρρησία· πρὸς αὐτὸν τὸν μόνον δεσπότην· ὑπὲρ οὗ καὶ ἡ τοῦ βίου καινοτομία· καὶ δέησις περὶ τῶν ἑξῆς, τὴν σύμπασαν ἀγωνίαν, εὖ διαθέσθαι καὶ συμμαχῆσαι· καὶ ἅμα ἐπιρρῶσαι πρὸς τὸν προκείμενον ἔτι τῆς ἀθλήσεως δρόμον· τῶν ἤδη φθασάντων ἀξίως ἀπαντᾶν τε καὶ τελευτῆσαι. «σὺ δὲ τί καὶ αὖθις» φησὶν «ἐπείγῃ Σατάν; τί καὶ αὖθις ἐνεδρεύεις; τί συσκευάζεις; τί τὴν καλὴν ἀσχολίαν ἐκτρέπεις; τί πράττειν ἀναγκάζεις, κατὰ σαυτοῦ· καὶ ἅμα μὲν ἄγρυπνος ἀεὶ πολεμεῖς· ἅμα δὲ τὸν κόσμον ἀνάπτεις· καὶ δολίως ἡμῖν ἐπανιστᾷς· καὶ φέρεις ὕλην κατὰ σαυτοῦ πολυτελῆ, τοῖς μεγαλοψύχοις ἀνδραγαθίζεσθαι· καὶ οὐδὲ νῦν ἔτι φείδῃ μικρολογεῖσθαι τὴν μάχην· καὶ σκορπίον ἐπανασείεις ἤδη· καὶ τοῦτον τείνεις ἰθὺ τῶν ποδῶν, οἳ κράτος ἔσχον παρὰ τοῦ πάντων δεσπότου, καὶ ὄφεων καὶ σκορπίων, ἐπάνω πατεῖν καὶ θλᾶν· καὶ συντρίβειν καὶ περιγίνεσθαι· ὡς δὴ καὶ νῦν ὄψει κάκιστε;». εἶπε ταῦτα. καὶ γὰρ ἦν οὕτω· καὶ σκορπίος ἦν ἡ πρώτη, παρὰ τὴν εἱρκτὴν τοῦ ἐχθροῦ προσβολή· καὶ παραχρῆμα τὸν σταυρὸν χαράττει· καὶ πλήττει καὶ ῥήγνυσι· καὶ πρὸ τούτου μάλιστα σαφῶς, αὐτὸν ἐκεῖνον τὸν κακομήχανον.

16. Ἀλλ' ἄρ' ὁ μὲν μάρτυς, οὕτω καὶ ἔγνω καὶ παρατέτακται· καὶ δείγματα ἤνεγκε καὶ ἠγώνισται· ταυτὸν δὲ ἄρα εἰπεῖν, καὶ μετὰ τῆς γνώμης ἤνυσε· καὶ σφόδρα εἶχεν ἐν ἀσφαλείᾳ καὶ φρουρᾷ

15,4 ἡ V² s.l. **8** σὺ δὲ V: οὐδὲ La **12** φέρεις V²La: φέρειν V
16,1 παρατέτακται V² La: αρατέτακται V (obl. rubr.) **2** ἤνεγκε V²La: ἤνεκε V

15,15–16 Luc. 10, 19 **15–21** cf. Sym. Met., Pass. Dem., PG 116, 1192B

τῆς ἀθλήσεως. τί δὲ ὁ πάντα καλῶς ἄνωθεν ἐπιβλέπων καὶ δοκιμάζων, Θεός; τί δὲ ὁ ποιῶν κρίμα καὶ δικαιοσύνην ἀδόκητον; τί δὲ ὁ μὴ μόνον ἐν ἀσθενείᾳ τελειουμένην ἔχων τὴν δύναμιν· καὶ τοὺς ταπεινοὺς τῇ καρδίᾳ παρακαλῶν, ἀλλὰ καὶ μόνος παρακαλῶν ἐν ἰσχύι· καὶ πνεύματι προστιθεὶς πνεῦμα· καὶ τὴν ῥώμην
f. 71 αὐτὴν ἐπαύξων τοῦ κραταιοῦ; πῶς ἐπινεύει; πῶς δοκιμάζει; | πῶς ἀναρρωννύει; πῶς ἀναγορεύει τὸν ἀθλητήν; τίνες οἱ λόγοι; τίνες αἱ πίστεις; τίνα τὰ ἔπαθλα; ἄγγελος οὐρανόθεν ἥκει τῷ μάρτυρι· καὶ τοὺς μὲν λόγους εἰ δή τις καὶ πέφυκε λόγος ἀγγέλων, οὓς ἄυλος ὢν συνεγένετο πρὸς ἄυλον, καὶ αὐτὸν σχεδὸν καὶ ἀσώματον, τί τίς ἂν, ἔχοι λέγειν· ὡς ἅμα μὲν ἀπέδωκε τὰς ὀφειλομένας τῆς ἀνδραγαθίας εὐφημίας· ἅμα δὲ καὶ ἐπέρρωσε· καὶ διαφερόντως ἤλειψε, πρὸς τὴν μέλλουσαν ἑξῆς ἵστασθαι σπουδήν; τόδε γε μὴν οἶμαι τηνικαῦτα κάλλιστον ἐστὶ καὶ κατιδεῖν καὶ θαυμάσαι, ὡς ἄνωθεν τῷ γενναίῳ τὰς τοῦ δικαστοῦ διαπρεσβεύεται ψήφους, ἃς πρὸ τῶν ἔργων τοῦ τέλους ἐκφέρει· καὶ προεξανίσταται τῶν χρόνων καὶ οὐ φείδεται· καὶ μάλα γε, ὅστις βούλεται συνορᾶν παράκλησιν ἀρετῆς μεγίστην· καὶ περιδεῖται στεφάνῳ· καὶ τοῖς συμβόλοις τῆς νίκης, ἐν αὐτοῖς ἔτι τοῖς ἀγῶσιν ἀνακηρύττει τὸν ἀθλητήν. καὶ τὸ παράδοξον, οὐκ ἐν Ὀλυμπίᾳ μέσῃ· οὐδ' εἰς αὐτὸ τὸ θέατρον· ἀλλ' ὢ τοῦ θαύματος, ὁ δεσμώτης ἦν στεφανίτης, καὶ ὁ ἐν εἱρκτῇ κηρυττόμενος. ἀνηγορεύθη μὲν καὶ δεσμώτης καὶ ξένος καὶ δοῦλος, ὁ παλαιὸς Ἰωσὴφ· καὶ λαμπρὸς λαμπρῶς ἐθριάμβευσεν· ἀλλὰ μετ' αὐτὴν τὴν εἱρκτὴν, ἀλλὰ μετ' αὐτὴν τὴν τῆς σοφίας ἐπίδειξιν, ἀλλ' ὑπὸ Φαραὼ, μικροῦ προστάτου τῆς γῆς. τὸ δὲ δὴ νῦν τοῦτο, δεῦτε καὶ ἀκούσατε θαυμαστὰ πράγματα Θεοῦ παντοκράτορος· ὃς καθαιρεῖ δυνάστας ἀπὸ θρόνων, καὶ ἀνυπονόητον κοσμεῖ διαδήματι.

17. Ἀλλ' εἶχε μὲν οὕτω ταῦτα· καί τις ἦν ἐκεχειρία μεταξὺ τῶν ἀγώνων, τῷ μάρτυρι πρὸς τὸν τύραννον. οἷον δὲ δὴ τόδε τοὐνμέσῳ

14 ἀπέδωκε tacite corr. La: ἀπέδοκε V[2] e corr. **16** τόδε V[2]La: τό V **28** δὴ V[1] s.l. **17,1** μὲν V[2] in ras.

16,5 cf. e.g. I Reg. 2, 10; Amos 5, 7; Ier. 9, 23 **6** II Cor. 12, 9 **7** Ps. 33, 19; Dan. 3, 87 **7–8** Ex. 15, 13 **25–28** Gen. 30, 24ff. **28–29** Ps. 65, 16 **29** Apoc. Io. 15, 3 **30–31** Sirac. 11, 5

συνέβαινεν ἑξῆς· θαῦμα καὶ ἅμιλλά τις, ἣν πρὸς ἀλλήλους ἔπραττον, ἄνδρες ὁπλῖται μόνοι τὴν μάχην· καί τι Μαξιμιανὸς ἐνταῦθα πλέον ἔχειν φρονήσας, οὐκ ἄρ᾽ ἔμελλε χαιρήσειν· ἀλλ᾽ ἀντεξῆγεν αὖθις ὁ μάρτυς· καὶ οἷς μᾶλλον ἐκεῖνος ἐθάρρει, κἀν τούτοις ἤλεγχε· δηλώσει δ᾽ | ὁ λόγος. θέατρον ἐτελεῖτο Μαξιμιανὸς ἐπὶ Σαυρομάτας, τρυφᾶν τῇ νίκῃ· καὶ παρεῖναι πάντας ὁμοῦ τὴν πόλιν ἔδει· καὶ παρῆν· καὶ ἦν ἡ τρυφὴ μάλα κατ᾽ αὐτὸν οἰκεία· ἣν ἄνδρες αἱμάτων, εἰς μέσους ἵσταντο· καὶ συνεπλέκοντο μόνος τις ἕκαστος μόνῳ· καὶ συνερρήγνυντο· καὶ τελευτῶντες ἔδρων ἀλλήλους πάντα, ὁμοῦ δεινὰ· πληγὴν μυρίαν· καὶ θάνατον ἔσχατον· καὶ ἃ κολάζειν ἔδει, ταῦτα εἶχε τηνικαῦτα κατορθοῦντας ἐπαινεῖν· καὶ προύκειντο ἔπαθλα· καὶ προύκειντο γέρα μιαιφονεῖν. ἀλλ᾽ ἐνταῦθα τὸ κράτος ἐνίκα τῶν ἄλλων, Λυαῖος ἀνὴρ, ὄνομα· βάρβαρος· ἀκαταγώνιστος· βριθύς τε μέγας τε· πελώριος οἷος· εἶδος ἀγητὸς· σφόδρα ἔχων καὶ μήκους καὶ ῥώμης σώματος· καὶ ὡς εἰπεῖν ἐπίδειξις ἀξιόχρεως· μᾶλλον δὲ τέρας φύσεως· ἅμα μὲν ἰδεῖν· ἅμα δὲ χρήσασθαι. βῆ δ᾽ ἄρ᾽ ὅ γε διὰ προμάχων· πάντα δὲ προκαλίζετο, πάντα δ᾽ ἐνίκα· καὶ οὐδεὶς ἦν οὕτως εὐτυχὴς ὃς ἐγγὺς στὰς, ἔπειτα ἐξελθεῖν τοῦ θράσους ἀνόνητος· μὴ δ᾽ αἰσθέσθαι πῦρ χειρὶ σκάλλων, καὶ ὑπονύττων τὸν λέοντα. καθῆστο δ᾽ ἄρ᾽ ὁ τύραννος μετέωρος ἐπὶ βήματος ἐντρυφῶν, ὡς πάντ᾽ εἶχεν ἀπορία καὶ πάντα θάμβος· καὶ οὐκ ἂν, ἀπέδοτο δῆλος ἦν πολλοῦ μάλιστα τὸ φρόνημα. f. 71v

18. Ἀλλ᾽ ἐν τῷ ὑπερηφανεύεσθαι τὸν ἀσεβῆ φησὶν ἡ γραφὴ, ἐμπυρίζεται ὁ πτωχὸς· καὶ ὁ ταπεινὸς τῇ καρδίᾳ τέως καὶ πρᾷος· καὶ πτωχὸς ὄντως τῷ πνεύματι, τηνικαῦτα θερμὸς μαχητὴς· καὶ τὸ πνεῦμα ζέει· καὶ ζηλοτυπεῖ τὸ καθαρὸν τοῦ γενναίου· καὶ ὑπὲρ τοῦ καλοῦ τῆς ἀρετῆς, πρὸς τὴν πλάνην αὐτὴν ἀντανίσταται· οἷον δὴ καὶ τότε εἵπετο. νεανίας τις Νέστωρ ὄνομα· Θετταλὸς αὐτόθεν·

7 Μαξιμιανὸς VLa: an Μαξιμιανῷ? **8** τρυφᾶν V²La: ρυφᾶν V (obl. rubr.) **10** τις V² s.l.: om. La **20** ὃς V¹ La: ὡς V **18,6** Νέστωρ V²La: έστωρ V (obl. rubr.)

17,10 Ps. 54, 24; 138, 19; Prov. 29, 10 **15** cf. Sym. Met., Pass. Dem., PG 16, 1192D **16** cf. Hom. Il. 17, 360 **17** cf. Ibid. 5, 787; 8, 228; Od. 14, 177 **19** cf. Ibid. 4, 495; 5, 562 **19–20** cf. Ibid. 5, 807 **22** CPG II, 27, 15 | CPG II, 483, 10 **18,1–2** cf. Ps. 9, 23 **2** cf. supra, 16,7 **3** cf. Mt. 5, 3 **4** Act. 18, 25

καλὸς ἰδεῖν· εὐμήκης, εὐφυής· τὴν χεῖρα γενναῖος· πάντ᾽ ἄριστος ὁπλίτης Χριστοῦ· ὑπ᾽ αὐτῷ στρατηγῷ μάλιστα Δημητρίῳ, τηνικαῦτα παρὼν καὶ βλέπων ἐπιδήλως ἀσυνετοῦντας, οὐ φέρει f. 72 τὴν ὕβριν· |πλήττεται τὴν καρδίαν· ἐκκαίεται τὴν ψυχήν· περὶ τῆς φύσεως· περὶ τῆς ἀρετῆς αὐτῆς· καὶ σχολὴν οὐ δυνάμενος ἄγειν τῶν λογισμῶν, οὐδ᾽ ἔχων κατασχεῖν, οὐδ᾽ ὅ,τι χρήσεται, ἔπειτα αἴρει λῆμμα γενναῖον εἰς αὐτὸν ἐκεῖνον, τὸν ὑψηλὸν καὶ μετέωρον· καὶ ταχὺς ἐπὶ τῆς εἱρκτῆς τῷ μάρτυρι γενόμενος, «ὢ τί» φησιν «ὁ ἀλάστωρ οὗτος καὶ ὑβριστὴς ἐφρυάξατο; ἀκάθαρτός ἐστιν ὑψηλοκάρδιος· θρασὺς· αὐθάδης· καὶ λοιμὸς καλεῖται φησὶ Σολομῶν. ἔρριψε τὴν φύσιν· ἐξέστη τῶν ὅρων· ἐσκίρτησεν· ἔμπληκτος ἅλλεται· εἰς οὐρανὸν ἀράττει τὴν κεφαλήν· εἶπεν ἐν τῇ καρδίᾳ αὐτοῦ, «τίς με κατάξει ἐπὶ τὴν γῆν· τίς ἂν, ἐνέγκοι· τίς ἂν, ἀνάσχοιτο;», ἀλλ᾽ εἰ δοκεῖ, πειρώμεθα. κύβος ἐρρίφθω· καὶ πρὸς αὐτὸν ἀντισταίην, μετὰ Θεοῦ παντοκράτορος». καὶ ὃς, «μάλα σοι τοῦτο κάλλιστον Νέστορ, καὶ τῷ καθ᾽ ἡμᾶς τοῦ Χριστοῦ κηρύγματι· καὶ ἄπιθι» φησὶν «ἀνύσας ἄπιθι· ἔλεγξον κἀνταῦθα τὸν τύραννον· πρόστηθι τοῦ καλοῦ· δεῖξον τὴν φύσιν· χρῆσαι σαυτῷ· ἀγαθυνάτω σε ἡ καρδία σου, ἐν ἡμέραις νεότητός σου· καὶ περιπάτει ἐν ὁδοῖς καρδίας σου. ἀγαθὴ ἡ πρόθεσις· ἀγαθὸν τὸ λῆμμα. ἀπόλαυσον τῆς ὁρμῆς· ἀπόλαυσον ἔτι τῆς ἀκμῆς τοῦ χρόνου. ἃ πολλῶν ἂν ἐπρίω, πάρεστι. τίς οἶδεν εἰ καὶ αὖθις ἔσται καλῶν ἀφορμή· καὶ βίου θέατρον· καὶ καιρὸς ἐπιδείξεως;». ταῦτά τε, καὶ ἄλλ᾽ ὅμοια παρακαλέσας τὸν νέον· καὶ καθοπλίσας τῷ σταυροῦ τύπῳ, «ἄπιθι» καὶ αὖθις φησίν· «ἐγώ σοι τῆς νίκης ἐγγυητὴς ἀξιόχρεως· καὶ τὰ τῆς νίκης ἔπαθλα κρείττω· γέρας ἀθλήσεως καὶ τέλει μαρτυρικῷ, τὸν βίον ἐπισφραγίσασθαι».

19. Ἀλλ᾽ ἐπὶ τούτοις ἄπεισιν ἐκεῖνος· καὶ φθάσας μέσος τὸ θέατρον, «ἐγώ σοι» φησὶν «ἥκω μαχητής, αὐτοκράτορ, ἐκείνου τἀνδρὸς· νέος μὲν· ἀλλ᾽ αὐθόρμητος· ἀνάσκητος· ἀλλὰ μάλιστα

13 λῆμμα V[2] La: λῆμα V **17** ἐξέστη τῶν ὅρων V[2] in marg. **19** ἐνέγκοι V[1] La: ἐνέγκη V **21** μάλα V[2]La: άλα V (obl. rubr.) **26** ἡ om. La **27** λῆμμα V[2]La: λῆμα V **19,1** ἐκεῖνος V[2] La: κεῖνος V (obl. rubr.) | μέσος V[2]La: μέσον V **2** σοι V[1] s.l.

16 Prov. 21, 24 **19** Abd. 3, 3 **20** cf. Plut., Pomp. 60, 2 (p. 319, 12) **25** Eccl. 11, 9

ἐμπαράσκευος· ἄοπλος, ἀλλ᾽ ἀσφαλέστατα, πεφραγμένος· καὶ συμπλακήσομαι σοῦ βουλομένου· καὶ πεῖραν ἐμαυτοῦ· καὶ δώσω καὶ λήψομαι.» τὸν δὲ, | μάλιστα μὲν ἀθρόον ἐκπλαγῆναι· καὶ ὥσπερ θαυματοποιόν τινα λογίσασθαι ταύτην τὴν πόλιν, ἄνδρας οὕτω δὴ τούτους προβαλλομένην παντόλμους· καὶ περὶ παντὸς ἀήθεις ἐγχειρεῖν. ἔπειτα «τί τοῦτ᾽ ἂν, εἴη χρῆμα» φάναι «νεανίσκε· τί τὸ θράσος· τίς ὁ σκοπός· τίς ἡ πρόθεσις; μεμηνέναι μὲν οὐκ οἶδα· μεμηνέναι δ᾽ ὅμως δοκεῖν, καὶ ᾄττειν ἄμετρα· οὐκ ἐπ᾽ ἀσφαλεῖ μάλισθ᾽ ἑαυτοῦ· οὐδ᾽ ἔστιν εἰκάσαι. καὶ εἰ μὲν ἔρως χρημάτων ἐμοὶ δοκεῖν ἐκίνησε, δυσκόλου πειρώμενον ἴσως τύχης δρᾶν ἐφ᾽ ἑαυτοῦ καταχώραν· καὶ μάλιστ᾽ ἀνδραγαθίας παρώρμηται ζῆλος λαβόμενον τοῦ καιροῦ ὡς νῦν γε ὂν, εἰς τὸν βίον κάλλιστον θέατρον εἰς ἡμᾶς αὐτοὺς παρρησίᾳ δείκνυσθαι, οὐκ ἀνεμέσητος μὲν καὶ αὖθις, ἀλόγιστος αὕτη πέφυκεν ὁρμή· ἀλλ᾽ ἡμῖν ὅμως μελήσει· καὶ ἰάσασθαι καὶ δοῦναι τῇ φύσει· καὶ μάλιστα ἐν δέοντι χρήσασθαι. σὺ δὲ δὴ μή τοι τόνδ᾽ ἐρεθιζέμεν ἄνδρα, δαίμων νύ τις ἐστὶ κοτήεις. αὐτόθεν μὲν οὖν κατάβαλε· ἔχε τὰ σαυτοῦ μετὰ τῆς ὁρμῆς· καὶ ἀποχρῆναι φημί. εἰ γὰρ δὴ καὶ συστήσῃ, τουλοιποῦ σε πάντως οὐ δεήσει τρυφᾶν· οὐδὲ ζητεῖν ἐπίδειξιν ἀνθρώποις ἑαυτῷ χρῆσθαι· οὐδ᾽ ἀναχωρεῖν ἀσφαλῶς· ἀλλ᾽ ἃ πάντων δεινῶν ἔσχατα πείσῃ καὶ μεταγνώσῃ τῶν χρόνων ἀνόνητος». f. 72v

20. Ἀλλ᾽ ἄρ᾽ ἐπὶ τούτοις ἐκεῖνος, οὐκ ἐσχέθη· οὐδ᾽ ἥττητο· οὐδ᾽ ἐθαύμασεν, οὔτε πρὸς τὰς ἐλπίδας, οὔθ᾽ ὁτιοῦν ἐξετάζων· ὅ δ᾽ ἄτρεστος εἶχε καὶ ἄτρεπτος τῆς γνώμης, ἐπὶ τῶν ἔργων, ἅπτεσθαι· καὶ οὐκ ἐπείθετο ἐπ᾽ ἄροτρον βαλὼν τὴν χεῖρα, ἔπειτα στρέφειν ὄπισθεν· οὔτε νῶτα δοῦναι· οὔτε λιπεῖν τὴν τάξιν, ἣν αὐτὸς ἑαυτὸν ἐπὶ καλλίστου καθάπαξ ἔστησεν ἀγῶνος· ἀλλ᾽ ἀκλόνητος· ἑδραῖος· πάντοθεν ἀκίνητος, τῶν λογισμῶν νικᾷ τὸν τύραννον ἐκκαλούμενος· καὶ πείθει μεταθέσθαι γνώμην καὶ καθ᾽ ἑαυτοῦ τρέπει· καὶ δίδωσιν ἐκεῖνος πρὸς τὴν ὁρμὴν | τοῦ νέου· f. 73

5 καὶ² V² e corr. **6** μάλιστα V e corr. **9** ἀήθεις V² e corr. **11** ᾄττειν V: ἄττα La **20** ἔχε τὰ lectio incerta (V² e corr.): ἔχεις αὐτοῦ V, ἔχεις σαυτοῦ La **23** ἃ πάντων V: ἁπάντων La **20,1** Ἀλλ᾽ ἄρ᾽ V: ἀλλὰ μὴν La | post ἐκεῖνος ras. septem litterarum in V

19,9–24 cf. Sym. Met., Pass. Dem. PG 116, 1193D–1196A **19–20** cf. Hom., Il. 5, 191 **20,4–5** Luc. 9, 62

μᾶλλον δὲ πρὸς ὀργὴν ἑαυτῷ, παραχωρήσας εἰς προῦπτον, ὥσπερ οἶμαι δυσαπαλλάκτῳ θηρίῳ, βρώματος ἅρπαγμα. τὰ δ' ἑξῆς, σὸν ἔργον πάντως καὶ τῆς σῆς δεξιᾶς, ὁ παντοκράτωρ Θεός· ὁ κραταιὸς ἐν πολέμοις Κύριος· ὁ τοῖς ὑπερηφάνοις ἀντιτασσόμενος· ταπεινοῖς δὲ χάριν διδούς· καὶ γόνασιν ἀδυνατοῦσι θάρσος περιτιθείς· ὁ δεσπότης Κύριος Σαβαὼθ· ὁ συνταράσσων τοὺς ἐνδόξους τῆς γῆς μετὰ ἰσχύος· καὶ οἱ ὑψηλοὶ τὴν ὕβριν, συντριβήσονται. σὺ ἀνταπέδωκας, τοῖς περισσῶς ποιοῦσιν, ὑπερηφανίαν· καὶ ὀφθαλμοὺς αὐτῶν ἐταπείνωσας. σὺ συνέτριψας τὴν ὕβριν αὐτῶν· ἔρριψας ἀσεβεῖς παραχρῆμα. σὺ ἔθραυσας ὅπλον· καὶ ῥομφαίαν καὶ μαχητὴν, ἄνδρα. σὺ κατέσπασας ἐν διαφθορᾷ. ἐξέλιπεν ἄνομος· ἀπώλετο ὑπερήφανος· ἔπεσεν ὁ ὑψηλὸς ἐν μαχαίρᾳ. πάλιν Γολιὰθ ὑπὸ Δαβὶδ, πλήττεται· καὶ πίπτει νεκρός· καὶ νέος ἐκεῖνος κρατεῖ· καὶ ἄοπλος. πάλιν ταπεινοῦται προδήλως ὡς τραυματίας ὁ ὑπερήφανος. ἔστησαν μὲν γὰρ ἀλλήλοις ἔγγιστα, καὶ γεγόνασι πρόσμαχοι· κᾆτα ἐννοήσας ὁ Νέστωρ τὸ Θετταλὸν δὴ τοῦτο· οὐκέτι μὲν ἤδη σόφισμα· σοφίας δ' ἔργον ὄντως καὶ γνώσεως ἀληθοῦς, ὡς ὑπὸ τοῦ μεγάλου Δημητρίου πεπαίδευτο, χαράττει τὸν σταυρὸν εἰς πρόσωπον· εἶτ' ἄλλεται γενναῖον ὥσπερ ἐκ μετεώρου θράσους πλησθείς· ἡρωικὸς ὅλος· ἀκαταγώνιστος· φοβερὸς ἰδεῖν· ἀπρόσιτος· εἶτ' αἴρει τὸ ξίφος· ὠθεῖται· πλήττει καιρίαν εἰς μέσην αὐτὴν τὴν καρδίαν. βάλλ' οὕτω καλλίνικε Νέστορ· καὶ κατάσπα θραύων εἰς γῆν ἐν κράτει τὸν παλαμναῖον, τῆς ἀσεβείας προστάτην, καὶ πρόμαχον.

21. Ὁ μὲν, οὖν ἔκειτο νεκρὸς κατὰ γῆς κακὸς κακῶς· ἑνὶ τούτῳ μόνῳ καλῶς, ἀξίως τῆς ὕβρεως· ὁ δ' ἵστατο μέσος μένων ἔτι
f. 73[v] τὸ λεῖπον τῆς μάχης τέλος, τὴν νίκην αὐτὴν ὡς ἔστι περάναι· | ἢ μᾶλλον τῆς νίκης εὐθύνας, ἔπαθλα· ὡς ἀντὶ στεφάνων αὐτίκα τετμημένος τὴν κεφαλὴν, τὸ σῶμα μὲν ἀφεῖναι κάτω παρ' αὐτὴν τὴν ἀγωνίαν, ἐγγὺς ἐστήξειν τρόπαιον· τὴν δὲ ψυχὴν ἑλκύσαι

24 γεγόνασι πρόσμαχοι V[2] in ras.: post πρόσμαχοι circa sex litterae erasae in V **28** εἶτ' ἄλλεται VLa: sic pro εἶθ' ἅλλεται (εἶτ' V e corr.) **31** μέσην V: μέσον La | καὶ V[1] s.l. **21,3** ἔστι V: ἐστὶ La **5** ἀφεῖναι V: ἀφείη La

13 Prov. 3, 34 **14–15** cf. Iob 4, 4 **15–16** Is. 10, 33 **16–17** Ps. 17, 28 **20** Soph. 3, 6 **20–21** Is. 29, 20 **21** Is. 10, 33 **21–23** I Reg. 17, 4ff. **23–24** Ps. 88, 11 **25–26** CPG II, 173, 8

πρὸς τὸν ἄνωθεν ἀθλοθέτην Χριστόν. Μαξιμιανὸν δὲ τέως μὲν ἐπιλελοίπει πάντα· μᾶλλον δὲ πάντα εἶχεν· ἔκπληξις· ἀνία· δέος· ὁρμή· καὶ πρός γ᾽ ἔτι οὐκ εἶχεν ὅ,τι χρήσεται· οὐδ᾽ ἦν ἑαυτοῦ. κατασχὼν δ᾽ ἔπειτα τὸν θυμὸν, βίᾳ μὲν· ὅμως δ᾽ οὖν κατασχὼν, καὶ ὡς ἔοικεν ἄρα βασκαίνων εἰς τοσοῦτον ἀνθρώπων ἀριθμὸν, παραχρῆμα ψήφους ἐνεγκεῖν τὰς ποθουμένας, τῷ Νέστορι, λύεται μάλα τοι ταχὺς τὸ θέατρον· καὶ τὸν ἄνδρα μεθίστησιν οἴκαδε. ἔπειτα μαγγανείας, ἐπεκαλεῖτο καὶ ἠρευνᾶτο· κἀνταῦθα τρέπων τὸ κλέος, τῆς τοῦ ἀνδρὸς νίκης αἰσχύνειν ᾤετο· μᾶλλον δὲ τὸ κράτος Χριστοῦ· καὶ περὶ τούτων πράττεσθαι δίκας ἐποιεῖτο. ὢ τῆς ἀνοίας εἰ ταῦτα ᾤετο· μαγγανείαις εἶναί τι κοινὸν καὶ Χριστῷ· μᾶλλον δὲ τῆς ἀπάτης ἧς αὐτὸς ἑαυτὸν ἠπάτα καὶ προσεδόκα τοὺς πολλοὺς οὕτω πείθεσθαι· ἀλλ᾽ οὐκ αὐτίκα δὴ μάλα τἀληθὲς γνώσεσθαι. ἐπεὶ δὲ κἀνταῦθα μάταιος ἐκεῖνος ἠλέγχετο καὶ ἀσύνετος· καὶ τὰ μηδὲν εἰκότα πονῶν, καὶ τὸν Χριστὸν ὁ Νέστωρ ἐκήρυττε παρρησίᾳ, καὶ τὰ Δημητρίου θαύματα· καὶ τὴν παρασκευήν· καὶ τὸ ὑπ᾽ αὐτὸν ὁπλιτικὸν, ἄριστά γ᾽ ἠσκημένον πάντα καὶ πράττειν καὶ πάσχειν διὰ Χριστὸν, καὶ μὴ μέγα εἶναι μανθάνειν εἰ βούλοιτο ἐκκαλεῖσθαι τὲ καὶ πειρᾶσθαι καὶ ἀνιστᾶν εἰς ἐπίδηλον, τηνικαῦτα μᾶλλον ἐκεῖνος ἐπλήττετο· καὶ ἐδεδίει περὶ πάντων ὁμοῦ. μετατίθεσθαι μέντοι πρὸς τἀληθὲς ἀπὸ τῶν εἰδώλων, πῶς ἄρα καὶ ἦν· Μαξιμιανὸν ὄντα καὶ αὐτὸν ὄντως εἴδωλον ἄλογον· καὶ ὀφθαλμοὺς ὁρᾶν οὐκ ἔχοντα· καὶ ὦτα μὴ ἀκούειν, καὶ ἄλλο μηδὲν, ἐπαισθάνεσθαι; τὸν μέν γε παραχρῆμα | f. 74
τὸ οἰκεῖον ξίφος, τὴν κεφαλὴν ἀφαιρεῖται· καὶ τέμνει ἐξ ἐντολῆς τοῦ τυράννου, καὶ τίθησιν ἐκποδὼν· μηδὲν ἔτι πρᾶγμα περὶ αὐτὸν εἶναι, Νέστορα τὸν ἄριστον ὁπλίτην Χριστοῦ· καὶ ὁ πόθος αὐτῷ πέρας ἔσχε· καὶ ἡ τοῦ μάρτυρος πρόρρησις. ὢ μακάριος μὲν ἀνὴρ ἐκεῖνος κτησάμενος· μακάριον δὲ ξίφος ἐκεῖνο, αἵμασιν ἡγνισμένον ὑπὲρ Χριστοῦ· καὶ πλήττων οὕτω κατ᾽ ἄμφω μάλιστα ἐπικαίρως. ᾧ συνεισελθὼν ὁ μάρτυς, καὶ μόνῳ τὸν ἀγῶνα θαρρήσας, ἀμφότερα ἐθαυμάσθη τὲ· καὶ συνδιήνεγκε κάλλιστα καὶ νενίκηκε· καὶ

7 Μαξιμιανὸν V² La: αξιμιανὸν V (obl. rubr.) **9** γ᾽ V² in ras.: om. La **17** εἶναί τι V² s.l.: τι om. La **23** τὸ V² s.l. **36** πλήττων VLa: an πλῆττον?

21,29 cf. Or. 10, 7, 20–22 **29–30** Mt. 11, 15; 13, 43; Marc. 4, 9 et 23; Luc. 8, 8; 14, 35 **34** Ps. 1, 1

βάλλων μετ᾽ αὐτοῦ καιρίως· καὶ πίπτων δι᾽ αὐτοῦ γενναίως· μᾶλλον δὲ τοῦτ᾽ εἶχε νικᾶν ἐνταῦθα· καὶ τέλος, πλήξας καλῶς, πεσεῖν ἄριστα· κἀντεῦθεν εἰς οὐρανοὺς ἀνελθεῖν, καὶ μετὰ θείων ἀγγέλων ἑστάναι περὶ Θεόν.

22. Ἀλλὰ τὰ μὲν κατὰ τὸν μάρτυρα Νέστορα, πέρας οὕτως ἔσχεν ὡς ὁ λόγος ἔχει διεξελθών. τά δ᾽ ἐξῆς ὡς ἔγωγε οὐκ οἶμαι, εἰσὶν οἵ φασι, θυμοῦ τηνικαῦτα φορὰν ἄσχετον ἁρπάσαι, τὸ τέλος τῆς ὅλης ἀγωνίας, τοῦ μάρτυρος Δημητρίου· καὶ καινοτομῆσαι πρὸ τῶν χρόνων ἀθρόον. ἀλλ᾽ αὕτη μάλιστά μοι δοκεῖ τῷ τυράννῳ μεγίστη σκέψις ἐγγενέσθαι περὶ τῶν ὅλων πραγμάτων αὐτίκα, ὅπῄ ποτ᾽ ἄρα χρὴ διαθέσθαι, καὶ τοῦτο διαφερόντως ἐκεῖνον πείθομαι συνιδεῖν τότε δὴ καὶ λογίσασθαι, πρὸς τὸν ἑαυτοῦ σκοπὸν καὶ τὴν χρείαν· ὡς εἰ μὲν τρίβοιτο ἡ μάχη κατασχολὴν σὺν χρόνῳ πρὸς τὸ δοκοῦν καθίστασθαι, καὶ βασάνων ἕλοιτο χαλεπότητα πειρᾶσθαι, τοῦτ᾽ οὐ μόνον οὐκ ἄν, εἴη προύργου, πρὸς τὴν ἐξαρχῆς ἔνστασιν ἀνύειν, ἀλλὰ καὶ καταμικρὸν ἐκ τούτου μᾶλλον αἵρεσθαι τὴν ἀποστασίαν εἰς πρόδηλον ἀεὶ καὶ ῥήγνυσθαι· εἰωθὸς τοῦτο συμβαίνειν, τὰς θερμὰς ἑκάστοτε φύσεις, πρὸς πᾶσαν αὐθάδη μάλιστα προσβολὴν ἐγείρεσθαι· καὶ μὴ καταπίπτειν μὴ δ᾽ f. 74[v] ἡττᾶσθαι, | μετρίως ἀξιοῦν· εἰ δέ τις ἐν τούτοις συντεμεῖν ἀξιώσει τοὖργον, καὶ ἥκιστα διαφανῶς, ἀλλ᾽ ὡς οἷόν τε, μὴ δ᾽ ἐπισημῆναι τί προσβραχὺ, ἴσως, ἔσβεσται παραχρῆμα, καὶ οὐκ ἔλαβεν ὕλην ἡ φλὸξ, ἐφιεμένη πρόσω δρᾶν ἀεὶ καὶ φέρεσθαι. καὶ ἅμα εἶχεν ἐγγὺς ὁρᾶν τε καὶ δεδιέναι, φρονήματα τοιαῦτα τῶν ὑπ᾽ ἐκεῖνον ἀνδρῶν τῆς πόλεως. ταῦτ᾽ ἄρ᾽ ὡς ἔοικεν ἐκεῖνος ἀφροσύνῃ μὲν ὄντως· ἐν καρδίᾳ καθ᾽ ἑαυτὸν διαλογισάμενος· οὐ μὴν παντάπασιν οὐκ ἀλόγως πρὸς τὴν ἑαυτοῦ βούλησιν, ἔγνω συνελεῖν ἐν βραχεῖ καὶ συστεῖλαι μετ᾽ ἀφανοῦς μάλα τῆς ἐπιχειρήσεως, τὰ κατὰ τὸν μέγαν Δημήτριον. καὶ ἅμα μὲν οὕτως ἔγνω· ἅμα δ᾽ ἐψηφίζετο καὶ προσέταττε· μὴ δ᾽ ἐξάγειν τῆς φρουρᾶς, μηκέτι καθάπαξ· μὴ δὲ

22,1 οὕτως V[2] La: ὕτως V (obl. rubr.) **3** εἰσὶν V[2] s.l. | οἵ V[2]: οἳ V: οἷά La φασι La: φασὶ V **11** τοῦτ᾽ οὐ V[2] e corr. La: τοῦτο V **12** αἵρεσθαι scripsimus: αἴρεσθαι VLa **15** καὶ μὴ V[2] in ras. **21** ἐκεῖνος V[2] in marg.

22,3 cf. Sym. Met., Pass. Dem., PG 116, 1197B **21–22** Eccl. 10, 3

προσβραχὺ τὸν ἄνδρα παρρησιάζεσθαι· ἀλλ᾽ ὅστις μάλιστα ὑπηρετεῖν βούλοιτο καὶ χαρίζεσθαι, αὐτόθι βάλλειν· αὐτόθι τέμνειν· αὐτόθι μυρίαν εἰ δύναιτο φέρειν, βάσανον τὸ ζῆν αὐτὸν ἀφαιρούμενος. καὶ εἶχεν οὕτως ἐπὶ τῶν ἔργων· καὶ ταχεῖς ἦσαν ἐκεῖνοι, μαρτυρικὰ χέειν αἵματα. ἔτρεχον κατὰ τοῦ μὴ φεύγοντος· ἠπείγοντο κατὰ τοῦ δεσμώτου· ὡπλίζοντο λογχηφόροι πρὸς τὸν ἐν εἱρκτῇ. συνῆλθον ἀμέλει πάντες· ἔβαλλον πάντες· ἐπειρῶντο τῶν ὅπλων· ἑαυτῶν ἐπειρῶντο· ἀλλήλων· οὐδενὸς ἐφείδοντο τῶν τοῦ σώματος μερῶν· οὐδ᾽ εἴων ἀγέραστον· ἔπληττον πάντῃ. οὐκ ἤρκει πρὸς τὴν γνώμην ἡ φύσις· ἠγανάκτουν· κατεμέμφοντο πρὸς αὐτήν, μὴ πλείω χώραν διδοῦσαν κακουργεῖν. ἐφιλονείκουν καὶ κατὰ τεθνεῶτος· ἐδυσχέραινον, μὴ πλεῖστα ζῆν ἔχοντι· ἵνα καὶ θνήσκῃ πλεῖστα· ἠγνόουν δὲ ἄρα οὐ μᾶλλον ἑαυτοῖς καὶ τῷ τυράννῳ, ἢ τῷ μεγάλῳ μάρτυρι χαριζόμενοι· καὶ δυοῖν ἐκείνου πόθων· τοῦ μὲν, ὅπως μέγιστα διὰ Χριστὸν ὑποσταίη· τοῦ δὲ, ὅπως τάχιστα, | πρὸς αὐτὸν μετασταίη, κατουδὲν ἀτευκτῆσαι τῆς f. 75 ἐφέσεως πράττοντες. ὃ καὶ μάλιστα δυσχερές· ἡ κοινωνία· καὶ ἄμφω δὴ ταῦτα περὶ ταυτὸν συνελθεῖν· καὶ οὐκ ἐνέλειψε τἀνδρὶ τῶν ἁπάντων οὐδὲν ἄνωθεν, ἐξεταζομένῳ πρὸς ἐσχάτην εὐδαιμονίαν. εὐγενὴς ἦν τὴν κάτω γένεσιν· καὶ γένους, πόρρωθεν εἷλκεν ἀξίαν· ἀλλὰ παρῆλθε· καὶ πρὸς τὴν πρώτην πλάσιν ἀπεῖδε· καὶ τὸ τῆς ψυχῆς ἐζήτησεν εὐγενές. πλοῦτος ἔβριθεν, ἀλλὰ ῥέοντι καρδίαν οὐ προσετίθει· καὶ ὡς ἄριστος οἰκονόμος, πάντα διὰ τῶν πενήτων ἐδάνεισε τῷ Χριστῷ. εὐφυὴς ἦν ἰδεῖν· ὡραῖος ὡς νυμφίος· ἰσχυρὸς ὡς γίγας· ἀλλ᾽ ἔσωθεν εὐπρεπέστερος· ἀλλ᾽ ἀνδρεῖος μάλιστα τὴν ψυχήν. ὁπλίτης πάντα γέγονεν ἄριστος· καὶ μαχητὴς ἤσκητο γενναῖος· ἀλλ᾽ αὐτῷ στρατολογεῖται Χριστῷ καὶ τὴν περικεφαλαίαν τοῦ Πνεύματος, κατὰ τοῦ κόσμου παντὸς ἐπενδύεται. λόγων προσεκτήσατο κράτος εἰς ὅσον ἔξεστι καὶ κλέος· ἀλλ᾽ ἐν τῇ σοφίᾳ Σολομῶντος τίς ἰσώθη φησί· τὴν ἀνωτάτω καὶ

27–28 ὑπηρετεῖν V[1] La: ὑπειρετεῖν V **29** βάσανον φέρειν primum scripsit, deinde litteris βα suprascriptis ordinem invertit V: βάσανον φέρειν La αὐτὸν V[2] La: αὐτὸς V **32** δεσμώτου V[2] e corr. **33** ἔβαλλον V[2] La: ἔβαλον V **38** ἐδυσχέραινον primum iteravit, deinde punctis delevit V | ἔχοντι V[2] e corr. **44** τἀνδρὶ V[2] in marg.: τούτῳ La

49–50 Prov. 19, 10 **50** Ps. 44, 3 **51** Ps. 18, 6 **53–54** cf. Eph. 6, 17 **56** cf. III Reg. 2, 35a–b; 5, 9–11

πρώτην λέγω σοφίαν· καθ’ ἣν ὑψηλὸς ὑψηλῶς ἀνέκυψε τῆς ὕλης· καὶ ὅλον ὅλου τοῦ καθαρωτάτου καὶ ἀύλου φωτὸς, ἑαυτὸν ἐξηρτήσατο· καὶ γέγονεν ὄργανον θεῖον, ὑπὸ τοῦ θείου Λόγου πρὸς ἅπασαν κίνησιν ῥυθμιζόμενον; ἡγεμὼν ἐκ τούτων λοιπὸν· καὶ ἡγεμόνων τὰ πρῶτα· καὶ κλῆρος ἐπαρχίας ὁ μέγιστος· ἀλλ’ ἀποδίδωσι τὰ Καίσαρος Καίσαρι· καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ· τῷ μὲν, τὴν οἰκονομίαν τῶν ὑπὸ χεῖρα· τῷ δὲ, τὴν τῆς εὐσεβείας διανομὴν· μᾶλλον δὲ μεθίσταται παρρησίᾳ, καὶ μεθαρμόζεται· καὶ πάντα μετατίθησι πρὸς Χριστὸν. κἀντεῦθεν ὥσπερ ἐκ μετεώρου τῆς ἀρχῆς, πυρσὸν τῆς εὐσεβείας ἵστησι τοῦ σκότους ἕλκων τῆς πλάνης, πρὸς τὴν τῆς ἀληθείας ἐπίγνωσιν· κἀντεῦθεν ὁπλίζεται· παρατάττεται· πόλεμον αἱρεῖται παγκόσμιον, πρὸς τὰς ἀρχὰς·
f. 75v πρὸς τὰς ἐξουσίας· καὶ τοῦτον | διπλοῦν· πρὸς τὰ πνευματικὰ τῆς πονηρίας· καὶ τοὺς κοσμικοὺς ἡγεμόνας ὑπηρετοῦντας τοῖς δαίμοσι. καὶ εἴτε δεῖ κρίνειν οἴκοθεν ὡς ὁ περὶ τούτων μάλιστα νόμος, ἔχει, καὶ τὴν ἔσω κατ’ αὐτὸν παρασκευὴν ἐξετάζειν· μεθ’ ἧς ἐθάρρησε τὸν ἀγῶνα, ἔλιπεν ὀπίσω τὴν φύσιν· πάντα διὰ Χριστὸν, ἕτοιμος ἦν ἐνεγκεῖν· καὶ ἤνεγκε τό γ’ ἐφ’ αὑτῷ· εἴτε δεῖ τὴν τῶν διωκόντων ὁρμὴν, λογίζεσθαι, ταυτὸ τοῦτο δίδωσιν. ἐπεὶ δὲ ἔδει καὶ τοῦ καλοῦ πόθου γενέσθαι πλήρωσιν· ὃν ἐπόθει τάχιστα συναφθῆναι Χριστῷ, γέρας τοῦτο τῆς ἀνδραγαθίας λαμβάνει· καὶ τάχιστα θνήσκει· καὶ πρὸς οὐρανοὺς μετατίθεται· καὶ εἰς τὸν αἰῶνα ζῇ· καὶ παρίσταται τῷ βασιλεῖ τῶν αἰώνων, ἐνώπιον τῆς δόξης αὐτοῦ· καὶ ἀγαθὸς ὁ οἶκος τῆς εὐφροσύνης αὐτοῦ· καὶ μακαρίζεται ἡ εὐδαιμονία αὐτοῦ, παρὰ τῶν ἀγγέλων· καὶ γενεᾶς ἀρχαίας τῶν πάλαι δηλαδὴ προλαβόντων μακαρίων ἀνδρῶν· μεθ’ ὧν συναγάλλεται· καὶ οἷς τῶν ἔργων τῆς ἀρετῆς ἐκοινώνησε. μετὰ Ἀβραὰμ, ἐπίστευσε· καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. Ἰωσὴφ δυνατὸς ἐν Αἰγύπτῳ φησὶ, πλὴν ὑπερόριος· τοῦ δὲ, μάλιστα ἐν τοῖς οἰκείοις ἡ σεμνότης τὲ καὶ τὸ κράτος· καὶ τὸ δὴ μέγιστον,

63 τῶν V a. corr. **70** post τοὺς una littera erasa in V **72** ἐξετάζειν V^{2} e corr. **74** ἤνεγκε τό γ’ ἐφ’ αὑτῷ V^{2} in ras.: ἠνέγκετό γε ὄντως La **82** δηλαδὴ V^{2} La: δὴ V

59–60 cf. Phil. Iud., Quod. deus sit imm. 24–25 (pp. 60, 25–61, 3) **62** Mt. 22, 21; Marc. 12, 17; Luc. 20, 25 **68–71** Eph. 6, 12 **79** I Tim. 1, 17 **79–80** Tob. 3, 16; 12, 15; Iud. 24, 2 **80** Eccl. 7, 4 **83–84** Gen. 15, 6; Rom. 4, 3 **84–85** Gen. 30, 24ff.

δυνατὸς ἀνῆλθεν ἐν ἰσχύι· κραταιὸς ἐν πολέμοις μαρτυρικοῖς πρὸς τὴν πρώτην πατρίδα, πρὸς τὴν ἄνω μητρόπολιν. Μωυσῆς ἐκλεκτὸς καὶ δημαγωγός· καὶ νομοθέτης· καὶ μετασκευάζων πρὸς τὴν γῆν τῆς ἐπαγγελίας τὸν Ἰσραὴλ, ἀλλὰ καὶ οὗτος ἐκλεκτὸς πρὸ τῶν χρόνων· καὶ Θεοῦ ψῆφος ἐκείνη τὸ τέλος ἔδειξε· πρὸς ὃν ἐτάξατο· καὶ ὑπὲρ οὗ παρετάξατο, καὶ ἠγώνισται· καὶ εἰς ὄρος ἀρετῶν ἀνελθών· καὶ θεωρίας ὑπερβαινούσης κάτω τὴν ὕλην, ᾐχμαλώτευσεν αἰχμαλωσίαν· ἐξήγαγεν τὸν λαὸν τοῦ Χριστοῦ ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ· καὶ τῆς τῶν εἰδώλων ἀπέστησε πλάνης· | καὶ δόγματα θεῖα καὶ νόμους εὐσεβείας εἰς f. 76 ἅπαντας ἀνθρώπους ἐξήνεγκε· καὶ πρὸς τὴν ἄνω Σιὼν τὴν ἐπηγγελμένην τοῖς ἐκλεκτοῖς τοῦ Θεοῦ, παρεθάρρυνε καὶ παρώρμησεν. Ἰὼβ ἐπειράσθη μὲν ἀλλ᾽ ἄκων· καὶ τῆς δοκιμῆς ἀπέλαβεν ἔπαθλα παραχρῆμα· παραμυθίαν ἴσως ἔγγιστα ζῶν· καὶ ηὔξησε τὸν βίον αὐτοῦ Κύριος· καὶ διπλᾶ ἐποίησεν ἃ ἔμπροσθεν ἦν· ὃ δ᾽ ἑκὼν αὐτὸς ἥλατο πρὸς τοὺς κινδύνους· οἴκοθεν ὥρμητο πάντα διὰ Χριστὸν ἐνεγκεῖν· καὶ ἤνεγκεν εἰς τέλος καὶ νενίκηκε· καὶ οὐδὲν ἠνέσχετο τῶν παρόντων· οὐδ᾽ ὑπελογίσατο μετρίως· οὐδ᾽ ἠξίωσεν ἀντιλαβεῖν ὧν ἔδωκεν, ἢ παρεῖδε. Δαβὶδ ὡπλίτευσε κατὰ Γολιάθ· καὶ κατακράτως εἷλε τὸν ἀσεβῆ καὶ ἀλάστορα· ὃς ὕβρισεν εἰς τὴν παρεμβολὴν τοῦ Θεοῦ· ὃ δ᾽ ἄλλον ὥπλισε· καὶ ἀπηξίωσεν ἑαυτοῦ· καὶ ᾐδέσθη μικρολογεῖσθαι τὴν μάχην, ἐν ἄλλοις σχολάζων· καὶ μέγιστον ἀνῃρημένος ἀγῶνα, πρὸς αὐτὸν ἐκεῖνον τὸν ἄρχοντα τοῦ κόσμου, τὸν ἐπαναστάντα κατὰ Θεοῦ παντοκράτορος. μετὰ Δανιὴλ εἵρχθη· καὶ θῆρας εἷλε· καὶ ἐπέβη ἐπάνω ὄφεων καὶ σκορπίων· καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. εἰσῆλθον οἱ νέοι πάλαι θαρροῦντες τὴν κάμινον· καὶ οὐκ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα· καὶ ἄγγελος Κυρίου συγκατέβη, ἅμα τοῖς περὶ τὸν Ἀζαρίαν εἰς τὴν κάμινον καὶ τοῖς τρισὶ συμπαρεζεύχθη

91 ἔδειξεν V a. corr. **106** κατακράτως V, servavimus: κατὰ κράτος La

88 Gal. 4, 26 **88–90** Ex. 2, 10ff. **92–93** cf. Ioh. Dam., Or. in Transf. 5, 4 (p. 442) **93–94** Ps. 67, 19 **94–95** Ex. 6, 1 **99–101** Iob 1, 1ff. **99–105** cf. Greg. Cypr., Laud. sanct. Georg., PG 142, 308BC **105–106** I Reg. 17, 4ff. **106–107** Gen. 32, 2–3 **109–110** Io. 12, 31; 14, 30; 16, 11 **110–111** Dan. 12, 23–42 **111–112** cf. supra, 15, 16 **111–112** cf. Greg. Cypr., Laud. sanct. Georg., PG 142, 316C **112–116** Dan. 3, 1–30 **112–116** cf. etiam Greg. Cypr., Laud. sanct. Georg., PG 142, 316CD **113–114** Rom. 1, 25

καὶ τέταρτος. ἄγγελος ἐπὶ τῆς εἱρκτῆς κἀνταῦθα τῷ μάρτυρι· καὶ συνῆλθον οὕτως ἄμφω· καὶ ἦσαν ἅμα κατὰ Χριστὸν· καὶ τὸ τούτου θεῖον καὶ ὑπερουράνιον ὄνομα. ἀλλ' ἐπὶ τούτοις οὕτως ἄρα συνημμένοις αὐτοῖς, μέσος αὐτὸς ὡς ἔφη πάλαι Χριστὸς· καὶ μονὴν ἐν αὐτοῖς ποιεῖται· καὶ τὰ εἰκότα συγγίνεται· καὶ οὐ μόνος φησὶν, ἀλλ' ἀθρόον ἅμα καὶ αὐτὸς ὁ Πατὴρ· καὶ ἡ χάρις πάντως, ἀχωρίστως ἐπεφοίτα τοῦ Πνεύματος. τί δεῖ πόρρωθεν ἐπιχειρεῖν ἔτι καὶ f. 76v διατρίβειν; προέδραμεν Ἰωάννης τοῦ σωτῆρος· προϋπέδειξε τὸν | ἀμνὸν τοῦ Θεοῦ· μετάνοιαν ἐπηγγείλατο πρῶτος ἀνθρώπων ἀνθρώποις. ἐκήρυξαν ἑξῆς οἱ μαθηταὶ· καὶ τὸν λόγον τῆς ἀληθείας πανταχοῦ τῆς οἰκουμένης ἐτράνωσαν. ἠκολούθησεν ὁ μάρτυς· τὸν αὐτὸν ὑπέστη σκοπὸν καὶ δρόμον· ἐνίκησε τὸν κόσμον· ἤλεγξε περὶ ἁμαρτίας· καὶ εἰσῆλθεν εἰς τὸν λαὸν μετάνοια· καὶ ἐξεπορεύετο πρὸς αὐτὸν, οὐχ' ἡ περίχωρος μόνον, ἀλλὰ καὶ ἐπέκεινα. συνεκήρυξε τοῖς ἀποστόλοις τὸ δόγμα τῆς ἀληθείας καὶ συνετράνωσεν. οὐκ ἀπέγνω τὸν ἀγῶνα· οὐκ ἔδεισεν· οὐχ' ὑπεστάλη· οὐχ' ὑπεχώρησε πρὸς πάσας τὰς ἀρχὰς τοῦ κόσμου. ἐλάλει βασιλέων ἐνώπιον, καὶ τυράννων, καὶ οὐκ ᾐσχύνετο. ἐνεκαυχᾶτο ταῖς ἀσθενείαις· ταῖς θλίψεσι· τοῖς διωγμοῖς· τοῖς κινδύνοις τῶν ὑπηρετῶν τοῦ λόγου. λοιδορούμενος ηὐλόγει· πάσχων ἔφερε· πάντα ἦν διὰ Χριστὸν· πάντα ἐγίγνετο· πᾶσιν ἡμιλλήσατο τοῖς ἀρετῆς οἰκονόμοις. ἐκοινώνει τοῖς καθηγεμόσι τοῦ λόγου· τοῖς μάρτυσι σὺν αὐτοῖς ἐκοινώνει· τοῖς μὲν, τῆς διδασκαλίας· τοῖς δὲ, τῶν ἄθλων· τοὺς μὲν, ἐζήλωσε· τοῖς δ' ἰσώθη· τοὺς δὲ, παρῆλθεν. εἰρήσθω γὰρ καὶ τετολμήσθω· καὶ φθόνος οὐδεὶς· οὐδ' ἐφέξει τἀληθές.

23. Ἀλλ' ἐκεῖνος μὲν οὕτως εἶχεν αὐτίκα· καὶ ποθήσας οὕτω τυγχάνει καὶ οὕτω τάχιστα ῥήγνυται τῶν δεσμῶν τοῦ σώματος· καὶ πρὸς ὃν ἐπόθει, μεθίσταται. οἷον δὲ δὴ τὸ ἑξῆς εἵπετο καὶ οὐκ εἴα Μαξιμιανὸν, οὐδ' εἰσαῦθις καθεύδειν· ἅμα μὲν θαῦμα

118–119 συνημμένοις V[1] La: συνηγμένοις V **133** ἐνεκαυχᾶτο V[2] e corr.

119 Io. 20, 19 **120** Io. 14, 23 **123–125** Marc. 1, 1–8; Luc. 1, 5–80; 3, 1–20 **123–129** cf. Greg. Naz., Or. 43, 75, 4–20 (p. 292) **123–124** Io. 1, 29 et 36 **127–128** Io. 16, 33 **128** Io. 8, 46 **128–129** Marc. 1, 28 **133** Ibid. 13, 9 **134–135** I Cor. 4, 12 **136** Ibid. 9, 22 **23,4** cf. Plut., Mor. 185A

τηνικαῦτα ὁρᾶν· ἅμα δὲ καὶ τότε καὶ νῦν ἡδὺ προσφέρειν οἶμαι καὶ χρῆσθαι· καὶ παραλιπεῖν καθάπαξ οὐκ ἔξεστιν. ἐπεὶ γὰρ ἐκεῖνος τὸν δρόμον τοῦ μαρτυρίου τελέσας ἔκειτο νεκρὸς κατὰ γῆς, παρεστώς τις αὐτόθι τηνικαῦτα τῶν ὑπηρετούντων ἐπὶ τῆς φρουρᾶς οἰκετῶν (Λοῦπος ὠνόμαστο γενναῖος ὄντως ἐκεῖνος δοῦλος, | f. 77 | καὶ μεγαλόψυχος· καὶ ἀταπείνωτος· καὶ τοῦ μεγάλου μάρτυρος ἄξιος), ἔπειθ᾽ οὗτος, τί διανοεῖται καὶ τί δρᾷ; ἀφαιρεῖταί τι τῶν ἱερῶν ἐσθημάτων τοῦ μάρτυρος· καὶ ὃν εἶχε δακτύλιον ἐν χειρὶ, ἔπειτα περιχρώσας ἐκεῖνα πάντοθεν· καὶ περιχρίσας ἀμέλει κάλλιστα καὶ κοσμήσας τοῖς πανάγνοις ἐκείνου καὶ ἱεροῖς αἵμασι· καὶ δύναμίν τινα θείαν καὶ χάριν ὡς ἔοικε μαρτυρικὴν ἐνθέμενος, εἶτα ἔξεισι. τί σπεύδεις ὦ Λοῦπε; τί κλέπτεις τὰ τοῦ δεσπότου; τί μᾶλλον κατεπεμβαίνεις κειμένου, καὶ οὐχ ὑποστέλλῃ τυμβωρυχεῖν· ἢ τἀληθέστερον εἰπεῖν ἱεροσυλεῖς· καὶ τῶν ἀναθημάτων ἅπτῃ τῶν ἱερῶν, καὶ οὐ φείδῃ πρὸς τόλμαν ὅλως τοσαύτην; «ἐγώ» φησιν «ἐλέγξω Μαξιμιανὸν, ὡς οὐκ ἔξεστιν οὐδὲ δύναται οὐδ᾽ ἂν, πάντα δράσειε, κατασχεῖν ἀρετὴν· καὶ ταπεινῶσαι· καὶ σβέσαι· καὶ λήθης παραδοῦναι βυθοῖς· ὡς κάκιστα βασκαίνων ἐκεῖνος οἴεται». ἐντεῦθεν εἰς φῶς αἴρει τὰ κλέμματα· παρρησιάζεται· πᾶσιν ἐπικηρυκεύεται κοινωνεῖν· μεταδίδωσι χαρισμάτων ἀφθόνως· ἰᾶται πᾶσαν νόσον· καὶ πᾶσαν μαλακίαν· πλήττει κατὰ καρδίας αὖθις τὸν τύραννον· ὃς πυνθάνεται παραχρῆμα μὴ δὲ κατὰ τεθνεῶτος ἰσχύων ἀλλὰ καὶ τὴν παροιμίαν παντάπασιν ἡττᾶσθαι· καὶ βάλλειν ἐκεῖνον νεκρὸν· μᾶλλον δὲ τἀληθὲς ἐρεῖν ἰᾶσθαι, καὶ νεκροὺς ἀνιστᾶν· αὐτὸν δὲ μόνον ἐκεῖνον πλήττειν, τὸν τῆς ζωῆς ἐχθρὸν· τὸν ὑπηρέτην τοῦ σκότους· καὶ τοῦ δεσπότου τοῦ κόσμου συνεργὸν καὶ συνέριθον, ὡς ἄρ᾽ ἔδειξεν αὐτίκα. συλλαμβάνεται γὰρ ὁ καλὸς ὑπηρέτης· καὶ δίκας πράττεται τῆς κλοπῆς· μᾶλλον δὲ μισθὸν μέγιστον τῆς εὐγνωμοσύνης, λαμβάνει· τέλος μαρτυρικὸν· καὶ συνάγεται ἐναντίον τοῦ Κυρίου· καὶ ὅπου ἐστὶν ὁ δεσπότης, ἐκεῖ καὶ ὁ καλῶς ἐκεῖνος διακονῶν, μεταχωρεῖ τε | f. 77v καὶ μετατίθε-

23,5 προσφέρειν VLa: an προφέρειν? **13** περιχρίσας correximus: περιχρήσας VLa **18** ἱεροσυλεῖς V^{2} La: ἱεροσυλεῖν V **23–24** ἐπικηρυκεύεται V^{2} e corr. **26** ὃς corr. La: ὡς V **35** καὶ^{2} primum iteravit, deinde punctis delevit V

21–22 locus communis; cf. e.g. Greg. Naz., Or. 44, 1 (PG 36, 608A) **24–25** Mt. 4, 23; 9, 35; 10, 1 **26–27** CPG II, 471, 17

ται· καὶ αὖθις συνδιάγει καὶ σύνεστιν. ὢ μακάριος ὄντως ἀνὴρ ἐκεῖνος τῆς τοῦ δεσπότου παιδείας καὶ ἀγωγῆς· μακάριος δὲ τοῦ κατ' αὐτὸν ἥκοντος εἰς εὔνοιαν· καὶ θεραπείαν· καὶ πίστιν· ὃς λαβὼν τὸ δεσποτικὸν ἐκεῖνο χρῆμα, οὐκ ἔκρυψεν· οὐδὲ συνεκάλυψεν· οὐδ' ἠφάνισεν εἰς τὴν γῆν· ἀλλ' ἐξέτεινεν εἰς ἅπαντας ἀνθρώπους· καὶ προύθετο κοινόν· καὶ ηὔξησε καὶ πολλαπλοῦν ἀπέδοτο· καὶ ὃν εὑρὼν ὁ καλὸς δεσπότης ἐπ' ὀλίγων ἀγαθόν, οὕτω καὶ πιστὸν οἰκονόμον, εἵλκυσεν εἰς ἑαυτόν, ἄνω μάλιστα συνήδεσθαι καὶ συγχαίρειν· καὶ περὶ πλείω τῶν προτέρων ἔχειν προεστήσατο καὶ κατέστησεν.

24. Ἀλλ' οὕτω μὲν ὁ μέγας εἰς οὐρανοὺς ἀνῆλθεν ὡς ἄν τις ἐρεῖ πανέστιος· καὶ συνήγαγεν ἐκεῖ τὸν καρπὸν αὐτοῦ· καὶ ἀπολαύει, ἐν τοῖς ἀγαθοῖς τοῦ πατρὸς, μετὰ τῶν οἰκογενῶν αὐτοῦ· καὶ ἀπολαύει τῆς μακαρίας καὶ ζωαρχικῆς Τριάδος· τοῦ καθαρωτάτου καὶ ἀπροσίτου φωτὸς, ᾗ καὶ παρίσταται καθὼς ἐπόθησε· καθὼς ἠγωνίσατο· καθὼς ἀνέδραμε τάχιστα· καὶ γίνεται ἡμῖν, προστάτης· βοηθὸς· ἡγεμὼν σωτηρίας· ἀντιλήπτωρ ἐφ' ἅπασι· καὶ οὐκ ἐπιλανθάνεται, τῆς κληρονομίας αὐτοῦ· καὶ παντὸς μὲν ἀεὶ τοῦ κόσμου· καὶ πάντων ἀνθρώπων· μάλιστα δὲ τῆς κατ' αὐτὸν ταύτης, μεγαλωνύμου· καὶ περιφανοῦς, πόλεως, ἧς ἔφυ· καὶ εἰς ἣν ἐφιλοτιμήσατο καὶ τοὺς ἀγῶνας ἐπεδείξατο· καὶ τῆς μακαρίας ἔτυχε λήξεως· καὶ ἀνταπέδωκεν ἀνταποδόματα, πλεῖστα καὶ μέγιστα ἐπὶ μεγίσταις ταῖς χρείαις, ἐφ' ἑκάτερα καὶ ἡδέων τὲ καὶ ἀνιαρῶν. καὶ τῆς ἀθορύβου· καὶ στασίμου καὶ ὑψηλῆς καὶ θείας· καὶ ἀθανάτου πολιτείας ἐπιβὰς ἄνω, ὡς ἤρα διαφερόντως καὶ ἠπείγετο· καὶ γενόμενος μετὰ τῶν ἀγγέλων· καὶ κοινωνῶν· καὶ συγχορεύων αὐτοῖς· καὶ συνευφραινόμενος· καὶ συγγινόμενος, τῷ
f. 78 ἀθανάτῳ πάντων δεσπότῃ· οὐκ ἐν σκιαῖς· | οὐδ' ἐν αἰνίγμασιν ἤδη, ἀλλ' ἐνώπιος ἐνωπίῳ φησὶν ἡ γραφὴ, ὃ δ' ἄρ' ἐν τούτοις, οὐδ'

40 τὴν V^2 s.l. **44** περὶ V: an ἐπὶ? **24,1** ὡς V^2La: ς V (obl. rubr.) **4** post ἀπολαύει ras. quinque litterarum in V **9** μάλιστα V^2 e corr. **12** ἀνταποδόματα V^2 La: ἀνταπόδομα V

36–37 Ps. 1, 1; cf. etiam Sym. Met., Pass. Dem., PG 116, 1197B **38–45** Mt. 25, 14–30 **24,2** cf. Io. 4, 36 **3** cf. Gen. 17, 23 **5** I Tim. 6, 16 **6–7** cf. Greg. Cypr., Laud. sanct. Georg., PG 142, 345A **12** Num. 8, 21 **18** locus communis; cf. e.g. Greg. Naz., Or. 24, 19, 12–13 (p. 82) **19** Ex. 33, 11

εἰσαῦθις οὐκ ἐξίσταται τῆς πόλεως· οὐδ᾽ ὑποχωρεῖ· οὐδ᾽ ἀφίησι κάτω· ἀλλ᾽ «ἔτι ἐν σοὶ ἐγὼ εἰμὶ» λέγει «πόλις Σιὼν, καὶ οὐκ ἔλιπόν σε εἰς τὸν αἰῶνα· μᾶλλον δ᾽ εἰς τὴν ἄστατον ταύτην τοῦ χρόνου τὲ καὶ τῆς ὕλης φορὰν καὶ χύσιν· ἅπαντα περιτρέπουσαν ἀεὶ τὸν βίον, ἀνωμαλίαις καὶ κατακλύζουσαν». ὃ καὶ ἀεὶ θαυμάζω καθ᾽ ἑαυτὸν· καὶ οὐκ ἔχω τί χρήσομαι· οὐδὲ βασκαίνω τῇ πόλει· οὔκουν γε οὐδὲ λόγον ἔχον· ἀλλὰ καὶ μάλιστα, συνήδομαι τῆς καρποφορίας· καὶ ἔτι τοῦ καλλίστου καὶ ἀδαπανήτου θησαυροῦ, ὃν ταμιεύει κοινὸν ἅπασιν ἀνθρώποις ἀγαθὸν· καὶ οὐ κατέχει· οὐδὲ φείδεται· οὐδ᾽ ἑαυτῆς μόνης ποιεῖται τὴν εὐκληρίαν· ἀλλὰ καὶ μάλιστα ὑψηλῶς ἔπειτα κηρύττει καὶ προκαλεῖται «δεῦτε» λέγουσα, «φάγετε τὸν ἐμὸν ἄρτον· καὶ πίετε οἶνον ὃν κεκέρακα ὑμῖν· καὶ κατεπάτησεν αὐτὸν ἡγεμὼν, ἐκ τοῦ ληνοῦ τῆς καρδίας μου· καὶ προυθέμην δαψιλῆ τρυφὴν· δαψιλῆ τοῖς πᾶσιν, ἀπόλαυσιν».

25. Ὃ δ᾽, οὖν ἔγωγε θαυμάζειν ἔχω, τίς ὁ τοσοῦτος δεσμὸς ὦ γενναῖε· τίς ὁ πόθος· τίς ἡ σπουδὴ· πόθεν οὕτως ἐσχέθης, ὁ πάντα ἀήττητος καὶ ἀνάλωτος· πῶς οὕτω φιλόπολις καὶ φιλόπατρις τὴν καθόλου πατρίδα καθάπαξ τὸν σύμπαντα κόσμον ὑπεριδὼν· καὶ μόνην τὴν πρώτην πατρίδα τὴν ἄνω κληρονομίαν· τὴν ἀνώλεθρον εὐδαιμονίαν ἐπιποθήσας· καὶ τυχὼν ὡς ἐπόθησας; μᾶλλον δ᾽ ἵν᾽ οὕτως ἐρῶ, τέσσαρας ὁρῶμεν πολιτείας περὶ τὸν μέγαν ἃς ἐσπούδασεν ἄριστα· καὶ διήνεγκεν ἑξῆς ἀεὶ προβαίνων· πὰρ δ᾽ ἄκρην κορυφὴν ἔστη φησὶν· οὐδ᾽ ἔξεστιν ἐκτείνειν ἔσχατον ἡ φιλόσοφος παροιμία. φέρε δὲ εἰ δοκεῖ, διελώμεθα παρ᾽ ἑκάστην ἰόντες. πρώτην ἐπολιτεύσατο καὶ δέδωκεν ἑαυτὸν τῇ πατρίδι χρῆσθαι. τάχιστα ὑπερέσχε διὰ πάντων καὶ | οὐκ ἐντὸς ἐσχέθη· οὐδ᾽ εἶχε f. 78v χώραν ἡ φύσις· καὶ παρῆλθεν ἔξω· καὶ προῆλθεν οὕτω πόρρω μετὰ τῆς φήμης, ὡς καὶ εἰς αὐτὸν ἀφικέσθαι Καίσαρα, τὴν Ῥωμαίων οἰκονομίαν ἐπὶ πάσης σχεδὸν, πρυτανεύοντα τῆς οἰκουμένης. μετακαλεῖσθαι κρίνει μαθὼν ἐκεῖνος· μετακαλεῖται· δοκιμάζει

26 γε add. V[2] **25,7** περὶ V[2] e corr. **15** οἰκονομίαν V e corr.

30–31 cf. Prov. 9, 1–5 **25,3–4** cf. Phil. Iud., De somn. 1, 39 (p. 198, 3–9) **4** cf. Id., De spec. leg. 1, 97 (p. 20, 12–13) **5** cf. supra, 22, 88 **8–9** cf. Hom., Il. 8, 83

πρὸς τὴν αὐτοκρατορικὴν, οὐκ οἶδ᾽ εἴτε πολιτείαν βούλεταί τις καλεῖν, εἴτε προστασίαν ἐπὶ πάσαις ἁπλῶς εἰπεῖν οἰκειότερον. συγκλήτου τοὐντεῦθεν λαγχάνει βουλῆς· ἄρχεται πραγμάτων εὐθὺς. ἀρχαιρεσίαι παραχρῆμα καὶ ψῆφος τῆς κρείττονος ἐπαρχίας τῷ ἀνδρὶ νικᾷ· καὶ κλῆρος ὁ μέγιστος. ἐπιδημεῖ· πειρᾶται· καθίστησιν. ἔπειτ᾽ οὐδ᾽ αὖθις οὐκ ἀγαπᾷ· οὐδ᾽ ἀρκεῖται καταχώραν μένειν· ζητεῖ πάλιν πράγματα· αἴρει φρόνημα μέγιστον· μεθαρμόζεται τρίτον ἤδη τοῦτο· πρὸς ἅπαντα τὸν βίον ὁρᾷ· πολιτεύεται εἰς τὸ κοινὸν ἅπασιν ἀνθρώποις· καὶ τὸ δὴ κάλλιστον, οὐχ ἁπλῶς οὑτωσὶ καὶ ἴσα τοῖς πολλοῖς· ἀλλ᾽ ἡγεμονικῶς ἐκεῖνος προΐσταται· καὶ τὴν φύσιν ἀνακτᾶται καὶ ὁδηγεῖ· καὶ τυποῖ περὶ τῆς ἀληθείας· καὶ νομοθετεῖ τὰ Χριστοῦ παρρησίᾳ συνδέων, εἰ οἷόν τε πάντας ἀνθρώπους· καί τισιν ὁμολογίαις ἀρρήκτοις τῆς εὐσεβείας χειρούμενος. καὶ ταῦτα ἦσαν ἔτι παρασκευαὶ, πρὸς τὴν ἐσχάτην πολιτείαν ἣν ἐκ πολλοῦ μάλιστα σκοπὸν ἐτίθει πόρρωθεν, ἀντὶ πάντων, ἐν οὐρανοῖς ἀλλάξασθαι καὶ μεταθεῖναι τὸ πολίτευμα. ἐντεῦθεν ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτοῦ τίθεται· ἀφίησι τὰ περιττὰ τῆς ὕλης· ἀφίησι τὸν κόσμον ἅπαντα· τελευτῶν ἀφίησι καὶ τὸ σῶμα· καὶ ἀνῆλθεν Ἰσραὴλ ἐν δόξῃ μετὰ τῆς ὑπηρεσίας αὐτοῦ φησὶν ἡ γραφή. ὢ τῆς ἁρμονίας· ὢ τῆς τάξεως· ὢ τῆς καλῆς προκοπῆς τε καὶ μεταβάσεως· ἐκ τῆς κατ᾽ αὐτὸν πόλεως, ἔπειτα εἰς ἅπαν τῆς Ῥωμαϊκῆς ἡγεμονίας τὸ
f. 79 κράτος· ἐντεῦθεν ἔπειτα | εἰς πάντα τὸν κόσμον· ἐντεῦθεν ἔπειτα καὶ τὸν κόσμον ἀφεὶς, εἰς οὐρανὸν ἅλλεται· ἐγκρίνεται τοῖς ἄνω τάγμασι· πολιτεύεται μετὰ τῶν ἀγγέλων· καὶ σὺν αὐτοῖς τῷ κοινῷ δεσπότῃ παρίσταται.

26. Ἀλλ᾽ ὅπερ εἶχεν ὁ λόγος, οὐδ᾽ οὕτως ἄρα μεθίσταται τέλεον τῆς πρώτης πολιτείας· οὐδ᾽ ἔρημον ἐᾷ τὴν πόλιν, τῆς αὐτοῦ κηδεμονίας καὶ προστασίας· μᾶλλον μὲν οὖν καὶ σύνεστιν ἀεὶ καὶ συμπράττει· καὶ γίνεται αὐτῇ πνεῦμα ζωῆς· ἡγεμονίας, παρακλήσεως· φῶς αἰώνιον· πάντα γίνεται· πρόξενος εἰς Θεὸν· μεσίτης·

22 οὐδ᾽[1] V[2] e corr. **30** ταῦτα V[2] e corr. **32** κείμενον· ἀλλάξασθαι V in marg. (manu Metochitae?): κείμενον ἀλλάξασθαι La **35** τελευτὼν V a. corr.

32–33 Phil. 3, 20 **33–34** cf. Ps. 83, 6 **35–36** locum non invenimus
26,4 Gen. 6, 17; Rom. 8, 2

διαλλακτής· πρέσβις· καὶ συνήγορος φησὶν, ἐν τοῖς κρίμασι τῶν πλημμελημάτων σου· εἶτα προστάτης ἐν ἅπασι κινδύνοις· πρόμαχος ἐν πολέμοις· ὁπλίτης· ταξίαρχος· στρατηγός· ἰατρὸς ἐν νόσοις· ἐν ἀθυμίαις παρήγορος· γήρως στήριγμα καὶ ἀνανέωσις· καὶ ἀνακτᾶται τὴν ταλαιπωρίαν αὐτῆς· καὶ οὐκ ἐᾷ φθείρειν, μετὰ τῶν χρόνων· ἀλλ᾽ ἀεὶ συνεῖναι μετὰ τῶν καλῶν τῆς δόξης αὐτῆς· ἀλλ᾽ ἀεὶ προβαίνειν τὲ καὶ προάγεσθαι. ἀλλὰ μὴν, αὐτὰ δὴ ταῦτα πάντα καθάπαξ ἅττα τῇ πόλει, καὶ πάσαις· καὶ πᾶσιν ὁμοῦ καθ᾽ ἕκαστόν τε καὶ κατὰ πλείους· καὶ ὅστις ἰδιώτης· καὶ ὅστις κρείττονι κέχρηται τύχῃ· καὶ φθόνος οὐδείς· οὔτε δαπάνη πλείων τῆς χρείας νικᾷ. ὥσπερ γάρ τινα ἀκρόπολιν κατασχὼν ταύτην, ἔπειτα πομπεύει διαρκῶς εἰς ἅπαντα τὸν βίον, ἑαυτοῦ ποιούμενος· καὶ καθάπερ ἀφ᾽ ἱεροῦ τινος ἀσύλου τῆς πόλεως ταύτης ἰὼν, ἐκ μετεώρου χορηγίαν τινὰ ταύτην, αἰθέριος νέμει, περὶ πάντας ἀνθρώπους· εἰς ἑαυτὸν ἐπιστρέφων εὖ πράττειν· καὶ πάντα ἐπέρχεται· καὶ πάντα ἐπέχει· καὶ ὁμοῦ τις ἐπικαλεῖται πόρρω γῆς, παλαίων κινδύνοις· ὁμοῦ δὲ ἐφίσταται· ταχὺς σωτήρ· ἀλεξίκακος ἑκάστην ἐπήρειαν· ὁμοῦ δ᾽ ἐνίοις πέμπει, θαύματα. καὶ οὐδέν ἐστι τῶν τῆς οἰκουμένης μερῶν, ἀνεπίγνωστον οὕτως· ἢ μᾶλλον ἐρεῖν, ἀσύνετον καὶ ἀλόγιστον· | καὶ οὐκ οἶδ᾽ ὅπως ἀκοινώνητον, ὦ μεγαλόφρων f. 79v καὶ μεγαλομάρτυς· καὶ συμπάσης εὐποιίας ἀκένωτον πέλαγος, εἰς ὃ μὴ χέεις, εἰς ὃ μὴ φθάνει τὰ ἐκ τῶν μαρτυρικῶν σου τραυμάτων, μύρων βρύοντα ῥεύματα· τὸ σὸν δὴ τοῦτο καινὸν ἐντεῦθεν· μᾶλλον δὲ κοινὸν εἰς ἅπαντας φάρμακον· τὸ ἀήττητον καὶ ἀδάπανον καὶ πρόχειρον ἰατρεῖον· καὶ πιαίνει· καὶ ἱλαρύνει· καὶ ἀγαθύνει μέχρις ὀστέων φησίν· ὧν ἀγαθὴ ἡ ὀσμὴ ὑπὲρ πάντα τὰ ἀρώματα τῆς γῆς· καὶ ὧν ἡ διάδοσις ἕλκει πάντα· μᾶλλον δὲ πανταχῇ ταῦτα χρὴ λέγειν ἕλκεσθαι· καὶ τὸ μυστικὸν καὶ πολύτιμον χρῆμα ῥέειν ἀφθόνως, ἅπασιν εἰς ἐπίδηλον. καὶ τὸ σωματικόν σου μάρτυς ἀλάβαστρον, ὅθεν ἡ βραχεῖα πηγὴ προσορᾶν καὶ ὀλιγομήκης, ἀλλ᾽ ἀνεξάντλητος, οὐ κενοῦται, οὐδ᾽ ἐλλείπει μετρίως· οὐδ᾽

26,6 πρέσβις V: πρέσβυς La, fort. recte **11** τῶν καλῶν V^2 in marg.: τηλικαύτης La **12** ταῦτα πάντα V^2 e corr. **14** ἕκαστόν τε La: ἕκαστον τε V **24** οὕτως V^1 in marg. La: ὄντως V **33** ῥέειν V: an ῥέει?

6–7 cf. Greg. Naz., Epist. 163, 6 (II, p. 53) **7–10** cf. Greg. Cypr., Laud. sanct. Georg., PG 142, 345A **30–31** locus communis; cf. e.g. Greg. Naz., Or. 4, 89, 17 (p. 224) **31–32** Cant. 1, 3

ὑποχωρεῖ· οὐδὲ κρύπτεται· ἀλλὰ κατὰ παντὸς ἐξαρκεῖ συνάμα τοῦ κόσμου τὲ καὶ τοῦ χρόνου· καὶ κρουνοὺς ἰαμάτων, ἀνθ᾽ αἱμάτων ἀεὶ πάντοθεν ἀναβλύζει καὶ ῥύακας· μᾶλλον δ᾽ οὐδ᾽ ἄμφω· ἀλλὰ ποταμὸς μέγιστος, ὄντως ἐκεῖθεν ἕλκει καὶ ἅλλεται· οὗ τὰ ὁρμήματα, τὴν πόλιν εὐφραίνουσι τοῦ Θεοῦ. καὶ οὐ ταύτην λέγω δὴ ταύτην μόνην, τὴν ὑπὸ σοὶ πολιτάρχῃ καὶ ἡγεμόνι, ἀλλ᾽ ὄντως ἄρα, πόλιν τοῦ μεγάλου βασιλέως ἔγωγε καὶ οἴομαι καὶ καλῶ, τὸν ἅπαντα κόσμον, ἧς ὁ πρῶτος καὶ ἄσχετος νοῦς ἀρχιτέκτων καὶ πολιστὴς, καὶ εἰς ἣν ὁ σὸς ποταμὸς ἀρδεύει κατακλυσμὸς ἁμαρτίας, καὶ πληγῆς· καὶ πάσης νόσου καθάρσιον. καὶ τὸ δὴ μέγιστον, ἄπονόν ἐστι τὸ καλὸν· εὐπόριστόν ἐστιν ἔχειν· καὶ καθάπαξ κτησάμενος· κἂν εἰ χρήσῃ πολλάκις, ἔχεις ἀμείωτον· καὶ οὐκ ἂν ἀπολέσειας οὐδ᾽ ἂν αὐτὸς σφόδρα φιλονεικήσας, ἅπαντα δράσειας· ἀλλ᾽ ἔστι σοι μένον ἀεὶ· μᾶλλον δὲ πλεῖον ἀεὶ· καὶ εἰ μὲν
f. 80 ἐκκενοῖς· | εἰ προφέρεις· εἰ χαρίζῃ κινῶν, ἔχεις πλεῖστον· εἰ δὲ μηδὲν τούτων πάντως ἔχεις, ἀλλ᾽ ἔλαττον (ὢ τοῦ θαύματος), αὔξεται δαπανώμενον· καὶ ῥέον καὶ φθειρόμενον γίγνεται· καὶ συντηρεῖ τὴν πρώτην φύσιν ἁπανταχοῦ. καὶ θαυμαστὴν ἄρά τινα ταύτην ἔχον ἰσχὺν, ἐπ᾽ αὐτῆς τῆς ῥίζης· ἐπ᾽ αὐτῆς τῆς πηγῆς ἄσχετον φέρειν· καὶ ἀεὶ πλεῖον ἑαυτοῦ, θαυμαστὴν τὴν αὐτὴν συντηρεῖ· καὶ τμηθὲν οὐδ᾽ αὖθις οὐκ ἀποβάλλεται· καὶ ὥσπερ εἰς τἆλλα καὶ εἰς ἑαυτὸ δρᾷ· καὶ γεννᾷ καὶ γεννᾶται· καὶ μένον καὶ ὂν ἀεὶ, γίγνεται· μᾶλλον δὲ καὶ γιγνόμενον ἔστιν ἀεὶ· καὶ τοὺς παλαιοὺς ἐλέγχει λόγους τῶν ὄντων· καὶ τὰ παλαιὰ τῆς φιλοσοφίας μυστήρια· καὶ καινοτομεῖ τὴν φύσιν· καὶ οὐ πέφυκεν ὅλως μὴ εἶναι· μὴ δὲ φθείρειν· μὴ δὲ παρέρχεσθαι· ἀλλ᾽ ἐκεῖνα πέφυκεν ὄντως, ἅπαντα δυσχερῆ καὶ φθείρειν ἀεὶ καὶ παρέρχεσθαι· ἐγγὺς γιγνομένου, ὥσπερ εὔπρηστος ὕλη φλογὸς· καὶ οὐχ οὕτως οὐδὲν ἰσχυρὸν, καθ᾽ οὗ ἂν, ἅψαιτο, μὴ πόρρω θέσθαι.

37 συνάμα V[2] La: σὺν ἅμα V **40** ἅλλεται corr. La: ἄλλεται V **45** ἀρδεύει La: ἀρδεύει V **51** προσφέρεις V a. corr. La | κινῶν V: an κοινῶν? **58** τἆλλα V[2]La: τἆλλα V | ὂν ἀεὶ V e corr.

41 Ps. 45, 5 **43–44** cf. Phil. Iud., De somn. 2, 248 (p. 281, 22–28) et Ps. 47, 3 **59–60** cf. Plat., Tim. 27d–28a

27. Ὡς ἄρ᾽ ἔκαμνον ἐπ᾽ Ἰωνίας ἔγωγε ξένος· ἀνέστιος· πάντ᾽ ἄθλιος ἀθλίως κείμενος· καὶ εἰχόμην ἀρρήκτοις νόσου σειραῖς· καὶ φάρμακον ἦν οὐδὲν οὐδαμοῦ, ἐπιμέλεια δὲ πᾶσα· καὶ πόνος ἅπας, οἶμαι πρᾶγμα οὐδὲν· καὶ ἡ τῆς τέχνης αὐτῆς ἐπικουρία πάντοθεν, ἐδόκει παίζειν, ἐν οὐ παικτοῖς· καὶ πλανᾶσθαι τῶν ὄντων· καὶ πάντα μᾶλλον ἐπείγεσθαι, ἢ φέρειν ἐνταῦθα καὶ πρὸς τὸ δεινὸν ἀνύτειν. ἐταπείνωσε τοὺς βραχίονάς μου· διέρρηξε τοὺς δεσμούς μου· οἷς ἡ φύσις ἑαυτῆς ἤρτηται· καὶ θαρρεῖ καὶ ἵσταται· κατέφαγέ με, ἐμερίσατό με· ἐκάλυψέ με, σκότος λεπτὸν· καὶ οὐκ οἶδα πῶς ἂν ἐμαυτῷ καὶ τοῖς ἀπὸ τῆς γραφῆς χρήσωμαι· ἢ πῶς φέρω καὶ μεμνημένος τὸ πάθος· καὶ τὴν κατασχοῦσαν τότε τοὺς ἡμετέρους λογισμοὺς σύγχυσιν. καὶ τὸ μὲν ἀπελθεῖν, ἴσως μέτριον ἐν δεινοῖς | καὶ οὐκ ἀηδὲς ἀπέραντα κάμνοντι· τὸ δὲ καὶ τοσοῦτον ἐφόλκιον f. 80v συνεπαγόμενον· μᾶλλον δὲ φορτίον πλημμελημάτων ὧν ἐμαυτῷ συνῄδειν, ὁ δείλαιος (ὢ τί καὶ ταῦτ᾽ ἄρ᾽ ὁ λόγος ἐπείγεται μεμνημένος, τῆς συμφορᾶς;), πάντοθεν ἄπορον ἦγχε· καὶ οὐκ ἦν ἠρέμα ἔχειν οὐδὲ προσβραχύ. τί τὸ ἐντεῦθεν; ἀμέλει τὸ τῆς ἀνάγκης εὐμήχανον. ἐπ᾽ αὐτὸν εἰς νοῦν ἤδη καταφεύγω τὸν μέγαν· τὴν τελευταίαν ὄντως καὶ ἱερὰν εὖ μάλα, τῶν ἐν κλύδωσιν ἄγκυραν· καὶ οὕτω πρώτως ἀθρόον, κατέπαυσεν ἡ ψυχή μου ἀπὸ τρικυμίας· καὶ ἅμα ἧκέ τις τῶν συνήθων φέρων τοῦ ἱεροῦ φαρμάκου. εἶτα δίδωσιν· ἐγγυᾶται τὰ μέγιστα· «δραστικόν ἐστι μάλα δὴ· ἰσχυρόν ἐστι καθ᾽ ὁτουοῦν· οὐδὲν ἀντέχει· πάντα ἥττηται». εἶτα ἐχρησάμην ἀθρόον ἀνύσας· ἐχρισάμην ὡς ἔθος. εἶτα τί ἐρῶ· ἢ νικᾷ καὶ αὖθις τὰ τῆς γραφῆς; ἀγαθὸς ὁ νεανίας καταπεσὼν ἀνίστατο· καὶ ἐξῆλθεν ἡ ταλαιπωρία αὐτοῦ· καὶ ἀνωρθούμην ὁ κάμνων ἐγὼ· καὶ ὃν ὑπέστην τηνικαῦτα λόγον, νῦν ἀποδίδωμι· κἀνταῦθα πᾶς τις ἐλεύθερος· καὶ γνώμης καὶ γλώττης κρίνειν ὡς βούλοιτο· ἐμαυτῷ δ᾽ οὖν ὡς ἐδόκουν, τὸ κρεῖττον ὧν μοι προσῆν· καὶ ἀποδίδωμι νῦν, τὸν αὐτὸν καὶ ἱκετήριον τοῦ λοιποῦ βίου· μᾶλλον δὲ πρόγραμμα τοῦθ᾽ ἡμέτερον· καὶ δεσμὸν ἐμαυτῷ πρὸς τὸν μέγαν οἰκείως ἔχειν·

27,7 ἀνύτειν V² La: ἀνύειν V **8** ἤρτηται La: ἥρτηται V **10** ἂν V² s.l. | καὶ² V¹ s.l.

27,1 cf. Plut. Mor. 601E **5** cf. e.g. Ioh. Chrys., In Epist. ad Coloss., PG 62, 315, 23–24 **7** Ezech. 30, 21; Ps. 36, 17 **7–8** Ps. 106, 14 **8–9** Ier. 28, 34 **17–18** cf. Niceph. Gregoras, Hist. Rom. 2, 594, 1 **19–20** cf. Plut., Mor. 815D **25** cf. Gen. 49, 9 **26** Iob 5, 21 (22)A

ὡς ἔμοιγε μάλιστα πόθος ἐπιεικῶς ἐντέτηκεν ἐξ ἐκείνου· καὶ τί δράσω, τοῖς μεγίστοις ἐμαυτὸν εἰσποιούμενος; καὶ εἰ μὲν ὦ παρόντες μετρίως ἴσως ὁ λόγος, καὶ αὕτη τοῦ μάρτυρος ἡ χάρις ὃν ἐπεκαλεσάμεθα, κἂν τούτοις ἁπτόμενοι. εἰ δ' ἄλλως ἔχει, καὶ σύγγνωτε φειδομένῳ περὶ τῶν δυσχερῶν, ἀλλ' ἄρ' ἡμῖν, ἱκανῶς ἔχει πρὸς τὴν ὀφειλήν.

5

Βασιλικὸς πρῶτος f. 81

1. Ὃ τοῖς ἄλλοις ἀμέλει περὶ μεγίστων προτιθεμένοις· ἀντιπράττει κομιδῇ καὶ προσίσταται· καὶ τὸν ἄρα σφίσιν ἔρωτα καὶ τὴν ἔφεσιν ἐπέχει προαγομένην κατεπιχειρεῖν τοῦ σκοποῦ· καὶ τοῦ πόθου· καὶ προσάπτεσθαι, τοῦτ' ἐμοὶ νῦν ἐπαίρει θαυμαστῶς ὅπως τὸν λόγον· τῷ μεγίστῳ τῶν ἔργων ἐπιβάλλειν, τοῖς ἐγκωμίοις τοῖς περὶ σοῦ θειότατε βασιλεῦ. τοῖς μὲν γὰρ ἄλλοις ἅπασιν ὡς ἔπος εἰπεῖν, ἡ παντὸς ἐγχείρησις ἔργου δοκιμάζεται, δυνατὸν ἀνύτειν ὑποτιθεμένοις, τὸ τέλος τῆς ἐργασίας· καὶ διὰ τῶν πραγμάτων ἀξίως ἐλθεῖν, καὶ οὐκ ἔστιν ὅστις οἶμαι τῶν ἁπάντων σχεδὸν, ἀνέφικτον ὑποθεὶς τὴν πρᾶξιν, εἶτ' ἐπιβάλλειν ἀξιοῖ φρονήματι· κἂν εἰ πολλάκις ἄρ' ἐνίους, τῆς ἀληθοῦς τῶν προκειμένων, καὶ ἀσφαλοῦς δοκιμασίας καὶ κρίσεως παράγοι, τὸ περὶ τὰ μέγιστα καὶ κάλλιστα φύσει λίχνον· ὥστε τοῖς ἀδυνάτοις ὡς δυνατοῖς ὁμόσε χωρεῖν, τῆς βουλήσεως κλεπτούσης τὴν ὀρθὴν ψῆφον, καὶ χαριζομένης τοῖς ἀλογίστοις ἴσως ἔρωσιν.

2. Οὐ μὴν ἀλλ' ὃ νῦν τῷ λόγῳ σκοπὸς, τοὐναντίον ἅπαν ἀναρρῶσαι πρὸς τοσοῦτο πρᾶγμα, καὶ τὴν ἐγχείρησιν ἡμᾶς ταύτην, δικαίους ἂν, εὖ μάλα σιγᾶν καὶ ὑποχωρεῖν, πρὸς τὴν ἀξίωσιν αὐτὴν τοῦ πράγματος. εἰ μὲν γὰρ ᾤμην οἷον τ' εἶναι τῆς βασιλικῆς μεγαλοφυίας, ἐγγὺς γενέσθαι τινά· καὶ λόγον ἐξισῶσαι, τοῖς πράγμασι, κἂν, ἀπέγνων παντάπασιν ἐμαυτοῦ· καὶ τῆς παρούσης σπουδῆς, κἂν, ἐθέμην ἐπιεικῶς φυλακὴν, ἐν τῷ στόματι, τοῖς ἀξίοις ὑπεξιστάμενος τῶν λόγων· ὡς ἂν, δεδιὼς μὴ πολὺ τοῦ μεγέθους ἥττων ὀφθεὶς, τοῦ πράγματος, ἔπειτ' αἰσχύνην ἐμαυτῷ προσάψω διὰ τὴν ἀλόγιστον ἔφεσιν ἄρα τῆς μεγαλουργίας ταύτης, ἐξὸν ἀκινδύνως σιωπῇ | τιμᾶν τὰ πάντων μέγιστα. ἐπεὶ f. 81v δὲ καὶ τοῦθ' ἓν τῶν μὴ δυνατῶν ἀνῦσαι καὶ τυχεῖν, πρὸς τοῖς ἄλλοις ἔδειξεν ὁ χρόνος· καὶ οὐχ ἑνὶ μόνον τυχὸν, ἢ καὶ δευτέρῳ, ἢ καὶ πρὸς ἔτι, ἀλλὰ καθόλου πᾶσιν ὁμοῦ, αὐτὸ δὴ τοῦτο· καὶ

tit. λόγος ε' V^2 in marg. **1,4–5** θαυμαστῶς ὅπως V^1 e corr.

2,7 Ps. 38, 1 **11** cf. Greg. Naz., Or. 28, 20, 4–5 (p. 140)

πάντας ἄν, ἴσως ἐμοὶ δοκεῖν, οὐκ ἔξω καθάπαξ λογισμοῦ προάγοι μάλιστα σπουδάζειν, ὅπως ἄρ' ἔξεστιν ἐνταῦθα· καὶ οὐχ ὅπως, τοὺς τὰ μεγάλα δυνατοὺς ἐν λόγοις καὶ θαρροῦντας ἑαυτοῖς, ἀλλ' οὐδὲν ἧττον καὶ ὅσοι κατ' ἐμὲ βραχεῖαν μέν, ἢ μὴ δὲ τοῦτο τῆς περὶ λόγους σπουδῆς τὴν ἀγαθὴν προσδοκίαν ἐνοῦσαν, σφίσιν ὁρῶντες· σφοδρῷ δὲ τῷ πόθῳ, τῆς φυσικῆς περὶ τὰ καλὰ πάντων ὁρμῆς, πρὸς τὰ κρείττω λοιπὸν ἢ κατ' αὐτούς, ἐπειγόμενοι. καὶ γίγνεται πᾶσιν ὁμοῦ κοινή τε παραμυθία τῆς ἀποτυχίας· καὶ κοινὴ πρὸς τοὖργον αὖθις προτροπὴ καὶ παράκλησις, τὸ παρ' ἑαυτῷ προεγνωκόθ' ἕκαστον εἶναι, μὴ μόνον ἑαυτόν, ἀλλὰ καὶ πάντας ὅσοι κινοῖντ' ἄν, πρὸς τὴν αὐτὴν ἐπιχείρησιν ἀπολειφθῆναι κομιδῆ.

3. Προσθεῖναι μοι καὶ τοῦτο δοκῶ, λυσιτελοῦν πάνυ τοι· καὶ συναιρόμενον τῇ κρίσει ταύτῃ καὶ τοῖς λογισμοῖς. ἱλαρὸς αὐτὸς ὅτι μάλιστα καὶ ἡδύς, προσδέχῃ θειότατε βασιλεῦ τὴν γιγνομένην ἑκάστῳ φοράν· μὴ δὲ τοὐλάχιστον ἀπαξιῶν, φιλάνθρωπος ἀπαντῶν τῇ πάντων πάσῃ σπουδῇ, ἵν' εἴη σοι κατ' ἀμφότερ' ἔοικε, τὸ πρὸς τὸ θεῖον ὁμοιοῦσθαι, κάλλιστ' ἐπίδηλον· τοῦτο μέν, οἷς, ὅτι πᾶσαν νικᾷς ἐγκωμίων καὶ λόγων κατάληψιν· καὶ ὡς εἰπεῖν ἱκάνωσιν· τοῦτο δ' οἷς ὅτι πᾶσαν, ἵλεως κἂν ὅπως ἄρ' ἔχοι τὴν ἑκάστων εἰσφορὰν οὐκ ἐκτρέπῃ. ταύτῃ τοι καὶ τολμηρὸν περὶ τῶν σῶν, ἐγκωμιαστήν, ἐμέ, ταῦτα νῦν εἰς μέσον ἄγει· καὶ τοσοῦτον ἔργον ἀναπείθει θαρρεῖν.

4. Ἀλλ' ἐπειδὴ ταῦθ' οὕτως ἔχει· καὶ τὸ σύνηθες πάντως οἶδ' ἔγωγε, καὶ περὶ ἡμᾶς μέτριον· μᾶλλον δ' ἡ βασιλικὴ κάλλιστ' εὐγένεια καὶ μεγαλοψυχία, δίδωσι τὸ πιστὸν τῇ παρούσῃ προθέσει, φέρε δὴ τῶν λόγων ὡς ἔξεστι τοιγαροῦν ἀρκτέον. | f. 82 πατρίδα τοίνυν οἶμαι τίς ἄν, ἐν καιρῷ νῦν ἐρεῖ τοὐμῷ βασιλεῖ, τὴν βασιλίδα τῶν πόλεων ταύτην; οὐ γὰρ ἄλλης ἢ ταύτης· ὅστις ἄν, τὸν ἀληθῆ νῦν εἶναι λόγον περὶ τούτου ζητοίη, τὸ περιφανὲς ἡμῖν τοῦτο γένος ἀνεδείχθη· καὶ συχνῶν ἤδη τῶν χρόνων, τά τ' ἄλλα μέγιστα καὶ κάλλιστα· καὶ βασιλικαῖς οὐχήκιστα μεγαλουργίαις σεμνύνεται. πόλις αὕτη βασιλικὴν τοσαύτην ἀξίαν, τῶν ἄλλων ἁπασῶν ἀναμ-

2,17 ἀλλ' V[1] in marg. **20** φυσικῆς V[1]: φύσιν V **23–24** παρ' ἑαυτῷ V[2]: παρ' αὐτῷ V **4,4** πατρίδα V[2]: ατρίδα V (obl. rubr.)

φηρίστως μόνη διαρκῶς ἐνεγκεῖν πιστευθεῖσα· χρόνος ἤδη πολὺς, ἐξ οὗ τὴν τῆς γενέσεως ἔσχεν ἀρχὴν· καὶ τοσούτῳ δὴ τῷδε τῷ πράγματι, πᾶσιν ἔκδηλον δεικνῦσα φέρειν τὸ κατὰ πασῶν κράτος· ὅσαι πολλοῖς ἀμέλει τοῖς ἀγαθοῖς κοσμούμεναι, καὶ οἷς κοσμοῖντ' ἂν, πόλεις, τὸ κράτος ἑαυτῆς ἑκάστοθ' ἑκάστη· λοιπὸν ἐντεῦθεν ἀξιοῖ τίθεσθαι. ἀλλ' αὕτη προγενομένων πολλῶν, ἐξελέγη μόνη πασῶν, ὡς ἔφην μεθύστερον ἐπὶ τούτῳ γενέσθαι. καὶ γενομένης τοίνυν καὶ τὸ βασιλεύειν ὑποδεξαμένης αὐτῆς, ἐξεκείνου, κατὰ διαδοχὴν, εἰς δεῦρο κόρος οὐκ ἤμβλυνε, τὴν περὶ αὐτὴν ἔφεσιν ἢ κρίσιν μάλιστα· ὥσπερ ἐν τοῖς τοιούτοις φύσις, τῇ τοσαύτῃ τῆς χρήσεως εἴτουν ἀπολαύσεως συνεχείᾳ· οὐδ' ἐπιγενόμεναι τοσαῦται καὶ τοιαῦται πόλεις ἴσχυσαν, εἰ μή γε τοῖς ἄλλοις· τῇ δ' οὖν καινότητι πάντως, ἔπειτ' ἀφελκῦσαι τὴν γηράσασαν ψῆφον· καὶ εἰς ἑαυτὰς ἐπισπάσασθαι καὶ μεταθέσθαι τὸ δόγμα· ἡ δὲ, διατελεῖ κατὰ πασῶν καὶ τοῦ τοσούτου χρόνου, σὺν ἀκμῇ κρατοῦσ' αἰεὶ· ὥσπερ ἂν, εἰ χθὲς, καὶ πρὸ τρίτης ἤρξατο, ἢ ὥσπερ, ἂν, εἰ ἑκάστοτε γινομέναις αὐταῖς, ἑκάσταις συμπροῄει.

5. Οὕτω τοι πολλή τις ἡ περιουσία τῇ πόλει τῶν ἀγαθῶν· ὥστε καὶ ἡνίκά ποτε, κρίμασιν οἷς Θεὸς οἶδεν ἑάλω τοῖς ἐναντιωτάτοις· καὶ δούλειον ὑπέδυ ζυγόν, καὶ τοῦτ' ἔδειξεν οὐχήκιστα τὸ πλῆθος τῶν προσόντων ἀγαθῶν τῇ πόλει, καὶ ἡ μετὰ τὴν πεῖραν ἐρημία καὶ ἀπουσία, τἀναγκαῖον καὶ καίριον τῆς χρήσεως, ἢ κύριον | μάλιστ' εἰς τὸν βίον καθόλου καὶ τὰ πράγματα. τότε μέν f. 82v γε τόθ' ἡ τῶν Ῥωμαίων ἀρχὴ, πᾶσα γε ἀνῃρῆσθαι σχεδὸν ἐδόκει, ὡς ἐνταῦθ' ἄρ' ὂν, εἶναί τε τὴν ἀρχὴν οὔσης· καὶ μὴ οὔσης μὴ εἶναι δοκεῖν. καὶ ἦν ἂν, οὕτως ἔχον καὶ μάλα κατὰ λόγον δοκοῦν· εἰ μὴ τὴν θαυμαστὴν ὑμῶν βασιλείαν προελόμενος Θεὸς, ἐπέστησέ τε τῇ καθ' ἡμᾶς ἀρχῇ ταύτῃ, καὶ δι' αὐτῆς αὐτῇ τε καὶ τοῖς Ῥωμαίοις τὴν πόλιν ἀνίστησι, ταύτην νέαν ἀνασωσάμενος αὖθις, μετὰ τὴν ζημίαν ὄντως σφόδρα ποθεινὴν, καὶ δι' ὑμᾶς μάλιστα περισπούδαστον.

24 διατελεῖ V[2] e corr. **27** γινομέναις V[1]: γενομέναις V | συμπροῄει V e corr.

4,17 cf. Or. 11, 52, 13–14 **19** Pind., Pyth. 1, 82

6. Ἑνὶ τοίνυν τούτῳ γενικῷ τε καὶ συνεκτικῷ τῷ λόγῳ, τῷ νῦν εἰρημένῳ περὶ τῆς πόλεως, ὁ θησαυρὸς, τῶν κοσμούντων αὐτὴν ἁπάντων καλῶν, ἐμοὶ δοκεῖν ὁμοῦ καθόλου δηλοῦται, ὅστις ἂν, νοῦν ἔχων ἐνταῦθα περαίνοι καὶ συλλογίζοιτο. καὶ γὰρ εὖ μάλα δῆλον ὡς οὐκ ἦν εἰς βασιλείας ὑποδοχὴν οὕτω· τῶν ἄλλων ἀπόλεκτον αὐτὴν νικῆσαι, ὅτι μὴ πᾶσι πασῶν κρατοῦσαν, ὅσα πόλεσι κράτος φέρει. ὥστε τούτῳ δὴ νῦν ἀμέλει τῷ λόγῳ, παντάπασι μὲν ἀποχρώντως, οὐκ ἄν, ἔγωγ' ἐρῶ (καὶ γὰρ οὐδὲ δίκαιον), οὐ μὴν ἀλλ' ἔστι γέ τοι σαφὲς, οὕτω πρὸς τοῖς ἄλλοις καὶ θέσεως ἐπικαίρου· μάλιστ' ἐν γῇ τε καὶ θαλάσσῃ· καὶ ὡρῶν εὐαρμοστίας, εὖ εἶναι τὴν πόλιν καὶ πρὸς ὅτι κάλλιστον ἀλλήλαις, συμβάσεώς τε καὶ κράσεως· καὶ τοῖς ἄλλοις συλλογίζεσθαι καὶ συνορᾶν εὐθηνουμένην ἀγαθοῖς, πᾶσι, κἂν εἰ μὴ καθ' ἕκαστα διεξῆλθεν ὁ λόγος· ὅτι μὴ δ' ἔξεστι διὰ πάντων ἐλθεῖν καὶ τοσοῦτο συλλαβεῖν καὶ περιγενέσθαι, βραχεῖ τῆς παρούσης μέρει σπουδῆς, ὁπόσον ὄψις, καὶ μνήμη πιστεύεται.

7. Ἀλλ' οὕτω μὲν τὰ τῆς θαυμαστῆς ταύτης πόλεως· ἐκ τοῦ παρήκοντος τρόπον τινὰ τοῦτον τὸ μέρος καὶ εἴρηται καὶ σεσίγη-
f. 83 ται. πρόγονοί γε μὴν, εἰς βασιλεῖς ἔφην, | ἀναφέρει τὸ γένος τῷ μεγίστῳ μοι βασιλεῖ· οὐ τό γε πρόχειρον τοῦτο, καὶ οὗπερ ἔγγιστα τῆς πείρας ἡ μνήμη, ἀλλ' εἰς ὅσον ἄν τις τὸν λογισμὸν ἐκτείναι τῶν ἄνω χρόνων πόρρω δὴ μάλιστα. ὅθεν δὴ καὶ κάτεισιν εἰς ὑμᾶς, ἡ τῆς βασιλικῆς ἀξίας σεμνότης, καὶ γίνεται κόσμος ὑμῖν τὰ πρῶτα· καὶ ἀντιδίδοται κόσμος ἐκείνοις μείζων τὰ παρ' ὑμῶν· καὶ μὴν οὕτω γέ τοι τἀν μέσῳ λαμπρύνεται καὶ διαπρέπει, κάλλισθ' ἑκατέρωθεν. ἀλλ' ἵνα μὴ τρίβοι πόρρωθεν ὁ λόγος, πατὴρ γε μὴν, ἐκεῖνος τῷ βασιλεῖ περιφανὴς εἰ δή τις καὶ ἄλλος βασιλέων, οὗ πολλὰ καὶ πολλαχοῦ καὶ μέγιστα τρόπαια· τήν τε τῶν Ῥωμαίων ἡγεμονίαν, εἰς ἔσχατον ἤδη κινδυνεύουσαν ἀνορθωσαμένου· καὶ τοὺς ἐχθροὺς κύκλοθεν πάντας ἐς τὸ κατ' αὐτοὺς, ἢ μᾶλλον εἰπεῖν εἰς ὅτι μάλιστ' ἐξῆν ἔλαττον, τοὺς πρὶν ὑβριστὰς

6,1 γεννικῷ V a. corr. **3** post δοκεῖν ras. fere quattuor litterarum in V **13** καθ' ἕκαστα V[2]: καθέκαστα V **7,2** παρήκοντος V[2]: παρόντος V **6** ἐκτείναι V[2]: ἐκτεῖναι V **15** εἰπεῖν εἰς V[2]: εἰπεῖν V

6,10 Menand. Rhet., De orat. 1, 347, 15–16 (p. 34)

καταβιασαμένου. οὗ καὶ τἆλλα μὲν πάντα σεμνὰ, ἵνα μὴ καθ' ἕκαστα λέγων μηκύνω· τὸ δὲ μέγιστον εἰς εὔκλειαν, τὸ σοῦ καὶ γενέσθαι καὶ κληθῆναι πατέρα. οὐ γὰρ τοσοῦτο δόξαν ἐκείνῳ φέρει τὸ κτήσασθαι βασιλείαν, τῆς οἴκοθεν μεγαλοφροσύνης τὲ καὶ μεγαλουργίας, καὶ διοικῆσαι συχνῶν τῶν χρόνων κάλλιστα (καὶ τοῦτο μὲν γὰρ), ἀλλ' ὅτι καὶ τῷ παρ' αὐτοῦ σοὶ προελθόντι παρέπεμψε· καὶ παρέπεμψε πολλῷ γε κρείττονι· ἵνα δὴ μὴ τύχης ἀλογία δοκῇ τὸ πρᾶγμα· ἀλλὰ τιμὴ τοῦ καλοῦ καὶ ψῆφος θεία τοῦ βελτίστου. καὶ δὴ πάνυ τις ἂν, θαυμάσαι τὸ περὶ σὲ τουτὶ μᾶλλον πρᾶγμα θειότατε βασιλεῦ. εἰ γὰρ ἐκεῖνος τούτου δὴ μάλισθ' ἕνεκα θαυμάζεται ὡς ἂν, τοὺς προγόνους ὑπερβαλόμενος, καὶ παρατοῦτο τὴν βασιλείαν ἆθλον μεγαλοφυίας δεξάμενος, καὶ τῷ γένει ταύτην ἐπανασωσάμενος, τίς ἂν, αὐτὸς, ἔπειτα λοιπὸν εἴης· ὅστις τῆς ἐκείνου δόξης τοσαύτης κληρονομήσας, καὶ νικητὴν οὕτω καὶ βασιλέα καὶ τῶν ἄλλων σχεδὸν ἀποδειχθέντα | βασιλέων κάλλιστ' f. 83v
αὐτὸν ἐκδεξάμενος, πολλῷ μάλισθ' ὑπερῆρας· διὰ πάντων ἀναφανεὶς κρείττων;

8. Γέγονας τοιγαροῦν ἐξ αὐτοῦ· καὶ τοῦτο δὴ πρώτη τις ὑπόθεσις εὐδαιμονίας· καὶ τῆς εἰς τὸ κρεῖττον προόδου αὐτῷ τε δὴ τῷ γεγεννηκότι, καὶ τοῖς Ῥωμαίων πράγμασιν, αὐτὸς γεννηθεὶς. καὶ δηλοῖ τῶν ἀγαθῶν ἐπὶ τούτῳ συνέχει' ἑξῆς· καὶ ὁ δρόμος αὐτίκα αὐτόθεν. τά δ' ἑξῆς, τίς ἀναγγελεῖ βουλὴν Θεοῦ καὶ μέτρα σοφίας αὐτοῦ· ὡς ἄλλοις τὲ πολλάκις κατὰ καιρὸν δεῆσαν, μεταποιῆσαι τὰ κοινὰ καθόλου τῶν ἀνθρώπων εἰπεῖν πρὸς τὸ κρεῖττον· καὶ τὰ τῆς ἀρχῆς ὅπως ἄρα πρὸς τὴν χρείαν ἀνακτήσασθαι, καὶ δὴ καὶ τότε τὸ τῆς βασιλείας ὕψος ὑμῖν ἐπιμετρήσας, νέμει· ἐπεὶ γεννηθέντι σοι βασιλεῦ παραχρῆμα, Θεὸς ἄνωθεν ἐπισημαίνεται καὶ προοιμιάζεται καὶ δεξιοῦται τὴν βασιλείαν ὑμῖν; καὶ κοινὴ χάρις τῷ πατρὶ, καὶ τῶν σῶν γενεθλίων καὶ τῆς ἀρχῆς, καὶ Θεὸς οἶμαι προδείκνυσιν ὡς ἄρα σὴν ἀποκλήρωσιν ταύτην, αὐτὴν νέμει τῷ σῷ

16–17 καθ' ἕκαστα V²: καθέκαστα V **17** λέγων V¹: λέγω V **21** προελθόντι V² e corr. **26** ὑπερβαλόμενος V²: ὑπερβαλλόμενος V **30** καὶ V¹ s.l. **31–32** ἀναφανεὶς κρείττων V²: ἀναφανὴς κρείττων V

7,22–23 Synes. Cyren., De regn. 5, 1 (pp. 90–91) **8,9–12** Greg. Cypr., Or. in Andr. imp., PG 142, 393BC; cf. etiam Synes. Cyren., Aeg. 1, 6, 5 (p. 105)

γεννήτορι· καὶ τῶν σῶν ἀγαθῶν καὶ τῆς σῆς φύσεως, ἀξίαν ὑπόθεσιν βίου· καὶ ἀντίδοσιν ἀξίαν.

9. Ὃ δὴ καὶ πολὺ τὸ κατὰ λόγον εἰκὸς ἔχει πάντως. καὶ οἵα τῆς ἀρρήτου θείας σοφίας, ἡ τῆς περὶ ὑμᾶς οἰκονομίας καὶ προνοίας τέχνη· πάντ' ἐφαρμόζουσ' ἕκαστα; Ἐπεὶ γὰρ ἔδει σε, προελθεῖν εἰς κοινὴν τοῦ γένους ἡμῶν ἀνάκλησιν· καὶ ὡς ἔδει καὶ γέγονε, καὶ προῆλθες ἡμῖν, ἔδει δὴ πάντως καὶ τὸ εἰκὸς, ἀκολουθεῖν αὐτόθεν καὶ τὴν οἰκείαν ὕλην, τῆς τοῦ βίου χρήσεως, ἡ δὲ, ἦν τὸ τῆς βασιλείας ὕψος οἶμαι, ὡς τό γε ἰδιωτεύειν οὐ σοὶ κατὰ φύσιν ὂν, οὐδὲ πρὸς λόγον, οὐκ ἄρ' ἔχον. ταύτῃ τοι τὸ δίκαιον ἐν τούτοις ξυμβαίνει δῆλον. ἑκάτερον γὰρ εἶναι παντάπασιν ἔξω τοῦ καιροῦ καὶ τῶν θείων ἀλλότριον, καὶ νομίμων καὶ ψήφων, εἴ τις ἄξιος ὢν ἀμέλει, τῶν μεγίστων αὐτῶν πραγμάτων ἔπειτα βίῳ ταπεινῷ, ξυλλαγχάνοι καὶ πράττοι τῆς φύσεως ἐνδεῶς τε καὶ f. 84 ἀναξίως, | καὶ μὴν ἔτι τὸν ἀπᾴδοντα μεγαλόφρονι τύχῃ· πράγμασιν ἐφιστάμενον ἡγεμονίας, ὑβρίζειν κακὸν κακῶς καθ' ἑαυτοῦ θριαμβεύοντα. κἂν τούτῳ τοίνυν ἡ ποικιλία τῆς θείας σοφίας, καὶ πῶς τὸ ἴσον ἐν ἀνισότητι κατὰ καιρὸν τοῖς ὑποκειμένοις, ἑκάστοτε διαιρεῖ τε καὶ προσαρμόζει, καὶ τὰ τῆς ἀρίστης γεωμετρικῆς ἀναλογίας ἵν' οὕτως εἴποιμι, καθ' ἣν ἅπαντα προέβη τὴν ἀρχὴν καὶ προβάντα τὸν ἅπαντα χρόνον, οὕτω μένει κάλλιστα. καὶ δὴ καὶ τὸ νῦν εἰρημένον περὶ σοῦ, τί τις ἂν ἐρεῖ θαυμασίως ὡς ἔσχε τὸ τῆς βασιλείας λάχος ἅμα τῇ σῇ γεννήσει, παρὰ Θεοῦ δῶρον ὑμῖν· καὶ βίοτος ἀποχρῶν τῇ σῇ μεγαλοφυΐᾳ· καὶ προσήκων εὖ μάλα· καὶ καθάπαξ ἰσούμενος ἐπιπρέπων;

10. Ἀλλ' ὅπερ ἡλίῳ τῆς γῆς ὑπερκύπτοντι κατ' οὐρανοῦ συμβαῖνον ὁρῶμεν, αἰσθάνεται τῆς ἐπιδημίας αὐτοῦ, πᾶν ὑποκείμενον ἐπὶ τῆς γῆς κάτω· καὶ μεταποιεῖται περιλαμπόμενον· καὶ πρὸς τὴν φύσιν ὥσπερ ἐκλιποῦσαν ἐπαναστρέφει καὶ ταύτην ἐπιδείκνυται, τῷ φωτὶ· καὶ τὴν ἐπικεχυμένην ἀχλὺν καὶ τὸ σκότος· καὶ τὴν ἀχρηστίαν ἐντεῦθεν· καὶ τὴν ἐρημίαν αὐτὴν καὶ

9,16 ἴσον ἐν ἀνισότητι V[1]: ἴσον ἀνισότητι V **18** οὕτως V[2]: οὕτω V

10,6–7 cf. Or. 11, 99, 10

τὴν ἀπουσίαν, ὡς εἰπεῖν τῆς φύσεως ἀπορρίπτει· καὶ μεταβάλλει καὶ ἀποτίθεται· καὶ καθάπερ ὑπὸ νέου δημιουργοῦ τὴν οὐσίαν αὖθις νέαν ἀπολαμβάνει· καὶ τὸ εἶδος ἐπανασῷζον ἔοικεν αὖθις ἀναπλάττεσθαι, παραπλήσιόν τι κἀπὶ σοὶ γεννηθέντι βασιλεῦ παραχρῆμα συμβαίνει. μεταποιεῖσθαι θαυμασίως ὅπως ἤρξατο Ῥωμαίοις τὰ πράγματ’ ἀθρόον· καὶ δεξιᾶς ὑψίστου μεταλαμβάνει καὶ κοσμεῖται, καλλίστην ἀλλοίωσιν. οὕτω τοι πρὸς τὸ κρεῖττον μεθηρμόζετό τε καὶ ἤλλαττε· καί σου προϊόντος τῷ χρόνῳ συμπροήει καὶ μεγάλην ἐλάμβανεν ἐπίδοσιν. καὶ σαφὴς ἡ τοῦ λόγου δεῖξις, χῶραι τοσαῦται· πόλεις τοσαῦται, ὑπὸ τὴν ὑμῶν ἡγεμονίαν ἰοῦσαι· καὶ ἀπ’ ἄλλων ἄλλαι κοπτόμεναι καὶ προστιθέμεναι· καὶ εἰς ἓν συντιθέμεναι καὶ τὴν παλαιὰν ἐκείνην, εὐμήκη τὲ | f. 84v καὶ λίαν εὐσωματοῦσαν τὴν Ῥωμαίων ἀρχὴν, αὖθις ἀπαρτίζουσαι καὶ ἀποπληροῦσαι καὶ καινίζουσαι, τὰ μὲν, πειθοῖ· τὰ δὲ βίᾳ· ἔστι δὲ οὗ καὶ γνώμης αὐθαιρέτῳ κρίσει, τὸ συμφέρον ἐπιγινώσκουσαι καὶ προσχωροῦσαι.

11. Καὶ σιωπῆσαι μοι δοκῶ τότε δὴ νίκας τοσαύτας κατ’ ἐχθρῶν Ἰταλῶν τε καὶ τῶν ἄλλων, οἳ τῇ συγχύσει πρώην τῶν ὅλων τῆς ἡγεμονίας πραγμάτων ἐπαναστάντες, ἀρχάς τινας ἑαυτοῖς αὐτομάτως ὥσπερ ἐν τραγῳδίᾳ καὶ σκηνῇ μεγίστων συμφορῶν, ἐδραματούργησαν καὶ κατεδημιούργησαν· ἢ μᾶλλον εἰπεῖν, κακοὶ κάκιστ’ ἐν οὐ παικτοῖς κατέπαιξαν· καὶ κατωρχήσαντο τἀλλότρια· καὶ ὧν οὐδ’ ὁτιοῦν προσῆκε σφίσι, τῷ κοινῷ κλύδωνι, τὸ καθ’ ἑαυτοὺς συμφέρον ἁρπάσαντες· καὶ πραγματευσάμενοι· καὶ περιποιησάμενοι, σφίσιν ἕκαστοι κράτος· ὥσπερ ἐν τοῖς τοιούτοις παρακερδαίνουσιν ἄνθρωποι. οἳ δὴ τῇ καινότητι τηνικαῦτα τῶν γενομένων ἐπαρθέντες, ἢ μᾶλλον εἰπεῖν τῷ περὶ αὐτῶν δέει, τηνικαῦθ’ ὅπερ ὑπεδείκνυ καὶ προὔφαινε τρανῶς, ἡ πρὸς τὸ κρεῖττον τῶν ὅλων κατὰ Ῥωμαίους πραγμάτων μεταβολὴ, καθάπερ ἔμπληκτοι γενόμενοι, λίαν μὲν ἀμαθῶς· σφοδρότατα δ’ οὖν μάλιστα μετὰ τῶν καιρῶν ἐπαναστάντες, κακῶς ὅμως ἀπήλλαξαν.

10,7 ἀπορρίπτει V[1] in ras. **14** τε V[1] s.l. **11,13** τὸ V[1] s.l.

12–13 Ps. 76, 11 **11,6** cf., e.g., Ioh. Chrys., In Act. apost., PG 60, 351, 8–9

12. Ταῦτα μέντοι πάντες ἐξεκείνου μέχρι καὶ δεῦρο, κηρύττουσι καὶ θαυμάζουσι. καὶ σιωπῆσαι γε δεῖν ἡγοῦμαι, νῦν εἶναι περὶ τούτων, τοῖς ἑξῆς ἔγγιστα μάλιστα προσέχων τὸν νοῦν. τοσοῦτο γε μὴν προσθήσω τοῖς εἰρημένοις, ὡς ἐν ἐκείνοις τοῖς χρόνοις γῆς ἀμέλει καὶ θαλάττης, ὅροι καὶ κλῆροι Ῥωμαίων ἐπανεσῴζοντο· τοῖς κατὰ φύσιν δεσπόταις ὑμῖν, καὶ καλῶς ὑφ' ὑμῖν συνήπτοντο. ὃ δὲ δὴ τούτων ἁπάντων μέγιστον, ἑάλω μὲν (φθάσας τοῦτ' ἔφην), ἡ βασιλὶς αὕτη καὶ περιφανεστάτη μεγαλόπολις τῆς Ἰταλικῆς χειρὸς καὶ παντάπασιν ἀθλίως εἶχε, καὶ f. 85 κάκιστ' ἐλεεινῶς ἀπημαυρώθη τὸ | κάλλος· καὶ ἀτιμίας αἶσχος ἠλλάξατο· καὶ χαλεπῶς ἤνυτε τὸν βίον, ἀτιμίᾳ δουλεύουσα. οὐ βραχὺς χρόνος ἐπὶ τῷ πάθει· καὶ βασιλέων ἄλλων χεῖρες τὲ καὶ βουλαὶ καὶ μηχανήματα παντοῖα· περὶ αὐτὴν σπουδάζοντα, ταῦτα δὴ πάντ' ἄπρακτα· καθάπαξ οὐδὲν ἔδρων, καὶ πλέον οὐδὲν ἦν ἐντεῦθεν, τοῖς ἐγχειροῦσιν, ὅτι μὴ τὰ λυπηρὰ μάλιστα, ταῖς ἀτυχίαις αὔξοντα· καὶ δι' ἄλλας μὲν ἴσως αἰτίας· ὅ δ' οὖν ἔγωγ' οἶμαι, ταμιεύοντος τοῦ Θεοῦ καὶ συντηροῦντος τὸ μέγιστον τοῦτο τῶν ἔργων ὑμῖν καὶ τὴν ἐντεῦθεν εὔκλειαν, ὡς ἦν ὁ τοσοῦτος χρόνος· τοῖς ἐναντίοις ἐκρατύνατο τυραννίδα τῆς πόλεως· καὶ τοῖς ἐπιχειροῦσι, τὴν ἀπόγνωσιν, τῆς περὶ ταύτην σπουδῆς καὶ ἀποχώρησιν βεβαίαν, κατεστήσατο, κρίσει γνώμης· ὡς ἄν, μηδὲν ὁτιοῦν κατορθοῦσι τῷ μεγάλα πονεῖν, ταύτην δι' ὑμῶν ἐπανελθεῖν τοῖς Ῥωμαίοις, ἐν ὀλίγῳ κομιδῇ καὶ πόνῳ καὶ χρόνῳ. τοῦτο γὰρ δὴ καὶ γενόμενον, οὕτω, τοῦ λόγου τὲ σαφὴς ἔστι πίστις· καὶ μεγάλην καὶ ἀναμφήριστον, τὴν ἐφ' ὑμῖν χάριν τῆς τοῦ Θεοῦ προνοίας δείκνυσιν· ὡς ἐποίησε μεθ' ὑμῶν θαυμάσια δυνάμεως αὐτοῦ· καὶ βουλὴν ἀρχαίαν ἀληθινὴν, δοκιμασθεῖσαν αὐτῷ πρὸς τέλος ἤγαγεν. ἡ γὰρ χεὶρ Κυρίου φησὶν εἰργάσατο ταῦτα, χερσὶν ὅσα καὶ ὀργάνοις ὑμῖν χρησαμένη, πρὸς τοσοῦτο μέγιστον ἔργον.

13. Ἀλλ' ἵνα καὶ τοῖς ἑξῆς τὸν λόγον δώσωμεν, καθ' ὅσον οἷόν τέ ἐστι τὸ μῆκος ὑποτεμνόμενοι, τοσούτοις μὲν ἡ τύχη σε τοῖς ἀγαθοῖς, αὐτῇ γεννήσει παραχρῆμα δεξιοῦται καὶ κάλλιστα

13,1 δώσωμεν scripsimus: δώσομεν V **2** ἡ τύχη σε V[1]: ηὐτύχησε V

12,26–27 Ps. 39, 5; 77, 12 **28** Is. 25, 1 **13,2–3** cf. Greg. Naz., Or. 33, 7, 3–4 (p. 170)

προσαπαντᾷ· μᾶλλον δὲ τοσαύτην σοι τὴν τῶν καλῶν ἀφθονίαν καὶ χύσιν ἑκάστων ἑξῆς ἀλλήλοις, ἄνωθεν ἐπιδαψιλεύεται Θεός. ἃ δὲ καὶ φύσις χαρίζεται, καὶ δι' ἐκείνης μάλιστ' αὖθις, καὶ τοῦτο Θεὸς, ἔστι μὲν ἀναίσθητος οὐδεὶς οὕτως οἶμαι, ὅστις ἐντυγχάνων, ὡς ἄρ' ἔξεστιν ὀφθαλμοῖς χρῆσθαι, | μὴ καθάπαξ αὐτίκ' ἔχεται f. 85[v] τῷ τοῦ πράγματος ἀπαραμίλλῳ, καὶ θαυμάζει τὴν τοσαύτην τῆς φύσεως, ἐνταῦθα φιλοτιμίαν. οὐ μὴν ἀλλὰ καὶ νῦν ὅμως ὁ λόγος, τοσοῦτο προτίθεται ὡς ἄρα εἰ μὲν ᾔδει σε καὶ ὁπωσοῦν ἐν λόγῳ ταῦτα τιθέμενον, ἀλλὰ μὴ γεννικῶς παντάπασιν ὑπερφρονοῦντα, πάντως οὐ κατώκνησεν ἂν, ἀνιστορεῖσθαι καὶ καταγράφειν, τοῖς ἔπειτ' ἴσως ἀνθρώποις, τὸ τοῦ σώματος εὐφυές· οἷον, τὴν τῶν μελῶν ἁπάντων εὐαρμοστίαν καὶ συμφωνίαν· τὴν κατὰ τοῦ προσώπου παντὸς χάριν, καὶ πάντων τῶν ἐν αὐτῇ κρατοῦσαν καὶ θριαμβεύουσαν κάλλιστ' ἀναλογίαν, καὶ ξυμμετρίαν· τὸ χάριεν σὺν τῷ γενναίῳ· ὡς μήτε τὸ ἱλαρὸν ἀνεῖσθαι ταπεινὸν παντάπασι, μήτε τὸ μεγαλοπρεπὲς σκληρὸν ἐκφέρειν καὶ ἀφιλάνθρωπον καὶ ἀκάθεκτον, ἐξιστᾶν· καὶ τὴν ἄλλην τοῦ κάλλους περιουσίαν καὶ κομψείαν, οὐκ ἀηδῆ τῆς φύσεως, ᾗ τὴν ἐντυγχάνουσαν ὄψιν κολακεύουσα (πῶς ἂν, ἐρεῖ τις;), ὅλην ἑαυτῆς ποιεῖται τῷ θαύματι. ἐπεὶ δέ σοι τούτων ὁ λόγος βραχὺς (καὶ μόνης γὰρ ὅλος γίγνῃ τῆς ἔσωθεν εὐπρεπείας καὶ ἰσότητος καὶ δικαιοσύνης, ἐν τοῖς αὐτὸς αὑτοῦ μέρεσι), μιμησώμεθα λοιπὸν, καὶ ἡμεῖς νῦν εἶναι τὰ τῆς σῆς μεγαλοψυχίας· καὶ δὴ τὸν λόγον προσάγομεν τοῖς ἄλλοις ὡς μάλιστ' ἐπιτρέχοντες.

14. Ἀλλὰ καὶ ῥώμην μὲν οὖν ἐξέτι νέας κομιδῇ, τῷ βασιλεῖ τῆς ἡλικίας ἐπηγγέλλετο φύσις· προήγαγε δὲ καὶ κατεκόσμησεν ἄσκησις. καὶ δηλοῖ τά τε ἄλλα πάντα πράγματα, καὶ ἱππικῇ χρῆσθαι, κάλλιστά τε καὶ κράτιστα, οὐκ οἶδ' ὡς εἴ τις ἀνδρῶν ἄλλος, ὁ βασιλεὺς εἴθισται· τὰ μὲν, ἐν τοῖς ἀναγκαίοις· τά δ' ἐν οἷς τρυφᾷ, ταῖς παιδιαῖς ἱππικὴ παραμιγνῦσα τῷ ἡρωικῷ τὸ τερπνόν·

21 ᾗ scripsimus: ἡ V **25** μιμησώμεθα scripsimus: μιμησόμεθα V **14,1–2** τῆς ἡλικίας τῷ βασιλεῖ primum scripsit, deinde litteris βα suprascriptis ordinem invertit V[1] **2** ἐπηγγέλλετο V[2]: ἐπηγγέλετο V

10 cf. Id., Or. 43, 60, 13 (p. 254) **13–14** Id., Or. 18, 5, PG 35, 989D; cf. etiam Greg. Cypr., Or. in Andr. imp., PG 142, 396C **15** Id., Or. 22, 14, 25–27 (p. 252)

καὶ λοιπὸν μετὰ τοῦ ἀναγκαίου κομῶσα, καὶ χειρουμένη τῷ ἐπαγωγῷ τὸν χρώμενον. οὕτω τοι καλῶς ἐπῳχεῖτο καὶ ἵππον ἤλαυνεν ἀσφαλῶς· καὶ κοσμιώτατα· κρύπτων, ὑπ' ἀσπίδι τὸ σῶμα· καὶ κατευθύνων τὸ δόρυ, καὶ τὼ πόδε κοσμίως ὑποκινῶν. f. 86 καίτοι γ' αἰσθάνομαι μικρολογούμενος καὶ ταῦτ' εἰς μέσον | ἄγων, ἃ τέως ἔφευγον· μᾶλλον δ' ἅ σοι πάντ' ἔφην παρέρριπται φρονήματι· καὶ εἰ πάντα ταῦτα, μεγάλα τῶν πολλῶν, ὁ περὶ ταῦτ' ἔρως καὶ ἡ σπουδὴ δείκνυσιν. ἀλλ' ἃ δὴ μάλιστα θειότατε βασιλεῦ, ὄντά τε καὶ διὰ σπουδῆς ὄντα, πολύ σοι τὸ ἱλαρὸν κατὰ γνώμην ἐξέτι παιδὸς αὐτίχ' ὑπεσήμαινε· τὸ συνετὸν πρὸς τούτῳ καὶ γεννικὸν καὶ σταθηρὸν· βιάζον τὴν φύσιν· καὶ ὑπερβαίνειν ἀεὶ τὸν χρόνον ἐπειγόμενον· ἐξ οὗ δὴ καὶ τὸ μεγάλοις πρέπον καὶ πεφυκὸς, εἰς ἡγεμονίας ὕψος ὑπεδείκνυτο. ἃ πάντ' ἀμέλει ξυμμετρούμενα, προϊόντι σαφῶς ἐπεδίδου τῷ χρόνῳ· μέχρις οὗ καλῶς ἐς ὃ νῦν ἐπέρανε προύβη· καὶ λοιπὸν ἔστη. μὴ δὲ γὰρ ἔτι πλέον χωρεῖν τὴν φύσιν, τυχοῦσαν τοῦ τέλους.

15. Τέως μὲν οὖν ὡς ἔφθην εἰπὼν, ἡ φύσις ὑπεσήμαινε· καὶ προεξανίστατο τοῦ καιροῦ· καὶ ὑπισχνεῖτο τὸ μέλλον ὥσπερ ἐν σκιαγραφίᾳ, τινὶ προϋποφαίνουσα· καὶ ἦν παραπλήσιον, ὥσπερ ἂν εἰ πῦρ κάτω, παμπληθοῦς ἐπικειμένου φόρτου δεσμοῖτο. φιλονεικεῖ μὲν οὖν τέως, τῷ τῆς φύσεως ἀκαθέκτῳ· καὶ βιάζον ἔστιν οὗ βραχύ τι διαίρει, ἀτὰρ τελευτῶν ὅμως ἰσχῦσαν, φλὸξ, ὁρᾶται πρὸς οὐρανὸν ἀνάγουσα· καὶ κατὰ τῆς ὕλης ὑβρίζει. καὶ ἵνα γε τἀν μέσῳ παρέλθω, ἀλλ' ἐπειδήπερ ἡ φύσις τῆς ἐνδείας ἀπηλλάγη τοῦ χρόνου· καὶ τελεωτέρας ἐλάβετο τῆς ἡλικίας· πρὸς δὲ τούτῳ καὶ τῆς ὕλης, ἀποχρώσης οἶμαι, τῆς βασιλικῆς πάντως ἀξίας, ὢ πῶς ἂν, ἐπὶ τούτοις τῷ λόγῳ χρήσωμαι· ἐπεὶ ποθεῖ μὲν· οὐκ ἔχει δ' ὅπως ἀρκέσαι πρὸς τὴν χρείαν· καὶ πάσχει τὸ τῶν ναρκώντων καὶ τελευτᾶν ἐπὶ τῶν ἔργων οὐκ ἰσχύει, τὰ τῶν ἔσω

12 παρέρριπται V^2: παρέρριπτε V **17** βιάζον V e corr. **15,1** ὑπεσήμαινε V^2: ὑπεσήμηνε V **2** προεξανίστατο V^2: προεξίστατο V | ὥσπερ ἐν V^1 e corr. **6** τελευτῶν V^1: τελευτὼν V

15,1–3 Id., Or. 43, 12, 29–30 (p. 142); cf. etiam Greg. Cypr., Or. in Andr. imp., PG 142, 397B et Synes. Cyren., Aeg. 1, 2, 2 (p. 95) **6–7** cf. Arist., Meteor. 341b26 **10–11** Synes. Cyren., De regn. 4, 7 (p. 90) **12–13** cf. Arist., Hist. anim. 620b28–29

λογισμῶν καὶ τῆς ὁρμῆς; σιωπᾶν μὲν ἴσως ἐχρῆν καὶ μὴ τὴν ἀρχὴν καθάπαξ κρείττοσιν, ἢ κατὰ τὴν ἐμαυτοῦ δύναμιν ἐπιβάλλειν. ἐπεὶ δ' ἀκάθεκτος ὁ πόθος ἔχει παρενεγκών, | f. 86v περαίνειν ἀνάγκη καὶ περαίνοιμεν θειότατε βασιλεῦ, ἰόντες ὡς ἄν, ἐξείη μὴ πάμπαν ἀναξίως τῶν πραγμάτων καὶ τοῦ πόθου.

16. Συνεβασίλευε μὲν τὰ πρῶτα καὶ συνῆν τῷ πατρί· καὶ συγκαθίστη τὰ τῆς ἡγεμονίας· καὶ παντὸς ἐκοινώνει πόνου· καὶ σκέμματος· καὶ πράξεων μὲν οὖν, ἐκοινώνει, καὶ ἦν μεγάλη τις ἐντεῦθεν ἐκείνῳ τῶν ἔργων ἡ βοήθεια· μᾶλλον δὲ τῆς χρείας ἢ τῆς ἐπιθυμίας, οὐκ οἶδ' ὁπότερον ἄν, φαίην, ἀποπεράτωσις· ἢ ἀπόλαυσις· πολλὴ δέ τις αὐτῷ καὶ πᾶσι τοῖς ὁρῶσιν, ἡ τρυφὴ καὶ ἡ χάρις, αὐτὸς ὁρώμενος, τὰ μεγάλα περὶ τῆς διοικήσεως τῶν ὅλων συναιρόμενος ἐν λόγοις καὶ πράξεσι. τὸ γὰρ ἐφ' ἑκάτερα τελεσφόρον, ἤδη σοι σαφῶς ἐγυμνοῦτο. εἰ δὲ δεῖ καὶ τοῦτο προσθεῖναι, καὶ γυμνασίαν ὑπ' αὐτοῦ τε τοῦ πατρὸς καὶ τῶν τῆς ἀρχῆς πραγμάτων, ὡς ἄν, ὅτι μάλιστα προάγοιτο, λαμβάνον, εἶχε μὲν εὐδοκιμοῦν ἐν τούτῳ· εἶχε δὲ καὶ βασιλικῷ τῷ πήχει πρὸς τὸ μεῖζον αἰεὶ προάγον. οἷον δὲ δὴ καὶ τοῦτ' εἰς περιουσίαν ἡδονῆς, ἐκείνῳ τὲ καὶ τοῖς ὑφ' ὑμῖν Ῥωμαίοις ἡμῖν, αὐτὸς βασιλικῶς σὺν ἐκείνῳ προκαθεζόμενος· βασιλικῶς, συμπροϊὼν καὶ ὑπὸ πάντων δορυφορούμενος καὶ σὺν αὐτῷ πομπεύων, αὐτοῖς βασιλείοις ἐπισήμοις καὶ συμβόλοις καὶ σχήμασιν, οἷα δὴ τὰ τῆς αὐτοκρατορίας σεμνά, ἔν τε θείοις τοῦ Χριστοῦ μυστηρίοις καὶ πανδήμοις ἄλλαις, αἷστισιν ἄρα συνελεύσεσιν. καὶ ταῦτα πολλὴ πάντως ἡ ἀμαθία ἢ οὐκ οἶδ' ὅπως ἄν, εἴποιμι βασκανία, ὅστις ἄν, οὐκ ἐρεῖ μὴ παντὸς μᾶλλον, ἐμπρέπειν σοι θειότατε βασιλεῦ, καὶ πολλὴν τὴν συμμετρίαν, εἶναι τῷ τε σῷ κοσμίῳ τοῦ ἤθους πρὸς ταῦτα, καὶ τῇ ψυχικῇ μεγαλοφυίᾳ πρὸς τὰ φαινόμενα.

17. Εἶχε μὲν οὕτω τὰ πρῶτα καὶ συνεβασίλευες τῷ πατρί· καὶ πάντων ἐκοινώνεις ὡς εἴρηται· ὥστε καὶ ὅ,τι ἄν τις θεῖτο τῶν τότε | f. 87 καιρῶν ἔργον ἐπιφανὲς καὶ γενναῖον, καὶ τοῦτο σὸν οὐχήκιστα τὸν εἰκότα λόγον. ἐπεὶ δὲ τὰ ἑῷα τῆς ἀρχῆς, πονήρως εἶχε καὶ

17 ἐξείη V[2] e corr. **16,15** βασιλικῶς V[1]: βασιλικὸς V

16,12 cf. Lucian., Catapl. 16 (I, p. 191, 22)

χαλεπῶς ἔπραττε, τῆς τῶν ἐναντίων ἐπιφορᾶς ἀεὶ συνεχοῦς, καὶ βασιλικῆς, ἐπιδημίας ἐδεῖτο, ὡς ἄν, ἀνασῶσαι καὶ λοιπὸν εἰς τὸ πρότερον, ἀνακτήσασθαι, τηνικαῦτα δή σε σαφῶς ἡ φιλανθρωπία, καὶ ὁ πολὺς ὑπὲρ τῶν ὑπὸ χεῖρα ζῆλος ἐκεῖσε μετάγει· καὶ μεγάλους πείθει τοὺς πόνους ἀνθαιρεῖσθαι, τῆς τῶν ὑπηκόων σχολῆς καὶ ῥᾳστώνης, ἐν δευτέρῳ τὴν οἴκοι διατριβὴν καὶ ἄπονον θέμενον. μὴ δὲ γὰρ εἶναι καὶ ἀνεκτὸν ὅλως ᾤου, ἠρέμα πως ἔχειν ἐν τούτοις· ἀλλὰ μὴ γεννικῶς τῶν τῆς ἀρχῆς πραγμάτων προΐστασθαι. καὶ δὴ ταχὺς ἀπαίρεις παρασκευῆς οὕτως ἔχων καὶ φρονήματος· ἡδύς τε ὁρᾷ πάνυ τοι τοῖς ποθοῦσιν ἐπιδημήσας. ἀλλ᾽ ἄρ᾽ ἐνταῦθα γενόμενος· καὶ τὸ τῆς ψυχῆς θερμὸν τῷ συνετῷ καταστήσας, καὶ κάλλιστα· καθ᾽ ὅσον οἷόν τε συναρμόσας ἀμφότερα, ὡς μήτ᾽ ἐκεῖνο πρὸς αὐθάδειαν παρατρέπεσθαι καὶ ἀσκέπτως σφάλλειν· καὶ τἀσφαλὲς δὲ τοῦ συνετοῦ κοσμεῖσθαι τῷ πρακτικῷ, καὶ μὴ μένειν ἔπειτ᾽ ἀνενέργητον, καὶ παρατοῦτ᾽ ἀνόνητον πάντως, οὕτω δὴ πλεῖστα μεγαλουργίας, ἀμφοτέρωθεν ἐντελοῦς προήνεγκας δείγματα· ἐξ ὧν δὴ τοῖς μὲν ὑπηκόοις, μεγάλη τις ὄνησις, καὶ τῶν λυπούντων ἐλευθερία, ὥστε μετὰ ῥᾳστώνης ἁπάσης διαφέρειν τὸν βίον, τοῖς δ᾽ ἐναντίοις, ἐπιτίμησις ἀξία τοῦ θράσους καὶ κίνδυνος, ἐν πλείστοις· ὥστε τοὺς μὲν, ἐκποδὼν εἶναι, καὶ ἀγαπᾶν εἰ καθ᾽ ἑαυτοὺς πράττοιεν εὖ, καὶ μηδὲν εἴη τι περαιτέρω σφίσι ξυμβαῖνον, Ῥωμαίοις δὲ πρὸς τἀρχαῖον ἐπανασωθῆναι, μὴ τὰ πράγματα μόνον, ἀλλὰ καὶ τὰ φρονήματα· ὥστε τουλοιποῦ καὶ φρονεῖν ἄξιον ἑαυτῶν καὶ λογίζεσθαι, μᾶλλον δὲ τῆς σῆς βασιλι-
f. 87v κῆς, | ἀκμῆς. οὕτω τοι ῥᾶον ἀνέσχον τοῦ πρώην ἀγεννοῦς καὶ ταπεινοῦ, καὶ πρὸς τὸ βέλτιον (ἔφην), τὰ σφέτερα αὐτῶν πράγματα, καὶ τὰς γνώμας, μετέβαλλον καὶ μετεπλάττοντο. καὶ ταῦτα πάντα τῆς σῆς ἐπιδημίας ὦ βασιλεῦ, μᾶλλον δὲ τῶν πόνων καὶ τῆς σπουδῆς οὓς πολλούς τε καὶ μεγάλους ὑπὲρ αὐτῶν τηνικαῦθ᾽ ἑκών γε ὢν, καὶ μάλα πρόθυμος καὶ ἀκάμας ὑφίστασο· ὥστε μηδὲν αὐτὸς τῶν δυσχερῶν ἐκτρέπεσθαι, εἰ μόνον ἔσται τι πλέον ἐντεῦθεν τοῖς ὑπηκόοις· καὶ πρὸς τἄμεινον τῶν πραγμάτων

17,19 ἀνόνητον V[1]: ἀνόητον V

17,7–10 Synes. Cyren., Aeg. 1, 12, 1 (p. 117) **22** cf. Mich. Gabr. Epist. 123, 17 (p. 202) **26–27** cf. Demosth., Olynth. 3, 32 **27–30** cf. Dion. Halic., Antiq. Rom. 6, 64, 3

ἡτισοῦν ἐπίδοσις. διατοῦτο, τοῖς μὲν αὐτὸς ἐπεδήμεις, ἄοκνος προασπιστής τε καὶ πρόμαχος· τοῖς δ’ ἄρα δεῆσαν ἔστιν ὅτε, καὶ ἔστιν οὓς τῶν ὑπὸ σὲ κάλλιστα κατὰ καιρὸν δοκοῦντας ἐπιλεγόμενος, ἔπεμπες, αὐτὸς ἐν ἄλλοις πονῶν· καὶ πάντα τὸν ἐνόντα τρόπον, ἅμα τὲ λογιζόμενος ἐπορίζου, καὶ ἅμα ταχὺς ἐνεργὸς ἦσθα· χώρας συνιστῶν· τετμημένας συνάγων· πόλεις οἰκίζων, τάς δ’ αὐτὸς ἀνιστῶν, ἢ τὴν ἀρχὴν νέας· ἢ καὶ τοὺτ’ ἐκ νεκρῶν ἔστιν ἃς νέας, τὰ μὲν, ἀσφαλείας χάριν, τὰ δὲ, βασιλικῆς μεγαλοψυχίας σύμβολα.

18. Ἓν δὲ δὴ τῆς περὶ ταῦτα φιλοκαλίας σῆς ἔργον, ἵνα τὰ πολλὰ παραδράμω, ἔστι μὲν ἀνήκοος οὐδεὶς· οὐ μὴν, ἀλλὰ καὶ αὐτὸς ἐπιτεμὼν ἐρῶ. περιφανὴς μὲν ἡ πόλις, αἱ Τράλεις· πάλαι μακρόθεν τῶν προτέρων χρόνων καὶ λόγον πολὺν περὶ αὐτῆς παρασχοῦσα τοῖς ἱστοροῦσιν. οὐ μὴν, ἀλλ’ αἰσθάνεταί γε καὶ αὕτη τῆς ἐπιβουλῆς καὶ κακουργίας, καὶ τυραννίδος τοῦ χρόνου· καὶ τελευτᾷ κάκιστα τὴν εὐπραγίαν· καὶ κάλλη μὲν ἐκεῖνα· καὶ λαμπρότης ἐκείνη· καὶ ἡ περιουσία πᾶσα τῶν ἀγαθῶν, πάντα δὴ ταῦτα τῷ χρόνῳ, καθάπαξ λύεται, ἣν τὲ πλέον μηδὲν ἔχουσα, ἢ ὅτε μηδὲν | ἦν. εἶχε μὲν οὕτω ταῦτα· καὶ ἦν ἡ πόλις χρόνων f. 88 συχνῶν, καλυπτομένη λήθης βυθῷ. ἀλλ’ ἔδει γε καὶ ταύτην ἐπιγνῶναι τὴν κοινὴν τῶν ὅλων ἐς τὸ κρεῖττον μεταποίησιν καὶ ἀνάπλασιν. ἀτὰρ δὴ καλῶς οἴκοθεν ἔγνω, καὶ ὁράτω τίς ἀμέλει. ἐπιδημεῖς τῷ τόπῳ φιλανθρωπότατε βασιλέων, ὁρᾷς τὴν εὐκαιρίαν τῆς θέσεως· ἀκούεις τὰ παλαιά· τὴν περιᾳδομένην τοσαύτην τῆς πόλεως εὐγένειαν καὶ τὸ κλέος. τί δεῖ πλείω λέγειν; ἐντεῦθεν γίγνῃ φιλοτίμου φρονήματος· ἐγείρεις δαπάναις πολλαῖς· οἰκίζεις· καινίζεις, ἧπερ δὴ πρότερον· καὶ τηνικαῦτα δὴ χρησμοὶ πληροῦνται· καὶ παλαιαὶ προρρήσεις, πέρας λαμβάνουσι τὴν ἀνανέωσιν ταύτης, σὴν εἶναι πάλαι κηρύττοντες. καὶ γίγνεται δὴ τοῖς προειρημένοις τοὔργον ἔπειτα, κόσμος· τῆς ἀληθείας ἀπόδειξιν φέρον τὲ

37 ἡτισοῦν V^1 e corr. **43** ἔστιν scripsimus: ἐστιν V **18,10** οὖν post μὲν erasum in V **18** ἧπερ V^2: ᾗ V

44–45 cf. Ael. Arist., Or. 13 (p. 226, 5–6) **18,2** Ibid. (p. 118, 4–5) **3–7** Greg. Cypr., Or. in Andr. imp., PG 142, 405AB **11** cf. Greg. Naz. Or. 44, 1, PG 36, 608A **14–15** cf. Greg. Naz., Or. 33, 7, 1 (p. 70)

καὶ περαῖνον· καὶ τῷ ἔργῳ μὴν αὖθις ἀμέλει τὰ τοῦ χρησμοῦ· ὡς ἄρ' ἐκ τοσούτου περὶ αὐτοῦ φθάσας προὔλεγε· περὶ τῶν μεγάλων ἔοικε· καὶ πάνυ τοι πολλῶν λόγων ἀξίων, οὕτω πόρρωθεν σπουδάζων.

19. Καὶ νῦν ἡ περιφανὴς πόλις αἱ Τράλεις, ἕστηκε διὰ σὲ προσκτησαμένη καὶ τοῦτο πάντως, εἰς εὐκλείας περιουσίαν, ὅτι νῦν ἕστηκε διὰ σὲ, καὶ τοῦτο πλέον ἴσως εἰς δόξαν τῇ πόλει, ἢ τὸ πάλαι περὶ αὐτὴν παραπλήσιον ἐκείνων τῶν χρόνων, ὅτ' ἐπὶ τοῦ μεγάλου Καίσαρος Αὐγούστου, σεισμοῦ τυραννίδι καταχωσθεῖσα καὶ τοιαύτης ἀωρίας καὶ συμφορᾶς, παρανάλωμα γενομένη, παρ' αὐτὸ τῆς τύχης τὸ ἀκμαιότατον, ὑπ' αὐτοῦ δὴ σεβαστοῦ Καίσαρος οὗπερ εἴρηται, νέ' ἀνίσταται, μάλ' αὖθις ῥᾷστα. καὶ μὴν λόγος οὑτοσὶ φθάνει γ' ἐκεῖθεν ὡς ἡμᾶς ἥκων, ἄνδρα τῶν τιν' ἐποίκων αὐτῆς, τῶν πολλῶν ἕνα· καὶ καθάπαξ ἄσημον· καὶ ταπεινῇ τύχῃ
f. 88v χρώμενον (Χαιρήμων ὄνομα τἀνδρί), τοῦτον | οὖν φασιν τὸν Χαιρήμονα δεινὰ πράττουσαν τὴν πατρίδ' ὁρῶντα· φρονῆσαι τι μέγα· καὶ ὑπὲρ αὐτὸν ὄντως· καὶ διὰ τοσούτου πρὸς ὃν εἴρηται, τάχιστ' αὐτοκράτορα γενόμενον, δηλῶσαι τε Τράλεις τὴν πόλιν κειμένην· καὶ παρακαλέσαι πρὸς τὴν φιλανθρωπίαν τῆς πόλεως. ὥστ' ἴσως καὶ προαρπάζει Χαιρήμων τὸ κλέος, οὑτοσὶ (πῶς ἂν, ἐρεῖ τις;), ἢ τό γε δεύτερον, δικαίως ἂν, μερίζοιτο καὶ ξυλλαγχάνοι Καίσαρι· καὶ οὐδέν γε τοσοῦτον ἐκεῖθεν ἄρα τῇ πόλει, ᾗ γε μὴ μόνον ἤρκεσεν ὥστε τὸ φιλότιμον αὐτὸ, τοῦ Καίσαρος ἀνεγεῖραι, τὸ τῆς συμφορᾶς ἀδόκητον ἀθρόον· καὶ τὸ τοῦ πάθους ἐλεεινὸν οὕτως· καὶ ταῦτα παρ' αὐτὴν ὡς ἔφην τὴν ἀκμὴν τῆς τύχης, ἀλλ' ἔπειτ' αὐτῇ γε καὶ τῆς τοῦ Χαιρήμονος ἐδέησε γνώμης εἰς τὴν πικρὰν τύχην, καὶ μεγαλοψυχίας· κἂν εἰ μή γε θερμότερος, ἦν αὐτῇ Χαιρήμων πολίτης, πάλαι πρότερον ἴσως ἡ μεγαλώνυμος πόλις αἱ Τράλεις, πάντως ἂν, ᾤχετο καθάπαξ. ἀλλὰ σοί γε βασιλεῦ, οὐδὲν ἀλλ' ἢ γνώμη διαρκὴς οἴκοθεν, ἀπέχρησε μόνη, πρὸς τοσοῦτον φιλότιμον ἔργον. ὅθεν σοι καὶ τὸ καλὸν ἀμιγὲς καὶ οὐδείς σοι τοῦδε μερίτης· οὐ Χαιρήμων· οὐχ ὁστισοῦν· καὶ τῇ

24 πολλῶν V[2] s.l. **19,1** πόλις corr. Re: πόλεις V **26** an ἄλλ'?

19,8–18 Agath., Hist. 2, 17, 2– 9 (p. 62, 26–64, 3)

πόλει μείζων ὁ κόσμος, ἐκ τοῦδε· καὶ ἡ προσθήκη, καλλίστη τοῖς παλαιοῖς διηγήμασιν. οὕτω μὲν οὖν τοσοῦτον ἔργον ἕν, κατεπράχθη τηνικαῦτα τῶν χρόνων· ἐκείνη σχολάζοντί σοι, πάρεργον ὁδοῦ φασὶ τοῦ σκοποῦ τῆς σῆς ἐκδημίας, κράτιστε βασιλεῦ.

20. Ἐπεὶ δέ σοι τὰ τῆς ἀρχῆς μόνῳ παρὰ Θεοῦ πιστεύεται, μετὰ καλλίστων εὐθὺς ἄρχῃ τῶν προοιμίων· καὶ χρυσέας ὑφιστᾷς κίονας, Πίνδαρος φησὶν, εὐτυχεῖ θαλάμῳ τῇ μοναρχίᾳ. καὶ τοῦτο πρῶτον ἐννοῇ σφόδρα γεννικὸν, αὐτίκα καὶ μεγαλόψυχον, ὥσπερ ἐκ θείας τινὸς ψήφου | καὶ συνθημάτων ἄνωθεν ἥκων, καὶ τῶν f. 89 πραγμάτων ἁπτόμενος, καὶ τὴν ἀρχὴν ἐπὶ ῥητοῖς ἐκ Θεοῦ δεξάμενος, οἰκονομῆσαι τὰ πράγματα τῇ ἐκκλησίᾳ, ὡς ἄρα κατὰ τἀρχαῖα νόμιμα· καὶ τοὺς ὅρους τῆς θεοσεβείας πάλαι καλῶς κρατοῦντας, καὶ τὴν προτέραν εὐεξίαν ἐπανασώσασθαι, ταύτῃ· τὴν ἐπιπεσοῦσαν τότε καινοτομίαν, ἐκποδὼν θέμενος. καὶ οὐκ ἐννοεῖς μὲν οὕτω μεγαλοφρόνως· καὶ ὡς ἄν τις τῶν ἀπὸ Θεοῦ πεμφθέντων, εἰς τοῦθ’, ὡς ἔφην αὐτίκα· τέλος δ’ οὐκ ἐπάγεις τῇ καλλίστῃ ταύτῃ δοκιμασίᾳ· ἀλλὰ σύ γε τάχιστ’ εὖ μάλα, τὸν πρότερον ἀποχαρίζῃ· καὶ ἀποδίδως κόσμον τῇ ἐκκλησίᾳ, σπουδῇ σφόδρ’ ἀνύσας· ὡς ἄρ’ ἀπὸ τῶν μακρῶν ἐκείνων χρόνων, εὖ εἶχεν ἐπὶ τῶν ὀρθῶν τῆς ἀληθείας ἑδραζομένη λόγων τὲ καὶ δογμάτων· καὶ εἰρήνην ἁμαρτωλῶν μισοῦσα καὶ ἕνωσιν· ἠρέμα τὲ εἶχε καθ’ ἑαυτὴν πάσης ἀωρίας ἀπηλλαγμένη, καὶ κατατομῆς καὶ διχοστασίας· καὶ πᾶσι τύπος καὶ κανὼν ἦν ἀεὶ τοῦ καλοῦ. καὶ γὰρ δὴ καὶ ἦν οὕτω γε πᾶσιν, οὐχ ἧττον δὲ καὶ τοῖς τἀναντία φρονοῦσιν αὐτοῖς αἰδοῦς, ἀξία τὸν ἀεὶ χρόνον καὶ παντὸς θαύματος.

21. Ἀλλ’ ἐφθονήθη τῆς εὐεξίας τῷ τοῖς καλοῖς ἐξαρχῆς πονηρῷ βασκαίνοντι· καὶ χαλεπὰ καὶ βαρύτατα πέπονθεν· ὡς ἂν, καὶ ἄλλοτε πρότερον παραπλησίως ποτέ. χρόνος οὐκ ὀλίγος παρετάθη τῇ συμφορᾷ καὶ τῷ πάθει· καὶ εἶχεν ἐλεεινῶς τῆς προτέρας ἐκείνης

29 μείζων V²: μεῖζων V **30** τοσοῦτον ἔργον V²: τοσοῦτ’ ἔργον V **20,3** εὐτυχεῖ V: sic pro εὐτειχεῖ **4** ὥσπερ primum iteratum, deinde linea exstinctum in V **15** ἄρα V a. corr.

20,2–3 Pind., Olymp. 6, 1–3; cf. etiam Greg. Naz., Or. 43, 20, 1–3 (p. 164) **6–7** cf. Dion. Halic., Antiquit. Rom. 10, 4, 2

εὐνομίας ἐκκλίνασα. ἀλλὰ τίς ἀνέστησε τὴν πεσοῦσαν Σιὼν καὶ αὕτη ἦν κειμένη· καὶ οὐδεὶς ἦν ὁ βοηθῶν καὶ χεῖρα ὀρέγων, εἰς τὴν ἀνόρθωσιν; χεὶρ Κυρίου εἰργάσατο ταῦτα Θεοῦ παντοκράτορος. χεῖρα γὰρ ἐγὼ Θεοῦ σε καλῶ κράτιστε βασιλεῦ· καὶ ὄργανον τῶν f. 89v ἐκείνῳ πραττομένων καὶ ὑπηρέτην τῶν βουλευμάτων αὐτοῦ. | οἷα γὰρ δὴ ταῦτα, τάχιστ᾽ ἀνύσας ἔχεις, ὄντως θαυμαστὰ συνέσεως αὐτοῦ· καὶ τὴν ἐκκλησίαν εἰς τὴν ἀρχαίαν εὐγένειαν καὶ πολιτείαν, ἡρμοσμένην κινοῦντος ἄνωθεν Θεοῦ· κάλλιστ᾽ ἐπανασώσας καὶ καταστησάμενος. τοῦτο σου τὸ ἔργον θειότατε βασιλεῦ, στήλη τις ἵσταται· καὶ στήσεταί σοι κατὰ παντὸς τοῦ χρόνου· τῆς σῆς μεγαλοψυχίας καὶ τῆς εἰς τὸ θεῖον ἀκραιφνοῦς γνώμης καὶ σπουδῆς, πάντων ἀτρέπτου πραγμάτων. τοῦτο τὸ ἔργον, ἄνωθεν μὲν ἐθαύμασαν ἄγγελοι (πεφύκασι γὰρ τοῖς καλοῖς, αὐτοὶ κατὰ φύσιν ἐπευδοκεῖν καὶ ἥδεσθαι· καὶ τοὺς πράττοντας ἔτ᾽ ἐπαίρειν εἰς ὅτι πλεῖστον καὶ συνεργεῖν, πρὸς τὴν τῶν βελτίστων αὐτουργίαν), ἐθαύμασαν δὲ πάντες ἄνθρωποι τῶν νῦν ὅσοι πεπείρανται (πάντως δ᾽ οὐδεὶς ἀμαθὴς ἢ ὅστις, παντάπασιν ἢ βάσκανος καὶ κατὰ τῶν μεγίστων ἀναιδής, ἢ ἀναίσθητος), καὶ θαυμάζοντες ἐπαύξουσι κἀντεῦθεν, τὸν περὶ σὲ πόθον· καὶ γίνονταί σοι κήρυκες, πανταχοῦ τοῦ καλλίστου τοῦδε καὶ μεγίστου τῶν ἔργων· ὥστέ σοι καὶ πᾶν ἀγαθὸν εὔχεσθαι, τοῦ κοινοῦ δεσπότου· καὶ διπλῶς οὕτω τὴν εὐγνωμοσύνην ἀποφλισκάνειν, ὡς βασιλεῖ καὶ δεσπότῃ· καὶ τῆς κατὰ τόνδε τὸν βίον ἀρχηγῷ πολιτείας· καὶ ὡς ἄρα τῆς σωτηρίας αὐτῶν ἡγεμόνι· καὶ τούτου γ᾽ ἴσως μᾶλλον. καὶ κρείττους γὰρ εἶναι δὴ πολλῷ τῶν σωματικῶν, τὰς ψυχικὰς φιλανθρωπίας· πᾶσι τὲ δοκεῖν καὶ πάντων οὐχήκιστα σοὶ, ὡς τἄλλα τὲ καὶ πρὸς πᾶσι τοῦτο δηλοῖ.

22. Οὐδέν σοι πρὸς τοῦτο τοὖργον τὸ βασίλειον ὕψος αὐτὸ· οὐδὲν τὸ παρὰ τοσοῦτον ἐπεκτεινόμενον τῆς ἀρχῆς μέγεθος· κράτος τὲ τὸ κατὰ τοσούτων ἐθνῶν, καὶ πλούτου πλήθη τόσα καὶ

21,5–7 ἀλλὰ – Σιὼν V: an post ἀνόρθωσιν (v. 7) transponendum? **21–22** καὶ – μεγίστου primum iteratum, deinde deletum in V **29** τῶν σωματικῶν V²: τῷ σωματικῷ V

21,5–7 Is. 51, 17; Ps. 21, 11 et 106, 12 **5–16** cf. Greg. Cypr., Or, in Andr. imp., PG 142, 405D–408A **22,1–12** Synes. Cyren., De regn. 4, 2–4 (pp. 88–90)

τόσα· καὶ ταμεῖα· καὶ | θησαυροὶ· καὶ τἆλλα τὰ τῆς ἀρχῆς σεμνά· f. 90
ταῦτα δέ σοι πάντα δεύτερα, τῆς ἐντεῦθεν φιλοτιμίας· καὶ πάντα σοι ταῦτα, οἷα μὴ δ' ἂν παραβάλλειν ὅλως ἐκείνῳ· ἐπεὶ καὶ παρ' οὐδὲν οὕτω σοι μᾶλλον τὰ τῆς ἡγεμονίας, ὡς παρὰ τοῦτ' ἐπέραστα· ὅτι γε δὴ τῇ καλλίστῃ προθέσει ταύτῃ, τῆς σῆς γνώμης ὑπηρέτησε καὶ συνήρατό σοι, πρὸς τοῦτο· ἐπειδὴ καὶ τῆς ἐντεῦθεν ἐπικουρίας, δεῖ πάνυ τοι πρός γε τὰ τοιαῦτα· καὶ ἄλλως οὐχ οἷόν τέ ἐστιν ἀνύτειν (μὴ δὲ γὰρ χωρεῖν ἰδιῶτιν τύχην τοσοῦτο μέγεθος εὐποιίας· ἀλλ' ἀσθενεστέραν εἶναι, ἢ ὡς ἄν, τοιούτοις χρῆσθαι), τοσοῦτο γε μὴν ἰσχύειν, ὅσῳ τὸ καθ' αὐτὸν μόνον ἕκαστον, ἀφοσιοῦσθαι τῇ τοῦ καλοῦ μοίρᾳ. ταύτῃ τοι καὶ σεμνοτέραν ἐμοὶ δοκεῖν, ἐντεῦθεν εἶναι τὴν ἀρχὴν ὡς δυναμένην τοσαῦτα· καὶ τὰ μεγάλα πάντως οὕτω κερδαίνειν, τῆς τῶν δεχομένων αὐτὴν εὐγενείας καὶ μεγαλοψυχίας, καὶ οὕτω καλλίστην καὶ θαυμασίαν ἀπαντᾶν ἑκατέρωθεν τὴν ἀντίδοσιν· τῆς μὲν ἀρχῆς χαριζομένης, τοῖς αὐτῇ ξυλλαχοῦσι τὸ δύνασθαι· τῶν δ' αὖ τὸ καλῶς χρῆσθαι τῷ δύνασθαι· καὶ κοσμεῖσθαι ταῦτ' ἀπ' ἀλλήλων εὖ μάλα· καὶ διὰ τῆς αὐτῶν ἀμφοτέρωθεν ὁμολογίας καὶ συμφωνίας, τὴν τὰ πάντα καλῶς οἰκονομοῦσαν θαυμάζεσθαι, τοῦ Θεοῦ σοφίαν· ἄλλοτε δῆτ' ἄλλῃ καὶ νῦν γε εἶναι τῶν εἰρημένων χάριν, ἐπὶ σοὶ βασιλεῦ, τοῦτο μάλιστα.

23. Ἀλλ' ὁ μὲν περὶ τούτων λόγος, ἐν τούτοις ἱκανῶς ἐμοὶ δοκεῖν, καὶ τὰ πλείω παρήσομεν. σὲ δὲ θειότατε βασιλεῦ, ἡ περὶ πᾶσαν καλῶν ἰδέαν· ἅμα μὲν ἔφεσις· ἅμα δ' ἐνέργεια, τύπον ἀρετῆς ἀπέδειξε καθάπαξ ἐπιτελῆ· μᾶλλον δὲ τἀληθὲς ἐρεῖν, βασιλικῆς ἀγωγῆς καὶ πολιτείας ἀρχέτυπον. οὐδὲ γὰρ | τοῖς f. 90v
αὐτοῖς ἀρετὴν ἰδιωτικὴν καὶ βασιλικὴν προσέχειν. οὕτω γέ τοι ποικίλον εἶναι τἀγαθόν τε καὶ μή· παρὰ τὴν φύσιν· παρὰ τὴν ἡλικίαν· παρὰ τὴν τάξιν τῶν βίων, ὥστε πολύ τι τὸ μέσον· ἐν τούτοις ὁρᾶσθαι γυναικὸς πρὸς ἄνδρα· νέου πρὸς ἄνδρα· καὶ ἔτι πρὸς τούτοις, ἰδιώτου πρὸς ἄρχοντα· τοσοῦτο γε μὴν τούτοις εἶναι τὸ διάφορον, ὥστε τὴν αὐτὴν πολλάκις πρᾶξιν τῷ μὲν, εἶναι κόσμον· βασιλείᾳ δὲ μὴ προσήκουσαν· καὶ τοὐναντίον αὖθις εἶναι παρὰ τοῖς αὐτοῖς τούτοις, ἐπὶ ταῖς αὐταῖς ἐνίοτε πράξεσι· μᾶλλον

11–12 Id., Aeg. 1, 3, 2 (p. 99) **23,3–4** cf. Greg. Naz., Or. 2, 8, 8–9 (p. 98)

δ’ ὡς ἂν, βέλτιον διελέσθαι, ἰδιώτου μὲν ταπεινὸν εἶναι τὸ περὶ τὰ καλὰ πρακτικὸν· τῷ δὲ μεγέθει τῆς ἡγεμονίας συμμετρεῖσθαι, τὴν κατ’ ἀρετὴν εὐπραγίαν καὶ παρεκτείνεσθαι· καὶ οὕτως ἑκατέρωθεν πάντως, ἀναλογίαν ἔχειν τὰ πράγματα καὶ ξυμβαίνειν. ἀτάρ γε καὶ πολλῆς οἶμαι δεῖν τῇ βασιλείᾳ· τοῦτο μὲν, σοφίας· τοῦτο δ’ ἀκμῆς καὶ φρονήματος, τέως μὲν εὑρεῖν τε καὶ μάλιστ’ ἀπλανῶς ἐπιγνῶναι τὴν οἰκείαν ἀγαθοεργίαν· κᾶθ’ οὕτως ἑλέσθαι, πονεῖν· καὶ γεννικῶς αὐτουργεῖν τὴν εὕρεσιν, εἴτουν αἵρεσιν· καὶ μὴ ἀπογνῶναι πρὸς τὸ μέγεθος τῆς ἐγχειρήσεως· ἀλλ’ ἐρρωμένως ἀντιλαβέσθαι τοῦ κατ’ αὐτὴν προσήκοντος· καὶ μὴ καμεῖν ὁπηοῦν, μὴ δὲ πληγῆναι τῷ μεγέθει τὸν νοῦν· ἢ μᾶλλον ἐκπλαγῆναι· καὶ τραπῆναι καὶ ἀποπεσεῖν· ἀλλὰ συνυψωθῆναι μάλιστα τὸ φρόνημα· καὶ τὸ καρτερὸν τῇ τύχῃ· ὥσπερ δὴ καὶ σὺ βασιλεῦ, ἐφ’ ἑαυτοῦ τοῖς ἄλλοις ἔδειξας· καὶ οὕτω δὴ πίστιν ἀκλόνητον ἐχαρίσω τῷ γιγνομένῳ τοῦ πράγματος.

24. Εὐσέβειαν μὲν οὖν ὑποτεθεῖσθαι δεῖν εἶναι θεμέλιον ἀρραγὲς, τῷ παντὶ τὴν ἀρχὴν, τίς οὕτω ταύτην ὡς ὁ ἐμὸς ὑπέθηκε f. 91 βασιλεὺς, οὔπω | τοὺς πόδας ἐρείσας, ὃ δὴ λέγεται τῇ ἀρχῇ· καὶ τὰ τῆς εὐσεβείας· ὑποθέμενος ἐρείσματα κράτιστα τῇ ἀρχῇ· ὥσπερ ἀσφαλέστατον ἕρμα καὶ μεγίστης ἄσειστον, καὶ ἀσάλευτον νεὼς τῆς ἡγεμονίας; τὰ δ’ ἑξῆς πρόσαγε τοὺς λοιποὺς βασιλικοὺς γνώμονας τῷ βασιλεῖ· καὶ τότε, γνώσῃ καθ’ ἑκάστους σαφῶς τὴν ἰσότητα· πρός τε τούτους αὐτοὺς, οὓς προσάγεις γνώμονας, οὐδὲν δ’ ἧττον, καὶ πρὸς ἀλλήλας αὐτὰς τὰς τοῦ ἐμοῦ βασιλέως κινήσεις, καὶ πράξεις ἐν τῷ καλῷ. οὕτω τοι πάντοθεν ἴσος αὐτὸς, ἑαυτῷ· καὶ πρῶτος παρ’ ἑαυτῷ τιμήσας ἔχει τὸ δίκαιον· ἐπειδὴ, διττὸς μὲν καὶ ἡμῖν ὁ τοῦ πολιτεύεσθαι λόγος· καθ’ ἑαυτούς τε διαφέρειν ἐντὸς εὖ, τὴν οἴκοι καθ’ ἡμᾶς ἀγωγὴν καὶ τὰ πράγματα· καὶ τοῖς ἐκτὸς οὐκ ἀναρμόστως ξυνεῖναι. τοῖς γε μὴν βασιλεῦσι τοῦτ’ οὐχήκιστα· μᾶλλον μὲν οὖν καὶ τούτοις πλέον· ἐπειδή τι καὶ πλέον

23,20 οἰκείαν V[2]: οἰκίαν V **24,2** ὡς ὁ ἐμὸς V[1]: ὡς οὑμὸς V **7** καθ’ ἑκάστους V[2]: καθεκάστους V **8** ἀλλήλους post τούτους primum scripsit, deinde del. V

14–18 cf. Id., Or. 43, 38, 7–11 (pp. 208–210) **18–19** cf. Synes. Cyren., De regn. 6, 4 (p. 93) **24,1–2** Ibid. 10, 1 (p. 99) **3** cf. Theodoret. Cyrr., Interpr. Ps., PG 80, 1048D **10** καὶ[1]…ἑαυτῷ· cf. Plat., Theaet. 155a

ἔχουσι, τῆς τε βίας αὐτοὶ τῶν νόμων ἀπηλλαγμένοι, καὶ οὐ τοῦτο μόνον· ἀλλὰ καὶ τοῖς ἄλλοις τῶν νομίμων ἡγούμενοι. οὕτω τοίνυν ἀφ' ἑστίας ἀρξάμενος βασιλεῦ, προϊὼν τοῖς ὑπηκόοις χορηγεῖς τὸ δίκαιον· καί σοι καὶ τοῦτο γέγονε παραπλήσιον, πρὸς τὴν ἀνωτάτω θείαν οὐσίαν· εἰς ἣν, σοφὴ βασιλεία τὴν κίνησιν ἰθύνει. αὐτή τε γάρ ἐστι καθ' ἑαυτὴν φῶς· καὶ πᾶν ἀγαθὸν ἐν αὐτῇ τὴν ἀρχὴν ὑφέστηκε· καὶ μετ' αὐτὴν οὕτω δι' αὐτῆς καὶ φῶς· καὶ πᾶς τῶν ἀγαθῶν θησαυρὸς· καταβραχὺ προελθόντα καὶ τὸν προσήκοντα λαβόντα, τόπον καὶ χρόνον, εἰς τὴν κοσμικὴν τῶν ὅλων συνέχειαν, βέλτιστά τε ἔχει· καὶ νόμιμον πληροῖ τὴν τάξιν.

25. Τὰ μὲν οὖν εἰρημένα τοσαῦτα, καὶ ὡς ἂν, ἀποχρώντως, ἔχειν ἐμοὶ δοκεῖν, εἰς εὐφημίαν τελεωτάτην· καὶ μὴ δ' ἂν, ἡντιναοῦν, | ὑπερβολὴν συγχωρεῖν, ὅστις ἄπειρος τῶν λοιπῶν τοῦ f. 91v
βασιλέως καλῶν, ἔπειτα πρὸς τὰ τῶν ἄλλων ἄλλα σκοπεῖν, ἀξιοῖ. νῦν δὲ τοσαῦτα ἐστὶν ἅπερ ἑξῆς ἕκαστον εἰς ἑαυτὸ τὸν λόγον ἕλκει καὶ μερίζεται, ὅσα καὶ μηδὲν ἧττον ἔχειν τῶν εἰρημένων· καὶ πλήθει τὲ καὶ δυνάμει, ἂν ἄρα μόνον ἐξῆν, περὶ ἑκάστων διαλαβεῖν ἐν τῷ μέρει· καὶ προσθεῖναι τοῖς φθάσασι. ταύτῃ τοι καὶ ἀπορῶ καὶ οὐκ οἶδ' ὅ,τι χρήσομαι. σιωπᾶν μὲν γὰρ περὶ αὐτῶν καθάπαξ, οὐκ οἶδ' ὅπως ἀνάσχοιτ' ἂν, ὁ λόγος. δεινὸν γὰρ εἶναι καὶ τῆς μεγίστης ἀμαθίας ἔλεγχος, τὴν σὴν προστησάμενον εὐφημίαν, ἔπειθ' ὥσπερ ἐπίτηδες, βασιλεῦ τοῖς βασκαίνουσι χαριζόμενον, τὰ πλείω, καὶ ἴσως κρείττω τῶν εἰς τοῦτο φερόντων, παραδραμεῖν. πᾶσι δὲ τὸν λόγον δοῦναι καὶ διὰ πάντων ἐλθεῖν, δυσχερέστατον, οὐκ οἶδ' ὡς εἴ τι ἄλλο· μᾶλλον δ' ἀδύνατον. πειράσομαι μὲν οὖν ὡς οἷόν τε μέσως, χρῆσθαι καὶ μήτ' εἰς τὰ δεξιὰ φησὶν ἡ γραφή, μήτ' ἐπὶ θάτερ' αὖθις φησὶ παρεκκλίνειν· μήτ' ἀμέλει πάντα προδοῦναι καὶ παριδεῖν· μήτε πάντα διδόναι τῷ λόγῳ, πειρᾶσθαι καὶ φιλονεικεῖν. τὸ μὲν, γὰρ, ἄδικον· τό δ' ἀνέφικτον.

26. Ἀλλ' ἐπειδή γε περὶ τῶν θειοτέρων ὡς ἄν τις ἐρεῖ σπουδασμάτων, τοῦ βασιλέως ὁ λόγος, τίς οὕτω τῶν πάλαι βασιλέων, ὡς

25,15 ὡς[1] V[2] s.l. **26,2** οὕτω V[1]: οὗτος V

18 Karathanasis 1 **18–19** cf. Synes. Cyren., De regn. 11, 1 (p. 101) **21–22** I Io. 1, 5 **25,16–17** Is. 30, 21; Prov. 4, 27

οὑμὸς αὐτοκράτωρ οὑτοσὶ, μοναχικήν τε φιλοσοφίαν ᾐδέσθη, καὶ ἱερωσύνην τετίμηκε; καὶ γὰρ τὸ προσῆκον ἐν τούτοις οἶδεν· εἰς Θεὸν ἐντεῦθεν μεταφέρειν· καὶ διαβιβάζειν τὰ τῆς τιμῆς· καὶ τὴν εὐγνωμοσύνην, ἀποδιδόναι, τῷ καὶ πρὸς φῶς ἀγαγόντι καὶ βασιλεύσαντι· ὡς ἔστι γε τοῦτο παντὸς μᾶλλον εὖ ἔχον, τό γε
f. 92 δίκαιον· οὕτω ποιοῦντα | πᾶν, τὴν πρὸς Θεὸν οἰκείωσιν, ἐντεῦθεν ξυναλλάττειν καὶ οἰκονομεῖν· ἐπειδὴ καὶ Θεὸν εἰς ἑαυτὸν ἀνάγειν, ἄν ὅστις μετὰ σεβάσματος τοῖς ὑπηρέταις αὐτοῦ χρῷτο· καὶ τοὐναντίον αὖθις οἰκεῖον ποιεῖσθαι, «ἐξουδένωσάν με» φησὶν «ἐν τοῖς λειτουργοῖς μου καὶ οἱ ὑπηρέται μου ἐν ἀτιμίᾳ· κἀγὼ ἐξουδενώσω αὐτούς.» περὶ δὲ σοῦ μοι δοκῶ θειότατε βασιλεῦ, μάλα κατακαιρὸν νῦν εἶναι προσθεῖναι τῷ λόγῳ καὶ αὖθις τὰ ἐκ τῆς γραφῆς· «ἠγάπησας τιμήν μου καὶ ἀντιλήψομαί σου, λέγει Κύριος παντοκράτωρ.» ἑαυτοῦ γὰρ ποιεῖται τιμὴν, τὴν τῶν αὐτοῦ τιμὴν· καὶ ἀντιδίδωσι καὶ ἀντιτιμᾷ· καὶ πλουσίαις δεξιοῦται ταῖς ἀμοιβαῖς. τοῦτο μὲν οὖν αὐτὸ σοί γε παντὸς μᾶλλον βασιλεῦ· ὅσῳ καὶ παντὸς μᾶλλον ἱερωσύνην τετίμηκας. ᾧ γε τοσοῦτο τὸ περὶ ταύτην συγκεχωρηκὸς καὶ οὕτω πᾶσαν ὑπερβολὴν νενίκηκεν, ὥστε καὶ ἃ τῷ βασιλικῷ μεγέθει νόμιμα καὶ ἀναγκαῖα, πολλὰ ἔτη συνεχῶς, ὁ χρόνος ἐβεβαίωσε, καὶ ταῦτα δέ σοι παρεῖται· καὶ ὡς κρείττοσιν ἢ κατ' ἀνθρώπους, ἀτεχνῶς ἀξιοῖς συνεῖναι, τοῖς τὸν μονήρη βίον προελομένοις· καὶ σεμνοῖς ἱερατικαῖς ἀξίαις, ἐν ὁμιλίαις τὲ καὶ πάσαις συνόδοις, καὶ ὅπῃ τίς ἄν, ἐρεῖ πάντῃ. καὶ τοῦτο σοι πάντως οὐ πρὸς ἕνα τυχὸν ἢ καὶ δεύτερον, ἢ καὶ πρὸς ἔτι (οὐ γὰρ φυλοκρινεῖν οὐδὲ δοκιμάζειν, τοὺς θείους ἀξιοῖς λατρευτάς), ἀλλὰ πᾶσι τὸ προσῆκον ἀποδίδως· καὶ διὰ πάντων ἀπονέμεις Θεῷ τοῦτο. καὶ τὸ τῆς πίστεως ἁπλοϊκὸν καὶ γενναῖον καὶ ἡ πρὸς τὸ θεῖον αἰδὼς, περιφρονεῖ, καὶ τὰ σεμνὰ τοῦ γένους καὶ τὴν τῆς τύχης ἔστιν οὗ, καὶ ἐφ' ὧν εὔρροιαν, καὶ πλέον ἐνταῦθα φέρει
f. 92^{v} κοσμικῆς περιφανείας, | φιλοσοφία· καὶ βίος ἀνατεθειμένος Θεῷ· καὶ πενία πνευματικὴ πλούτου· καὶ τῆς ἐντεῦθεν ὕβρεως τῶν πολλῶν.

4 τὸν προσήκοντα V a corr. | οἶδεν scripsimus: εἶδεν V **10** post μετὰ ras. duarum litterarum in V **14** νῦν V^{1} in marg. **18** ὅσῳ V^{1} s.l.: ὅσα V **27** φυλοκρινεῖν V^{2}: φιλοκρινεῖν V **31** εὔρροιαν: sic V; servavimus

26,11–13 cf. I Reg. 15, 23 **15–16** cf. Ps. 17, 35

27. Ὅταν σε θειότατε βασιλεῦ ἐφορῶσι Ῥωμαῖοι, τοῖς ἀρχιερεῦσι πᾶσι προσιοῦσιν, εἰς ὅσον μήκιστον ἀνιστάμενον· ὅταν σε τὸν ἐξ ἱερωσύνης ἁγιασμὸν, μεθ' ὅτι δὴ πλείστου τοῦ σεβασμοῦ καὶ κοσμιωτάτου προσδεχόμενον τρόπου καὶ ἤθους καὶ σχήματος· ὅταν τἄλλα τῆς ὑψηλῆς καὶ γενναίας εὐλαβείας, καὶ σωφροσύνης περὶ τὰ θεῖα σεμνὸν σεμνῶς, ἀποδεικνύμενον ἑκάστοτε σύμβολα, πρὸς τὰ φθάσαντα τὸν νοῦν τῇ μνήμῃ μετάγουσι καὶ θαυμάζουσι· καὶ ὃ κάλλιστόν ἐστι ἐντεῦθεν, ὡς τὸ εἰκὸς ἀπαιτεῖ, παιδεύονται, πρὸς τὰ κατὰ τὸν λόγον παραπλήσια. Οὔπω γὰρ οὔπω τῶν ἁπάντων οὐδεὶς, οὔτ' ὄψεσιν εἶδεν· οὔτ' ἄρα φήμης ἐδέξατο, τοσαύτην περὶ τὰ θεῖα βασιλέως αἰδῶ, ὅση κατὰ τὴν σὴν δὴ ταύτην ἀδόκητον, ὡς ἀληθῶς πρότερον καὶ ἀνεννόητον.

28. Τοιγαροῦν πολὺ δή τι τὸ σεμνὸν, τανῦν σοι τοῖς βασιλείοις ἐμπρέπει· καὶ τοῖς ἐνθάδε στρεφομένοις, πολὺ πάνυ τοι τὸ κόσμιον· ὡς οὐκ ἐνὸν ὅλως σοί τε καὶ ὁπωσοῦν προσεγγίζειν καὶ χάριτος, ἡστινοσοῦν ἀπολαύειν βασιλείου· καὶ κόσμων δόξης, ὅτῳ μὴ μέτεστιν εὐγενοῦς πολιτείας, ὅστις μὴ πρὸς παράδειγμα τὴν σὴν, περὶ τὰ καλὰ σπουδὴν εὐθύνων, ὡς οἷον τέ ἐστιν ἑαυτὸν εὖ μάλ' ἐπείγεται. κἂν ἄρα τις ἐνθάδε γένοιτο, νέος ἔτ' ἄπειρος, ἀμαθής· οὔπω τὴν δύναμιν ἀσκήσας, εἰς ἕξιν ἀρετῆς, εὖ γε τοῦ τάχους· ἐγγὺς ὁ τύπος· ἐγγὺς ἡ πλάσις· τὰ μεγάλα τῆς βασιλικῆς ἐνταῦθα περὶ τὰ βέλτιστα σπουδῆς ὤνατο· καὶ ᾔσθετο μετ' οὐ πολὺ κρείττων ἑαυτοῦ γεγονώς. οὕτω δὴ τὸ πρᾶγμα πρὸς λόγον | f. 93
ξυμβαίνει καὶ κατὰ νόμους φύσεως. ὡς γὰρ οὐκ ἔστι φύσις μὴ μεταδιδόναι· τῷ πυρὶ τοῖς ἔγγιστα γινομένοις τῆς αὐτοῦ θερμότητος· μὴ μεταδιδόναι τοῖς αὐτοῖς τὰ ῥόδα τῆς εὐοσμίας, παραπλήσιον καὶ τοῦτο κατ' ἐκεῖνα, καὶ πάντως οὐκ ἔξεστι, μὴ τῆς σῆς ἀγαθοεργίας ἀποφέρεσθαι, καὶ ἀποκερδαίνειν ὁπηοῦν τοὺς συνόντας· ἐπειδὴ τοῖς καλλίστοις ἐπισχολάζων καὶ χρόνιος ἐπιμένων, καὶ ξυλλαγχάνων ὁ νοῦς· καὶ συνεχῆ τριβὴν ἐν τούτοις ποιούμενος (πῶς ἄν τις ἐρεῖ;), δοκεῖ πως ἀναισθήτως, πρὸς τὴν ὁμοίαν ἕξιν ἁμηγέπῃ καὶ κίνησιν, τυποῦσθαι, καὶ οὕτω δὴ τοῦ πράγματος συνεχῶς ἑκάστοτε προϊόντος πρὸς τὸ καλὸν, ἁρμόζεται κατὰ φύσιν καὶ πλάττεται καὶ γίγνεται παραπλήσιον, ὥσπερ ἂν, εἰ καὶ

27,11 αἰδῶ: sic V; servavimus **12** ἀνεννόητον V²: ἀνενόητον V **28,9** τύπος V² e corr.

ὀφθαλμὸς νεωτερίζοι, πρὸς ἥλιον ἀτενίζων ὁπωσοῦν· καὶ τολμᾷ θρασύς. καὶ μεθιστάμενος γὰρ οὐ μέχρι πολλοῦ τινος, οὐκ ἀποσείεται τὸν ἐπιτεθέντα· καὶ κατακραθέντά οἱ τύπον τῆς ἡλιακῆς αὐγῆς καὶ λαμπρότητος· ὅ δ' ἄρα καὶ ἄλλοις ἑξῆς αὐτίκα· προσβάλλων αἰσθητοῖς, ὡς ἡλίοις δοκεῖ προσβάλλειν αὖθις· καὶ οὐκ ἀποχωρεῖ ῥᾳδίως τὸ κατακλεισθὲν ἐκείνῃ φαιδρὸν, κἂν ὅτι μάλιστα βούλοιτο.

29. Ἀγαπητὰ μὲν τῷ θεοπάτορι καὶ προφήτῃ Δαυὶδ, τὰ θεῖα σκηνώματα καὶ αἱ αὐλαὶ τοῦ Κυρίου ποθούμεναι· καὶ σοί δ' οὐχ ἧττον εἰ μὴ καὶ μείζων, ὁ περὶ ταῦτ' ἔρως κράτιστε βασιλεῦ, ἡ περὶ τοὺς θείους νεὼς, σπουδὴ καὶ φιλοκαλία· ἐν οἷς καὶ συνεχῶς ἀνθομολογῇ τῷ Θεῷ· ἐν οἷς ὑπὲρ τῶν ὑπηκόων ἐκλιπαρῶν θαμίζεις, τῷ κοινῷ δεσπότῃ· καὶ τὸ περὶ τῶν αἰτουμένων ἐνδοιάζειν, οὐ πρὸς τῆς σῆς βασιλικῆς | f. 93v μεγαλοψυχίας καὶ πίστεως. ἡ πίστις οὕτω δὴ πάνυ τοι γεννικὴ· καὶ τὸ τυγχάνειν, οὐ μακρὰν· ἀλλ' ἐγγὺς ὅτι μάλιστα. τίς οὕτω τῶν πρώην αὐτοκρατόρων, ὡς οὑμὸς βασιλεὺς τοῖς πρὸς Θεὸν ὕμνοις, καὶ ἱεροτελεστίαις, πλεῖστον ὅσον ἐνετρύφησε σχολάζων, κομιδῇ; τίς οὕτω γενναῖον καὶ τοῦ κατὰ φύσιν σωματικοῦ τόνου, κράτος ὑπερβεβηκὸς, ἀνώτερον ἔν τε παννύχοις συνάξεσι· καὶ ταῖς ἄλλαις τῶν Θεοῦ μυστηρίων κοιναῖς συνόδοις ἐπεδείξατο; ᾧ γε τοσαύτη τις ἡ περὶ ταῦτα φιλοσοφία, ὥστε καὶ νύκτας ὅλας ἐξ αὐτῆς ἑσπέρας, εἰς ἕω διακαρτερεῖν καὶ ἀνύτειν· ἀκίνητα καθάπαξ ἑστῶτα καὶ μὴ δ' ἡντινοῦν ἐν τούτοις φιλανθρωπίαν τῇ κοινῇ καὶ ταπεινῇ τῆς φύσεως ἀνάγκῃ καὶ τῷ σώματι νέμειν· ἀλλὰ φιλονεικεῖν ἀτεχνῶς καὶ πλεῖν ἢ κατ' αὐτὸ φρονεῖν· καὶ τοῖς ἄλλοις οὕτω δὴ νεανικῶς ὑποτυποῦσθαι, καὶ δεικνύειν μεθ' ὅσης ἀμέλει τῆς μεγαλοψυχίας· μεθ' ὅσου τοῦ ζήλου χρῆναι τῷ Θεῷ προσέχειν, καὶ ταῦτα μείζω μὲν ἢ κατὰ φύσιν ἁπλῶς, μείζω δὲ πλέον, ἢ κατὰ τὴν βασιλικὴν δεδομένην ἄνεσιν· ἧπερ ἐκ μακρῶν τῶν χρόνων δοκεῖ νόμιμα· καὶ πρὸς φύσιν μετέβαλεν ἡ κατ' αὐτὰ μάλισθ' ἕξις.

28 ἐκείνῃ V^1: ἐκείνῳ V **29,3** ἧττον V: an ἥττων scribendum? | μείζων V^1: μεῖζων V **8** ἐντυγχάνειν V a. corr.

29,1–24 cf. Niceph. Xanth., De templ. et mirac. 63 (pp. 89–93) **1–2** Ps. 83, 1

30. Ἓν δέ σου τῆς ἐν τούτοις ἐπιμελείας, τίς οὐκ οἶδε βασιλεῦ, μᾶλλον δ' εἰδὼς οὐ θαυμάζει, τὰς θαυμαστὰς ἐκείνας σὰς περιόδους, ἐν αἷς διὰ μέσης τῆς πόλεως, πεζῇ συνεκθειάζων τοῖς ἄλλοις, αὐταῖς ἱεραῖς εἰκόσιν ἡμέρας ὅλης περιήεις· καὶ διεκαρτέρεις πάνυ τοι πλεῖστον οὕτω πονῶν ἀήθως τοῦ σώματος· θέαμα ἥδιστόν τε ὁμοῦ καὶ σεμνότατον· καὶ τοῖς πολλοῖς φιλοσοφίας ἀρχέτυπον καὶ ταῦτα πάντα τοῦ | τῶν Ῥωμαίων ἕνεκα βελτίστου· καὶ τῆς αὐτῶν f. 94 σωτηρίας καὶ ἀσφαλείας· εὖ εἶναι πάντα διὰ πάντων, μετὰ τοσούτων σοι τῶν καμάτων, καὶ παντὸς τοῦ τρόπου. ὢ θαυμαστῆς μὲν τῆς ἐνταῦθα περὶ τὰ θεῖα σπουδῆς· μακαρίας δὲ καὶ τῆς ἐλπίδος, ἥτις ἀκαταίσχυντος τοῖς πράγμασιν ἐτελεύτησεν. ἐν ἐκείνοις τοίνυν βασιλεῦ τοῖς χρόνοις, ὅστις λογίζοιτο, κάλλισθ' οὑτωσὶ πράγμασιν ἐδίδαξας, ὡς οὐ πλούτῳ, πιστευτέον εἶναι· οὐδὲ στρατεύμασι τὴν τῶν ὑπηκόων, φυλακήν· οὐδ' ἐν τούτοις ὁριστέον τὸ βασιλεύειν· εἴπερ μὴ μέλλοι τις, ἀμαθὴς ὤν, τὰ χρήσιμα πάντων μάλιστα, σαφῶς ἔπειτα γνῶναι καὶ μεταγνῶναι· πάντως ἀνόνητα, ἀλλὰ τὸ πᾶν ἐξαρτᾶν, δεῖν εἶναι τοῦ θείου κράτους, καὶ τῆς χειρὸς, οὕτω γε τοι καὶ τὴν τῶν στρατευμάτων, καὶ πᾶσαν ἄλλην τὴν τοῖς πολλοῖς δοκοῦσαν ἰσχὺν, ἰσχύν τε εἶναι καὶ τῷ σκοπῷ συναίρεσθαι· μετ' ἐκείνης ἢ μετ' ἐκείνην μᾶλλον καὶ δευτέραν ἑξῆς ἑπομένην· αὐτήν δ' ἐφ' ἑαυτῆς ἀσυντελῆ μόνην εἶναι· καὶ ματαίαν ἄλλως ἀσχολίας ὑπόθεσιν.

31. Τοῦτο μὲν οὖν τοσοῦτον ἔργον βασιλικὸν σοφὸν, οὐδὲν ἧττον ἢ γενναίας γνώμης, περὶ τὰ θεῖα νῦν εἶναι τῷ λόγῳ, κατὰ καιρὸν εἴρηται. τῆς δὲ περὶ τὰ κοινὰ βασιλικῆς σοφίας· καὶ τῆς περὶ τοὺς λόγους ἔτι γε μὴν φιλοκαλίας, ηὐχόμην ἰσχύειν τὸν λόγον, ὁπόσον ἐνταῦθα βούλεται, δύνασθαι. νῦν δὲ σμικρῷ σκάφει πιστεύσαντες, πρὸς μεγάλην ἀνάγειν κατετολμήσαμεν θάλασσαν, τῶν βασιλικῶν ἀγαθῶν· ὥστε καὶ ἀπορεῖν κομιδῇ, ὅπως ἄρ' ἡμῖν καὶ τελευτήσει, τὰ τῆς περιφανοῦς ἐγχειρήσεως ταυτησὶ· καὶ ὅποι

30,14 ὑπηκόων scripsimus: ὑποκόων V **18** τῶν V[2] in ras.

30,5–6 cf. Synes. Cyren., De regn. 25, 6 (p. 135) **10** Rom. 5, 5 **13–19** cf. Synes. Cyren., Aeg. 2, 2, 10 (p. 146) **31,5–6** cf. Greg. Naz., Or. 10, 1, 16 (p. 318) **7** CPG II, 240, 5

f. 94v ποτ’ ἂν εὖ διαθείην, | τὸν παρόντα καὶ πόθον καὶ πόνον. μέγας μὲν ὄντως κατὰ φύσιν, οὑτοσὶ πόθος· καὶ ἡ περὶ τὰ καλὰ πάντων μάλισθ’ ὅση δύναμις σπουδή· τὸ πρᾶγμα δὲ, παντάπασιν ἀνέφικτον. ἀλλ’ ἡ παντελὴς ἴσως σιγὴ χαρίζεται τῷ φθόνῳ· καὶ τὴν δόξαν ἀναιρεῖ τῶν μεγίστων πραγμάτων, τό γ’ εἰς αὐτὴν ἧκον· μᾶλλον δ’ ἀφαιρεῖται τὴν τῶν καλῶν προκοπὴν, μὴ παριστῶσα· μὴ προδεικνῦσα· μὴ καλῶς προτιθεῖσα τοῖς θερμοτέροις τύπους πάντ’ ἀρίστους, γνώμονας ἀκριβεῖς τῶν καλῶν, καὶ οὕτω τοὺς πολλοὺς ἐνάγουσα καὶ κινοῦσα, πρὸς τὰ παραπλήσια. τοιγαροῦν καὶ αὖθις ὁ λόγος, ἑξῆς περαινέτω· καὶ τῆς βασιλικῆς ἐν τούτοις ὡς ἅπαντες ἄλλος ἐν ἄλλοις ἀπολαυέτω φιλανθρωπίας.

32. Ἑλληνικῆς μὲν οὖν περὶ τοὺς λόγους κομψείας, οὐκ εἴασεν αὐτὸν μετασχεῖν ἡ περὶ τὰ στρατηγικὰ τῶν ἔργων ἐξέτι νέας κομιδῇ τῆς ἡλικίας, σχολή· τοσαύτη δέ τις, ἡ περὶ τοὺς λόγους ἀγχίνοια καὶ τὸ δραστικὸν οἷον τῆς βασιλικῆς καθόλου μεγαλοφυίας, τοσαύτη τίς ἡ τῶν εὖ τὲ καὶ μή· προτιθεμένων καὶ κινουμένων ἑκάστοτε, λόγων συναίσθησις, ὥστε καὶ ὑπερβαίνειν, πολλῷ τῷ μέτρῳ τὴν ἐξ ἀσκήσεως· καὶ μεγάλης φιλοπονίας ἐνοῦσαν τοῖς ἄλλοις ἕξιν καὶ δύναμιν ἔντεχνον. δεῆσαν δὲ προσδιατρίψαι τὴν βασιλικὴν ἑτοιμότητα καὶ μεγαλόνοιαν λόγῳ τυχὸν οὕτω κεκινημένῳ καὶ ἀνιχνεῦσαι θησαυρὸν ἐναποκείμενον αὐτῷ, καὶ πρὸς φῶς ἐνεγκεῖν, τίς οὕτως ἀμαθὴς ἢ ἀπαίδευτος, ἢ οὐκ οἶδ’ ἧτινι συνὼν βασκανίᾳ καὶ κακοηθείᾳ, καὶ σκαιότητι, ὃς οὐκ ἐπαίρεται καὶ
f. 95 κουφίζεται τὸν νοῦν τῷ κάλλει τὲ καὶ μεγέθει καὶ τῷ τάχει τὲ | καὶ τῷ πλήθει, τῶν νοημάτων· καὶ μόνον οὐκ ἔνθους γίγνεται, τὸ μεγαλεπίβολον καὶ διῃρμένον καὶ πολύνουν, ἀδόκητον παντάπασι, τέως λογισμοῖς πᾶσιν ἄλλοις, τοσοῦτο θαυμάζων ἅμα τῇ εὐρροίᾳ τοσαύτῃ καὶ καταπληττόμενος; πρόκειται θέσις· πρόκειται δόγμά τι τῶν γλαφυρωτέρων, τῶν τε ἡμετέρων καὶ τῶν ἐκτός. ἐνταῦθα τοῖς περὶ τὸν βασιλέα σοφοῖς ἡ φιλοπονία. ἐνταῦθα δὴ τὸ πλεονεκτικὸν, καὶ μάλα πάντων κρατοῦν, τῆς σῆς μεγαλοφυίας βασιλεῦ, αὐτίκα. ἄλλος μὲν ἄλλό τι, φέρει τὸ παραστάν· καὶ

31,9 τὸν παρόντα primum iteratum, deinde deletum in V **32,6** ἑκάστοτε primum iteratum, deinde deletum in V **17** εὐρροίᾳ: sic V; servavimus

32,1 cf. Greg. Naz., Or. 25, 4, 23–25 (p. 164)

προτίθησιν εἰς μέσους ὃ δοκιμάσειε, τὸ δ’ ἔσχατον κορυφοῦται βασιλεῦσι, Πίνδαρος ἔφη. οὕτω τοι πάντα σαφῶς ὑπεραίρει τὸ σὸν προελθὸν· καὶ πολύ τοι τὸ θαῦμα παραυτὰ καὶ ὁ κρότος· προστιθεμένων πάντων· ἀναχωρούντων πάντων, πάντων τῶν κατ’ αὐτοὺς, ὁμολογούντων τὴν ἧτταν εἰ μὴ μαίνοιντο.

33. Τὸ δὲ περὶ τὰς ὁμιλίας καὶ τὴν ξυντυχίαν ἱλαρὸν, καὶ γενναῖον· καὶ τὴν κάλλιστ’ ἐνταῦθ’ ἁπάντων εὐαρμοστίαν, καὶ συμφωνίαν ὡς μήτε πρὸς ἔκλυσιν, μήτε πρὸς ἀκοινώνητον ὡς εἰπεῖν δυσαγωγίαν, καὶ σκληρότητα παραφέρειν καὶ τρέπεσθαι· ἀλλ’ ὅσῳ τὸ μὲν, ἡγεμονικὸν εἶναι, τὸ δὲ φιλάνθρωπον, μᾶλλον δ’ ἀμφότερ’ ἡγεμονικὸν, ταῦτα δὴ πάντα, τίς ἂν, διαρκῶς ἐρεῖ, πάνθ’ ἑξῆς καὶ προδιδάξειε τοῖς ἀγνοοῦσιν, εἴπέρ τινες εἰσίν; ἄλλος μὲν ἄλλό τι μόριον ἀρετῆς, ἐξελὼν τοῦ παντὸς βίου προυστήσατο· καὶ παρατοῦτο μεγάλου τετύχηκεν ὀνόματος καὶ δόξης· Δαυὶδ δὲ καὶ τοὐμοῦ βασιλέως ἴδιον ἐπιεικῶς· καὶ ὥσπέρ τι τῆς βασιλείας, καὶ τοῦ κατ’ αὐτὴν ἐπίσημον ἤθους καὶ βίου, τὸ πρᾶον τὲ καὶ τὸ τοῦ ἤθους γαλήνιον, εἰ καὶ τἆλλα | πάντα μηδὲν f. 95v ἧττον ἀσκεῖν προύθετο. καὶ μέντοι συχνῶν ἀσκήσας ἤδη τῶν χρόνων, ὁρᾶται κάλλιστα· καὶ καθάπαξ ἐπιτελέστατα. ᾧ γε τοσοῦτο δὴ τὸ περιὸν τῆς φιλανθρωπίας· καὶ φιλοίκτου γνώμης, ὥστε καὶ νόμος ἄλυτος, οὗτος αὐτῷ καὶ πάσης τῶν πραγμάτων ἐπιγινομένης ἀνάγκης καὶ ἀντιπράξεως, ὅσα εἰκὸς συμβαίνειν, ἰσχυρότερος, μηδένα ζημιῶσαι μορίῳ τινὶ τοῦ σώματος· μὴ δ’ ἐκκόψαι· μὴ δ’ ἐλαττῶσαι τὴν φύσιν, μὴ δ’ ἂν εἴ τι καὶ γένοιτο παρ’ αὐτοῦ, τῆς πάντ’ ἀρίστης καὶ θαυμαστῆς πρόγραμμα βιοτῆς, ὡς ἄν τις εἴπῃ· καὶ πρώτην ὑπόθεσιν προυστήσατο· οἷα δὴ τοῖς τῆς πολιτείας νόμοις, ὡς τὰ πολλὰ συγκεχώρηται· καὶ τοῦτ’ ἐπ’ ἀσφαλείᾳ καὶ τῷ βελτίστῳ τῶν κοινῶν, πάνυ τοι κατὰ καιρὸν ἑκάστοτε. καὶ ὁ λόγος ἐγγὺς ἐνταῦθα· καὶ ἡ τοῦ δόγματος ἀνάγκη γενναία καὶ ἀναντίρρητος. μὴ δὲ γὰρ ἀφελέσθαι χρῆναι, ὃ μηδαμῶς ἀποδιδόναί τις οἷός τέ ἐστιν. ὢ τῆς φιλανθρωπίας· ὢ τῆς

33,10 δὲ V[1] s.l.

23 Pind., Olymp. 1, 113–114 **33,8** cf. Plat., Lach. 199e et Protag. 333a **10–12** Greg. Naz., Or. 43, 73, 9–11 (pp. 288–290) **16–20** cf. Nic. Lamp., Enc. in Andr. (p. 64, 10–14)

εὐγνωμοσύνης, μεθ’ ἧς ἀνακηρύττει σαφῶς, ταπεινὸς ὤν, ὅσα γε πρὸς τὸ θεῖον κράτος, καὶ μὴ δ’ ἀντιπράττειν ἰσχύων ἀμέλει, μὴ δὲ βουλόμενος. καὶ τοῦτ’ οὐ νόμος μόνον· οὐδὲ λόγος ἄλλως καὶ γνώμης κρίσις ἀδοκίμαστος ἐν πράγμασιν· ὥστε καὶ ἀπιστεῖσθαι, μήπου δὴ μεταξὺ καὶ φθάσῃ μεταβαλοῦσα κατὰ χρείαν ἀπαραίτητον δοκοῦσαν, ἐπιπεσοῦσαν ἴσως ἔστιν, ὅτε καὶ οὔ, οἷα δὴ γίγνεται· ἀλλ’ ἡ πίστις πολλή τις τοσούτου τοῦ χρόνου· πολλή τις ἀμέλει τῶν πραγμάτων αὐτῶν· καὶ βεβαιοῖ τὰ γεγονότα τὴν αἵρεσιν.

34. Οὐ γὰρ ἀφῆκεν ἀνεπηρέαστον ὁ χρόνος τὴν πρόθεσιν· ἀλλ’
f. 96 ἐπέθετο πολλάκις τῷ καλλίστῳ τούτῳ σκοπῷ κακοῦργος ἐπι | βουλεύσας, καὶ πάντ’ ἀντιπράξας τρόπον, ὁ τοῖς καλοῖς βασκαίνων ἀρχῆθεν, ἐκλῦσαι ταυτηνὶ τὴν ἀρίστην φιλονεικῶν, ἀμηγέπῃ δοκιμασίαν καὶ ψῆφον. καὶ δῆτ’ ἐν μέσῳ τῷ καλῷ σπόρῳ, τῆς τῶν Ῥωμαίων ἡγεμονίας, ἀναφύει ζιζάνια, φθορεῖς ἀνθρώπους καὶ ἀλιτηρίους τῶν καλῶν καὶ πλάνους οἶμαι καὶ ἀμαθεῖς μάλιστα τῶν σφίσι βελτίστων· ὧν καθάπαξ ἄρα δολία καὶ κακῶν ἐφιεμένη πραγμάτων ἡ πρόθεσις, οὓς ἀμέλει λαμπρῶς, ὑπὸ χεῖρας ἡ τοῦ βασιλέως ἀγαγοῦσα σοφία, μετὰ τὸν σαφῆ τῆς κακίας ἔλεγχον, μετὰ τὴν τῶν πολλῶν ἐπ’ αὐτοὺς ἔνδικον ψῆφον, τὰ τῆς θαυμαστῆς καὶ σχεδὸν ὑπερφυοῦς φιλανθρωπίας, περὶ αὐτοὺς, ἔπειτ’ αὖθις ἐπεδείξατο. ὑπερεφρόνησε φύσιν, πραγμάτων· καὶ χρέος, ἀνάγκης δοκοῦν ἀσάλευτον· παρεῖδε πολιτικοὺς νόμους· ἔνθ’ ἄρα τὸ παρανομεῖν ἐννομώτατον· μᾶλλον δ’ ὑπὲρ νόμον καὶ πρὸς ὑψηλότερα φέρον ἀληθῶς.

35. Οὗτος ὁ γενναῖος σοι λογισμὸς· αὕτη τῆς καλλίστης σοι πολιτείας ἡ πρόθεσις, καὶ νῦν περιφανῆ σε καθίστησι βασιλεῦ· ἀλλὰ καὶ τὸν ἑξῆς ἅπαντα χρόνον εὖ οἶδα, μακρὰ δραμεῖται, καὶ κηρύξει τὰ σὰ θαύματα τῆς γνώμης καὶ τῆς φύσεως πλεῖν, ἢ τῆς τύχης· καί σοι στήλη τις ἔσται καὶ εἰκὼν ἀκριβεστάτη, καὶ μάλ’ ἐπιτυχὴς τῆς ὅλης ἀγαθοεργίας. ἣν οὐ περικλείσει τόπος, ὅστις ἄρα κομιδῇ βραχὺς πάντως, ἀλλ’ εἰς πάντας πομπεύσει πραγμά-

27 ταπεινὸς V[1]: ταπεινῶς V **34,9** ἡ πρόθεσις V e corr.

34,13 Synes. Cyren., Aeg. 2, 7, 1 (p. 157)

των πάντων ἀπρόσκοπος, τὴν σὴν εὐγένειαν πάντων ἀγγέλλουσα τῶν καλλίστων τελεσφόρον. ἣν οὐκ ἀφαιρήσει βάσκανος, ἢ χρόνος ἢ τρόπος, ἀνδρὸς, ἐκτυποῦσαν, καὶ τοῖς ἑξῆς | προτιθεῖσαν τὸν σὸν f. 96v τῆς φύσεως καὶ τῆς ψυχῆς κόσμον, ἀπαράμιλλον οἷον καὶ πρᾶγμα σχεδὸν ἀμίμητον, ὅσοι καὶ μάλιστ᾽ ἐν λόγῳ, ἢ ὃ γραφικῶν χεῖρες δύνανται, τὸ σωματικὸν μόνον κάλλος τῷ μέλλοντι χρόνῳ, παραπέμπουσαι καὶ χαριζόμεναι· καὶ ταῦτα δὴ τὰ σεμνὰ τῆς βασιλείας στέφη περιτιθεῖσαι, καὶ διαδήματα· καὶ μηδὲν τῶν οἴκοι καὶ κρυπτομένων εἴσω, καλῶν ἐκφαίνουσαι.

36. Τοῦτο με πείθει θαρρεῖν· καὶ προλέγειν παρρησίᾳ τά τε ἄλλα σαφῶς, καὶ ἡ καλλίστη τῶν σῶν ἀγαθῶν οὐχ ἧττον, ἢ τῆς βασιλείας διαδοχὴ, τὸν ἐμὸν ἐκ σοῦ φημὶ βασιλέα· τὰς ἀγαθὰς Ῥωμαίων ἐλπίδας· τὴν ἀκριβεστάτην σφραγίδα, τῆς σῆς μεγαλοφυίας, ἔμψυχον. δεξιοῦται γὰρ καλλίστοις προοιμίοις, τοὺς ὑπηκόους καὶ προφητεύει τὸ μέλλον, φθάνων τὰς χάριτας ἤδη τοῖς σοῖς Ῥωμαίοις· καὶ τὰς φιλανθρωπίας ταῖσδε ταῖς ἐλπίσι· καὶ ταῖσδε ταῖς τοῦ μέλλοντος ἀγγελίαις ὡς εἰπεῖν. ᾧ καὶ συζήσαις· καὶ συμβασιλεύσαις, εἰς ὅσον μήκιστον· ἡδύς τε ὁρῶν καὶ ὁρώμενος, καὶ τῶν αὐτοῦ καλῶν, ἀπολαύων· καὶ τοῦτο πολλῷ πλέον ὡς ἀπολαύοντας ὁρῶν, τούτων τοὺς ὑπηκόους προηγμένων εἰς ἔργα καὶ τελειότητα, ταύτην ἤδη σκιαζομένην, κατὰ τὴν ὑποτεθεῖσαν ἀρχὴν καὶ δύναμιν· καὶ εἴητε κόσμος ἀλλήλοις, καὶ εἴητε τιμῶντες οὕτω τὸν καθ᾽ ἡμᾶς βίον τε καὶ χρόνον· καὶ πρὸς τούτοις τὴν βασιλείαν αὐτὴν, οὐδέν δ᾽ ἧττον καὶ τὴν τῶν ἀνθρώπων φύσιν, τῇ τοσαύτῃ περιουσίᾳ, τῶν καθ᾽ ἡμᾶς ἀγαθῶν.

35,8 ἀγγέλλουσα V[1]: ἀγγέλουσα V **10** προτεθεῖσαν V a. corr. **36,5** τοῖς post γὰρ exstinctum in V

f. 97

6

Εἰς τὸν ἅγιον Γρηγόριον τὸν Θεολόγον

1. Ὅσα μὲν τῷ παρόντι λόγῳ τὰ δυσχερῆ πρόσεστιν, οὐδὲ λέγειν οἶμαι ῥᾳδίως, ἔχοι τίς ἄν· ἀλλὰ καὶ τοῦθ᾽ ὡς ἀληθῶς ἔτ᾽ ἄλλο μέγιστον ἔργον, καὶ δυσχερέστατον ἄν, εἴη κατερεῖν ἅπανθ᾽ ἑξῆς ὁμοῦ καὶ λογίσασθαι. ἔοικε δ᾽ ὃ μάλιστα παντὸς ἀγῶνος ἀποτρέπειν δοκεῖ καὶ πράξεως ἅπτεσθαι, εἴ τις ἄρα μὴ πρὸς τὴν ὑπόθεσιν ἔχων ἱκανῶς αἰσθάνοιτο, ὥστ᾽ ἐπιχειρεῖν εὖ μάλα καὶ παραβάλλεσθαι, τοῦτ᾽ ἔμοιγε, νῦν εἶναι κάλλιστα πρὸς τόνδε τὸν λόγον ἔχειν· καὶ καταβούλησιν, ἀπαντᾶν· ὡς οὐδὲν ἔπειτα συμβησόμενον ἀηδὲς ἐντεῦθεν ἐμοί· μὴ δ᾽ οἷον φέρειν αἰσχύνην ἀμαθίας τινὸς κατ᾽ ἐμοῦ καὶ ἠλιθιότητος· ὅτιπερ οἷς ἐπιβαλεῖν ἠξίωσα καὶ συμπλέκεσθαι, μακρὰν εἰμὶ σφόδρα ἢ ὥστε καὶ τυγχάνειν ὅλως. οὐ γὰρ αὐτὸς ἐγὼ μόνος· ἀλλ᾽ ἅπας ἄρα καὶ ὁστισοῦν· ἀλλ᾽ ἅπας οἷος καὶ τῶν μεγίστων πραγμάτων ἀξιοῦσθαι, καὶ ἀξιοῦν ἑαυτὸν, πρὸς τοσοῦτον ἔργον, τὴν τοῦ θειοτάτου Γρηγορίου καὶ πάντα ὑπερφυοῦς εὐφημίαν, οὐκ ἂν ἔχοι πάντως ἑαυτῷ καὶ τοῖς λόγοις χρῆσθαι· οὐδ᾽ ἅπτεσθαι τῶν τοῦ ἀνδρὸς ἐγκωμίων, ὡς ἱκανῶς ἔχων ἅπτεσθαι· καὶ σώφρων ἄν, εἴη μάλιστα καὶ φρονῶν οὕτω δὴ καὶ συντιθέμενος, ὡς νῦν οἶμαι λέγομεν. ὥστ᾽ εἰ ἄρα, καὶ ὁτῳοῦν τῶν τὰ μέγιστα δυναμένων ἐξῆν, εἰς τὴν παροῦσαν ὑπόθεσιν καταξίαν ἐπιχειρεῖν, σιωπὴν ἄν, παντάπασιν ᾑρούμην ἔγωγε καταμετρούμενος ἐμαυτὸν· καὶ τοῦ τοσούτου πράγματος οἷς προσήκει δικαίως ἐξιστάμενος· καὶ οὐκ ἂν οὕτω προπετῶς παρακινδυνεύειν ἐτόλμων, τῶν ὑπὲρ ἐμὲ τοσοῦτο, κομιδῇ γέλωτα ὄφλων, ἀντιποιούμενος.

f. 97v **2.** Ἐπεὶ δὲ τοῦτο κατὰ πάντων | ὡς εἴρηται κοινὸν· καὶ οὐδεὶς ἄν, ἄλλως ἐρεῖ σωφρονῶν, πᾶσαν πάντων ὑπερβαίνειν δύναμιν

tit. εἰς τὸν ἅγιον Γρηγόριον τὸν Θεολόγον V: τοῦ σοφωτάτου λογοθέτου τοῦ γενικοῦ (μεγάλου λογοθέτου B p. corr.) Θεοδώρου τοῦ Μετοχίτου· ἐγκώμιον εἰς τὸν ἐν ἁγίοις πατέρα ἡμῶν Γρηγόριον ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως τὸν Θεολόγον BD: τοῦ σοφωτάτου λογοθέτου τοῦ γενικοῦ κυροῦ Θεοδώρου τοῦ Μετοχίτου· λόγος εἰς τὸν ἐν ἁγίοις πατέρα ἡμῶν ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως Γρηγόριον τὸν Θεολόγον C | λόγος ϛ´ V[2] in marg.
1,3 κατερεῖν VCD: διελθεῖν B p.corr. **6** αἰσθάνοιτο V e corr. **8** καταβούλησιν V: κατὰ βούλησιν BCD **11** εἰμὶ VBD: ἐμοὶ C

λόγων, τοὺς ἐπαίνους ἐκείνου· καὶ πάντας ὁμοῦ καθάπαξ ἐρεῖν πολὺ τοῦ πράγματος λείπεσθαι, διαταῦτα δὴ τῇ κοινῇ πάντων φανερῶς ἥττῃ καὶ συγγνώμῃ θαρρῶν (ἅπαντες γὰρ ἅπασιν ἐνταῦθα πρὸς τὴν συγγνώμην ἐσμὲν ἕτοιμοι, τὸ τῆς πράξεως ἀνέφικτον ταύτης, ἕκαστος ἐφ᾽ ἑαυτοῦ πρώτιστα λογιζόμενος· καὶ ῥᾷστα μεταδιδοὺς οὗ χρῄζων οἶδε μάλιστα καὶ αὐτὸς), ἐμαυτὸν ἔδωκα λοιπὸν ἤδη τῇ παρούσῃ σπουδῇ· καὶ τοῦ πόθου σφόδρα γίνομαι· ὃν ἀεὶ πάντοτε πρότερον σύντροφον ἔχων τὲ καὶ κατέχων, κατασχεῖν ὡς ἔοικεν εἰς τέλος, οὐχ᾽ οἷός τε γέγονα, ἀλλά με νῦν ἤδη νικήσας τὲ καὶ βιασάμενος, ἐνταῦθ᾽ ἄγει τολμηρὸν τῶν σῶν ἐπαινέτην, ὦ πάντ᾽ ἀρίστη καὶ θαυμασία τῶν τοῦ Χριστοῦ θρεμμάτων καὶ ποιμένων τῆς ἐκκλησίας αὐτοῦ κεφαλή. ἔοικα δὲ κἀν τούτῳ σοὶ μάλιστα πιστεύειν, ἢ παντὶ τρόπῳ καὶ λόγῳ καὶ τοῖς σοῖς δόγμασι. σὺ γὰρ οὐκ οἶδ᾽ ὡς εἴ τις ἄλλος, ὁ πάνυ τοι πλεῖστον τιμήσας τὸ μέτριον· καὶ τὸ εὔγνωμον ἅπαν ἐνδεικνυμένους τὲ καὶ ἀποδιδόντας, ὁπόσοι μὴ παντάπασι τῶν καλλίστων τὲ καὶ μεγίστων ἀναίσθητοι, φέρειν ὁτιοῦν ὡς ἔξεστι διδάξας· ὡς οὐκ ἐνὸν ὅλως καὶ πάντα πράττοντας· καὶ πάντα λέγοντας, τὸ εἰκὸς ἀνύτειν· καὶ μάλιστα περὶ Θεοῦ καὶ τῶν θείων αὐτῶν· ὅπου δὴ καὶ μάλιστα καὶ πρὸ τῶν ἄλλων ὀφείλομεν. «οὕτω» φησὶν «ἁμιλλήσῃ· καὶ τοῦτον δὴ φιλοσοφήσεις τὸν τρόπον· οὐκ ἄλλως· κἂν πλεῖστα δύνῃ· κἂν πάντα φέρῃς· εὖ μάλα προθυμούμενος· καὶ σφόδρα σοι τοῦτο κάλλιστον, ἐκτίνειν αὐτὸ τὸ γιγνόμενον. εἰ δὲ φεύξῃ, πάντως οὐ τὰ πράγματα· σὺ δ᾽ αὐτὸς ζημιώσῃ τῶν δικαίων τὲ καὶ σοὶ βελτίστων».

3. Καὶ τοίνυν ὦ πάντα μέγιστε σὺ καὶ ἀπαράμιλλε· καὶ νοῦν· καὶ λόγον· καὶ βίον, αὐτὸς μὲν ἂν, αἴτιος εἴης σαυτῷ, τοῦ μὴ τῶν προσηκόντων τυγχάνειν· παντάπασιν ἀνέφικτος ὢν· αὐτὸς δ᾽ ἂν, αὖθις, αἴτιος εἴης σαυτῷ καὶ ἡγεμών τε καὶ χορηγὸς· καὶ ἀλείπτης· καὶ ἀθλοθέτης τῶν ἡμῖν προσηκόντων | ἑκάστοις, οὐ τῶν f. 98

2,3 καθάπαξ V[2]BCD: καθάπας V **6** συγγνώμην V[2]BCD: γνώμην V **3,2** μὴ τῶν VCD: τῶν μὴ B

2,5–8 cf. infra, Or. 10, 65, 11–12 **17** cf., e.g. Greg. Naz., Or. 43, 60, 3–4 (p. 254) **17–22** cf. Greg. Naz., Or. 7, 17, 1–2 **20–21** Greg. Naz., Or. 27, 3, 1–3 (p. 76)

σοὶ κατ᾽ ἀξίαν ἐπιβάλλειν ἅπτεσθαι καὶ χρῆσθαι καὶ φέρειν. καὶ γὰρ ὅπερ αὐτὸς ἔφης προελόμενος εὐφημεῖν τὸν ὁμόπνουν σοὶ καὶ ὁμόψυχον· καὶ ὁμοφυῆ καὶ ὁμότιμον (καὶ τί γὰρ ὑμῖν οὐ κοινὸν;), τὴν μεγάλην τῆς ἐκκλησίας δόξαν, Βασίλειον, ὡς αὐτὸς μόνος ἂν, ἦν ἐπαινέτης, ἄξιος ἑαυτοῦ καὶ οὐκ ἄλλος· εἴπερ οἷόν τ᾽ ἦν ἑαυτὸν ἐπαινεῖν, τοῦτ᾽ ἐπὶ σοῦ μάλιστα δοκῶ μοι σφόδρα ἂν, ἐπικαίρως εἰρῆσθαι, καὶ τῶν σῶν ἐγκωμίων· ὡς μόνης ἂν ἦν τοῦτο τῆς σῆς γλώττης ἀγώνισμα, εἴπερ οἷόν τ᾽ ἦν αὐτῷ περὶ ἑαυτοῦ χρῆσθαι, καὶ ὁ νόμος ὡς ἔφης ἐδίδου· εἰ δὲ μὴ, σοῦ μὲν καὶ τῆς σῆς γλώττης ἐπιχειρεῖν περὶ τῶν ἐκείνου· περὶ δὲ τῶν σῶν, ἐκείνου τὲ καὶ τῆς ἐκείνου γλώττης, ἄξιον ἦν ἂν ἐμοὶ δοκεῖν σπούδασμα, καὶ ἰσομέτρητον ὡς ἀληθῶς, ἀνταπόδομα. ἐπεὶ δὲ τοῦθ᾽ οὕτω δὴ καλῶς συνελθεῖν οὐκ ἐξεγένετο· ἀλλὰ σὺ μὲν σεαυτὸν ἐχαρίσω, μεγαλόφωνον ἀγωνιστὴν τῶν ἐκείνου καὶ κήρυκα· σὲ δὲ τὴν ἐκείνου γλῶτταν ἔφθασε ζημιώσας ὁ χρόνος καὶ προϋποτεμὼν, εὖ γε οἶδα, ὡς ἄρα συγγνώμων ἂν εἴης, ἡμῖν κατὰ τοὺς σοὺς λόγους καὶ νόμους, ὡς ἔξεστι γινομένοις ἐνταῦθα· ἅμα δὲ καὶ ἐπιρρωνύοις ἡγούμενος· καὶ χεῖρα διδοὺς ὦ πάντα σὺ φιλάνθρωπε καὶ πρὸς πᾶσαν ἐγχείρησιν ἀτονοῦσαν, ἐπικαλούμενος ἀρήγειν χρήσιμε. σοὶ γὰρ ὄντως τεθαρρηκὼς, ἐπεβαλόμην τοῖς σοῖς ἐπαίνοις· καὶ τὸν τοσοῦτον ὑπέστην ἀγῶνα μετ᾽ ἀγαθῶν τῶν ἐλπίδων, τῶν ἀπὸ σοῦ καὶ τῆς σῆς πάντα κατορθούσης ἰσχύος τὲ καὶ βουλήσεως.

4. Ὁ μὲν οὖν τοῦ παρόντος ἀγῶνος σκοπὸς· καὶ ὅπως ἄρα· καὶ μεθ᾽ ὧντινων ἔγωγε τῶν λογισμῶν, εἰς τοσοῦτο μέγιστον ἔργον ἐμαυτὸν καθῆκα, ἱκανῶς ἐμοὶ δοκεῖν εἴρηται. μέλλοντι δέ μοι λοιπὸν ἤδη· πρὸς τὴν ἀρχὴν τῶν ἐγκωμίων καθισταμένῳ· τῶν τοῦ μεγάλου μεμνῆσθαι πατέρων, λογισμὸς οὗτος ἔπεισι· καί μοι σφόδρα ἦν βουλομένῳ μὴ νόμον εἶναι τὸν ἐπιτάττοντα περὶ τούτων ἐνταῦθα, ὡς ἂν, μὴ δοκοίην ἀμέλει, πρὸς τὴν τῶν | f. 98v λόγων τέχνην ἀφοσιούμενος· καὶ δουλεύων τῇ περὶ τῶν τοιούτων ἀνάγ-

10–14,3 καὶ οὐκ ἄλλος – πλουτίζει om. D **11** δοκῶ μοι VB: δοκῶμεν C **20** γλῶτταν BC: γλώτταν V **22** γινομένοις VB: γινομένας C | ἐπιρρωνύοις VC: ἐπιρωνύοις B a. corr. **24** ἀρήγειν VB: ἀρίγειν C **25** ἐπεβαλόμην BC: ἐπεβαλλόμην V a. corr.

3,7–10 cf. Greg. Naz., Or. 43, 10, 16–19 (p. 136)

κῃ, ἅτε μὴ ἄλλως ἐξὸν ἢ νενομισμένα κατὰ τὴν παροιμίαν βαδίζειν, ὡσπερεὶ παραιτούμενος ἐξωνομίας ἔγκλημα, καὶ τοῦ λιπεῖν τὴν τάξιν αὐτὴν, ἐνθάδε προεπιχειρεῖν τε καὶ τρίβειν· ὡς ἄρα καὶ ἴσως λογίζεσθαί τινα, διὰ τὴν τῶν νόμων ἀπαραίτητον εἴσπραξιν, ἐρανιζομένων θησαυροὺς πάντοθεν καὶ ἀφορμὰς τοῖς ἐπαίνοις, πολλὰ δὴ ζητοῦντα κἀμὲ καὶ πραγματευόμενον, ταῦτα δῆθ' ὅμως, οὐκ οἶδ' ὁποῖάττα· καὶ ὅσα περὶ τῶν αὐτοῦ πατέρων πορίζεσθαι καὶ εἰσφέρειν τοῖς νόμοις καὶ κατανάγκην πονεῖν. οὕτω γὰρ δὴ τὸ περὶ τούτων μεμνῆσθαι, καὶ περὶ τῆς πατρικῆς εὐγενείας ἐκείνῳ ἢ εὐκληρίας, ἢ οὐκ οἶδ' ὅ,τι φῶ προδιεξιέναι, σφόδρα κατεπείγει, καὶ πρὸς τὸν ὅλον αὐτὸν σκοπὸν καὶ τὴν τῶν λόγων ὑπόθεσιν, καιρὸν ἔχει μάλιστα, καὶ ἅμα μὲν, λυσιτελέστατον τοῦτο, ἅμα δὲ καὶ ἀναγκαῖον ἐπιεικῶς, ὥστ' ἔγωγε δοκῶ κἂν εἰ μήπω πρότερον ἐδέδοκτο περὶ τούτων, μὴ δὲ τῇ τέχνῃ νενόμιστο, ταύτην δὴ, τὴν νῦν ὑπόθεσιν τῶν λόγων, εὑρεῖν ἂν, τόνδε τὸν νόμον, καὶ προσθεῖναι τοῖς τέως κειμένοις. ἔξεστι δὲ ἤδη συλλογίζεσθαι καὶ σκοπεῖν ἑξῆς.

5. Τῷ μεγίστῳ γὰρ διδασκάλῳ τῷδε· καὶ φωστῆρι τῆς ἐκκλησίας τοῦ νοητοῦ στερεώματος· ἣν ὁ μέγας ἥλιος τῆς δικαιοσύνης Χριστὸς καταυγάζει καὶ δᾳδουχεῖ, ἅπαντα εὐθὺς ἐξ αὐτῆς ἀρχῆς· καὶ τῆς πρώτης εἰς τόνδε τὸν βίον ἀνατολῆς καὶ προόδου, λαμπρά τε καὶ περιφανῆ καὶ κάλλεσιν οἵοις ἀρρήτοις καὶ θαύμασιν ἀστράπτοντα· γεννήτορες οὗτοι, Γρηγόριός τε καὶ Νόννα· πάντα ἀρίστη συζυγία· καὶ αὐτῷ τε καὶ ἀλλήλοις προσήκοντες· καὶ θαυμαστήν τινα ἐκ προοιμίων αὐτῷ τὴν γέννησιν προπαρασκευασάμενοι· δηλώσει δ' ὁ λόγος ἔμπροσθεν. νυνὶ δ' ὃ σκοποῦμεν ὅτι τοσούτου πράγματος οἱ πατέρες αὐτῷ γεγονότες ἐπιτυχεῖς, τῆς κατ' αὐτὸν εὐτεκνίας, οὔτ' αὐτὸν αἰσχύνειν δοκοῦσιν, οὔθ' ἑαυτούς· διὰ τὴν τοσαύτην τῶν καλῶν τοῦ ἀνδρὸς ὑπερβολὴν καὶ τὸ κράτος, οἷον ἀπαράμιλλον αὐτοὶ παντάπασι λειπόμενοι· | ἐπειδὴ μέγιστον μὲν f. 99
τοῦτο· καὶ μάλ' εὔδαιμον· καὶ ὡς ἀληθῶς πατράσιν εὐκταῖον, ἢ

4,24 προσθεῖναι VB: προσθῆναι C **5,1–2** τῆς ἐκκλησίας V[1] in marg. **6** γεννήτορες VC: γενήτορες B a. corr. **8** αὐτῷ τὴν γέννησιν V: τὴν γέννησιν αὐτῷ BC **12** τῶν καλῶν V[1] in marg.

4,9–10 cf. Ael. Arist., Or. 46 (p. 159, 20–21) **5,2–3** Mal. 3, 20

τῶν τέκνων εἰς ἀρετὴν εὐδοκίμησίς τε καὶ δόξα· οὐ μὴν· ἀλλ᾽ ἔοικε πολλάκις ἂν μὴ καὶ αὐτοὶ φαίνωνται πρὸς τὴν τῶν ἐκγόνων εὐγένειαν, οἰκείως τε καὶ ὁπωσοῦν ἡρμοσμένως ἔχοντες, εἰς αἰσχύνην αὐτοῖς περιτρέπεσθαι τοῦτο δὴ τὸ τῆς εὐπαιδίας καλὸν· καὶ θαύματος ἐμπαρέχειν ἀφορμὴν ἄλλην· καὶ προσθήκην τοῖς τέκνοις εἰς εὐφημίαν, ὡς ἄρα ἐξ οἵων οἷοι γεγένηνται· καὶ παρατοσοῦτον αὐτοὺς ἀτίμους ἐπ᾽ ὀνείδει μᾶλλον συμβαίνει περιλαλεῖσθαι, παρόσον ἡ τῶν παίδων πρόεισιν εὐπραγία τὲ καὶ τὸ κλέος· καὶ λανθάνειν ἐντεῦθεν οὐ συγχωροῦνται φαύλως ἔχοντες· ὡς ἄρα γε ἦν ἄν, αὐτοῖς ἴσως, δίχα τῆς εὐτεκνίας. ἀλλ᾽ οὐκ ἐνταῦθα νῦν τοῦθ᾽ ὁρᾶν ἔξεστιν· οὔμενουν· πολλοῦ γε καὶ δεῖ· ἀλλὰ κατέχει μὲν, ἡ τοῦ μεγάλου Γρηγορίου μετὰ δόξης μνήμη καὶ τὸ θαῦμα, πάντας ἀνθρώπους· καὶ οὐκ ἔστι σχεδὸν τῆς οἰκουμένης, οὗ μὴ· πομπεύει δὲ μετ᾽ αὐτοῦ καὶ ἡ τῶν γεννητόρων εὔκλεια. καὶ οὐ μόνον ἀπὸ τῶν καρπῶν αὐτῶν κατὰ τὸν θεῖον λόγον ἐπιγινώσκονται, ἀλλὰ καὶ προσήκουσαν αὐτοῖς, τὴν αὐτῶν καρποφορίαν ἀποδεικνῦντες· διὰ τὸ συγγενὲς τοῦ καλοῦ· καὶ τὸ τῆς πολιτείας· καὶ τῶν ἔργων ὁμοφυὲς, παρέχονται σφόδρα θαυμάζειν, ὅτι τοσούτου πράγματος εὐτυχεῖς τῆς ἐκείνου γενόμενοι μεγαλοδοξίας, οὐκ ἔχουσιν ἀναξίως πρὸς τοῦτο· ἀλλὰ καὶ αὐτοὶ τὰς παρ᾽ ἑαυτῶν ἀντεισφέρουσι χάριτας· καὶ ἀντιδιδόασι συνακουόμενοί τε, καὶ συλλαλούμενοι· τῆς αὐτῆς ἀρετῆς ἐργάται· καὶ τῆς αὐτῆς ἀληθοῦς πίστεως λατρευταὶ· καὶ τῆς ὀρθοδόξου διδασκαλίας Χριστοῦ, ζηλωταὶ παραπλησίως καὶ κήρυκες· πατὴρ μὲν αὐτὸς ἐξ ἀσεβοῦς προλήψεως, δόγματος ἐπιγνώμων τοῦ καλοῦ· καὶ μεταθέμενος οὕτω γνησίως, ὥστε καὶ ἄλλους πιστευθῆναι συμπείθειν εἰς τοῦτο καὶ ὁδηγεῖν, καὶ μετατιθέναι· ποιμαντικὴν ἀξίαν λαχὼν, τὰ λογικὰ καὶ πνευματικὰ, τοῦ σωτῆρος Χριστοῦ βόσκειν θρέμματα· | f. 99v ὃ τῆς πρώτης καὶ ἀνωτάτω τῶν ἄλλων, πρὸς αὐτὸν ἀγάπης ἔργον αὐτὸς ἀποφαίνεται, διὰ τῆς πρὸς τὸν κορυφαῖον μαθητὴν, ἐπιμελοῦς καὶ τριπλῆς ἐπερωτήσεως· μήτηρ δὲ αὖθις ἐκείνη πατρῷον θησαυρὸν διαδεξα-

16 φαίνωνται VB: φαίνονται C **20** γεγένηνται VB: γεγέννηνται C (an recte?) **21** ὀνείδει VB: ὠνείδει C **23–24** ἂν αὐτοῖς VB: αὐτοῖς ἂν C **27** οἰκουμένης V^{2} e corr. **30** ἀποδεικνῦντες VB: ἐπιδεικνῦντες C **31** τὸ^{2} V^{1} s.l.C: om. B | τὸ ante τῶν erasum in V **34** παρ᾽ ἑαυτῶν VB: παρ᾽ ἑαυτοῖς C

28–30 Mt. 7, 16 et 20 **36** Greg. Naz., Or. 43, 22, 10–11 (p. 170) **37–38** Id., Or. 18, 5, PG 35, 992A **41–45** Io. 21, 15–17

μένη τὸ τῆς ἀληθείας δόγμα· καὶ τῇ παρ' ἑαυτῆς εἰς ἅπαν καλὸν προθυμίᾳ τὸν πλοῦτον ἐπεργασαμένη· καὶ τὸ τῆς φύσεως ἁπαλὸν διὰ τῆς πρὸς ἅπαν ἀγαθὸν ἀνδρικῆς εὐτονίας ἐπιρρώσασα· ἀμφότεροι παντάπασι τῶν θείων ἐξηρτημένοι· πάντα Θεῷ τὰ κατ' αὐτοὺς ἀναθέμενοι· καὶ νοῦν· καὶ λόγον· καὶ πρᾶξιν· καὶ βίου περιουσίαν τὲ καὶ οἰκονομίαν· πρᾶοι· φιλόπτωχοι· φίλοικτοι· συμπαθεῖς· ἀπεχόμενοι κατὰ τὸν Ἰὼβ ἀπὸ παντὸς πονηροῦ πράγματος· καθόλου γε εἰπεῖν ἁπάσης ἀρετῆς αὐτοὶ τὲ ἐργάται, καὶ τέκνοις· καὶ τοῖς ἄλλοις ἅπασι τύποι· καὶ οἵους αὐτοὺς ἀνέδειξεν, ὁ παῖς οὗτος· ὁ μέγας τῆς οἰκουμένης πατὴρ καὶ διδάσκαλος· μάλιστα μὲν, διὰ τῆς κατ' αὐτὸν πολιτείας· καὶ τῶν τοῦ βίου χαρακτήρων· οὐ μὴν ἀλλὰ καὶ διὰ τῆς ἐν λόγοις αὐτῆς ἀναγραφῆς καὶ ἀναστηλώσεως· οὓς πολλούς τε καὶ καλλίστους, ἀντὶ τῆς αὐτοῦ καρποφορίας αὐτοῖς ἀντεισήνεγκεν· ὡς ἂν, δὴ καὶ αὐτοὶ κατὰ τοὺς γεωργοὺς, πρῶτοι τῶν καρπῶν περὶ οὓς ἐπόνησαν, δρέποιντο καὶ μεταλαμβάνοιεν· καὶ τρυφᾶν ἔχοιεν, ἐξ ὧν τοῖς ἄλλοις ἐμπαρέσχον τρυφᾶν, πρὸ τῶν ἄλλων δικαίως αὐτοί. τίς γὰρ ἀμπελῶνα φυτεύει φησὶ, καὶ ἐκ τοῦ καρποῦ αὐτοῦ οὐκ ἐσθίει; καὶ τοίνυν πῶς οὐκ ἔμελλον ἄρα κἀκεῖνοι οἱ τὴν μεγίστην ταύτην καὶ θαυμασίαν καταφυτεύσαντες ἄμπελον, ἣ πᾶσαν ἐπλήρωσε γῆν· καὶ τὰ ὄρη ἐκάλυψεν ἡ σκιὰ αὐτῆς, τοὺς ἔξωθεν ἡμῖν ἐπηρμένους λέγω, καὶ τῷ κράτει τῶν λόγων τὰ μεγάλα φυσσῶντας, καὶ τὰς κέδρους τοῦ Θεοῦ αἱ ἀναδεδράδες αὐτῆς, αὐτοὺς αὖθις τοὺς ἐν τοῖς ἡμετέροις καὶ θείοις λειμῶσιν ἀνθοῦντας ἐν λόγοις, ὑπεραναβᾶσα καὶ ὑπερβαλομένη πολλῷ τῷ μέτρῳ ταῖς τῶν πνευματικῶν ἐξηγήσεσι, πῶς τοίνυν ὡς ἔφην οὐκ ἔμελλον, καὶ αὐτοί γε ταύτης ἀπολαῦσαι, πρῶτον οἱ τῶν αὐτῆς ἡδίστων καρπῶν, ἀρχηγοὶ πρῶτοι καὶ γεωργοί;

6. | Ἀλλ' ἐκεῖνοι μὲν τοιοῦτοι· καὶ οὕτω δὴ τῶν οἰκείων ἀγα- f. 100
θῶν ὤναντο· καὶ μισθὸν τοσοῦτον, τῆς εἰς τὸν βίον εὐφορίας ταύτης ἀντέλαβον. καὶ τί ἂν, ἔχοιμεν πλείω περὶ αὐτῶν διατρίβειν, ἐν οὕτω μέρει τοῦ λόγου βραχεῖ; ἀλλ' ὃ μάλιστ' ἠβουλόμην καὶ φθάνει προϋποφήνας ὁ λόγος ἄνωθεν, ὅτι καὶ διὰ θαύματος·

50 πρᾶξιν V: πράξιν BC **6,1** ἀλλ' V^{2}BC: λλ' V (obl. rubr.)

52 Iob 1, 8 **62–63** I Cor. 9, 7 **65–68** Ps. 79, 9–11

καὶ παραδόξου τινὸς τῆς χάριτος· οἷα δὴ γίνεται· καὶ τὸ μέλλον πολλάκις ὑποσημαίνει Θεὸς, καὶ τῶν μεγάλων πραγμάτων περιφανεῖς τὰς ἀρχὰς ὑποτίθησι, Γρηγόριος οὗτος ὁ θεῖος, τοῖς τοκεῦσι γίνεται· τὸ μέγα τοῦ βίου θαῦμα· τὸ καινὸν τόδε τῆς φύσεως ἔργον, ἢ κατὰ τὸ κρατοῦν αὐτῆς ἔθος· ἡ ξένη ταύτης εἰς τὴν γῆν φορὰ καὶ ἀδόκητος· καὶ πρόεισι τοῖς τοκεῦσιν, εὐκταῖον ὄντως ἀγαθὸν· καὶ περισπούδαστον. δηλώσει δ' ὁ λόγος.

7. Ἐποθεῖτο μὲν ἐκείνοις ἐκ πολλοῦ, γονὴ παιδὸς ἄρρενος· καὶ τὸ πρᾶγμα σφόδρα τὴν καρδίαν αὐτοῖς ἔφλεγε. καὶ τί λοιπὸν ἡ μήτηρ; εἰς Θεὸν αὐτὸν ἐξ ὅλης ἀνατείνει ψυχῆς ἑαυτὴν· καὶ συχναὶ περὶ τούτου πρὸς αὐτὸν ἱκεσίαι καὶ σύντονοι. ἢ τί γὰρ ἔμελλεν ἄλλο, ἡ πάντα γενναία καὶ μεγαλόψυχος· καὶ Θεοῦ πάντα βουλομένη τὰ κατ' αὐτὴν εἶναι, καὶ παρὰ Θεοῦ· καὶ οὐδὲν ὅ,τι οὐ· τῶν καλλίστων καὶ φερόντων εἰς ἄκραν εὐδαιμονίαν; ἐντεῦθεν οὐκ αἰτεῖται μόνον θερμῶς, ἀλλὰ καὶ θερμῶς πρὶν καὶ τυχεῖν ἀντιδίδωσιν, αὐτὸν ἐκεῖνον αὐτίκα, καὶ παρ' αὐτῆς τῆς γεννήσεως, ἀναθεῖναι Θεῷ τὸν ποθούμενον· καὶ οὐχ ἑαυτῆς μόνης ποιεῖται, τὸν τοῦ κόσμου παντὸς ἄξιον, μᾶλλον δὲ καὶ ὑπὲρ αὐτὸν ὅλον τὸν κόσμον, καὶ Θεοῦ μόνον ἄξιον· καὶ τοῦ τοσούτου δώρου μισθὸν ἱκανὸν, ὄντως ἀνθυπισχνεῖται· ὅλον αὐτὸ τὸ δῶρον, ἀντεισενεγκεῖν τῷ δόντι Θεῷ καὶ καθιερῶσαι (ὢ τῆς μεγαλοψυχίας), ὡσπερεὶ πᾶν τὸ μέλλον προορωμένη· καὶ τοῦτο μόνον ἐπιποθοῦσα τὸ κοινὸν τῆς οἰκουμένης ὄφελος, δι' αὐτῆς προελθεῖν εἰς τὸν βίον. καὶ τοίνυν ὁ θέλημα τῶν φοβουμένων αὐτὸν ποιῶν Κύριος· καὶ μὴν αὐτὸς αἰτεῖν πᾶσι προτρεπόμενος, ὡς αὐτίκα δώσων, ὡς ἂν, f. 100v βελτίστοις τε καὶ περὶ βελτίστων αἰτοῦσιν, ἐπινεύει ταῖς ἱκεσίαις | αὐτῆς. οὐ μόνον δὲ, ἀλλὰ καὶ ὄναρ αὐτῇ τὴν χάριν ἐπαγγέλλεται· ἅμα τὲ τιμῶν τοὺς αἰτοῦντας, καὶ ταῖς ἐλπίσιν ἐκ μακροῦ προευφραίνων, καὶ ἅμα δεχόμενος τὴν πρόκλησιν· καὶ συντιθέμενος τῇ περὶ τῆς δωρεᾶς ἀντιδόσει· καὶ ὥσπερ προϋποτιθεὶς ἀρραβῶνα,

7–10,24 πολλάκις – πάντα om. C **7,1** παιδὸς V^2B: αιδὸς V (obl. rubr.) **12** τοῦ V^2 s.l. **17** ante θέλημα ras. duarum litterarum in V (an τὸ erasum?)

7,1 Greg. Naz., Carm. I, 1, 68 (p. 60) **11** cf. Hebr. 11, 38 **17–18** Ps. 144, 19 Mt. 7, 7; Luc. 11, 9 **20–21** Greg. Presb., Vit. Greg. 2, 23–25 (p. 124); Greg. Naz., Carm. I, 1, 76–78 (p. 60)

τῆς τοῦ γεννησομένου προσλήψεώς τε καὶ οἰκειώσεως. καὶ ὁ Παῦλον ἀφορίσας ἐκ κοιλίας μητρὸς αὐτοῦ ὡς αὐτὸς ἐκεῖνος φησὶ, καὶ νῦν ἐνταῦθα Γρηγόριον ἀφορίζει, πρὸς τὴν τοῦ εὐαγγελίου διακονίαν· τὸν ὄντως ζηλωτὴν ἐκείνου, καὶ θερμὸν κατὰ πάσης οὐκ οἰκείας μόνον, ἀλλὰ καὶ ἀλλοτρίας ἀπόδημον, καὶ ἀκάματον εὐαγγελιστήν τε καὶ κήρυκα. καὶ ὁ γινώσκων τὰ ἴδια· καὶ γινωσκόμενος καλῶς ὑπὸ τῶν ἰδίων· καὶ καλῶν κατ᾽ ὄνομα τὰ αὐτοῦ θρέμματα· καὶ ἐξάγων εἰς φῶς καὶ προάγων, γνωρίζει τὲ τὸν κυηθησόμενον τῇ μητρὶ, καὶ πρὶν ἢ καὶ προελθεῖν, καλεῖ τε καὶ ὀνομάζει· καὶ χαρακτηρίζει· τοὺς τρόπους· τὸν βίον· τῆς ἀρετῆς τὸ κάλλος· τὴν εὔκλειαν· ὡς ἄρα γε καὶ πρὸ τοῦ πλάσαι αὐτὸν ἐν κοιλίᾳ· κατὰ τὸν μέγαν ἐν προφήταις Ἱερεμίαν ἐπίσταται· καὶ πρὸ τοῦ ἐξελθεῖν ἐκ μήτρας ἡγίακε. πλὴν οὐκ εἰς ἓν ἔθνος προφήτην καθάπερ ἐκεῖνον τίθησι· ἀλλ᾽ ἐθνῶν διδάσκαλον πλείστων· καὶ ἡγεμόνα καλλίστων· καὶ οὐκ εἰς ἔλεγχον μόνον ἀνομίας· καὶ τῆς ἑπομένης αὐτῇ, καταδίκης καὶ κατακρίσεως· ὅτι ἀπέστη λαὸς ἀπ᾽ αὐτοῦ· καὶ παρέδωκεν αὐτὸν εἰς ἐξολόθρευσιν· ἀλλὰ καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς αὐτοῦ κληρονόμοις οἰκονόμον καὶ κήρυκα. ὢ τοῦ θαύματος· ὢ τῆς εὐδοξίας· ὢ τοῦ μεγάλου προκηρύγματος, τῶν τοῦ ἀνδρὸς γενεθλίων, πλεῖν ἢ κατὰ πᾶν βασίλειον ἔθος σεμνῶν τε καὶ σεβασμίων· ὢ τοῦ προγράμματος τῶν ἀγώνων, ὥσπερ ἐν θεάτρῳ τινὶ, τῷδε τῷ βίῳ· ὢ τῶν ἐπάθλων τῆς νίκης καὶ πρὸ τῆς νίκης· ὢ τῆς τῶν τεκόντων θερμότητος, καὶ τοῦ τάχους καὶ τῆς προθέσεως· ὢ τῆς μεγαλοπρεποῦς εὐγνωμοσύνης, καὶ τῆς ἐπαγγελίας τῆς ἀντιδόσεως· ὢ τῆς φιλανθρωπίας, τοῦ πάντα δυναμένου τὰ κάλλιστα καὶ βουλομένου | Θεοῦ· ὢ τῆς τοῦ δώρου f. 101 τιμῆς, τῶν μὲν, αἰτούντων ὥς τι μέγιστον καὶ αὖθις ἀντιδιδόντων· Θεοῦ δὲ ὡς ἄρα τοιοῦτον, καὶ χαριζομένου τὲ καὶ ἀντιλαμβάνοντος· ὢ πάντ᾽ ἐκεῖνα τοῦ μεγάλου τοῦδε κάλλιστά τε καὶ ἐπάξια, καὶ πάνυ τοι θαυμάζειν ἄξια.

24 προσλήψεώς V[1]B: προλήψεως V **25** αὐτὸς V[2] in marg. **30** κατ᾽ ὄνομα V: κατόνομα B **32** πρὶν ἢ V: πρινὴ B **37** τίθησι V: τίθησιν B **41** κληρονόμοις οἰκονόμον V[2] e corr. **44** προγράμματος V[2] e corr. **49** πάντα δυναμένου V: πάντα καὶ δυναμένου B

25 Gal. 1, 15 **29–30** Io. 10, 14–16 **35–36** Eccl. 49, 7 **39–40** Ps. 43, 3

8. Ἀλλ᾽ οὕτω μὲν ὁ νέος οὗτος καὶ μέγας Σαμουὴλ ἐξ ἐπαγγελίας αἰτησαμένοις, καὶ δέδοται· καὶ προείληπται Θεῷ καὶ παρὰ Θεοῦ· θῦμα μὲν τὰ πρῶτα λογικόν τε καὶ τέλειον· ὕστερον δὲ καὶ θύτης· καὶ τῶν ἀπορρήτων ἱερουργὸς· καὶ μυσταγωγὸς καὶ εἰς τὰ ἅγια τῶν ἁγίων ἐπόπτης· καὶ χρίων βασιλεῖς· καὶ τελεσιουργῶν ἱερεῖς· καὶ προθυόμενος τοῦ λαοῦ τὰ μυστικὰ· καὶ βλέπων τὰ ἔμπροσθεν· καὶ θείων βουλευμάτων ὑποφήτης· καὶ κῆρυξ καὶ ὑπουργὸς καὶ συνελόντ᾽ εἰπεῖν, Θεοῦ καὶ ἀνθρώπων μέσος ἱστάμενος. ἐπεὶ δὲ οὕτω μεγαλοπρεποῦς καὶ ἀήθους· καὶ πάντα θαυμασίας τυγχάνει τῆς γενέσεως· καὶ πρόεισιν εἰς τὸν βίον, καὶ τἆλλ᾽ ἅπαντα παραπλήσια καὶ κατὰ λόγον ἑξῆς ἕπεται, τροφὴ· καὶ ἀγωγὴ· καὶ προκοπὴ τῆς ἡλικίας· ἱερά τε καθάπαξ καὶ ἐν ἱεροῖς τοῖς πᾶσι καὶ πάνσεμνος· καὶ ὥσπερ τοῖς προτελουμένοις τὰ πάντ᾽ ἦν παρασκευὴ τοῦ μέλλοντος βίου· καὶ καθάπερ εἰς σκοπόν τινα τοῦτον ὁρῶντα καὶ φέροντα, τὴν τῆς μητρὸς γενναίαν ἐκείνην, μᾶλλον δ᾽ αὐτοῦ τοῦ Θεοῦ, προαναφώνησίν τε καὶ πρόκλησιν. καὶ οὐ τὰ μὲν, οὕτω, τά δ᾽ οὔ· οὐδὲ τὰ μὲν, μᾶλλον· τά δ᾽ ἧττον, καὶ ἀσυμφώνως τὲ καὶ ἀνίσως· ἀλλ᾽ ὥσπερ ἐν ὀργάνῳ τινὶ τελείῳ τὲ καὶ θεοφορήτῳ· κατὰ τὴν δοθεῖσαν ἀρχὴν τῷ τεχνίτῃ· καὶ δημιουργῷ θείῳ Λόγῳ καὶ ταμίᾳ τοῦ μέλους, ἐκεῖθεν ἅπανθ᾽ ὁμοῦ συνήχει κάλλιστα· συμφώνως κινούμενα· καὶ ἡρμοσμένως εὖ μάλα προήει· οἷς τε ἔδει χρῆσθαι, καὶ οἷς μὴ· οἷς τε ἔδει πελάζειν ἀνθρώποις τὲ καὶ ἐπιτηδεύμασι· καὶ συνεῖναι· καὶ κοινωνεῖν· καὶ λόγους διδόναι καὶ ἀκοὰς, οἷς τε αὖ τούτων θάτερα.

9. Τῆς μέντοι παιδείας αὐτῆς· καὶ τῆς τῶν ἔξωθεν λόγων χρείας, ἔν γε τοῖς ἡμετέροις καὶ θείοις, ἔδοξεν ἀντιποιητέον εἶναι·

8,1 ἀλλ᾽ V[2]B: λλ᾽ V (obl. rubr.) **1–2** ἐπαγγελίας V[2]B: ἀπαγγελίας V **2** post προείληπται ras. duarum litterarum in V (an τῷ erasum?) **8** μέσος V: μέσον B **9** οὕτω V[2]B: ὕτω V (obl. rubr.) **13** προτελουμένοις V[2]B: προτελουμένης V **14** εἰς σκοπόν V[1]B: εἰσκοπόν V **19** θεοφορήτῳ V[2] e corr. **23** καὶ παιδεύμασι primum scripsit, deinde cancellavit V **24** ἀκοὰς V p. corr. B: ἀκουὰς V a. corr. **9,1** παιδείας V[2]B: αιδείας V (obl. rubr.)

8,1 Greg. Naz., Carm. II, 1, 91 (p. 61) | I Reg. 1, 1–20 **3–5** Greg. Naz., Or. 2, 88, 10–11 (p. 204) **4–6** Id., Or. 43, 72, 14–17 (p. 286) **8** Id., Or. 2, 53, 11–12 (p. 160) **19–21** Id., Or. 12, 1, 6–10 (p. 348) **9,1** Id., Carm. II, 1, 112–114 (p. 62)

καὶ σπουδαστέον ὡς ἔνι | μάλιστα· καὶ πάντα κάματον ἀνθαιρετέον οὐκ ἀηδῶς ἀντὶ τῆς ἐν τούτοις φιλοκαλίας τὲ καὶ φιλοκερδείας. τὸ δ᾽ ὅπως ἄρα· καὶ ὅτου χάριν· καὶ τίνα τρόπον· καὶ ὅσον τὸ ἀπὸ τούτων χρήσιμον, τίς οὕτως ἄν, εἴη παντάπασι καταγέλαστος ἄνθρωπος· καὶ δυστυχὴς· καὶ ὄντως πόρρω καὶ λόγου καὶ νοῦ παντὸς, ὥστε καὶ ἐπεξιέναι νῦν καὶ διδάσκειν πειρᾶσθαι· οὐ μόνον δι᾽ αὐτὸ τοῦτο λοιπὸν, τὸ ἀξιόπιστον τῆς ἐκείνου κρίσεώς τε καὶ χρήσεως, ὅτιπερ αὐτὸς οὕτως εἵλετο, καὶ μάλιστ᾽ ἐσπούδασεν ἐνταῦθα (καὶ τί χρὴ λοιπὸν εἰς ἀπόδειξιν ἔτ᾽ ἄλλο προφέρειν, ἢ προσεπιφέρειν καὶ πράγματ᾽ ἔχειν καὶ ἀγωνίζεσθαι, ὡς ὅτι τοῦτο πολὺ βέλτιστον καὶ λυσιτελέστατον;), ἀλλὰ καὶ δι᾽ αὐτοὺς ἐκείνους τοὺς καλλίστους τὲ καὶ κρατίστους εἰς πίστιν λόγους· οὓς ὁ μέγας ἐκεῖνος περὶ τούτων ἐξήνεγκεν· ἐν οἷς αὐτῷ προὔκειτο σκοπῆσαι καὶ συστήσασθαι τὴν ἐν τούτοις ἐπιμέλειαν ἔγκαιρον· τοῦ πάνθ᾽ ὁμοδόξου Βασιλείου καὶ ὁμόφρονος· καὶ τἀληθὲς εἰπεῖν τοῖς αὐτὸς αὐτοῦ συνηγόρησε καὶ βεβοήθηκε πράγμασιν· οὓς μόνης τῆς ἐκείνου καὶ διανοίας ὄντως καὶ γλώττης ἦν ἐξευρεῖν τε καὶ διελθεῖν· καὶ ὧν οὐκ ἔστιν ὅλως προσεξευρεῖν τε καὶ προσερεῖν οὐκ ἄν, εἴποιμι ἢ πλείω, ἢ κρείττω ἄττα· ἀλλ᾽ οὐθ᾽ ὅλως ὁτιοῦν ἄλλο φέρον, εἰς τὸ προτεθὲν ἀγώνισμα; καὶ μανία σαφὴς ἄν, εἴη, ἢ καὶ εἴ τι πλέον ὡς ἀληθῶς εἴ τις ἐνταῦθα προσεπιχειρεῖν πειρῷτο· γλαῦκα εἰς Ἀθήνας τὸ τῆς παροιμίας κομίζων ἢ (τί λέγω;), ὥσπερ ἐν σταθερᾷ μεσημβρίᾳ· καὶ φρυκτωρίας ἡλιακῶν ἀκτίνων ἀκμῇ· οὐκ οἶδ᾽ οὕστινας λύχνους οἴκοθεν καὶ φωτὸς λαμπάδας προσεπιχορηγῶν καὶ χαριζόμενος, τῷ τοῦ ἡλίου φωτί· ἢ τοῖς ὠκεανείοις πελάγεσι καὶ ταῖς ἐκεῖθεν θαλάσσαις ἐπιρρέων εἰς συμμαχίαν κυάθῳ νάματα. καὶ τοίνυν ἐνταῦθα σωφρονοῦντες ἡμεῖς, ἀρκούμενοί τε τοῖς ἐκείνου πρὸς τὴν παροῦσαν χρείαν, καὶ πειθόμενοι (πῶς ἄν, εἴποι τις;), ἡδέως· καὶ θαυμάζοντες ὡς εἰρημένοις ἄριστα καὶ | παντελείως, καὶ πάντας ἕνεκα τῆς περὶ τούτου πίστεως, εἰς ἐκείνους τοὺς λόγους παραπέμποντες, τοσοῦτο μόνον νῦν προτιθέμεθα διελθεῖν, ὅπως τὲ· μᾶλλον δὲ ὅποι τῶν τοιούτων ἐκεῖνος

f.101v (margin, line 3) — f. 102 (margin, line 32)

7–8 καὶ λόγου καὶ νοῦ V: καὶ νοῦ καὶ λόγου B **19** καὶ[1] V[1] s.l. **20** προσεξευρεῖν V[2]B: προεξευρεῖν V **27** τοῖς V[2]B: τίς V

3–4 cf. infra, Or. 10, 1, 3 **13–19** cf. Greg. Naz., Or. 43, 14–24 (pp. 146–180) **24** CPG II, 107, 8–10 **28–29** cf. Greg. Naz., Or. 28, 27, 9–10 (p. 160)

ἥψατο λόγων, ἐπεὶ καιρὸς ἡλικίας εἰς τούτους ἐκάλει· καὶ ὅπως τῷ τῆς μεγαλοφυΐας ὑπερβάλλοντι καὶ ἀπαραμίλλῳ, προσεπιθεὶς ἅπαντας τοὺς προσήκοντας πόνους, οὕτω δὴ τὸ ἐν τούτοις ἠνέγκατο κράτος, εἰς ὅσον ἔξεστιν ἀνθρωπίνῃ φύσει· ἔμβραχυ τοῦτο καὶ συντόμως τὸ πᾶν ἐρεῖν.

10. Ἔχει μὲν οὖν αὐτὸν εὐθὺς τῆς περὶ τοὺς λόγους νεύσεως καὶ φιλοπονίας, καὶ τῶν περὶ αὐτοὺς ἐρώτων ἐναρχόμενον, ἡ τῆς πατρίδος ἀρχή τε καὶ κορυφὴ Καππαδοκῶν μητρόπολις· ἡ μεγαλόπολις αὕτη Καισάρεια· ἡ πάντα τἆλλα περιφανὴς, καὶ καλλίστη· καὶ δὴ πρὸς τοῖς ἄλλοις, καὶ τῆς ἐν τοῖς λόγοις αὐτοῖς ἁπάσης ἕξεως, σφόδρα πλουτοῦσα· ἐκεῖσε δὴ καθάπερ τῶν πρώτων στοιχείων καὶ τῶν τῆς ζωῆς ἀφορμῶν, καὶ τῆς εἰς τὴν ἀνθρωπίνην ὅλως σύστασιν καὶ οἰκονομίαν προόδου τὲ καὶ τροφῆς, οὕτω καὶ τῆς τῶν λόγων ἐπισυστάσεως, καὶ τελεσιουργίας τῆς φύσεως καὶ εὐγενείας, μεταλαμβάνοντα τὴν ἀρχὴν· καὶ προπαιδευόμενον ἱκανῶς ἐκ τῶν ἐνταῦθα πηγῶν· καὶ ὥσπερ τοῖς ἁπλοῖς τούτοις λόγοις εἰς ἀνθρωπίνην κοινωνίαν εὐθὺς ὑπ᾽ αὐτῆς δὴ τῆς ἐνεγκούσης ὡς ἔστιν ἀνάγκη πᾶσα, προσεθιζόμενον καὶ διαπλαττόμενον, οὕτω δὴ καὶ τοῖς ὑψηλοτέροις τούτοις καὶ κρείττοσι καταδημιουργοῦντα πρὸς τὸ βέλτιστον καὶ κατακοσμοῦντα τὴν ἑαυτοῦ ψυχὴν· καὶ τὴν οἰκονομίαν τὴν ἀνθρωπίνην ἅπασαν, ἀπαρτίζοντα καὶ ἀναπληροῦντα· καὶ μορφοῦντα τοὺς πρώτους τῆς φύσεως χαρακτῆρας· καὶ τύπους καὶ τὰ σκιάσματα· καὶ παντοίοις κράμασι καὶ χρωμάτων ἄνθεσι καὶ βαφαῖς περιλάμποντα· ἢ μᾶλλον τὴν δεδομένην τῆς φύσεως ὕλην εἰδοποιοῦντα καὶ καθιστῶντα, καὶ τὰς τῆς ψυχῆς τὴν ἀρχὴν ἀδήλους καὶ κεκρυμμένας πηγὰς καὶ τοὺς θησαυροὺς ἀναστομοῦντα καὶ ἀνορύττοντα· πάντα τῆς |
f. 102v πατρίδος παρεχομένης καὶ βοηθούσης. ἐπαινῶ τὰς τοιαύτας ἔγωγε καὶ μακαρίζω τοὺς ξυλλαχόντας· αἳ πρὸς πάντα τοῖς ἐξ αὐτῶν ἀρκοῦσι, καὶ οὐ πολλῶν ἔξωθεν χρήζουσιν· οὐδ᾽ ὑπ᾽ ἀνάγκης πονοῦσι καὶ προσπορίζονται τοῖς ἐκγόνοις· ἀλλ᾽ ἀτεχνῶς κατὰ

10,5 δὴ V[2] e corr. **24** ἔγωγε V[2]BC: γωγε V (obl. rubr.)

10,3–4 Id., Or. 43, 13, 6–10 (p. 144) **13–14** cf. Id., Or. 43, 12, 3 (p. 140) **17–20** cf. Id., Carm. mor., PG 37, 537A

τὰς μητέρας τὰς προσεχεῖς, ταύτας καὶ πρώτας· τὰς τοῦ γάλακτος πρώτας τροφάς, οἴκοθεν τοῖς αὐτῶν ἀναπηγάζουσι βρέφεσι.

11. Τοιγαροῦν εἶχεν αὐτὸν τὴν ἀρχὴν, ἐπιβαλόντα τοῖς λόγοις, ἡ Καππαδοκῶν αὕτη προκαθημένη Καισάρεια· καθάπερ εὐγενὲς αὐτῆς βλάστημά τι τῶν ἐξ αὐτῆς ναμάτων, ἀρδεύουσα καὶ φυτηκομοῦσα· καὶ εἶχε δὴ πάντα χορηγοῦσα τὰ ἐξ αὐτῆς ἄφθονα πρὸς τὴν χρείαν. ταύτῃ δὲ διὰ τῆς πρώτης εὐθὺς πείρας σφόδρα ἐνευδοκιμήσας τῇ προθέσει· καὶ πλεῖστα δὴ καὶ κάλλιστα καρποφορήσας, ἐντεῦθεν τῇ ἑαυτοῦ ψυχῇ ἐπιμελείᾳ τὲ περὶ τοὺς λόγους ἀκαμάτῳ καὶ προθυμίᾳ καὶ δυνάμει μάλιστα, καὶ θέρμῃ φύσεως ἐφαμίλλῳ (οὐ γὰρ ἦν εἰπεῖν ὁπότερον ἐπ᾽ αὐτοῦ τοῖν δυοῖν ἐνίκα θάτερον, οὐδ᾽ ᾧ τούτων κρείττων ἐκεῖνος ἦν ἑαυτοῦ, ἀλλὰ τοῦτό γε ὡς ἀληθῶς ἦν εἰπεῖν ὡς ἀμφότερα ταῦτα παρ᾽ αὐτῷ ἀμφότερα πολλῷ τῷ περιόντι, τὰ τῶν ἄλλων ἐνίκα), ἐντεῦθεν ἔπειτα αἴρει φρόνημα μεῖζον· καὶ τὸν ἐν τούτοις ἀνάπτεται πόθον εἰς ὅτι πλεῖστον· καὶ πᾶσαν καὶ πόλιν καὶ χώραν περισκοπεῖται, περὶ τοὺς λόγους βοηθεῖν ὅλως ἔχουσαν· ἐν ᾗ καὶ ἡτισοῦν πρὸς τὸν πόθον καὶ τὸν σκοπὸν, ἦν εὐφορία· καὶ καθ᾽ ἣν εὖ μάλ᾽ εἶχε, χρῆσθαι τῷ φιλεργῷ τῷδε καὶ τῇ σπουδῇ· καὶ ἀεὶ πλεῖστα κατακτᾶσθαι, καὶ προσπορίζεσθαι τὰ κέρδη. καὶ εἶχε λοιπὸν αὐτὸν ἔπειτα τὰ κατὰ Παλαιστίνην ῥητορικῆς παιδευτήρια, πολλὴν ἔχοντα τὴν εὔκλειαν καὶ τῆς ἀρετῆς ἐν τῇ τέχνῃ ταύτῃ, τὴν φήμην. καὶ εἶχε λοιπὸν ἔπειτα κἀντεῦθεν, εἴ τι που ἦν προσκτήσασθαι, ἅπαν ὡς ἐνῆν τάχιστα συλλεξάμενον, ἡ κατ᾽ Αἴγυπτον μεγαλόπολις Ἀλεξάνδρεια· τἆλλά τε πάνθ᾽ ὅσα κόσμον τὲ καὶ κράτος φέρει πόλεσι, καὶ πρὸς τοῖς ἄλλοις τὴν τῆς παιδείας ἅπασαν ἄσκησιν, διαφερόντως πλουτοῦσα· | καὶ περιβόητος. καὶ πάντῃ γε ἦγεν αὐτὸν ὁ περὶ f. 103 τὴν σοφίαν ἀήττητος πόθος καὶ παντάπασιν ἄσχετος· ἧς ἐραστὴς τοῦ κάλλους οὐκ οἶδ᾽ ὡς εἴ τις ἄλλος γενόμενος, οὐκ ὤκνει πάντα κάματον ἐπ᾽ αὐτῇ· σύνοικον ἑαυτῷ, τὸν ἐνόντα τρόπον ἅπαντα

11,2 καὶ ante αὕτη add. C **3** τῶν ἐξ αὐτῆς ναμάτων V in marg. (manu Metochitae?) **5** δὲ V[2] in marg. **11** ἦν om. B **12** αἴρει ἔπειτα primum scripsit V, deinde litteris βα suprascriptis ordinem invertit V[2] **18** ἔπειτα τὰ κατὰ V[2]B: ἔπειτα κατὰ VC

11,18–19 Greg. Presb., Vit. Greg. 3, 4 (p. 126)

μνηστευόμενος, ἢ μᾶλλον ὡς ἡ γραφή φησι, τὴν σοφίαν εἰπὼν, ἀδελφὴν αὐτοῦ εἶναι· καὶ τιμήσας ταύτην καὶ περιλαβὼν συνεργόν τε καὶ ὁδηγὸν εἰς τὴν ἀνωτάτω καὶ πρώτην ἐπιστήμην τὲ καὶ κατάληψιν· καὶ ἐπιθυμήσας ἑαυτῷ προσλαβέσθαι, καὶ τοῖς ἐντεῦθεν κατακοσμῆσαι καὶ καταλαμπρύναι κάλλεσιν, εὖ ἡγνισμένον καὶ σφόδρα ἐπιρρωσθέντα τὸν νοῦν, ἔφησεν «οὐ μὴ, ἀνῶ ἀπὸ κόπου· οὐδὲ μὴ, παρελεύσῃ με ὀπίσω σου, τῶν σῶν ἐρώτων ἀτυχοῦντα τὲ, καὶ ἡττώμενον». καὶ τί λοιπὸν; ὕστερος ἐπὶ πᾶσι πόνος αὐτοῦ καὶ θερμότερος, καταλαβεῖν Ἀθήνας· τὸ πάσης τῆς οἰκουμένης ἐξαίρετον τότε σοφίας ἁπάσης ἐργαστήριον· τὴν τῆς παιδεύσεως μεγίστην πηγήν· τὴν τῶν λόγων ἀκρόπολιν, καὶ ταμεῖον τῶν κατ᾽ αὐτοὺς θησαυρῶν· κἀνταῦθα δὴ τὴν ἅπασαν ἀποπλῆσαι σπουδήν· καὶ ὥσπερ εἰς σκοπόν τινα τοῦτον καὶ ὅρον, φθάσας τοῦ τέλους, ἔπειτα λοιπὸν καταπαῦσαι παντάπασι, τὸ προκείμενον ἀγώνισμα.

12. Ἀλλὰ μήπω τοῦτο. ἀλλ᾽ ἀνήγετο μὲν ἀπ᾽ Ἀλεξανδρείας, εἰς τὴν Ἀττικήν τε καὶ τὰς Ἀθήνας (χειμῶνος δὲ ἦν ὥρα), καὶ ὁ πόθος οὕτως ἤπειγε καὶ κατεδυνάστευε τῆς προθέσεως, ὥστε καὶ τοσοῦτο κατατολμᾶν· καὶ ἅμα Αἰγινῆτις ἦν ἡ ναῦς· Αἰγινήταις δὲ ἦν τηνικαῦτα μάλιστα δόξα μεγίστη πλεῖν τὴν θάλατταν ἄριστα· καὶ πλέον, ἢ κατὰ τοὺς ἄλλους. ἐπεὶ δὲ εἶχεν αὐτοὺς τὸ Παρθένιον πέλαγος· καὶ Κύπρον παρέπλεον ἐπ᾽ ἀριστεροῖς ἔχοντες, κλύδων αὐτίκα σφοδρὸς ἐπισκήπτει· καὶ ζάλη θαλάττης ἐξάπτει. πνευμάτων γὰρ στάσις οὐ μᾶλλον γε ἀλλήλοις, ἢ τῷ πλῷ τε καὶ τῇ νηὶ μαχομένων καὶ ἀπειλούντων πρόδηλον τὸν κίνδυνον, πάντοθεν κυμαινομένη καὶ βρασσομένη· καὶ κομιδῇ γε ἦν ἐν στενῷ τὸ
f. 103v πρᾶγμα, | καὶ πάσης ἐλπίδος ἐρημία καὶ βοηθείας, καὶ σκότος ἐκράτει καθάπαξ· καὶ νὺξ ἦν ἅπαντα μία· οὐρανὸς· ἀὴρ· γῆ· θάλαττα· καὶ φωναῖς εἶχον μόναις ἀλλήλων αἰσθάνεσθαι· κλαυ-

30 περιλαβὼν VBC: an παραλαβὼν? **33** καταλαμπρύναι V^{2}C: καταπραῦναι B **12,4** ναῦς VB: ναυσι C **6** πλέον V^{2}BC: πλεῖν V | ἐπεὶ V^{2}BC: πεὶ V (obl. rubr.) **8** θαλάττης VB: θαλάσσης C

29–30 Prov. 7, 4 **34** Ios. 1, 5 **39** cf. Greg. Naz., Or. 43, 14, 5 (p. 146) **12,4** Greg. Presb., Vit. Greg. 3, 9–10 (p. 126) **4–5** cf. Thuc., Hist. 1, 14 **6–7** Greg. Presb., Vit. Greg. 3, 10 (p. 126) **12–18** Greg. Naz., Carm. II, 1, 132–143 (p. 63)

θμοῖς τε καὶ κωκυτοῖς καὶ οἷς εἶχον τῇ συμφορᾷ κόπτεσθαι· καὶ συστενάζειν ἀλλήλοις ἐπὶ τῷ κοινῷ ναυαγίῳ· καὶ παρακαλεῖν ἐντεῦθεν ἀλλήλους συνοδυνώμενοι· καὶ προσεπιχορηγοῦντες ὥσπερ τῇ θαλάττῃ τῶν δακρύων, ἐγχέοντες. καὶ τοῦτο μὲν κοινὸν ἦν ἐκείνῳ πρὸς τοὺς ἄλλους· καίπερ δὲ ὂν τὸ μέγιστον τῶν δεινῶν καὶ πάντων ἔσχατον, οὐκ ἦν ἐκείνῳ τοσοῦτον· ἀλλ' ἦν ἄλλο βαρύτατον ὄντως καὶ ἀπευκταιότατον (καὶ τί γὰρ οὐκ ἂν ἔχοι τις λέγειν, πρὸς τὸ μέγεθος ἀφορῶν τῷ ἀνδρὶ τῆς ζημίας, καὶ τῆς δυσχερεστάτης ἐπηρείας ἐκείνης καὶ τύχης;), ὅτι μήπω τετελεσμένος ἐκεῖνος τοῖς σωτηρίοις λουτροῖς τοῦ βαπτίσματος· καὶ τῆς ἀνωτάτω καὶ ὑπερβαλλούσης τυχὼν ταύτης χάριτος καὶ τῆς τοσαύτης δωρεᾶς μὲν, ἀλλ' ἀπαραιτήτου καὶ ἀναγκαιοτάτης· καὶ ἧς ἄνευ οὐκ ἔστι βασιλείας τυχεῖν, καὶ τῶν σπουδαζομένων ἐκείνων ἀγαθῶν, τῶν καλλίστων τὲ καὶ ἀρρήτων, ὡς τὸ μέγιστον ἡμῖν δόγμα· καὶ ἡ πάσης ἀπολογίας κρείττων ἀπόφασις, ἐκινδύνευε τοῖς πλουσίοις ἐκείνοις καταβαπτιζόμενος ὕδασι, πρᾶγμα παθεῖν ἐλεεινότατον· καὶ τῶν γεννικῶν ἐλπίδων, τῶν αὐτοῦ τε καὶ πατρικῶν, καὶ τῆς ἀρίστης καὶ μεγαλόφρονος ἐκείνης ὑποθέσεως καὶ ἀρχῆς, καὶ τῆς ἑξῆς ἐφαμίλλου σπουδῆς περὶ τὸ καλὸν καὶ συντονίας, παντάπασιν ἀδόκητόν τε καὶ ἐναντιώτατον· καὶ τῷ κεφαλαίῳ καθάπαξ κινδυνεῦσαι, καταπροδοὺς ἑαυτὸν, μέγιστα ἐμπορευόμενος κέρδη, ὡς μήποτ' ὤφελε.

13. Ταῦτα τὸν λογισμὸν ἐκείνῳ, κατῆγχε καὶ συνέθλιβεν ὑποβρύχιον, καὶ πρὸ τῶν ὑδάτων τῆς πείρας. ταῦτα μάλιστ' ἐώθει· καὶ συνετάραττε πλεῖν ἢ κατὰ τὸ δοκοῦν καὶ πρόδηλον, ἡ ἀκαιρία (πῶς ἄν τις εἴποι;), τῆς συμφορᾶς· τὸ μέγιστον καὶ παντελὲς τῆς ψυχῆς ναυάγιον. ταῦτα τὸν ἄνδρα καὶ πᾶσιν ἐλεεινὸν | ἐποίει· καὶ f. 104 τῶν καθ' ἑαυτοὺς ἕκαστον σχεδὸν ἀφεμένους, ἐκείνῳ προσέχειν καὶ προσανακλάειν, ἔπειθεν οἴκτιστα. ὃ δ' ἐπὶ τούτοις (ἢ τί γὰρ

15–16 καὶ συστενάζειν V^{2}BC: καὶ στενάζειν V **21** βαρύτατον V^{2}BC: βαρύτερον V **25** ταύτης VC: τῆς B **30** ἐκείνοις V p. corr. BC: ἐκείνης V a. corr. **32** ἐκείνης ὑποθέσεως V: ὑποθέσεως ἐκείνης BC **36** ὤφελε V^{2} e corr. **13,2** ταῦτα V^{2}BC: αὗτα V (obl. rubr.) **3** καὶ ante κατὰ add. B

18–14,26 Id., Or. 18, 31, PG 35, 1024B–1025B **19–36** Id., Carm. II, 1, 132–143 (pp. 62–63), 162–169 (p. 64) **27** Io. 3, 5 **34–36** cf. Or. 10, 12, 19–20 **13,7–38** Greg. Naz., Carm. II, 1, 177–201 (pp. 64–65)

ἐκεῖνος εἶχεν ἕτερον δρᾶν;), ἐπὶ τὸν κοινὸν ἑαυτὸν ἀνατείνει δημιουργόν· καὶ κυβερνήτην τοῦδε τὲ τοῦ παντὸς καὶ τῆς ἑαυτοῦ ψυχῆς· κἀκεῖνον ἐπικαλεῖται προστάτην· καὶ τοῦ κινδύνου ῥύστην· εἰς ἐπήκοον πᾶσι τρανῶν καὶ ἀνακαλούμενος· μόνην τὴν ἐκεῖθεν συμμαχίαν· καὶ παλαιά τε καὶ νέα διεξιών, τῆς ἀηττήτου καὶ παντουργοῦ δυνάμεως θαύματα· τὴν τοῦ Νῶε κιβωτὸν κόσμου παντὸς χειμῶνας καὶ κατακλυσμούς, ὑπεραναβᾶσαν καὶ διεκπλεύσασαν· τὸν Ἰσραὴλ ἀπ᾽ Αἰγύπτου θαλάσσης Ἐρυθρᾶς ἐν μέσῳ φεύγοντα· τῷ μὲν, διισταμένης τὲ καὶ μενούσης, ὑπὸ τῆς ἀσαλεύτου δημιουργίας καὶ προσταγῆς, ὥσπερ τὰ πεπηγότα τείχη καὶ καθηδρασμένα, τοὺς δὲ διώκοντας ἐχθροὺς ἐπιδραμούσης αὐτίκα αὐτόθεν καὶ συσχούσης, ὥσπερ ἐξ ἐφόδου καὶ λόχου τινὸς ἀνυπονοήτου, πρὸς ἕνα κοινὸν σαγήνης ἄφυκτον πάντοθεν ὄλεθρον· τὸν Ἰωνᾶ πλοῦν ἐκεῖνον καὶ τὴν φυγὴν, καὶ τοὺς ἐντεῦθεν κινδύνους· καὶ τοὺς ἐπαναστάντας σύμπλους· καὶ τὴν παράδοξον σωτηρίαν· καὶ τὴν ἐκ βυθοῦ καὶ κήτους, ἀνάδοσίν τε καὶ πρόοδον· Πέτρον τὸν μέγαν· καὶ τὴν κατὰ τῶν κυμάτων ἐγειρομένων τὲ καὶ ταραττομένων ἐκείνου τόλμαν· καὶ νῆξιν ἐπὶ τῆς ὑγρᾶς ἀστασίας, καὶ πορείαν ἄπιστον, μᾶλλον δὲ μόνης πίστεως ἔργον, καὶ τῆς θείας χειρὸς, ἣ συνέσχε καὶ κατεστήσατο, τὸν θεῖον μαθητὴν, ὑπὸ τῆς φύσεως ἤδη κλυδωνιζόμενον· τἆλλά τε ὅσα ἐνῆν καὶ ὁ καιρὸς ἐδίδου, ἀναβοῶν τε καὶ πάντων ἀναμιμνήσκων, ἀκουόντων πάντων· οἳ συνέπλεον· οὐ θεοσεβεῖς μόνον καὶ ὁμόπιστοι τὰ θεῖα, ἀλλὰ καὶ τῶν ἀλλοτρίων τινὲς· πρὸς ἐκεῖνον ὁρῶντες τηνικαῦτα· καὶ τοῖς κινδύνοις τὴν πίστιν διδόντες· καὶ ὥσπερ ἀρραβῶνα τὴν σωτηρίαν προϊσχόμενοι, καὶ καλῶς ἐνεχυράζοντες ἑαυτοὺς τῷ Χριστῷ· τῷ πάντων ἀνθρώπων τὴν σωτηρίαν πραγματευομένῳ
f. 104v τὲ, καὶ φιλοκερδοῦντι· καὶ τὴν ἐπιστροφὴν τοῦ καλοῦ | πάντοθεν οἰκονομοῦντι· καὶ διὰ πάντων βελτίστων τὲ καὶ τῶν ἐναντίων, δυσκολίας τὲ καὶ ῥαστώνης· εὐδρομίας τὲ καὶ κινδύνων· γαλήνης καὶ κλύδωνος.

11 ἐπήκοον BC: ἐπίκοον V **15** τὸν V^2 s.l.: om. BC **21** ἰωνᾶ B e corr. **23** τὴν V^1 s.l. | κήτους BC: κύτους V **27** ἣ συνέσχε VC: ἧ συνέσχε B **28** κλυδωνιζόμενον VC: κλυδονιζόμενον B **29** ἀναβοῶν τε V: ἀναβοῶν τὲ BC **37** τὲ^2 om. C

13–15 Gen. 6, 5ff. **15–20** Ex. 14, 15–31 **21–23** Ionas 1, 1ff. **23–28** Mt. 14, 22–32

14. Ἀλλ᾽ ὢ τοῦ μεγίστου θαύματος ἐπὶ τούτοις. ὢ τῆς ἀρρήτου καὶ πάντα νοῦν καὶ λόγον ὑπερβαινούσης, ἰσχύος Θεοῦ καὶ σοφίας. ὢ τῆς ὑπερλάμπρου τιμῆς τε καὶ δόξης, ἣν πλουτίζει Χριστὸς τοὺς αὐτοῦ, καὶ περιφανεῖς δείκνυσιν. αἰσθάνονται δι᾽ ὀπτασίας τινὸς παραδόξου, τοὺς τοῦ παιδὸς ἀποδήμους κινδύνους οἱ γεννήσαντες· καὶ οὐ κάμνουσι μόνον καὶ τῇ γνώμῃ συγκινδυνεύουσιν, ἀλλὰ καὶ συμμαχοῦσι δι᾽ εὐχῶν καὶ τῆς εἰς Θεὸν παρρησίας· καὶ συμμαχοῦσιν ἐπιδήλως, οὐκ αὐτῷ μόνον· ἀλλὰ καὶ τοῖς μετ᾽ αὐτοῦ σύμπλοις δι᾽ αὐτοῦ σωζομένοις, καὶ τῆς περὶ αὐτὸν θεϊκῆς χάριτος. οὕτω δὴ τοῦ τοσούτου δεινοῦ λυτροῦται, καὶ μισθόν τινα τοῦτον τῆς σωτηρίας ἀντεισφέρει, μέγιστόν τε καὶ κομιδῇ φίλον, τῷ ῥυομένῳ καὶ κυβερνῶντι δεσπότῃ, τὴν τῶν συγκινδυνευόντων ἀλλοτρίων, οὐ μόνον τῶν φαινομένων χειμώνων ἀπαλλαγὴν, ἀλλὰ καὶ τῶν ἔτι βαρυτέρων τὲ καὶ χειρόνων· τῶν ἐντός τε καὶ νοουμένων· καὶ τὴν αὐτῶν εἰς τὴν ἀληθῆ πίστιν, τροπὴν καὶ οἰκείωσιν· καὶ ἡγεμὼν αὐτοῖς θεοσεβείας οὕτω παραδόξου γίνεται· ὁ πολλῶν ἐθνῶν ὕστερον εἰς τοῦτο προχειριζόμενος, ὁδηγὸς καὶ διδάσκαλος. φθάνει μέν γε καὶ αὐτὸς ἐν τῷ κλύδωνι τούτῳ καὶ τῇ ζάλῃ τῶν λογισμῶν, οὐκ ἀπροόπτως συναρπαγεὶς· ἀλλὰ καὶ σφόδρα σωφρόνως τὲ καὶ κοσμίως· καὶ ἀξίως ἑαυτοῦ, κατεγγυησάμενος αὐτὸν παντάπασι τῷ σεσωκότι καὶ ἀντιδοὺς· καὶ δεύτερος οὗτος αὐτῷ δεσμὸς ὑποσχέσεως εἰς δουλείαν οἴκοθεν, ἰσχυρότερος τῶν πρώτων πατρικῶν συνθηκῶν· καὶ ὅλον ἑαυτὸν ἐκεῖθεν μετ᾽ ἀξιομνημονεύτου σφόδρα τῆς χάριτος, δῶρον πλούσιον εἰσφέρει Θεῷ. τότε δ᾽ οὖν ῥυσθέντα θαυμαστῶς ἐκ τῶν μεγίστων οὕτω κινδύνων, εἶχον αὐτὸν Ἀθῆναι.

15. Ἐνταῦθα δὲ νῦν ἔγωγε, οὐκ οἶδ᾽ ὅπως τῷ λόγῳ χρήσομαι· | οὐδ᾽ ὅπως ἂν, διαθείην ἐπιὼν ἑξῆς. ἀπορεῖ μὲν γὰρ ὧν οὐκ f. 105
ἔξεστιν ἐφικνεῖσθαι πάντως, ἅπτεσθαι καὶ προσάγειν τούτοις. καὶ μὴν τοῦτο, οὐκ ἐνταῦθα νῦν μόνον, ἀλλὰ κοινὸν ὄντως πρὸς τἆλλα

14,2 νοῦν καὶ V: καὶ νοῦν BC | λόγον VB: λόγων C **9** τοῖς B a. corr. **10** οὕτω δὴ V: οὕτω μὲν δὴ BCD **14** τῶν ἐντός τε VBD: τῆς ἐντός τε C **18** καὶ[1] V[1] in marg. **21** αὐτὸν VBC: ἑαυτὸν D | ἀντιδοὺς V[2] e corr. **22** αὐτῷ δεσμὸς VCD: δεσμὸς αὐτῷ B **25** οὕτω om. B

14,26 cf. Greg. Naz., Or. 43, 15, 1 (p. 148)

ἅπαντα· ὅσά τε ἤδη πρότερον εἴρηται, καὶ ὁπηοῦν· καὶ ὅσα γε λοιπὸν εἰρῆσθαι πρόκειται. ἀλλ᾽ ἔτι γε μὴν, ἐν τούτοις τῶν καθ᾽ ἑαυτὸν ἡ γενναία γλῶσσα τοῦ θεσπεσίου τοῦδε καὶ ἡδίστη καὶ μεγαλόφωνος, φθάνει πρότερον ἀψαμένη καὶ διατρίψασα πλεῖστον, ἐν τοῖς πρὸς τὸν ὁμόπνουν ἐπαίνοις Βασίλειον· οὕτω δὴ κάλλιστά τε καὶ ἐπιμελέστατα, ὡς οὐκ οἶδ᾽ εἴ πη ἄλλῃ τῶν αὐτὸς ἑαυτοῦ· ἢ οὐκ οἶδ᾽ εἴ τις ἄλλος ἄλλῃ τῶν ἑαυτοῦ. καὶ τὸ μὲν ἐκεῖνα προτιθέναι τὲ καὶ προφέρειν ἐνταῦθα ὅσα καὶ εἴρηται τῷ μεγάλῳ, πάντως οὐκ ἐοικέναι φαίη τις ἂν (ἢ τί γὰρ ἄν, ὅλως καὶ εἴη τῷ λόγῳ τοῦτο βέλτιστον;), τὸ δ᾽ ἕτερα ἐπὶ τούτοις προσφέρειν τὲ καὶ προστιθέναι, πρὸς τὰ ἑξῆς ὡς εἰκὸς περαίνοντα, πῶς ἂν καὶ ἐξείη; καὶ οὐ τοῦτο νῦν ἔγωγε λέγω παραπλήσια τοῖς εἰρημένοις, κἀκείνῳ προσήκοντα (οὐδὲ γὰρ μαίνομαι), ἀλλὰ καὶ ὅλως ἕτερα τῶν ἐκεῖ, σφόδρα καὶ τοῦτ᾽ ἄπορον· καὶ τοῦθ᾽ ἅπας ὡς ἔγωγε οἶμαι συνερεῖ, ὅστις καὶ μετρίως ἐκείνων πεπείραται. τίς δ᾽ ἄν, οὕτω δυστυχὴς εἴη καὶ τῶν λόγων πόρρω, ὅστις οὐ πεπείραται καὶ ὁπωσοῦν; ἀλλ᾽ ἄρα τό γε παραλιπεῖν παντάπασι καὶ μηδόλως μνησθῆναι περὶ τῶν ἐνταῦθα τοῦ καιροῦ, τίς ἂν ἐρεῖ; πῶς δ᾽ ἄν, καὶ ὅλως εἴη λοιπὸν ἔπειτα χρῆσθαι τοῖς ἔμπροσθεν· καὶ οὕτω προσάγειν· καὶ διασκευάζειν τὸν λόγον· κατατετμημένον ἑαυτοῦ καὶ διαλείποντα κατὰ τεμάχη· ἀχρεῖον οὕτω πρᾶγμα· καὶ σφόδρα ἀηδὲς, προσορᾶν· καὶ τοίνυν τί τίς ἂν χρήσαιτο; οἶμαι ὅστις ἂν ἐν παραπλησίοις καὶ γέγονε καὶ πεπείραται, γνώσεται νῦν ὅσον τῷ λόγῳ τὸ δυσχερές· καὶ συγγνώμων ἄν, ἡμῖν ἀπορουμένοις εἴη κρίνων ὀρθῶς. πειράσομαι δ᾽ οὖν ὡς οἷόν τε, κἀνταῦθα φέρειν ἄττα δή· πρὸς τὴν ἐξ ἐκείνου βλέπων μόνην ἐπικουρίαν· ᾗ καὶ τεθαρρη-
f. 105v κῶς τὴν ἀρχὴν, | ἐπέστην ἐνταῦθα· καὶ τὴν παροῦσαν ὑπόθεσιν τῶν λόγων, ἐνεστησάμην.

16. Εἶχον οὖν ὡς ἔφην ἐκεῖνον Ἀθῆναι· καὶ μετ᾽ ἐκεῖνον ἔγγιστα, τὸ κλεινὸν ὄνομα Βασίλειον· καὶ ἦσαν τοῦ λοιποῦ διὰ

15,7 ἑαυτὸν V^{2}BCD: αὑτὸν V **12** προτιθέναι BCD: προστιθέναι V a. corr. **13** τις BCD: τίς V a. corr. **14** προσφέρειν VBC: προφέρειν D **18** ἄπορον V p. corr. BCD: εὔπορον V a. corr. **25** τεμάχη V: τεμμάχη BCD **16,2** ἔγγιστα V^{2}BCD: γγιστα V (obl. rubr.) | τοῦ λοιποῦ VBC: τουλοιποῦ D

16,1 cf. Greg. Naz., Or. 43, 15, 1 (p. 148) **2–5** cf. Id., Carm. II, 1, 229–230 (p. 67); Id., Or. 43, 19, 3–4 (p. 162)

πάντων· ὡς εἶδον ἀλλήλους· ὡς ἐπέγνωσαν· ὡς συνῆλθον· ὡς ἀλλήλοις τὸν τοῦ βίου καὶ τῶν λόγων σκοπὸν ἐκοινώσαντο· παντάπασιν ὁμόψυχοι καὶ ὁμοφυεῖς· καὶ ὥσπερ τὰ κατά τινα φυσικὴν συμπάθειαν ἀλλήλων ἐξηρτημένα καὶ ἄτμητα· κἂν ἄρα τέμνοιντο, μηκέτ᾽ ἔπειτα ζῆν ὅλως ἔχοντα, καὶ αὐτοὶ κατ᾽ οὐδὲν ἀλλήλων τεμνόμενοι· καὶ πάντ᾽ εἶχεν ἀμφοτέροις ἕνα καὶ τὸν αὐτὸν σκοπόν· καὶ πάντα κοινά· πίστεως ὁμοδοξία· ἀρετῆς ἁπάσης ἐπιμέλεια· λόγων ἔρως φλέγων ὑπερβαλλόντως· παιδευταὶ κοινοί· κοινὰ παιδεύματα· οἰκίαι· συναυλίαι· τροφαί· πόνοι· ἀνέσεις ᾗ δεῖ τῇ φύσει· πρόοδοι· συστολαὶ καὶ ὑποχωρήσεις, τῶν ἐν ταῖς πόλεσιν ἀηδῶν· καὶ αὐτῶν ἀναξίων· τὰ κρείττω καὶ ὑψηλότερα, νηστεῖαι· ψαλμῳδίαι· πρὸς Θεὸν ἀνάνευσις· ἀγὼν πρὸς τὰ ἐκεῖθεν ἔπαθλα· ἀλλήλοις ἀλεῖπται· τοῖς ἄλλοις ἀρετῆς ἀρχέτυπα, ὡς ἄν, δὴ καθορᾶν εἰς μέσον προκείμενα· ζήλου καὶ θαύματος. καὶ οὐδὲν ἐκείνοις παραπλήσιον κατὰ τοὺς ἄλλους· οὐδ᾽ ὥσπερ οἱ πολλοὶ χαίρουσι· καὶ δίδωσιν ἡ φύσις· οὐδ᾽ ὅσα παισὶ πρότερον· οὐδ᾽ ὅσα νέοις· οὐδ᾽ ὅσα μειρακίοις· οὐδ᾽ ὅσα πρὸς, ἔτι, καὶ ἥλιξιν ὅλως σπουδάζεταί τε καὶ παίζεται, ταῦτ᾽ εἶχέ τι κοινὸν ὁπωσοῦν ἐκείνοις· ἀλλὰ πάντα τοῖς βουλομένοις παρῆκαν· ἑταιρείας· πανηγύρεις· θέατρα· φιλοτιμίας, ἄνευ τοῦ καλοῦ μόνου καὶ τῆς ἀρετῆς· καὶ τῆς περὶ τοὺς λόγους εὐδοκιμήσεως· ἐν οἷς μόνοις ὑπὲρ ἅπαντας ἦσαν· καὶ οὐδενὶ φιλοτιμεῖσθαι πρὸς αὐτοὺς ἐνταῦθα παρῆκαν. καὶ ταῦτα ἦσαν σφίσι κοινὰ καὶ παραπλήσια· μεγαλοφυΐας ἀκρότης· τόνου μετ᾽ αὐτῆς καὶ σπουδῆς ὑπερβολὴ κατάλληλός τε καὶ ἀπαράμιλλος. ἐξ ὧν δὴ καὶ πλέον ἁπάντων τῶν ἄλλων εἶχον πολλῷ τῷ περιόντι· τοῖς ἀλλήλων δ᾽ ἑκάτερος ἐφιλοτιμοῦντο | πλέον ἀτεχνῶς ἢ τοῖς αὐτὸς αὐτοῦ· καὶ τὴν Πυθαγορικὴν ἐκείνην f. 106
ἀπόφασιν, τὴν ἄλλον αὐτὸν τὸν φίλον ὁριζομένην, ἔργοις ἐφ᾽ ἑαυτοῖς ἔδειξαν· μᾶλλον δὲ καὶ πλέον· οὐκ ἄλλον αὐτόν· ἀλλ᾽ ὄντως ἑαυτὸν τὸν ἄλλον ἑκάτερος λογιζόμενοι. ὦ θαυμαστῆς μὲν τῆς κατὰ φύσιν τῶν ἀνδρῶν εὐδοκιμήσεως κοινῆς· θαυμαστῆς δὲ τῆς

10 ἁπάσης om. C **11–40,10** πόνοι – κατοχυρωσάμενοι om. D **12** ᾗ δεῖ V[2]: οἷ δεῖ VBC **13** πόλεσιν scripsimus: πόλεσι codd. **19–20** ἥλιξιν ὅλως V: ὅλως ἥλιξι BC **29** αὑτοῦ VB: αὐτοῦ C **31** ἑαυτοῖς V[2] e corr.

11–14 cf. Metoch., Carm. 13, 8–10 (p. 237) **20–21** cf. Ael. Arist., Or. 51 (p. 578, 2–3) **29–30** cf. e.g. Arist., Ethic. Nicom. 1166a31; Greg. Naz., Or. 43, 20, 9–10 (p. 164)

κατὰ γνώμην καὶ λόγου πρόθεσιν καὶ κρίσιν, κοινωνίας ἐφαμίλλου. ὢ μεγάλης μὲν τῆς οἴκοθεν ἑκατέρῳ φορᾶς, μεγάλης δὲ τῆς ἐξ ὑποδείγματος ἀλλήλων καὶ ζήλου καὶ παραθήξεως· καὶ τῆς ἐντεῦθεν πάντως τελειώσεως· ὃ μὴ παρὰ πολλοῖς συμβαίνει γίνεσθαι.

17. Καὶ τοίνυν οὕτω μὲν αὐτοῖς τὰ πάντα, κοινά τε καὶ θαυμαστά. φέρε δὲ περὶ οὗ νῦν ὁ λόγος. ἐκεῖνος γὰρ οὐ τὰ μὲν τῶν πολλῶν καὶ μεγάλων καὶ καλλίστων τῆς σοφίας μερῶν καὶ τμημάτων ἐπόθησε, καὶ προείλετο κτήσασθαι καὶ ὅλον ἔδωκεν ἑαυτὸν εἰς ταῦτα καὶ κατέτεινε, τὰ δὲ, παρεῖδεν ἢ ἀπετράπη· οὐδ᾽ εἰς τινὰ μὲν εὐφυῶς τε καὶ οἰκείως ἔσχεν εὖ μάλα προβαίνων καὶ συμπλεκόμενος, πρὸς ἔνια δ᾽ ἀλλοτρίως καὶ ἀσυμβάτως· ὥστ᾽ ἐξ ἀνάγκης ἢ ἁψάμενος ἀποπεσεῖν καὶ ἥττων ὀφθῆναι, ἢ μὴ δ᾽ ἅψασθαι τὴν ἀρχὴν ὅλως, φεύγων τὸν ἔλεγχον· οὐδ᾽ εἰς τὰ μὲν, μᾶλλον ἡρμοσμένως τὲ καὶ γνησίως εἶχεν, εἰς ἄλλα δ᾽ ἧττον, ὥσπερ ἄρα πεφύκασιν ἄνθρωποι, καὶ οὐδείς ἐστι σχεδὸν τῶν ἐκ τοῦ παντὸς αἰῶνος, ὃς εἰς πάνθ᾽ ὁμοῦ κατήπειξεν ἑαυτόν· καὶ πάντων ἐπιτυχὴς γέγονε· καὶ ὥσπερ εἴς τι κοινὸν ταμεῖον, τὴν ἑαυτοῦ ψυχὴν τὸν τῆς σοφίας ἁπάσης πλοῦτον ἐθησαύρισέ τε καὶ συνελέξατο· ἀλλ᾽ ἄλλος ἄλλό τι τῶν παλαιῶν ἐκείνων καὶ μεγαλωνύμων ἐπὶ λόγοις ἀνδρῶν, ἢ τί καὶ δεύτερον ἴσως· εἰ δ᾽ οὖν ἔστω καὶ πρὸς, ἔτι, ὅμως δ᾽ οὖν τῶν ἄλλων οὐκ ὀλίγων τῶν λειπομένων ἀπολαβών τε καὶ διελόμενος, καὶ περὶ ταῦτα σπουδάσας ὡς ἔνι μάλιστα, κατορθοῦν ἔδοξέ τι, μνήμης καὶ ζήλου καὶ χάριτος· καὶ f. 106v μεγάλης δόξης εἰς τοὺς Ἕλληνας ἄξιον. καὶ | ῥᾷστα ἔξεστι τοῦθ᾽ οὕτως ἔχον σκοπεῖσθαι καὶ συνορᾶν· ἀναλεγόμενον καὶ καταριθμοῦντα, τοὺς ἐξαιρέτους ἐκείνους τῆς σοφίας· τοὺς πάνυ καὶ κορυφαίους· τοὺς ἐπωνύμους τῶν μεγίστων· καὶ πρὸς οὓς ἡμεῖς ὡς κανόνας ἀναφέρομεν· τὰ μὲν, τούτους εὐδοκίμους· τά δ᾽ ἐκείνους· καὶ ἄλλα ἄλλους· ὥσπέρ τινας ἐκλόγους θιασώτας ἄλλους ἄλλων νομίμων καὶ ἱερῶν· καὶ οὐ πάντων ἐπόπτας ὁμοῦ, τῶν τῆς σοφίας μυστηρίων καὶ τελετῶν· οὐδὲ πρὸς πάντα καταστάντας ἀξιόχρεως·

36 τῆς om. B **17,6** προβαίνων V: προσβαίνων BC **11** ἐστι V: ἐστὶ B, ἔστι C **13** ταμεῖον VC: ταμιεῖον B **15** ἄλλος VB: ἄλος C **15–16** μεγαλωνύμων VB: μεγαλονύμων C **16** ἤ τί BC: ἤ τι V a. corr. **18** ἀπολαβών VB: ἀπολαβόν C **21** συνορᾶν VB: ξυνορᾶν C **23** καὶ πρὸς οὓς V e corr.

οὐκ οἶδ᾽ εἴτε δι᾽ ἀκαιρίαν τινὰ τύχης, εἴτε δι᾽ ἀτονίαν καὶ φύσεως ἔνδειαν· μὴ πρὸς πάντα χωρούσης ἢ μὴ πρὸς πάντα γεννικῶς. ἀλλ᾽ οὐκ ἐπ᾽ ἐκείνῳ μόνῳ τῶν ἁπάντων σχεδὸν τοῦτο συμβὰν ὁρῶμεν· ἀλλ᾽ ἥ τε φύσις πρὸς πάντ᾽ ἤρκεσεν αὐτῷ καὶ τὸ πρόθυμον ἴσον, καὶ ὁ πόθος· καὶ οὐδὲν ἐλλείπων· οὔτε τῆς φύσεως αὐτῆς, οὔτε τῶν τοσούτων τὲ καὶ τοιούτων τῆς σοφίας κατανεμημάτων τὲ καὶ τμημάτων. οὔκουν γέ ἐστιν εὑρεῖν οὐδὲν τῶν αὐτῆς, οὗ μὴ μετ᾽ ἔρωτος ἥψατο μεγίστου καὶ σφόδρα ζέοντος, ὡς μόνου· καὶ οὗ μὴ ἁψάμενος, ἱκανῶς ἔσχε καὶ μάλιστα εὐδοκίμως καὶ κάλλιστα, ὡς μόνου μετ᾽ ἔρωτος οὕτως ἁψάμενος· ἀλλ᾽ ὥσπερ εἰς τοῦτο προηγμένος παρὰ Θεοῦ καλλιστεῖον· καὶ ἀκρότης τῆς φύσεως· καὶ ὅρος αὐτῆς ἐντελὴς ὡς καταμηδὲν ὅλως ἐνδεῖν, πᾶσι τε τοῖς τῆς παιδείας εἴδεσιν ἔδωκεν ἑαυτὸν· καὶ τοσοῦτο πρᾶγμα δυσχερέστατον τέως καὶ ἀνέφικτον, αὐτὸς κατεπράξατο καὶ διὰ πάντων, ὃ μήπω τίς οὕτως ἄριστα διεγένετο, ὡς ἄρ᾽ οὐδείς γε βέλτιον πρὸς ἓν οὐδὲν τῶν ἁπάντων, τῶν τε πρὸ αὐτοῦ τε καὶ μετ᾽ αὐτὸν, καὶ εἰ μόνον ἔτυχεν ὁτιοῦν ἀσκήσας, καὶ πλεῖστον τῶν ἄλλων ἁπάντων ἐν τούτῳ περιγενόμενος.

18. Γραμματικῆς μὲν οὖν εὐθὺς οὕτως εἰς ἄκρον ἵκετο· καὶ πᾶσαν τὴν τῆς φωνῆς διαίρεσιν καὶ νόμιμον βάσανον· καὶ ἀσφάλειαν ἠκριβώσατο, οὐ καθόσον ἄρα χρῆσις ἀναγκαία | καὶ ἀμετά- f. 107
θετος πρὸς τὴν τοῦ λέγειν μόνον παρασκευὴν· ἀλλ᾽ ὥστε μὴ δ᾽ αὐτοὺς ἔχειν τί πλέον, τοὺς ὅλον τὸ κατ᾽ αὐτοὺς μόνῃ τῇ περὶ αὐτὴν πολυπραγμοσύνῃ δόντας. ποιητικῶν δὲ χαρίτων οὕτω μετέσχε τελεώτατα· καὶ οὕτω πρὸς ἅπαν ἡρμόσατο μέτρον, ὡς ἐξεῖναι χρωμένους τοῖς ἐκείνου τοσούτοις τὲ καὶ παντοίοις, θαυμάζειν μὲν τὸ μεγαλοπρεπὲς κἀνταῦθα καὶ σῶφρον· καὶ μηδόλως ἡττώμενον τῆς ἐν τούτοις δεδομένης ἡδονῆς τε καὶ θρύψεως· καὶ ὅλως ἄξιον αὐτοῦ καὶ ἀρρενωπὸν καὶ σεμνὸν, οὐδὲν ἧττον ἢ κἀν

36 ἔσχε V[1]BC: εἶχε V **38** καλλιστεῖον VC: καλιστεῖον B **39** καταμηδὲν V: κατὰ μηδὲν B e corr., καὶ ante καταμηδὲν add. C | πᾶσι τε V: πᾶσι τὲ BC **43** an τε[1] delendum? **45** περιγενόμενος V[2] e corr. **18,1** γραμματικῆς V[2]BC: ραμματικῆς V (obl. rubr.) **3** χρῆσις ἀναγκαία VB: χρῆσις καὶ ἀναγκαία C **6** χαρίτων V[2]BC: αρίτων V (obl. rubr.) **8** τοσούτοις τὲ V: τοσούτοις τε BC

17,37–38 cf. Or. 10, 22, 7

τοῖς ἄλλοις ἅπασι τῶν αὐτοῦ λόγων· τρυφᾶν δὲ (πῶς ἂν εἴποι τις;), καὶ χρῆσθαι καὶ προσέχειν ἥδιστα, ὡς οὐκ οἶδ᾽ ὅπῃ ποτ᾽ ἂν ἄλλῃ μᾶλλον τῶν ἐκ ποιητικῆς γλυκασμάτων παλαιῶν τε καὶ νέων. καὶ ὡς ἀληθῶς, ἐν τοῖς ἐκείνου ποιήμασι κάλλιστα καθορᾶν ἔξεστι, τὴν ἐξ ἀρχῆς τοῦ ῥυθμοῦ καὶ τοῦ μέτρου χρῆσιν καὶ τὸν σκοπόν· ὅπως δηλαδὴ θηρᾶται διὰ τῆς ἡδονῆς τὴν ὠφέλειαν. ἴστε καὶ διηγεῖσθε πάντες ὅσοι πεπείρασθε, ὡς ἕκαστος ἔχει καὶ δύναται· ἐν οἷς ὁ πολὺς ἐκεῖνος καὶ πάντ᾽ ἄριστος τὰ ἑαυτοῦ πράττων συνήθως, ἢ Θεῷ προσομιλεῖ καὶ ἀνυμνεῖ καὶ δοξάζει διὰ πάντων ὧν ἐδωρήσατο καὶ διὰ πάσης παρασκευῆς τῆς γλώττης, ἧς ἐπλούτησεν ἐκεῖθεν· ἢ φιλοσοφεῖ καὶ νομοθετεῖ τὰ περὶ Θεοῦ· ἢ πρὸς ἀρετὴν ἐνάγει καὶ νεῦσιν εἰς Θεὸν καὶ σωφρονίζει· καὶ καθιστᾷ· καὶ γάμον ἔννομον· καὶ παρθενίας ὕψος· καὶ ἱερωσύνης καὶ μοναστῶν καὶ βίου παντὸς τελείωσιν· ἢ κακίαν ἐλέγχει καὶ θριαμβεύει καὶ ἀνακόπτει, τὴν τῶν πολλῶν εἰς αὐτὴν ἑτοιμότητα, διὰ τῆς καταδρομῆς ἐκείνης καὶ τῆς ἐπιτιμήσεως· ἢ τοὺς τῆς ἀρετῆς ἀθλητὰς στεφανοῖ τοῖς ἐκ ποιητικῆς τούτοις ἄνθεσιν· ἢ ῥᾳστώνην ἑαυτῷ τινὰ χαρίζεται ταύτην, ἀνεμέσητον ὄντως· οὐκ ἄλλοις μόνον ἑαυτῷ παρέχων, ἀλλὰ καὶ αὐτὸς ἑαυτῷ χρῆσθαι. ῥητορικῆς δὲ οὐ τὸ δραστήριον ἐν πράγμασι | (f. 107v) μόνον· καὶ ὁπόση τις ἐν τοῖς τῶν θεάτρων καὶ δικαστηρίων παλαίσμασιν εὕρηται τῇ τέχνῃ παρασκευῇ, εἰς ὅσον ἐστὶ μάλιστα συνέσχε καὶ καθώπλισεν ἑαυτόν· εἰ καὶ μὴ παρέσχεν αὐτὸς ἑαυτῷ καιρὸν τῶν ὑψηλοτέρων τὲ καὶ κρειττόνων γενόμενος, ἀλλὰ καὶ τὰ τῆς ἑρμηνείας ἐκείνου κάλλη, καὶ τὴν τῆς γλώττης ἑορτὴν καὶ ξένην καὶ ἄρρητον καὶ παντάπασι τέως ἀδόκητον, πρὶν ἢ αὐτὸν εὑρεῖν τε καὶ καταστήσασθαι τῶν λόγων διάθεσιν, τί τις ἂν ἔχοι λέγειν· ἢ τίνι τίς ἄν, παραβάλλειν τῶν ἄκρων ἐν τούτοις, τοσοῦτο δὴ πρᾶγμα κάλλιστόν τε καὶ τελεώτατον· καὶ ὃ θαυμάζειν μέν ἐστι μόνον, εἰ δή τις καὶ τοῦτο δικαίως καὶ ὅσον ἄξιον, λέγειν δ᾽ ὅλως ἔπειτα καὶ καθιστορεῖν,

12 εἴποι VB: εἴπῃ C **13** καὶ^2 C s.l. | ὅπῃ V e corr. B: ὅποι C **14–15** νέων V^2 e corr. **17** ἴστε VB: ἴσθε C **21–22** ἧς ἐπλούτησεν V: ᾗ ἐπλούτησεν B, ἧς ἐπλούτισεν C **22** νομοθετεῖ V^2 e corr. **23–82** εἰς θεὸν – μετο(πώρου) om. B **27** ἀρετῆς bis C **28** ποιητικῆς V^2 e corr. **29** μόνον V^2C: όνον V (obl. rubr.) **31** πράγμασι V^2 e corr.

18,17–30 cf. Greg. Naz., Or. 43, 67, 1–24 (pp. 272–274) **24** cf., e.g. Id., Carm. mor., PG 37, 522C **28–29** cf. Or. 10, 48, 29–30

ὅπως ἔχοι καὶ προφέρειν, οὐκ οἶδα τίς ἄν, ἱκανὸς εἶναι φήσειε; «γλυκύτητα μὲν οὖν μέλιτος, τίς ἀναγγελεῖ τοῖς μὴ γευσαμένοις» φησί. γλυκύτητα δὲ τῶν ἐκείνου λόγων· καὶ κράτος, καὶ ἀρετὴν ἀνέφικτόν τε καὶ ἀπαράμιλλον, τίς ὅλως ἀναγγελεῖ; καὶ οὐ λέγω νῦν ἔγωγε τοῖς μὴ γευσαμένοις· ἢ γευσαμένοις μὲν, ἀλλ᾽ ἀναισθήτως ἔχουσι τῶν καλῶν· ἀλλὰ καὶ αὐτοῖς ἐκείνοις τοῖς πειρωμένοις ἄν, ἐν συναισθήσει καὶ ἡδομένοις καὶ κατατρυφᾶν ἔχουσι, τίς οἷος τ᾽ ἄν, εἴη διεξιέναι· ἢ συνεξετάζειν ὅλως περὶ αὐτῶν δὴ τούτων ὧν πεπείρανται· καὶ ἥδονται καὶ θαυμάζουσιν; ἀλλ᾽ ὡς ἀληθῶς ὥσπερ βακχείᾳ τινὶ τὸ πρᾶγμα ἔοικε καὶ κατοχῇ, τῶν τοῖς ἐκείνου λόγοις ἐντυγχανόντων· πάθος μέν τι τοῦτο πασχόντων, ἥδιστόν τε καὶ οἷον ἄρρητον ἐπ᾽ αὐτοῖς· ἢ οὐκ οἶδ᾽ ὅπως ὑπ᾽ αὐτῶν· οὐκ ἐχόντων δ᾽ ὃ πεπόνθασιν καὶ οὗ πεπείρανται διηγεῖσθαι σαφῶς· καὶ προδεικνύειν ὅ,τί ποτ᾽ ἐστὶ καὶ οἵας ἔλαχεν ἕξεώς τε καὶ φύσεως. οὕτω καὶ νοῦν ἅπαντα καὶ λόγον ὑπερβαίνουσιν, ἡ τῶν ἐκείνου λόγων ἡδονὴ καὶ τὸ θαῦμα· καὶ νικῶσι πάντα περὶ αὐτῶν ἐξηγητὴν προθυμούμενον. καὶ πειρῶνται μὲν ἅπαντες ὡς καλλίστων καὶ ξυνορῶσι· θαυμάζουσι δὲ μόνον, οὐκ ἔχοντες ἃ ξυνορῶσι, καὶ τρανοῦν καὶ λέγειν ἑξῆς. καὶ ἥδονται μὲν ἐπ᾽ ἐκείνοις | τοῖς f. 108 λόγοις· ἡδονήν τινα ταύτην σεμνοτάτην· ἀγνοοῦσι δὲ περὶ ὧν ἥδονται· σχεδὸν ἅττά ποτ᾽ ἐστὶν· ὅτι μὴ τοῦτο μόνον ξυνορῶσιν ὡς πάντων βέλτιστα· καὶ πλεῖστον ἡδύνειν ἔχοντα. καὶ νύττει μὲν ἅπαντας ἐντυγχάνοντας αὐτίκα, πόθος καὶ φιλοτιμία· καὶ οἷοι τ᾽ εἰσὶν ὥστε καὶ ζηλοῦν καὶ βαίνειν κατ᾽ ἴχνος ἐπείγεσθαι· καὶ πράττουσιν ἴσως ὁτιποτοῦν εἰς τὴν πρόθεσιν ἕκαστος ἐκεῖθεν τυπούμενοι· τὰς δ᾽ ἀρχετύπους ἐκείνας τοῦ καλοῦ συμπλοκὰς, καὶ τὰς τῶν λογικῶν τῶνδε βαφῶν κράσεις, οὐκ ἴσασιν ἀκριβῶς καὶ τελείως, οὐχ᾽ ὥστε καὶ λέγειν. τῷ ὄντι γὰρ καὶ μέγιστον ἔργον τοῦτο καὶ θαῦμα· καὶ οἷον ἄρρητον, ἡ τοιαύτη τοῦ λέγειν, ἣν ὁ μέγας οὗτος ὑπέδειξεν οἰκονομία τὲ καὶ διάθεσις· καὶ ὅπως τὰ τῆς τέχνης ἅπαντα, τῶν λόγων εἴδη καὶ τῶν τῆς φωνῆς χρωμάτων, τὰς ἑτερότητας, καὶ τὴν ποικιλίαν, οὕτως ἐκέρασε κάλλιστα· καὶ μεθ᾽ ὑπερβολῆς ἡρμόσατο, ὡς μᾶλλον μὲν θαυμάζεσθαι τὸ ἀξίωμα

45 ἀναγγελεῖ V[2]C: αγγελεῖ V **49** διεξιέναι V e corr. **59** ξυνορῶσι V: ἔχουσι λογίζεσθαι C **64** καὶ[1] V[2] s.l.

43 cf. Bas. Caes., Hom. exhort. ad. bapt., PG 31, 425D **61** cf. Or. 10, 48, 25–27

καὶ τὸν ὄγκον· μᾶλλον δὲ τὴν ὥραν τὲ καὶ τὸ λεῖον, οὐδὲν δὲ ἧττον τὴν ἐν τῇ τοιαύτῃ χάριτι σωφροσύνην· καὶ τοσοῦτο μὲν εἶναι τὸ σεμνόν τε καὶ διηρμένον, ὡς μὴ λυπεῖν ἀηδίᾳ καὶ αὐστηρότητι· τοσοῦτο δὲ τὸ χάριεν αὖθις καὶ εὐπροσήγορον εἰς ἀκοὴν καὶ φιλάνθρωπον, ὡς μὴ καταπίπτειν εἰς εὐτέλειαν· καὶ ἀνανδρίαν· καὶ λύσιν εὐπεριφρόνητον· ἀλλ' ὅλον εἶναι τὸ ἔαρ ἐπὶ τῆς ἐκείνου γλώττης· καὶ χειμῶνος ἀγριότητα φεῦγον, καὶ θέρους ἔκλυσιν· καὶ μετοπώρου κατήφειαν· καὶ ἀμετρίαν καὶ ἀνισότητα.

19. Οὕτως ἡδὺς μὲν ὁ λόγος αὐτῷ, γενναῖος δέ· καὶ τρυφᾷ μὲν καὶ παρέχεται τρυφᾶν· ἀλλ' ἐγκρατῶς ἔχει κομιδῇ· καὶ χαρίζεται μὲν, μεθ' ἱλαρότητος, οὐ περιφρονεῖται δέ· καὶ θεατρικῶς μὲν ἐσκεύασται· καὶ πρὸς πανήγυριν ἐρραστωνευμένος, ἀλλὰ καὶ ὑψηλὸς ὑψηλῶς ἄνω προκάθηται· καὶ παντάπασιν ἔξω τῆς τῶν πολλῶν ἐντυχίας· καὶ δεινὸς μὲν ὅτι μάλιστα· ἁπλοῦς δὲ ὡσαύτως· τοτὲ f. 108v μὲν | τὸν νοῦν· τοτὲ δὲ τὸ πρόδηλον ἔξω καὶ φαινόμενον· καὶ τούτων ἑκάτερον ἐφ' ἑκατέρου τῶν εἰρημένων, συνιὸν πρὸς τὴν χρείαν, ὥστε θαυμάζεσθαι τὸ σφόδρα καίριον· εἴ τις καλῶς ἐννοεῖν δύναιτο. καὶ καθόλου γε εἰπεῖν κρᾶσιν τινὰ, ταύτην ἔξεστι καὶ ἁρμονίαν συλλογίζεσθαι, καινήν τινα καὶ πρώτην ἐξευρημένην· καὶ μόνην αὐτοῦ πάντ' ἀρίστην τὲ καὶ τελείαν καὶ ὡς ἀληθῶς ἀμίμητον· καὶ νικῶσαν πάντα παλαιά τε καὶ νέα· τοῦ μὲν ἀρχαίου μεγέθους· καὶ τῆς ἀποιήτου σεμνότητος, κρατοῦσαν τῷ καινῷ κάλλει· τῆς νεωτερικῆς δὲ βλακείας ὕστερον καὶ κορδακισμοῦ, καὶ τῶν ἀγεννῶν λυγισμάτων καὶ ἀκολάστων, ὑπερφρονοῦσαν, Ἑλληνικῆς μεγαλοπρεπείας ἀκμῇ· μᾶλλον δὲ τοὺς μὲν τῷ γενναίῳ δοκίμους ἐκείνους πρότερον καὶ περιφανεῖς, αὐτῷ τῷ γενναίῳ νικῶσαν· καὶ μεγάλοις πρέποντι· τοὺς φιλεόρτους δὲ τούτους καὶ προσθεμένους τῷ ἱλαρῷ καὶ γλυκαίνοντι, αὐτῇ μάλιστα χάριτι· καὶ ἀμφοτέρους πολλῷ τῷ περιόντι· τῷ καλλίστῳ κατ' αὐτὸν τῷδε καὶ καινῷ κράματι· πρότερον ἴσως ὑπερφυεῖ γε καὶ ἀσυμβάτῳ δοκοῦντι. καὶ γέγονεν ἀτεχνῶς ἐκεῖνος ὥσπερ νέας εὑρετής τινος ταύτης καὶ δημιουργὸς

19,19 προσθεμένους V^1BC: προθεμένους V **21** κατ' αὐτὸν VB: κατ' αὐτῇ C **23** ταύτης V^2 s.l.

19,4–5 cf. Greg. Naz., Or. 7, 3, 4–5 (pp. 184–186) **23–24** cf. Id., Or. 4, 106, 16 (p. 258)

τέχνης· καὶ λόγων ἰδέας, οἰκονόμος τὲ καὶ εὐεργέτης εἰς ἀνθρώπους. οὐ γὰρ μόνον τῆς περὶ Θεοῦ δόξης καὶ τῶν θείων καὶ ἀνωτάτω δογμάτων ἐκ τῶν ἐκείνου λόγων ἔχομεν τὴν ἀσφάλειαν, καὶ πολιτείας φίλης Θεῷ τύπους καὶ προκηρύγματα· καὶ παίδευσιν ἐντολῶν· καὶ κακίας ἀποτροπήν· καὶ καθόλου γε εἰπεῖν τῶν ἡμετέρων ψυχῶν ἐκεῖθεν ἡγεμονίαν καὶ παράκλησιν εἰς τὴν τοῦ καλοῦ τελείωσιν· ὃ δὴ μάλιστ᾽ ἐκείνῳ πρὸ πάσης ἄλλης ἦν ἐπιμελείας τὲ καὶ σπουδῆς· καὶ πρὸς ὃ πᾶσα καὶ τοῦ βίου καὶ τῶν λόγων ἡ πρόθεσις ἦν, ἀλλὰ καὶ αὐτὴν ὡς ἔοικε τὴν τῆς εὐγλωττίας καὶ τοῦ λέγειν εὐγένειαν, αὐτός ἐστιν ὁ μάλιστα εὐεργετήσας καὶ καθυποδείξας, | ἡμῖν εἴ τις ἄρα καθορᾶν ἔχει καὶ χρῆσθαι f. 109
δύναιτο, προσέχων εὖ μάλα τὸν νοῦν· καὶ ὥσπερ ἐν ὑποδείγμασι τοῖς ἐκείνου τύποις τὲ καὶ κανόσιν, ἀναζωγραφῶν ἀμέλει τὴν τῆς φωνῆς ἕξιν ἑαυτῷ, καὶ ὡς ἂν ἔξεστιν ἐκεῖθεν μορφούμενος.

20. Καὶ τί ἄν, ἐπιπολύ τις ἐνταῦθα διατρίβοι, πόρρω τοῦ καιροῦ φέρων καὶ μηδὲν ὅμως ἀνύτων, πρὸς τὸ τοῦ πράγματος δίκαιον ἐντελές· μὴ δ᾽ ὅσον βούλεται; καὶ παρήσομεν λοιπὸν ἤδη. φιλοσοφίας δὲ ἦν μάλιστα τοῖς ἔργοις ἀληθὴς ἐπώνυμος· καὶ τὸ πρακτικὸν αὐτῆς, οὐχ ἐν μόνοις ῥήμασι διακένοις τεχνολογῶν· ἢ μᾶλλον ἐν ἑαυτῷ καὶ παιδευόμενος καὶ γυμναζόμενος καὶ διδάσκων· καὶ ὑποδεικνὺς τοῖς πολλοῖς. οὐ μὴν ἀλλὰ καὶ ὅσον αὐτῆς περὶ τὴν τῶν ὄντων θεωρίαν εἰς τοσαῦτα πλεῖστα τεμνόμενον· οὕτω τελεώτατα διεξῆλθε πᾶν, ὥσπερ αὐτὸ τοῦτο μόνον ἕκαστον ἐν σπουδῇ θέμενος· καὶ τὴν ἅπασαν εἰς τοῦτο τῆς γνώμης παρασκευὴν ἔχων. οὕτω τοι καὶ τὰ τῆς φύσεως καθόλου τὲ συνέσχε καὶ συνεπέρανε, καὶ καταμέρη ἐπέδραμε, διὰ πάντων γενόμενος καὶ τὴν ῥέουσαν ὕλην αἰτιολογίαις στασίμοις ἅπασαν διαβὰς, καὶ τοὺς λόγους αὐτῆς ἀνορύξας· καὶ μηδὲν καταλιπὼν ἀνεξέταστον, τῶν ἐκείνης ἔργων· τῇ τε τῶν παλαιῶν πολυπραγμοσύνῃ χρώμενος, καὶ αὐτὸς οἴκοθεν ἀνιχνεύων καὶ ἀνευρίσκων, ἅττα παρεῖται· καὶ προστιθεὶς φιλοπόνως ὡς τῆς φύσεως γνώμων· καὶ τοῦ κόσμου

32 ἡ πρόθεσις VB: ὑπόθεσις C **34** ἄρα V^2 s.l. **20,4** φιλοσοφίας V^2BC: ιλοσοφίας V (obl. rubr.) | μὲν ante μάλιστα add. BC **10** εἰς ante ἅπασαν add. B **12** καταμέρη V: κατὰ μέρη BC **15** ἐκείνης V^2 e corr.

20,17–18 cf. Or. 17, 13, 36–37

συνήγορος. οὕτω καὶ τὰ μετὰ τὴν φύσιν ἢ πρὸ τῆς φύσεως, οὕτω καὶ τὰ τῶν μαθημάτων ἀνέδραμεν ἔξω τῆς ὕλης, καὶ κατεῖδεν εἰ καὶ φύσεως ἀνάγκην, ἀπαραίτητον ἔχει ταύτῃ συμπλέκεσθαι· καὶ γεωμετρίας καὶ ἀστρονομίας· καὶ ἀριθμῶν διπλῆς ἐπιστήμης ὅση τὲ τὰ κατ᾽ αὐτοὺς ἐξετάζει· καὶ ὅση τοὺς μουσικοὺς αὐτῶν λόγους νομοθετεῖ· καὶ ἀμφοτέρων γε μὴν εἰς ἄκρον ἵκετο· καὶ κατέσχε τὸ χρήσιμον· γοητικὰς ἀρρητουργίας καὶ συμπαθείας καὶ τερατείας f. 109v ἀναγκαίας, ὁλκῆς τῶν γινομένων καὶ συνεχείας, ὡς ἀνή|νυτον ὁδὸν ἀποστραφεὶς καὶ ἀποφυγών· καὶ πλάνης προξενοῦσαν κρημνοὺς καὶ βάραθρα. τῆς μέντοι λογικῆς αὐτῆς τὴν ἀκρίβειαν· ὡς ἀναγκαιοτάτην εἰς ἅπασαν θεωρίαν· καὶ τεχνικῶς προβιβάζουσαν· ἀναλυτικὰς τὲ μεθόδους· καὶ συστροφάς· καὶ πλοκὰς πανσόφους καὶ ποικίλματα· καὶ ἀποδεικτικῆς ἐπιστήμης βριαρὰ μηχανήματα, καὶ πρὸς ἅπασαν μάχην ὁπλισμὸν ἄτρεπτον καὶ ἀπόρθητον, σφόδρα ἐξασκήσας ὡς καὶ πρὸς τοὺς πολέμους τῶν ἐναντίων τοῦ ἀληθοῦς τε καὶ ὀρθοῦ τῆς ἡμετέρας θεοσεβείας δόγματος χρήσιμα κομιδῇ, καὶ τὴν σοφιστικὴν αὐτὴν ἅμα μὲν κατεῖδεν, ἅμα δὲ καὶ ἀπώσατο· τὸ μὲν, ἵνα μηδὲν αὐτὸν διαδράσῃ, ἄλλως τὲ καὶ προασφαλιζόμενος ἐκ προλήψεως καὶ προφυλακῆς, ἐκεῖθεν μὴ περιτρέπεσθαι· τὸ δὲ, ὡς ἀνάξιον ἑαυτοῦ.

21. Ἀλλ᾽ εἶχε μὲν οὕτω ταῦτα· καὶ οὕτω τῆς σοφίας ὁ πᾶς αὐτῷ πλοῦτος, συνηυξήθη πάντοθεν· καθ᾽ ὅσον ἀνθρώποις ὅλως ἐξεῖναι φαίημεν ἄν· καὶ πλέον οὐδὲν ἐλείπετο. ἐκάλει δὲ λοιπὸν αὐτὸν ὁ τῆς πατρίδος πόθος καὶ τοκέων γῆρας, Ἀθήνας ἀπολιπεῖν· μᾶλλον δ᾽ ἡ τοῦ βίου πρόθεσις· αἵ τε πρὸς Θεὸν φθάσασαι συνθῆκαι δουλείας· καὶ τὸ τῶν ὑποσχέσεων ἀπαραίτητον. ἐνταῦθα δὴ συμβαίνει πρᾶγμα τῷ ἀνδρὶ, πάντων ἐργωδέστατον εὖ θέσθαι· καὶ μάχη δυοῖν ἐναντίων λίαν ἐπ᾽ αὐτοῦ κρατούντων· καὶ οὐκ ἐῶντος ἑκατέρου θατέρῳ ῥᾷστα προσνεῦσαι, καὶ τὴν ὅλην δοῦναι ῥοπήν. τὰ μὲν οἴκοι κατήπειγε δίκαια καὶ εἷλκε· καὶ γονέων στέρησις·

25 ἀνήνυτον V p. corr. BC: ἀνήνυττον V a. corr. **27** τὴν V^{1} in marg. **28–29** προβιβάζουσαν VB: προτριβάζουσαν C **21,1** τῆς V^{2}BC: ἧς V (obl. rubr.) **3** λοιπὸν om. C **8** δυοῖν V^{1}: δυεῖν VBC **9** θατέρῳ VB p. corr. C: θατέρας B a. corr.

18–19 οὕτω^{2}…ὕλης cf. Metoch., Carm. 10, 273–275 (p. 185) **27–37** cf. Or. 17, 13, 39–45

μᾶλλον δὲ τὰ μείζω καὶ ἅπερ εἴρηται· κατεῖχε δὲ καὶ σφόδρα ἴσχυεν ἐπ᾽ ἐκείνου καὶ τῆς ἐκείνου ψυχῆς τε καὶ γνώμης, τῆς πάντα μὲν τἆλλα ἀηττήτου καὶ ὑψηλῆς· πρὸς δὲ πάθος οἴκτου καὶ τυραννοῦσαν συνήθειαν, διαφερόντως ἑτοιμοτάτης· καὶ πάνυ τοι καμπτομένης καὶ ἡττωμένης, ἡλικιωτῶν καὶ διδασκάλων, καὶ ὅλως τῆς ἐκεῖσε διατριβῆς σύντροφος ἐπιπλεῖστον οὕτω στοργή· καὶ δάκρυα χεόμενα πανταχόθεν αὐτῷ τε καὶ Βασιλείῳ, τῷ πάντων αὐτῷ | κοινωνῷ· καὶ κωκυτοὶ καὶ ἀντιβολήσεις μένειν f. 110 ἀξιούντων· καὶ μὴ μεθίστασθαι· καὶ τοὺς σοφιστικοὺς καὶ παιδευτικοὺς σφίσιν ἀποδιδόντων θρόνους· καὶ ἀντιδιδόντων εἰς ἀμοιβὴν τῆς χάριτος ταύτης, τὴν προεδρείαν τῆς παιδείας.

22. Ἀλλὰ Βασίλειος μὲν ὁ μέγας μόλις μέν· καὶ σύν βίᾳ πλείστῃ, συγχωρεῖται δ᾽ ὅμως τὴν ἔξοδον· Γρηγορίῳ δὲ τῷ θείῳ τῷδε περιγενέσθαι καὶ κρατῆσαι, τῆς ἐπιθέσεως τῶν ἀνδρῶν ἐκείνης καὶ δυναστείας, ἰσχυρὸν οὐδὲν γέγονεν· ἀλλὰ νικᾶται μὲν καὶ μένει χρόνον οὐκ οἶδ᾽ ὅντινα. ἐπεὶ δὲ τὰ κρείττω τῆς γνώμης δόγματα· καὶ τὴν μεγαλόφρονα τῆς βιοτῆς ἐκείνην αἵρεσιν· καὶ τὰς πρώτας εἰς Θεὸν συνθήκας, ἔδει προτιμηθῆναι πάσης ἄλλης ἀσχολίας καὶ προσπαθείας· καὶ τὴν νικῶσαν λαβεῖν, κλέπτει λοιπὸν ὡς οἷόν τ᾽ ἦν ἐπιταχύνας, τὴν τῶν πολλῶν συναίσθησιν τὴν ἀπ᾽ Ἀθηνῶν ἐκεῖθεν ἀποχώρησιν αὐτοῦ, καὶ οἴκαδε καὶ αὐτὸς σὺν ἐκείνῳ γίγνεται· μνήμην αὐτῶν ὡς ἀληθῶς ἀκατάλυτον, καὶ τῆς αὐτῶν ἀρετῆς καὶ μεγαλοφυΐας, διαπαντὸς ἀκμάζουσαν καὶ ἀκάματόν τινα καταλιπόντες ἐκεῖσε· καὶ ἀθάνατον ὡς εἰπεῖν εὔκλειαν· καὶ οὐ τοῦτο μόνον, ἀλλ᾽ ὅτι γε καὶ αὐτῆς μάλιστα τῆς πόλεως μνήμην μεγίστην σφόδρα καὶ περίδοξον ἔξεστιν εἰπεῖν, ἐν ταῖς ἁπάντων ψυχαῖς τε καὶ γλώτταις· ἧς οὐ χρόνος· οὐκ ἀλλαγαὶ πραγμάτων, οὐ τροπαὶ τύχης· οὐκ ἄλλο τῶν ἁπάντων οὐδὲν κατεκράτησεν· ἀλλ᾽ ἔτι πω· νῦν ἐξ ἐκείνου πολὺς ὁ λόγος ἐν τοῖς ἁπάντων στόμασι Γρηγόριος καὶ Βασίλειος· καὶ Ἀθῆναι· καὶ τὰ

13 τἆλλα V: τἄλλα BC **21** προεδρείαν V: προεδρίαν BC **22,1** ἀλλὰ V^{2}BC: λλὰ V (obl. rubr.?) **11** γίγνεται VC: γίνεται B

21,19–20 Greg. Naz., Carm. II, 1, 249–256 (p. 68); Greg. Presb., Vit. Greg. 5, 10 (p. 136) **22,1–13** Greg. Presb., Vit. Greg. 5, 6–15 (p. 136) et Greg. Naz., Or. 43, 24, 15–31 (pp. 178–180) **8–10** Greg. Naz., Carm. II, 1, 264 (p. 68)

ἐκεῖ παιδευτήρια· καὶ ταῦτα καταπαντὸς ἀνθεῖ τοῦ χρόνου· καὶ λήθης ἁπάσης κρατεῖ καὶ πλέον φέρεται, μετὰ θαύματος καὶ ἡδονῆς ἀεὶ συνακουόμενά τε καὶ συλλαλούμενα· καὶ οὐδὲν οὕτω τῶν ἄλλων ἁπάντων τῇδε τῇ πόλει πρὸς δόξαν καὶ περιφάνειαν, ὡς ἡ τῶν ἀνδρῶν τούτων διὰ τῆς παιδεύσεως καὶ τῆς ἐν λόγοις τροφῆς, οἰκείωσις καὶ κοινωνία. καὶ τὰ μὲν ἄλλα πρότερον αὐτῇ κλέα καὶ μεγαλουργίαι καὶ τὰ τῆς παλαιᾶς ἐκείνης εὐγενείας, | f. 110v ἅπαντ᾽ οἴχεται σχεδὸν καὶ κατέσβεσται τῷ χρόνῳ· καὶ κατορώρυκται βυθοῖς λήθης· Θησεῖς· καὶ Κόδροι· καὶ ναυμαχίαι· καὶ πεζομαχίαι· καὶ Σαλαμὶς ἐκείνη· καὶ Μαραθὼν· καὶ τρόπαια Μηδικὰ· καὶ ὁ πᾶς ἄλλος τῶν αὐτῇ περιβλέπτων ἔργων ἐφ᾽ ἁπάσης εἰπεῖν τῆς οἰκουμένης θρίαμβος· ἡ δ᾽ ἀπὸ τούτων δὴ τῶν ἀνδρῶν δόξα καὶ τὸ κλέος τῆς συντυχίας, ἀτελεύτητος αὐτῇ καὶ ἀήττητος· κατὰ παντὸς ἀεὶ τοῦ χρόνου τὲ καὶ τοῦ κόσμου πομπεύουσα. καὶ οὐδέν ἐστι τῶν τῆς οἰκουμένης μερῶν· οὐ μέσα γῆς οὐκ ἔσχατα· οὐκ Ἰνδῶν πελάγη· οὐ νῆσοι Βρετανικαὶ· οὐ Μαιῶτις· οὐκ Αἴγυπτος· οὐκ ἄλλο τῶν ἁπάντων οὐδὲν καθ᾽ οὗ μὴ· ἀλλὰ πᾶσαν μὲν ἐφ᾽ ἧς οἰκοῦσιν ἄνθρωποι, ὁ σωτήριος ἐπέδραμε λόγος, καὶ τὸ Χριστοῦ κράτος· διὰ πάσης δὲ καὶ οἱ τοῦ Χριστοῦ θεράποντες οὗτοι καὶ τῆς μεγάλης αὐτοῦ ποίμνης προστάται καὶ ἡγεμόνες· καὶ περίοπτοι τῆς ἐκκλησίας λύχνοι, καταλάμπουσιν ἀτεχνῶς· καὶ ταῖς ἐκ τῶν λόγων καὶ τῆς διδασκαλίας χάρισιν ἀστράπτουσι· καὶ οὐδὲν οὐδαμοῦ Χριστιανῶν ὅλως σύνταγμά τε καὶ σύστημα παρ᾽ ᾧ μὴ καὶ τὰ τῶν ἀνδρῶν κρατεῖ νόμιμα· καὶ τύποι· καὶ διατάγματα· καὶ διδάγματα· καὶ τὰ μεγάλα τούτων ὀνόματα Βασίλειος καὶ Γρηγόριος καὶ οἱ λόγοι· καὶ ἡ τῶν λόγων παρασκευὴ· καὶ Ἀθῆναι· καὶ τὰ ἐκεῖ παιδείας ὡς ὁ λόγος ἔφησεν ἐργαστήρια.

23. Ἀλλὰ τούτων μὲν ἅλις· ἐπανακτέον δὲ τὸν λόγον. εἶχεν αὐτὸν ἡ πατρὶς ἐπανήκοντα· τοσούτους αὐτῇ θησαυροὺς σοφίας ἐκ τῆς ἀποδημίας ἐμπορευσάμενον. οἷς προσολίγον χρησάμενος· καὶ

20 καταπαντὸς V: κατὰ παντὸς BC **22** ἀεὶ VB: ἂν C **42** ὅλως VC: ὅλος B σύνταγμά τε καὶ σύστημα BC: *σύστημά τε καὶ σύνταγμα* primum scripsit, deinde litteris β α suprascriptis ordinem invertit V **43** κρατεῖ V p. corr. BC: κρατεῖν V a. corr. | τύποι VB: τῦποι C **23,2** ἡ om. B

22 cf. supra, 5, 35–36 **28** cf. Greg. Naz., Or. 44, 1, PG 36, 608A

τὸν πλοῦτον ἐπιδειξάμενος τῆς παιδεύσεως· εἰς τιμὴν καὶ χάριν τῇ πατρίδι καὶ τοῖς τοκεῦσι· καὶ τὸν πόθον ἀποφλήσας αὐτοῖς, ἔπειθ᾽ ἑαυτοῦ γίνεται· καὶ τοῦ προτεθειμένου γενναίου σκοποῦ· καὶ τῶν προτέρων ἐκείνων συνθηκῶν τε καὶ ὑποσχέσεων· καὶ βίον· καὶ λόγον· καὶ ὅλον ἑαυτὸν φέρων δίδωσι τῷ Θεῷ· καὶ τῶν τοῦ βίου πραγμάτων ἀπανίσταται· ῥήξας ἑαυτὸν παντάπασι τοῦ κόσμου παντὸς, ὡς οὐκ ἄξιον αὐτοῦ κτῆμα· | καὶ Χριστῷ μόνῳ προσῆκον. f. 111 ὃς καὶ αὐτὸν κατὰ τοὺς μεγάλους ἐκείνους αὐτοῦ μαθητὰς, τοὺς τῆς οἰκουμενικῆς πλάνης τὴν μάχην πιστευθέντας, ἐκ τοῦ κόσμου ἐξελέξατο· ὡς ἐκ τοῦ κόσμου καὶ αὐτὸν οὐκ ὄντα· οὐδ᾽ ὑπ᾽ αὐτοῦ φιλούμενον· οὐδὲ φιλοῦντα· οὐδ᾽ ἔχοντά τι κοινὸν πρὸς αὐτὸν· ἀλλ᾽ ἄσπονδόν τινα τὸν πόλεμον ἀνῃρημένον καὶ ἀκατάλλακτον πρὸς αὐτὸν· καὶ τὴν ὕλην· καὶ τὰς ἀρχὰς· καὶ τὰς ἐξουσίας καὶ τοὺς αὐτοῦ κοσμοκράτορας.

24. Ἐντεῦθεν λοιπὸν ἡ ἀναχώρησις αὐτῷ· καὶ ἡ πρὸς τὴν ἐρημίαν κοινωνία· καὶ καινὴ πολιτεία. ἐντεῦθεν ἡ ἀκτησία· καὶ ὁ μονήρης βίος καὶ ἄσκευος· καὶ πάντων ἀνεπίστροφος τῶν τῇδε· τοσοῦτο μόνον ἀντισπώμενος ἐνθάδε, καὶ τοῦτο διὰ τὴν ἐντολὴν, ὅσον ἐπιστροφῆς τι νέμειν τοῖς πατράσι καὶ αἰδοῦς· καὶ τῆς ὀφειλομένης ἐπιμελείας καὶ θεραπείας. ἐντεῦθεν αὐτῷ τὰ τρίχινα ῥάκη· καὶ αἱ ἀσιτίαι· καὶ χαμευνίαι· καὶ ἡ πᾶσα τοῦ σώματος στένωσις καὶ θλίψις· ἵνα μὴ βαρύνῃ τὸν νοῦν· μὴ δὲ κατισχύῃ καὶ κατασπᾷ· ἀλλ᾽ ὑπωπιαζόμενον μᾶλλον δουλαγωγῆται· τὸ σύζυγον ἐπίβουλον καὶ ἀεὶ κατεπανιστάμενον· καὶ οὐ προσενοχλῇ καὶ κόπτῃ· καὶ παρέχῃ τῷ νῷ πράγματα· πρὸς τοὺς ἐνθέους ἐκείνους ἔρωτας καὶ ὑψηλοὺς, αἰρομένῳ καὶ σπεύδοντι. ἐντεῦθεν αἱ σύντονοι ψαλμῳδίαι· καὶ πρὸς Θεὸν ἡμεριναί τε καὶ νυκτεριναὶ στάσεις· καὶ

5 τοκεῦσι V: τεκοῦσι BC **6** γίνεται VB: γίγνεται C | προτεθειμένου VB: προτιθεμένου C **15** ἄσπονδον V²BC : ἄσποδον V | ἀκατάλλακτον VC: ἀκατάλακτον B **24,6** τρίχινα VC: τρύχινα B **8** κατισχύῃ V¹BC: κατισχύει V **11** παρέχῃ V¹BC: παρέχει V

23,4–6 Id., Or. 43, 25, 4 (p. 180) **6–7** Greg. Presb, Vit. Greg. 5, 23 (p. 136) **13** Io. 8, 23 **13–14** Io. 17, 14 **16–17** Eph. 6, 12 **24,1–8** Greg. Naz., Or. 43, 61, 13–19 (p. 258) **4–5** Ex. 20, 12 **5–6** Greg. Naz., Or. 43, 25, 11–13 (p. 182) **9** I Cor. 9, 27 **13–19** Greg. Naz., Or. 4, 71, 19–21 (p. 184); Or. 8, 14, 6 (p. 276)

συνεχεῖς ὁμιλίαι· καὶ τὰ λόγια τοῦ Θεοῦ διαπαντὸς μελετώμενα. ἐντεῦθεν λόγοι μετρούμενοι, πρὸς τὴν ἀπαραίτητον ἑκάστοτε χρείαν· μᾶλλον δ᾽ ἔστιν ὅτε καὶ παντελῶς ἐγκλειόμενοι· καὶ ἀφωνίας κατάκρισις· καὶ χρόνοι σιγῆς· καὶ νοῦς ἐνεργῶν μόνος· καὶ φεύγων ὁλοσχερῶς τοῦ σώματος καὶ τῆς ἀνθρώπων κοινωνίας. ἐντεῦθεν τὸ καθάπαξ ἀνώμοτον αὐτῷ καὶ ὁ τούτου δι᾽ ὑποσχέσεως ὅρος, ἀσάλευτος ἐν ὅλῳ τῷ βίῳ· καὶ πᾶσι πράγμασι· καὶ τὰ τῆς εὐαγγελικῆς τελειότητος παραγγέλματα συμπληρούμενα. ἐντεῦ-
f. 111^{v} θεν ἡ τῶν θείων γραφῶν | ἔρευνα καὶ ἐξέτασις, μετὰ πάσης λοιπὸν ἀσχολίας· καὶ αἱ ἐν αὐταῖς ἀνορυττόμεναι πηγαὶ· καὶ τὰ καθαρὰ καὶ πότιμα τῆς διδασκαλίας δι᾽ ἐκείνου προχέουσαι δόγματα· καὶ τὸ ζωτικὸν ὕδωρ, ἐκείνῳ, καὶ διδόμενον καὶ μεταδιδόμενον· καὶ ποταμοὶ ῥέοντες ἐκ τῆς κοιλίας αὐτοῦ· τῆς δεχομένης αὐτοῦ διανοίας τὴν ἐκ τῶν ἱερῶν λογίων ἅπασαν χορηγίαν καὶ τροφὴν· καὶ καλῶς οἰκονομούσης τὴν ἐξ αὐτῆς νομὴν καὶ διάδοσιν, οὐχ ἱκανὴν μόνον, ἀλλὰ καὶ εἰλικρινῆ καὶ ἀλώβητον. ἐντεῦθεν καθόλου γε εἰπεῖν ἡ πᾶσα τῆς ἀληθοῦς φιλοσοφίας ἄσκησις· καὶ ἡ πρὸς τὴν ἀκλόνητον ἐκείνην καὶ ἄτρεπτον εὐδαιμονίαν παρασκευή· καὶ μὴ πρὸς τὴν ἐνθάδε τὴν ἀσθενῆ καὶ ὀλιγαρκῆ τε καὶ ῥέουσαν ὡς τοῖς ἔξω δοκεῖ· καὶ οἱ τοῦ καλοῦ χαρακτῆρες πάντες ἐνεργεῖς ἐπ᾽ αὐτοῦ· οὐ μόνον λόγοις τυπούμενοι, ἀλλὰ καὶ διὰ τῶν ἔργων ἀληθεῖς μάλιστα καὶ πιστοί· οἱ μὲν, καὶ πρότερον νόμιμοι καὶ ἤδη συνήθεις· οἱ δὲ, καὶ παρ᾽ αὐτοῦ καινιζόμενοι, καὶ τοῦ σύμπνου Βασιλείου καὶ πάντα ὁμόφρονος· ὃν ὥσπερ τῶν λόγων πρότερον, οὕτω δὴ καὶ τοῦ βίου τηνικαῦτα καὶ τῆς ἐρημίας, καὶ τῆς ἀκτησίας εἶχε κοινωνὸν καὶ συμμέτοχον· καὶ τῶν αὐτῶν ἁπάντων ἐραστὴν καὶ συνεργάτην καὶ σύμψηφον. καὶ τί γὰρ αὐτοῖς οὐ κοινὸν· καὶ πάντα τρόπον ἄρτιον, ὑπ᾽ ἀλλήλων βοηθουμένοις, εἰς τὴν τοῦ καλοῦ παντὸς κατανόησιν καὶ ἐνέργειαν; καὶ ἦσαν ὄντως ἐκεῖνοι οἱ κατὰ Θεὸν ἀδελφοί τε καὶ γνήσιοι κατὰ τὴν γραφὴν, ὡς πόλις ἐπ᾽ ὄρους ὀχυρά· καλῶς ἐπὶ τῷ λίθῳ τοῦ θεμελίου· τῆς νέας Σιὼν τῷ

19 ἀνώμοτον scripsimus: ἀνόμοτον VBC **24** προχέουσαι V^{2}BC: προέχουσαι V **25** ὕδωρ ἐκείνῳ VC: ἐκείνῳ ὕδωρ B **30–31** πρὸς τὴν ἀκλόνητον VB p. corr. C: πρὸς τὸν ἀκλόνητον B a. corr. **33** ἐπ᾽ αὐτοῦ V^{2}BC: ὑπ᾽ αὐτοῦ V **36** καὶ[1] om. C **42** καὶ ante κατανόησιν add. B

14 Ps. 118, 148 **19–20** cf. Mt. 5, 34; Iac. 5, 12 **22** Io. 5, 39 **26–28** Io. 7, 38 **43–44** Prov. 18, 19 **44–46** Is. 28, 16

ἀκρογωνιαίῳ καὶ ἐκλεκτῷ καὶ ἐντίμῳ προφητικῶς εἰπεῖν ἐρηρεισμένοι· ἢ τῇ τῆς ἀποστολικῆς διδασκαλίας πέτρᾳ, τῷ Χριστῷ, καὶ τοῖς ἐνθέοις ἐκείνου διατάγμασι, καὶ κειμένοις ὅροις, ἀσφαλιζόμενοι τὸν βίον καὶ συνέχοντες· καὶ εἶχεν αὐτοὺς, τοτὲ μὲν, ἡ Καππαδοκῶν· τοτὲ δὲ, Ποντικαί τινες ἀκρώρειαι· πρὸς τὸν αὐτὸν σκοπὸν ἐπειγομένους καὶ ἀνατρέχοντας.

25. Γρηγορίῳ μὲν οὖν |τῷδε τῷ θείῳ, ἡ πᾶσα πρόθεσις ἦν τῆς f. 112
ζωῆς, ἔχεσθαι τοῦδε τοῦ βίου. Βασίλειος δὲ ὁ μέγας, τῷ τῆς πατρίδος κλήρῳ δίδωσιν ἑαυτὸν καὶ τοῦ βήματος γίνεται· καὶ πᾶσι βαθμοῖς τῆς ἱερατείας κατὰ τάξιν προτελεσθεὶς, οὕτω δὴ λοιπὸν ἔπειτα, ἐν καθέδρᾳ πρεσβυτέρων αἰνεῖ τὸν Κύριον. καὶ ἦν μὲν οὐκέτι πω τὸν ὑψηλὸν τῆς ἐπισκοπῆς θρόνον, αὐτὸς ἐπέχων· τὸ πᾶν δὲ τῆς ἐκκλησίας σχεδὸν ἔχων καὶ ἄγων· καὶ τῆς τιμῆς ἄλλου κρατοῦντος, τὸ πλεῖστον ἐκεῖνος εἰσέφερε, τῇ λειτουργίᾳ τῆς ἡγεμονίας· καὶ φῶς ἦν τοῦ πληρώματος· ᾧ πάντες συνεμορφοῦντο· καὶ καλῶς εἶχον δρᾶν καὶ ὁρᾶν, καὶ ὁρᾶσθαι· καὶ ὅλως εἶναι κοσμίως· καὶ τῷ μεγάλῳ καὶ πρώτῳ· καὶ ἀληθινῷ φωτὶ τῷ φωτίζοντι πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον τῆς ἐκκλησίας αὐτοῦ, καταυγάζεσθαι. καὶ καθόλου γε εἰπεῖν, τύπος αὐτὸς ἦν καὶ κανὼν κατευθύνων τὲ καὶ καθιστάνων, τὴν τοῦ λαοῦ πᾶσαν οἰκονομίαν· λόγοις τὲ καὶ τοῖς καθ᾽ ἑαυτὸν ὑποδείγμασιν· ὧν τε ἔχεσθαι δεῖ· καὶ ὧν μὴ, προδεικνύων· καὶ τὸν τρόπον ὃν ἅπαντα ἔδει· καὶ οἷστισιν ὅροις καὶ μέτροις, νομοθετῶν· καὶ πρὸ τῶν ἄλλων, αὐτὸς χρώμενος· καὶ μέγα τὸ κλέος αὐτῷ, καὶ οἷον οὐκ ἄλλῳ· καὶ τοῖς ἁπάντων ὀφθαλμοῖς προύκειτο πρὸς αὐτὸν ἀφορᾶν· καὶ ταῖς γλώτταις εὐφημεῖν προύκειτο. τοὐντεῦθεν οἷα δὴ γίνεται, κἀνταῦθα τὸ πικρότατον τοῦ ἐχθροῦ κέντρον, συμβαίνει τίς φθόνου πληγή· κἀντεῦθεν διαφορὰ πρὸς αὐτὸν, τῷ τὸν θρόνον ἔχοντι τῆς ἐπισκοπῆς· καὶ φεύγων ὁ μέγας ἐκεῖνος τὴν μάχην ὡς δοῦλος

45 ἀκρογωνιαίῳ BC: ἀκρογονιαίῳ V **45–46** ἐρηρεισμένοι V p. corr.: ἐρηρεισμένη V a. corr. BC **49** ποντικαί τινες V: ποντικαὶ τινὲς BC **25,1** τῷδε V^{2}BC: ῷδε V (obl. rubr.) **10** ὅλως VB: ὅλω C **23** ὁ μέγας ἐκεῖνος V: ἐκεῖνος ὁ μέγας BC

46–47 I Cor. 10, 4 **48–50** cf. Greg. Naz., Carm. II, 1, 351 (p. 72) **25,5** Ps. 106, 32; Greg. Naz., Or. 43, 27, 6–7 (p. 188) **11–12** Io. 1, 9 **21–28** Greg. Naz., Or. 43, 28, 1–29, 14 (pp. 188–192)

Θεοῦ (οὐδὲ γὰρ ἦν πρὸς αὐτοῦ τὰ τῆς ἔριδός τε καὶ στάσεως), ἀποχωρεῖν δοκιμάζει τῆς πόλεως· καὶ τῆς προτέρας ἀντιποιεῖται συστολῆς καὶ μονώσεως· καὶ τῷ Πόντῳ πρὸς τὸν ὁμόπνουν αὐτῷ καὶ ὁμόψυχον ἐξαρχῆς καὶ τότε δὴ προσδραμὼν, ὁ μόνῳ Θεῷ ζῶν καὶ Γρηγορίῳ, κάλλιστα ἔδοξεν ἑαυτῷ χρήσασθαι καὶ τῷ καιρῷ.

26. Οὕτω μὲν οὖν ὁ μέγας ἐκεῖνος, διαφέρει τὴν ἐπιπεσοῦσαν f. 112ᵛ ζάλην, καὶ τὸν χειμῶνα τοῦτον | πρὸς τὸ λυσιτελοῦν, ὡς ἄρ' ἐκεῖνον ἔδει καὶ οἷον τ' ἦν τεχνικῶς κυβερνῆσαι καὶ καταστήσασθαι. οὕτω δὲ καὶ ὁ θεῖος οὗτος Γρηγόριος· καὶ φίλος ὄντως αὐτῷ πιστὸς, λιμὴν ἀναψύξεως γίνεται προσδραμεῖν· καὶ μαγνῆτις εἰς ἑαυτὸν ἕλκων· καὶ τοὺς τῆς ἡσυχίας καρποὺς, τὸν ὁμοπαθῆ καὶ ὁμόπνουν τὲ καὶ ὁμόφρονα· καὶ μνήμης κέντρον εἰς φιλοσοφίαν· καὶ τοσοῦτο μάλιστα ἐπὶ τῆς δυσχερείας ταύτης, ἀρετῆς παρεμπόρευμα· καὶ πάνυ τοι χρήσιμος ὑπὸ τῆς ἀθυμίας πολεμουμένῳ· καὶ κραταιὰ σκέπη· καὶ ὠχυρωμένον βασίλειον διενεγκεῖν τὴν ἐκ τοῦ πονηροῦ ταύτην ἔφοδον καὶ πάλην ἐπ' ἀσφαλοῦς· μᾶλλον δὲ καὶ θησαυρὸς κεκρυμμένος· καὶ κῆπος κεκλεισμένος καὶ πηγὴ ἐσφραγισμένη κατὰ καιρὸν ἤδη σαφῶς ἐπὶ τῆς χρείας ταύτης, κάλλιστα καὶ ἀνοιχθέντα καὶ μεταλαμβανόμενα. καὶ τί γε οὐ τῶν βελτίστων αὐτῷ γίνεται; παρήγορος· ἀλείπτης εἰς φιλοσοφίαν καὶ καρτερίαν· ἀλείπτης εἰς τοὺς τῆς ἀρετῆς ἄθλους· συναγωνιστὴς προθυμότατος· ζήλῳ καὶ παραθήξει πρὸς τὰ κάλλιστα φλέγων τὲ καὶ φλεγόμενος. καὶ μὴν, εἰ τὴν φιλικὴν ταύτην ἑτοιμότητα καὶ χρῆσιν· καὶ τὴν εἰς τὸ καλὸν συνεργίαν τὲ καὶ βοήθειαν· καὶ ὅλως τὴν τῆς ἐρημίας καὶ μονώσεως ταύτης εὔστοχον καὶ θαυμασίαν οἰκονομίαν· καὶ σοφὴν αἵρεσιν· καὶ τῶν πραγμάτων ἀποφυγὴν εἰς τὸν φίλτατον ἐπαινοῦμεν, καὶ ἡδέως ἀκούομέν τε καὶ λέγομεν, πολλῷ μάλιστα θαυμασόμεθα τὴν ἐκεῖθεν αὖθις ἀποχώρησιν· καὶ πρὸς τὴν πόλιν καὶ τὰ πράγματα καὶ τὸν κόσμον ἐπάνοδον· καὶ τὸν εἰς τοῦτο πτερωτὴν· καὶ τὴν τῆς ὑποθέσεως ἀνάγκην ἐξάπτοντα· καὶ

24 τὰ τῆς ἔριδός VB: τὸ τῆς ἔριδος C **27** ἐξαρχῆς V: ἐξ ἀρχῆς BC **26,4** φίλος ὄντως V¹BC: φίλος V **7** μνήμης V²BC: μνήμη V **11** δὲ V² s.l. **12** κεκρυμμένος VC: κεκρυμένος B **15** καὶ ante εἰς φιλοσοφίαν add. C **18** φιλικὴν V² e corr. **19** συνεργίαν VB: συνεργείαν C

26,4–5 Id., Or. 11, 1, 7 (p. 328) **12–13** Cant. 4, 12

αὐτὸν συνέκδημον πρόθυμον· τὸν πρὶν ἀτρέπτως κἂν πάντα γίγνοιτο, τοῦ καλοῦ τῆς ἡσυχίας οὐκ ἐξιστάμενον· Γρηγόριον τὸν πάνσοφον τόνδε καὶ πάντ᾽ ἄριστον ἐπιστήμονα, καὶ τῆς φιλίας καὶ τοῦ καλοῦ. εἰ δὲ βούλοιτό τις καὶ ἀμφοτέρους ἔξεστι μάλιστα θαυμάζειν, τὸ προσῆκον ἀλλήλοις ἀποδιδόντας· | τὸν μὲν, ἐπ᾽ f. 113 ἀμφότερα προτρεπόμενον· καὶ προδεικνῦντα· καὶ κινοῦντα κατὰ καιρὸν· καὶ ὡς οὐκ ἔξεστι οὐδ᾽ ἄν τις ᾠήθη βέλτιον· τὸν δὲ, πειθόμενον, εὖ μάλα θαυμασίως· καὶ ἀφιλοτίμως· καὶ τῶν παθῶν ἔξω τῆς φύσεως· ἃ κατάγχει πολλάκις καὶ καταστρέφει· καὶ περιτρέπει τοὺς ὀρθοὺς λογισμούς· καὶ τῶν πάντα καρτερῶν τὴν διάνοιαν. δηλωτέον δὲ ἤδη.

27. Νόσημα δεινὸν κατεῖχε τότε τὴν ἐκκλησίαν Χριστοῦ καὶ τὸ μέγιστον ταύτης καὶ κάλλιστον σῶμα, κατεδαπάνα· καὶ κατεβόσκετο· τὸ δυσσεβὲς δόγμα τῆς Ἀρείου μανίας· καὶ τῶν ἐξ ἐκείνου· καὶ πᾶσαν ὑπερβάλλον κακοδοξίαν· μᾶλλον δ᾽ ἡ πάσης σχεδὸν κακοδοξίας καὶ ἀσεβείας ἀρχὴ, καὶ πρώτη πηγή· καὶ ἀνάδοσις βορβορώδης· καὶ παντὸς μολυσμοῦ· καὶ πάσης ἀσχημοσύνης καὶ βδελλυρίας· καὶ ἐρεσχελίας περὶ τὰ θεῖα τὰς ἀρχὰς δοῦσα, καὶ καινοτομήσασα· οἱ τὰς μεγίστας καὶ ἀρρήτους ἐκείνας λέγω συκοφαντίας, κατὰ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ κατατολμήσαντες· οἱ τῆς θεϊκῆς ἀξίας αὐτοῦ καὶ δεσποτείας κατεξαναστάντες· καὶ κατατέμνειν καὶ ἀλλοτριοῦν ἑαυτοῦ τὸ τῆς θεαρχικῆς ἀπροσίτου Τριάδος, ἓν καὶ ὁμοδύναμον· καὶ ὁμοφυὲς κράτος ἐπιχειρήσαντες· καὶ τὸν τοῦ μεγάλου καὶ ἀοράτου πατρὸς Υἱὸν ἀληθινὸν, ἐν ᾧ ἐσμὲν, ὡς Ἰωάννης ὁ θεῖος φησὶ, τὰ ἀποστατικὰ ταῦτα καὶ δυσνούστατα τῆς αὐτοῦ δεξιᾶς δημιουργήματα, νόθον· καὶ παρέγγραπτον· καὶ σοφιστικῶς τῶν μὴ προσηκόντων ἀντιποιούμενον (ὢ τῆς τοσαύτης ἀναιδοῦς καὶ γνώμης καὶ γλώττης), βλασφημήσαντες· καὶ τὴν πατρικὴν ἀφελόμενοι δόξαν, καὶ ὡς θεὸν πρόσφατον τιμᾶν αὐτὸν ἀξιοῦντες, οἱ παρὰ τῶν παλαιῶν ἐκείνων καὶ θείων λόγων,

34 πολλάκις V^1BC: πολάκις V **27,1** τότε V^2 e corr. **7** βδελλυρίας V, servavimus: βδελυρίας BC

27,1–24 cf. Greg. Naz., Or. 25, 8, 20–24 (p. 176) **14** I Io. 2, 5 et 5, 20 **19–20** cf. Ps. 80, 10

τὴν ἀπαγόρευσιν τούτου νομοθετηθέντες. τοῦτο τοίνυν τὸ πάνδεινον καὶ θρασύτατον τόλμημα, τῆς Αἰγύπτου μὲν τὴν ἀρχὴν ἐξέφυ· f. 113v καὶ τὴν ῥίζαν ἐκεῖθεν ἔσχε· κατεπανέστη δὲ σχεδὸν πάσης | τῆς οἰκουμένης· καὶ λυμαίνεσθαι καὶ κακουργεῖν ἐπεβάλετο· καὶ χώραν ἔδωκαν αὐτῷ μεγίστην καὶ δυναστείας πάροδον, οὐχ οἱ τοῦ κακοῦ μόνον κληρονόμοι τῶν ἐκκλησιῶν ἡγεμόνες· καὶ τὸ πονηρὸν τόδε κύημα κάκιστα θρέψαντες καὶ ἐπαυξήσαντες· οἱ τοῦ χριστωνύμου λαοῦ τροφεῖς καὶ κακοὶ σιτοδόται· καὶ θολερὸν καὶ πικρὸν αὐτοὺς πόμα ποτίζοντες· καὶ τὸν οἶνον αὐτοῖς καπηλεύοντες, ἀλλὰ καὶ οἱ τοὺς ὑψηλοὺς τῆς βασιλείας κατέχοντες θρόνους· καὶ τὸ κατὰ πάντων κράτος· ὅσοι καὶ προσεδέξαντο καὶ διεδέξαντο τὸ τοσοῦτο τόλμημα, καὶ κρατύνειν ἐφιλονείκησαν. ὧν ὁ θηριώδης ἐκεῖνος καὶ παρανόμως τῆς ἀρχῆς καθυβρίσας Οὐάλης, τὴν ἐν τοῖς κακίστοις νίκην αὐτὸς φιλοτιμησάμενος μάλιστα λαβεῖν· καὶ πάντας ὑπερβαλέσθαι, τί μὲν οὐ διενοήθη, τί δὲ οὐκ ἐτόλμησε, τί δὲ οὐ κατεπράξατο πρὸς καταστροφὴν τοῦ τῆς εὐσεβείας ὀρθοῦ δόγματος, καὶ τῶν αὐτοῦ προστατῶν καταπολέμησιν; ποίας δὲ ἐκκλησίας· ποίας δὲ ἐπαρχίας οὐ κατέδραμε, καὶ λόγοις· καὶ θωπείαις· καὶ ἀπειλαῖς καὶ κολάσεσι· καὶ παντοίοις μηχανήμασιν ἐπηρείας, κατασείων τὴν καλῶς ὑπὸ τῶν ἀποστόλων καὶ προφητῶν, οἰκοδομηθεῖσαν ἀληθῆ πίστιν· καὶ τοὺς ἀντεχομένους αὐτῆς ἐκπολιορκῶν; μία δὲ ἔφοδος αὐτῷ καὶ προσβολῶν μεγίστη, καὶ μεθ' ὅτι πλείστου καὶ τοῦ θράσους καὶ τῆς ἀκμῆς, καὶ κατὰ ταύτης τῆς τῶν Καππαδοκῶν ἐπαρχίας καὶ μητροπόλεως· καὶ τὸν καιρὸν καθ' ὃν μάλιστ' ἔδοξε, τοῦτο λυσιτελέστατον εἶναι, τοῦ ταύτης ποιμαντικῶς προεστῶτος Εὐσεβίου, τὴν μεγίστην καὶ γλῶτταν Βασιλείου καὶ συμμαχίαν, εἰς τοὺς ἀγῶνας ἐπιβουλῇ τοῦ πρώτου καὶ ἀφανοῦς πολεμίου τὲ καὶ κακούργου τότε ζημιωθέντος, ὡς ἄρα φθάσας ὁ λόγος δηλοῖ· κἀντεῦθεν σφόδρα σαθρῶς ἔχοντος· καὶ ὡς ἄν, τοῖς ἐχθροῖς καθ' ἡδονήν τε καὶ εὐεπιχειρήτως.

23 ἔσχε V p. corr. BC: ἔσχεν V a. corr. | σχεδὸν πάσης V: πάσης σχεδὸν BC **25** οὐχ V: οὐχ' BC **31** πάντων VB: παντὸς C a. corr. **35** ὑπερβαλέσθαι V[2] e corr. **37** δὲ V[1] in marg. **38** δὲ ἐπαρχίας VB: δ' ἐπαρχίας C **50** τε om. B

25–26 Greg. Naz., Or. 43, 31, 7 (p. 194) **28–29** cf. Hab. 2, 15 et Is. 1, 22 **45–50** Greg. Presb., Vit. Greg. 9, 2–5 (p. 148)

28. Ἀλλ᾽ ἐν τούτοις ἄρα τοῖς καιροῖς καὶ τοῖς πράγμασιν, ὁ πολὺς ἐκεῖνος | τῆς ἡσυχίας ἐραστὴς Γρηγόριος· καὶ τἆλλα πάντα f. 114 παρωσάμενος καὶ ἀπαξιώσας ἑαυτοῦ· ὡς ὕλης τυραννίδα· καὶ κακίας δεσμούς· δόξαν· πλοῦτον ἀρχάς· τρυφὴν πᾶσαν κολακείαν σώματος· πᾶσαν πολιτείας ῥαστώνην· ἑταιρείας· συμπόσια· φιλοτιμίας· φιλονεικίας· συνασπισμούς· συντάγματα· κοινωνίας· μάχας· νίκης καὶ πρωτείων· καὶ φιλαυτίας ἁπάσης σπουδήν· καὶ πάντα δὴ ταῦτα καὶ ὅσα παραπλήσια, καθάπαξ ὅλῃ φορᾷ· καὶ δρόμοις ὅλοις φυγών, καὶ μόνον ἐπ᾽ ἐρημίας Θεὸν ζητῶν, καὶ τὸν καλὸν ἐκεῖσε μαργαρίτην εὐαγγελικὸν ἢ θησαυρὸν εὑρών τε καὶ ἀντὶ πάντων ἐμπορευόμενος, τί λοιπὸν ἐνταῦθα διανοεῖται καὶ τί δρᾷ; ἆρ᾽ ἐπὶ τῶν προτέρων ἄτρεπτος ἵσταται λογισμῶν, ἆρα τῆς κοινῆς ζημίας τὰ οἰκεῖα κέρδη προτίθησιν, ἆρα τὸ καθ᾽ ἑαυτὸν ἀσφαλές, οὐ τὴν ἐπικίνδυνον τῆς ἐκκλησίας ἐν τοσούτῳ πολέμῳ προστασίαν προκρίνει, ἆρα τὸν τῶν πολλῶν κλύδωνα παρορᾷ, τὸ ἄπραγμον ἑαυτῷ παντάπασι μόνον, ἐπ᾽ ἀχειμάστου τῆς ἐρημίας λιμένος καὶ τὴν οἰκείαν εἰρήνην οἰκονομῶν, ἢ μάλιστα καρτερεῖν οὐ δύναται, καὶ γαλήνην ἐπὶ τούτοις ἔχειν τῶν λογισμῶν, καὶ τὴν τῆς πίστεως οὐ φέρει καταστροφήν, οὐδ᾽ ἀνέχεται· μὴ προμαχεῖν αὐτῆς μὴ δὲ βοηθεῖν· εὖ μάλα βοηθεῖν τε καὶ προμαχεῖν αὐτῆς οἷος τε ὤν, καὶ τοῦτο κάλλιστα συνορῶν αὐτός; τοιγαροῦν οὐ ζήλῳ μᾶλλον ὑπὲρ τοῦ καλοῦ κινδυνεύοντος προδήλως οὕτω, φλέγεται καὶ ῥήγνυσι τὴν μάχην· καὶ παντάπασιν ἄοκνος ἐπιτρέχει, ἀλλὰ καὶ καιρὸν ἀμέλει παντὸς εἶναι πράγματος· νομοθετοῦντι τῷ Σολομῶντι πειθόμενος, καὶ καιρὸν εἰρήνης· καὶ καιρὸν τοῦ πολεμεῖν ἀνθαιρεῖσθαι, καὶ τὸν μάλα εἰρηνικὸν καὶ ἀπράγμονα, νῦν ἐνταῦθα πολέμου καὶ μάχης καιρόν, ἄφυκτον λογισάμενος, ὡς οὐκ οἶδ᾽ εἴ ποτε ἄλλοτε, ἢ περὶ ἄλλου του τῶν ἁπάντων πραγμάτων, αὐτίκα ὁπλίζεται. καὶ τὸν θώρακα τῆς πίστεως· | καὶ τὴν f. 114v περικεφαλαίαν περιβαλόμενος· καὶ τὴν μάχαιραν ἀναλαβὼν τοῦ Πνεύματος· ὅ ἐστι ῥῆμα Θεοῦ καὶ ταῖς ἐκ τῶν θείων γραφῶν

28,13 προτίθησιν V p. corr. BC: προστίθησιν V a. corr. **24** τῷ om. B **30** περιβαλόμενος BC: περιβαλλόμενος V

28,9–11 Mt. 13, 45 **10–11** cf. Greg. Naz., Or. 6, 5, 2–5 (p. 132) **23–26** Eccl. 3, 1–8 et Greg. Naz., Or. 22, 15, 1–7 (p. 252) **23–24** Greg. Naz., Or. 43, 31, 23–28 (p. 196) **30–31** Eph. 6, 17

ἐπιμελῶς ἑαυτὸν καταφράξας παρασκευαῖς, φέρων δίδωσιν ἑαυτόν τε καὶ τὴν γλῶτταν· καὶ τὴν ἑαυτοῦ συμμαχίαν αὐτόκλητος τῇ πατρίδι πρὸς τὸν ἐπιπεσόντα πόλεμον αὐτῇ· καὶ τοὺς ὑπὲρ τῆς εὐσεβείας ἀγῶνας, καὶ οὐ τοῦτο μόνον καίπερ ὂν τοσοῦτο, καὶ ὅπερ ὁ τότε προστάτης τῆς ἐκκλησίας· πάντων τῶν κατ᾽ αὐτὸν ἄλλων πρόθυμος ἠλλάξατ᾽ ἄν, ἀλλ᾽ (ὢ τῆς ἐπιθήκης· ὢ τῆς ἐπιδόσεως· ὢ τῆς μεγαλοψυχίας· καὶ περὶ τὴν εὐσέβειαν ἀπλήστου φιλοτιμίας τὲ καὶ σπουδῆς· ὢ τῆς μεγάλης μάλιστα φιλαδελφείας), καὶ τὸν αὐτῷ φίλτατον καὶ ὁμόπνουν· καὶ διαφερόντως τῆς πίστεως κοινωνὸν Βασίλειον, ἐπαίρει πρὸς τὸν ἀγῶνα· καὶ πτεροῖ τὸν εἰς τὰ βέλτιστα πάντων ἑτοιμότατον· καὶ συναγωνιστὴν ποιεῖται πρόθυμον καὶ συνέκδημον, λόγοις παρακλητικοῖς τὸν αὐθόρμητον· λόγοις εὖ μάλα διαιροῦσι τὴν ἀωρίαν τῆς μικροψυχίας, τῶν ὑπὲρ τῆς εὐσεβείας ἀπαραιτήτων πολέμων· καὶ διὰ τὴν τοῦ πράγματος ἀκμὴν, πᾶσαν ἀθυμίας, εἰ δέ τις βούλεται καρτερίας ὑπόθεσιν· καὶ ἀφορμὴν, περιφρονεῖν ἐκεῖνον πείθουσι· τὸν οὐδὲν ἧττον ταῦτα μετροῦντα καλῶς· καὶ λογιζόμενον πάσης ἀσχολίας· καὶ πάσης ἄλλης ἐπηρείας καὶ κρίσεως, ἀναγκαιοτέραν τὴν πίστιν καὶ τὴν τῆς ἐκκλησίας ἀσφάλειαν.

29. Οὕτως οὐκ ἠνέσχετο Γρηγόριος ἑαυτοῦ μόνου ποιήσασθαι τοὖργον· οὐδ᾽ ἥρπασεν αὐτὸς τὴν ὑπὲρ Χριστοῦ μάχην καὶ τοὺς ἐπ᾽ αὐτῇ στεφάνους παρὰ Χριστοῦ· οὐ τοὺς μεγίστους ἀγῶνας, οὐδὲ τὰ ἔπαθλα· οὐδ᾽ ἤνεγκε ζημιῶσαι οὐ μᾶλλον γε τὴν ἐκκλησίαν τοσούτου προμάχου ἢ ἐκεῖνον τοσούτου πράγματος τῶν ὑπὲρ Χριστοῦ κινδύνων· ἀλλ᾽ «ἰδού» φησιν «ὁ ἀδελφός μου· ἰδοὺ ὁ ὡραῖος μου· ὁ καθ᾽ ὥραν πάντα καὶ σὺν λόγῳ καὶ μέτρῳ κινούμενος· καὶ τὴν μικροψυχίαν οὕτως οἰκονομῶν· καί γε | [f. 115] πᾶσαν αὖθις μικροψυχίας ἀφορμὴν, καιροῦ καλοῦντος ῥᾶστα παρωθούμενος»· καὶ «ποῦ κοιτασθῶμεν ἐν μεσημβρίᾳ ἐν ἀκμῇ τοσούτου πράγματος καὶ ζέσει φλεγούσῃ, τῆς ἐκκλησίας καὶ τοῦ κηρύγματος τοῦ Χριστοῦ· τοῦ πῦρ ἐπὶ τῆς γῆς ἐλθόντος βαλεῖν, καὶ τὰς τῶν

36 τῶν om. B **38** ἀπλήστου V[1]BC: ἀπλείστου V **39–40** φιλαδελφείας V: φιλαδελφίας BC **49** καὶ κρίσεως V: ἢ κρίσεως BC **29,8** οὕτως VB: ὄντως C

41 cf. Greg. Presb., Vit. Greg. 9, 8–13 (p. 148) **29,6–7** Cant. 1, 16 **10–11** Ibid. 1, 7 **12** Luc. 12, 49

ὑποδεχομένων καρδίας ἐξάπτοντος;». ἐντεῦθεν ὁμοῦ γίνονται καὶ παραγίνονται τῇ ἐκκλησίᾳ· καὶ τῷ ταύτης ἀπροσδοκήτως προστάτῃ· δυσχερῶς ἔχοντι καὶ λίαν ἐπικινδύνως· καὶ πνεῦμα ζωῆς καὶ ἰσχύος αὐτῷ γίγνονται· καὶ τῷ κατ' αὐτὸν παντὶ συστήματι· συντάττονται· παρατάττονται· προΐστανται τοῦ παντὸς πολέμου· προμαχοῦσιν αὐτοὶ τοῦ ποιμένος καὶ τῆς πατρίδος· μᾶλλον δὲ τῆς κοινῆς πίστεως· γενναίως ἀποκρούονται τοὺς ἐχθροὺς· περιγίγνονται· τρέπουσι νῶτα σφίσι διδόναι· ὠθοῦσιν ἀπ' αὐτῶν τοὺς κατασχεῖν ἐπιβαλομένους καὶ δουλώσασθαι, κατακράτος ἡττημένους καὶ ὑποχωροῦντας· καθόλου γε εἰπεῖν νίκην ἀπὸ τῶν ἀθέων περιφανῆ καὶ τρόπαιον, ἱστῶσι τῇ καλῶς αὐτοὺς ἐνεγκούσῃ καὶ θρεψαμένῃ Χριστοῦ ἐκκλησίᾳ.

30. Τί τὸ ἐντεῦθεν; ὁ μὲν δὴ καταχώραν αὐτόθι μένει· ἡδύς τε λοιπὸν καὶ ὁρώμενος· καὶ ὁρῶν καὶ συνών, τῷ πρότερον ἀηδῶς πρὸς αὐτὸν ἔχοντι ποιμένι τῆς ἐκκλησίας· καὶ τὸ προσῆκον ἅπαν ἀποδιδοὺς, οὐκ αὐτῷ μᾶλλον, ἢ ἑαυτῷ· ἢ μὴ δὲ τούτῳ μᾶλλον, ἢ τοῖς νόμοις αὐτοῖς καὶ τῇ τοῦ Χριστοῦ ἐκκλησίᾳ. Γρηγόριον δὲ αὖθις εἶχεν ἡ ἐρημία· καὶ οἱ πρὶν ἡσυχίας ἔρωτες· καὶ ὅλος ἦν τῆς πρώτης ἐκείνης ἀναχωρήσεως καὶ προθέσεως· καὶ τῶν τῆς μονώσεως ἀγώνων· καὶ βιοτῆς ἀθορύβου· καὶ πραγμάτων ἔξω· μόνῳ προσανεχούσης Θεῷ. καὶ τοσοῦτον ἀποστὰς τοῦ δρόμου τούτου καὶ τοῦ σκοποῦ, οὐχ ὅσον ὁδοῦ φασι πάρεργον, τοσοῦτον ἀγώνισμα καταπράξασθαι, καὶ μέγιστον ἐμπορεύσασθαι κἀντεῦθεν τὸ κέρδος, ἀλλ' ὡς οὐκ ἄλλως ἐνὸν οὐδὲ κατὰ χώραν ἔχειν, καὶ τὴν τῆς εὐσεβείας προστασίαν, καὶ τοὺς ὑπὲρ αὐτῆς πολέμους τὲ καὶ κινδύνους, ἀναγκαιότατον τοῦτο γε μάλιστ' ὄν, | καὶ οὐκ ἀκίνδυνον παρατρέχειν καὶ παραιτεῖσθαι, τῶν αὐτῶν καὶ αὖθις ἔπειτα καὶ λογισμῶν ἦν καὶ πόνων· καὶ λιπεῖν τὴν τάξιν οὐ φέρει· ἣν f. 115v

13 ἐντεῦθεν V²BC: ντεῦθεν V (obl. rubr.) **20** περιγίγνονται V: περιγίνονται BC **30,1** καταχώραν V: κατὰ χώραν BC **3** πρὸς αὐτὸν ἔχοντι V: ἔχοντι πρὸς αὐτὸν BC | ἅπαν VB: ἅπασαν C **4** μᾶλλον¹ V² e corr. **6** οἱ V² s.l. **11** καταπράξασθαι VC: καταπράξεσθαι B | κἀντεῦθεν V² e corr. **14–26** ἀναγκαιότατον – κινδύνους om. C **14** γε V² s.l.

15–16 Is. 11, 2 **18–23** Greg. Presb., Vit. Greg. 9, 15–17 (p. 148) **30,1–2** Greg. Naz., Or. 38, 18, 23–24 (p. 148) **6–7** Id., Or. 2, 6, 9–10 (p. 94) **10–11** cf. Id., Epist. 70, 2 (p. 90); Plut., Thes. 9, 2 (p. 8, 12)

φθάσας εἵλετο καλλίστην ὡς ἑαυτὸν ἔπειθε. ὢ τῆς πρώτης ὑψηλῆς ἐκείνης διανοίας καὶ κρίσεως· ὢ τῆς ἐπ᾽ αὐτῇ γεννικῆς ἐπιμελείας καὶ συντονίας· ὢ τῆς ἐπ᾽ αὐτῇ μονῆς τῶν λογισμῶν, ἀσαλεύτου τὲ καὶ ἀτρέπτου πάντων πραγμάτων· ὢ τῶν δευτέρων κρειττόνων· καὶ τῆς ἀφορήτου ζημίας τῆς εὐσεβείας. ὢ τῆς ἀδοκήτου μὲν· ἀλλ᾽ ἐγκαίρου σφόδρα τροπῆς· ὢ τοῦ μεγάλου φρονήματος· καὶ τῆς θερμοτάτης ἐκείνης, εἰς τὰ πράγματα καὶ τὴν μάχην ὁρμῆς ἀντὶ τῆς ἐν χερσὶν ἀπραγμοσύνης καὶ εἰρήνης. ὢ τῆς ἑκουσίου μὲν καὶ αὐθορμήτου· ἀλλ᾽ ἀναγκαίας τὲ καὶ ἀπαραιτήτου προσχωρήσεως εἰς τοὺς ὑπὲρ τῆς εὐσεβείας πολέμους καὶ τοὺς κινδύνους διὰ τοὺς ἐμπεσόντας μεγίστους περὶ τὴν πίστιν τῇ πατρίδι καὶ τοσαύταις ψυχαῖς, κινδύνους. ὢ μάλιστα τῶν ἐπὶ τοῖς πόνοις τῆς ἡσυχίας, ἔπειτα καλλίστων ἐπάθλων τούτων, αὐτὸ δὴ λέγω τὸ προστῆναι καὶ προπολεμῆσαι τῆς ἀληθείας, καὶ τυχεῖν οὕτω μεγίστου πράγματος, τῶν ὑπὲρ Χριστοῦ παλαισμάτων. ὢ τῆς περὶ τὴν μάχην ἀνδρίας· ὢ τῆς νίκης· ὢ τῆς μετὰ τὴν νίκην ἐπανόδου, πρὸς τὴν προτέραν, οὐκ οἶδ᾽ ὅ,τί ποτ᾽ ἄν, εἴποιμι συντονίαν εἰς τοὺς τῆς ἀρετῆς καμάτους, ἢ φίλην αὐτῷ ῥαστώνην.

31. Ἀλλ᾽ ὅ με μικροῦ παρέδραμεν ἄν, καὶ προστίθησι νῦν ὁ λόγος, εἴχετο μὲν ὁ μέγας ἐξαρχῆς ἄτρεπτος τῆς ἀποχωρήσεως τῶν πραγμάτων ἐπιποθήτου· καὶ ὁ λογισμὸς αὐτῷ μάλα καρτερὸς ἦν, εἰς τὴν πρόθεσιν ἀεί· οὐ συγχωρεῖται δ᾽ ὅμως τὴν ἡσυχίαν εἰς τέλος· καὶ τὴν ἀπόκρυψιν καὶ ἀποφυγὴν ἑαυτοῦ· οὐδὲ κλέψαι τοῦ βίου καθάπαξ ἑαυτόν, τὸ τοσοῦτο κοινὸν ὄφελος (ἢ ποῦ τοῦτο δίκαιον ἦν;), τὸ δ᾽ ὅπως ἐκεῖθεν τέμνεται, δηλοῦμεν ἤδη. ἐπόθει
f. 116 μὲν ὁ πατὴρ αὐτῷ τὸν τοσοῦτον τῶν ἀγαθῶν θησαυρόν, | ἀφανείᾳ μὴ κρύπτεσθαι· καὶ τὸ μὴ τυχεῖν αὐτὸν παρρησίας ἐζηλοτύπει· μὴ δ᾽ εἰς χρῆσιν τὴν προσήκουσαν ἐλθεῖν· ἤρα τὲ σφόδρα, μὴ περικαλύπτεσθαι τὸ φῶς ὑπὸ τὸν μόδιον· ἀλλ᾽ ἐπὶ τὴν λυχνίαν τεθῆναι καὶ καταλάμψαι περιφανῶς ἐν μέσῳ ψυχὰς ἀνθρώπων ἀληθείας

18 ἐπ᾽ αὐτῇ V p. corr. B: ἐπ᾽ αὐτῆς V a. corr. **22** ἐγκαίρου V^{2} e corr. **24** τε post ἀπραγμοσύνης add. B **31,2** ἐξαρχῆς VC: ἐξ ἀρχῆς B **4** τὴν^{1} om. C **9** αὐτὸν om. C **10** χρῆσιν VB: κρίσιν C **11** ὑπὸ VB: ἐπὶ C

31,10–11 Mt. 5, 15 **12–13** cf. Io. 1, 9 et Os. 10, 12

φωτὶ καὶ γνώσεως. καὶ τοίνυν ἐπειρᾶτο μὲν ἐκ πολλοῦ, προσάγων εἰς τὴν ἱερατείαν τὸν ἄνδρα· καὶ σφόδρα εἷλκε παντὶ καὶ λόγῳ καὶ πράγματι· καὶ μὴν καὶ πατρικῇ χρώμενος ἔστιν οὗ τῇ ἐξουσίᾳ καὶ αὐστηρίᾳ, πρὸς τὸ δοκοῦν βέλτιστον· ὃ δ' ἀντέβαινε τέως εὖ μάλα προκρίνων κατὰ τὴν ἐξ ἀρχῆς γνώμην. ἐντεῦθεν πατρικὴ δυναστεία· καὶ πρᾶγμα μάλιστα ἐπὶ τῆς ἐκείνου γνώμης καὶ κρίσεως ἰσχυρὸν· ἐκεῖθεν διανοίας οἰκείας αἵρεσις· καὶ πόθος ἄσχετα φλέγων· καὶ μέσος ἐκεῖνος ἀμφοῖν ἑστὼς, ἑκατέρωθεν ἀνθείλκετο· καὶ οὐκ εἶχεν ὅ,τι χρήσεται· οὐδ' ὅτῳ δοίη τὸ πλέον· οὐδ' ὅποι πρόσθειτο· αἰδοῖ πατρικῇ καὶ νόμοις φύσεως, ἢ λογισμοῖς οἰκείοις καὶ τοῖς πάλαι καλῶς δόξασι, καὶ συνηθείᾳ μετ' ἔρωτος. νικᾶται δ' ὅμως ποτὲ· καὶ παρεὶς τὰ δοκοῦντά οἱ μάλιστα, κλίνει τὸν αὐχένα τῇ πατρικῇ βουλήσει καὶ τῇ χειροτονίᾳ· καὶ τὴν τοῦ πρεσβυτέρου δέχεται τιμὴν· καὶ πείθεται καλοῦντι τῷ Πνεύματι, τὸ πάντα χρήσιμον ἐκείνῳ πρὸς λειτουργίαν σκεῦος· καὶ λογικὸν ὄργανον ᾗπερ ἂν ἄγοι· καὶ πρὸς τὴν ἐκεῖθεν ἀρχὴν κινούμενον. οὐ μὴν ἀλλὰ πάσχει τι τηνικαῦτα, τοῖς ἁπαλοῖς πτόρθοις παραπλήσιον· οἳ βίᾳ κλινόμενοι πρὸς ἀήθη θέσιν, ἀφιέμενοι πάλιν, ἐπὶ τὴν εἰωθυίαν καὶ φίλην ῥοπὴν, φεύγουσι καὶ μεταφέρονται. ὡς δὴ κἀκεῖνος τότε, πείθεται μὲν τῇ βίᾳ· καὶ δέχεται τὴν ἱερωσύνην· τῶν δὲ συνήθων αὖθις ἦν καὶ πόθων καὶ λογισμῶν, καὶ περὶ τὰς ἡσύχους ἐπείγεται πάλιν διατριβὰς, πρὸς τὴν τοῦ βίου καινοτομίαν, ὡς εἰκὸς τὴν ἀρχὴν δυσχεραίνων.

32. Καὶ τοῦτο μὲν οὕτως ἔσχεν. ὁ δέ γε πατὴρ οὐκ ἀηδῶς τὴν φυγὴν φέρει τοῦ μέλλοντος ἐλπίδι· καθάπερ οἱ τοὺς ἁπαλοὺς τῶν ἵππων | ἢ τῶν βοῶν· καὶ συντρόφους τέως ἐλευθερίᾳ, δεσμοῖς f. 116^{v} ἱμάντων ἐκ τῶν αὐχένων πεδήσαντες καὶ συσχόντες, νομίζουσιν ἔπειτα πρὸς τὸ ἄηθες· καὶ τὴν δουλείαν αὐτὴν ἀφηνιάζουσιν· καὶ βιαζομένοις, ἐφιέναι προσβραχὺ καὶ ὑποχαλᾶν, ἵν' αὖθις κατ' ὀλίγον ῥᾳδίως ὑποποιήσωνται, τοὺς ἐφάπαξ δεσμίους· καὶ τέχνῃ

17 ἐξ ἀρχῆς V: ἐξαρχῆς BC **21** ἀνθείλκετο V^2 e corr. | ὅτῳ VC: οὕτω B **34** τὰς V^2 s.l. **32,2** τοῦ V^2 e corr. **6** προσβραχὺ V: πρὸς βραχὺ BC **6–7** κατ' ὀλίγον VC: κατολίγον B

13–14 Greg. Presb., Vit. Greg. 6, 1 (p. 138) **30–31** cf. Greg. Naz., Or. 45, 12, PG 36, 640AB

τιθασσεύσωσιν. ὅπερ ἀμέλει κἀνταῦθα Γρηγορίῳ, μετὰ τοὺς τῆς ἱερωσύνης ἀθυμοῦντι δεσμούς, καὶ ταραττομένῳ καὶ φεύγοντι, συνεχώρει μικρόν· καὶ οὐκ ἀηδῶς, ὁ πατὴρ ἔφερεν, ἐν χερσὶν ἔχων ἤδη τὸ ποθούμενον. ἀλλὰ τί τὰ πολλά; τελευτᾷ μὲν τὸν βίον καὶ μεθίσταται, ὁ τῆς Καισαρέων ἐκεῖνος ποιμὴν Εὐσέβιος· ἀνάγεται δ᾽ εἰς τὸν θρόνον αὐτοῦ τὸ μέγα καὶ περίδοξον, τῆς τε ἀνθρωπίνης φύσεως, καὶ τοῦ τῆς ἐκκλησίας πληρώματος ὄνομα Βασίλειος. τέως μέν γε τινὲς ἔπραττον τῶν ἀντιθέτων τοῦ καλοῦ καὶ κακούργων, ὅπως μὴ προβαίη τόδε· μὴ δ᾽ ὁ τῶν πλείστων πόθος· καὶ ἡ δικαία ψῆφος καὶ κρίσις τὸ πέρας λάβοι· βασκανίᾳ πάντως καὶ δέει, τὸ μέγα φῶς ὑφορώμενοι παρρησίας τυχεῖν, οἱ τοῦ σκότους ἄξιοι· καὶ βαθεῖ φθόνου ζόφῳ καλυπτόμενοι· καὶ μὴ προσορᾶν ἔχοντες τὰ κάλλιστα. καὶ ἀγὼν οὐκ ὀλίγος ἐνταῦθα καὶ πάλη· νικᾷ δ᾽ ὅμως τὸ βέλτιον· καὶ τὸ πλεῖστον εἰς τοῦτο συμβάλλεται· Γρηγόριος οὗτος ὁ θεῖος· καὶ τῶν θείων ἄσχετος ἐραστής τε καὶ σπουδαστής· οὐ τὸν πατέρα μόνον ἐπαίρων εἰς τοὖργον· τὰ πρῶτα τῶν ἐπισκόπων τῆς ἐπαρχίας ἔχοντα, καὶ πολὺ τὸ αἰδέσιμον καὶ τὸ παρὰ πάντων συγκεχωρηκός, εἰς τὰς ἐκλογὰς ταύτας καὶ τὰς χειροθεσίας· ἀρετῇ τε καὶ πολιᾷ· καὶ τῇ χρονίῳ ποιμαντικῇ δικαιούμενον, ἀλλὰ καὶ αὐτὸς εἰς τοῦτο τὸ γιγνόμενον, ἅπαν εἰσφέρων καὶ κατεπειγόμενος· τί μὲν οὐ λέγων· τί δὲ οὐ διανοούμενος· τί δὲ οὐ κινῶν· τί δὲ οὐ πράττων· καὶ συγκροτῶν πάντοθεν καὶ συμπεραίνων· σπουδῇ πάσῃ, καὶ παντὶ τρόπῳ χρώμενος· οὐ τὸ τοῦ
f. 117 φίλου, τὸ δὲ τῆς ἐκκλησίας καὶ τὸ τῶν πολλῶν ἐκεῖνος | ζητῶν ἀγαθόν· ἢ καὶ τὸ τοῦ φίλου τοσοῦτον, ὡς ἄν, ὑποθέσεως καὶ ὕλης ἀξίας τυχὼν ἑαυτοῦ, δρᾶν ἔχοι πρὸς τὴν φύσιν καὶ τὴν μεγάλην οἴκοθεν παρασκευήν· καὶ χώραν λάβοι μεγαλουργίας· καὶ μήτ᾽ αὐτὸς, μήθ᾽ οἱ πολλοὶ ζημιωθῶσι, τὴν τοσαύτην αὐτοῦ καρποφορίαν καὶ χρῆσιν· καὶ θησαυρὸς τοσοῦτος καλῶν ἁπάντων, ἀνόνη-

8 τιθασσεύσωσιν VC, servavimus: τιθασεύσωσιν B **11** τὰ πολλὰ V[2]C: ἁ πολλὰ V (obl. rubr.), πολλὰ B **12** ποιμὴν om. B **13** θρόνον αὐτοῦ V: αὐτοῦ θρόνον BC | τε V[2] e corr., om. C **20** ἐνταῦθα om. B **22–23** τε καὶ σπουδαστὴς om. B **24** τῶν ἐπισκόπων om. C **25** συγκεχωρηκὸς VB: συγκεχωρηκὼς C **26** χρονίῳ VB: χρονίᾳ C **30** σπουδῇ πάσῃ V: πάσῃ σπουδῇ BC **36–37** ἀνόνητος V[2]BC: ἀνόητος V

32,12–13 Greg. Naz., Or. 43, 37, 4–5 (p. 206) **22–32** Greg. Presb., Vit. Greg. 9, 27–32 (p. 150)

τός τε καὶ ἀνωφελὴς καὶ ἀδάπανος κρύπτοιτο, πραγμάτων ἀτυχῶν καὶ καιροῦ, πρὸς ἅπασαν καὶ πεῖραν· καὶ χρείαν ἀμέλει χορηγεῖν, ἄφθονος. δηλοῖ δὲ τὸ πρᾶγμα λοιπὸν, ἐπεὶ τὸν θρόνον ἐκεῖνος ἔλαβε· καὶ μάρτυς ὁ τότε καὶ νῦν ἐξ ἐκείνου χρόνος· καὶ ἡ μεγάλη τοῦ ἀνδρὸς δόξα. καὶ τί ἂν, λέγειν ἔχοιμεν ὑπὲρ τῶν οὕτω μεγίστων τὲ καὶ προδήλων, εἰς ἅπαντας ἀνθρώπους, ἐν οὕτω μέρει τοῦ λόγου βραχεῖ, καὶ πρὸς ἄλλα τρέχοντι· πλήν γε ὅτι τοσοῦτο φέρειν ἐντεῦθεν οἶμαι καιρὸν ἔχει πρὸς τὸν ἐνταῦθα τοῦ λόγου σκοπὸν, ὡς ἄρα καὶ Γρηγορίῳ μέγιστον εἰς εὐφημίαν καὶ δόξαν, ἡ τοῦ ἀνδρὸς εὐδοκίμησις ὡς συναιτίῳ καὶ συναγωνιστῇ προθύμῳ· καὶ οὐ μόνον κοινωνῷ τε καὶ σπουδαστῇ· καὶ πρότερον πρὸ τῶν τῆς ἐπισκοπῆς θρόνων, καὶ μετὰ τοὺς θρόνους (πάντα γὰρ ἦν αὐτῷ καὶ τότε, βουλεύων· συνεργαζόμενος· καὶ συμπράττων), ἀλλ᾽ ὅτι καὶ τὸ πλεῖστον ἦν αὐτὸς συμβαλόμενος ἐπὶ τῶν πραγμάτων ἐκεῖνον γενέσθαι· καὶ τόπον τῆς ἐργασίας εὑρεῖν; καὶ εἰ φαῦλον ἔργον καὶ φαύλων ἀνδρῶν ἡ πρὸς τὴν πάροδον τῶν ἀγαθῶν ἐναντίωσις· καὶ βασκανία καὶ ἀντίπραξις· καὶ τὸ πάσῃ παρασκευῇ πολεμεῖν καὶ ἀντικαθίστασθαι, πάντα τὸν ἐνόντα τρόπον, ὥστε μὴ ταῦτα προχωρεῖν εἰς τὸν βίον, οὐχήκιστ᾽ ἂν εἴη δήπουθεν, κάλλιστον ἔργον καὶ καλλίστων ἀνδρῶν, ἡ περὶ αὐτὰ ταῦτα σπουδὴ· καὶ τὸ σφόδρα κατεπείγεσθαι καὶ προθυμίας ἐλλείπειν οὐδὲν, εἰς τὴν αὐτῶν εὐετηρίαν καὶ παρρησίαν καὶ πρόοδον. καὶ μὴν εἰ πατράσι τῆς τῶν τέκνων εὐδοκιμήσεως· καὶ τῆς ἐξ αὐτῶν εἰς | ἀνθρώπους συντελείας καθ᾽ ὁτιοῦν ὄφελος, f. 117v ὀφείλεταί τις τιμὴ δικαία καὶ χάρις, τὸν αὐτὸν ἂν οἶμαι τρόπον καὶ τοῖς ἄλλοις, ὅπως ἂν, ἄρα προξένοις ἀγαθῶν, καὶ παραιτίοις ὀνησίμου τινὸς φορᾶς, ὀφείλεταί τις ἀμοιβὴ χάριτος, εὔλογος καὶ δικαιοτάτη. καὶ τῆς εὐπλοίας μὲν τὰς αἰτίας οἱ κυβερνῆται φέρονται· καὶ τῆς νίκης οἱ στρατηγοὶ· καὶ πάσης ἄλλης ἀριστείας οἱ ἡγεμόνες· οὐ μὴν ἀλλὰ καὶ οἱ τοὺς ἄνδρας προελόμενοι πρὸς ἑκάστας ἡγεμονίας καὶ προστησάμενοι· καὶ πρὸς τὰς ἀρχαιρεσίας αὐτοῖς, τὸ πᾶν δόντες τῆς ψήφου· καὶ πᾶσαν εἰσενεγκόντες σπουδὴν, τῆς εὐεργεσίας ἑκάστης κοινωνοὺς ἑαυτοὺς ἀξιοῦσι. καὶ

46 συναιτίῳ VC: σὺν αἰτίῳ B **50** συμβαλόμενος V p. corr. BC: συμβαλλόμενος V a. corr. **55** οὐχήκιστ᾽ VB p. corr. C: οὐχ ἥκιστ᾽ B a. corr. **56** δήπουθεν VB: δήποθεν C **57** σπουδή VB p. corr. C: σπουδῇ B a. corr. **61** δικαία V: δικαίως BC **62** ἄλλοις VB: ἄλλως C **68** αὐτοῖς VB: αὐτῆς C

τῆς γῆς μὲν ἡ εὐεξία· καὶ οἱ ἄμητοὶ καὶ οἱ καρποί, τοὺς ἀνθρώπους τρέφουσιν· ἀλλὰ καὶ τοῦ παρασχόντος τὰ σπέρματα· καὶ τὴν τῆς γονῆς ταύτης οἰκονομοῦντος ἀφορμήν, οὐκ ὀλίγον τὸ μέρος γίνεται.

33. Ἀλλὰ τούτων, ἴσως μὲν ἅλις ὁ λόγος· ἴσως δ᾽ οὔ· φέρε δὲ προβῶμεν λοιπόν. εἶχε μὲν τοὺς ἀρχιερατικοὺς ἐκείνους ἐν χερσὶν οἴακας Βασίλειος· καὶ ἦγεν ἄριστά τε καὶ τελεώτατα· ἀξίως ἑαυτοῦ· καὶ τῶν ὑψηλῶν ἐκείνων θρόνων· καὶ τῆς τῶν πολλῶν περὶ αὐτοῦ δόξης· καὶ οὐδὲν ᾔσχυνε τῶν τριῶν· εἶχε δὲ καὶ τὸν ὁμόπνουν αὐτῷ Γρηγόριον πάντων κοινωνὸν πόνων· καὶ φροντίδων συμμεριστὴν· καὶ συναγωνιστὴν πρόθυμον, τῆς εὐσεβείας προκινδυνεύοντα· καὶ τῶν αὐτῷ προσηκόντων ἁπάντων οὐδὲν ἧττον ἢ αὐτός· καὶ πρὸς πᾶσαν κατ᾽ αὐτοῦ καὶ τῆς ἐκκλησίας ἐπήρειαν, ἀντιπράττοντα γενναίως καὶ ἀντικαθιστάμενον· καὶ πρὸς τὴν μάχην παρρησίᾳ καὶ αὐτὸν συναποδυόμενον· οὐ τῶν ὀλέθρων τηνικαῦτα ποιμένων· καὶ ἀντιθέτων· καὶ κακῶν οἰκονόμων τῶν ἐκκλησιῶν καὶ τοῦ λαοῦ καὶ τοῦ δόγματος, ἀλλὰ καὶ τοῦ παρανόμου βασιλέως ἐκείνου (πῶς ἄν, ἐρεῖ τις;), ὑπὲρ τῆς ἀθεωτάτης αἱρέσεως· σφόδρα λυττῶντος καὶ τῶν ἐν ἡγεμονίαις καὶ
f. 118 ἐξουσίαις ὑπηρετούντων αὐτῷ. καὶ τοῦτ᾽ | ἔδειξεν ἡ δευτέρα· καὶ βαρυτέρα κατ᾽ ἐκείνων ἔφοδος αὐτοῦ μεθ᾽ ὅτι πλείστης τῆς παρασκευῆς· ὅτι καὶ κραταιοτέρους προδήλως ἑώρα τοὺς ἀντιμάχους· καὶ δεύτερον ἤδη προσβάλλων, σφοδρότερον ᾤετο δεῖν πειρᾶσθαι. ἔνθα δὴ κάλλιστα καὶ αὐτοὶ φραξάμενοι· καὶ πᾶσαν ἐπιχείρησιν καὶ μηχανὴν ἀνδρικῶς ἀποκρουσάμενοι, ἀσάλευτον περιεποιήσαντο τὴν κατ᾽ αὐτοὺς ἐκκλησίαν· καὶ κούφως ἀναφερομένην καὶ πλέουσαν κατὰ τὸ μέγα καὶ περιβόητον ἐκεῖνο θαῦμα τῆς τοῦ Νῶε κιβωτοῦ, τῶν τοσούτων τῆς ἀσεβείας χειμώνων· καὶ τῆς κατασχούσης τὴν οἰκουμένην σχεδὸν ἅπασαν σφοδρᾶς καταιγίδος· καὶ περὶ τὴν πίστιν οὐδαμῶς ἐναυάγησαν. τό δ᾽ αὐτὸ καὶ πρὸς

71–72 τὴν τῆς γονῆς VC: τὴν om. B **33,2** εἶχε V^2BC: χε V (obl. rubr.) **4** ἑαυτοῦ VB: ἑαυτῷ C **9** κατ᾽ αὐτοῦ V^2BC: καὶ αὐτοῦ V **20** καὶ ante κάλλιστα add. C

33,2–3 Greg. Presb., Vit. Greg. 10, 1 (p. 150) **16–18** Greg. Naz., Or. 43, 44, 1–3 (p. 218) **21–26** Id., Or. 18, 17, PG 35, 1005D **24–26** Gen. 6, 5ff.

ἄλλην ἅπασαν ἀγωνίαν καὶ πάλην· παραστάτης ἦν ἰσχυρὸς καὶ αὐθόρμητος τῷ φίλῳ Βασιλείῳ Γρηγόριος· συνδιαφέρων τὰ πράγματα· μᾶλλον δὲ τῶν μὲν καμάτων αὐτῶν καὶ τῆς ἐν ἡγεμονίᾳ τοσαύτῃ καὶ προστασίᾳ δυσχερείας, τὸ μέρος ἔχων καὶ φέρων ἑαυτὸν ἑκών γε εἶναι μάλα γεννικῶς καὶ προθύμως καὶ ὑπὸ χεῖρα τιθεὶς σύμμαχον· καὶ πάντα βοηθεῖν οὐχ ἕτοιμον μόνον, ἀλλὰ καὶ μάλισθ᾽ ἱκανόν τε καὶ διαρκέστατον· ὁ τῶν ἄλλων μὲν ἁπάντων ὑπεράνω καὶ καθάπαξ ἐλεύθερος καὶ μεγαλόφρων· καὶ βραβευτὴς ἑαυτῷ καὶ δεσπότης, μόνῃ δὲ τῇ καλλίστῃ φιλίᾳ· καὶ τῷ τῶν ἀγαθῶν ζήλῳ τυραννούμενος ἥδιστα· οὐδὲν δὲ τῶν τῆς ἀρχῆς παρακερδαίνειν ἐθέλων· ἀλλὰ καὶ σφόδρα ἐξιστάμενος καὶ βασκανίαν πᾶσαν φεύγων καὶ νέμεσιν· καὶ ἅπαν ἐργῶδες τῷ φίλῳ καὶ φορτικὸν ἐπὶ τῆς ἀρχῆς ἐκτρεπόμενος, διὰ τῆς ἐπαινετῆς καὶ ὄντως ὑψηλῆς ἀτυφίας καὶ εὐτελείας· ὑπερφυοῦς μὲν σχεδὸν καὶ ὡς οὐκ ἔνεστιν ἀνθρωπίνῃ φύσει, καὶ ταπεινοῖς λογισμοῖς· ἐπιποθήτου δ᾽ ἐκείνῳ πάνυ τοι καὶ συνήθους καὶ ἡδίστης τῷ, πάντα δὴ καὶ τὰ δοκοῦντα τοῖς ἄλλοις ἐργωδέστατα καὶ βίαια κρατεῖν ἀνθρώπων, ῥᾷστα περαίνοντι.

34. | Ταῦτ᾽ ἄρα καὶ τί τηνικαῦτα γίγνεται· καὶ τί συμβαίνει; πρᾶγμα καινὸν ὡς ἀληθῶς καὶ ἀνυπονόητον· καὶ ὅλως ἄπιστον πρὶν ἢ γενέσθαι (καὶ θαυμάζω μὲν ἔγωγε καὶ οὐκ ἔχω τί ποτ᾽ ἐρῶ· καὶ συνορᾶν καθάπαξ οὐχ οἷος τέ εἰμι· οἶμαι δὲ καὶ ἅπας ὁστισοῦν), γίγνεται δέ. εἰς γὰρ τὴν τότε κατάστασιν τῆς Καππαδοκῶν ἐπαρχίας, ἣν ἐμέρισεν εἰς ἡγεμονίας δύο· οὐ τῶν κοσμικῶν μόνον πραγμάτων ἀλλὰ καὶ τῶν ἐκκλησιῶν αὐτῶν, ἡ τοῦ κρατοῦντος ἐπιβουλὴ καὶ δύσνοια περὶ τὴν πίστιν, ὁ πάντα σοφὸς Βασίλειος ἀντικαθιστάμενος καὶ συνεωρακὼς ἄριστα καὶ σοφώτατα, καταπυκνῶσαι τὴν χώραν προστασίαις ἐπισκόπων· καὶ τοιούτοις ὀχυρώ- f. 118v

31 μάλα VB: μάλλα C | γεννικῶς V: γονικῶς C, γενικῶς B **32** οὐχ ἕτοιμον V: οὐχ᾽ ἕτοιμον BC **38** πᾶσαν φεύγων V: φεύγων πᾶσαν BC **41** ἔνεστιν VC: ἔστιν B **41–42** ἐπιποθήτου δ᾽ VB p. corr. C: ἐπιποθήτου δὴ B a. corr. **43** ἐργωδέστατα VB: ἐργοδέστατα C **44** περαίνοντι VB: περαίνωντι C **34,1** ταῦτ᾽ V²BC: αῦτ᾽ V (obl. rubr.) | γίγνεται VC: γίνεται B **3** ἢ om. BC **5** γίγνεται VC: γίνεται B **6** μόνον V: μόνων BC

34,5–6 Greg. Naz., Or. 43, 58, 13–14 (pp. 248–250)

μασι τὸν πιστὸν λαὸν καταφράξασθαι· καὶ τὴν εὐσέβειαν ἀσφαλίσασθαι, δεῆσαν ἀνδρῶν ἀξίων αὐτῷ τοῦ σκοποῦ, Σασίμων ἐπίσκοπον Γρηγόριον προχειρίζεται· τὸν τοῦ κόσμου παντὸς· καὶ τῆς οἰκουμένης ὅλης ἄξιον ὡς αὐτὸς ἐκεῖνος φησὶ Βασίλειος, τοῖς περὶ τούτων αἰτιωμένοις ἀπολογούμενος· συνεπιθέμενος αὐτῷ μετὰ τῆς τοῦ πατρὸς ἁπλότητος καὶ ἐξουσίας τῷ σφόδρα ταύτης ἡττωμένῳ· καὶ τυραννήσας, ἀφύκτοις δεσμοῖς οἷς ὁ πατὴρ ἐπήνεγκεν ἐκείνῳ, μετὰ τῆς συνήθους ἀπλαστίας οὐ τῇ φύσει μόνον αὐτοῦ, ἀλλ᾽ ἤδη καὶ τῇ ἡλικίᾳ· καθορκισμοῖς τε καὶ ἀπευκταιοτάτοις ἀφορισμοῖς. ὑποκλίνας δ᾽ ὅμως ὁ μέγας καὶ τὴν χειροθεσίαν δεξάμενος, ἐπεὶ καὶ ἥψατο τῆς ἐπισκοπῆς (τί λέγω καὶ ἥψατο; οὐδὲ γὰρ ὅλως ἥψατο), ἀλλ᾽ ἐπεὶ μόνον ἐκεῖσε γίνεται καὶ καθορᾷ παντάπασι δυσξύμβλητον αὐτῷ τὸ χωρίον, τῇ φύσει τὲ καὶ τῷ ἤθει καὶ συρφετῶδες· καὶ ταραχῆς ἁπάσης μεστὸν καὶ πανσπερμίας ἀνθρώπων, ὡς ἄν, εἴπῃ τίς ἀγορὰν καὶ ἀηδίας πάσης καὶ φλυαρίας· καὶ θορύβων· καὶ παντοίων ὄχλων σταθμὸν· καὶ γλωσσῶν ἄντικρυς σύγχυσιν, αὐτίκα τάχιστ᾽ αὐτὸ φεύγει· δυσχεραίνων ἀμεταστρεf. 119 πτὶ· καὶ | πρὸς τὴν φίλην ἀναχώρησιν αὖθις ὁρᾷ· καὶ πάντων πραγμάτων ἀνεπίστροφον μόνωσιν, ὁ τῆς οἰκουμένης ἁπάσης λαμπτὴρ· ἡ μεγάλη τοῦ βίου φορὰ καὶ πρὸς τὴν ὅλην κοσμικὴν ἱκανὴ χρείαν.

35. Ἀλλὰ δυσωπεῖ πάλιν τὸν ἄνδρα καὶ κάμπτει πατρικὴ τυραννὶς καὶ παράκλησις· καὶ ὑπὸ χεῖρα ποιεῖται· καὶ πάντα νικῶν ἐκεῖνος καὶ ὑπεράνω φερόμενος, καὶ καθόλου μένων ἀήττητος, πατρικῆς μόνης πολιᾶς ἡττᾶτο. ἐντεῦθεν συμπαρεῖναι τῷ πατρὶ καὶ βοηθεῖν τῷ γήρᾳ κάμνοντι λοιπὸν πρὸς τὰς τῆς ἐκκλησίας φροντίδας, καὶ τὴν ὀφειλομένην ἐν τοῖς σωματικοῖς ἐπιμέλειαν καὶ γηρωκομίαν ἐν τοῖς πνευματικοῖς ἀποδιδόναι· καὶ

13 κόσμου V[2] e corr. **22** γίνεται VB: γίγνεται C **25** εἴπῃ V: εἴποι BC **31** ἱκανὴ V p. corr. BC: ἱκανὴν V a. corr. **35,2** an ⟨ὁ⟩ πάντα scribendum?

11–13 Ibid. 59, 16 (p. 252); Greg. Presb., Vit. Greg. 10, 13 (p. 152) **14–15** Bas. Caes., Epist. 98, 2, 16–17 (p. 214) **21–29** ἥψατο[1]…ἀνεπίστροφον Greg. Presb., Vit. Greg. 10, 21–32 (p. 152) **35,1–17** Ibid. 10, 33–11, 30 (pp. 152–156); cf. etiam Greg. Naz., Carm. II, 1, 495–525 (pp. 78–79) **4** cf. Greg. Naz., Or. 10, 2, 3 (p. 318)

συμποιμαίνειν τὴν αὐτοῦ ποίμνην· δεομένῳ τὲ καὶ βιαζομένῳ μέχρι τῶν ὅρων μόνων αὐτῷ τῆς ζωῆς, πείθεται (ἢ πῶς γὰρ ἐκεῖνος οὐκ ἔμελλε;), καὶ τὴν λειτουργίαν ὑφίσταται· καὶ ποιμαίνει· καὶ συμποιμαίνει τὸν πατρικὸν κλῆρον· τὸ ποίμνιον. καὶ τοίνυν ἀποδόντος ἐκείνου τὸ κοινὸν ὄφλημα τῇ φύσει· καὶ τοὺς τῆς πολιᾶς καμάτους ἀποθεμένου· καὶ πρὸς τὴν ἀγήρω καὶ ἄπονον μεταθεμένου ζωὴν, καὶ αὐτὸς συναποδοὺς ἐκείνῳ τὸ τῆς ὑπακοῆς καὶ ὑποσχέσεως ὄφλημα, παρίησι τὴν ἐκκλησίαν ἧς ἐπὶ ῥητοῖς ἥψατο· κἀντεῦθεν ἐκδημίαι, τινὲς αὐτὸν οὐκ ἀσυντελεῖς, τῷ τοῦ βίου παντὸς σκοπῷ διαδέχονται.

36. Ἀλλ᾽ ἐνταῦθα μοι τοῦ καιροῦ τὰ κάλλιστα τῶν ἐκείνου διηγημάτων· καὶ ἡ τῆς τοῦ ἀνδρὸς ἁπάσης θαυμαστῆς βιοτῆς· καὶ πολιτείας ἀκμή· καὶ οὐκ οἶδα τί χρήσομαι· χρήσομαι δ᾽ ὅμως ὡς ἂν, οἷος τ᾽ εἴην· ἐπεὶ μὴ λοιπὸν ἔξεστιν ὑπεκδραμεῖν ἐφάπαξ ἐνταῦθα γενόμενον· καὶ τὰ κρείττω μάλιστα παρελθεῖν. ἐτάραττε μὲν τηνικαῦτα σφόδρα τὴν ἅπασαν οἰκουμένην, τὸ βλάσφημον τῆς Ἀρείου μανίας δόγμα, καὶ ἡ τῆς ἀθεΐας Εὐνομίου γλωσσαλγία, καὶ γοητεία· κατατεχνιτεύουσα, τὰς τῶν ἐντυγχανόντων ψυχάς· | f. 119v
ὥστε πλανῆσαι κατὰ τὸν εὐαγγελικὸν λόγον εἰπεῖν καὶ τοὺς ἐκλεκτούς· ἴσχυε δὲ μάλιστα τὸ δεινὸν τόδε· καὶ τὸ κράτος εἶχε, κατ᾽ αὐτῆς δὴ ταύτης τῆς μεγαλωνύμου καὶ βασιλικῆς πόλεως· καὶ ὥσπερ εἰς τἆλλα πάνθ᾽ αὕτη κατὰ πασῶν ἐφέρετο τὰ πρῶτα, οὕτω δὴ καὶ τὴν ἀσέβειαν ταύτην (ὢ τῆς κακίστης νίκης, καὶ σφόδρα ζημιώδους καὶ ἀπευκτῆς), καὶ ὥσπερ οὐδὲν ἦν αὐτῇ τῶν προσόντων ὀλίγον, οὕτω καὶ τὸ τῆς ἀθέου ταύτης νόσου καὶ βλασφημίας, ὡς μὴ ὤφελεν ἐμιμεῖτο κατὰ τἆλλα· καὶ ἦν οὐδὲν ὀλίγον· ἀλλ᾽ ἐπλεονέκτει· καὶ ἀηδὴς ἦν αὐτῇ περιουσία καὶ κάκιστος ὄλβος. καὶ ἡ πάντα μεγίστη τὲ καὶ καλλίστη προσορᾶν

8 βιαζομένῳ VB: βιωσομένῳ C **9** αὐτῷ V p. corr. BC: αὐτῶν V a. corr. | γὰρ om. BC **10** ἔμελλε VB: ἔμελε C | ὑφίσταται VB: ἐφίσταται C **10–11** ποιμαίνει V p. corr. BC: ποιμαίνειν V a. corr. **11** καὶ^2 V^{2}BC: αὶ V (obl. rubr.) **12** ἀποδόντος VB: ἀποδιδόντος C **16** ἐκδημίαι VB: ἐκδημίῳ C **36,1** ἐκείνου V^{2}BC: κείνου V (obl. rubr.) **7** μανίας VB: μανείας C **16** βλασφημίας VB: βλασβημίας C

10–11 cf. Id., Or. 12, 2, 5 (p. 350) **36,5–32** cf. Id., Carm. II, 1, 573–582 (p. 81) **9–10** Mt. 24, 24; Marc. 13, 22

τε καὶ χρῆσθαι καὶ ὡς ἀληθῶς βασιλεύουσα, δεινὸν ἦν ἐντεῦθεν ἀωρίας θέαμα· καὶ τοῦ πονηροῦ βασίλειον· περίβλεπτον ἀπὸ τῆς ἄλλης ἁπάσης δόξης καὶ κόσμου· περίβλεπτον ἀπὸ τῆς εὐπόρου καὶ ἰσχυρᾶς καὶ μεγαλοφυοῦς ἀσεβείας, καὶ τοῦ κατ' αὐτὴν συντάγματος· καὶ κακίας εὐεκτοῦν στρατόπεδον· ἢ μᾶλλον εἰπεῖν μετὰ τῆς τοσαύτης ἀκμῆς τῆς τύχης καὶ τῆς εὐπλοίας, ἐλεεινὸν σφοδροτάτου τῆς πίστεως κλύδωνος ναυάγιον. τὰ ἔμπροσθεν αὐτῆς παράδεισος τρυφῆς· καὶ τὰ ὄπισθεν αὐτῆς, πεδίον ἀφανισμοῦ· καὶ ὅραμα, ἀτερπέστατον· καὶ κακίας ὕβρις· ἡ πάσης εὐκληρίας καὶ καλλονῆς τοῦ βίου πανήγυρις· τὸ πάσης εὐγενείας· καὶ ἀρετῆς· καὶ ἀστειότητος καὶ εὐδαιμονίας, περίοπτον πρυτανεῖον· τὸ μέγα τῆς οἰκουμένης θέατρον· ἡ μεγαλοφυής τε καὶ πάντων τῶν καλῶν εὐθηνοῦσα καὶ γόνιμος· ζιζανίων ἀχρηστίας καὶ πανσπερμίας ἀθέου χώρα παμπλήρης· ἅπερ ἐχθρός τις ἄνθρωπος· καὶ τῆς τοῦ Χριστοῦ ἐκκλησίας ἁλιτήριος ἐνέσπειρεν αὐτῇ· μᾶλλον δ' ὁ πρῶτος καὶ ἄγρυπνος ἐχθρὸς καὶ ἀκάματος ἐπίβουλος· καὶ πάντων τῶν τῆς κακίας σπερμάτων ἀρχηγὸς καὶ οἰκονόμος· καὶ παλαιὸς σπορεὺς· καὶ οὐκ εἰς ἑκατὸν μόνον ἀλλὰ καὶ εἰς ὅτι πλεῖστον διὰ τὴν τῆς κακίας εὐδρομίαν καὶ γονιμότητα· καθ' ὃ
f. 120 μάλιστα καὶ πλεονεκτεῖ τὴν ἀρετὴν, τὴν εὐφορίαν | αὐτῶν ἐπεδείξατο.

37. Καὶ τίς ἂν, ἐφίκοιτο λόγος τῆς τοσαύτης τῶν φαύλων τῇ πόλει τότε δαψιλείας· καὶ χύσεως καὶ πολυκρούνου πηγῆς τε καὶ ἀναδόσεως ἁπάσης ἀπότου καὶ ἁλμυρᾶς τε καὶ θολερᾶς· καὶ ὅσον τὸν πλοῦτον ἐν τοῖς κακοῖς ἐπλούτησεν; ἀλλ' ἤκμαζε μὲν οὕτως ἐν τῇ μεγαλοπόλει τῇδε σφόδρα χαλεπῶς καὶ βαρέως· ἡ πολυσχιδὴς ἀθεΐα πᾶσα καὶ ποικίλη· καὶ πονήρως εἶχε κομιδῇ τῇ ἐκλεκτῇ τε καὶ καθαρᾷ μερίδι Χριστοῦ τὰ πράγματα· ἐκράτει δὲ μάλισθ' ἡ τῶν κακῶν ἁπάντων ἀκρότης· τὸ δυσσεβὲς τῆς Ἀρείου μανίας δόγμα· τὸ μάλιστ' ἔχον ἰσχύειν ὑπὸ τῆς βασιλικῆς ἢ τυραννικῆς ἤδη χρονίου συμμαχίας· πάντα τρόπον καὶ πᾶσαν μηχανὴν, μετὰ τῆς ἐξουσίας εἰσφερούσης, ὥστε κρατύνειν αὐτὸ· καὶ κατὰ τῶν τῆς

30 καλῶν V: καλλίστων BC **33** ἁλιτήριος V, servavimus: ἀλιτήριος BC
37,5 μεγαλοπόλει VC: μεγάλῃ πόλει B

25–26 cf. Ioel 2, 3 **30–33** Mt. 13, 25–28 **36** Mt. 13, 8; Marc. 4, 8

ἀληθοῦς εὐσεβείας καὶ τοῦ Χριστοῦ μεριτῶν ὀλίγων ἐκείνων κατεπανιστᾶν καὶ ἐξάπτειν εἰς ὅσον οἷον τέ ἐστι. καὶ τοίνυν τὸ πᾶν αὐτῇ σχεδὸν ἐνόσει καὶ κακῶς εἶχε· καὶ βραχὺ λίαν τὸ ὑγιαῖνον· καὶ αὐτὸ κινδυνεῦον ἤδη κατασχεθῆναι τῇ νόσῳ· καὶ τέλεον ἐκτριβῆναι. ἦν δ᾽ ὅμως ὅ,τί ποτ᾽ οὖν ἔτι, τὸ ὑγιαῖνον· ὀλίγον τί καὶ εὐαρίθμητον· οἱ γνήσιοι δηλαδὴ καὶ καθαροὶ· καὶ τέλειοι τῆς Χριστοῦ πίστεως ἐπώνυμοι· καὶ τῆς Τριάδος προσκυνηταὶ· τὸ μόνον εἰλικρινὲς ὡς ἀληθῶς τῆς ἐκκλησίας νόμισμα καὶ ἀκίβδηλον· τοῖς καλοῖς ἅπασι τύποις τῆς εὐσεβείας καὶ δόγμασι χαραχθὲν· καὶ τῇ σφραγίδι σημειωθὲν τοῦ Πνεύματος· πάσης ἀνεπίδεκτον νοθείας καὶ παρατροπῆς. οἳ τὸ τῆς θεαρχικῆς Τριάδος ὁμοφυὲς καλῶς καὶ νοοῦντες τὲ καὶ κηρύττοντες, ἐν ὅροις ἐκλείοντο πάσης ἀσφαλείας τὲ καὶ ὀρθότητος· καὶ τῆς μέσης καὶ ὄντως βασιλικῆς εἴχοντο· μηδὲν εἰς θάτερον τῶν ἑκατέρωθεν βαράθρων καὶ κινδύνων ἐκκλίνοντες· μήτε τῇ στενώσει δηλαδὴ τῆς μιᾶς ὑποστάσεως κατασμικρύνοντες τὸν τῆς θεότητος πλοῦτον, καὶ κατάγχοντες ἑαυτοὺς μάλιστα· καὶ ζημιοῦντες τὸ τῆς πίστεως καὶ τοῦ ἀγαθοῦ τέλειον· καὶ ἀπατηλοῖς καὶ σοφιστικοῖς πλάσμασι τῆς εἰς ἓν πρόσωπον τῶν | τριῶν ὀνομάτων περιχωρήσεως· ἀορίστου f. 120v
τὲ καὶ ἀσυλλογίστου σαβελλίζοντες· μήτε τὴν ἀδιαίρετον καὶ ὁμοφυῆ φύσιν καθ᾽ ἣν αἱ τῶν ὑποστάσεων ἀριθμήσεις καὶ ἰδιότητες συνάπτονται, κατατέμνοντες· καὶ βαθμοὺς καὶ φύσεως καὶ τιμῆς καταλογιζόμενοι· καὶ καταμετροῦντες καὶ καθιστῶντες τὴν θεότητα, εἰς ἣν ἄν, αὐτοὶ τάξιν κρίνωσιν· οἱ τολμηροὶ τῶν ἀπροσίτων ἐπιστάται καὶ νομοθέται καὶ γνώμονες· ὥστε ἢ καὶ ἀμφότερα τὸν Υἱὸν καὶ τὸ Πνεῦμα, τῆς τοῦ Πατρὸς ἐπίσης ἀποξενοῦν φύσεως, ἢ τὸν μὲν Υἱὸν ἧττον· τὸ δὲ Πνεῦμα πορρωτάτω καὶ μάλιστα· ἢ συνάπτειν μὲν ἴσως τὸν Υἱὸν καὶ τὴν ὁμοφυΐαν χαρίζεσθαι, τὸ Πνεῦμα δὲ κατάγειν μετὰ τῆς κτίσεως. ταῦτα δὴ τὰ τότε

13 οἷον τέ ἐστι V: οἷόν τέ ἐστι BC **25** βασιλικῆς VB p. corr. C: βασιλικοῖς B a. corr. **29** ἀπατηλοῖς V¹BC: ἀπαλοῖς V **30** πρόσωπον τῶν V¹ e corr. **31** σαβελλίζοντες V p. corr. BC: σαβελλιάζοντες V a. corr. | ἀδιαίρετον V²BC: διαίρετον V **36** ἐπιστάταιVC: προστάται B **40** ταῦτα δὴ V: γὰρ post ταῦτα add. BC

37,21 II Cor. 1, 22 **24–25** cf. Num. 20, 17 et 21, 22; cf. etiam Greg. Naz., Or. 42, 16, 8–9 (p. 82) **31–33** Greg. Naz., Or. 42, 16, 2–5 (p. 82) et Or. 18, 16, PG 35, 1005A

κρατοῦντα τῆς ἀσεβείας ὄντως παρακεκομμένα τμήματα· καὶ τοῦ καλοῦ καὶ σώου καὶ ὑγιοῦς τῆς ἐκκλησίας, σώματος οὗ Χριστὸς κεφαλὴ, καθάπαξ ἀλλότρια καὶ ἀσύναπτα· τῶν οὐχ ἑαυτοὺς τῇ πρὸς τὴν κτίσιν κοινωνίᾳ, τῆς ὑπερφυοῦς καὶ ἀλήπτου θεότητος, σεμνοποιούντων τὲ καὶ θεοποιούντων, οὐδὲ τιμώντων μάλιστ᾽ ἐντεῦθεν τὸν Θεὸν καὶ Πατέρα, ἢ καὶ αὐτὸν ἀτιμαζόντων, διὰ τὴν ὑπόπτωσιν τῶν ἐξ αὐτοῦ καὶ καθυβριζόντων τὴν ὅλην τῆς θεότητος ἀξίαν καὶ δόξαν, ἀναιδεῖ καὶ γλώττῃ· καὶ νῷ. ἀλλ᾽ οἱ τὸ καθαρὸν ἐκεῖνο καὶ ὑγιαῖνον ἀναπληροῦντες ὀλίγον σύνταγμα, οὐθὲν τούτων· ἀλλ᾽ ἅπαντ᾽ ἐκτρεπόμενοι ταῦτα· καὶ τῇ μέσῃ καὶ ὀρθῇ καθάπερ μικρῷ πρότερον εἴρηται, τὸν νοῦν προσέχοντες εὖ μάλα, καὶ τηροῦντες ἑαυτοὺς εὐλαβῶς, Θεὸν μὲν ἕκαστον τῶν τριῶν ἐπρέσβευον τέλειον· τὸν Πατέρα λέγω· καὶ τὸν Υἱὸν· καὶ τὸ Πνεῦμα τὸ ἅγιον· Θεὸν δ᾽ ὅμως ἕνα τὰ τρία τῆς αὐτῆς οὐσίας ὄντα καὶ φύσεως· καὶ δόξης· καὶ ἐξουσίας τὲ καὶ δυνάμεως· καὶ οὐδὲν ὅ,τι μὴ κοινὸν καὶ παραπλήσιον ἔχοντα, πλὴν τῶν ὑποστατικῶν ἰδιωμάτων αὐτῶν· καθ᾽ ἃ τὸν μὲν Πατέρα νοεῖν ἔξεστιν, ἀγέννητόν
f. 121 τε· καὶ ἄναρχον· τὸν Υἱὸν δὲ γεννώμενον μὲν ἐξ αὐτοῦ παντὸς | ἐπέκεινα λόγου τὲ καὶ αἰτίας, πρὸ χρόνων δὲ πάντων καὶ αἰώνων γεννώμενον· ὡς αὐτὸν ὄντα καὶ χρόνων καὶ αἰώνων δημιουργὸν· καὶ ἀεὶ τῷ Πατρὶ συνόντα (οὐ γὰρ ἦν ὅτε οὐκ ἦν· οὐδ᾽ ἔλειπε Λόγος Πατρὶ· καὶ γέγονεν ἐκ μεταμελείας αὐτῷ μεθύστερον ὡς τοῖς ἀσεβέσιν ἐκείνοις ἐτολμᾶτο), καὶ τὸ Πνεῦμα δὲ τὸ ἅγιον ἐκπορευόμενον ἐκ τοῦ Πατρὸς· καὶ τρόπον τινὰ τοῦτον ἴδιον ἄρρητόν τε καὶ ἀκατάληπτον τὴν ὕπαρξιν ἔχον ἀκτίστως· καὶ ἀεὶ καὶ αὐτὸ συνὸν τῷ Πατρὶ καὶ τῷ Υἱῷ· συνάναρχον τὴν κατὰ χρόνον ἀρχὴν· συναΐδιον καὶ συμβασιλεῦον τῶν τε χρόνων αὐτῶν καὶ τῆς κτίσεως· καὶ τῆς αὐτῆς ἀξίας τὲ καὶ θεότητος· καὶ συντόμως ὡς ἀνωτέρω καὶ νῦν ἐρεῖν, ἕνα Θεὸν ταῖς ὑποστάσεσι μόναις εἴτουν προσώποις ἢ ἰδιότησι, τρία νοούμενον, ἃ πρὶν καὶ νοῆσαι,

43 ἀσύναπτα V: ἀσύνοπτα BC | οὐχ ἑαυτοὺς V: οὐχ᾽ ἑαυτοὺς BC **46** καὶ[2] om. C **49** ὀλίγον σύνταγμα BC: σύνταγμα ὀλίγον primum scripsit V, deinde litteris βα suprascriptis ordinem invertit V[1] **55** ἐξουσίας τὲ V: ἐξουσίας τε BC **57** ἔξεστιν VB: ἔξεστι C **64** ἴδιον V p. corr. BC: ἀίδιον V a. corr. **65** ἔχον VB: ἔχοντα C

42–43 Eph. 5, 23 **57–73** cf. Greg. Naz., Or. 32, 5, 12–16 (p. 94) **69–72** cf. Id., Or. 40, 41, 6–17 (pp. 292–294)

τῷ κοινῷ τῆς οὐσίας εἰς μονάδα τίς αὐτίκα συνάγεται· ἐν τρισὶ τὴν μονάδα· καὶ ἐν αὐτῇ τὴν Τριάδα καλῶς εὐσεβῶν καὶ λέγων· ὥσπερ κἀκεῖνοι τηνικαῦτα βραχεῖς μὲν ἧπερ ἔφην καὶ ἐκ πολλῶν εὐαρίθμητοι· ὑγιεῖς δὲ καὶ ἀσφαλεῖς καὶ τέλειοι· πιστοὶ Θεοῦ· καὶ ἐκλεκτοὶ Θεοῦ καὶ τέκνα γνήσια· οὐ σπέρμα πονηρόν· οὐδ᾽ υἱοὶ ἄνομοι· οὐδ᾽ υἱοὶ χωλάναντες ἀπὸ τῶν τρίβων αὐτῶν καὶ εἰς βάραθρα καὶ κρημνοὺς ἀσεβείας κατολισθήσαντες, ὡς Ἄρειος ἐκεῖνος· Εὐνόμιός τε καὶ Μακεδόνιος· ἡ τῆς ὑπερουσίου· καὶ θεαρχικῆς καὶ βασιλικῆς Τριάδος, ἀποστάτις μιαρὰ καὶ βέβηλος τριάς· καὶ τῷ πρώτῳ τῆς κακίας ἀρχηγῷ καὶ ἀποστάτῃ Θεοῦ καὶ πολεμίῳ προσθεμένη· ὁ μὲν δεύτερος Ἰούδας προδιδοὺς τὸν Υἱὸν τοῦ Θεοῦ καὶ τῆς πατρικῆς ἐξορίζων θεότητος· καὶ δοῦλον διδοὺς τῇ κτίσει· καὶ τῇ γενέσει, πάντως καὶ φθορᾷ κατακρίνων· Εὐνόμιος δὲ τοῦτό τε καὶ ἀντιχρίστου πρόδρομος ἢ μᾶλλον αὐτὸς ἀντίχριστος καὶ υἱὸς ἀνομίας ὑπεραιρόμενος καὶ τραχηλιάζων κατὰ Θεοῦ παντοκράτορος· καὶ ἀσεβὴς ὑπερυψούμενός τε καὶ ἐπαιρόμενος κατὰ τῆς δόξης τοῦ Θεοῦ | f. 121^{v} ὡς ὑπὸ χεῖρας αὐτῷ καὶ παντάπασιν ἁλωσίμου καὶ ῥᾷστα προκειμένης τῷ βουλομένῳ· καὶ κρατουμένης ὥσπέρ τι τῶν εὐώνων καὶ εὐτελῶν· ὁ τρίτος δὲ, συγχωρῶν μὲν Υἱῷ τὴν πατρικὴν τιμὴν καὶ ὑποκύπτων· περιφρονῶν δὲ κατὰ τὸν Σίμωνα τοῦ θείου Πνεύματος· καὶ ὑπὸ δουλείαν ἄγων· καὶ αὐτῷ ψευδόμενος· οὐχ ὡς περὶ Θεοῦ φρονῶν αὐτοῦ· ἀλλ᾽ ὡς λειτουργικοῦ τινος καὶ πάντα ῥᾳδίου· καὶ ὅσοι τὰ κατ᾽ αὐτοὺς τότε παραδεξάμενοι, τὴν ἀσέβειαν ἐκρατύναντο· καὶ κατεξανέστησαν τῆς οἰκουμένης σπουδῇ πάσῃ πάντας πρὸς τὸν αὐτὸν τῆς ἀποστασίας καὶ τῆς ἀπωλείας κίνδυνον ἕλκοντες· ὡσπερεί τινα ἀκρόπολιν προκαταλαβόντες καὶ ὑποποιησάμενοι, τὴν μεγαλόπολιν βασιλίδα ταύτην· κἀντεῦθεν ὁρμώμενοι καὶ κατατρέχοντες καὶ ἐκπολιορκοῦντες καὶ καταστρέφοντες πᾶσαν ἐκκλησίαν· καὶ πᾶσαν εὐσέβειαν· καὶ πᾶσαν ψυχὴν ἀνδραποδιζόμενοι.

77 ὁ ante Ἄρειος erasum in V ut videtur **83** τῇ^{2} V^{2} s.l.: ἡ B, ὁ C **84** δὲ om. C **87** ὑπὸ χεῖρας VC: ὑποχεῖρας B | καὶ V s.l. **89** ὁ om. B **93** λειτουργικοῦ τινος V: λειτουργικοῦ τινὸς BC

75–77 Is. 1, 4; Ps. 17, 46 **85–86** Ps. 88, 23; Iob 15, 25 **90–91** Act. 8, 9–24

38. Ταῦτα δὴ ταῦτα τὰ πάνδεινα· καὶ πάντολμά τε καὶ κακουργότατα· καὶ τὴν μεγάλην κατὰ τῆς πίστεως· καὶ τῆς τοῦ Χριστοῦ κληρονομίας· καὶ τοῦ ἁγίου ἔθνους· ὅπερ ἀφώρισεν ἑαυτῷ· καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ ἐπ᾽ αὐτοῖς, τὸ πάνσεπτόν τε καὶ πάσης δόξης ἀνώτερον· καὶ ἐκάλεσεν αὐτοὺς λαὸν ἑαυτοῦ· καὶ σχοίνισμα κληρονομίας αὐτοῦ, καὶ μερίδα ἐκλεκτὴν ἀπὸ πάσης τῆς γῆς, τὴν κατ᾽ αὐτῶν γοῦν ὡς ἔφην μεγάλην τυραννίδα ταύτην κρατοῦσαν καὶ ἀεὶ πρὸς ὅτι πλεῖστον ἐγειρομένην καὶ κατισχύουσαν, ὁρῶντα τὲ καὶ ἀκούοντα τὸν μέγαν ἐκεῖνον Χριστοῦ θεράποντα Γρηγόριον, κινεῖ Θεὸς ἐκ τῆς ὑπερορίας ὥσπερ τὸν Μωυσῆν· ζῆλον ὑπὲρ τοῦ καλοῦ καὶ τῆς εὐσεβείας, πάμπαν κινδυνευούσης ἀναλαβόμενον, καὶ πῦρ φλέγον ἐν τοῖς ἐγκάτοις αὐτοῦ σχόντα, στῆναι παρρησίᾳ πρὸς τὴν τοσαύτην ἐπήρειαν· καὶ τὸν ἐμπρησμὸν ἤδη νικῶντα καὶ περιγινόμενον, κατασβέσαι πειράσασθαι· καὶ προστῆναι τῶν ἐκτριβομένων ψυχῶν καὶ τοῦ κινδύνου τῆς εὐσεβείας· ὡς ἄν, κοπάσῃ ἡ θραῦσις· καὶ γένηταί τις εὐπαγὴς
f. 122 ἀνανέωσις | τῆς πίστεως· καὶ τῶν ὀρθῶν τῆς πίστεως· καὶ ἀναπηγάσῃ δρόσος ἐξ αὐτῶν· καὶ ἀναλάμψῃ φῶς πρώϊμον ἤδη ξηραινομένων καὶ σβεννυμένων, τῷ κράτει τῆς ἀσεβείας· καὶ ἐκλιπόντων, παρὰ τὸ μὴ εἶναι αὐτοῖς ἐπιστάτην, ὡς ἡ γραφή φησιν· καὶ ἄνθρωπον ῥυόμενον, ἐν τῇ ταλαιπωρίᾳ αὐτῶν. καὶ τοίνυν Θεόν τε προστησάμενος τοῦ παντὸς ἔργου καὶ τοῦ σκοποῦ, καὶ τὰς ἀγαθὰς ἐντεῦθεν ἐλπίδας· καὶ βουλαῖς τῶν Θεοῦ τε καὶ αὐτοῦ φίλων, οἷς ἐκοινώσατο τὴν ὁρμὴν καὶ τὴν ἐπιχείρησιν· ἅμα δὲ καὶ εὐχαῖς πτερωθεὶς καὶ καθοπλισάμενος, ἔτι δὲ καὶ προκλήσεσι τῶν κινδυνευόντων ἀναπεισθείς, ἐπιδημεῖ τῇ βασιλίδι ταύτῃ πόλει· πρὸς τὸ πρῶτον αὐτὸ καὶ ἀκμαιότερόν τε καὶ κραταιότερον, τῶν ἀντιπά-

38,5 ἐκάλεσεν V[2] e corr. **6** ἀπὸ πάσης VB: ἁπάσης C **8–9** ἀεὶ – κατισχύουσαν primum iteravit, deinde linea exstinxit B **9** ὁρῶντα τὲ V: ὁρῶντα τε BC **12** ἀναλαβόμενον VB: ἀναβαλλόμενον primum scripsit, deinde in ἀναλαβόμενον corr. C | φλέγον VB: φλέγων C **14** καὶ ante κατασβέσαι add. BC **17–18** ἀναπηγάσῃ V[1]BC: ἀναπηγάσει V **21** τε om. C **25** cave corrigas προκλήσεσι in προσκλήσεσι (cf. infra, 59, 34) **26** βασιλίδι V: βασιλευούσῃ BC

38,3–4 Deut. 28, 10 **6** Ibid. 32, 9 **9–11** Greg. Presb., Vit. Greg. 12, 14–17 (pp. 158–160) **10–11** Ex. 3, 10 **12–13** Ier. 20, 9 **16** Num. 17, 13; Ps. 105, 30 **18–19** Is. 58, 8 **20** Ier. 9, 9

λων ἀσεβῶν· σύνταγμα, παρευθὺς ἀντιβλέψας· καὶ διαμιλλήσασθαι γενναίως ἐπιβαλόμενος. ὢ τῆς ἀνδρίας· ὢ τοῦ μεγάλου φρονήματος· ὅστις οὐκ ὤκνησεν εἰς νοῦν βαλὼν οὐδὲ κατέσχεν ἐπιχειρῆσαι καὶ ἀντιτάξασθαι· οὐδ᾽ ἀπέγνω πρᾶγμα τοσοῦτον· ἀλλ᾽ ἐπήρθη τηλικοῦτον ἀναρρίψαι κύβου κίνδυνον. οὗτος ὁ λογισμός τε καὶ ὁ σκοπὸς· ἡ πρόθεσις αὕτη καὶ ἡ ὁρμή· ἐκεῖνο τοὖργον· ἐκεῖνο τὸ τόλμημα, τίνος οὐ τῶν μεγίστων τὲ καὶ θαυμάζειν ἀξίων, ἀπόδειξιν ἔχει τῷ προελομένῳ· ζήλου περὶ τὴν πίστιν ἤδη σβεννυμένην, τὴν αὐτοῦ καρδίαν ἐξάπτοντος· μεγαλοφροσύνης ὡς ἄρ᾽ ὑψηλοῖς καὶ μεγίστοις πράγμασιν ἐπεχείρησε· καὶ μεγίστοις πρέπουσι, καὶ ἀξίοις ἑαυτοῦ· καὶ ἃ μὴ τῶν πολλῶν ἐστιν εἰς νοῦν βαλέσθαι καὶ ὅλως ἅψασθαι· καὶ ὧν μὴ πολλὰ τὰ παραδείγματα· ἀνδρίας καὶ ῥώμης ἀτρέπτου πάντων πραγμάτων ἐπὶ τοῖς λογισμοῖς ἐκείνοις καὶ τῇ τῶν μεγίστων τὲ καὶ βελτίστων αἱρέσει καὶ ψήφῳ· σπουδῆς εἰς τὴν τοῦ σωτῆρος ἐντολὴν Χριστοῦ· μᾶλλον δὲ τῆς εἰς αὐτὸν ἀγάπης ἀκριβεστάτην παράστασιν ἣν ἔφησε δείκνυσθαι, διὰ τῆς τῶν αὐτοῦ προβάτων ποιμαντικῆς ἐπιμελείας· τοῦτο τῶν ἄλλων ἁπάντων προθέμενος· | τὴν περὶ f. 122^{v} τῶν οἰκείων θρεμμάτων φροντίδα· ὑπὲρ ὧν καὶ τὸ ἴδιον ἐξέχεεν αὐτὸς αἷμα· ἵνα περιποιήσηται λαὸν περιούσιον, φιλαδελφίας ὑπὲρ τῶν ὁμοδόξων ἀγῶνας ἑλέσθαι· καὶ πονεῖν ἐν ἐρημίᾳ προστάτου τῶν πραγμάτων· καὶ τῆς μάχης ἀξίου· συμπαθείας μὲν οὖν καὶ οἴκτου· συμπάσχειν ἐκείνοις καὶ συνταλαιπωρεῖν αὐτὸς· καὶ συγκινδυνεύειν αἱρεῖσθαι· μᾶλλον δὲ καὶ προκινδυνεύειν ἑκών γε εἶναι· θάρρους ἐπὶ τούτοις· εὐελπιστίας· οἶμαι δὲ μάλιστα καὶ προφητείας· ὡς ἔσται πάντως κατὰ σκοπὸν αὐτῷ τὸ πρᾶγμα καὶ ἀνύσιμον· καὶ περὶ τοῦ κατορθοῦν ἔπειθ᾽ ὕστερον· καὶ τῆς νίκης τοῦ τέλους· εὐβουλίας ὅπως ἀμέλει, μετεχείρισε καὶ σοφίας; τί γὰρ δὴ καὶ τῶν βελτίστων ἐνέλειψεν ἐνταῦθα, ὡς ἄρα ἐξαρχῆς ἅπανθ᾽ ὁρᾶν ἔξεστιν, οὑτωσὶ σκοπουμένῳ καὶ προβαίνοντι; τί γάρ; ἐλογίσατο μὲν γεννικῶς τοσοῦτο πρᾶγμα, καὶ τὴν ἀρχὴν εἰς νοῦν

29 ἐπιβαλόμενος V p. corr. B: ἐπιβαλλόμενος V a. corr. C **30** ὤκνησεν VB: ὄκνησε C **31** οὐδ᾽ VB: οὐ δι᾽ C **32** ἐπήρθη VB: ἐπόρθη C | ἀναρρίψαι VB: ἀναθρίψαι C **35** τῷ ex τῶν correctum in B **45** καὶ ante ἐπιμελείας add. BC; ἐπιμελείας V^2 e corr. **47** φιλαδελφίας V p. corr. BC: φιλαδελφείας V a. corr. **51** συγκινδυνεύειν V^2 s.l.BC: κινδυνεύειν V **56** ἐξαρχῆς V: ἐξ ἀρχῆς BC

32 cf. Plut., Mor. 206C **42–45** Io. 21, 16 **47** Tit. 2, 14

κινήσας προσεδέξατο καὶ συνέθετο, οὐ προεθυμήθη δὲ καὶ τάχιστα τοῖς ἔργοις ἐπεβάλετο; ἢ καὶ τοῦτο μὲν, οὐ μετ᾽ εὐχῶν δὲ καὶ βουλῆς ἀνδρῶν ἀρίστων ὡς ἄν τις ἑαυτῷ μόνῳ πειθόμενος καὶ πιστεύων; ἢ οὐ μετὰ θάρρους εἰς Θεὸν ὑπὲρ οὗ καὶ ἡ πᾶσα πρόθεσις, καὶ μετ᾽ ἐλπίδων πάνυ τοι χρηστῶν καὶ πίστεως ἀκραιφνοῦς; ἢ καὶ ταῦτα μὲν, ἀγῶσι δὲ καὶ κινδύνοις οὐκ ἐνέτυχεν; ἢ ἐνήλλαξέ τι τοῖς κινδύνοις τῶν προτέρων γεννικῶν κρίσεων· καὶ τὸν λογισμὸν καὶ τὰς ἐλπίδας ᾔσχυνε τάς τε αὐτὸς αὑτοῦ καὶ τὰς τῶν ἄλλων περὶ αὐτοῦ; ἢ τῶν πολέμων ἐνδεέστερον ὤφθη παρεσκευασμένος καὶ γνώμης ἀστοχήσας καὶ ἀποπλανηθείς; ἢ οὐδὲ τούτων οὐδὲν· οὐ κατώρθωσε δὲ καὶ κάλλισθ᾽ ὑπερέσχε κἀπὶ τῶν ἔργων διεγένετο καὶ τῆς ἀγωνίας καὶ τῶν ἀντιπάλων περιεγένετο, καὶ οὐ μόνον τὸ οἰκεῖον τὲ καὶ ὁμόδοξον διεσώσατο, καὶ διετήρησεν ὑγιὲς καὶ καθάπαξ ἀλώβητον, ἀλλὰ καὶ τὸ ἀλλότριον ἐπεσπάσατο καλλίσταις ὁμολογίαις χειρωσάμενος καὶ ὑποτάξας ἑαυτῷ; ἢ ταῦτα μὲν οὕτω δὴ θαυμαστῶς γέγονε, γέγονε δὲ συμβὰν οὕτω
f. 123 τύχης ἀλογίᾳ καὶ αὐτομάτῳ ῥοπῇ, οὐ μετ᾽ ἐπιστήμης δὲ |καὶ σοφίας· καὶ πάσης τῆς ἐν τοῖς τοιούτοις ἐφ᾽ ὅσον οἷόν τέ ἐστιν ἐμπειρίας τὲ καὶ οἰκονομίας, καὶ ἅμα συμμαχίας ἄνωθεν θεϊκῆς καὶ προστασίας ᾗ καὶ πάντα τὰ καταυτὸν ἐπέτρεψεν; ἢ κεκράτηκε μὲν οὕτω καὶ τὴν νίκην ἤρατο τῷ τῶν λόγων κράτει τῇ ἀρετῇ· τῷ βίῳ· τῷ καθ᾽ ἑαυτὸν ὑποδείγματι, οὐ χαρίζεται δὲ καὶ τῇ νίκῃ καιρὸν ὁ Θεὸς καὶ χώραν ἀδείας αὐτῷ καὶ πλατυσμοῦ δίδωσι, στρέψας ἀδοκήτως τὰ πράγματα καὶ τὴν χρόνιον τυραννίδα τῆς ἀσεβείας, κἀν τούτῳ δοξάζων τὸν αὐτοῦ θεράποντα; ἢ καὶ τοῦτο τοῦ Θεοῦ δόντος, ἀναξίως ἐκεῖνος ἐχρήσατο τῇ νίκῃ καὶ τῷ καιρῷ καὶ κατὰ τοὺς πολλούς· ἢ οὐ πάντα ἀρίστως καὶ ὡς οὐκ ἔξεστιν ἐπαινεῖν καὶ θαυμάζειν ἀξίως; ταῦτα δὴ πάντα· καὶ ὅσα τούτοις ἔτἆλλα πλεῖστα προσήκοντα καὶ συγγενῆ, ἔξεστι μὲν ὁρᾶν ὁμοῦ τηνικαῦτα συμβάντα, καὶ πάνυ τοι θαυμάζειν ἔξεστι· λέγειν δὲ

59 προσεδέξατο VC: προεδέξατο B **64** ἐνέτυχεν VB: ἐνέτυχον C **65–67** τὸν λογισμὸν– περὶ αὐτοῦ V^1 in marg. **66** αὑτοῦ V: αὐτοῦ BC **68** ἀποπλανηθεὶς VB: ἀποπλανηθὴς C **76** ἐφ᾽ ὅσον VC: ἐφόσον B **78** καταυτὸν V: κατ᾽ αὐτὸν BC **81** δίδωσι V p. corr. BC: δίδωσιν V a. corr. **82** ἀδοκήτως V: ἀπροσδοκήτως BC **85** ὡς οὐκ ἔξεστιν V e corr. **87** ἔτἆλλα V: ἔτ᾽ ἄλλα BC

81 cf. Ps. 17, 20

ὅμως καὶ προφέρειν ὡς ἕκαστα ἀξίως, οὐκ ἄρ᾽ ἐστὶν οἶμαι τοῦτο· δηλωτέον δ᾽ ὡς ἄν, οἷος τ᾽ εἴην.

39. Ἐπεὶ γὰρ εἰς τὴν μεγαλόπολιν ταύτην ἐκεῖνος γίνεται, γίνεται δὴ λοιπὸν παραχρῆμα ταῖς ἐκλιπούσαις ἐκείναις καὶ κατατηκομέναις ψυχαῖς, τῇ τοσαύτῃ τῶν ἀσεβῶν ἐπηρείᾳ, καὶ τῇ τῆς ἀρχῆς ἀκμῇ· καὶ τῷ θράσει· καὶ τῷ τῆς αὐτῶν ὑπερηφανίας καύσωνι, δι᾽ ἧς ὁ πτωχὸς ἐμπυρίζεται, δρόσος ἀναψυχῆς· καὶ ὑετὸς πιαίνων προφητικῶς τὰς αὐχμώσας ἀρούρας αὐτῶν· καὶ ζωῆς ἀνάκτησις· καὶ φῶς καθημένοις ἐν σκότει· καὶ προστάτης ἐν ζάλῃ· καὶ λιμὴν ἀσφαλὴς ἐν τοσούτῳ κλύδωνι· καὶ χειμῶνος ἥλιος· καὶ τοῖς οὕτω σφοδρῶς πολιορκουμένοις, ὀχύρωμα κραταιόν· καὶ τεῖχος ἄρρηκτόν τε καὶ ἄσειστον· λόγοις πᾶσι· μηχανῇ πάσῃ καὶ προσβολαῖς· πάντα γίνεται τοῖς κακῶς οὕτω πράττουσιν. ἐντεῦθεν ἀναπνέουσιν αὖθις· ἀνίστανται· θάλλειν ἄρχονται· φέρειν καρπούς, ταῖς ἐκ τοῦ στόματος ἐκείνου πηγαζούσαις, τῶν θείων δογμάτων αὔραις τε καὶ καταπνοαῖς καὶ τοῖς ἐκεῖθεν | ἀεννάοις καὶ ἡδίστοις τῶν λόγων νάμασιν· ὥσπερ δένδρα f. 123v πεφυτευμένα παρὰ τὰς διεξόδους τῶν συνεχῶν τῆς ἐκείνου διδασκαλίας ὑδάτων· καὶ τοῖς ἐκ τῆς κοιλίας αὐτοῦ ῥέουσι ποταμοῖς καταρδόμενα. ἐντεῦθεν ἦσαν ὡς ἐλαῖαι κατάκαρποι· ἢ καὶ τὰ ἐκ τοῦ ᾄσματος ἄνθη τοῦ κήπου· ὃν ἔχει ὁ ὡραῖος ὄντως, ὑπὲρ πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων Χριστός· ἢ φυτὰ καρποφόρα τοῦ παραδείσου τοῦ νοητοῦ, καὶ τῆς θείας χάριτος· ἢ πεφυτευμένα ἐν οἴκῳ Κυρίου· ἢ ἑστῶσαι κυπάρισσοι ἐν τῇ αὐλῇ αὐτοῦ· ὁπότερον ἂν βούλοιτό τις ἐνταῦθα νοεῖν, τὸν οἶκον Κυρίου καὶ τὴν αὐλήν, εἴτε τὴν αὐτοῦ ἐκκλησίαν, εἴτε τὸν μέγαν τοῦτον ὡς ἔγωγε οἶμαι καὶ κάλλιστον ναὸν τοῦ Θεοῦ, Γρηγόριον· τὸ δοχεῖον τοῦ Πνεύματος· ἐν ᾧ καὶ ὁ Πατὴρ καὶ ὁ Υἱὸς μονὴν πεποίηνται, κατὰ τὴν

90 δηλωτέον VB: δηλοτέον C **39,1** ταύτην V²BC: αὐτην V (obl. rubr.) **2** λοιπὸν V¹ in marg. **5** ἐμπυρίζεται VB: ἐμπειρίζεται C **11** κακῶς VB: καλῶς C **14** τε V¹ s.l. **14–15** τοῖς ἐκεῖθεν VB: ταῖς ἐκεῖθεν C **16** τοῖς ex τῆς correctum in C **18** ἐλαῖαι VC: αἰλαῖαι B | καὶ om. BC

39,2–5 cf. Greg. Naz., Carm. II, 1, 598–599 (p. 82) **4–5** Ps. 9, 23 **5–6** Iob 29, 23 **7** Ps. 106, 10; Is. 42, 7 **15** cf. Plat., Tim. 75e **15–16** Ps. 1, 3 **17** Io. 7, 38 **19** Ps. 51, 10; Os. 14, 7 **19–21** Cant. 4, 12–16; Ps. 44, 3 **22** Ps. 91, 14 Ezech. 31, 8 **22–26** cf. Or. 4, 26, 43–44 **26** Io. 14, 23

ὑπόσχεσιν τοῦ σωτῆρος αὐτοῦ· ἐν ᾧ καὶ οἱ θησαυροὶ τῆς σοφίας οἱ ἀπόκρυφοι· καὶ τὰ τῶν θείων λόγων τὲ καὶ δογμάτων κειμήλια καὶ ἀπόρρητα. ἐντεῦθεν οἱ κατατετμημένοι πρότερον ἐκεῖνοι κακῶς, ὥστε καὶ σχεδὸν κινδυνεύειν διασκορπισθῆναι τὰ ὀστᾶ αὐτῶν παρὰ τὸν Ἅιδην, παρὰ τοῦ καλῶς τὰ ἐσκορπισμένα συνάγοντος καὶ συνάπτοντος, ὀστοῦν πρὸς ὀστοῦν· καὶ ἁρμονίαν πρὸς ἁρμονίαν, ὁμοῦ γίνονται· καὶ συνάπτονται καὶ συνίστανται· καὶ συντάττονται καὶ ἀντιτάττονται στερροὶ στερρῶς καὶ γενναίως, πρὸς τοὺς κρατεῖν αὐτῶν ἐπαιρομένους, ἀσεβεῖς ἐχθρούς· καὶ ἀεὶ παντὶ τρόπῳ πράττοντας, ὅπως ἀνδραποδίσωνται τὴν αὐτῶν εὐσέβειαν καὶ πίστιν· καὶ τὰς αὐτῶν αἰχμαλωτίσωσι ψυχάς.

40. Γίνεται μέν γε πρῶτον αὐτοῖς, εὐόριστον καὶ λίαν ἐστενωμένον· καὶ βραχὺ στρατόπεδον, καὶ δέχεται τὴν ἀρχὴν τὸν αὐτῶν ἡγεμόνα καὶ στρατηγὸν, ὁ τηνικαῦτα πάνυ τοι μικρὸς· καὶ διὰ ταύτην δὴ τὴν εὐτέλειαν, τοῖς αἱρετικοῖς παρεωραμένος· καὶ καταλελειμμένος ὑπ᾽ ὀλιγωρίας παντελοῦς, νεὼς Ἀναστασίας τῆς
f. 124 μάρτυρος, τὸν μέγαν τῆς οἰκουμένης ἁπάσης δι|δάσκαλον· τὸν τῆς ὅλης ὀφθαλμὸν ἐκκλησίας· μᾶλλον δ᾽ ὅπερ καὶ μικρῷ πρότερον εἴρηται, τὸν μέγιστον νεὼν τοῦ Θεοῦ· τὸ πολυχώρητον δοχεῖον τοῦ Πνεύματος. ἐντεῦθεν ὥσπερ οἵ τινα ἀκρολοφίαν ἁρπάσαντες τῶν ἀντιπάλων, καὶ κατασχόντες καὶ κατοχυρωσάμενοι ἑαυτοῖς καὶ κατὰ τῆς τῶν ἐχθρῶν ἐκεῖθεν ῥᾳδίως ἐπεκθέοντες χώρας καὶ ὑποποιούμενοι, κἀκεῖνος ὁ μέγας καὶ λίαν ἰσχυρὸς καὶ εὐμήχανος, τῆς ἀληθείας ἀγωνιστὴς ὄντως καὶ στρατηγὸς· ὥσπερ ὀχύρωμά τι καὶ φρούριον τὸν ὀλίγον ἐκεῖνον οἶκον τῆς μάρτυρος· μᾶλλον δὲ τὸν μικρὸν ἐκεῖνον· καὶ τῷ Θεῷ καὶ τῇ ἀληθείᾳ μέγαν λαὸν, προκαταλαβὼν καὶ πηξάμενος τῇ εὐσεβείᾳ· καὶ καθ᾽ ὅσον οἷον τ᾽ ἦν κρατυνάμενος, ἐκεῖθεν λοιπὸν ἐπέξεισι κατατρέχων τὸ πλάτος τῆς ἀσεβείας· καὶ ληιζόμενος καὶ δουλαγωγῶν καὶ τὰ

30 κινδυνεύειν V e corr. **34** στερροὶ BC: στεροὶ V **36–61,15** παντὶ – προαγγέλλων: textus deest in B **40,12** κἀκεῖνος V²CD: κακεῖνος V **17** κρατυνάμενος VD: κρατυνόμενον C

27 Col. 2, 3 **30** Ps. 140, 7 **31–32** Ezech. 37, 7; cf. etiam Greg. Naz., Or. 42, 6, 9–11 (p. 64) **40,3–6** Greg. Presb., Vit. Greg. 12, 35–38 (p. 160)

σκεύη τοῦ τότε δὴ μάλιστ᾽ ἰσχυροῦ διαρπάζων· τοῦ ἐγκαυχωμένου δυνατοῦ τῇ κακίᾳ· καὶ οὗ ἀνομίαν καὶ ἀδικίαν ἡ γλῶσσα ὅλην τὴν ἡμέραν ἐλογίσατο, ὡσεὶ ξυρὸν ἠκονημένον· καὶ ἠγάπησε πάντα ῥήματα καταποντισμοῦ· καὶ ὅσαι ἡμέραι καὶ διαπαντὸς ἀποσπῶν τε καὶ διατέμνων τὸ τῶν κακοδόξων καὶ δυσσεβῶν σύνταγμα· καὶ κατ᾽ ὀλίγους ἐκ πολλῶν· προϊούσης δὲ τῆς ἀγωνίας καὶ κατὰ πλείονας διαιρῶν καὶ εἰς ἑαυτὸν ἕλκων· καὶ ὑπὸ χεῖρα τιθείς· μᾶλλον δὲ τῷ Χριστῷ καὶ τῇ καθαρωτάτῃ πίστει προσάγων καὶ ὑποτάττων· τοὺς πρὶν τετυφωμένους καὶ ἀνυποστάτους εἶναι· καὶ ἀηττήτους δοκοῦντας· ὁ ξένος· καὶ πένης· καὶ τὸ φαινόμενον εὐτελής· τοὺς τὰ μεγάλα φυσσῶντας καὶ ἐπελπίζοντας ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτῶν· καὶ ἐπὶ τῇ ματαιότητι αὐτῶν ἐνδυναμωθέντας. καὶ ἦσαν αὐτῷ συνεχῶς ταῦτα καὶ καθεκάστην, ἐξ οὗ καὶ ἐπιδεδήμηκε τῇ πόλει· ἐκτίλλοντος τοῦ Θεοῦ καὶ μεταναστεύοντος τοὺς παλαμναίους ἐκείνους καὶ ἀγερώχους καὶ θρασεῖς καὶ πάντα νικῶντας· καὶ κρατίστους· καὶ ἀσφαλῶς καὶ ἀκλονήτως | f. 124v
ἑστῶτας ὡς ἐδόκουν, ἀπὸ τοῦ σκηνώματος αὐτῶν· ὡς καὶ τὸ δυσκατέργαστον αὐτῶν τῆς ἐξουσίας καὶ τῆς τυραννίδος ἐκσπάσαι ῥίζωμα τέλεον ἐκ γῆς ζώντων ὡς προϊὼν ὁ λόγος δηλώσει. καὶ ἦσαν τέως γε μὴν ταῦτα, οὐ πάνυ τοι ῥᾷστα τῷ ἀνδρί· οὐδὲ χωρὶς ἀγώνων μεγίστων καὶ κινδύνων· καὶ χωρὶς αἵματος· ἀλλ᾽ ὡς ἀληθῶς μαρτυρικὸν ἐκεῖνος ὑπὲρ τοῦ παρ᾽ ἐκείνοις ἀθετουμένου· καὶ καθυβριζομένου σωτῆρος Χριστοῦ· τοῦ Υἱοῦ τοῦ Θεοῦ δρόμον ἔτρεχε· καὶ προυτίθει τοῖς ἐχθροῖς τὸ σῶμα κακουργεῖν· καὶ πᾶσαν ἔφερε γενναίως δυσχέρειαν καὶ ταλαιπωρίαν· περιφρόνησιν· προπηλακισμὸν· ὀφρὺν ἀνθρώπων, ὕβριν πνεόντων· θράσος, ἀλογίαν δήμου, κατ᾽ αὐτοῦ ζέσασαν εὐθύς· ὑπὲρ ἐκείνων ἐξαπτομένην καὶ ὑπ᾽ ἐκείνων· ἀρχόντων ἀγριότητα καὶ θηριωδίαν· φονικὸν ὁρώντων· καὶ ὄντως ἀνδρῶν αἱμάτων, καὶ εἰς τοῦτο πάνυ τοι προειθισμένων· πολλοῖς τοῖς κατὰ τῶν ἁγίων πρότερον φονικοῖς

21 ξυρὸν VD: ξιρὸν C **24–25** κατὰ πλείονας VD: καταπλείονας C **29** φυσσῶντας VC, servavimus: φυσῶντας D **31** καθεκάστην VD: καθ᾽ ἑκάστην C **36–37** ἐκσπάσαι ῥίζωμα VD: ἐκσπᾶσαι ῥίζομα C **43–44** προπηλακισμὸν V: προπηλακισμοὺς CD **46** θηριωδίαν VD: θηριοδίαν C

19–22 Ps. 51, 3–6 **29–31** Ps. 51, 9 **32–37** Ps. 51, 7 **47** Ps. 54, 24; 138, 19; Prov. 29, 10

τολμήμασι καὶ μιάσμασιν. ἀλλὰ καὶ λίθων νιφάδας ἐπ᾽ αὐτῷ ῥαγείσας· καὶ φερομένας ὄχλου μανικοῦ καὶ ἀτάκτου, δυνάμει Χριστοῦ τοῦ καὶ αὐτοῦ καταλευσθέντος τὲ, καὶ ὑπεκδραμόντος, ὑπεξέφυγε καὶ αὐτὸς παραδόξως, ἀπαθὴς παντάπασι καὶ ἀζήμιος. ἀλλὰ καὶ βήμασιν ἐπάρχων παρέστη τυραννικοῖς· δίκας εἰσπραττόμενος κακουργίας, καὶ στάσεως. ὢ τῆς ἠλιθιότητος· καὶ τῆς ἀλογίας τῶν ταῦτα τολμώντων. ὢ τοῦ φθόνου μάλιστα καὶ τῆς περὶ τὴν εὐσέβειαν ἐπιβουλῆς αὐτῶν καὶ δυσνοίας, δι᾽ ἣν ἦσαν τῷ ἀνδρὶ τὰ τοιαῦτα δράματα καὶ ἐγκλήματα· τῷ πᾶσαν κακίαν ἀπλάστῳ καὶ ἀμαθεῖ· καὶ εἰρήνῃ συντρόφῳ τὲ καὶ ἁπλότητι· οὐκ οἶδ᾽ ὡς εἴ τις τῶν ἀπὸ τοῦ παντὸς αἰῶνος, ἀνθρώπων ἄλλος πλέον. ἀλλ᾽ αὐτὰ δὴ ταῦτα καὶ κατὰ τοῦ δεσπότου· καὶ σωτῆρος αὐτῷ
f. 125 Χριστοῦ πάλαι πρότερον ἐσκαιώρουν οἱ παραπλήσιοι· οἱ παλαιοὶ | τὴν κακίαν ἐκεῖνοι· καὶ πρὸς ἅπασαν ἐπιχείρησιν κατὰ τοῦ καλοῦ πρόχειροι· οὗ μὴ μόνον ἔμαθε τὴν πρᾳότητα καὶ τὴν ταπείνωσιν καὶ τούτων ἦν αὐτοῦ μιμητὴς, ἀλλὰ καὶ τῶν παθημάτων αὐτῶν· καὶ πάσχων ὁμοίως· καὶ ὑπὸ τῶν αὐτῶν· καὶ ταὐτὰ· καὶ φέρων ὁμοίως· καὶ τῶν ἐπηρεαζόντων ἀπαθὴς περιγινόμενος.

41. Ἀλλὰ τῶν πολέμων ἄρα τούτων· καὶ τῶν ἀποστολικῶν πόνων· καὶ τῶν κινδύνων, τίνας τοὺς μισθοὺς φέρεται· τίνα τὰ ἔπαθλα· τίνας τοὺς καρπούς; καὶ ὅρα μοι λοιπὸν τὴν εὐκολίαν αὐτὴν καὶ τὴν εὐφορίαν τοῦ κηρύγματος· τὴν τῆς πίστεως αὔξησιν, συνεχῶς ἀεὶ προϊοῦσαν τὲ καὶ προκόπτουσαν· τὴν τῶν ἀντιπάλων αὐτοῦ τε καὶ τῆς εὐσεβείας ὑπορροὴν, καὶ ὑπόπτωσιν· πλείστων ἑκάστοτε μεταχωρούντων καὶ μετατιθεμένων ἐκεῖθεν· καὶ προστιθεμένων αὐτῷ· οὐ τῶν πολλῶν τε καὶ ἀφανῶν, ἀλλὰ καὶ τῶν μάλιστα προσεχόντων τῇ ἀπονοίᾳ πρότερον· καί τι παρὰ σφίσι δοκούντων εἶναι· τῶν προϊσταμένων τῆς κακοδοξίας θερμῶς· καὶ πᾶσαν τὴν γιγνομένην σπουδὴν εἰσφερόντων αὐτῇ· καὶ πάντα ποιεῖν καὶ πάσχειν ἑτοίμων, ὑπὲρ τοῦ κράτους τῆς ἀσεβείας· καὶ

49 μιάσμασιν V²CD: μιάσμασι V **50–51** δυνάμει Χριστοῦ V: Χριστοῦ δυνάμει CD **41,6** ὑπορροὴν V¹CD: ὑποροὴν V **8** προστιθεμένων VD: προτιθεμένων C **9–10** παρὰ σφίσι VD: παρασφίσι C

49–50 cf. Greg. Naz., Carm. II, 1, 665 (p. 85) **51** Io. 10, 32–33 **53** Greg. Presb., Vit. Greg. 13, 25–27 (p. 164) **61–62** Greg. Naz., Or. 21, 9, 10 (p. 126) **63** Mt. 11, 29

τῆς κακίστης νίκης. τούτους ἦν ὁρᾶν ἡττωμένους τῶν αὐτοῦ λόγων τῆς ἀληθείας καὶ χάριτος· καὶ νῶτα διδόντας καὶ ὑποκύπτοντας· τούτους τοὺς ἄλλους συνέλκοντας ὥσπερ ὑποστρατήγους τινὰς αὐτοῖς συντάγμασι τὴν ἀσέβειαν δραπετεύοντας· ὡς μηδεμίαν αἰσχύνην οὖσαν λειποτακτεῖν τὰ φαῦλα καὶ προδιδόναι, καὶ τοῖς κρείττοσι προσχωρεῖν· καὶ πάντα καιρὸν ὄντα τοῦ καλοῦ· κἂν ὁ μέν τις ἐξ ἀρχῆς συνείη· ὅ δ᾽ ἐν μέσοις μεταμαθὼν τὰ βελτίω· καὶ μετακλινεὶς ἕλοιτο· ὁ δέ τις ἐν αὐτοῖς μὲν οὖν τοῖς ἐσχάτοις μεταστρέψας τοῦ δρόμου τὲ καὶ τοῦ βίου. ταῦτ᾽ ἄρα καὶ τοὖργον ἀεὶ προυχώρει τῷ ἀνδρὶ καὶ προήει κάλλιστα· καὶ ὁ λογισμὸς | εὖ μάλα· καὶ ὁ σκοπὸς τῶν ἀγώνων ἐπέραινεν. οἱ μὲν, f. 125v εἴχοντο τῆς αὐτοῦ γλώττης καὶ διδασκαλίας· οἵ δ᾽ ἔμελλον· οἱ δὲ, τοσοῦτον ἑάλωσαν τῆς ἐκείνου θεοσεβείας καὶ τῶν δογμάτων, ὡς καὶ πολλοὺς ἄλλους προκαλεῖσθαι τὲ καὶ προσφέρειν. καὶ πολὺς ὁ ζῆλος· καὶ πολὺς ἁπάντων ὁ δρόμος· ἐπὶ τὴν τῆς ὁμοουσίου Τριάδος πίστιν· καὶ ῥοπὴ κρατοῦσα λαμπρῶς, καὶ σφόδρα κλίνουσα περὶ τὸ καλὸν καὶ φέρουσα καὶ συνέλκουσα πάσῃ ῥύμῃ. καὶ σαγήνη τις ἀτεχνῶς ἦν εὐαγγελικὴ τοῦ ἀνδρὸς ἡ διδασκαλία· εἰς τὴν κοσμικὴν ταύτην βληθεῖσα θάλασσαν· καὶ ἐκ παντὸς γένους συνάγουσα πάντας ὁμοῦ· ἄνδρας· γύναια· νέους· πρεσβύτας· τοὺς ἀπὸ τῆς συγκλήτου· τοὺς ἀπὸ τοῦ δήμου· τοὺς ἐν ὑπεροχαῖς· τοὺς ἐν ἥττονι τύχῃ· ὅσοι τοῦ βήματος· καὶ ὅσοι τῶν κάτω πραγμάτων· ὅσοι τῆς μοναδικῆς πολιτείας· καὶ ὅσοι μετὰ τοῦ τῆδε βίου, Θεοῦ μὴ παντάπασι τεμνόμενοι· ὅσοι τῶν πρὶν ἐχθίστων καὶ πολεμίων· καὶ ὅσοι τῶν ὁπωσοῦν ἀλλοτρίων ἐν διαφόροις· καὶ πλείστοις κιβδήλοις κόμμασιν· ἡλικίαν πᾶσαν· τύχην πᾶσαν· καὶ πᾶσαν μερίδα πίστεως καὶ σύνταγμα· πάντων πάντοθεν εἰσρεόντων καὶ συμπληρούντων (οὐκ οἶδ᾽ ὅ,τι φῶ), τὸ τῶν ἐκείνου λόγων καὶ τῆς ὁμολογίας πέλαγος, ἢ τὸν ἀείρρουν τὲ καὶ δαψιλῆ ποταμὸν· οὗ τὰ ὁρμήματα καὶ αἱ διαρκεῖς ἐπικλύσεις τὲ καὶ ἀρδεῖαι, πάντῃ περιχωροῦσαι καὶ περιλαμβάνουσαι, τὴν πόλιν εἶχον εὐφραίνειν τὴν τοῦ Θεοῦ· καὶ πρὸς εὐκοσμίαν ἐξ ἀκοσμίας· καὶ καλλονὴν ἐξ αἴσχους, καὶ ἀωρίας διατιθέναι· καὶ ὄντως τοῦ μεγάλου βασιλέως πόλιν ἀποδεικνῦναι.

19 ἐξ ἀρχῆς VC: ἐξαρχῆς D **23** post λογισμὸς δὲ erasum in V

41,30–32 Mt. 13, 47 **42–44** Ps. 45, 5; cf. Or. 4, 26, 43–44 **46** Ps. 47, 3

42. Καὶ γὰρ δὴ καὶ Θεὸς ἄνωθεν λοιπὸν ἐπισημαίνεται καὶ ἐπευδοκεῖ ὁ πάντα ποιῶν καὶ μεταποιῶν ῥᾷστα καὶ μετασκευάζων ὡς βούλεται· καὶ κρίνει πάντως βέλτιον τῷ κράτει τῆς ἰσχύος αὐτοῦ καὶ τῇ ἀρρήτῳ καὶ ἀκαταλήπτῳ σοφίᾳ τῆς κυβερνήσεως· f. 126 πληρωθῆναι λοιπὸν τὸ |τῶν Ἀμορραίων μέτρον ὁρισάμενος· καὶ πέρας τὴν δυναστείαν λαβεῖν· καὶ τοὺς πεπεδημένους ἐκ σκότους καὶ ταλαιπωρίας ἀνάγων· ὁ συνταράσσων τοὺς ἐνδόξους τῆς γῆς· καὶ οἱ ὑψηλοὶ συντριβήσονται· καὶ τοὺς πτωχοὺς τῷ πνεύματι, βασιλείας ἀξιῶν. πάλιν τὰ παράδοξα καὶ παλαιὰ θαύματα· πάλιν συντρίβει τὸν ὑπερήφανον· καὶ ἀνακαλεῖται καὶ περιποιεῖται τὸν ἠγαπημένον αὐτῷ λαὸν, ὃν ἐκεῖνος ἐξέθλιψε· πάλιν καταθραύει εἰς χοῦν ἐκλικμήσας τὸν ἀλλόφυλον καὶ νόθον τῆς αὐτοῦ κληρονομίας καὶ ἐκκλησίας καὶ πίστεως· καὶ ἰᾶται τὰ συντρίμματα τοῦ Ἰσραὴλ· ἃ τυραννικῶς ἐκεῖνος καὶ μανικῶς, τῷ τῆς ἐκκλησίας εὐγενεῖ κλήρῳ καὶ τῇ καθαρᾷ καὶ ἀπλανεῖ κοσμουμένῳ πίστει τοῦ Υἱοῦ τοῦ Θεοῦ καὶ ἡμῶν σωτῆρος, ἐπήνεγκέ τε καὶ προσετρίψατο μηδὲν ἀπηνείας καὶ κακουργίας εἶδος ἀπολιπών. πάλιν παρ' αὐτοῦ Φαραὼ ὁ πικρὸς δυνάστης κακὸς κακῶς συμπνίγεται· καὶ καταστρέφει τὸν βίον ξένῳ θανάτῳ· οὐκ ἐπὶ τῆς θαλάσσης ὡς πρότερον ἀλλ' ἐπ' ἀσφαλοῦς τῆς γῆς· χρόνον μέν τινα τὴν ἀσέβειαν ἐξάψας, καὶ πρηστὴρ τῶν τῆς ἀληθείας προϊσταμένων γενόμενος· καὶ πάσαις ὀδύναις· καὶ πᾶσι δεινοῖς· καὶ κολάσεσι πάσαις, ἀλλὰ καὶ θαλασσίοις ἐμπρησμοῖς ξένοις καὶ ἀλογίστοις πρότερον κατ' αὐτῶν νεανιευσάμενος· τελευτῶν δὲ νῦν καὶ αὐτὸς ἐνταῦθα ξένῳ θανάτῳ πυρὶ συγκλειόμενος καὶ δαπανώμενος καὶ πρὸς τὸ ἀτελεύτητον ἐκεῖνο καὶ ἄσβεστον δι' αὐτοῦ παραπεμπόμενος πῦρ· καὶ ἡ πικρὰ τυραννὶς σβέννυται· καὶ Θεὸς ἀνυπονόητον κοσμεῖ διαδήματι καὶ ὑψοῖ ἐκλεκτὸν ἐκ τοῦ λαοῦ αὐτοῦ μετὰ τὰς

42,10 συντρίβει V^{2}CD: υντρίβει V (obl. rubr.) **17** ἀπηνείας V^{1}CD: ἀπεινείας V **20** πρότερον VD: πέτρον C **22** γενόμενος V^{1}CD: γινόμενος V **26** ἐκεῖνο VD: ἐκείνῳ C

42,1–11 Greg. Naz., Or. 42, 5, 1–12 (p. 60) **2** Amos 5, 8 **5–6** Gen. 15, 6 et Mt. 23, 32; cf. etiam Greg. Naz., Or. 16, 5, PG 35, 940D **6–7** Ps. 106, 11 **7–8** Is. 10, 33 **8–9** Mt. 5, 3; Luc. 6, 20 **10–11** Is. 43, 21 **12–13** Ps. 17, 43–46 **13** Ps. 59, 4 **18** Ex. 14, 15–28 **23–24** Greg. Naz., Or. 42, 23, 8 (p. 100) et Or. 43, 46, 9–10 (p. 222) **25** ad Valentem imperatorem refert **27–28** Sirac. 11, 5 et Greg. Naz., Or. 4, 12, 19 (p. 104)

νίκας· μετὰ τὰ περιφανῆ τρόπαια· Θεοδόσιον τὸν ἄριστον αὐτῷ στρατηγὸν, οὐ κατὰ βαρβάρων μόνον ἐχθρῶν σφόδρα τηνικαῦτα κρατούντων· καὶ τῇ τῆς πίστεως ἀθετήσει θρασέως ἐνορχουμένων, τῇ περιδόξῳ τῶν Ῥωμαίων ἡγεμονίᾳ καὶ κατεπαιρομένων αὐτῆς | f. 126v ἄσχετα, ἀλλὰ καὶ κατὰ τῶν ἀντιπάλων αὐτῶν τῆς εὐσεβείας καὶ τυραννούντων τὴν πίστιν· καὶ μέγαν κατὰ τῶν αὐτῆς σπουδαστῶν καὶ ζηλωτῶν τῆς θείας Τριάδος ἀραμένων τὸν πόλεμον. καὶ δὴ παρρησίαν ἡ ἀλήθεια λαμβάνει· καὶ ῥαστώνην εὐσεβεῖν ὅστις βούλοιτο· καὶ Γρηγορίῳ τῷ θείῳ, δρόμον ἡ σπουδὴ καὶ τὸ κήρυγμα. καὶ τοίνυν τοῦ καιροῦ λαβόμενος ἀνύτειν εἰς τὴν πρόθεσιν, ὁ δὲ, τῶν πόνων καὶ τῆς ἐργασίας θερμότερον ἅπτεται· καὶ τῇ τῶν λόγων καὶ τῆς θεολογίας βροντῇ καταπλήττει καὶ ταπεινοῖ πᾶν τὸ ἀντιπράττον· καὶ τὸ δόγμα κρατύνει τῆς ἀληθείας· καὶ τὸ τοῦ λαοῦ πλεῖστον, ἑαυτοῦ ποιεῖται· καὶ τῆς ὀρθῆς πίστεως. καὶ μέγα τὸ κλέος αὐτῷ κατὰ πάσης τῆς οἰκουμένης καθ᾽ ἧς πάντως καὶ τὸ τῆς πόλεως κράτος· καὶ πάντες ὅσοι κατὰ πάντα γῆς μέρη τῶν ἐκκλησιῶν ἐπιστάται καὶ τῶν ὀρθῶν δογμάτων ἀγωνισταὶ, σφόδρα τε ἐθαύμαζον καὶ ἥδοντο πυνθανόμενοι· τὸν ἄνδρα· τὴν ἀνάκλησιν παρ᾽ αὐτοῦ τῆς εὐσεβείας καὶ εὐδρομίαν· καὶ χάριτας ὄφλειν αὐτῷ τὰς μεγίστας ἐδόκουν· καὶ τῶν καμάτων ἐκείνων μισθὸν τὸν τῆς πόλεως αὐτῷ θρόνον καὶ τὴν ἐπιστασίαν ἔκρινον· πρᾶγμα βραχέος μὲν ἐκείνῳ λόγου· ὡς δ᾽ ὅμως ἐκεῖνοι τὸ προσῆκον τὲ καὶ ἅμα βέλτιον ᾤοντο. ἀλλ᾽ ἐκείνῳ μὲν ὡς ἔφην, μικρὸν ἔμελε περὶ τούτου· ἢ τί γὰρ ἔμελλεν, ἄνθρωπος τοσοῦτον ὑπεραναβὰς τὰ παρόντα καὶ φαινόμενα πάντα, ὡς πάσης τῆς ἐνταῦθα περισπουδάστου δοκούσης εὐδαιμονίας καὶ τῶν μακρῶν οὐσιῶν· καὶ πλούτου· καὶ δόξης· καὶ τρυφῆς καὶ ἀρχῶν καὶ κολακείας τῆς τε πρὸς αὐτὸν τῶν ἄλλων, καὶ τῆς αὐτοῦ πρὸς τοὺς ἄλλους ἐντεῦθεν πᾶσα ἀνάγκη· καὶ τῆς τοῦ βίου καθάπαξ εἰπεῖν ἁπάσης σπουδῆς καὶ πανηγύρεως καὶ τῶν θεάτρων, τρίχινον ἔσθημα

30 μόνον VD: μόνων C **32** περιδόξῳ VD: παραδόξῳ C **41–42** τὸ τοῦ λαοῦ πλεῖστον VD: τοῦ λαοῦ τὸ πλεῖστον C **46** σφόδρα τε V: σφόδρά τε CD **48** ἐκείνων V²CD: ἐκεῖνον V **52** ἔμελε V²CD: ἔμελλε V **53** πάσης V² e corr. **54** εὐδαιμονίας V¹ in marg. **55** καὶ⁵ V² s.l.

57–58 Greg. Naz., Or. 43, 75, 15 (p. 292) **58–59** Id. Carm. mor., PG 37, 639A

ἀλλάξασθαι καὶ μάζαν ὀλίγην καὶ ἀκτησίαν παντελῆ· καὶ μόνας τὰς πρὸς Θεὸν ἐλπίδας;

43. Ἀλλ᾽ ἐκεῖνον τοῦτ᾽ εἶχε μάλιστα τηνικαῦτα· καὶ πᾶς ἦν f. 127 μόνου τούτου· κἀνταῦθ᾽ ἡ πᾶσα τῆς ψυχῆς αὐτῷ ζέσις· | καὶ παρασκευὴ· καὶ τὸ τῆς προθέσεως σύντονον, ὅπως ἄν, μή τις ἐγκοπὴ γένοιτο τῷ κηρύγματι τοῦ εὐαγγελίου· καὶ τῷ νεολέκτῳ τῷδε καὶ νεοπαγεῖ λαῷ· καὶ τῇ τούτου πρὸς τὴν εὐσέβειαν ἀναγεννήσει· καὶ πλάσει· καὶ συμπνοίᾳ καὶ συνδρομῇ· κἂν οὐκ ἦν οὐδ᾽ ἐνταῦθα τὸν ἀρχαῖον ἐχθρὸν καὶ βάσκανον, καὶ πονηρὸν ἄπαυστον· καὶ ἀκοίμητον καὶ πολὺν καὶ δυσθήρατον ἐπίβουλον, καὶ πάσης κακίας σοφιστὴν ἠρεμῆσαι. οἷον γὰρ δὴ καὶ τότε τῷ μεγάλῳ τέρας κακὸν· καὶ Μεγαρικόν τι κατὰ τὴν παροιμίαν μηχάνημα· καὶ δυσνοίας μὲν καὶ κακουργίας, ἀλλ᾽ ἀφελὲς παντελῶς καὶ ληρῶδες ἀνάπλασμα· καὶ ἀγώνισμα σκαιότατον, ἐπανίστησι καὶ καινότατον· καὶ προσδοκίας ἁπάσης πόρρω· καὶ ὅλως ἀλόγιστον ὥστε καταφωράσαι τὲ καὶ φυλάξασθαι· Μάξιμον ἐραστὴν τῶν τῆς ἐκκλησίας πτερώσας θρόνων, κατὰ τὴν Ἰκάρου μυθοποιίαν ἐκείνου καὶ καταγέλαστον ἀπόνοιαν θανατῶντος· ἀνθρώπιον φαῦλον καὶ παντὸς ἀλλότριον καὶ ἀμαθέστατον καλοῦ· καὶ πλὴν ἀναιδείας, οὐδὲν ὂν· τὸν ἅπαντα συζῆσαν ἀεὶ πρότερον αὐτοῦ χρόνον ἀσωτίᾳ καὶ βδελλυρίᾳ· καὶ μακέλλῃ κυνικῇ σύντροφον· καὶ εἰθισμένον αἰσχρὸν αἰσχρῶς τοῖς τῆς ὕλης μολυσμοῖς, ἐπεγχάσκειν καὶ πτώμασιν. οὗτος σκηνῇ κυνικῆς φιλοσοφίας· καὶ βακτηρίᾳ· καὶ βοστρύχων ἀσκήσει· καὶ τρίβωνι, πολλαῖς ἐμπομπεύσας χώραις καὶ πόλεσι, τὸν Ἡρακλέους δῆθεν τρόπον, ὁ καὶ τῆς ἀσελγείας ἐκείνου καὶ τῆς ἀπονοίας ζηλωτὴς· καὶ τραγικὸν δράμα τὸν ὅλον βίον ἐπιδειξάμενος, οὐκ οἶδ᾽ ὅπως, πάντως δ᾽ ἐπὶ κακῷ, τὴν βασιλίδα ταύτην πόλιν, τελευτῶν ἔπειτα καταλαμβάνει· καὶ τρίψας ταύτῃ χρόνον συχνὸν, οἷα εἰκὸς πρὸς τὴν τοσαύτην φήμην, ἐντυγχάνει καὶ Γρηγορίῳ τῷδε τῷ θείῳ· καὶ πλασάμενος

43,2 κἀνταῦθ᾽ VD: κἀνταῦθα C **10** καὶ C s.l. **19** βδελλυρίᾳ VC, servavimus: βδελυρίᾳ D

43,3–4 I Cor. 9, 12 **9–44,27** Greg. Presb., Vit. Greg. 15, 1–56 (pp. 170–174) **10–11** Greg. Naz., Carm. II, 1, 753 (p. 89); CPG II, 518, 8–11 **23** cf. Ibid. 975 (p. 97)

(πῶς ἂν εἴποις;) εὖ μάλα τὸν ἐραστὴν τῶν ἐκείνου λόγων καὶ τοῦ βίου· καὶ τὸ συνεῖναι τῷ ἀνδρὶ ποθεῖν τουλοιποῦ, | τὸν ἅπαντα f. 127v τῆς ζωῆς χρόνον, μεταθέμενος εἰς τὴν εὐσέβειαν τοῦ Χριστοῦ· καὶ καταλείψας τὴν πρώην σοφιστείαν καὶ πλάνην, καὶ δόξας εὔνους εἶναι πλεῖν ἢ κατὰ τοὺς πολλούς, καὶ ζηλωτὴς τῆς τε πίστεως καὶ τῶν λόγων· καὶ κλέψας τὴν πρὸς τὸν μέγαν οἰκείωσιν, τὸν πολὺν μὲν ὄντως τὴν σοφίαν καὶ σύνεσιν· ἁπλοῦν δὲ τὸ ἦθος ὡς οὐκ οἶδ᾽ εἴ τις ἄλλος· καὶ πρὸς τἀγαθὸν μὲν ἑτοιμότατον· καὶ δρᾶν αὐτὸν καὶ ἄλλῳ πιστεύειν καὶ πείθεσθαι· πρὸς δὲ πᾶσαν κακουργίαν ἀποίητον (τὸ γὰρ εἰς κακίαν ἀκίνητον αὐτός φησιν, οὐδ᾽ εἰς ὑπόνοιαν εὐχερές), ἱερατικοῦ τυγχάνει βαθμοῦ· καὶ τῷ κλήρῳ ἐναριθμεῖται· κἀντεῦθεν κακορραφήσας ἐπιβουλήν, ἁρπάσαι πειρᾶται, τὴν ἐπιστασίαν τῆς ἐκκλησίας. καὶ ἦν ἡ πᾶσα τῆς ἐπιχειρήσεως αὐτῷ καὶ τῆς τόλμης ταύτης ἐλπὶς, ἀπάτῃ καὶ δόλῳ, κατεργάσασθαι τὸ βούλημα· καὶ χρυσῷ πάντα κακῶς δυναμένῳ· οὐκ ἐν ἄλλοις μόνον πράγμασιν, ἀλλὰ καὶ τοῖς τῶν ἐκκλησιῶν αὐτοῖς, ἐνίοτε· πάντα ῥᾳδίως πράττοντι· καὶ μεταποιοῦντι καὶ στρέφοντι, ὥσπερ ἐν πεττείαις τισὶ· καὶ παλιρροίαις· καὶ στροφαῖς Εὐρίπων. φεῦ τῆς αἰσχύνης· φεῦ τῆς ἀναιδείας· φεῦ τῆς παραπληξίας τῶν κακῶν οἰκονόμων τῆς ἱερωσύνης καὶ προστατῶν. τοῦτον μέν γε τὸν χρυσὸν, φθάνει κατά τινα τύχην, μᾶλλον δὲ παρασκευὴν ἀληθῶς τοῦ πρώτου τῆς κακίας οἰκονόμου καὶ ἀρχιτέκτονος, ῥᾷστα πορισάμενος εἰς τὴν χρείαν· πρεσβυτέρου τινὸς ἐκ Θάσου πρὸς τὴν πόλιν ταύτην τὸ μέγα τῆς οἰκουμένης ταμεῖον καλῶν ἁπάντων, ἐπιδημήσαντος, κατὰ χρείαν ἱερῶν τινῶν ἐξωνήσεως· πολλαῖς ἀπάταις καὶ ὑποσχέσεσι, κλέψας ἐκεῖνον τὸν ἀμαθῆ· καὶ ξένον τὲ καὶ ἠλίθιον. καὶ τοίνυν ἐκ τούτων τυγχάνει λοιπὸν ὥς γε δοκεῖ, τῆς ποθουμένης ἀρχῆς καὶ τῶν θρόνων· καταπέμπτοις ἐπισκόποις καὶ γράμμασιν εἰς τὴν χειροθεσίαν, αὐτοῦ τοῦ τῆς Ἀλεξανδρείας ποιμένος (ὢ τῆς | κουφότητος· f. 128 ὢ τῆς ἀστάτου καὶ ἀσυντηρήτου γνώμης καὶ κρίσεως), τοῦ χθὲς

29 εὖ μάλα om. C **32** πλάνην V^{2} e corr. **36** αὐτὸν V^{1} s.l.CD: αὐτὸ V **37** ἄλλῳ V^{1}CD: ἄλλον V **38** αὐτός φησιν V: αὐτὸς φησὶν CD **44** τοῖς C s.l. **47** Εὐρίπων VD: Εὐρίππων C

38–39 Greg. Naz., Or. 21, 15, 14–15 (p. 142) **47** CPG II, 100, 12–13 **52** Greg. Naz., Carm. II, 1, 875 (p. 93) **54–61** Ibid. 887–894 (p. 94)

ἤδη καὶ πρώην διὰ γραμμάτων Γρηγορίῳ τὴν ἐπισκοπὴν ἐγχειρίζοντος. ὡς ἀληθῶς ὅμοια ταῦτα τοῖς ἐν ἀγορᾷ καθημένοις παιδίοις κατὰ τὸν εὐαγγελικὸν λόγον, καὶ ἀντιφθεγγομένοις καὶ παίζουσι. τίς ἔγνω· τίς ὅλως ἤκουσε τοσοῦτο κάκιστον καὶ ἀλογώτατον καὶ ἀναιδέστατον καὶ ἅμα γελοιότατον καὶ ἀνοσιώτατον τόλμημα; ἀντὶ τίνος, τίνα προβαλλομένου, καὶ μετατιθέντος; τὸν ἀσχήμονα καὶ ἐπίτριπτον καὶ τραγικῆς ὑποκρίσεως καὶ βδελλυρὸν καὶ δύσνουν καὶ ἀσύνετον τῶν εὐσεβῶν νομίμων καὶ ἀμαθῆ· καὶ χθὲς οὔπω καὶ πρὸ τρίτης κακοήθως ἡμμένον τῆς πίστεως, τοῦ μεγάλου διδασκάλου· καὶ τῶν θείων ἐξηγητοῦ· καὶ τεχνίτου τῆς πίστεως· καὶ τοῖς ἁγίοις ἐντραφέντος ἐξαρχῆς τῆς ἐκκλησίας ἔθεσί τε καὶ δόγμασι· καὶ τὸν βίον ὁμοῦ καὶ τὸν λόγον, οὕτως ὑψηλοῦ, καὶ κεκαθαρμένου ὡς οὐδενὶ παραλιπεῖν ἐφάμιλλα φρονεῖν· καὶ τὸν λαὸν αὐτὸν τόνδε τὸν νεοπαγῆ τε καὶ οὐκ ἀσφαλῆ· καὶ πολλῆς ἔτι τῆς ἐπιμελείας καὶ τῆς φροντίδος δεόμενον, ἀγῶσι καὶ πόνοις ἀποστολικοῖς καὶ σκάμμασιν· ἢ μᾶλλον εἰπεῖν, οἰκείοις αἵμασι καὶ κινδύνοις ὠδινήσαντος· καὶ τὴν ἐκκλησίαν ταύτην τὴν ὥσπερ ἐν κύβοις τισὶ προκειμένην τὲ καὶ κατερριμμένην τηνικαῦτα τοῖς καλοῖς αὐτῆς οἰκονόμοις· καὶ ῥᾳδίως τῷ βουλομένῳ προπινομένην, καταβεβλημένην πρότερον εἰς παντελὲς ἐρείπιον, ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν, νέαν πηξαμένου καὶ ἀνορθώσαντος· καὶ τοιοῦτον αὐτῆς ὑποθεμένου τὸν θεμέλιον, παρ᾽ ὃν οὐδεὶς ἕτερον θεῖναι δύναται· καὶ τὴν ἄνυδρον ταύτην χώραν τῆς εὐσεβείας, καὶ συνοῦσαν αὐχμῷ καὶ νοσοῦσαν, ταῖς τῶν καθαρωτάτων καὶ πολυρρύτων αὐτοῦ λόγων καὶ τῆς θεολογίας ἀρδείαις, πιάναντός τε καὶ γεωργήσαντος· οἷς αὐτὸς εὐγενέσι καὶ καθαροῖς f. 128v ἐνέθετο σπέρμασι· καὶ τὴν τῶν | ἐσκορπισμένων προβάτων ποίμνην ταύτην καὶ ἀγρίοις κατατετμημένην καὶ καταβεβρωμένην λύκοις, καὶ πλείστοις αἱρετικοῖς θηρίοις, συναγαγόντος καὶ περιποιησαμένου, τῇ τῆς τροφίμου διδασκαλίας εὐνομίᾳ καὶ

60 τὸν post γραμμάτων erasum in V | Γρηγορίῳ V e corr. **66** βδελλυρὸν V, servavimus: βδελυρὸν CD **68** πρὸ V^2 e corr. **71** οὕτως V^2CD: οὕτω V **75** σκάμμασιν VD: κάμμασιν C **78** αὐτῆς VD: αὐτοῖς C **81** αὐτῆς VD: αὐτοῖς C **83–84** καθαρωτάτων V^2CD: καθαρωτέρων V **86** τῶν iteravit V **87** κατατετμημένην VD: κατανεμημένην C **89** διδασκαλίας V^2 e corr.

61–63 Mt. 11, 16; Luc. 7, 32 **86–87** Ier. 23, 1; Mt. 26, 31; Marc. 14, 27; Io. 10, 12 **88–89** Greg. Naz., Or. 40, 45, 7 (p. 304)

φυλακῇ πολυπόνῳ· καὶ τὴν χήραν τέως καὶ ἄνανδρον καὶ παρὰ πάντων ἀπερριμμένην καὶ παρεωραμένην ἐπισκεψαμένου συμπαθῶς τε καὶ φιλανθρώπως· καὶ δόντος αὐτῇ τὸν ἀρραβῶνα τοῦ Πνεύματος· τοῦ πρότερον μὲν ἐν αὐτῇ βλασφημουμένου τὲ καὶ ἀθετουμένου· δι᾽ αὐτοῦ δὲ τοῖς ἐγκάτοις ἐγκαινισθέντος αὐτῆς καὶ παρ᾽ αὐτῆς τιμωμένου· μετὰ τῆς ὁμοφυοῦς, τοῦ Πατρός τε καὶ τοῦ Υἱοῦ συντάξεως;

44. Ἀλλ᾽ ἐπανακτέον τὸν λόγον. πειρᾶται μὲν ὁ μάταιος ἐκεῖνος καὶ λῆρος καὶ ἀναιδής, τὸν τρόπον ὃν ἔφην, τὸν τῆς ἐπισκοπῆς ἁρπάσαι θρόνον, ἀπροόπτως καὶ ἀνυπονοήτως ἐπιπεσών· ἐκκρουσθεὶς δὲ κακὸς κακῶς τῆς πόλεως, δυσχεράναντος ἐπ᾽ αὐτοῖς παντὸς τοῦ λαοῦ, ὡς ἔγνω παραχρῆμα τὸ δρώμενον, καὶ οὐ μόνων τῶν οἰκείων αὐτῶν τῆς πίστεως, ἀλλὰ καὶ τῶν ἀλλοτρίων καὶ ἀντιθέτων πρὸς τὴν τοσαύτην τόλμαν ἁπάντων ἐξαφθέντων, καὶ οὐκ ἀνασχομένων ἔχειν ἠρέμα, τὴν ἔχουσαν πόλιν τὸν βασιλέα καταλαμβάνει Θεσσαλονίκην· ἔτι περὶ τὴν τῶν Σκυθῶν ἀσχολούμενον μάχην, καὶ οὔπω τότε παρὰ τῇ βασιλίδι ταύτῃ γενόμενον. πάλιν κἀκεῖ πειρᾶται βασιλείῳ κράτει τοῦ θρόνου τυχεῖν· καὶ ἀήττητος ἐκεῖθεν τοιγαροῦν ἐπανήκειν καὶ δυσαντίβλεπτος· τὸ ποθούμενον ἀπολαβὼν, καὶ τὴν πρώτην ἐπιχείρησιν καταπραξάμενος· καὶ πάλιν ἀποκρούεται κἀκεῖθεν· μεμισημένος τῆς τοσαύτης μανίας καὶ λύσσης ἅμα καὶ καταγέλαστος· οὐ κύων μόνον, ἀλλὰ καὶ λύκος κατὰ τὴν παροιμίαν χανών· μηδὲν ὀνάμενος τῆς ἀναιδείας, καὶ τῶν πολλῶν δόλων, καὶ τοῦ χρυσοῦ· μὴ δὲ τῆς ψήφου τῶν διακενῆς ἀνομούντων ἐκείνης· καὶ παραλόγου χειροθεσίας, | πρὸς τὴν τοῦ καλλίστου βασιλέως εὐγένειαν καὶ σοφίαν. f. 129
καὶ τοίνυν εἰς Αἴγυπτον ἀπάρας, ἐπιφύεται τῷ δόντι τῆς ἱερατείας ἐκείνης τὸ σύνθημα· καὶ ἢ τὸν ψηφισθέντα παρ᾽ αὐτοῦ καὶ προδεδομένον θρόνον ἀπολαμβάνειν, ἢ τὸν αὐτοῦ πάντως ἐκβιάζεται κακοήθως καὶ ἀναισχύντως. κἂν ἔφθη κακόν τι τὸν εὔκολον

91 ἀπερριμμένην VD: ἀπεριμμένην C **94** καὶ post δὲ erasum in V **44,5** δρώμενον VD: δρόμενον C **6** μόνων VD: μόνον C **11** τοῦ CD: τού V **15** λύσσης ἅμα V[2] e corr. **22** πάντως V e corr.

92–93 II Cor. 1, 22 et 5, 5 **93** Marc. 3, 29; Luc. 12, 10 **94** Ps. 50, 12 **44,4–5** Greg. Naz., Carm. II, 1, 11 939–940 (p. 96) **8–27** Ibid. 1001–1023 (pp. 98–99) **16** CPG II, 121, 6–7 **18** Ps. 24, 3

ἐκεῖνον καὶ κοῦφον διαπραξάμενος· καὶ κίνδυνον ἀδόκητον αὐτῷ προσετρίψατο, εἰ μὴ χεὶρ ἐπέσχεν ἐπαρχικὴ, τὴν παραπληξίαν καὶ τόλμαν τοῦ ἀνδρός· καὶ τὴν στάσιν ἤδη κυμαίνουσαν κατὰ τῆς πόλεως ἐκείνης καὶ τῆς ἐκκλησίας ἔπαυσεν.

45. Ἀλλὰ τὰ μὲν τῆς ἀναιδείας Μαξίμου· καὶ φιλαρχίας καὶ κακουργίας, οὕτως ἔστη. Γρηγορίῳ δὲ τῷ θείῳ, τὸ μὲν σῶμα πονήρως εἶχε· καὶ πρὸς τοὺς πόνους δυσκόλως· καὶ οὐκ εἰωθότως εἵπετο τῇ γνώμῃ καὶ συνέπραττε· τὰ μὲν, αὐτοῖς τοῖς καμάτοις· τὰ δὲ, καὶ γήρᾳ λοιπὸν ἤδη· τὰ δὲ, καὶ νόσῳ δαπανώσῃ ἣν οἱ τοσοῦτοι κάματοι καὶ αὐτὴν ἤσκησαν· ἡ ψυχὴ δὲ καὶ πρότερον μὲν ἀεὶ πρὸς τὰς φροντίδας ἀηδῶς εἶχε· καὶ πάνυ τοι τὸ ἄπραγμον ἠσπάζετο· τηνικαῦτα δὲ καὶ τῷ συμβάντι πληγεῖσα, πρὸς τὴν ἔξω φροντίδων· καὶ πραγμάτων· καὶ φθόνων· καὶ θορύβων καὶ στάσεων, ἔριδός τε πάσης καὶ φιλαρχίας ἄνετον πολιτείαν, αὖθις ὁλοσχερῶς ἑώρα· ὡς τοῦτο μόνον ἀναγκαῖον ὂν καὶ χρείαν ἀπαραίτητον ἔχον, ὑπὲρ αὐτοῦ Θεοῦ καὶ τῶν θείων, καὶ κινδυνευούσης τῆς πίστεως τἆλλα πάντα παρορᾶν, τὰ καθ' ἑαυτὸν ἅπανθ' ὁντιναοῦν ἥδιστα καὶ προθύμως ὁπώσποτ' ἂν ἔχοι· καὶ φέρειν εἰς μέσον· καὶ πρὸς πράγματα καὶ πολέμους, ἔπειτα πάντας ἀποδύεσθαι· καὶ πάντων κινδύνων ἀφροντίστως ἵστασθαι πρὸς τὴν τῆς εὐσεβείας ἐπήρειαν· καὶ τοῦτο μόνον οὕτω καλῶς· περὶ δὲ τῶν ἄλλων ἁπάντων· ἀρχῶν· καὶ δυναστειῶν καὶ κράτους· καὶ θρόνων ὕψους· καὶ προεδρίας· καὶ τιμῆς | f. 129v καὶ κρότων· καὶ θριάμβων· καὶ προελεύσεων· καὶ πομπῆς· καὶ δορυφορίας, ὀλίγον τινὰ κομιδῇ τὸν λόγον ὄντα τοῖς γε δὴ σώφροσι· καὶ τῶν πραγμάτων εὐστόχοις καὶ σοφοῖς ἐπιγνώμοσι. ταῦτά τε δὴ στρέφων εἰς νοῦν καὶ ἅμα τὸ μεῖζον κάλλιστα συνορῶν ὡς εὐσεβοῦς ἤδη τῆς βασιλείας κρατούσης, πολλῷ ῥᾴων ἡ τῶν ἀντιδόξων μάχη τῇ ἐκκλησίᾳ διαφέρειν καὶ πολλὴ τοῦ θεοσεβεῖν ἅπασιν ἡ εὐκολία· καὶ τῶν ὀρθῶν ἔχεσθαι καὶ ἀτρέπτως ἔχειν δογμάτων διὰ τὴν δεδομένην ἤδη τοῖς πολλοῖς αὐτονομίαν τῆς πίστεως· καὶ τοῖς λογισμοῖς τούτοις τὸν νοῦν πήξας καὶ καταστησάμενος, ἐπὶ τῶν προτέρων

45,3 εἰωθότως V[2]CD: εἰωθότος V **8** καὶ V[1] s.l. **13** τῆς V e corr. | τἆλλα V: τ' ἄλλα C, τἄλλα D **16** πάντων V e corr. **17** περὶ V[2]CD: ερὶ V (obl. rubr.)

45,2–8 Greg. Naz., Carm. II, 1, 1038–1056 (pp. 100–101)

εὐγενῶν ἐρώτων καὶ τῆς ἀτυρβάστου βιοτῆς, ὅλος ἦν τότε τῆς ἡσυχίας καὶ τῆς ἀναχωρήσεως· καὶ λόγους τινὰς ἐξειπὼν εἰς τὸν λαὸν ἐξιτηρίους, ἔπραττε λοιπὸν πρὸς τὴν ἐκδημίαν.

46. Ἐνταῦθα δὴ γίνεταί οἱ πρᾶγμα δυσχερέστατον· καὶ σφόδρα λογισμοῦ παντὸς ἔξω καὶ προσδοκίας. ἀνίσταται πᾶσα σχεδὸν ἡ πόλις αὐτῷ καὶ ζέει· καὶ ταράττεται πρὸς τὴν ἔξοδον· καὶ ὡσπερεί τινι πατάγῳ βροντῆς ἀήθει καταπλαγέντες, καὶ τοὺς λογισμοὺς ἐκτραπέντες, ἢ κλόνῳ γῆς σφοδροτάτῳ κατασεισθέντες, περιστάντες αὐτὸν ἅπαντες, κατεῖχον ἄφυκτα, τοῦτο μὲν δεήσεσι· τοῦτο δὲ καὶ ἄντικρυς βίᾳ· πάντα καὶ λέγοντες καὶ ποιοῦντες ἐλεεινά· καὶ πείθειν καὶ δυσωπεῖν ἔχοντα· καὶ τελευτῶντες οὐδ᾽ ἄν, εἴ τι γένηται, καταλιπεῖν ἀξιοῦντες καὶ συγχωρῆσαι τὴν ἐκδημίαν. ὧν ἁπάντων ἀήττητος ἦν, ἡ πρὸς τὸ δόξαν ἐκείνῳ πρόθεσις. ἓν μόνον τὴν ἄσχετον ἐκείνου κάμπτει, καὶ ἄτρεπτον ὁρμὴν τῆς ἀποχωρήσεως καὶ φιλονεικίαν· καὶ ὑποκλίνει τότε καὶ ὑποτάττει σφίσιν, ἀναβοήσαντός τινος ἐν μέσῳ τρανῶς καὶ παρρησίᾳ, «συνεκβάλλεις σαυτῷ τὴν Τριάδα τῆς πόλεως, ἢν μὴ μένῃς, καὶ τοὺς θρόνους αὐτὸς ἔχῃς τῆς ἐκκλησίας· ἣν σαυτοῦ σπουδῇ καὶ τέχνῃ καὶ ἱδρῶσιν, ἐδημιούργησας καὶ συνέπηξας». δουλοῖ τὸν ἄνδρα τὸ τολμηρὸν | ἐκεῖνο ῥῆμα. ἢ πῶς γὰρ οὐκ ἔμελλεν· ἢ πῶς f. 130
ἐνεγκεῖν ὅλως οἷος τ᾽ ἄν, ἦν, ὑπὲρ οὗ τοσαῦτα προπεπονηκὼς εὖ μάλα κατεπράξατο, καὶ κατώρθωσε παντάπασιν ἀφειδήσας ἑαυτοῦ· καὶ πάντα κίνδυνον, παρ᾽ οὐδὲν θέμενος· πρότερόν τε ἐν τοῖς λογισμοῖς, καὶ τῇ τῆς ἐγχειρήσεως βασάνῳ καὶ σκέψει· καὶ μεθύστερον, ἐν αὐτοῖς μάλιστα τοῖς πράγμασι καὶ τῇ πείρᾳ, τοῦτο παριδεῖν οὕτω καὶ προδοῦναι τάχιστα, ὑπολογιζόμενος καὶ ζητῶν, ὁτιοῦν οἰκεῖον; τοιγαροῦν τοὺς μὲν παρ᾽ αὐτῶν διδομένους θρόνους τοὺς ἐπεράστους ἐκείνους· καὶ τὴν περισπούδαστον τοῖς πολλοῖς ἐξουσίαν καὶ τυραννίδα, καὶ αὖθις ἐκφεύγει καὶ παραιτεῖται (οὐδὲ γὰρ ἦν πρὸς αὐτοῦ καθέδραν ποιμαντικήν· καὶ ἀρχὴν ἐπιτρέχειν,

46,2–3 σχεδὸν πᾶσα primum scripsit V, deinde litteris βα suprascriptis ordinem invertit V[1] **15** ἔχῃς V[1]CD: ἔχεις V **20** παρ᾽ οὐδὲν V: παρουδὲν CD **25** τοῖς om. C

46,14 Greg. Naz., Carm. II, 1, 1100 (p. 106); Greg. Presb., Vit. Greg. 15, 49–50 (p. 172)

οὕτω δὴ ῥᾷστα καὶ κατὰ τοὺς πολλούς, φορᾷ πλήθους καὶ λαοῦ δυναστείᾳ χρώμενος ἐπισκόπων χωρὶς αἱρέσεως καὶ δοκιμασίας), μένειν δὲ τῇ πόλει καὶ βοηθεῖν αὖθις τῇ πίστει ἐπὶ ῥητοῖς πείθεται. καὶ συνθέμενον λοιπὸν οὕτω καὶ μείναντα, πάλιν εἶχεν ἡ συνήθης σπουδή· καὶ ὁ πρὸς τοὺς ἀντιπάλους τῶν ὀρθῶν δογμάτων τῆς πίστεως ἀγὼν μετὰ πλείονος ἅμα καὶ ἀκμαιοτέρας παρὰ τοῦ καιροῦ τῆς ἐλευθερίας.

47. Οὐ πολὺς ἐν τούτοις ὁ χρόνος καὶ βασιλεὺς ἐκεῖνος κάλλιστος ἐκ τῶν πολέμων καὶ τῆς ἀριστείας καὶ τῶν Σκυθικῶν τροπαίων ἐπιδημεῖ τῇ πόλει· ἃ δὴ μετὰ τῆς ὀρθῆς κατεστήσατο πίστεως, οὐ κρεῖττον μόνον ἢ πρότερον, οἱ χωρὶς τῆς ἐντεῦθεν συμμαχίας, συνταττόμενοι καὶ ἀντιταττόμενοι τοῖς ἐχθροῖς· ἀλλὰ καὶ κρεῖττον ὡς ἀληθῶς ἢ τίς ἄν, ἀξίως ἠγάσθη· μᾶλλον δέ, ἢ τίς ἄν, καὶ ηὔξατο πρότερον, πολὺς μὲν ἐκεῖνος τὴν ἀνδρίαν· οὐχ ἧττον δὲ τὸ πρᾶον· καὶ πολὺς μὲν τὴν ῥώμην· ἀλλὰ καὶ τὴν σύνεσιν· καὶ ταῦτα μέν, ὁμοῦ θαυμαστός· πρὸ δὲ τούτων, τὴν πίστιν· καὶ τότε δὴ πρῶτον τῆς τε πόλεως καὶ τῆς ἀρχῆς αὐτῆς, καὶ μὴν καὶ πρὸ τούτων οὐχ ἥκιστα, τῆς εὐσεβείας ὡς εἰπεῖν αὐτοκρατορικῶς πειρώμενος. ἡ γὰρ περὶ τὰς μάχας εἶργε τέως
f. 130v ἀσχολία· αἳ χρόνον μέν τινα ἰδιώτην· χρόνον δέ τινα | καὶ μετὰ τὴν ἀρχήν, εἶχον ἐκεῖνον πάντων ἀνεπίστροφον. ὡς δ᾽ ἐπιδημεῖ, καὶ τὴν ὀρθὴν πίστιν τοῦ δόγματος, αὐτίκα τρανοῖ καὶ παρρησιάζεται· καὶ ὃν πρότερον ἐξ ἀκοῆς Γρηγόριον· καὶ τοὺς αὐτοῦ μεγάλους ἀγῶνας ὑπὲρ τῆς ἀληθείας καὶ συμμάχους αὐτῷ τοῖς ἀγῶσι καὶ τοὺς λόγους καὶ τὴν ἀρετὴν ἐπόθει καὶ ἐθαύμαζεν, ἔτι πλεῖον καὶ ποθεῖ καὶ θαυμάζει καθορῶν καὶ πειρώμενος. ταῦτ᾽ ἄρα καὶ τῆς ἐκκλησίας κρατεῖν αὐτὸν ἀξιοῖ· καὶ τὸν μέγαν τῆς πόλεως νεών, τοῖς ἐκείνου δίδωσι πόνοις· καὶ τὸ ἱερατικὸν ὡς ἄν, εἴποι τις ἀρχεῖον· καὶ τὰ πτωχικὰ διοικεῖν προσοδήματα· καὶ τἆλλα πάντα τῆς ἐκκλησιαστικῆς ἐξουσίας συνθήματα· τὰ τῆς βασιλικῆς εὐσεβείας σύμβολα καὶ σπουδάσματα· ἅπερ ἤδη φθάσαντα, τοῖς

29 χρώμενον exspectaveris **33–47,4** ἀγὼν – πίστεως V[1] in marg. **47,5** ἀντιταττόμενοι V[2]s.l.CD: ἀνταττόμενοι V **8** an ἧττων scribendum? **11** οὐχ ἥκιστα VC: οὐχήκιστα D **11–12** ὡς εἰπεῖν αὐτοκρατορικῶς V: αὐτοκρατορικῶς ὡς εἰπεῖν CD **12** εἶργε V: εἶργε CD **15** πίστιν V[2] e corr. **17** καὶ V[1] s.l. **22** τἆλλα VD: τ᾽ ἄλλα C **23** τὰ V[2] s.l., om. CD

αἱρετικοῖς ἦσαν χρόνιά τε καὶ βέβαια. δεινὸν γὰρ εἶναι καὶ ὑπερβαλλόντως ἀσύμφωνον τοῦτο καὶ ἄτοπον, αὐτοῦ κρατοῦντος, τοὺς ἀντιδόξους αὐτῷ τῇ πίστει καὶ ἀντιθέτους, καὶ ἀντιθέους, τῶν γε τοιούτων ἔτι κρατεῖν· καὶ παραχωρεῖν αὐτὸν τοῖς ὄντως ἐχθροῖς τῆς ἐξουσίας ταύτης καὶ τῆς τιμῆς, ἀλλὰ μὴ πάντα τρόπον τάχιστα ἐξελέσθαι, τῶν ἀλλοτρίων τὲ καὶ ἀδίκων· καὶ τὸ ἱερὸν ἐκκαθάραι τῶν καπηλευόντων τὸν λόγον τῆς ἀληθείας· καὶ συντελούντων τὰ ἄνομα· καὶ τοῦ βήματος ἀναξίων καὶ τὸν δεσποτικὸν οἶκον, οἶκον ἐμπορίου πεποιηκότων· καὶ καταπραγματευομένων τῆς εὐσεβείας, διὰ τῶν τῆς εὐσεβείας δικαίων· καὶ τοῦτο παρακερδαινόντων ἐντεῦθεν, τῆς τῶν δυναστευόντων ἀπληστίας. οἱ δὲ (φεῦ τῆς ἀθεΐας· φεῦ τῆς δι᾽ αὐτὴν τόλμης καὶ ἀναιδείας· ἢ μᾶλλον εἰπεῖν, ἀνοίας), πρὸς τοὺς κρατοῦντας μετὰ τῆς εὐσεβείας, λαμπρῶς ἀντετάττοντο καὶ ἀντεποιοῦντο, τῶν μὴ προσηκόντων σφίσι· καὶ ὅπλα· καὶ στρατοὺς | καὶ μάχην καὶ ξίφη πρὸ τῶν f. 131
ἱερῶν οἴκων ἀνθιστάναι· δεινοὶ δεινῶς ἐπειρῶντο, κατὰ τοῦ πρᾴου καὶ εἰρηνικοῦ ποιμένος, καὶ μιμητοῦ τοῦ πρώτου ποιμένος καὶ ἡγεμόνος Χριστοῦ· καὶ κατ᾽ αὐτὸν ὡς πρόβατον ἐπὶ τὴν σφαγὴν χωροῦντος· καὶ ὡς ἀμνὸς ἄκακος ἐναντίον τοῦ κείροντος, οἱ φονεῖς ἐκεῖνοι καὶ ἄνδρες αἱμάτων· καὶ τὴν πάναγνον ἐκείνην οἰκίαν καὶ θείαν σκηνὴν, σπήλαιον λῃστῶν ἀποδείξαντες.

48. Ἀλλὰ ταῦτα μὲν ἐπέσχεν ἡ βασιλικὴ προμήθεια καὶ δυναστεία· καὶ ξίφος ἓν μόνον εἰς τὴν τοῦ ἀνδρὸς σφαγὴν γυμνωθὲν, ἐκ παρασκευῆς λάθρᾳ συνεστάλη καὶ κατεκαλύφθη πάλιν ἄπρακτον· μὴ θριαμβεῦσαν τὴν τοῦ σφαγέως ἀπόνοιαν. εἶχε δ᾽ ὅμως τόν τε βασιλέα καὶ τὸν ἱερέα, τὸ ἱερὸν· καὶ πᾶν ὁμοῦ τὸ ὁμόδοξον πλῆθος μετ᾽ εὐχαριστηρίων τῶν εἰς Θεὸν ὕμνων· εἶχε μέν γε μετά τινα τηνικαῦτα συμβᾶσαν ἀθυμίας ἀχλὺν, εὐθυμοῦντας τὲ καὶ κροτοῦντας ἐν θαύματι· καὶ προστιθέντας ἔτι τῇ δόξῃ τῆς εὐσεβείας· καὶ τοῖς δι᾽ αὐτὴν εὐχαριστηρίοις. ἡμέρα γὰρ ἐδέδο-

43 καὶ om. D **44** ἐκείνην οἰκίαν V[1] e corr. **48,7–8** εὐθυμοῦντας τὲ V: εὐθυμοῦντας τε D, τὲ om. C

47,30–33 Io. 2, 16 **41–42** Io. 10, 11 et 14 **43** Is. 53, 7 **43–44** cf. supra, 40, 47 **45** Ier. 4, 11; Mt. 21, 13; Marc. 11, 17; Luc. 19, 46 **48,4–50,2** Greg. Presb., Vit. Greg. 18, 1–34 (pp. 182–184); Greg. Naz., Carm. II, 1, 1353–1395 (pp. 112–114)

κτο πρότερον ἤδη καθ᾽ ἣν ἔδει γίνεσθαι, καὶ ἀπαντᾶν αὐτοὺς εἰς τὸ ἱερόν· καὶ παρῆν ἡ κυρία· καὶ ἦν εὐθὺς ἕωθεν ἥλιος ἐν ζόφῳ· καὶ νέφη περὶ αὐτὸν ἀποφράττοντα τοῖς ἀνθρώποις, τὰ παρ᾽ αὐτοῦ δῶρα τοῦ φωτὸς· καὶ τὴν τῆς ζωῆς εὐμάρειαν καὶ ῥᾳστώνην· καὶ δεινὸν κατεχεῖτο τῆς ἡμέρας σκότος· καὶ ἄηθες, ἢ κατὰ τὸν καιρὸν. καὶ τὸ δυσσεβὲς ἐκεῖνο καὶ ἀντίθετον σύνταγμα, τοιγαροῦν ἐν εὐθυμίᾳ καὶ κρότῳ· ὡς ἐπισημαίνοντος τοῦ Θεοῦ τῷ τῆς ἐγχειρήσεως ἀτόπῳ· καὶ ἥλιος ἐδόκει πῶς στυγνάζειν τοῖς γινομένοις· καὶ πάσχειν ἡ κτίσις καὶ ὅλως ἐν ἀδοκήτῳ τινὶ καὶ δεινῇ μεταβολῇ, λίαν ἔχειν ἀηδῶς τὰ πράγματα· καὶ κακῶν εἶναί τις ὡς
f. 131v τὸ τῆς | παροιμίας φάναι πανήγυρις. τί οὖν ἐπὶ τούτοις· καὶ τί δοξάζει Θεὸς τοὺς αὐτὸν δοξάζοντας· καὶ ὑπὲρ τῆς εἰς αὐτὸν εὐσεβείας, πάντα καὶ ποιεῖν καὶ πάσχειν ἑτοίμους καὶ σπεύδοντας· καὶ τί ταῖς εὐχαῖς τότε· Γρηγορίου τὸ πέρας· καὶ τοῖς αὐτοῦ προτέρον καμάτοις· καὶ τῷ ζήλῳ τῆς ἀληθοῦς πίστεως, αὐτοῦ τὲ βασιλέως, καὶ ὅσος λεὼς εἵπετο φιλόχριστος; ἐπεὶ καὶ εἶχεν αὐτοὺς ἐντὸς τὸ θεῖον ἐκεῖνο τέμενος, τῇ παρρησίᾳ τῆς ἀληθείας τοῦ δόγματος, παρρησίαν αὐτίκα τοῦ ἡλιακοῦ φωτὸς ἡ λαμπρότης λαμβάνει· καὶ διαλύεται ῥᾷστα, τὴν τῶν νεφῶν ἐκείνων σκοτόμαιναν· καὶ καταυγάζει τὴν ἀκτῖνα πλουσίαν· καὶ πολλῷ μᾶλλον ἀήθη· καὶ διαδέχεται τὴν ἀχλὺν τῆς τῶν εὐσεβούντων λύπης, παράδοξος εὐθυμίας ἥλιος ἀντανίσχων· καὶ ταῖς κεναῖς ἐλπίσι τέως καὶ λογισμοῖς τῶν ἀθέων ἐκείνων, καὶ σκότους ὄντως ἀξίων, τὰ πάντα φροῦδα· καὶ τέλος αἰσχύνης καὶ ἀηδίας πάσης μεστόν.

49. Δευτέρα πάλιν ἐπὶ τούτοις γίνεται πεῖρα, καὶ τοῦ βασιλέως καὶ τοῦ λαοῦ μάλα σπευδόντων, καὶ τί μὲν οὐ λεγόντων· τί δὲ οὐ πραττόντων ὥστε καὶ πείθειν, ἐπιστῆναι καὶ τοῖς θρόνοις τῆς ἐκκλησίας Γρηγόριον· ἀναλαβέσθαι τὲ μετὰ τοῦ ἱεροῦ καὶ τοὺς ποιμαντικοὺς τῆς πόλεως οἴακας· τῆς εἰς Θεὸν εὐχαριστίας· καὶ

12 ἀποφράττοντα V: ὑποφράττοντα CD **17** πῶς V, servavimus: πως CD **20** καὶ CD: αἰ V (obl. rubr.) **22** πάσχειν V^2 e corr. **23** τοῦ post τότε erasum in V **24** τὲ V^1 s.l. **28** νεφῶν V e corr. **30** διαδέχεται V^1CD: δέχεται V **31** κεναῖς V^1C: καιναῖς VD **32** ὄντως om. CD **33** ἀηδίας πάσης V: πάσης ἀηδίας CD **49,1** πάλιν V^2CD: ἄλιν V (obl. rubr.) | τούτοις V e corr. **4** τοῦ V^2 s.l. **5** εὐχαριστίας VD: εὐχαριστείας C

14 cf. II Reg. 1, 9 **19–20** CPG II, 120, 9 **21** cf. I Reg. 2, 30

τῆς ἐπὶ τῷ κράτει τῆς εὐσεβείας εὐθυμίας καὶ ἑορτῆς, τοῦτο μόνον ὡς ἐλλεῖπον ζητούσης. ὁ δὲ, παντάπασι καὶ αὖθις ἀναίνεται· καὶ τὰ πλεῖστα δὴ βιαζομένοις, εἰς τέλος ἀντέχει· καὶ οὐ δίδωσιν ὅλως· ὡς νῦν μὲν καιρὸν ὄντα, δοξάζειν Θεὸν ἐπὶ τῇ παρρησίᾳ καὶ προκοπῇ καὶ δυναστείᾳ, τῆς ἀληθοῦς πίστεως· τῆς δ᾽ ὑστεραίας οὖσαν τὴν περὶ τούτων διάσκεψιν· καὶ κρίσιν μετὰ τῶν καλῶς κειμένων νομίμων τῆς ἐκκλησίας. | εἰπὼν ταῦτα· καὶ παντάπασι f. 132 τὸ δοκοῦν κρατυνάμενος, μόλις μὲν καὶ ἀθυμοῦντας σφόδρα, πείθει δ᾽ ὅμως· καὶ συγχωρεῖται τὸ ταπεινὸν τόδε, καὶ τὴν πρὸς τὸ ἄρχειν εὐλάβειαν· πάνυ τοι θαυμαζόμενος ὑπὸ τοῦ κρατοῦντος τοῦ μετρίου τὲ καὶ σωφρονικοῦ καὶ καθάπαξ οὕτω λελογισμένου τῆς γνώμης ὡς ὑπερφυοῦς καὶ ἀνδρὸς ὄντως ἥρωος.

50. Ἀλλὰ τοῦτο μὲν, οὕτω τηνικαῦτ᾽ ἔσχε· τῆς δὲ τοῦ βασιλέως περὶ τὴν εὐσέβειαν προθυμίας· ὅπως ἄρρηκτά τε καὶ μετὰ κόσμου παντὸς ἡ πᾶσα Χριστοῦ δι᾽ αὐτῆς ἐκκλησία συνάπτοιτο καὶ συνδέοιτο, καὶ στερρῶς παντάπασι καὶ ἀσείστως ἔχοι, ἔργον τοὺς τῶν ἐκκλησιῶν προστατοῦντας, ἄλλους ἄλλοθεν τῶν τῆς οἰκουμένης μερῶν, πάντοθεν πάντας εἰς ἓν ἀγαγεῖν τῇ μεγαλοπόλει· καὶ τὸν πόθον αὐτῷ παμπλήρη θέσθαι· καὶ πέρας τῷ σκοπῷ δοῦναι. ἐντεῦθεν ἄρα καὶ ἡ μείζων κατὰ τῆς τοῦ ἀνδρὸς ἐνστάσεως, ἐκείνης καὶ τοῦ μετρίου καὶ τῆς ταπεινότητος ἐπιχείρησις, ὥστε τὸν ἐπισκοπικὸν καταδέχεσθαι θρόνον· καὶ μὴ πάμπαν τῆς εὐτελείας ἔχεσθαι ταύτης καὶ τῆς ὑποστολῆς· καὶ νικᾶν εἰς τέλος φεύγοντα. μέγιστον γὰρ καὶ πολυπληθὲς ἀθροισθὲν ἐνθάδε πάντων τῶν τῆς ἑῴας μερῶν ἐπισκόπων σύνταγμα, πάντων λογάδων· πάντων ἀγωνιστῶν τῆς πίστεως· ὧν ὁ πολὺς τὴν ἀρετὴν· πολὺς καὶ τοὺς ὑπὲρ τῶν ὀρθῶν δογμάτων ἀγῶνας καὶ κινδύνους Μελέτιος ταπρῶτα φέρων ἦν, καὶ συνασπίσαντες τῇ ἐκκλησίᾳ κατὰ τῶν ἀντιπάλων τῆς εὐσεβείας καὶ κατακράτος περιγενόμενοι, καὶ καταβαλόντες, νίκης ὡσπερεὶ τρόπαιον ἀπ᾽ αὐτῶν ἐπὶ τῶν τῆς ἀρχῆς ἀνιστάναι θρόνων, τῆς βασιλικῆς ταύτης πόλεως, πειρῶνται

7 παντάπασι V[2] e corr. **8** τὰ om. CD **50,4** ἔχοι CD: ἔχει V **14** ὁ V[2] s.l. **17** καὶ κατακράτος V[2] e corr.

50,12–37 Greg. Naz., Carm. II, 1, 1509–1527 (pp. 118–119); Greg. Presb., Vit. Greg. 20, 10–62 (pp. 188–192)

Γρηγόριον· τὸν μέγαν κατ᾽ αὐτῶν ἀνταγωνιστὴν τῆς ἀληθείας ὑπέρμαχον. καὶ συνεπιτίθενταί οἱ μετὰ τοῦ κρατοῦντος· τὴν f. 132v μεγίστην διδόντος | ῥοπὴν τῇ σπουδῇ· πάσῃ φορᾷ τὴν ἀξίαν ὑποχωροῦντι καὶ φεύγοντι· καὶ πάντα καὶ ποιοῦντες· καὶ λέγοντες, μεταπείθειν τὲ καὶ κατέχειν ἐκβιάζονται. καὶ τοίνυν μηκέτ᾽ ἀντιτείνειν ἔχων καὶ κατισχύειν ὁ πάντα γενναῖος ἐκεῖνος ἐνστάτης· καὶ καρτερικὸς τὴν πρόθεσιν τῆς μετριοφροσύνης ταύτης καὶ τῆς φυγῆς, καὶ ἅμα δέει συσχεθεὶς ὡς εἰκὸς ἀπειθείας καὶ τοῦ μὴ παντάπασι κάμπτεσθαι· καὶ δέχεσθαι τὴν πρόκλησιν ταύτην, ἀλλὰ φιλονεικεῖν ἀτρέπτως καὶ δραπετεύειν καλοῦντι τῷ Πνεύματι, καὶ τοσούτοις ἀνδράσι τοῦ Πνεύματος, ὑποκύπτει βίᾳ μὲν· καὶ σφόδρα ἄκων καὶ ἀηδῶς· ὑποκύπτει δ᾽ ὅμως ἐκείνοις· καὶ δίδωσιν ἑαυτῷ χρῆσθαι· καὶ τὴν ἐπιστασίαν δέχεται. καὶ νικᾷ μὲν πρότερον ἀνθιστάμενος, ἐπείπερ ᾤετο τοῦτο βέλτιον· νικᾶται δ᾽ αὖθις παραλύειν τὴν αὐτοῦ κρίσιν· καὶ τοῖς πολλοῖς καὶ ἀρίστοις μὲν οὖν ἕπεσθαί τε καὶ πείθεσθαι· ἐπείπερ λοιπὸν τοῦτ᾽ αὖθις ἔδοξε βέλτιον· καὶ οὐκ ἦν ὡς ἔοικε πρὸς αὐτοῦ μόνου πιστεύειν ἑαυτῷ καὶ πάντα πείθεσθαι.

51. Ἐπεὶ δὲ τὴν ἀρχὴν οὕτω δὴ καὶ μετὰ τοιούτων τῶν λογισμῶν δέχεται, τί τίς ἂν ἐρεῖ ὅπως ἔπειτα χρῆται, καὶ ὅπως ἄρα τὰ κατ᾽ αὐτὴν πάντα τρόπον ὡς βέλτιστα διατίθησιν, εἰς ὅσον οἷόν τ᾽ ἦν· καὶ πλεῖον ἐξ ἀνάγκης, τό γε νῦν εἶναι, καὶ ἀεὶ συνεχῶς πλεῖον, συντείνων ἑαυτὸν τοῖς πράγμασι· καὶ δεδιὼς τοὺς περὶ τῆς ἀρχῆς μεθύστερον λόγους, ὡς ὑπευθύνου λειτουργίας καὶ διοικήσεως· ἀνύστακτος καὶ ἀκάματος σκοπὸς καὶ φύλαξ τῆς ποίμνης προϊστάμενος, καὶ τὸν νοῦν εὖ μάλα προσέχων, καὶ τοῖς λύκοις προσπολεμῶν· καὶ τὴν ψυχὴν τιθεὶς ὑπὲρ τῶν προβάτων καὶ κατασκοπούμενος καὶ φροντίζων ἀεί, τὰς αὐτῇ καιρὸν ἐχούσας ἑκάστοτε καὶ οἰκείας νομὰς καὶ τροφάς· καὶ διδασκαλίας νάματα· f. 133 καὶ διανέμων | ἑκάστοις τὰ σύμμετρά τε καὶ πρόσφορα· καὶ ὥσπερ ἐν ἀκροπόλει τινὶ καθόλου γε εἰπεῖν, ἀνεπιχειρήτῳ τὸν

24 μεταπείθειν V² e corr.: καταπείθειν VCD **27** συσχεθεὶς V e corr. **30** ὑποκύπτει V e corr. **36** μόνου V: μόνῳ CD **51,5–6** τῆς ἀρχῆς V²CD: τὴν ἀρχὴν V

51,9 Io. 10, 11 et 15 **9–10** cf. Greg. Naz., Or. 33, 15, 20 (p. 190)

αὐτοῦ λαὸν, ἐν ὅροις τῆς ἀσαλεύτου πίστεως κατακλείων καὶ ἀσφαλιζόμενος, καὶ τηρῶν ἀνεπιβούλευτον καὶ μὴ συγχωρῶν ἀλλοτρίῳ καὶ ληστῇ, διὰ τῆς αὐλῆς κατατρέχειν αὐτῶν· καὶ τυμβωρύχῳ συλαγωγεῖν τὸν ἐναποκείμενον αὐτοῖς θησαυρὸν, τῶν δογμάτων τῆς ἀληθείας· ὃν πιστευόμενον εἶχον τῇ ἐν ὀστρακίνοις σκεύεσι τοῖς αὐτῶν δηλαδὴ σώμασιν, ἐπιμελείᾳ καὶ πρακτικῇ τοῦ καλοῦ; ὧν αὐτὸς ἁπάντων, ἡγεμὼν ἦν· οὐ λόγοις μόνον· ἀλλὰ καὶ ὑποδείγμασιν ἐνεργοῖς· ὥσπερ ἀρχέτυπον ἁπάσης καὶ παντοίας ἀρετῆς εἰς μέσον ἱστάμενος, καὶ τῷ περιόντι τῆς ἀγαθοεργίας, τοὺς πολλοὺς ἕλκων εἰς τὸ μέτριον· ὁποῖον δή τινα τὸν ἐπιστάτην αὐτὸς ὁρίζεται καὶ νομοθετεῖ καθ᾿ ἕκαστα· καὶ τεχνολογεῖ, τοὺς τῆς ἱερατικῆς ἀρχῆς τύπους, καὶ τῶν ταύτην ἀναλαμβανόντων, εἰσπράττεται τὰ προσήκοντα. ᾧ καὶ δῆλον πάντως ὡς ὁ ταῦτα πάντα διεξιὼν· κάλλιστα καὶ ὑποδεικνύων τοῖς λόγοις παρρησίᾳ, καὶ πᾶσιν ἀκροαταῖς εἰς μέσον χρώμενος, ὁποῖος ἂν ἦν ἐκεῖνος· καὶ ὁποῖον ἂν, ἑαυτὸν παρέσχετο τῇ τε ποίμνῃ καὶ τοῖς ἔξωθεν ἐπισκοπουμένοις καὶ κρίνουσι· μετὰ τῶν ὑψηλῶν ἐκείνων λόγων καὶ τῆς ἀκριβοῦς ἱστορίας τοῦ πράγματος, καὶ ὑποτυπώσεως, αὐτὸς προΐστασθαι ψυχῶν· καὶ ποιμαίνειν· καὶ ἱερατεύειν ἀξιῶν· ὡς οὐκ ἦν ἄρα εἴ τις ἐμοὶ δοκεῖν καλῶς συνορῴη· καὶ συλλογίζοιτο τοιαῦτα λέγοντα καὶ προδεικνύοντα, τοῦ πράγματος ἄλλως ἅπτεσθαι, ὅτι μὴ μετὰ τῆς ἐντελοῦς καὶ πάντ᾿ ἀρίστης τῶν ἔργων αὐτῶν ἕξεως, ἐφ᾿ ἑαυτοῦ, καὶ καταστάσεως· εἰ δὲ μὴ, πάντως ἂν, ἀπῆσαν οἱ λόγοι· καὶ οὐκ ἂν, φθάσαντες | προπαρεσκεύαζον αὐτῷ f. 133v τοὺς ἐλέγχους. ὥσθ᾿ ὁποῖον αὐτὸς χαρακτηρίζει τὸν ἱερέα, τοιοῦτος αὐτὸς ἦν· καὶ τοὺς μεγίστους ἐκείνους καὶ γενναίους περὶ τῆς ποιμαντικῆς τελειότητος λόγους· τῆς αὐτοῦ ποιμαντικῆς εἶναι περιφανῆ στηλογραφίαν· καὶ ὄντως ἀληθές τε καὶ ἱκανὸν ἐγκώμιον. δεινὸν γὰρ εἶναι καὶ γέλωτος ἐπιεικῶς ἄξιον, τοὺς μὲν λόγους, εἶναι γεννικούς τε καὶ ὑψηλοὺς, τὰ δ᾿ ἔργα μετ᾿ αἰσχύνης καὶ ἀηδίας ἔπειτα καὶ ἀναρμοστίας ἀντιφθέγγεσθαι, καὶ τῶν

15 τηρῶν V: συντηρῶν CD **24** καθ᾿ ἕκαστα V: καθέκαστα CD **25** ταύτην VD: ταύτης C **29** παρέσχετο V^{2}CD: παρέσχε V **43** μετ᾿ αἰσχύνης VD: μεταισχύνης C

16 cf. Id., Or. 1, 7, 10 (p. 80) **17** Mt. 6, 20; Io. 10, 2 **18–19** II Cor. 4, 7 **23–26** cf. Greg. Naz., Or. 2, 8–101 (pp. 98–220) **23–25** cf. Id., Or. 21, 10, 5–8 (p. 128)

λόγων ἐναντίως ἔχειν· ὃ παντὸς μᾶλλον ἢ τῆς ἐκείνου μεγαλοφροσύνης τὲ καὶ σοφίας.

52. Ἀλλ᾽ οὐκ ἦν ὡς ἔοικεν οὕτω Γρηγορίῳ τῷ θείῳ· ἀλλὰ τοῖς ἔργοις μᾶλλον ἦν, ἡ πίστις αὐτῷ τῶν εὐγενῶν λόγων· καὶ μάλιστα διδάσκειν εἶχε καὶ πείθειν, τοῖς πράγμασιν αὐτοῖς· καὶ πᾶσαν ἀρχικῆς ἱερατείας ἐπιστήμην ἤσκητο· πάνθ᾽ ἑαυτῷ τε καὶ τοῖς ὑπὸ χεῖρα χρώμενος ἡρμοσμένως· τέλειος μὲν τὴν ἀρετὴν αὐτὸς καὶ ἴσος πάντοθεν· ποικίλος δὲ τοῖς ἀρχομένοις· καὶ οὐχ᾽ ὁ αὐτὸς· καὶ πλήρης μὲν τὴν διδασκαλίαν, ἀλλὰ καὶ τὴν ἐργασίαν αὐτὸς τοῦ καλοῦ· τοῖς δ᾽ ἄλλοις μέτριος· καὶ τοῦτο, οὐ τὸν αὐτὸν πᾶσι τρόπον· ἢ μᾶλλον οὐδὲ πᾶσι μέτριος, ἀλλ᾽ ἔστιν οὗ, καὶ σφόδρα τὸ πᾶν ἀπαιτῶν τε καὶ εἰσπραττόμενος· καὶ μὴ τυγχάνων, ἐπιτιμῶν· καὶ μὴν ἔτι τὴν ἐπιτίμησιν αὐτὴν οὐκ ἴσος· ἀλλ᾽ ὡς ἑκάστοις ἔγκαιρον ἦν μετρῶν· καὶ τοῖς μὲν, πρᾷος· τοῖς δὲ οὔ· καὶ τοῖς μὲν, συμπαθὴς, τοῖς δὲ, ἀνάλγητος, ὁ πᾶσιν ὡς ἀληθῶς συμπαθὴς· καὶ οὐκ οἶδ᾽ ὡς εἴ τις ἄλλος, ἐπιεικής τε καὶ μέτριος· καὶ μετὰ τοῦ τοσούτου τῆς σοφίας κράτους καὶ τῆς συνέσεως ἁπλοῦς ὑπερβαλλόντως, τὸ ἦθος καὶ βρύων ἱλαρότητος· καὶ χαρᾶς καὶ ἀπλαστίας παντάπασι τοῦ κακοῦ. οὕτω παντέλειος ἦν ἐκεῖνος καὶ πάντα ἀρκῶν ἑαυτῷ τε καὶ τῇ ἀρχῇ. κτήσεων δὲ καὶ λογισμῶν
f. 134 | περιουσίας· καὶ ὄλβων· καὶ τοῦ τὰ βασίλεια διὰ ταῦτα, κόπτειν ὡς οἱ πολλοί· καὶ κολακείας καὶ ὑποποιήσεως ἀρχόντων· καὶ τρυφῆς· καὶ δορυφορίας· καὶ πομπῆς· καὶ πάσης τῆς ἐν τοῖς τοιούτοις πράγμασιν εἰωθυίας διατριβῆς· καὶ δοκούσης τοῖς πολλοῖς ἀκαταιτιάτου τὲ καὶ νομίμου, τοσοῦτον ἐμέλησεν αὐτῷ παραβαλλομένῳ πρὸς τὴν ἀρχὴν, ἴσα καὶ ὅτε ἦν ἐπὶ τῆς ἐρημίας· ἑαυτῷ μόνῳ καὶ Θεῷ ζῶν· ἢ ἴσα καὶ τοῖς πτηνοῖς, ὅς γε καὶ ταῦτα εἶχεν ἐγκλήματα· καὶ ταῦτα ἦν ἀηδὴς τοῖς ὑπὸ τῶν πολλῶν οὕτως εἰθισμένοις. πτωχῶν δὲ εἶχεν αὐτὸν, ἄπαυστος ἐπιμέλεια· καὶ ξένων καὶ ἀσθενῶν ἐπίσκεψις· καὶ τοῦ κλήρου παντὸς εὐταξία· καὶ ἀνενδεὴς ἴσως τῶν χρειωδῶν περὶ τὰ θεῖα σχολὴ· καὶ τῶν τοῦ βήματος εὐκοσμία· καὶ μοναστῶν καὶ παρθένων· καὶ ψυχῶν

52,9 οὗ V[2] e corr. **17–61,15** πανταπάσι – προαγγέλλων: textus deest in D
29 τῶν[1] om. C

52,19–20 cf. Id., Or. 36, 2, 7–9 (p. 244) **27–30** cf. Id., Or. 43, 34, 9–10 (p. 200)

ἁγίων, ἀνανεύειν ἐπειγομένων εἰς Θεὸν παντελῶς καὶ τῶν παρόντων ὁλοσχερῶς ἐκδημεῖν, τῶν τε πνευματικῶν ἐκείνων δρόμων, καὶ τῶν ἀγώνων ἐπισκοπὴ· καὶ νομοθεσία τοῦ προσήκοντος ἑκάστοις· καὶ μέτρα καὶ κρίσεις· ἀλλά γε δὴ καὶ τῆς σωματικῆς αὐτῆς ἐνταῦθα χρείας οἰκονομία· ὡς ἄν, ἀτυρβάστως καὶ τῶν ἀναγκαστῶν τούτων καὶ βιαίων ἀνεπιστρόφως δεσμῶν, ἀνύτωσιν εἰς τὴν πρόθεσιν. καὶ ἡ περὶ ταῦτα καθόλου δαπάνη τῶν ἐκκλησιαστικῶν τε προσόδων καὶ τῶν αὐτοῦ συνεχῶς λογισμῶν, ὁ μέγιστος ἦν αὐτῷ πλοῦτος· καὶ σφόδρα ἐπέραστος· καὶ πάσης φροντίδος ἀξιούμενος εἴπερ ὡς ἀληθῶς μέγα καὶ πάντων μέγιστον ταῖς ἐντολαῖς πλουτεῖν· καὶ προσέτι κατασκευάζειν Θεῷ λαὸν ἐκλεκτόν τε καὶ περιούσιον. τῆς δὲ τῶν πραγμάτων τότε δυναστείας αὐτῷ καὶ τοῦ κράτους, τοσοῦτο παραπήλαυσε κατὰ τῶν προτέρων ἐπηρεαστῶν· καὶ ταῦτα τῶν πολλῶν ἐναγόντων εἰς τοῦτο | καὶ προτρεπομένων, χρῆσθαι τῷ καιρῷ καὶ τῇ ἐξουσίᾳ· f. 134v
καὶ μιμεῖσθαι τὲ καὶ ἀμύνεσθαι, τοὺς πρὶν ἀκρατεῖς ἐκείνους καὶ βαρεῖς δυνάστας· καὶ κατεπαίρεσθαι καὶ ἀνθυβρίζειν παραπλήσια· ἢ καὶ νικᾶν καὶ πλεονάζειν ὡς εἰκὸς δεύτερον αὐτὸν ἐπιόντα, σφόδρα γε ἐνόν, ὥστε μὴ δ᾽ ἐοικέναι· μὴ δὲ δοκεῖν εὐπραγίας καινότητα τινὰ, καὶ δύναμιν πάσης ἐργασίας καὶ πράξεως κατὰ βούλησιν, αὐτῷ τε καὶ τοῖς ὑπ᾽ αὐτὸν τηνικαῦτα προσεῖναι· καὶ τύχης ὑπόπτωσιν καὶ τροπὴν τοῖς ἐχθροῖς καὶ μεταβολὴν ταπεινώσεως, καὶ κακῶς πράττειν. ὅς γε καὶ τὸν αὐτοῦ σφαγέα προσελθόντα χρόνοις ὕστερον, καὶ τὸ πᾶν τῆς ὁρμῆς καὶ βουλῆς τῶν κινησάντων τὲ καὶ θηξάντων, ἐξαγορεύσαντα, ῥήμασιν εὐχῆς ἐξέπεμψε τοῦ δωματίου· μόνην ἀπολογίαν τοῦ πταίσματος ἐξ αὐτοῦ καὶ ζητήσας καὶ δεξάμενος, τὸ προσθέσθαι τῇ εὐσεβείᾳ· καὶ τοῖς ὀρθοῖς δόγμασιν· ἐπειδὴ καὶ τοῦτο μόνον ἐκεῖνος ἐπιμελέστατος ἦν· καὶ ταχὺς μὲν ἐπιχειρῶν· ἀεὶ δὲ καὶ πονῶν εἰς τοῦτο· καὶ πᾶσαν εἰσφέρων φροντίδα· παντὶ καιρῷ τὴν εὐσέβειαν ἐξάπτειν· καὶ τέμνειν τὰ τῶν δυσσεβούντων καὶ θραύειν· καὶ διασπᾶν καὶ ὑποποιεῖσθαι· καὶ συνάγειν ἀπὸ πάντων ἀεὶ τῷ Χριστῷ. καὶ τὸ κράτος τῶν ἐκείνου λόγων· καὶ ἡ πᾶσαν ἀκοὴν συνέλκουσα καὶ

44 προτέρων V: πρότερον C

53–57 Id., Carm. II, 1, 1442–1474 (pp. 116–117); Greg. Presb., Vit. Greg. 19, 35–50 (pp. 186–188)

καταθέλγουσα χάρις, καὶ ἀμφοτέροις ἀληθείας τὲ δυναστείᾳ· καὶ τυραννίδι κάλλους γλυκείᾳ· καὶ βίᾳ, πάντας ὑπὸ χεῖρα τιθεῖσα καὶ δουλουμένη, τότε δὴ μάλιστα, δρᾶν εἶχε, τὰ μέν, αὔξουσα τὴν φορὰν· καὶ προστιθεῖσα τῆς τῶν ἑκάστοτε προστρεχόντων τῇ εὐσεβείᾳ καρποφορίας· τὰ δὲ, καὶ κοσμοῦσα τὴν ἐκκλησίαν· καὶ πᾶσαν εὐταξίαν νομοθετοῦσα· τοῦ βήματος· τοῦ λαοῦ· ἀγαμίας· γάμου· ἀνδρῶν· γυναικῶν· πάσης ἡλικίας | f. 135 καὶ τάξεως. εἶχον ἔτ᾽ ἀμέλει τὴν ἐκείνου γλῶτταν, ὑψηλῶς κροτοῦσαν ἑορταὶ καὶ πανηγύρεις Χριστοῦ· εἶχον εὐφημοῦσαν οἱ μάρτυρες· εἶχον οἱ πάντες σπουδασταὶ τῆς πίστεως· ἑνί γέ τῳ τῶν πολλῶν τρόπων· εἶχον ἐξηγουμένην, αἱ μυστικαὶ θεολογίαι· καὶ πολλοῖς οὐκ ἐφικταὶ καὶ ἀπόρρητοι· ἅττα εἰκὸς· καὶ ὅσα· καὶ ὅτε· καὶ νομίζουσαν τοὺς τῶν ἑκάστων καιροὺς καὶ τὴν χρείαν· εἶχον οἱ πρὸς τοὺς ἀντιθέτους ἀγῶνες καὶ τὰ παλαίσματα· κατάγχουσαν ἐκείνους ἀφύκτοις ὡς ἀληθῶς πλοκαῖς· καὶ σειραῖς καὶ μηχαναῖς εὖ μάλα βριαραῖς καὶ ἀσείστοις τὴν ἀσέβειαν ἐκπολιορκοῦσαν καὶ κατασπῶσαν· εἶχον καθόλου γε εἰπεῖν, αἱ πάντων ποικίλαι διδασκαλίαι, κατὰ βαθμοὺς ἕκαστον τῷ καλῷ προβιβάζουσαι· καὶ καθιστῶσαι.

53. Ἀλλ᾽ εἶχε μὲν οὕτω ταῦτα· καὶ τὰ πλείω παρῆκεν ὁ λόγος. ἢ τί γὰρ ἄν τις χρήσαιτο φεύγων τὸ μῆκος, κἂν ὅτι μάλιστα, βούλοιτό τε καὶ δύναιτο; ἀλλ᾽ ἐπέρχεταί τι καὶ αὖθις τῇ μεγαλοπόλει πλῆθος ἕτερον ἐπισκόπων· ἄλλοι μὲν ἄλλοθεν· οἱ πλείους δὲ, Μακεδόνες τὲ καὶ Αἰγύπτιοι· καὶ ἦν ἀεὶ τὸ κινοῦν, ζῆλος τοῦ βασιλέως περὶ τὴν πίστιν· καὶ ὥστε καθελεῖν πᾶσαν ἀλλοτριότητα καὶ δυσσέβειαν· καὶ κατατεμεῖν πᾶν ῥιζόθεν ὕψωμα, ἐπαιρόμενον κατὰ τῆς δόξης τοῦ Θεοῦ. τοῖς δὲ, ἦν· μᾶλλον δὲ γίνεται, πρὸς ἀλλήλους πλεῖστα διάφορα· καὶ μάλιστα πρὸς τοὺς φθάσαντας τοῖς δευτέροις· καὶ μάλιστα Αἰγυπτίοις πρὸς τοὺς ἐξ ἕω· καὶ κανόνες ἐκκλησιῶν, πρόφασις· καὶ νόμοι· καὶ οὐκ οἶδ᾽ ἅττα θεοσεβείας δοκοῦντα δίκαια. κἀντεῦθεν ἐπισκόπων προσαραγμὸς ἐπισκόποις· καὶ στάσις· καὶ ὄχλος ἀμφοτέρωθεν τεμνόμενος· ὥσπερ ἐν τοῖς ῥήγμασι τῆς γῆς, τὰ παρατυγχάνοντα συνεπισπῶνται· καὶ ἀηδίας πάντα | f. 135v μεστὰ· καὶ παράταξις ἑκατέροις· καὶ

65 γλυκείᾳ V^2C: γλυκεῖα V **66** δουλουμένη V: δουλούμενος C

53,7–8 II Cor. 4, 7 **15–16** Greg. Naz., Or. 42, 21, 2 (p. 94)

πόλεμος ἱερὸς ἡ θεία καὶ ἱερὰ γλῶττα φησί. καὶ τὰ μὲν ἄλλα, παρήσειν μοι δοκῶ. ἀλλὰ μὴν πρὸς τοῖς ἄλλοις καὶ τοῦθ᾽ ἓν τῆς μάχης αὐτοῖς καὶ τῶν θορύβων, Γρηγόριος αὐτὸς οὗτος ὁ μέγας τοὺς θρόνους τῆς ἐκκλησίας λαβὼν, παρ᾽ ὧντινων ἄρα, μήπω τῶν ἁπάντων εἰς ἓν συνελθόντων, καὶ ἦν τοῦτο τοῖς ὑστέροις ἔγκλημα, πάντως οὐ κατὰ τοῦ βιασθέντος αὐτοῦ· καὶ τυραννηθέντος, τὴν ἐξουσίαν ταύτην καὶ τὴν ἀρχὴν· ὡς αὐτὸν κἀκεῖνοι καὶ πάντας ἔπειθον· οὐκ ἀναισχυντοῦντες καθάπαξ πρὸς τἀληθὲς καὶ δίκαιον· ἵνα μὴ λέγω πρὸς τὴν τοσαύτην τοῦ βίου τὲ καὶ τῶν λόγων τοῦ ἀνδρὸς, καὶ τῶν ἀγώνων τιμὴν· ἀλλὰ κατὰ τῶν βιασάντων αὐτῶν καὶ μὴ μεινάντων τοὺς ἄλλους εἰς τιμὴν κοινωνίας νόμιμον. καὶ ἦν πολὺς ἐν τοῖς αὐτῶν στόμασι Γρηγόριος· καὶ ὕλη τις ἀμφοτέροις γλωσσαλγίας βάλλειν καὶ βάλλεσθαι· καὶ ὥσπερ ἀγχίμαχον ὅπλον, τῶν πρὸς ἀλλήλους πολέμων. ὢ τῆς ματαιότητος· ὢ τῆς ἀλογίας. οὓς ἔδει καὶ εἰ μὴ δι᾽ ἓν τῶν ἄλλων ἁπάντων, τοῦτο γε μόνον συμφωνεῖν καὶ συμπνέειν, κατέχειν τὸν ἄνδρα· καὶ καταπείθειν ὅλῃ ῥώμῃ· καὶ βιάζεσθαι τῆς προστασίας ταύτης ἀντιποιεῖσθαι, τὸ τοσοῦτο μέγα καὶ κοινὸν τῆς οἰκουμένης ὄφελος· καὶ πράττειν ὅπως ἂν, οἷον τ᾽ εἴῃ, μὴ τὰ κοινὰ λιπόντα καὶ βιωφελῆ, τὴν φίλην ἐρημίαν καὶ ἀπραγμοσύνην ζητεῖν (πῶς ἄν, εἴπῃς καὶ μεθ᾽ ὅσων ἀεὶ τῶν ἐρώτων;), ἐξαρχῆς εἰς ταῦτα τὸν νοῦν ἔχοντα· ἀλλὰ μὴ διὰ τῆς ἀκαίρου φιλονεικίας ταύτης καὶ φιλαυτίας, διώκειν ἀτεχνῶς κατὰ τὴν παροιμίαν τὸν φεύγοντα· καὶ τὰς αὐτῶν ἐκτρεπόμενον στάσεις καὶ σπουδαρχίας· καὶ ὅπως ἂν τὰ πράγματα διαδράσοι κατὰ νοῦν στρέφοντα. οὓς ἔδει, μὴ τὰ ἑαυτῶν | ζητεῖν· ἀλλὰ τὰ κοινά· οὓς ἔδει μὴ τὰ τοῦ κόσμου· ἀλλὰ τὰ ὑπερκόσμια· μὴ τοὺς κάτω θρόνους· ἀλλὰ τὸν τοῖς ἀνωτάτω θρόνοις ἐπικαθήμενον βλέπειν δεσπότην· μὴ τὰ προσήκοντα καὶ σφίσι δίκαια κράτη· ἀλλὰ τὸν καταβάντα τῆς ἑαυτοῦ δόξης· καὶ κενώσαντα μέχρι καὶ δούλου μορφῆς ἑαυτὸν· ἵνα τὸν δοῦλον αὐτὸν ἀνασώσηται· οὗ πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης ἐστὶ· μὴ τὰς ἐπιτελεῖς αὐτῶν ἀξίας καὶ παμπλήρεις καὶ ἀμειώτους καὶ ἀζημί- f. 136

53,26 τοὺς ἄλλους V: ἐκείνους C **30** μὴ δι᾽ ἓν VC: an μηδὲν scribendum? **35** εἴπῃς V: εἴποις C **38** τὴν παροιμίαν V: τὸν παροιμιώδη λόγον C

20–27 Id., Carm. II, 1, 1812–1815 (p. 130); Greg. Presb., Vit. Greg. 21, 5–8 (p. 192) **38** CPG II, 671, 1–2 **45–46** Phil. 2, 7 **46** Is. 6, 3

ους σπουδάζειν· ἀλλὰ τὴν τῶν ἀρχομένων ἀσφάλειαν· καὶ τὸ τούτων· μᾶλλον δὲ καὶ ἑαυτῶν, ὡς ἀληθῶς ἐντεῦθεν ἀζήμιον. οὓς ἔδει, μὴ τὴν ἰδίαν τιμὴν ἱστᾶν· ἀλλὰ τὴν τῶν πολλῶν σωτηρίαν· εἴ γε δὴ ποιμένες ἦσαν γνήσιοι καὶ ὑπηρέται καὶ μιμηταί, τοῦ πρώτου καὶ μεγάλου τῶν προβάτων ποιμένος τοῦ τὸ πλανώμενον ἐπὶ τῶν ὀρέων· καὶ πάσης ἀνοδίας καὶ δυσχερείας ἀναζητοῦντος· καὶ τὸ ἀπολωλὸς ἀνακαλουμένου καὶ ἀνιστῶντος.

54. Ἀλλ᾽ ὁ μέγας ὄντως ἐκεῖνος καὶ πάντα γενναῖος καὶ ἀπαράμιλλος μακρὰ χαίρειν ἐκείνοις ὁμοῦ πᾶσιν εἰπών, καὶ καταλιπεῖν δοκιμάσας, αὐταῖς δυναστείαις· αὐταῖς φιλαρχίαις· αὐταῖς τιμαῖς καὶ φιλονεικίαις· αὐτοῖς πᾶσι πράγμασι, καὶ τοῦ καιροῦ τὴν πρόφασιν ταύτην λαβὼν εἰς τὴν φίλην ἡσυχίαν καὶ ἀναχώρησιν, μᾶλλον δὲ τἄμεινον εἰπεῖν καὶ ὄντως ἐκείνῳ προσῆκον, κάλλιστα παρ᾽ ἑαυτῷ λογισάμενος, τὸν αὐτῷ πόνοις πολλοῖς· καὶ ἱδρῶσι συστάντα· καὶ ὠδινηθέντα λαὸν ἐπ᾽ ἀσφαλοῦς ἤδη λοιπὸν ἑστήξειν, ἀκινδύνως τε βιοῦν· καὶ ὑφ᾽ ὁτουοῦν ἄγεσθαι κραταιωθέντα τῷ καιρῷ τῆς εὐσεβοῦς βασιλείας, καὶ τῇ καθοπλίσει τῆς αὐτοῦ διδασκαλίας καὶ προπαρασκευῆς· ἔτι γε μὴν καὶ τοῖς παρακλητικοῖς τότε τῶν λόγων, ἐπιρρώσας εἰς τὴν εὐσέβειαν καὶ τὴν τοῦ καλοῦ παντὸς συντήρησιν, παρίησιν εὖ μάλ᾽ ἡδέως τοῖς φιλονεικοῦσι τὴν ἀρχὴν καὶ τοὺς θρόνους. οἱ δὲ, τέως μὲν τό f. 136v γε | δοκεῖν, ἀντείχοντο καὶ οὐκ εἴων· ἀλλ᾽ ἐπειρῶντο κατέχειν· τελευτῶντες δ᾽ ὅμως συγχωροῦσι καὶ αὐτοὶ τὴν ἔξοδον (ὢ τῆς εὐκολίας· ὢ τῆς ἀναλγησίας· ὢ μάλιστα τῆς τόλμης), οἱ πάντα πρόχειροι καὶ τὸν φθόνον μόνον ἐκεῖνοι καρτεροὶ καὶ τὴν ἔριν· καὶ ἀσυμπαθεῖς· καὶ τοῦ λυσιτελοῦντος ἀδεεῖς τε καὶ ἀνεπίστροφοι. ὢ τῆς τοσαύτης ἐπηρείας καὶ τῆς νίκης, τοῦ κακομηχάνου· καὶ πρώτου· κακεργάτου· καὶ τοῖς ἀγαθοῖς ἀρχῆθεν ἀντιπράττοντος καὶ βασκαίνοντος· ὑφ᾽ οὗ καὶ τότε τοσοῦτο πρᾶγμα· μᾶλλον δὲ τραγικὸν ὄντως δράμα, καὶ ὃ μὴ δ᾽ ἄν, ὄναρ τίς προσεδόκησεν, ἐσκευωρεῖτο καὶ ἐτολμᾶτο· καὶ ὁ μέγιστος καὶ τοῦ κόσμου παντὸς

54,9 ὁτουοῦν V^{2}C: ὁτοοῦν V **18** μόνον ἐκεῖνοι V: ἐκεῖνοι μόνον C **19** ἀδεεῖς VC: an ἀδαεῖς scribendum? **21** κακεργάτου V^{2}C: καὶ ἐργάτου V

52–54 Mt. 18, 12–13; Luc. 15, 4–6 **54,11–14** Greg. Presb., Vit. Greg. 21, 44–47 (p. 196)

ἱκανὸς λαμπτὴρ καὶ τοῦ φωτὸς λύχνος, ὑπὸ τὸν μόδιον ἐκαλύπτετο· καὶ ὁ παντὶ τῷ βίῳ καὶ πᾶσιν ἀνθρώποις ἐπαρκῶν καὶ μάλα ἐπαρκέσων ἀδάπανος θησαυρὸς, κατωρύττετο· καὶ τὸ πάσης ἀρετῆς καὶ σοφίας παμπλῆρες ταμιεῖον παρεωρᾶτο καὶ κατεκαλύπτετο· φθόνου καὶ φιλονεικίας παρανάλωμα καὶ ῥᾳδιουργίας τοῦ πονηροῦ· καὶ τῶν αὐτοῦ σπουδαστῶν. καὶ ὁ μέγας γεωργὸς τῶν ψυχῶν ἐκεῖνος καὶ πολλὰ μογήσας· καὶ προσταλαιπωρήσας· ἐπὶ ταῖς κεχερσωμέναις πάνυ τοι πλεῖστον ἀρούραις· καὶ νεώματα νεώσας τοῦ Πνεύματος, ὃ πρότερον παρ᾽ αὐτοῖς ἠτιμάζετο, καὶ δι᾽ αὐτοῦ παρῆν ἐκείνοις τότε καὶ Θεὸς προσεκυνεῖτο Πατρὶ καὶ Υἱῷ συναρίθμιος· ὁμοφυής τε καὶ ὁμοδύναμος, οὐ συγχωρεῖται κερδαίνειν τῶν οἰκείων πόνων τοὺς καρπούς τε καὶ τοὺς μισθοὺς· οὐδὲ τρυφᾶν τὸ οἰκεῖον γεώργιον. ἀλλ᾽ αὐτὸς μὲν ἐκοπίασε καὶ κατεμόχθησε· πάντων καμάτων ἀήττητος· ἄλλον δὲ εἰσήγαγον εἰς τὸν κόπον αὐτοῦ· ὅντινα δὴ (καὶ σιωπήσω τὸ βλάσφημον), καὶ τὴν πρώην ὑπ᾽ αὐτοῦ καλῶς | μεμαγμένην κατὰ τὴν παροιμίαν f. 137 μάζαν, ἐκείνῳ παρέθεντο χρῆσθαι ῥᾷστα καὶ λίαν ἀπόνως· καὶ θέρος ἀμᾶν ἀλλότριον. καὶ ὃν ἔδει πλεῖστα πονήσαντας· καὶ πάντα πραγματευσαμένους εἰς μέσον ἀγαγεῖν· καὶ καταναγκάσαί οἱ τὴν ἐπιστασίαν, καὶ τῆς ὅλης οἰκουμένης εἰ οἷον τ᾽ ἦν τὴν ἡγεμονίαν πιστεῦσαι καὶ παραθέσθαι, ὅσα καὶ φαῦλον ἀνδράποδον· καὶ τοῦ μηδενὸς ἄξιον ἐκ μέσου ποιοῦνται· καὶ τὸν πολύτιμον ἐκεῖνον ὄντως μαργαρίτην, ὃν εὑρόντας ἔδει πάντων τῶν προσόντων ἀλλάξασθαι, ποιμένες προφητικῶς εἰπεῖν ἠφρονεύσαντο· καὶ ὡς ἕν τι τῶν ἀνονήτων σκευῶν, ῥιπτοῦσιν ἔξω· καὶ κατήσχυναν ἐπιθυμητὴν μερίδα Χριστῷ (ὢ τῆς ἀμαθίας· ὢ τῆς βασκανίας· ὢ τῆς ζημίας), οἱ καλοὶ τῶν πραγμάτων οἰκονόμοι· καὶ τῆς δεσποτικῆς οἰκίας, ἐπιμεληταὶ καὶ προστάται· οἱ τὸ τάλαντον τοῦ δεσπότου παρατιθέναι τοῖς τραπεζίταις, καὶ προάγειν εἰς ἐμπορίαν καὶ χρῆσιν· καὶ καθ᾽ ὅσον οἷόν τέ ἐστιν ἐπαύξειν διδασκόμενοι· καὶ τὸν

28–29 κατεκαλύπτετο V: κατεκλείετο C **37** μὲν V² s.l. **49** ἀνονήτων V²C: ἀνοήτων V **53** ἐμπορίαν V: ἐμπηρίαν C **54** ἐπαύξειν V: ἐπαύξει C

25 Mt. 5, 15; Marc. 4, 12; Luc. 11, 3 **29** cf. Synes. Cyren., Epist. 72 (p. 129, 6–7) **32** Ier. 4, 3 **40–41** CPG II, 276, 10–11 **46–47** Mt. 13, 46 **48** Ier. 10, 21 **50** Ier. 12, 10 **51–52** I Petr. 4, 10 **52–54** Mt. 28, 27

αὐτοῦ τόκον εἰσπραττόμενοι. καὶ ὁ μὲν λόγος φησί, τὸ ποθεῖν τὸν μὴ παρόντα, μάτην εἶναι πονεῖν· οἱ δέ, οὐ μόνον τὸν οὕτω πολυέραστον καὶ πολλῆς σπουδῆς ἄξιον, ἀπόντα ποθοῦσι καὶ εἰς ἑαυτοὺς ἕλκουσιν, ὃ καὶ τοῦτ᾽ ἄν, ἦν οὐ μάτην ὡς ἔοικεν, ἀλλὰ προσηκόντως καὶ σωφρόνως πονεῖν καὶ οὐκ ἀνεμεσήτως μόνον, ἀλλὰ καὶ λίαν ἐπαινετῶς, ἀλλὰ καὶ παρόντα σφίσιν οἱ τῶν καλῶν ἀνέραστοι καὶ μᾶλλον βάσκανοι καὶ τῶν φαύλων οἶμαι δυσέρωτες, ἐξωθεῖν αὐτὸν σφόδρα κατεπείγονται καὶ φιλοπονοῦσιν· οὐδ᾽ ὡς ξένον συναγαγόντες κατὰ τὴν ἐντολήν· τὸν ξένον ὡς ἀληθῶς πάσης τῆς γῆς καὶ πάροικον τῶν τῆδε καὶ παρεπίδημον τῇ γνώμῃ πάσῃ· f. 137[v] καὶ πρὸς τοὺς οὐρανοὺς καὶ τὴν | ἄνω πατρίδα σπεύδοντα. ἀκούων οἶμαί τις ἴσως ἄν, ἀπορῇ καὶ θαυμάζῃ, πῶς οὐ σκηπτός τις ἐμπίπτει τηνικαῦτα καὶ κεραυνὸς τοῖς τολμηροῖς ἐκείνοις καὶ ὑβρισταῖς· πῶς οὐ βροντῆς κτύπος ἀήθης· ἢ γῆς τις σεισμός· ἢ χάσμα ἢ τί ποτ᾽ ἄλλο τῶν τεραστίων καὶ ἀδοκήτων ἐπισημαίνει τῷ ξένῳ τῷδε καὶ ἀλλοκότῳ πράγματι. πλὴν ὁ φθόνος, ἐνίκα τοῦ πονηροῦ· κἀκεῖνος τῆς πόλεως ἔξεισιν· αὐτοῖς μόνοις ἐκείνοις οἷς ἐπιδημήσας ἐπεφέρετο ῥάκεσι καὶ βιβλίοις· τὰς περιουσίας τῶν ἀρχῶν καὶ κτήσεις ἁπάσας, τοῖς ἐπιθυμοῦσι καὶ διὰ ταύτας φιλονεικοῦσι καὶ ἀντιπολεμοῦσι πρὸς ἀλλήλους ἀπολιπών.

55. Ἀλλ᾽ ἐκεῖνος ἄρα καὶ οἴκοι γενόμενος, καὶ τῆς ποθεινῆς ἡσυχίας καὶ ἀναχωρήσεως λαβόμενος, τὴν εὐσέβειαν εἰς τέλος τοῦ παντὸς αὐτῷ βίου, ζηλοῖ τε καὶ πνέει· καὶ οὐ μόνον ἐπαίνοις ἁγίων, καὶ ταῖς τῶν τοῦ Χριστοῦ μυστηρίων πανηγύρεσι, τὴν γλῶτταν δίδωσι· καὶ πάσης ἀρετῆς φιλοτεχνίᾳ· καὶ προτροπῇ καὶ τυπώσει· καὶ κακίας ἐλέγχῳ καὶ καταδρομῇ, ἀλλὰ καὶ πρὸς πᾶσαν αὖθις τῆς ἐκκλησίας καὶ τῆς εὐσεβείας ἐπήρειαν καὶ μάχην αὐτὴν ἀνθιστᾷ· καὶ δι᾽ αὐτῆς προαναφωνεῖ τῷ πιστῷ λαῷ φυλάττεσθαι· καὶ δι᾽ αὐτῆς πάλιν παλαίει, πρὸς τὴν τῶν αἱρετικῶν καταστροφήν· τῷ καλλίστῳ τούτῳ τῶν ὅπλων χρώμενος, πρός τε

55 ὁ μὲν λόγος V: ἡ μὲν παροιμία C **66** ἀπορῇ V[1]C: ἀπορεῖ V **55,5–6** προτροπῇ καὶ τυπώσει V: τυπώσει καὶ προτροπῇ C **7** τῆς ἐκκλησίας καὶ τῆς εὐσεβείας V: τῆς εὐσεβείας καὶ τῆς ἐκκλησίας C

55–56 Aristoph., Plut. 1127 **63** Mt. 25, 36 **55,9–34** cf. Greg. Presb., Vit. Greg. 22, 10–15 (p. 196)

πᾶσαν ἄλλην δυσσέβειαν καὶ κακοδοξίαν· καὶ μάλιστα πρὸς τὸ νεογνὸν τότε τῆς ἀνομίας κύημα· τὸ τῆς ἀποστασίας λέγω καινὸν Ἀπολιναρίου καὶ ἄνουν ὡς ἀληθῶς δόγμα· κατεξανιστάμενον τῆς μεγάλης οἰκονομίας τοῦ σωτῆρος· Χριστοῦ· καὶ παρατρέπον· καὶ παρακόπτον· ἀτελῆ τὴν ὠφέλειαν τῆς ἐνανθρωπήσεως τοῦ μυστηρίου· καὶ τῇ σαρκὶ μόνῃ χαριζόμενον τὴν σωτηρίαν, διὰ τῆς κοινωνίας τὲ καὶ προσλήψεως· τὸν δὲ νοῦν αὐτὸν ὧν ἔχομεν τὸ κάλλιστον, | καὶ τὸ πρωτοπαθὲς μάλιστα, καταπροέμενον αὖθις f. 138 εἰς τὸν κίνδυνον ἀπρόσληπτόν τε καὶ ἀβοήθητον. πρὸς ἣν ἄρα τόλμαν νεανικῶς ἐπιχειροῦσαν· καὶ τὰ μεγάλα τῇ σοφιστίᾳ καὶ κακοτεχνίᾳ τῆς γλώττης θαρροῦσαν, τὴν εὐγενῆ γλῶτταν καὶ τῆς ἀληθείας συνήγορον· καὶ τῶν θείων τεχνολόγον ἀσφαλῆ δογμάτων, ἐκεῖνος ἀντέστησε· τὰ μὲν, ἐλέγχων καὶ κατατροπούμενος, τὸ νόθον καὶ δυσσεβὲς δόγμα, διὰ τῶν ὅπλων τῆς δικαίας θεολογίας· καὶ τῶν ὅπλων τοῦ Πνεύματος· καὶ τῆς ἐκ τῶν θείων γραφῶν παρασκευῆς, τὰ δὲ, προτιθεὶς ἅπασι, τοὺς ἀκριβεῖς τύπους τῆς ἀληθείας· καὶ προκηρύττων ἐκτρέπεσθαι τὰ βέβηλα, τὰ δὲ, καὶ λόγοις παρακλητικοῖς ἐπεγείρων ἅπαντας εἰς τὴν μάχην· τῆς ἀποστασίας ἤδη κατὰ πάσης ἐπιχειρούσης τῆς ἐκκλησίας· καὶ κατεπαιρομένης ἐπισκόπους, καὶ χειροθεσίας· καὶ συνέδρια τολμᾶν· καὶ συνόδων τινῶν, καὶ κοινωνίας συνθήματα· καὶ μάλιστ᾽ αὐτὸν εἰς τοῦτο θερμαίνων Νεκτάριον· καὶ διανιστῶν πρὸς τὴν καταστροφὴν τοῦ τοσούτου τολμήματος· τὸν αὐτοῦ, τῶν θρόνων· καὶ τῆς ἐκκλησιαστικῆς φροντίδος διάδοχον. οὐ μόνον δὲ, ἀλλὰ καὶ πρὸς τὴν ἐκείνου σοφιστικὴν ἐπιχείρησιν· καὶ δημαγωγίαν τοῦ πλήθους· καὶ κολακείαν διὰ τῶν ἐμμέτρων λόγων τῆς λίχνου τῶν πολλῶν ἀκοῆς· καὶ γοητείαν τῶν ἀσυνέτων· καὶ γλωσσαλγίαν δι᾽ ἐπῶν παντοίων, ὡς ἀληθῶς ἄρρυθμά τε καὶ ἄμετρα κατεξορχουμένην τῶν ἱερῶν λόγων· καὶ τῇ καινότητι ταύτῃ συνέλκουσαν ἐπιβούλως εἰς τὴν ἀσέβειαν, κἂν τούτοις τὰ μεγάλα φυσσῶσαν, καὶ αὐτὸς ἀντιτεχνάζεται παραπλήσια καὶ ἀντέξεισι· καὶ ἀντιτίθησι τοῖς αἰσχροῖς καὶ πορνικοῖς μορφώμασί

20 σοφιστίᾳ V, servavimus: σοφιστείᾳ C **26** προτιθεὶς V p. corr. C: προστεθεὶς V a. corr. **31** συνόδων V²: συνδέσμων VC

18 Greg. Naz., Epist. theol. 101, 51, 4–5 (p. 58) **34–50** Greg. Presb., Vit. Greg. 22, 34–39 (p. 198)

τε καὶ πλάσμασι· καὶ τῆς ἀκολάστου καὶ κομμωτικῆς ἐκείνης f. 138^{v} χρωματουργίας, | τοῖς πίναξι, γραφὰς εὐανθεῖς· καὶ πίνακας ἐπεράστου κάλλους· καὶ χάριν σωφρονικὴν· καὶ τοῖς κακοῖς καὶ ἀπατηλοῖς ἐσόπτροις τῆς ὥρας, αὐτὸς ἀκραιφνῆ τε καὶ καθαρά. καὶ τρυφᾶν ἐστι μετὰ τῆς ἀσφαλείας· καὶ πλέον οὐδὲν ἐντεῦθεν τοῖς κακούργοις ἐκείνοις, ἀνομοῦσι διακενῆς· καὶ ἀναιδεῖ καὶ κιβδήλῳ κάλλει κατὰ τῶν πολλῶν δυναστεύειν οἰομένοις· καὶ συνέλκειν εἰς τὴν τῆς κακοδοξίας ἀσέλγειαν.

56. Οὕτω πάντ᾽ ἐκεῖνος ὁ πολύς τε καὶ ἀδαπάνητος, ἤρκεσε τῇ εὐσεβείᾳ καὶ τῷ λαῷ τοῦ Χριστοῦ· καὶ τοῦτό οἱ βούλεται τῶν καλλίστων καὶ ἡδίστων ἐπῶν παντοίων καὶ μέτρων, ὁ πολὺς ἀριθμὸς· οὐ πρὸς ἐπίδειξιν μόνον ἁπάσης τοῦ λέγειν τέχνης, ἀλλὰ τὸ μέγιστον ἐμοὶ δοκεῖν, εἰς φιλότιμον μὲν ὅμως, ἀλλ᾽ ἀναγκαίαν τήνδε τὴν χρείαν, καὶ σφόδρα λυσιτελεστάτην τῷ παντὶ τοῦ βίου καὶ τῶν λόγων σκοπῷ. καὶ δείκνυσι τοῦτό τε τὸ νῦν ἄρα· καὶ ὅτι πρότερον ἡνίκα τῆς τῶν Ἑλληνικῶν λόγων ἀσκήσεως καὶ τῆς ποιητικῆς εὐγλωττίας καὶ χάριτος ἀπεῖρξε Χριστιανοὺς ὡς ἀλλοτρίους, ὁ πάντων καλῶν ἀλλότριος Ἰουλιανὸς· καὶ μέγας καὶ τολμηρὸς ἀποστάτης Χριστοῦ· καὶ πάντα πράξας καὶ θρασὺ λυττήσας κατὰ τῆς εὐσεβείας, βοηθεῖ τοῖς δυσχεραίνουσι Γρηγόριος καὶ τυραννουμένοις· καὶ δίδωσι πάντα τρόπον αὐτῷ χρῆσθαι κἀνταῦθα. ἂν ἐκεῖνος θρασύνηται καὶ φυσσᾷ κατεξανιστάμενος, τῶν εὐγενῶν λόγων τῆς πίστεως· καὶ τὴν ἀσχήμονα καὶ μαινάδα· καὶ κακοῦργον γλῶτταν κινῇ· καὶ οὐ μόνον τῇ χειρὶ καὶ τῇ δυναστείᾳ χρῆται, ἀνίσταταί σοι ζήλῳ Γρηγόριος· καὶ καλῶς ὁπλίζει διαφέρειν τὸν πόλεμον· καὶ τὴν τοσαύτην τόλμαν· καὶ καταφράττει πάντοθεν· καὶ πάσῃ παρασκευῇ χρώμενος τοὺς αὐτοῦ f. 139 μαχητὰς· | καὶ στηλιτεύει τὴν ἐκείνου μανίαν, λόγοις οὐρανομήκεσι καὶ ἀσαλεύτοις· κατὰ παντὸς ἱσταμένοις τοῦ χρόνου· ὡς ἄρα καὶ προφητεύει τοῦτο προκηρύττων αὐτός. ἂν ἐκεῖνος ἰταμός ἐστι καὶ θηριώδης τῇ χειρὶ καὶ τῷ κράτει χρῆται· καὶ ὑβρίζῃ καὶ

48 ἀνομοῦσιν V: σοφιζομένοις C **50** τῆς V^1 s.l. **56,14** θρασύνηται V: θρασύνεται C **16** κινῇ V^{1}C: κινεῖ V

48 cf. supra, 44, 18 **56,6–13** Greg. Presb., Vit. Greg. 22, 31–33 (p. 198) **20–22** Greg. Naz., Or. 5, 42, 1–8 (p. 380)

φρυάττηται, «ἀντίστησον αὐτὸς καρτερόν» φησι «τὸ σῶμα· προβαλοῦ τὸν θώρακα τῆς πίστεως καὶ περιβαλοῦ· προθυμήθητι· νικήσεις εὖ οἶδα.» ἂν εὑρηκέναί τι μέγα δοκῇ, τὴν Ἕλληνα κατακλείων αὐτῷ γλῶτταν καὶ τοῖς αὐτοῦ· καὶ τὴν ἐντεῦθεν ἐξαιρῆται τρυφὴν, «καταγελῶ» φησι «τῆς ἀνοίας ἐκείνου· βοηθῶ σοι τῷ πόθῳ. ἔχεις ἐξ ἐμοῦ τόσα καὶ τόσα· καὶ ἅμα μετὰ τῆς ἔσωθεν εὐγενείας ἔξω σοι κάλλιστα καὶ καταγλυκαίνοντα. παιδαγωγήσεις ἐντεῦθεν τὸ ἦθος· τὸν βίον· μαθήσῃ τὰ θεῖα· θήξεις τὴν γλῶτταν· καὶ τοῦθ᾽ ᾗ βούλει· καὶ ὅσα· καὶ πᾶσαν διανοίας ἑρμηνείαν ἔχεις· καὶ λόγων ῥεόντων δρόμους· καὶ ποιητικῆς σταθμά τε καὶ μέτρα. ἂν στενοῖ σε τοῖς λόγοις καὶ γλώττης νάρκῃ κατάγχειν πειρᾶται· καὶ πενίαν σοφίας καταψηφίζηται, οὐδέν σοι δεινὸν ἐντεῦθεν· οὐδὲν δυσχερὲς· οὐδενός σοι δεήσει. ῥᾷστα πορίσθητι τῶν ἐμῶν· ἀντεπίδειξον πᾶσαν τῆς φωνῆς τὴν ἄσκησιν. πολλὰ προενεσκευασάμην· πολλὰ τεθησαύρικά σοι· τὰ μὲν, εἰς ἀναγκαστὴν χρείαν καὶ ἀπαραίτητον· τά δ᾽ εἰς κάλλος· καὶ κόσμου καὶ βίου περιουσίαν· ὥσπερ τοῖς παισὶ καὶ κληρονόμοις, οἱ φιλόπονοι πατέρες πάνθ᾽ ὡς οἷόν τέ ἐστι, κατεπείγονται καὶ προαποτίθενται· καὶ παρασκευάζουσι βιώσεως ἔμπροσθεν εὐκολίαν».

57. Ἀλλ᾽ ἐκεῖνος τοσοῦτο μὲν ἀγαθὸν τῷ βίῳ· τοσοῦτο δὲ καὶ τελευτήσας ἀμέλει τὸν βίον· καὶ καταλιπὼν τὸ σῶμα τόδε καὶ τὰ παρόντα πάντα· καὶ προσχωρήσας ἄνω· καὶ εἴξας τῇ φύσει | καὶ f. 139^v ἀποδοὺς τὸ πάντων ἀπαραίτητον ὄφλημα, οὐ κατέλιπεν ἄρα καὶ τὴν τῶν ἀνθρώπων ὠφέλειαν, ἐξεκείνου μέχρι νῦν· πάντως δὲ καὶ μέχρι παντὸς ἄπαυστα, ἔστ᾽ ἂν, ἀνθρώπους γῆ τρέφῃ· ἀλλ᾽ ἔχομεν τοὺς λόγους παιδαγωγοὺς ἀντ᾽ ἐκείνου· μᾶλλον δ᾽ αὐτὸν ἐκεῖνον δι᾽ ὧν κατέλιπε λόγων ἔχομεν· ὥσπερ ἑκάστοτε συνόντα καὶ συγγινόμενον· καὶ νῦν μὲν ὑποδεικνῦντα τὴν τῆς πίστεως ἀσφάλειαν· καὶ πάντοθεν ἀκλόνητον ὁριζόμενον· νῦν δὲ πᾶσαν ἀρετῆς παιδείαν· νῦν δὲ πᾶσαν φιλοσοφίαν· καὶ οὐδὲν ὅ,τι οὔ· τῶν καλλίστων τὲ καὶ συντεινόντων εἰς εὐπραγίαν. καὶ μὴν καὶ τοὺς ὑπὲρ τῆς εὐσεβείας ἀγῶνας αὐτοὺς· καὶ τὸν ὅλον ἔνθεον αὐτοῦ βίον,

35 καταψηφίζηται V: καταψηφίζεται C **57,4** καὶ om. C **6** τρέφῃ V^1C: τρέφει V **12–13** ὑπὲρ τῆς εὐσεβείας V: ὑπὲρ εὐσεβείας C

25 I Thess. 5, 8 **35** CPG II, 46, 6–7 **57,6** Il. 11, 741 **8** cf. Or. 10, 57, 3

ὑπόμνησιν ἀρετῆς καὶ πολιτείας εὐγενοῦς ἔχομεν. μεμνήμεθά σου πάτερ τῶν πόνων· μεμνήμεθα τῶν κινδύνων· οὓς ὑπὲρ τῆς ἀληθοῦς πίστεως καρτερῶν ἤνεγκας· μεμνήμεθά σου τῶν λιθασμῶν ὡς ἐνετείλω καὶ οὐκ ἐλαθόμεθα· οὐδὲ κατημελήσαμεν ἡ μέχρι καὶ νῦν ἐξεκείνου σὴ ποίμνη· καὶ χάριν ὁμολογοῦμεν· καὶ τὴν ὑπομονὴν· τὸ πρᾷον· τὸ συμπαθὲς· μᾶλλον δὲ ἀπαθὲς καὶ ὑπερφυὲς καὶ θεῖον· καὶ τὴν τοῦ πρώτου τῆς ἀληθείας ἀγωνιστοῦ Στεφάνου· μᾶλλον δὲ τοῦ δεσπότου καὶ σωτῆρος αὐτοῦ ἔν τε τοῖς πράγμασι μίμησιν, καὶ ὁμοίωσιν· καὶ τοῖς λόγοις αὐτοῖς ὑπὲρ τῶν φονευτῶν, «Κύριε μὴ στήσαις αὐτοῖς τὴν ἁμαρτίαν ταύτην», ἐπαινοῦμεν τὲ καὶ θαυμάζομεν. καὶ οὐδὲν ἡμῖν τῶν σῶν μικρὸν· οὐδ᾿ οἷον καὶ παραδράμοι τίς ἂν καὶ παρίδοι, ὧν τ᾿ ἔπραξας· ὧν τ᾿ εἶπας. φυλάσσομέν σου τὴν παρακαταθήκην ὡς ἡμῖν διέθου τὴν ἀληθῆ καὶ ἀκίβδηλον πίστιν· ἣν ἡμῖν ἔλιπες· τὰ μεγάλα τῶν ὀρθῶν σου δογμάτων κειμήλια· τὸν πολὺν ὄντως τῇ ἐκκλησίᾳ καὶ ἀδαπάνητον θησαυρὸν· οὕτω περισπούδαστον ὄντα καὶ σφόδρα
f. 140 στεργόμενον· | καὶ τιμώμενον, ὡς καὶ σοὶ μόνῳ τῶν ἁπάντων καὶ τῇ σῇ διδασκαλίᾳ μετὰ τὸν ἐπιστήθιον μαθητὴν τοῦ δεσπότου καὶ φίλον· καὶ τὴν τοῦ Υἱοῦ θεολογίαν βροντήσαντα, τὴν αὐτὴν τῆς θεολογίας μεγίστην καὶ τιμιωτάτην ὄντως ἐπωνυμίαν ἐπικληρῶσαι· καὶ ἀπ᾿ αὐτῆς σε μόνης, καλεῖν καὶ γνωρίζειν. καὶ πᾶς τις καὶ λέγων· καὶ ἀκούων τῆς κλήσεως, εὐθὺς ἀνίσταται τὸν νοῦν· καὶ σεβάζεται· καὶ γέγηθε καὶ θαυμάζει· ὡς περὶ κρείττονος οἶμαί τινος, ἢ κατὰ τὴν φύσιν ἐπιθειάζων· καὶ ἄλλο τί ποτ᾿ ὂν, ἐνταῦθα, ἢ κατὰ τοὺς ἄλλους ἀνθρώπους. καὶ περιηχεῖ τὸ μεγαλώνυμόν σοι τοῦτο, καταπαντὸς τοῦ βίου τὲ καὶ τοῦ χρόνου· καὶ πάντες τῶν σῶν καλλίστων λόγων ἀρύτεσθαι μέγιστον ἔργον καὶ σπουδὴν τίθενται· καὶ χρῆσθαι καὶ ἀνύτειν ὁτιοῦν. καὶ οὐ σεσίγηκεν ἡμῖν ἡ λάλος ὡς ἔφης σὴ γλῶσσα· ἀλλ᾿ ἴσως ἐκείνοις τηνικαῦτα τοῖς πονηροῖς καὶ αὐτῆς ἀναξίοις· καὶ ἀλλοτρίοις· τὰ δὲ σὰ πρόβατα,

14 μεμνήμεθα V[2]C: εμνήμεθα V (obl. rubr.) **17** ὡς ἐνετείλω V: ὧν ἐνετείλω C **23** στήσαις V: στήσαι C **27** ἣν V: ὃν C | ἔλιπες V p. corr. C: ἔλειπες V a. corr. **37** καὶ C s.l. **42** σὴ V: σῇ C | ἴσως ἐκείνοις V e corr. **43** αὐτῆς V: αὐτοῖς C

16–17 Greg. Naz., Epist. 95, 7–8 (p. 115) **23** Act. 7, 60 **26–27** Greg. Naz., Or. 42, 27, 20 (p. 114) **31** Io. 13, 25 **32** Marc. 3, 17 **41–42** Greg. Naz., Or. 42, 26, 35–37 (p. 112) **43–44** Io. 10, 3 et 27

τῆς φωνῆς σου ἀκούει διαπαντὸς· καὶ καλῶς συνίησι· καὶ οὐ σιγᾷς παρ᾽ αὐτοῖς· ἀλλὰ τρανὸν ἀεὶ βοᾷς· καὶ βοήσῃ· καὶ σφόδρα ἥδιστον· καὶ οἷον οὐκ ἄλλου τῶν ἁπάντων ἔχομεν.

58. Καὶ τοῦτο μὲν οὕτως ἔχει. ἀλλὰ μὴν ἕκαστον τῶν καλλίστων ἔργων ἅ σοι πρόσεστι (δυσχερές δ᾽ ἐπελθεῖν ὁμοῦ πάντα καταμέρος, ἑξῆς ἐνταῦθα νῦν εἶναι κατακαιρὸν ἐμοὶ δοκεῖν ἐπαναλαμβάνοντα καὶ λογιζόμενον), ἅπαντα δ᾽ οὖν, τοῖς μεγίστοις ἄν, καὶ πρώτοις τῶν ἀπὸ τοῦ παντὸς αἰῶνος φαίη τις ἐναρίθμια· καὶ τούτων γε τῶν πλείστων προσέχων εὖ τὸν νοῦν καὶ κρίνων ὀρθῶς, προήκοντά τε καὶ κρείττω· καὶ ῥᾴδιον οὐ τοῦτο γε κομιδῇ ζητοῦντας εὑρεῖν, οἷστισιν ἄν, ἶσα φέρεσθαι δοίημεν (τί γὰρ οὐ τῶν σῶν μέγιστόν τε καὶ μεγίστων καὶ πλείστων ἐπαίνων, καὶ θαύματος ἄξιον;), καὶ θαυμάσαιμ᾽ ἄν, καὶ τοῦτο, παρ᾽ οὗτινος ἄν, ἱκανῶς· | f. 140^{v} καὶ ὅσον ἄξιον. λόγων αὐτίκα κράτος οἷον ἔφην οὐκ ἄλλῳ· οὐ τῶν παλαιῶν· οὐ τῶν νέων· οὐ τῶν ἡμετέρων· οὐ τῶν ἐκτὸς· καὶ ὁράτω τις πᾶν λόγων εἶδος· καὶ περὶ πᾶν ὁτιοῦν ἓν ἕκαστον εὐδοκιμηκότα· ἢ καὶ δεύτερον ἴσως· ἢ καὶ ἔτι πρός. οὐ γὰρ περὶ πάντα τῶν ἁπάντων οὐδεὶς πλὴν σοῦ. καὶ πότερον ἐν τούτοις πρότερον, ἢ πλεῖον θαυμάσαι τίς ἄν, ὅσον ἡ φύσις ἴσχυσε, κἀνταῦθα τὸ τάχος ἢ τὴν ἀσφάλειαν, ἢ μάλιστα τὴν ἀμφοῖν κοινωνίαν, οὗ μὴ πολλὰ τὰ παραδείγματα (οὐ γὰρ ταχὺς μέν ἐστιν, οὐκ εὐπαγὴς δὲ, οὐδ᾽ ἀσφαλὴς μὲν καὶ μόνιμος· βραδὺς δὲ, ἃ τοῖς πλείστοις παρὰ τῆς φύσεως), ἀλλ᾽ ὅπερ ἔλεγον· ὅσον ἴσχυσεν ἡ παντέλειος φύσις, ἢ ὅσον οἱ πόνοι κατεστήσαντο καὶ καθώπλισαν· ὧν οὐκ ἔστιν ἄνευ κατορθοῦν παντὸς πειρώμενον· ἢ ὅπως ὁ πόθος εἰς πάντ᾽ ἤρθη τὲ καὶ ἤρκεσεν οὐκ ἀπρόοπτος· οὐδ᾽ ἁρπάζων· ἀλλὰ σύμμετρος· οὐ λίχνος ὢν οὐκ ἔξεστι μᾶλλον, ἢ σώφρων περὶ τὰ κάλλιστα· καὶ ὧν ἔδει καλῶς ἅπτεσθαι· καὶ οἷς ὁμοῦ πᾶσιν εἶχε χρῆσθαι; ἀλλὰ μὴν τὴν τῶν λόγων κρίσιν αὐτὴν καὶ χρῆσιν ἐν τοῖς βελτίστοις καὶ κρείττοσι, τί τίς ἄν, ἐρεῖ; τὸ γὰρ τῆς θεολογίας καθαρόν τε καὶ ἀσφαλὲς, οἷον; τὸ δὲ τῆς διδασκαλίας, τί δὲ ἡ πάσης ἀρετῆς ἡγεμονία καὶ νομοθεσία καὶ οἱ τύποι τοῦ παντὸς καλοῦ· τί δὲ ἡ τῆς κακίας ἁπάσης ἔνδειξις καὶ ἀποτροπὴ· τί δὲ ἡ πρὸς τοὺς

58,3 καταμέρος V: κατὰ μέρος C | κατακαιρὸν V: κατὰ καιρὸν C **28** τὸ: cave corrigas τὸ in τί **28–30** τί δὲ – ἀποτροπὴ primum iteravit, deinde linea extinxit C

ἀντιθέτους τῆς πίστεως ἅμιλλα καὶ καταστροφὴ πολλῷ τῷ κράτει, τί δὲ ἡ τῶν γραφῶν ἔρευνα· καὶ τὸ ἐν αὐταῖς φῶς ὡς δι᾽ ἀκτίνων τῶν αὐτοῦ λόγων καταλάμπον τὴν ἐκκλησίαν; ἀλλ᾽ οἱ τῶν ἀγωνιστῶν τῆς εὐσεβείας ἔπαινοι, ἅμα μὲν ὥστε τὴν ἀξίαν ἔχειν τῆς ἀρετῆς· καὶ τῶν ἔργων χάριν· καὶ ὄντως ἀξίαν, παρ᾽ αὐτοῦ τε καὶ f. 141 τῆς αὐτοῦ | γλώττης, ἅμα δ᾽ ὡς ἂν, καὶ παράκλησις ἐντεῦθεν, εἴη τοῖς ἄλλοις εἰς τὰ παραπλήσια; ἀλλ᾽ οἱ τῶν φαύλων καὶ κακίστων ἔλεγχοι, καὶ τὰ κατ᾽ αὐτῶν λογικὰ τρόπαια καὶ οἱ θρίαμβοι· καὶ τοῦτο διὰ τὴν αὐτὴν διπλῆν ἀφορμὴν καὶ ἀντίθετον, δι᾽ αὐτοὺς δηλαδή· τῶν εἰκότων τυγχάνειν· καὶ τοὺς ἄλλους ἀποτρέπεσθαι καὶ φεύγειν ἀμφότερα· καὶ τὰς παραλλήλους πράξεις καὶ τὰς εὐθύνας; ἀλλ᾽ οἱ τῶν ἀθλητῶν εὐπρεπεῖς ἐκ τῶν λόγων στέφανοι; ἀλλ᾽ οἱ τῶν τοῦ Χριστοῦ μυστηρίων· καὶ τῶν θαυμάτων εὐγνώμονες ὕμνοι καὶ κρότοι χαρμόσυνοι; ἀλλὰ τούτων ἕκαστον, ἀλλ᾽ ὁμοῦ πάντα;

59. Καὶ ὁ μὲν λόγος τοιοῦτος. τί δὲ ὁ βίος τῷ ἀνδρί; ἔχει τίς ὑπερβολὴν ὅλως τινὰ δεῖξαι; ἔχει τίς πλέον παρ᾽ ἄλλῳ τῳ τῶν ἀπὸ τοῦ παντὸς χρόνου; ἔχει μάλιστα πολλοὺς τῶν κατ᾽ αὐτὸν ἔγγιστα δεῖξαι, καὶ τῶν αὐτῶν ἐπιμελητὰς καὶ παραπλησίως ἐργάτας; τίς οὕτως τὰ τῇδε πάνθ᾽ ὡς οὗτος παρεῖδε καὶ ὅλως τοῖς ἄνω προσέθετο; τίς ὑπερέσχε τὴν ὕλην; τίς τὰ τοῦ βίου παρέδραμε ῥεύματα; τίς οὕτω τὴν κοσμικὴν κούφως διέπλευσε θάλασσαν; τίς ἀπέρριψε πάντα· ποθῶν τῶν λιμένων τῆς ἀσφαλείας λαβέσθαι; τίς κτήματα· χρήματα· περιουσίαν πᾶσαν· κληρονομίας διαδοχάς· πολιτείας κράτη· δόξαν ἐν βασιλείοις· ἡγεμονικὰς προεδρίας· τὰ τοῖς πολλοῖς περισπούδαστα· κἀκείνῳ πλεῖν ἢ κατὰ τοὺς πολλούς, εἴπερ ἠβούλετο ῥᾷστα καὶ λίαν ἀνύσιμα; τίς οὕτω τρυφὴν ἐξ ἀρχῆς πᾶσαν καὶ πολυτέλειαν; τίς οὕτως αὐτὸ τὸ σῶμα καὶ τοὺς δεσμοὺς ὑπερέβη καὶ νενίκηκε καὶ κατεφρόνησεν ὥσπερ ἀλλότρια· καὶ ὡς μηδεμίαν ἐντεῦθεν ἔχων ἀνάγκην, ἢ φύσεως ἀνθολκὴν ἀπαραίτητον; μᾶλλον δὲ τίς καὶ τὸ σῶμα, τῷ νῷ συμπονεῖν ἐγύμνασε· καὶ συνέκδημον εἵλκυσεν εἰς τὴν ὑψηλὴν πρόθεσιν· καὶ κοῦφον f. 141v ἐπτέρωσε | πρὸς τὸν δρόμον, τὸ βαρὺ καὶ ταπεινὸν σύνοικον; τίς

33 οἱ V: ἡ C **39** αὐτὴν V e corr. **41** παραλλήλους C e corr. **43** τῶν² V² s.l.
59,2 ἄλλῳ V: ἄλλά C

ἀγρυπνίαις καὶ χαμευνίαις· καὶ ἀσιτίαις καὶ νηστείαις ἐξέτηξε δουλαγωγῶν καὶ λεπτύνων εἰς τὴν εὐδρομίαν καὶ τὴν ἀνάβασιν; τίς οὕτω παρθενίαν ἠσπάσατο καὶ καθήγνισεν ἑαυτόν; τίς οὕτως ἔφυγε κόσμον· καὶ τὴν ἐρημίαν καὶ τὴν ἀκοινώνητον τῶν πολλῶν ἀποδημίαν ἐπόθησεν, ὡς ἄσαρκος μικροῦ καὶ ἄυλος τίς ἐν ἡσυχίᾳ καὶ ἀναχωρήσει ζητήσας τὸν Θεὸν εὗρε· καὶ ὠσφράνθη ὀσμὴν εὐωδίας αὐτοῦ καὶ συνεγένετο· καὶ τῆς μελλούσης ἔσχεν ἀρραβῶνας ἀληθινῆς τρυφῆς καὶ ἀνόσου τὲ καὶ ἀτρέπτου· καὶ ἧς κόρος οὐδεὶς ἅπτεται; τίς οὕτω τὸν νοῦν ἐκάθηρε καὶ τῷ σώματι παντὶ· καὶ τῇ γλώσσῃ δεσμὸν ἐπέθηκεν ἑκούσιον· καὶ σιωπὴν ἤσκησε· καὶ λόγον ἔγκαιρον; τίς μᾶλλον ἐντεῦθεν προφητικὴν ἐπλούτησε χάριν· καὶ θείας ὀπτασίας· καὶ Πνεύματος μετουσίαν· καὶ Θεοῦ κατεῖδε βουλὴν· καὶ προεῖδε καὶ τοῖς πολλοῖς ἐξ ἐντολῆς πάντως προεκήρυξεν; ἀλλ᾽ ἐπειδὴ καὶ λαῶν προέστη σφόδρα μὲν ἄκων, καὶ φεύγων, αὐτὸς τὴν ἀξίαν ὅλῃ προθέσει ψυχῆς, ὑπὸ δὲ τοῦ Πνεύματος προκληθεὶς εἰς πολλῶν ὄφελος, τίς οὕτω τοῦ βήματος οἰκονόμος· τίς οὕτω τῆς ἱερωσύνης ἁπάσης, τελειωτὴς καὶ νομοθέτης; καὶ μὴν ἔτι, τίς οὕτω μέτριον ἑαυτὸν ἐνταῦθα παρέσχε· τίς ἄτυφον· τίς ἐπιεικῆ καὶ πρᾶον, τίς μετ᾽ αἰδοῦς καὶ σεμνότητος ἁπάσης, καὶ ὅση τοῖς τοιούτοις οἰκεία τὲ καὶ πρέπουσα· τὴν ὁμιλίαν ἱλαρὰν καὶ ἡδίστην· τὸ ἦθος ἁπλοϊκόν τε καὶ εὔκολον· τὴν ψυχὴν γαληνὴν· καὶ πάντων χειμώνων καὶ ταραχῆς ἄσειστον, καθόλου γε εἰπεῖν, τὴν ὅλην ἐντυχίαν χαριεστάτην ἐπεδείξατο, ἀγερωχίας καὶ βάρους ἀκοινωνήτου καὶ δυσκολίας ἐπίσης, καὶ θωπείας ἀνελευθέρου· καὶ κομψείας· καὶ συμποσίων· καὶ προπόσεων· καὶ τραπεζῶν ἁβρότητος, ἢ μᾶλλον τἀληθὲς εἰπεῖν· εὐτελείας καὶ ἀηδίας παντάπασιν ἀνωτέραν· καὶ πάσης κακίας, ἀκίβδηλον; τίς οὕτω τοῖς κάμνουσι συγκάμνων καὶ συμπαθὴς, καὶ παρήγορος | καὶ λόγοις· καὶ πᾶσι f. 142
τρόποις; τίνος οἱ ξενῶνες· τίνος οἱ παρθενῶνες· τίνος αἱ νοσοκομεῖαι· τὰ μεγάλα τῆς ἀρχῆς ἐκείνῳ μεριμνήματα· καὶ φροντίσματα; τίς οὕτω τῶν ἐν γάμῳ σωφρονιστὴς· τίς τῶν ἐν ὑπεροχαῖς

21 παρθενίαν V: παρθενίας C **26** τὲ V^1 s.l. **27** οὕτω V e corr. | ἐκάθηρε V: καθῆρε C **38** ὅση V: ὅσοι C

59,19 cf. e.g. Greg. Naz., Or. 43, 61, 14 (p. 258) **24–25** Gen. 8, 21 **46–47** Greg. Naz., Or. 4, 111, 8–9 (p. 266) **49–51** cf. Id., Or. 43, 81, 6–12 (pp. 302–304)

καὶ κοσμικαῖς εὐδρομίαις χαλινὸς καὶ πάσης εὐπραγίας παιδαγωγός· τίς τῶν ἐν εὐπλοίᾳ τοῦ βίου κυβερνήτης ἐπιμελής; εὐσεβείας δὲ τίς οὕτω προστάτης· καὶ πίστεως ἀκλόνητος πρόμαχος; τίνος οἱ περὶ αὐτῆς ἀγῶνες τοσοῦτοι καὶ κίνδυνοι; τίς ἐκείνου μᾶλλον ἢ τὰ περὶ Θεοῦ· καὶ τὴν περὶ τῶν θείων ὀρθότητα λόγων καὶ ἀλήθειαν ἔπνευσεν, ἢ πρὸς τοὺς κατατολμῶντας τῆς πίστεως καὶ πρὸς πᾶσαν τὴν κατ᾽ αὐτῆς ἐπιχείρησιν, οὕτω γεννικῶς ἑαυτὸν ἀντέστησε· καὶ πάντων ἀτρέπτως ἀντετάξατο, καὶ μέντοι καὶ κρείττων ὤφθη· καὶ πολλὰ μὲν μογήσας καὶ πολλὰς καρτερήσας τὰς προσβολάς, ἀλλ᾽ ὅμως ἀπαθής τε καὶ ἄσειστος εἰς τέλος τὴν νίκην ἤρατο; καὶ ταῦτα ἦσαν αὐτῷ, τῆς οἴκοθεν μόνης παρασκευῆς· καὶ τοῦ κατ᾽ αὐτὸν μεγάλου φρονήματος· καὶ αὐθόρμητος ἡ μάχη καὶ οὐκ ἐξ ἀνάγκης ἢ τινὸς προκλήσεως καὶ προλήψεως· ὥσπερ οἱ πολλοὶ τοῦ καιροῦ καλοῦντος πρὸς τὴν χρείαν ἀνδραγαθίζονται, φθάσαντες ἐπὶ τῶν πραγμάτων· καὶ οὐκ ἔχοντες ἑαυτοὺς ὑπεκθέσθαι· ἀλλ᾽ ἄφυκτα προειλημμένοι καὶ μένειν δεσμὸν ἀπαραίτητον ἔχοντες. ὃ καὶ τοῦτο μάλιστα ἐπαινετὸν καὶ θαυμάζειν ἄξιον, καὶ οὐκ ἄν τις ἄλλως ἐρεῖ· οὔκουν οὐδ᾽ ἄλλως οὐδ᾽ ἄρ᾽ ἐγὼ τίθεμαι. τὸ δὲ τούτου, πολλῷ θαυμασιώτερον καὶ μεγάλων μεῖζον· καὶ ὄντως μέγιστον· καὶ ταῦτα ἦσαν αὐτῷ, καὶ μετ᾽ ἐπιβουλῆς πολλῶν τῶν οἰκείων καὶ τῶν συμμαχεῖν ὀφειλόντων καὶ ὧν αὐτὸς προεκινδύνευεν ἀντιπράξεως· καὶ οὓς ἔδει συστρατηγεῖν, ἐφθόνουν καὶ ἀντετάττοντο· καὶ οὓς ἔδει τῇ μάχῃ ταύτῃ συγκινδυνεύειν καὶ χαίρειν τῇ νίκῃ, καὶ τὰς ψήφους αὐτῷ πάσας φέρειν, καὶ τοῦ κράτους τὴν προεδρίαν, ἀφῃροῦντο τὰ τῆς νίκης ἔπαθλα· καὶ τὴν ἐπὶ τοῖς πόνοις χάριν τὲ καὶ ῥαστώνην. ἀλλὰ καὶ τούτων, τίς οὕτως ὡς ἐκεῖνος ἄριστος οἰκονόμος· καὶ βραβευτὴς ἑαυτῷ καὶ τοῖς πράγμασι, τοῦ λυσιτελοῦς καὶ προσήκοντος; | f. 142v τίς οὕτως ἀνάλωτος ἐν πᾶσι, καὶ ἀπαθὴς καὶ ἀήττητος; τίς οὕτως οὐ τὸ καθ᾽ ἑαυτὸν δίκαιον· ἀλλὰ τὸ κοινὸν τῆς ἐκκλησίας ἀστασίαστον προετίμησε· καὶ μέντοι καὶ τὸ καθ᾽ ἡδονὴν ἐξ ἀρχῆς, αὐτῷ πρόθυμος ἥρπασε τοῦ καιροῦ καὶ προείλετο;

60. Τούτων δὴ πάντων τῶν τοσούτων τὲ καὶ τοιούτων· ὧν ὁ λόγος νῦν ἤδη λοιπὸν ἀριθμεῖται καὶ συλλογίζεται, τί τίς ἄρα

57 καὶ πάντων ἀτρέπτως ἀντετάξατο V: καὶ κραταιῶς ἀντελάξατο C **59** ἄσειστος V: ἄτρεπτος C **67** ἄλλως V: ἄλλος C **80** ἐξ ἀρχῆς V: ἐξαρχῆς C

θαυμάσεται πρῶτον, ἢ πλέον, ἢ πῶς ἄν τις ἀξίως ἅπανθ᾽ ὁμοῦ· ἃ μηδαμοῦ· μὴ δ᾽ ἄλλῳ τῳ τῶν ἁπάντων σχεδὸν, ὁρῶμεν οὕτω δὴ συντυχόντα καὶ καλῶς ἠνυσμένα· καὶ ὧν ἕκαστον ὁτιοῦν καὶ μόνον, μεγίστας ἐπαίνων ἀφορμὰς δίδωσι, καὶ πολλοῖς ἤρκεσεν ἄλλοις εἰς εὐφημίαν· καὶ κλέος καὶ χάριτος ἀνθομολόγησιν τῇ ἐκκλησίᾳ καὶ τοῖς εὐγνώμοσιν; ἔγωγέ τοι νῦν ἐνταῦθα παραβάλλειν βουλόμενος· καὶ παρατιθέναι τοῖς αὐτοῦ τὰ τῶν ἄλλων· καὶ νόμους ἀποπληροῦν ἐγκωμίων· τούτους ἄρα δὴ δοκοῦντας πάλαι τεθεῖσθαι καλῶς, οὐκ οἶδα, τί ποτ᾽ ἄν, χρησαίμην· οὐδ᾽ ὅ,τί ποτ᾽ ἂν ποιῶν, ἐκείνῳ τὲ καὶ τῷ λόγῳ προσήκοντα ποιήσαιμι καὶ προσθείην. ἔδοξα δὲ πολλάκις (καὶ ἴσως οὐκ εὔηθες· οὐδ᾽ αἰτιάσαιτό τις ἄν, δικαίως), ἔδοξα δ᾽ οὖν, ὅπερ ἐκεῖνος περὶ τοῦ φίλου τὲ· καὶ ὁμοτίμου καὶ ὁμοψύχου Βασιλείου, καὶ πάνθ᾽ ὁμοίου τὲ καὶ περιφανοῦς, φθάσας ἤδη μετεχείρισε καὶ διέθετο κάλλιστα, πρὸς ἅπαντας τοὺς ἐξαρχῆς τῶν ἀνδρῶν εὐδοκίμους, αὐτῷ τε καὶ τοῖς αὐτοῦ χρώμενος καὶ παραβάλλειν ἀξιῶν καὶ μηδὲν πλέον τοῖς θαυμαστοῖς ἐκείνοις διδοὺς, τοῦτο κἀνταῦθα νῦν ἔχειν χώραν Γρηγορίῳ τῷ θείῳ καὶ τοῖς αὐτοῦ. καὶ πάρεστι σκοπεῖν, ὡς οὐδὲν πρᾶγμα· οὐδὲ δυσκολία τις· πειρωμένῳ καὶ τὸν αὐτὸν ἐπιχειροῦντι τρόπον. ἦ γὰρ, οὐκ ἀμφοῖν κοινὰ τὰ πάντα καὶ παραπλήσια τοῖς ἀνδράσι καὶ τὰ τῶν λόγων· καὶ τὰ τῶν τρόπων· καὶ τὰ τῶν βίων· ἴσως δὲ καὶ τὰ τῶν ὑπὲρ τῆς εὐσεβείας κινδύνων, εἰ δὲ μὴ, τὰ τῆς διδασκαλίας ἐνταῦθα καὶ τῆς προθέσεως; παρασκευῆς μὲν γὰρ ὡσαύτως εἶχον ἑκάτερος· ἄλλο δ᾽ ἄλλῳ δράμα βίου προσήγαγον οἱ καιροί· μᾶλλον δ᾽ ὥσπερ ἐφ᾽ ἑνὶ δράματι καὶ σκηνῇ βίου, ἄλλος | ἄλλο πρόσωπον ὑποδὺς ἠγωνίσατο· καὶ μὴν ἑκάτε- f. 143
ρος εὖ μάλα καὶ ὡς οὐκ ἄν τις ᾠήθη βέλτιον. καὶ τοίνυν ἃ περὶ ἐκείνου Γρηγορίῳ παρέστη λέγειν, κἀνταῦθα τούτῳ νῦν ἔξεστι· καὶ σχεδὸν τοὔνομα μόνον ὑπαλλάξας, καὶ τὸ τούτου ὑπεμβαλόμενος, πάντ᾽ ὄψει προσπεφυκότα, καὶ τούτῳ (πῶς ἂν εἴπῃς;), εὖ· καὶ ἀμφοῖν κοινὰ καὶ ἴσα· καὶ οὐδὲν ὅ,τι οὔ τῶν εἰρημένων· ὡς ἂν εἰ

60,6 an ⟨ἂν⟩ ἤρκεσεν? **14** δ᾽ οὖν V² s.l.: δὴ VC **17** τε V² s.l.: om. VC **22** οὐκ ἀμφοῖν V: καὶ οὐκ ἀμφοῖν C **24** ὑπὲρ τῆς εὐσεβείας V: ὑπὲρ εὐσεβείας C **28** ἠγωνίσατο V p. corr. C: ἠγωνίσαντο V a. corr. **32** εἴπῃς V: εἴποις C

60,14–19 Id., Or. 43, 70–76 (pp. 282–294) **27–28** cf. Simp., Comm. in Epict. Ench. (9. 55, 1–2)

καὶ τὴν ἀρχὴν εἰς τοῦτ᾽ ἦν ὁ σκοπὸς· καὶ πρὸς τοῦθ᾽ ἑώρα καὶ προείρητο· καὶ τοῖς αὐτοῦ νῦν ἐστι πρὸς αὐτὸν χρῆσθαι· ὥσπερ καὶ πλεῖσθ᾽ ἕτερα τῶν ἐκεῖ καλῶς εἰρημένων τῷ μεγάλῳ, ἑαυτῷ τε κοινὰ καὶ τῷ φίλῳ κεχάρισται, καὶ οὐκ ἔστι διελέσθαι. καὶ μὴν εἰ βούλεταί τις αὐτὸν ἐκείνῳ παραβάλλειν Βασιλείῳ Γρηγόριον· καὶ πάντα τρόπον ἰσοῦν, ἔστιν ἄρ᾽ ἐμοὶ δοκεῖ πρᾶγμα τοῦτο, μὴ μόνον πρόδηλόν τε καὶ ῥάδιον, ἀλλὰ καὶ ἀμφοῖν σφόδρα κεχαρισμένον, οὐκ οἶδ᾽ ὡς εἴ τι ἄλλο. καὶ ἀλλήλων ὄντες· πάνθ᾽ ὅμοιοι· καὶ ἴσα φέροντες· καὶ ἀλλήλων ἡττώμενοι· καὶ νικῶντες ἑκάτερος, ἅπαντ᾽ ἂν, ἐπιεικῶς ἥδοιντο· καὶ οὐκ οἶδ᾽ ὅ,τι μᾶλλον. ἅπαντα γὰρ σφίσι κοινά· καὶ τὸ νικᾶν ὅτῳ τις ἂν δοίη καὶ τὸ νικᾶσθαι, οὐκ ἴδιον ἐκείνου λοιπὸν τοῦθ᾽ ὁ λοιπὸς ποιεῖται, ἀλλ᾽ ἑαυτοῦ· καὶ περιχωρεῖ καὶ τὰ πράγματ᾽ αὐτοῖς· ὅπως ἂν, ἐπέλθοι· καὶ τούτων αἱ κλήσεις. οὐ γὰρ ἑαυτῷ μᾶλλον ἑκάτερος ἔζησεν, ἢ τῷ φίλῳ· καὶ ἀλλήλοις ἔπνεον· ὡς ἄρα κἀντεῦθεν ἔγωγε δοκῶ, κατανοήσαι τίς ἂν, οὐκ ἔξω λόγου τὰ πρὸς Βασίλειον εἰρημένα, καὶ Γρηγορίῳ προσήκειν· καὶ οὐκ ἔστιν ἐρεῖν ὅτῳ δὴ πλέον· καὶ ὧν ἐκεῖνος παρεξεταζόμενος πλέον φέρεται· καὶ ὧν ἴσα, καὶ Γρηγορίῳ ταὐτὸ τοῦτο συνέπεται. ἴσοι γὰρ πάντ᾽ ἀλλήλοις· καὶ ὥσπερ τὴν ἀρετὴν πάντοθεν ἴσην φασὶ· καὶ οὐδὲν αὐτὴν πρὸς ἑαυτὴν ἀντιφθεγγομένην καὶ ἀντιπράττουσαν, οὕτω δὴ καὶ αὐτοῖς τὰ πάντα πάντοθεν ἶσα καὶ συμβαίνοντα κομιδῇ· καὶ παντάπασιν, ἡρμοσμένως ἔχοντα· ὅτι δὴ καὶ πάσης ἐπίσης τῆς ἀρετῆς, καὶ πάντων ὡσαύτως τῶν καλῶν, ἐπιμεληταὶ καὶ ἐπιτυχεῖς. καὶ ὅρα γὰρ, ἀναμετρῶν οὑτωσὶ καὶ κατευθύνων ἀμφότερα καὶ περαίνων. λόγων ἔρωτες ἐξαρχῆς f. 143v κοινοί· λόγων κτῆσις, τῶν αὐτῶν, εἰς τὴν εὐσέβειαν, | χρῆσις κοινή· ἀναχώρησις κόσμου· φυγὴ πρὸς Θεὸν· ἀκτησία· πρόκλησις Πνεύματος εἰς ἐπισκοπικὸν ὕψος, μὴ προτεθειμένων εἰς τοῦτο· ἀγῶνες ὑπὲρ τῆς εὐσεβείας· τὰ μὲν, αὐθόρμητοι· τὰ δὲ, καὶ ἴσως μὴ καταγνώμην· ἀλλ᾽ ἐπελθὸν οὕτω μεθ᾽ ἡδονῆς προσδεχθέντες· καὶ δεῆσαν μάχης, τὴν προπαρασκευὴν τῶν ἀνδρῶν καὶ προθυ-

34 εἰς V^{2}C: εἰ V **39** ἐμοὶ δοκεῖ V: ὡς ἐγὼ δοκῶ C **48** ἔπνεον V: ἐπένεον C ἔγωγε δοκῶ V: ἐμοὶ δοκεῖ C | κατανοήσαι C: κατανοῆσαι V **52–54** ἴσην – πάντοθεν om. C **54** ἶσα sic codd.: servavimus **58** ἐξαρχῆς V: ἐξ ἀρχῆς C **61** προτεθειμένων V e corr.

52–53 cf. Arist. Ethic. Nicom. 1107a6–8 **58** cf. Metoch., Carm. 13, 10 (p. 237)

μίαν παραπλησίως ζητοῦσαν ἀφορμὴν ἀποδείξαντες· κίνδυνοι περὶ τῆς πίστεως κοινοὶ· καὶ κοινῆς τῆς γνώμης καὶ τῆς προθέσεως· νίκαι πρὸς τούτοις· καὶ κλέος οἷον οὐκ ἄλλοις. καὶ Θεῷ μεταστάντες λοιπὸν τῶν τῆδε καὶ μεταχωρήσαντες, κοινοὶ προστάται πάλιν τῆς ἐκκλησίας καὶ πολιοῦχοι· καὶ κοινοὶ θεοσεβείας ἁπάσης αὐτοὶ καὶ ἀρετῆς ἐπιστήμονες· καὶ νομοθέται· καὶ τοῖς πολλοῖς ἡγεμόνες, διὰ τῶν λόγων ὧν λελοίπασι· καὶ λιμένες πιστοί τε καὶ ἀσφαλεῖς, ἐν παντὶ χειμῶνι τῆς ἐκκλησίας καὶ τοῦ δόγματος, προσδραμεῖν ὁντιναοῦν ἐκ τοῦ προχείρου καὶ ῥᾷστα· καὶ καταστήσασθαι τὰ οἰκεῖα καλῶς· καὶ μὴ ναυαγῆσαι τὴν πίστιν, κατὰ πᾶσαν ἐπήρειαν καὶ ζάλην, τοῖς ἐκείνων χρώμενον λόγοις καὶ δόγμασι. καὶ ὥσπέρ τινα πινάκων ἀρχέτυπα καὶ προγράμματα τῆς ἐκκλησίας ἅπασι πρόκεινται, προσορᾶν καὶ χρῆσθαι καλῶς· ὧν τε ἔχεσθαι δεῖ· καὶ ὧν μή· ὡς τοῦτον ἀγαθοῦ παντὸς ὅρον ὄντα· καὶ τελειότητος ἀνθρωπίνης, τόν τε βίον τῶν ἀνδρῶν, καὶ τὸν λόγον κἀντεῦθεν πάνθ᾽ ὁντιναοῦν τυποῦσθαι προσῆκον, καὶ ἀναζωγραφεῖσθαι τὸν βίον· καὶ εἰκονίζειν, ὡς οἷόν τέ ἐστι· καὶ τὸ παρεκκλίνειν ὁπηοῦν, ἐκτὸς εἶναι τοῦ καλοῦ· καὶ πάντως οὐκ ἀκίνδυνον· ἀλλὰ καθάπερ εἰς ἀνδριάντας τῆς ἀρετῆς ὑψηλοὺς ἐκείνους ἑστῶτας, διαπαντὸς ἐνορᾶν· καὶ πάσης ἀλογίας τὲ καὶ κακίας ἑαυτὸν ἀποξέειν καὶ ὁμοιοῦν καὶ ὥσπερ ἐν σφραγίδι τινὶ τοῦ καλοῦ τελείᾳ· τοῖς ἐκείνων, | f. 144 πολιτεύμασι· καὶ λόγοις χαράττεσθαι καὶ προσαρμόζειν. οὐδὲ γὰρ ἐλλείπει τί τῶν εἰκότων· οὐδὲ τῶν μέτρων· οὐδὲ τοῦ καιροῦ καὶ τῆς ἁρμονίας· ἀλλ᾽ ἅπαν τὸ γιγνόμενον ἀπέδωκαν ἐκεῖνοι τῇ φύσει· καὶ τῇ τῆς ἀρετῆς ἕξει· καὶ παρῆκαν οὐδ᾽ ὁτιοῦν ἀτελές τε καὶ ἀνενέργητον. ἐθαύμασα νῦν ἔγωγε καθορῶν καὶ τὸν νοῦν προσέχων· ἐθαύμασα καὶ συνίημι. καὶ μοι δοκοῦσιν ἄνδρες οὗτοι, λαμπροὶ λαμπρῶς συνηγορηκέναι τῇ τε ἀρετῇ καὶ τῇ φύσει· τῇ μὲν, ἵνα μὴ παντάπασιν, ἄπρακτος δοκῇ· νοῦ μόνον πλάσμα, καὶ λόγων τέχνασμα· τῇ φύσει δ᾽ ὡς ἂν, μὴ πάντα πρὸς τἀγαθὸν ἀτελής τε καὶ ἀτυχὴς ἐλέγχοιτο διὰ τοὺς πολλούς· μὴ πάντα τοῖς καλοῖς ἀρκοῦντας. εἰ γάρ τις ἄρα νῦν ἐπὶ τούτοις ἀπορεῖ καὶ δέδιεν, ἑστᾶσιν οὗτοι λοιπὸν νῦν· εἰς μέσον οἱ

66 τῆς^{3} om. C **73** καταστήσασθαι V e corr. **83** ὑψηλοὺς C: ὑψηλοῦς V **92** συνηγορηκέναι V: συνηγορευκέναι C **93** δοκῇ V^{1}C: δοκεῖ V

93–94 cf. Or. 10, 61, 29–31

πάντ᾽ ἄριστοί τε καὶ μέγιστοι τοῦ πράγματος τοῦδε μεγάλοι κήρυκες· καὶ μάρτυρες ἐφ᾽ ἑαυτῶν ὡς ἀληθῶς δυσανάτρεπτοι· οἷς ἔξεστιν οἶμαι παντὶ σώφρονι· καὶ δικαίῳ τῶν ὄντων ἐπόπτῃ τὲ καὶ κριτῇ, μηδὲν μηκέτ᾽ ἀμφιγνοεῖν ὅλως· ἀλλ᾽ ἕπεσθαί τε καὶ πείθεσθαι· καὶ ὁμολογεῖν καὶ χαίρειν τῷ τῆς φύσεως τελείῳ· καὶ τῷ τῆς ἀρετῆς ἐνεργῷ· καὶ χάριν ἐκείνοις εἰδέναι, τοῖς πάντα καλλίστοις· καὶ ὑψηλοῖς καὶ γενναίοις, ὅτι καὶ τὴν ἀρετὴν ἐτίμησαν· καὶ τὴν φύσιν τὸν τρόπον τοῦτον δι᾽ ἑαυτῶν· καὶ τῆς ἑαυτῶν ἀριστείας. καίτοι τί λέγω; τολμηρὸν μὲν οἶδα λόγον ἐρῶν· ἐρῶ δ᾽ ὅμως· καὶ ὁ τοῦ λόγου σκοπὸς μετὰ τοῦ καλοῦ. αὐτοῖς γὰρ ἐγώ φημι τοῖς Χριστιανῶν πράγμασιν αὐτοῖς, αὐτῇ τῇ ἐκκλησίᾳ Χριστοῦ· αὐτῇ τῇ καθ᾽ ἡμᾶς πίστει καὶ τῷ κηρύγματι· τὰ μεγάλα καὶ συνεβάλοντο καὶ συνεμάχησαν, ὅσα γε τοὺς νοῦν ἔχοντας· καθορᾶν καὶ λογίζεσθαι· τοιοῦτοι γεγονότες αὐτοὶ· οὕτως ὑψηλοὶ καὶ τῶν πολλῶν ὑπέρτεροι· καὶ πᾶσαν ἄκροι σοφίαν· καὶ οὕτως ὅλους f. 144v ἑαυτοὺς, αὐτῇ φιλοσοφίᾳ καὶ λόγων | ἐπιστήμῃ· καὶ κράτει νοὸς καὶ περιουσίᾳ, Χριστῷ δόντες· καὶ τοῦτο μόνον ζήσαντες ἅπαντι τῷ βίῳ καὶ σπουδάσαντες λέγοντές τε καὶ πράττοντες· εἰ δὲ βούλεταί τις, καὶ πάσχοντες. τίς γὰρ οὐκ ἂν, εὖ φρονῶν οἶμαι μετὰ τούτων ἕλοιτο συντάττεσθαι· καὶ τῶν αὐτῶν κοινωνεῖν; τίς οὐκ ἂν, ἑαυτὸν μάλισθ᾽ ὑποτάττειν αὐτοῖς· τίς οὐκ ἂν δίχα πραγμάτων ἕπεσθαι· τίς οὐ τὴν τῆς πολιτείας ἐκείνων αἵρεσιν, τὸ καθάπαξ ἀσφαλὲς ἔχειν· καὶ ἀπλανῆ τὴν κρίσιν αὐτῶν νομίσας, ὅλοις λογισμοῖς πρόσθειτ᾽ ἄν; ἢ πῶς γὰρ οὔ· ἢ πῶς ἂν ἀμφιβολίαν ἐνθάδέ τινα σχοίη· καὶ οὐ πιστεύσαι τῇ μεγάλῃ τῶν ἀνδρῶν σοφίᾳ· πρὸς πᾶσαν μάχην τῶν ἐναντίων καὶ πολεμούντων καὶ κακουργούντων ἔξωθεν καὶ κατεπιχειρούντων τῆς ἐκκλησίας αὐτοὺς ἀρκεῖν μόνους ἀξιῶν· καὶ τὰ κατ᾽ αὐτοὺς εἰς ἀπολογίαν ἀντιφέρειν, παντὶ δύσνῳ καὶ κακοήθει· καὶ κατελέγχειν πειρωμένῳ καὶ ἀνακρίνοντι, ὡς ἔμοιγε δοκεῖ· καὶ τοῦτ᾽ ἄν, εἰκότως τῶν ἀποστολικῶν ῥημάτων φάναι πάντα τινα· μᾶλλον δὲ τὴν ἐκκλησίαν αὐτὴν περὶ τῶν ἀνδρῶν τούτων· «ἡ ἐμὴ ἀπολογία τοῖς ἐμὲ

112 ἄκροι V: ἄκρῃ C | σοφίαν V² e corr. (ex φιλοσοφίαν?) **114** τοῦτο VC: an τούτῳ scribendum? **122** ἐνθάδέ V: ἐνδάδέ C | πιστεύσαι V²: πιστεῦσαι VC

107–115 cf. Metoch., Carm. 6, 286–304 (pp. 124–125) **129–130** I Cor. 9, 3

ἀνακρίνουσιν, αὕτη ἐστίν»; ὑμεῖς γὰρ αὐτῇ καὶ ἀπολογία· καὶ καυχήσεως ὄντως στέφανος· πρὸς ἄλλους ἅπαντας ἁπάντων δογμάτων προστάτας καὶ ἀρχηγοὺς παραβαλλόμενοι· καὶ πάντας πολλῷ τῷ περιόντι νικῶντες· καὶ μάταιον πόνον ἐνασχοληθέντας ἐλέγχοντες. ὑμεῖς ἡ πρώτη καὶ τελειοτάτη καὶ μεγίστη τῆς ἀνθρωπίνης φύσεως φορά. ὑμεῖς οἱ πάνθ᾽ ἑξῆς τῇ μεγάλῃ φύσει δόντες σύμφωνα καὶ προσθέντες· παιδείαν· λόγον· βίον· πάσης ἀρετῆς καὶ φιλοσοφίας ἐπιμέλειαν· κατ᾽ ἀμφότερα θεωρίαν καὶ πρᾶξιν. ὑμεῖς οἱ ταῦτα πάντα τῷ Χριστῷ προσαγαγόντες καὶ ἱερουργήσαντες· καὶ ἑαυτοὺς· καὶ ταῦτα παντάπασιν αὐτῷ προσανα|θέμενοι· καὶ ζηλώσαντες ἡμᾶς Θεοῦ ζήλῳ τοὺς ἐξ αὐτοῦ f. 145 καλουμένους· καὶ τὴν κληρονομίαν αὐτοῦ μερίδα καὶ κληρονομίαν ἑαυτοῖς ἀντὶ πάντων ἑλόμενοι· καὶ τοῖς αὐτοῦ μέλεσιν, ἑαυτοὺς προσαρμόσαντες· καὶ μέντοι καὶ τὴν πρώτην καὶ κρείττω τάξιν ἐν αὐτοῖς καὶ ποθήσαντες καὶ εὑρόντες· καὶ πάντας ἄλλους αὐτοὶ συναρμολογοῦντες, τῷ συνδέσμῳ τῆς ἀγάπης καὶ τῇ ἁφῇ τοῦ πνεύματος· οἱ τῆς γῆς γεγονότες ἅλας· καὶ συνέχοντες τὸ τρόφιμον τῆς οἰκουμενικῆς τοῦ Χριστοῦ διδασκαλίας, ἄσηπτον· καὶ τὸ τῆς παγκοσμίου θυσίας πρὸς αὐτὸν ἄνοσον καὶ ἠρτυμένον ἅλατι· τὸν ἔχοντα βρῶμα φαγεῖν, τοῖς πολλοῖς ἀκατάληπτόν τε καὶ ἀθεώρητον· ἀλλ᾽ ὑμῖν γε καλῶς γινωσκόμενόν τε καὶ σκευαζόμενον· καὶ οἰκονομούμενον εἰς εὐαρέστησιν τῆς ἐπιθυμίας αὐτοῦ. ὑμεῖς οἱ δύο φωστῆρες οἱ μεγάλοι· οὓς ὁ Χριστὸς ἔπηξεν ἐπὶ τοῦ στερεώματος τῆς ἐκκλησίας αὐτοῦ· πλὴν πάνθ᾽ ὁμότιμοι καὶ ὁμοφυεῖς καὶ συνοδεύοντες· καὶ οὐ διϊστάμενοι· καὶ ὅλως ἀντιμετρούμενοι, καὶ διαμετρούμενοι· καὶ παντὶ τῷ χρόνῳ· καὶ παντὶ τῷ βίῳ· καὶ πᾶσιν ἀνθρώποις ὁμοῦ συναυγάζοντες· καὶ συνακουόμενοί τε καὶ συλλαλούμενοι.

61. Ἀλλ᾽ ἔοικα πόρρω φέρειν· καὶ πρὸς ἁπλοῦν τὸν πόνον ὃν ἐνεστησάμην οὐκ ἔχων ἱκανῶς, λαθὼν ἐμαυτὸν, διπλοῦν ἀνθαιρεῖ-

130 αὕτη V²C: αὐτῇ V **136** πάσης V: πᾶσαν C **150–151** σκευαζόμενον V: σεβαζόμενον C

131 Prov. 16, 31; I Thes. 2, 19 **141–142** II Cor. 11, 2 **145** Col. 3, 14 et Os. 11, 4 **146** Mt. 5, 13 **147** Malach. 1, 11 **149** Col. 4, 6; cf. Io. 4, 32 **156–157** cf. supra, 5, 35–36 et 22, 22

σθαι καὶ προστιθέναι. πεπαύσομαι μὲν οὖν, ἤδη λοιπόν. καὶ εἰ μέν γε καὶ ὁτιοῦν, βραχὺ πάντως (οὐκ ἐμαυτὸν παντάπασιν ἀγνοῶ), πρὸς τὸν σκοπὸν ἡμῖν ἤνυσται, καὶ τοῦτο τῆς τοῦ μεγάλου τοῦδε πατρὸς χάριτος ἄν, καὶ δυνάμεως· ᾗ θαρρήσας τὴν ἀρχὴν ἡψάμην τῶν περὶ αὐτοῦ λόγων, εἰ δ' ἄλλως ἔχει (καὶ τούτῳ μᾶλλον ἐγὼ τίθεμαί τε καὶ πείθομαι), πάλιν αὐτὸς προφητεύει. αὐτὸς γάρ f. 145v ἐστιν ὁ προσειπὼν τῷ φίλῳ Βασιλείῳ καὶ προειπὼν, | ἐξυφάνας αὐτῷ τὸν θαυμαστὸν ἐκεῖνον ἐπιτάφιον ἔπαινον, «ἡμᾶς δὲ τίς ἐπαινέσεται, μετὰ σὲ τὸν βίον ἀπολιπόντας», εἰς τὸ τοῦ πράγματος ἄπορον παντάπασι καὶ ἀδύνατον συγκλείων τὸν λόγον· καὶ συγγνώμην πάντως, ἂν εἴ τις τῶν ἐπαίνων ἅψαιτο τῶν αὐτοῦ, πόθῳ τυραννηθεὶς, τῆς ἑπομένης ἐξανάγκης ἁμαρτίας, διδοὺς ἐκεῖθεν καὶ προαγγέλλων.

61,5 τῆς V[2] e corr. **14** ἐξανάγκης V: ἐξ ἀνάγκης C

61,10–11 Greg. Naz., Or. 43, 82, 17–18 (p. 306)

7

Βασιλικὸς δεύτερος f. 145^{v}

1. Ἀλλ' ἄρα νῦν ἔγωγε μάλιστα κράτιστε βασιλεῦ, ἀπορῶ τί ποτ' ἄν, χρήσωμαι καὶ ὁ πόθος αὖθις ἕλκει καὶ οὐ φείδεται· καὶ τοὖργον κρεῖττον ἢ προσάγειν ἀεί. καίτοι τί λέγω; ὁ μὲν γὰρ οἶμαι πόθος, πρᾶγμα ἴσως οὐδὲν· ἀλλ' ὀφείλεται μέν σοι, τῆς περὶ πάντων ἀνδραγαθίας μισθὸς ἀρετῆς, εὐφημίαι· καὶ παρὰ πάντων ὁπόσοι σφᾶς νομίζουσι, μᾶλλον δ' ἑκάστους εἰσάπαξ ἀνθρώπων, ὑπόχρεως τοῦ καλοῦ, ὀφείλεται δέ σοι τῆς εἰς τὸ κοινὸν ἀνθρώποις προνοίας, καὶ τῶν ἔργων τῆς ἀρχῆς, αὐτὸ δὴ τοῦτο καὶ αὖθις· ἐπειδὴ μὴ πᾶν ἔξεστιν ἄλλο. ὀφείλω δ' αὐτὸς ἰδίᾳ περὶ μεγίστων· καὶ μὴν τοῦθ' ἕκαστος ἔχοι λέγειν ἄν, ὡς ἔγωγε οἶμαι· μᾶλλον δ' ἅπαντες, ἁπάντων μάρτυρες. ἀλλ' ἐντεῦθεν παρὰ τοῦ λόγου συμβαίνειν ἔοικεν, ὅστις περὶ τούτων, οὐκ ἀποδίδωσιν, εἰ μὲν ἑκὼν, πάντως ἀγνώμων· εἰ δ' ἄκων οὐκ ἔχων, οὗτος ἔπειτ' ἀνὴρ ἄθλιος· καὶ τοῦ μὲν, συγγνώμη μετὰ τῆς κοινῆς φύσεως· τὸ δὲ, παντάπασιν οὐκ ἀνεμέσητον· ἀλλὰ καὶ πάντων μάλιστα κάκιστον ἐν ἀνθρώποις, καὶ δρᾶν καὶ κρίνοντα λογίζεσθαι.

2. Καὶ ἔγωγε (εἰρήσεται γὰρ, καὶ ὡς βούλεταί τις ἡγείσθω τὲ | καὶ τιθέσθω), ἑλοίμην ἄν, καὶ ἡδέως ἄθλιος εἴην, ἐνταῦθα περὶ f. 146 θάτερον, οὔσης ἀνάγκης κακῶς πράττειν· καὶ χάριν ἄν, ἔχοιμι, τῇ περὶ ἐμαυτοῦ ταύτῃ τύχῃ, περὶ τούτων συννοούμενος. ἀλλ' εἰ μὲν ἔξεστιν ἐφ' ἑκάστοις· καθάπαξ ἀποδιδόναι, καὶ ἅμα δύναιτό τις ἄρα καὶ βούλοιτο (οὐκ οἶδ' ὅστις ἀνὴρ ἐκεῖνος ἄν, εἴη), περὶ μεγίστων οὕτω πραγμάτων, κάλλιστα δῆτ' ἁπαντῶν, ἔπειθ' οὕτως ἔξω καθ' ἑαυτὸν πραγμάτων ἑστήξειν· καὶ τοῦτο κάλλιστον ἄν, εἴη πάντως καὶ ἥδιστον· καὶ ἅμα διαρκέστατον ἐμοὶ δοκεῖν, ἐξετάζοντι καθ' ὁτιοῦν. ὅτι δὲ τοῦτο πάντων μάλιστά ἐστιν, ἀδύνατον ἔργοις τὲ περαίνειν καὶ συλλογίζεσθαι παντάπασι, τίς

tit. λόγος ζʹ V^2 in marg. **1,6** ἑκάστους V: an ἑκάστου? **14** τὸ δὲ V in ras. **2,8** ἑαυτὸν V^2 e corr. **11** τὲ V^1 s.l.

1,1–2 cf. Plat., Resp. 368b **5** Ael. Arist., Or. 54 (p. 665, 7) **10–11** cf. Id., Or. 46 (p. 318, 29)

οὕτω σφόδρα δυστυχὴς ἀγνοῶν· ἢ οὐκ οἶδ' ὅστις ἀπαίδευτος οὕτω περὶ τῶν μεγίστων, τίθεσθαι; οὐ γὰρ τοῦτο μόνον ἐστὶν ἀποχρών-τως, ἐννοεῖσθαι περὶ τοῦ μεγέθους αὐτοῦ τῆς σπουδῆς, καὶ παρα-βάλλειν ἔγγιστα συμμετροῦντας, καὶ σύμπασαν ἄσκησιν ὁμοῦ λόγων καὶ κίνησιν ἐπιχειροῦσαν ἐνταῦθα, ἀλλὰ μὴν κἀντεῦθεν γνοίη τις ἄν, ἐπιεικῶς. ὅ τε γὰρ ὄγκος τῆς ἐργασίας πάντοθεν ἁπτομένῳ δυσχερής, ἀνῦσαι καὶ περιδράξασθαι ὡς ῥᾴδιον ἅπαντι συνιδεῖν, καὶ μὴν ἀεί τι τοῦτο καινὸν ἀπαντᾷ σοι μετὰ τοῦ χρόνου· καὶ οὐκ ἐᾷ καθεύδειν, οὐδ' ἔξεστιν ἠρέμα ἔχειν, οὐδὲ μένειν καὶ ἵστασθαι, ὅπῃ ποτ' ἄρα οὔτε τῷ βασιλεῖ τῶν καλλίστων τὲ καὶ μεγίστων ἔργων, οὔτε σοί γ' αὖθις καταχώραν ἀπολαύειν ἑαυτοῦ, καὶ κατορθοῦν πειρωμένῳ· καὶ τελευτᾶν ἔπειτα τὴν πρόθεσιν· ἀλλὰ δεῖ φέρειν ἑκάστοτε τὸν ὀφειλόμενον ἔρανον· καὶ σφόδρα κάμνειν ἀεὶ νῦν εἶναι μετὰ τοῦ καλοῦ· καὶ συνεῖναι καὶ πράγματα ἔχειν καὶ προσεξεργάζεσθαι. ἢ κομιδῇ γ' ἄν, ἄτοπον, εἴη· καὶ πάντων μάλιστα δυσχεράναι τις ἄν, εἰκότως, εἰ τῶν μέν, ἁπλῶς ἔργων, οὑτωσὶ φέρειν εἰς ἑαυτοὺς σχεδὸν μόνους μάρτυρας, ἐνόμι-σαν ἤδη πάλαι τινὲς ἐφημερίδας· καί τις ἑαυτοῦ περὶ τούτων· καὶ τῆς τῶν λόγων ὤνατο παρασκευῆς, περὶ δὲ τῶν οὕτω γενναίων, f. 146v οὐκ ἄν τις ἕλοιτο· οὐδ' ἐπαΐειν | ἀξιώσειεν.

3. Ἀλλ' ἀδικεῖν μὲν αὐτά, τίς ἀφειδὴς ἐρεῖν; ἑαυτόν δ' ὡς ἀληθῶς ἐκεῖνον ἀδικεῖν, φῆσαι τίς ἄν· καὶ τὸν κοινὸν βίον ὡς ἄρα ἥκει, πρὸς αὐτὸν εὖ ἔχειν. ὅτε δ' οὕτω ταῦτ' ἔχει πάντοθεν ἐξετα-ζομένῳ, τί καὶ χρῆναι φημί· καὶ τίς ὁ ἐμὸς λόγος· ἢ ὃ πᾶσιν εὔδηλον ἤδη, ὡς εἰ μέν τις πάντ' ἄθλιος περὶ πάντων· καὶ πρὸς οὐδὲν ἱκανὸς πειρᾶσθαι, ὡς εἴη μηδεὶς ταύτῃ τῶν καλῶν καθάπαξ ἀνόνητος, τόνδ' ἄρ', ὡς ἔοικε, δεῖ μόνον σιγῇ θαυμάζειν (ὁ γὰρ νόμος φησίν, ἀπείργει τῶν ἱερῶν), τοῖς δ' ἄλλοις ὁμοῦ σύμπασι, τὸ δίκαιον ὀφείλοντας ἕκαστον ἀεὶ, καὶ φέρειν ἕκαστον ἀεὶ καθ' αὑτὸν χρῆναι· καὶ μὴ φείδεσθαι περὶ τοῦ μετρίου· ὡς ὅστις γε περὶ

12 οὕτω[1] V^2 in marg. **20–21** καθεύδειν – τῶν V^1 in ras. **23** καὶ – πρόθεσιν V^1 in marg. **24** ἑκάστοτε τὸν V^2: ἑκάστῳ V **25** εἶναι V^1 e corr. **3,2** φήσαι V^2: φῆσαι V

2,20 Plut., Thes. 6, 9 (p. 6, 26–27); cf. Or. 10, 45, 6 **26–29** cf. Greg. Cypr., Or. in Andr. imp., PG 142, 400B **29** cf. Plut. Mor. 623E **3,7–8** Stob., Anth. 4, 2, 25 (II, p. 156, 10–11)

τούτων δεδιέναι φησὶ καὶ κρίνειν, τοῦτον δῆτα καὶ μάλα, ἄτοπον εἶναι πρὸς ταῦτ᾽ ἐπιχειρεῖν τε καὶ πείθειν· μᾶλλον μὲν οὖν καὶ καθ᾽ ὁτιοῦν ὀφείλοντα· ὡς εἰ μὴ πάντα δύναιτο, μηδ᾽ ὃ δύναιτο, βούλοιτ᾽ ἄν· ἀλλ᾽ εἰ μὲν πάντα ἦν, ἀπεδίδου· ἐπεὶ δ᾽ οὐχ οὕτω, μηδὲν εἶναι τὸ εἰκός. καὶ τί τοῦτ᾽ ἄν, εἴη σεμνὸν· ἢ πῶς ἄν τις πείθοιτο, ἃ μήπω δῆλα· μὴ δ᾽ ἔχεις εὐγνώμονα εἶναι, περὶ ὧν, εἰς προὖπτον ἔξεστι, μὴ συγχωροῦντα μὴ δὲ τιθέμενον· καὶ ἃ μὴ δύνῃ, βούλεσθαι, πάνυ περὶ ὧν ἐγγύς ἐστι δεικνῦναι μηδὲν ἀξιοῦντα, μὴ δὲ βουλόμενον;

4. Ἀλλὰ τί χρὴ ποιεῖν; ἕκαστος μὲν ἄρα ὡς βούλοιτο, πάντως οὐ πόρρω θέομεν ὁ λόγος φησίν, ἐμοὶ δὲ μελήσει τῶν ἐμαυτοῦ κρίσεων· καὶ θαρρῶν ἅπτομαι. καὶ εἰ μέν τις αἱροῖτο περὶ ἡμῶν τὰ μέτρια καὶ οὐ πάμπαν ὡς ὁ λόγος ἄνωθεν ἀπείργει τῶν ἱερῶν, εἰ δ᾽ οὖν, ἀλλ᾽ αὐτὸς ἔγωγε μάλιστα ἀξιῶ καὶ οὐ φείδομαι. εἴρηται μὲν, ἀλλ᾽ ἅμα εἰς νοῦν ἧκε μοι καὶ προστίθημι· τὴν βασιλικὴν μεγαλοψυχίαν, ὥσπερ ἐν ἄλλοις πρᾶγμα τοσοῦτον, κἀνταῦθα ἐφάμιλλον. καὶ καθάπαξ πειραθεὶς, ἐπαινῶ τὴν καλὴν παροιμίαν, μᾶλλον δὲ οὐ παντάπασιν | ἀλλ᾽ ἔστι καὶ μικρολογίας ἔγκλημα· f. 147
δὶς τὰ καλά. τρὶς μὲν οὖν ἔγωγε καὶ πολλάκις ἀξιῶ καὶ ὁσάκις, ἄν τις καὶ δύναιτό τε καὶ βούλοιτο.

5. Πόθεν οὖν ἄρα τῶν ἐπὶ σοῦ λόγων ἀρξώμεθα βασιλεῦ· καὶ τί μᾶλλον ἤδη νικᾷ προσάγειν ἅττα νῦν ἀπαντᾷ συμπάσης ἀθρόον ἀρετῆς ἔργα· πάντοθεν ἕλκον ἕκαστον ἐφ᾽ ἑαυτοῦ χρῆσθαι· καὶ οὔτ᾽ οὐδὲν οὐκ ἔξεστιν ὑπεκθέσθαι, οὔτε μὴν διὰ πάντων ἑξῆς ἰέναι λόγῳ, τὸ εἰκὸς ὡς ἔστι συμμετρούμενον, ὡς οὐδ᾽ ἔχει πρὸς ἄλληλα φύσιν οὕτως ἑλέσθαι, καθάπερ οὐδ᾽ ἐπὶ κυκλικῆς ἰσότητος, ἀρχῆς ἅπτεσθαι; καὶ τὸ μὲν ἐφάμιλλον, ταύτῃ πως ἄριστα πέφυκε καθ᾽ ἑαυτὰ προσορᾶν· ὡς δ᾽ ἔπειτα πειρᾶσθαι τὸν παρόντα τρόπον, τοῦτό ἐστιν ὃ σφόδρα ἄπορον ἐνταῦθα νῦν· καὶ δυσχερὲς, πάντων μάλιστα περαίνειν· ἅμα μὲν, πρὸς τὴν ἀφθονίαν ἐξεταζομένῳ· ἅμα

15 καὶ τί V^1: καίτοι V **4,5** εἴρηται V e corr. **6** προστίθημι V: an προτίθημι? **11** δύναιτό scripsimus: δυναιτό V **5,1** βασιλεῦ V^2: ασιλεῦ V obl. rubr. **3** ἑαυτοῦ V^2: ἑαυτῷ V **4** ἰέναι scripsimus: ἱέναι V

4,2 cf. Ael. Arist., Or. 30 (p. 576, 23) **10** cf. Plat., Gorg. 498e

δὲ πρὸς τὸ κράτος ἁπάντων· ἅμα δὲ, καὶ πρὸς αὐτὴν ἐμοὶ δοκεῖ, τὴν ὑπόθεσιν τῶν λόγων καὶ κατάστασιν, ὅστις ἂν, ἐγχειρῇ· καὶ οὐκ ἔχει τόπον ἱκανόν· οὐδ' ἂν μάλα τις σπουδάζοι, πρὸς τὴν τοσαύτην χρείαν. ὥστ' ἔμοιγε δοκῶ, παραπλήσιόν τι συμβαίνειν, ὥσπερ ἂν, εἴ τις αὐτόματος ἐπιστὰς μέσος εἰς κοινὸν θέατρον ἁπάντων, ὁμοῦ τῶν εἰδῶν τοῦ καλοῦ, θείᾳ τινὶ συνελθόντων εἰς ἓν ὡς ἔοικε μοίρᾳ, καὶ ἅμα ἐπὶ ῥητοῖς ἁπτόμενος πρὸς βραχεῖαν κομιδῇ τοῦ καιροῦ χώραν, ἔπειτ' ἄρ' οὐχ οἷος τ' εἴη, πάντως ἑαυτῷ καὶ τῇ τύχῃ χρήσασθαι· οὔτ' ἀπολαύειν ἐξὸν ἡδίστων τὲ ὁμοῦ καὶ καλλίστων θεαμάτων, πάντοθεν ἁρπαζόμενόν τε καὶ ἀντισπώμενον· οὔτ' εἰσαγαγεῖν ἐντὸς καὶ κομίσασθαι· τοῖς τοῦ νοῦ ταμείοις φαντασίας χρόνοις ὕστερον, διαρκῆ τῶν ὄντων εἴδωλα· καὶ παρασκευὴν θεωρίας, ἀξιολόγου καὶ κρίσεως.

6. Καὶ δῆτ' ἔγωγε, οὐκ οἶδ' ὅ,τι καὶ δράσω· καὶ τίσι μᾶλλον ἐμαυτὸν δώσω, πρὸς τὸν νῦν λόγον ἀνῦσαι. πάντων μὲν γὰρ
f. 147v (δυσχερὲς ἴσως ἐρεῖν, ὅμως δ' οὖν εἰρήσθω), | τῶν κατὰ σὲ βασιλεῦ ὁ νοῦς ἅπτεται, πάντων δ' ἑξῆς ἕλκεται, καὶ ἀποχωρεῖ. πάντα μὲν τὴν ἀρχὴν ἐπιβάλλοντι περιίσταται· πάντα δ' ὁμοῦ τείνει· καὶ οὐκ ἔστιν ἠρέμα σχεῖν ἐφ' ὁτῳοῦν· οὐδὲ μετρίως προσβραχὺ· οὐδὲ στῆναι· καθ' ἓν ἕκαστον· ἀλλ' ἤδη καὶ κατὰ πλείω, καὶ ἀμέσως προσβάλλει· καὶ σχεδὸν ἅμα ξύμπαντα. καὶ εἶτα τί ἄν τις ἕλοιτο· πότερον εὐβουλίας ἐρεῖν ἔργα, ταῦτ' οἶμαι καὶ προθεῖναι τόσα καὶ τόσα, καὶ ἅμα ποικίλα διαιρεῖν καὶ ἀγχινοίας· μᾶλλον δὲ μεγαλονοίας καὶ συνέσεως ἁπλῶς, ἢ ῥώμης αὖθις καὶ μεγαλοψυχίας· καὶ τάχους ἑξῆς· καὶ κράτους· καὶ μὴν ἔτι πρὸς ἅπαντ' εὐαρμοστίας· καὶ μήτε ταῦτ' ἐκείνων χωρὶς καθάπαξ· ἰσότητος καὶ ῥυθμοῦ· καὶ τῆς εἰς νοῦν αὐτὸν δικαιοπραγίας· μήτε τὴν σοφίαν καὶ τὴν καρτερίαν ἀηδὲς παντάπασιν ἐλλείπειν ἀκμῆς καὶ γενναίου λήμματος· χωρὶς δὲ τούτων, εὐσεβείας χῦσιν πρὸ πάντων καὶ ὑπὲρ πάντα· μᾶλλον δὲ ζέσιν καὶ πυρσὸν· καὶ περὶ Θεοῦ καὶ τῶν θείων, μεγίστην σπουδήν· καὶ νοῦν ἄληπτον ὄντως καταπνεόμενον ὑπ' ἔρωτος ἀθανάτου καὶ οὐρανίου;

13 σπουδάζοι V: an σπουδάζῃ? **6,7–8** κατὰ πλείω V^{2}: καταπλείω V **8** ἅμα V e corr. **10** ποικίλα V^{2} e corr.

6,19–20 cf. Phil. Iud., De vit. Mos. 2, 67 (p. 179, 21)

καὶ τὸν μὲν ἐπ' αὐτοῦ τοῦ σώματος πλοῦτον, ἔξεστιν ἴσως καὶ ὑπεξελθεῖν, ἐμοὶ δοκεῖν οὐκ ἄλλως, ἢ μετὰ τῆς βασιλικῆς μεγαλοψυχίας· ἢ τί ἂν, καὶ δράσαι τις κάμνων ἀπέραντα; τά δ' ἄλλα μὴν ταῦτα, πῶς ἂν καὶ παρέλθοι τις, καὶ εἰ σφόδρ' ἐπείγεται· ἤθους στάσιν ἀμέλει· καὶ λόγου κίνησιν, ῥέουσαν μὲν, ἀλλ' ἔμμετρον· καὶ λογισμοῦ κράτος· καὶ ἀφθονίαν ἐνεργεστάτην· καὶ πάντα δραστικὴν ἐπιχειρεῖν· ἀλλὰ μὴν καὶ τάξιν ἐφ' ἑκάστοις παντελῶς ἑπομένην· μᾶλλον δ' ἡγουμένην τὲ καὶ νομοθετοῦσαν· καὶ γεωμετρικὴν ὡς ἔπος εἰπεῖν διὰ πάντων ἰσότητα· τοῦτο μὲν καθ' αὐτὸν ἰδίᾳ καὶ πρὸς τὴν ἔσω πολιτείαν ἐρεῖν· τοῦτο δ' ἑξῆς πρὸς ἅπασαν τὴν ἡγεμονίαν ἀπιδεῖν; καίτοι τοῦτ' ἄρ' ἐστὶ δυσχερὲς ἁπάντων κομιδῇ διελέσθαι καὶ τάξαι· περὶ ἀμφοτέρων· ὡς ἅμα τὲ | f. 148
συνῆλθε· καὶ μάλα τοι κέκραται παντάπασιν ἀμερίστως· καθ' ἓν ἄγαλμα τῶν ὄντων ἑστὼς· καὶ φύσεως ἑκατέρωθεν ἐντελοῦς τρόπαιον ὁρᾶν· ὡς τοῦτον ἔσχατον ὅρον εἰς τὸν βίον νικῶντα· καὶ εἰκόνα τινὰ καὶ τύπον ἡγεμονίας, τὰ τοῦ ἐμοῦ βασιλέως πράγματα· καὶ τὸν χρόνον ταύτην ἐνέγκαντα νῦν ἐπίτηδες τὴν φοράν. οὕτως ἡ φύσις ὡς ἔοικε, πάλαι παρεσκεύαστο· καὶ ὅλον καὶ τοῦτο μόνον, ἐδημιούργησεν ἡγεμονικόν. καὶ τοίνυν οὐ πέφυκε τέμνειν ὅλως· οὐδ' ἀμφότερα νομίζειν ἐνταῦθα, ἅ τ' ἴδια καὶ κατ' αὐτὸν ὡς ἐρεῖν, καὶ ἃ τῆς ἀρχῆς.

7. Ἀλλὰ τοῦτο μὲν δὴ, τοῦτον ἔχει τὸν τρόπον. ὃ δ' οὖν ὁ λόγος ἄνωθεν ἥκει, τίς ἂν, γενοίμην· ἢ πῶς τοιγαροῦν περὶ τούτων ἀρκέσω; μᾶλλον δὲ, τίς ἀξιόχρεως εἰς ἅπαντα, τοσοῦτον ὄγκον ἄρασθαι φησὶ καὶ κινῆσαι πρόσω· καὶ ἔτι γε ἄττα πλεῖστα παρεῖται περὶ τῆς ἀρετῆς εἴδη· ἢ πόθεν ἄρα τὸ εἰκὸς ἀποδοίη τις ἐνταῦθα γενόμενος· ἢ τί χρήσαιτο; ἢ πάντως μὲν ὡς κατ' ἄλλος ἄλλο νομίζει κράτιστον· καὶ ἅμα ἔξεστι· πάρα δ' ἑκάστῳ βίη· πάρα δὲ φρὴν ἠδ' ἔργματα. καὶ ὁ μὲν, ταύτην· ὃ δ' ἄλλην· ὁ δ' ἥντινα οἱ δοκεῖ μάλιστα λυσιτελήσειν· καὶ ἴσος ἕτερος ἐπὶ τὴν

25 ἐνεργεστάτην V²: ἐναργεστάτην V **7,1** ὁ V¹ s.l. **9** ἴσος V: an ἴσως? **9–10** τὴν αὐτὴν V² in marg.: τῆς αὐτῆς V

28 cf. Plat., Gorg. 508a **33** cf. Democr., Fragm. 26, 6 (p. 68) **34–35** cf. Ael. Arist., Or. 13 (p. 319, 13) **7,7–8** cf. Hom., Il. 14, 141; Ibid. 7, 157; Id., Od. 11, 367

αὐτὴν· ἅπαντες δ’ οὖν ὅμως, προτιθέσθων εἰς κοινόν τι τοῦτο τοῦ λόγου φέρειν κατάντημα. καὶ οὐ δέος ἔπειτα οὐδὲν μή που σφᾶς ἐπιλείψει τὰ ἐπιτήδεια· ὅτι μὴ δ’ εἰς χείμαρρον ὁ παλαιὸς φησὶ λόγος, ἀλλ’ εἰς φρέαρ ἀντλεῖν (τί μὲν οὖν λέγω φρέαρ;), ἀλλὰ πέλαγος ὄντως ἄληπτον μὲν ὡς ὁρῶντα περαίνειν· ἀδάπανον δὲ χρήσασθαι. καὶ δεῖ λοιπὸν χωρεῖν μετ’ εὐγενοῦς προσχήματος, ὥσπερ εἰς πάνδημον ἀπολαύσοντας πανήγυριν· καὶ γνώμης διαρκοῦς ἐπίδειξιν· καὶ ἅμα τις συννοείτω· ἅμα δ’ ἁπτέσθω. ἁπτόμενος δ’ ἄρ’ ἔπειτα, νόστου μεμνήσθω φίλην ἐς πατρίδα γαῖαν, πρὸς ἑαυτὸν ἐπανάγειν, σὺν κόσμῳ, κάλλιστος ἀπὸ καλλίστων φασίν. |

f. 148v **8.** Ἀλλὰ τί ταῦτα; ἴσως καὶ πλείω τῶν εἰκότων ἔστι τουλοιποῦ διατρίβειν πάλαι καθιστάμενον· ὃ δ’ οὖν εἶχον, ἕκαστος μὲν τὴν καθ’ αὑτὸν· ἀλλ’ ὅπερ ἔμοιγε δοκεῖ περὶ τοῦ παρόντος ἄρτι σκοποῦ διαθέσθαι καὶ προσάγειν εἰς ἅπαξ ἐπιστάντι, ἐγὼ δὴ βούλομαι, τῶν ἄλλων ὁμοῦ ξυμπάντων ἀφέμενος ὦ θειότατε βασιλεῦ, περὶ ταύτης ἄρα τῆς σῆς οὐκ οἶδ’ εἴτ’ ἐκδημίαν χρὴ ταύτην καλεῖν, εἴτ’ αὖθις ὡς ἐν οἰκείοις ἀπασχόλησιν ἔξω τῆς συνήθους, εἰς τὸ πρόχειρον ἀφορωμένῳ, περὶ ταύτης δ’ οὖν εἰς μέσον ἐνταῦθα ἐνεγκεῖν (καὶ ὡς ἀξιοῖ τις τιθέσθω· καὶ παραιτοῦμαι λοιπὸν νέμεσιν), ἀνεκτῶς συνεκδεδημηκέναι τὲ καὶ συνεσκηνῆσθαι τὸν λόγον ἐπὶ καλλίστων ὁμοῦ καὶ ἡδίστων θεατὴν ἔργων· μᾶλλον δ’ εἰ χρὴ φάναι παρρησίᾳ ὡς αὐτόθεν ἔφη τις, ἥκων ἔγωγ’ εἰς τὸν παρόντα λόγον, αὐτόπιστος. οὔκουν γέ ἐστι καταγνῶναι ξενηλασίαν, ὥσπερ ἐν Λακεδαίμονι πάλαι· οὐδὲ καινὰ νομίζομεν· ἀλλ’ ἄντικρυς εἰς τὴν χρείαν φέρομεν· ἀρχὴ δ’ ἄρα μετὰ Θεοῦ φασὶν.

9. Ἀεὶ μὲν οὖν καὶ πρότερον αὐτοκράτορ συμβασιλεύων τῷ πατρὶ βασιλεῖ ὅπῄ ποτ’ ἐδέησε, συνέκαμνες ἐκείνῳ περὶ μεγίστων

18 μεμνήσθω V^2: μεμνῆσθαι V **8,2** εἶχον V: εἶπον coni. Re **10–11** συνεσκηνῆσθαι V^2: συνεσκηνῶσθαι V **9,1** συμβασιλεύων V^2: υμβασιλεύων V (obl. rubr.)

13 cf. Bas. Caes., Hom. dicta temp. famis, PG 31, 321A **18–19** Hom., Il. 23, 145; Id., Od. 1, 290 **19–20** cf. Lib., Or. 11, 264 (p. 531, 11–12) **8,12** locum non invenimus **15–16** locum non invenimus

ἔχοντι· καὶ βουλεύοντι, συνεβούλευες· καὶ θεσπίζοντι, συνεθέσπιζες· καὶ καθάπαξ πάντα πράττοντι συνεπόνεις· καὶ τὰς δυνάμεις ἐξαρτυομένῳ δόξαν οὕτως, αὐτὸς ἐπλήρους ἀντ' ἐκείνου τὸ σχῆμα· καὶ προΐστασο τῶν κινδύνων· καὶ ἦς ὄντως, οὐ γήρως τῷ πατρὶ μᾶλλον, ἢ τῆς ἀρχῆς βακτηρία καὶ στήριγμα. καὶ παλαιὸς μὲν ἔφη τις ἤδη ποιητὴς ἐκεῖνος ἀνὴρ ἔμμουσος, ἀστραβῆ κίονα Τροίας Ἕκτορα, καὶ ὀρθῶς ἔφη· οὗ γε πεσόντος ἡ περιμάχητος ἐκείνη πόλις, χρόνων ἤδη τόσων καὶ τόσων, οὐκ ἄρ' εἶχεν εἰσαῦθις ἐπ' ἀσφαλοῦς ἑστήξειν· ἀλλ' ἔμελλε πίπτειν αὐτίκα καὶ ἔπιπτε. σὲ δὲ τίς οὐκ ἂν οὕτω λέγῃ, μάλιστα τηνικαῦτα τῷ πατρί, πρὸς τὴν ὅλην τῶν Ῥωμαίων ἡγεμονίαν; | καὶ μὴν εἴ τι μέγιστον αὖθις, f. 149
ἔξεστι, καὶ κάλλιστον προσενεγκεῖν, πλὴν ὅτι καὶ τὰ δυσχερῆ τοὔμπαλιν ἐτράπη, πρὸς τὸ νῦν ὁρᾶν· ὅτι καὶ πεσόντος σὺ τοῦ πατρός· καὶ τὴν ἀναγκαίαν ἀποδόντος φορὰν τῇ κοινῇ φύσει τὲ καὶ τῷ χρόνῳ, ἔπειτα ἔστης, ἀκλόνητος ἐν μέσῳ· καὶ ταὐτὸν ἐρεῖν, σύμπαντα ἔστησας· πάντοθεν εἰς ἀνάγκην τοῦ θαρρεῖν καὶ μένειν ἑδραίως, πρὸς τὸν ἀεὶ χρόνον (ἀλλὰ μήπω γε τοῦτο), ἀλλ' ὅτι καὶ τέως ἔτ' ἐκείνου περιόντος, ἀεὶ πρὸς τὸ κατεπεῖγον, ἵστασο· καὶ ἅμα τέ τι τῶν τῆς ἀρχῆς εἶχε πονήρως· τῶν ἐγγειτόνων ὀχλούντων οἷα δὴ συμβαίνει· καὶ ἅμα ἦγες αὐτὸς σωτὴρ ἀλεξίκακος· καὶ περιίστατο τοῖς ἐπιχειροῦσι τὸ δράμα· καὶ τοὐναντίον ἀπήντα σφίσιν ἡ βολή, πρὸς ὑπερτάτην ἄτην. γνοίη δ' ἄν τις οὑτωσί πως ἐντεῦθεν.

10. Ἐνόσει τὰ κατὰ τὴν ἕω τότε μάλιστα τῆς ἡγεμονίας· καὶ σφόδρα ἔδει πονεῖν ἐνταῦθα. ἀπεδήμεις ταχὺς· ἐπόνεις· ἀνώρθους· ἔθραττες· ἐρρήγνυς· ἵστης διὰ πάντων, τὴν κατακλύζουσαν φοράν· ἀνθίστης κατὰ τῶν παλαμναίων τρόπαια. πάντα ἐγχειροῦντες, πάντα οὐδὲν ἤνυον· ὅτι μὴ διαφερόντως καθ' ἑαυτῶν σύμπαντα. καὶ οὔπω προσέθηκα τοσοῦτο μέγιστον, ὡς καὶ ἦν ταῦτα σὺν κομιδῇ τοῖς ἐφεπομένοις ὀλίγοις ἐπὶ τῶν ἔργων· ἀλλὰ στρατεύματα μὲν σχεδὸν ἅπαντα, πρὸς ταῖς δυτικαῖς ἐκκεχωρήκει χρείαις ἐνασχολεῖσθαι· ἡ δέ γε δὴ περὶ τὴν βασίλειον οἰκίαν, γεννικὴ

10,8 ἐκκεχωρήκει V[2]: κεχωρήκει V

9,7–11 Pind., Olymp. 2, 90; cf. etiam Liban., Or. 17, 3 (pp. 207, 16–208, 3) **20** cf. Ioh. Chrys., Adv. Iud., PG 48, 845, 12–13 **23–24** CPG II, 9, 15–16

νεότης εὐοπλοῦσα, ταὐτὸ τοῦτ' ἤνυον· καὶ ἀπῇσαν τηνικαῦτα πάντες κοινὸν ἄεθλον. ᾧ καὶ μᾶλλον οἱ τἀναντία φρονοῦντες ἔοικεν ἐνταῦθα, βάρβαροι θαρροῦντες ἐκινοῦντο μὲν ἄρα, μετὰ τοῦ καιροῦ συνήθως, κακοὶ κακῶς· κάκιστα δὲ ἀπηλλάττοντο. καὶ πολλάκις πειρώμενοι, πολλάκις ἑαυτοῖς κατεμέμφοντο· δυσχεραίνοντες, ὡς μὴ κατὰ φύσιν κακῶς πράττοντες. εἶτ' αὖθις ἀεὶ προσεπετίθεντο f. 149v καὶ προσεῖχον· μάλιστα τὸ εἰκὸς, ἑκάστοτε νῦν δοκοῦντες | εὑρήσειν· καὶ μὴν ηὕρισκον· ἕως ἔγνωσαν ἀμέλει, πλέον φύσεως ἐνταῦθα εἶναι, πρὸς τὴν σὴν χεῖρα καὶ φύσιν, ἀνταίρειν ὦ κράτιστε βασιλεῦ. οἱ δὲ, ἄρα πρότερον ἱστάμενοι μετὰ τῶν ὄντων ἀγωνίζεσθαι, καὶ πρὸς ἑτοίμην λεῖαν φρονοῦντες, ἔπιπτον αὐτίκα καὶ παρεῖχον ἐπὶ σφίσιν εὖ μάλα, τοῖς σοῖς χρῆσθαι μετὰ τῆς νίκης· τοῦτο μὲν ἐπ' Ἰωνίας αὐτῆς· καὶ μάλιστα ἣν ἐπέρχεται Μαίανδρος· ἔνθα δὴ καὶ ἣν ἔθεντο πρότερον οἱ πολέμιοι σφίσιν ἀοίκητον διῄεις, καὶ καθίστης· τὰ δ' αὐτὰ, καὶ Λυδίας ἔγνωσαν ὅροι. κἀνταῦθα μὴν ἔτι, καὶ ἡ Φιλαδέλφου μεγαλόπολις, τῆς εἰθισμένης τέως ἐκεῖθεν δυσκολίας, ἀπηλλαγμένη πόρρωθεν, ἐδέχετο τὸν προστάτην τῆς χώρας, καὶ πρόμαχον· καὶ πομπὴν ἱκανὴν ἐξεχεῖτο τοῖς σοῖς θριάμβοις· θέατρον ἀνοίγουσα διαρκὲς πρὸς τὴν σὴν εὐδοξίαν, καὶ χώραν ἐδίδου βασιλείου ῥᾳστώνης, δεῆσαν ἐνδοῦναι τῇ φύσει μετὰ τοὺς πόνους· μετὰ τὰ τρόπαια.

11. Ἅ γε μὴν, ἡ μέσον Φρυγίας τὲ καὶ Αἰολίδος εἶδε, μᾶλλον δ' ἐπ' αὐτῆς εἶδον ἄνθρωποι, ἐπειδὴ πρότερον ἄρδην ἀνέστη· καὶ ἥρπαστο κάλλιστα τῆς τοῦ βασιλέως γνώμης, αὖθις καταστᾶσα· καὶ ὡς οὐκ ἄν τις ἤλπισε, παρελθεῖν μὲν ἴσως, οὐκ ἔστιν ἁπλῶς οὑτωσὶ· μενέτω δ' ἐν βραχεῖ πρὸς καιρὸν ἴδιον χρήσασθαι. καὶ δῆτ' αὐτὸς ἔγωγε, πολλοῦ ποιησαίμην, ἂν, εἰ μετρίως ἔπειτα, ἐξείη τῶν ὄντων ἅψασθαι.

12. Ἀλλ' Ἀγησίλαον μὲν φασὶ τὸν Λακεδαιμόνιον βασιλέα, ὅτι μηδὲν οὕτω τῶν ἁπάντων εἰς Ἕλληνας μέγαν ἐκεῖνον ἦρε τὸν ἄνδρα, ὡς αἱ περὶ τὴν Ἰωνίαν κἀνταῦθα πράξεις. καὶ τοίνυν

16 καὶ προσεῖχον V^2 e corr. **11,2** ἐπειδὴ scripsimus: ἐπειδή V

10,10 cf. Phil. Iud., De spec. leg. 4, 220 (p. 219, 6) **17–18** cf. Ibid. 3, 173 (V, p. 166, 1–2)

πάρεστιν εἰς τὰς προτέρας διεργασίας ἀφορωμένοις τῶν παλαιῶν ἀνδρῶν, καὶ τοὺς ἀναγράφειν ᾑρημένους, ἐνταῦθα μάλιστα τῶν Ἑλληνικῶν διατρίβειν· καὶ συγγινομένοις ἐννοεῖσθαι θαυμάζοντας ὑπ' ἀνάγκης· καὶ χαριζομένους ἐπιεικῶς, σχολάζειν ἐπὶ τἀνδρί· ὡς μέγιστα ἅττα πρὸς τὸν βίον ἐπιδειξάμενον | τηνικαῦτα τὸν χρόνον· κἀκεῖνον ἔργα περὶ πάσης ἀνδραγαθίας διαρκῆ μεταχειρίσαντα, καὶ ἔγωγε νῦν τίθεμαι μάλιστα καὶ δοκιμάζω· καὶ οἶμαι πᾶς ὁστισοῦν ἐγνωκὼς καὶ κρίνων (πῶς γὰρ οὔ;), τὸν ἄνδρα ἐκεῖνον· τὴν πρόθεσιν ἣν ἄρα ἐνεστήσατο γεννικῶς· περὶ τῶν εἰς τὴν ἑτέραν ἤπειρον ὁμοφύλων Ἑλλήνων, τῶν βαρβάρων ἐλευθεροῦν ὡς οἷόν τέ ἐστι· καὶ τῆς εἰς ἅπαντα ἤδη ἐμπιπτούσης Μηδικῆς ἀνάγκης, πρόβολος αὐτὸς στῆναι. καὶ μὴν εἴργασται, μέχρις ἂν, εἶχεν, οὐκ ἐνδεῶς πρὸς τὴν γνώμην· οὐδὲ πρὸς τὴν τῶν λογισμῶν παρασκευήν. ἀλλ' εἰ ταῦτα νομίζει τις· καὶ τὸ φρόνημα νοῦν ἔχειν ἀξιοῖ καὶ θαυμάζειν, οὐκ ἄρ' ἔμελλεν ἀρκέσειν ἑξῆς· οὐδ' εἰς ἔργον ἀποτελευτᾶν ἡ δοκιμασία. ἀλλὰ πρύμναν μὲν ἔγωγε, οὐκ ἂν, ἐρῶ ὡς ἐκρούσατο, μετανοῶν ἐκεῖνος τῆς ἀνδρικῆς γνώμης· τέμνεται δ' οὖν τὴν ἔνστασιν ἔπειτα ἀωρία· καὶ τοσοῦτο μέτριον ἔτι, ὡς τὸ γενναῖον αἱρόμενον ἤδη προδήλως, ἐπειδὴ προσέβαλεν ἡ περὶ τῶν οἴκοι φήμη, πονήρως ἔχειν καὶ δεῖν συμμαχίας, αὐτίκα ἐν μέσοις κλᾶται· ἢ οὐκ οἶδ' ὅπως αὐτόθεν πίπτει· καὶ ἥττηται τῶν καλούντων θορύβων. καὶ ἅμα μὲν τὰ ἐκεῖθεν τέλη διεπρεσβεύετο· καὶ εἷλκε πρὸς τοὺς ἐν Σπάρτῃ κινδύνους ἐπικουρίαν· καὶ ἅμα οὐκ εἶχεν ὅ,τι χρῷτο, οὐδὲ πρὸς οὐδὲν ἕτερον· ἀλλ' ἐπείθετο καὶ εἵπετο καὶ ἦγεν αὐτὸς· οὐχ ἡμιτέλεστον, ἀλλ' ἀτέλεστον παντάπασι τοὖργον λιπὼν· καὶ παρεὶς μὲν τὸ φρόνημα· παρεὶς δὲ τοὺς ὁμοφύλους· περὶ ὧν ἠξίου νῦν ἤδη σεμνὸς εἶναι καὶ καταπροέμενος. καὶ Ἀγησίλαος μὲν οὕτως ἀνεχώρησε τῆς εὐδαιμονίας· μεμφόμενος τῇ τύχῃ μέγιστα· καὶ ἴσως δικαίως· ὥσπερ μᾶλλον ὄναρ εὐπραγήσας, καὶ εἶτα τῶν εὐγενῶν ἐλπίδων ἀφυπνισθεὶς ἀνόνητος.

f. 150

12,8 ἅττα scripsimus: ἄττα V **21** ἀωρία V: an ἀωρίᾳ? **22** μέτριον ἔτι V² e corr. **23** δεῖν V²: δεῖ V **29** τὸ V² s.l.

12,10 cf. Stob. Anth. 4, 22f, 118 (IV, p. 545, 3) **19–20** cf. Plut., Anton. 65, 8 (p. 127, 22) **28** Xen., Hellen. 4, 2, 1–2; Plut., Ages. 15, 2–5 (p. 211, 8–28); cf. etiam Menand. Rhet., De orat. 2, 389, 22–24 (p. 116); Metoch., Misc. 417

13. Ἀλλὰ σύ γε μὴν ὦ κράτιστε βασιλεῦ· οὐ μόνον ἔδωκας ἑαυτὸν μεθ' ὅσης τῆς εὐψυχίας· | (f. 150v) ὑπὲρ τῆς τῶν σῶν Ἑλλήνων σωτηρίας, ἐν τοῖς αὐτοῖς τούτοις οἷς εἴρηται, κατὰ τὴν ἔω τηνικαῦτα γῆς μέρεσιν, ἀλλὰ καὶ διεκαρτέρησας, τὸ δόξαν εἰς τέλος εὖ μάλα, προσαποδιδοὺς ἀεὶ καὶ περαίνων τὸ συμβαῖνον ἑξῆς· καὶ οὐκ ἀπέστης οὔτε τῆς πρότερον ψήφου, οὔτε δὴ τῶν κινδύνων τοῦ ἔργου· οὐδ' ἀπεχώρησας μεσοῦντος· οὐδ' ἔλιπες τὴν τάξιν ἣν αὐτὸς ἵστασο πρὸ τῶν ὑπηκόων· ἀλλ' ὥσπερ οἵ τινα δρόμον ἐπὶ σκοπῷ τιθέμενοι· τὴν αὐτὴν ᾔεις ἐφ' ἑαυτοῦ δρῶν, ὀρθά φησι πρὸς τὸν σκοπόν· οὐδ' ἐπειδὴ καὶ τὰ κατὰ δύσιν τῆς ἀρχῆς κεκίνητο τηνικαῦτα μάλιστα καὶ δυσκολίας ἐπειρᾶτο, καὶ πᾶν δεινὸν ἐνεωτέριζεν· ἠνώχλει δὲ οὐδὲν ὅ,τι οὔ, καὶ σύμπαν θόρυβος εἶχε μέγιστος καὶ εἷλκε δοῦναί τι κἀνταῦθα σκεψόμενον· οὐδ' οὕτως οὐδὲν μᾶλλον μετέστης· οὐδὲ συνέβη ταὐτὸν ὅπερ ἀμέλει πάσχοντας ὁρῶμεν ἐνίους (ὁμοῦ τε ὄχλος ἐν μέσῃ τῇ μάχῃ προσέβαλεν ὄπισθεν· καὶ ὁμοῦ συνήρπασε· καὶ καθάπαξ ἔστρεψεν ἀφυλάκτους, ἑαυτῶν ἔμπροσθεν· καὶ συγχωρήσαντας τοῖς ἐχθροῖς χρῆσθαι), ἀλλὰ συνεσκευάζου μὲν ἐκεῖ, τὰς ὑπὸ σοὶ σχεδὸν ἁπάσας δυνάμεις· καὶ προὔπεμπες· καὶ συνεξεδήμεις αὐτὸς μετὰ τῶν βουλευμάτων· ἔκαμνες δὲ αὖθις, μόνος ἐνταῦθα. καὶ οὐ μᾶλλον ἵστασο τὴν ἀρχαίαν πρόθεσιν, ἢ γενναίως ἀνθίστης τοὺς ἐπιβαίνοντας κατὰ χώραν ἔχειν ἐπὶ σφίσι· ὡς οὐδὲν μὴ πεφυκὸς Ῥωμαίοις δεινὸν, ἔνθα ἂν, αὐτὸς παρείης. καὶ δυοῖν οὕτω μεγίστων κινδύνων, τῷ μὲν, ἦσαν Ῥωμαίων ἄντικρυς ὁμοῦ, ξύμπασαι τάξεις· καὶ ἔτι τῶν βασιλικῶν βουλευμάτων, ἡ μείζων τοῦ πατρὸς ἀσχολία· καὶ προσεξέπεμπες αὐτὸς τὰ σὰ στρατεύματα· καὶ κρίσεις περὶ τῶν ἀγωνισμάτων διατιθέναι. πρὸς δὲ τὴν ἐπὶ θάτερα μεγίστην χρείαν, κομιδῇ σὺν ὀλίγοις εἵλου σὺ | (f. 151) πονεῖν βασιλεῦ, καὶ ἐπόνεις· καὶ οὐκ ἔστιν ἐρεῖν ὡς ἐνταῦθα μόνον· ἀλλ' ἀμφότερα ὡς ἀληθῶς αὐτὸς ἤρκεσας.

13,9 τιθέμενοι V[1] e corr. **10** post κατὰ ras. fere trium litterarum in V (an τὴν erasum?) **28** πονεῖν primum iteratum, deinde deletum in V

13,10 cf. Alex. Aphrod., Problemata ethica, p. 143, 6 **17** cf. Phil. Iud., De ebr. 160 (p. 151, 9)

14. Καὶ εἴ τις ἐκεῖνα δὴ κατὰ τὴν Εὐρώπην τῶν τότε χρόνων, νομίζει κάλλιστα πεπρᾶχθαι Ῥωμαίοις, ὡς καὶ αὐτὸς οἶμαι, πάρεστι κοινοῦσθαι τὸ μέρος ὦ βασιλεῦ· καὶ πρόδηλον ὡς τὸ γιγνόμενον ἅπαν, συνέδωκας ἐπ' ἀμφότερα καὶ γνώμην ἀρίστην ὡς ἔφην καὶ χεῖρα. πρὸς δὲ τὴν ἀρχαίαν τάξιν ἣν ἐπέμενες, κατὰ τὴν ἕω τὸν ἀεὶ χρόνον ἑξῆς, τί χρὴ λέγειν ἄλλο, ἢ τοσοῦτο παρρησίᾳ καὶ μηκέτι φείδεσθαι τῶν λόγων, ὧν ἔργα τηνικαῦτα σαφῶς ἐχώρει, ὡς εἰ μὴ παρῇς αὐτὸς καὶ πάντα δρῶν, ἀντεῖχες πρὸς τὴν νεμομένην ἤδη προδήλως κατὰ πάσης ἐκεῖ τῆς χώρας ἐπήρειαν καὶ νόσον, τί λοιπὸν ἦν μὴ κατὰ κράτος οἴχεσθαι πάλαι τὰ τῆς ἀρχῆς ἐνταῦθα κάλλιστα, εἰ μὴ σύ γε προδήλως οὑτωσὶ καὶ ἑκάστοις συνιδεῖν, ἅμα τὲ θεόθεν ἔδυς ἀλκὴν· καὶ προύστης γενναῖος, καὶ ἀπὸ λοιγὸν ἤμυνας. τέως δὲ ἅπαντες ἐδόκουν ἐφορώμενοι ἅμα πρόσω καὶ ὀπίσω οὑτωσὶ σαφῶς, «ἀλλ' ἤδη νῦν ἔρρει Ῥωμαίοις τὰ πράγματα· καὶ οὐκ ἔστιν ἀντισχεῖν ἐφ' ἑκάτερα· ἀλλ' ἢ ἀμφότερα μερισθέντας, ἀμφότερα διολέσθαι· ὡς οὐκ ἔστιν ἀποχρώντως εἶναι, ἢ πάντως ἀνάγκη θάτερον, ἀνεκτῶς καταπροέσθαι· πρὸς τὴν τύχην, καὶ τὸν χαλεπὸν συνδυασμὸν ἱκανουμένους. καὶ ἅμα τῆς ῥοπῆς καθ' ὁτιοῦν γενομένης, ἔτ' ἄδηλον καὶ τίς οἶδεν, εἰ μὴ παραπλήσιόν τι τοῦτο συμβαίη, ὥσπερ ἄν, εἴ τις ἐπ' οἰκίας, πυρὸς, λαβομένου, πρὸς τὴν ἀκμὴν, ἐφ' ἕν γέ τι μέρος ἱστάμενος καὶ διακαρτερῶν, ἔπειτα καὶ ταυτὸ δρῶν, ἐφ' ἕτερα λαμπρῶς ὁμοῦ τε εἶδε καὶ ὁμοῦ συνήρπαστο τοὺς ὀφθαλμοὺς καὶ τὴν γνώμην· καὶ μετακλιθεὶς ἀντιπράττειν ἄκων, οὕτω προύδοτο καὶ συνεχώρησεν ἀμφοτέρωθεν τὴν δυσκολίαν συσχεῖν | f. 151[v]
ἑαυτῇ καὶ συντελέσαι τὸ δρᾶμα· καὶ τὴν ἀνάγκην τῆς φορᾶς». ταῦτα μὲν οὖν ὡς ἔφην· ὅμως πρώην οἱ πλείους εἵποντο πρὸς τὴν φύσιν καὶ προσεδόκων· καὶ μὴν ὅστις βουλόμενος ἔπειτα, ᾠετό τι χρηστὸν πρὸς τὸ δοκοῦν τιθέμενος, ἅπαντας ἤλεγξαν καὶ παρῆλθον, αἱ πρὸς ἀμφότερα τῶν πράξεων ἀποτελευτήσεις, κρείττους συμπάσης ἐλπίδος.

14,4 ἀμφότερα V[1]: ἀμφοτέροις V

14,4–5 cf. Synes. Cyren., Epist. 80 (p. 145, 10–11) **12** Hom., Il. 9, 231 **13** Ibid. 1, 67

15. Ἀλλ' οὐκ οἶμαι τί τοῦτ' ἄν, εἴη, οὐδ' ἔχειν μοι δοκῶ τί δράσω. παρελθεῖν μὲν γὰρ δὴ ταῦτα, οὐχ ὡς ἔξεστιν ἐγὼ λέγω· οὐδὲ μετρίως ἐστὶν οὐκ ἔχον· οὐδὲ χρηστὸν· ἀλλ' ἄρα καὶ συχνοῦ λόγου δεῖν μάλιστα, καὶ σπουδῆς τῆς μεγίστης περὶ τῶν εἰκότων, καὶ πονῆσαι καὶ διαρκέσαι. παρελθεῖν δὲ ὅμως περὶ τούτων αὐτὸς νομίζων, ὅτι μὴ πᾶσα ἀνάγκη πρὸς τὴν ἤδη χρείαν φέρειν, οὐκ οἶδ' ὅπως ἐπιμένω καὶ σφόδρα γίγνομαι. καὶ ὅτι μὲν οὔτε τῶν ὄντων· οὔτε τῆς αὐτὸς ἐμαυτοῦ γνώμης ἔπειτα οὐδὲν ἀποπεραίνω, καὶ μάλ' αἰσθάνομαι· ὅμως δὲ γίγνομαι. καὶ ὡς μὲν ἑκὼν ἐρεῖν, οὐ δύναμαι παντάπασιν· ὡς δ' ἄκων, καὶ τοῦτ' ἄπορον ἑξῆς ἔοικε προσθεῖναι. καὶ διαδράναι μὲν καθάπαξ ἔτ' ἐξ ἀρχῆς ᾕρημαι· ὑπ' ἀνάγκης δὲ ὅμως ἁπτόμενος πρὸς τὴν παροῦσαν ὁρμὴν καθίστασθαι· κἆτα ἐμπίπτων, οὐκ ἔχω διαδῦναι· οὐδ' ἀνενεγκὼν ἐκκλῖναι. ἀλλ' ἵνα μὴ καὶ οὕτως, ἐκτείνω διαιρούμενος, ὡς τοίνυν μοι δοκῶ τίθεσθαι πόρρωθεν πειρώμενος, καὶ δὴ νῦν λέγω.

16. Εἶχε μὲν δῆτ' ἄρ' ὡς ἔφην, καὶ πρότερον μόνῳ σοι κράτιστε βασιλεῦ τῆς ἀρχῆς τὰ πρὸς ἕω πρὸς τὸ γιγνόμενον ἑκάστοτε προδήλως οὕτως ἡρμόσθαι· καὶ διασχεῖν ἀνῦσαι. τῆς δ' οἶμαι συνηθείας ἐντεῦθεν καὶ οὐκ οἶδ' ἧστινος ἐρῶ συμπαθείας καὶ δεσμοῦ περὶ ταῦθ' ἑξῆς ὡς προήεις ἀεὶ παρέχων· καὶ ἅμα ῥώμης καὶ γνώμης, ἔδειξας εὐθὺς μόνος, ὡς ἧψω τῆς ἀρχῆς τῶν πραγμάτων. αὐτίκα γὰρ ἐξέρχῃ ταχὺς καὶ δίδως σαυτὸν ἐνταῦθα πρόθυ-
f. 152 μος· | εὖ μάλα· δραττόμενος· καὶ οὐκ ἤδη μὲν οὖν ἐν χώρᾳ καθιστᾷς διαρκεῖν· ἀλλὰ καὶ προσέχειν ἤδη περαιτέρω· καὶ νομοθετεῖς ἐπιὼν ἑκάστοις ἅττα λυσιτελεῖν ἀνάγκην ἔχει. καὶ τοίνυν προσαποδοὺς ἀνεκτῶς καὶ διεργασάμενος ἀντιπράττειν, σύμπασαν ἐπιχείρησιν· εἰς τοὺς ὀχλοῦντας βαρβάρους καὶ οὐκ οἶδ' ὅ,τι φῶ, τὴν ἄλλην ἑκάστην σπουδὴν καὶ φιλοπονίαν, σφόδρα προθέμενος ἐπείγεσθαι, ἔπειτα πρὸς τὴν κοινὴν τοῦ γένους ἑστίαν· καὶ τὸ τῆς ἀρχῆς πρυτανεῖον ὑπ' ἀνάγκης πρὸς τὴν κλῆσιν τοῦ καιροῦ γίγνῃ· τὸ πεφυκὸς ἀεὶ πρὸς τὴν χρείαν συννοούμενος, διαφερόντως καὶ κρίνων.

16,10 ἀνάγκην ἔχει primum scripsit, deinde litteris βα suprascriptis ordinem invertit V **14** προθέμενος V e corr.

15,3–4 cf. Plat., Phil. 23b **16,15** Ael. Arist., Or. 13, 98 (p. 158)

17. Ἀλλὰ κἀνταῦθα μὴν οὕτως τῶν τόπων ἦν, οὐ τῶν πόνων ἡ μετάστασις· ὧν περὶ τὴν ὑπόθεσιν ταύτην ἐξαρχῆς ἐπόνεις ὦ βασιλεῦ τὸν ἀεὶ χρόνον· καὶ οὔτ' ἤμβλυνας ὅμως, οὔτ' ἐνέδωκάς τι πρὸς βραχύ· ἀλλ' ἐβούλευες· ἐπετάττου· διετίθεις· καθίστης· ἐξεπέμπου στρατεύματα· χρήματα· συμμάχους ἐντολάς, τὰ καὶ τά· τὸ συνοῖσον ἑκάστοτε· διασκευὴν ἅπασαν· ἐπιχείρησιν ἅπασαν· ὅρους· συνθήματα· μᾶλλον δὲ ψυχὰς τῶν ὅλων ἀεὶ πραγμάτων τῆς οἰκονομίας καὶ προστάτιδας· ὅστις ἄρα ἱκανὸς ἕπεσθαι, ἃ πάνθ' ὁμοῦ παρέσχεν ὕστερον χρωμένοις δείγματα, καὶ πίστεις, ἐπειδὴ καὶ αὖθις νῦν ἐδόκει, καὶ ἐπεξῄεις, πρὸς τὴν συντυχίαν ἐφ' ἑκάστοις. καὶ τέως μὲν οὐκ ἐπειθόμεθα μάλιστα ἐννοεῖσθαι μετρίως· οὐκ ἔγνωμεν δ' ἔπειτα ὡς ἐπειθόμεθα ἐννοεῖσθαι· ἀλλὰ προῆλθεν ἑξῆς πάμπολυ· καὶ τοῦθ' ὡς οὐκ ἔχομεν οὐδ' ἔξεστιν ἔτι λέγειν ὡς ἔγνωμεν· καὶ πρὸς ἀμφότερα νικᾷ· καὶ οὐκ ἔστι κομιδῇ συμβαίνειν· μήτ' εἰς τὴν ἀρχαίαν δόξαν ἀναφέρειν πρὶν πειραθεῖσι γνῶναι, μήθ' ὕστερον νῦν χρησαμένοις, εἶτα περαίνειν ἅττα δῆτ' ἔχομεν, καὶ τοὺς λογισμοὺς ἐκθεμένους ἐρεῖν.

18. Πολὺν μὲν οὖν ἤδη τὸν πρότερον χρόνον, ἤρας ἀεὶ καὶ προυτίθεσο διὰ πάντων | ἐξελθὼν προσσχεῖν καὶ ἅψασθαι· καὶ πεῖραν κατασκεψάμενος τῆς ἐργασίας μεταλαβεῖν ἀσφαλεστέραν· καὶ μὴν εἴ πῃ παρείκοι προσεπιδοῦναι καὶ τὴν παρασκευὴν ἔτι πραγματεύσασθαι περαιτέρω. ἀλλ' ἐνταῦθα μυρία ἐπὶ μυρίοις συνεχῶς ἐπῄει τῶν τῆς ἀρχῆς πραγμάτων· καὶ μεταπείθειν ἐπιχειροῦντα διακαρτερεῖν ὅμως ἴσχυε τὴν ὁρμήν· καὶ προσέχειν ἄλλοτε ἄλλοις ὡς ἕκαστον ἐνέπιπτεν ἑξῆς ἀεί. οὐ μὴν ἀλλὰ καθάπαξ ἀσχέτως ἠπείγου τῶν φιλανθρώπων ἔργων· καὶ οὐκ ἦν προδοῦναι· οὔθ' ὅλως ὀκλάσαι τὸ δόξαν, τὴν καλλίστην ἔνστασιν· οὐδ' ἀποτραπῆναι πρὸς ἅπανθ' ὁμοῦ χρήματα ἕλκοντα· οὐδὲ παριδεῖν τὴν περὶ τῶν λυσιτελούντων ἐπιδημίαν καὶ φιλοπονίαν. καὶ τέλος ἐντεῦθεν ὡς οἷόν τε διασχών· καὶ περὶ πάντων νομίσας καὶ θεμιστεύσας καὶ καταστησάμενος, τῶν ἐγγὺς καὶ τῶν πόρρω μάλιστα, τότε δῆτ' ἄρα πρὸς τὴν τοῦ καιροῦ χρείαν (τί λέγω πρὸς f. 152ᵛ

17,3 οὔτ' ἐνέδωκας V² e corr. **9** ὕστερον V² s.l. **18,5** πραγματεύσασθαι V² e corr. **15** δῆτ' ἄρα scripsimus: δὴ τἄρα V

17,7–8 Id., Or. 53 (p. 630, 11) **18,5** cf. Plat., Theaet. 155c

τὴν τοῦ καιροῦ χρείαν;), μᾶλλον μὲν οὖν ὑπερφρονήσας καὶ τούτου τἀναντί' ἀναγκάζοντος, καὶ τὴν σαυτοῦ φύσιν, ταχὺς διαπλεῖς τὸν Βόσπορον· εὐθὺς ἐκ Βυζαντίου πρὸς Ἀσίαν, μεσοῦντος αὐτοῦ χειμῶνος· καὶ μάλιστ' αὐτῆς ἡμέρας ἀκμαζούσης περὶ τὴν δύσκολον ἕξιν· ὢ πάντα καρτερὲ καὶ ἀνάλωτε· καὶ πάντα περὶ τῶν ὑπηκόων καὶ δρῶν τε καὶ ὑφιστάμενος· καὶ πρὸς οὐδὲν καθάπαξ φειδόμενος· ὡς καὶ νῦν διαφερόντως, δηλώσει τοὐπιὸν ὁ λόγος.

19. Ἀλλ' ἐπειδὴ λοιπὸν καὶ ἐξῆλθες ὦ βασιλεῦ· τί πρῶτον ἐρῶ· καὶ πῶς τῷ λόγῳ χρήσωμαι· πότερον τὰς καθ' ἕκαστον ἐπιδημίας καὶ μέχρι τῶν ἀφανεστάτων αὐτῶν, ὡς μηδὲν οὕτως εἶναι φαῦλον πρὸς ἐντυχίαν βασιλικὴν, καὶ μὴν ἔτι τάχος ἐνταῦθα καὶ μεγαλοψυχίαν· πρὸς ἅπασαν ἀντιπράττουσαν· τοῦτο μὲν, τόπων χαλεπότητα· τοῦτο δὲ, καιρῶν κακουργίαν· τοῦτο δὲ τὴν ἄλλην πάντοθεν f. 153 δυσκολίαν, μὴ πρότερον | εἰθισμένην· μὴ δὲ βασιλικοῖς νομιζομένην σώμασιν· ἢ τὰς αὖθις καταστάσεις καὶ διαθήκας, ἀπασφαλίζεσθαι καὶ τῶν φθασάντων ἀναλόγους ἀποπερατώσεις· καὶ δόγματα περὶ τῶν βελτίστων, αὐτίκα ἔργοις κυρούμενα· καὶ παντοίας φρουρᾶς εὖ ἔχειν· καὶ μάλιστα τῶν ἐπικαιροτάτων ἐφορωμένῳ τῆς χώρας· ἢ τὰς ἐπὶ τῶν καιρῶν ἐπιχειρήσεις εἰς ἐναντίους· ἢ ταῦτα δῆτ' ἐάσας καὶ τἆλλ' ὁμοῦ ξύμπαντα (πῶς ἂν ἐνταῦθα προσθήσω, καὶ μὴν ἔπειτ' ἄρα), νῦν δώσω τὸν λόγον περὶ τῶν μεγίστων τὲ καὶ καλλίστων· θεαμάτων τῆς σῆς γνώμης· ἅττα ἐπιόντας ἑκάστοτε, νοῦν ἔχειν ἦν ἀνάγκη καὶ συλλογίζεσθαι περὶ τῶν καθεστώτων νῦν τε καὶ ἤδη πρότερον· καὶ ἅμα ἐντρυφᾶν περὶ ἧς δῆτα κατεκόσμησας καὶ διεσκευάσω πόρρωθεν βασιλεῦ, ὡς πρὸς καλλίστην θεωρίαν καὶ πομπῆς χάριν τὴν σὴν ἐπιδημίαν, παρασκευῆς ἀξιολόγου καὶ χρείας;

20. Καὶ γὰρ ἦν ὁρᾶν αὐτίκα τὰ τελευταῖα τῆς ἀρχῆς περὶ τὴν ἕω καὶ τοὺς ὅρους οἷς τέως ὁτιοῦν ἐντυγχάνει δεινὸν· καὶ δι' ὧν ἑξῆς εἰσέρχεται, ὡς τὰ μὲν πρότερον (εὔδηλον γὰρ ἦν εἰκάσαι),

17 τἀναντί' ἀναγκάζοντος V[1] in marg. **19,12–13** ταῦτα δῆτ' ἐάσας V[2] e corr.

20 cf. Greg. Naz., Or. 15, 5, PG 35, 920D **19,11–12** εὖ…ἢ[1] cf. Ioseph., De bello iud., 7, 275 (p. 384)

σχεδὸν ἀνεῖτο παντάπασι, μηδὲν εἶναι πρᾶγμα ἐμπίπτειν· καὶ πρὸς βραχὺ πειρωμένους ἀεὶ λάθρα, τοὺς ἐγγειτόνων βαρβάρους κλέπτειν τὰς ἐπιχειρήσεις, καὶ προσαφαιρεῖσθαι τῆς παρ' ὀλίγον ἀεὶ συνεχείας· συνωθουμένους τὴν τῆς ἀρχῆς χώραν πάντοθεν εἰς τοὔλαττον. καὶ τοῦτ' ἔδειξε τὰ προλαβόντα τῶν χρόνων· εἰς ὅσα δῆτ' ἔδειξεν ἤδη· καὶ πρὸς νέμεσιν εὐλαβητέον. διαδεξάμενος δ' οὖν αὐτὸς, ὦ κράτιστε βασιλεῦ πάντοθεν οὕτω προδήλως τὰ πράγματα, ὠδίνοντα, τοὺς μὲν ἐφ' ἑκάστοις λογισμοὺς, τί χρὴ περὶ τούτων διατρίβειν ἐνταῦθα νῦν, ὡς ἅπαντα τὸ συνοῖσον μάλιστα κατεστήσω· πρὸς τὸ πεφυκὸς ἑκάστοθ' ἁρμοζόμενος διαιρεῖσθαι; τοσοῦτο γε μὴν νῦν εἶναι καθόλου μόνον ἐρεῖν, ὡς αὐτίκα ἔδοξας χρῆναι παντοίους | φραγμοὺς, ἐννοεῖσθαι· καὶ f. 153v δεσμοὺς· ἀπολαύειν ἀτρέπτως πρὸς ἅπασαν ἐπήρειαν, τῶν ἐναντίων· καὶ καθείρξεις ἔσω τῇ χώρᾳ. καὶ δῆτα ἅμα μὲν, ἐνενόεις· ἅμα δ' ἐφηύρισκες· καὶ ἅμα δρᾶν ἐπεχείρεις· μηδενὸς ἐπέχοντος πρᾶγμα τοσοῦτο ὅσα ὑπ' ἀνάγκης ἕπεται· καὶ προσίσταται. καὶ τὴν σύμπασαν ἀρχὴν ἐτειχίζου· τὰ μὲν, κατασπείρων καὶ καταπυκνούμενος ἐν τοῖς ἐπικαίροις τῶν χωρίων, πολίσματα καὶ φρούρια· τὰ δὲ, προσιέμενος εὖ μάλα καὶ οἰκονομῶν· τὰ παρὰ τῆς φύσεως δῶρα καὶ τὴν συμμαχίαν· καὶ προσχρώμενος εἰς τὸ συνεχὲς τῆς ἀσφαλείας· νῦν μὲν ποταμῶν τενάγεσι καὶ κλεπτούσαις τὸ βάθος κοιλότησι, νῦν δὲ ὀρῶν ἐρημίαις καὶ δυσοδίαις, ἀκοινωνήτοις παντάπασι· καὶ τοῖς ἄλλοις ἅττα ἐνέπεσε πρὸς τὴν χρείαν· καὶ διαλαμβάνων καθάπαξ τὰ τῆς οἰκουμένης ἐξαίρετα· καὶ κατασκευαζόμενος ἀπ' αὐτῶν τῶν πρὸς τὸν Εὔξεινον, ἐκβολῶν Σαγγαρίου (παρίημι γὰρ νῦν τὰς ἐκεῖθεν ἐπὶ τοῦ Πόντου τοσαύτας πόλεις), καὶ ἀνιὼν ἑξῆς ἀεὶ πρὸς ἀνατολὰς, ἄκρα Βιθυνῶν καὶ Βεβρήκων ἔπειτα χώρας· καὶ κυκλούμενος πρὸς νότον Μυσίας ὅρους, τῆς πρὸς Ὀλύμπῳ καὶ Φρυγίας αὖθις· καὶ Αἰολίδος ἐν μεσογαίᾳ πρὸς ἕω· ἔνθα καὶ τὰ μέγιστα καὶ κάλλιστα, διακαρτερεῖ πρὸς τὸ μέλλον ὁ λόγος· καὶ οὕτως ἐκτείνων ἐπὶ Λυδίας· καὶ προσεκβάλ-

20,7 συνωθουμένους – πάντοθεν V^2 e corr. **28** τὸν V^1 s.l. **34–35** προσεκβάλλων καὶ προσαποδιδοὺς V^2 e corr.

20,20–21 cf. Plut., Mor. 328E **22–23** cf. Phil. Iud., De vit. Mos. 1, 229 (p. 146, 21–22) **25** cf. Ibid. 1, 194 (p. 139, 21)

λων καὶ προσαποδιδοὺς νῦν ὕστερον τὰ λείποντα φασὶ τῆς γραμμῆς (καὶ προστίθημι τοῦ κύκλου) περὶ Μαίανδρον ἐπ' Ἰωνίας, εἰς αὐτὴν αὖθις τὴν θάλατταν· καὶ κάλλιστόν τινα τούτων εἴρων ἑξῆς ἀεὶ στέφανον· οὐ μᾶλλον τῆς ἐντὸς εὐδαιμονίας ἐπὶ τῇ χώρᾳ, ἢ σεαυτῷ συμπάσης ὄντως ἀνδραγαθίας· καὶ τῆς σοφίας τῶν ἔργων.

21. Καὶ τοίνυν ἐντεῦθεν, ὅπερ ἔφη τις ἤδη τῶν περὶ τὸν βασιλέα μάλα κομψῶς καὶ ἀστείως ἐμοὶ δοκεῖν ἐπὶ μέρους, τοῦτο καθ' ἅπαντος χώραν ἔχειν εἰρῆσθαι· καὶ μάλιστα πεφυκέναι ὡς
f. 154 ἄρα ἔφησεν οὗτος ἀτεχνῶς, πόλιν μεγίστην προσο|ρᾶσθαι δοκεῖν ἐπ' ἐσχάτοις αὐτοῖς Βιθυνῶν· ἧς, ἡ μὲν ὅλη διασκευὴ καὶ τὸ σῶμα Σαγγάριος οὗτος ὁ ποταμὸς εἶναι· κἂν ἀεὶ ῥέῃ, δεσμὸς ὅμως ἀκίνητος ἱστάμενος· ὥσπερ δὲ νομίζεται πυργώματα προανέχειν μεταξὺ τῆς συνεχείας ἀλλήλοις ἔγγιστα, τὰ πρὸς τῶν ποταμῶν νεόδμητα ταῦτα πολίσματα· τὰ μὲν, τρυφῇ προσορᾶν ἑξῆς οὕτω· τὰ δὲ πρὸς ἄλληλα καὶ πρὸς ἅπασαν τὴν σπουδὴν ἀναλογοῦντα, τὸ μέγεθος· καὶ τό γε μὴν ἔγωγε οἶμαι, διαφερόντως ἡρμόσθαι πρὸς σύμπασαν τὴν κατασκευήν· καὶ τοὺς ἀποδοθέντας, ἐγκλεισμοὺς τῇ χώρᾳ· τοῦτο μὲν παρὰ τῆς φύσεως· τοῦτο δὲ παρὰ τῆς νέας δημιουργίας, συνεχῶς ἀλλήλοις ὡς ἅπασαν ἑαυτῆς ἀναγκαίως ἠρτῆσθαι, καὶ συνεῖναι· καὶ συμπαθεῖν· καὶ πόλιν οὖσαν μίαν τὲ καὶ μεγίστην, ἑνὸς καὶ μεγίστου βασιλέως, ἐν ᾗ ξύμπαντα ὁμοῦ συνῆλθε καλῶν εἴδη· καὶ νόμων ἰσότης ἡγεμονική· καὶ κόσμος εὐθυδικίας ἀστασίαστος· καὶ μέτρα πολιτευμάτων καὶ τρόπων εὐκολίαι καὶ συμβάσεις· καὶ πάσης εὐπορία τέχνης· καὶ λόγων φορά· καὶ τῶν ὅλων ἀγαθῶν ἅμιλλα· καὶ ἡ δι' ἑκάστων ἐν ῥυθμῷ χρῆσις τῆς εὐπραγίας. καὶ τἆλλ' ἅπαντα χάριτος ἡ μεγίστη καὶ καλλίστη πόλις αὕτη πλέως Ἑλληνικῆς.

22. Τὰ δ' ἐπέκεινα φασὶν ἔξωθεν οἱ περὶ τὰς γεωγραφίας ἱστοροῦντες πόρρω τῶν προχείρων λαβεῖν, μὴ δ' ἐξετάζειν· μὴ δὲ

21,8 πρὸς V[1]: πρὸ V **9** τρυφῇ V: an τρυφὴ? **11** καὶ τό V: an καίτοι? **17** συνῆλθεν V a. corr.

35–36 cf. Niceph. Basilac., Or. 3, 6 (p. 54, 7–8) **38** cf. Pind., Nem. 7, 77 **21,14–15** cf. Plot. Enn. 4, 4, 35, 9 (p. 128) **15–16** cf. Ael. Arist., Or. 14, 299 (p. 324, 10) **22,1–4** Plut., Thes. 1, 1 (p. 1, 1–5)

χρῆναι πολυπραγμονεῖν· τάδε μὴν εἶναι, πηλὸς ἀιδνής· ἢ Σκυθικὸν κρύος· ἢ θῖνες ἄνυδροι καὶ θηριώδεις· ἢ τἆλλα ὅσα φασί· καὶ δῆτα ἐκεῖθεν ὄντως εἶναι θηριώδεις ὡς ἄν, ἐρεῖ τις, ἀγοραί· καὶ νομαί· καὶ ξυναυλίαι, κατὰ μέρη συστάδην· καὶ ὁρμή τις πάντοθεν ἄθεσμος καὶ θράσος· καὶ πάντοθεν στασιῶται· καὶ ὄχλος μόνον ἄναρχος· ἄτακτος· οὐδὲν ἶσον· οὐδὲν ὑγιές· ἀξύμβατος· αὐθέκαστος· φύσεως ἁμαρτία· τύχης ἀωρία· κακίας ἀνισότης· μᾶλλον δὲ, παντελὴς φορά· καὶ ἀόριστος πανσπερμία | ὕλης ἀνίδεος χύσις· f. 154v
καὶ χρόνου καὶ γῆς ὕβρις. καὶ γὰρ ὥσπερ ἄλλό τι, καὶ τοῦτο τοιγαροῦν ἔξεστιν εἰκάσαι· ὡς τὰ μὲν ἄλλα τῆς γῆς μέρη, γῆς εἶναι καρποφόρου μέρη· καὶ καλεῖν ἐξεῖναι· καὶ χυμοὺς ἀγαθοὺς ἔχειν πρὸς ἅπασαν γονήν· εὐπορίστως ὁμοῦ καὶ ἐρρωμένως· καὶ ταύτην εἶναι, τὰς ἁπάντων τῶν ἄλλων ἀνθρώπων εὐνομίας καὶ καταστάσεις· τήν δ᾽ ἄρα κατ᾽ αὐτοὺς ἐκκεῖσθαι χέρσον ἀγαθῶν· ἀνήμερον· ἀκοινώνητον πρὸς τὴν ἅπασαν οἰκουμένην· ἀχρεῖον· ἀειδὲς θέατρον· μητέρα μόνον ὕλης ἀγρίας· ὕλης ἀσυντελοῦς· ἔρημον· θηρίων τροφὸν, ὥσπερ ἄλλάττα τοὺς βαρβάρους τούτους ἀνιεῖσαν. οἵ, δίκην, οὐ νομίζουσι· πολιτείαν οὐκ ἴσασι· νόμους οὐ καθάπαξ πᾶσαν βίου παρασκευὴν καὶ συνθήκην· ἀρχῆς ἁρμονίαν καὶ σύνταξιν· θεσμοὺς φύσεως· οὐδὲν ὁτιοῦν ἀγαθόν· μᾶλλον μὲν οὖν ὄλεθρος· τῆς προτέρας ἐκείνης Περσικῆς ἀρχῆς, ἐσβεσμένης ἤδη καὶ συμπεσούσης· καὶ ἀποστάται· καὶ μὴν καὶ τῶν κοινῶν ἔτι καὶ ἀρχαίων τῆς ἀνθρωπίνης οὐσίας δογμάτων· ἃ παρήλλαξαν· καὶ τροφῶν πρὸς ἅπασι χρῆσιν· μορφαῖς μόνον ἄνθρωποι· καὶ ταύταις ἀλλόκοτοι· ὥσπερ τὰ φαῦλα νομίσματα, παραχαραττούσης τῆς κοινῆς πλάσεως· φύσιν ἔχοντες λυμαίνεσθαι καὶ δρᾶν κακῶς, εἰς ἀλλήλους, εἰς τὴν ἐγγειτόνων εὐδαιμονίαν, ἀποχρῶν ὁρμητήριον, τὰς ἐρημίας προτεθειμένοι· ὄρεσι δυσαντήτοις συντεθραμμένοι· καὶ θηρσὶν ὁμολογήσαντες καὶ συμπαρασκαίροντες· φάραγξι καὶ ῥήγμασι καὶ οὐκ οἶδ᾽ οἷστισιν ἔτι βαράθροις πιστεύ-

22,4 θῖνες V[2] e corr. **10** φορὰ V: an φθορὰ? | ἀνίδεος: sic pro ἀνείδεος; servavimus **11** ὥσπερ V: cave corrigas ὥσπερ in εἴπερ **16** τήν V[1]: τὴν V **25** ἃ V: an οἵ?

9–10 cf. Iambl., In Nic. arithm. intr. (p. 53, 8–9) **13–14** cf. Or. 11, 30, 24–25 **20** Herodot., Hist. 4, 106 **22** cf. Phil. Iud., Quod omn. prob. liber 79 (p. 15, 31–32) **24–25** cf. Or. 11, 64, 32 **27–28** cf. Synes. Cyren., De regno 14, 4 (p. 109)

οντες· συσκιαζόμενοι χαλεπῶς καθάπαξ· καὶ τὸν ἅπαντα βίον ἐλλοχοῦντες· οὐδὲν ἡλίῳ θαρροῦντες, οὐδὲν ἑαυτοῖς.

23. Εἶτα τί τίς αὐτοῖς χρήσαιτο; πρὸς μὲν γὰρ συμβάσεις καὶ ὁμολογίας, τοῦτο ἐστὶν ὄντως ἐκεῖθεν Εὐρυβάτου πράγματα·
f. 155 οὐδὲν ἑστὼς οὐδὲ πρὸς βραχὺ | κομιδῇ· Εὔριππος φασὶ ψυχὴ· καὶ διάνοια καὶ τρόπος· καὶ πιστεύειν ἐστὶ μᾶλλον αὔραις οὐχ ἱσταμέναις· καὶ πᾶσι μᾶλλον ἤ τι τῆς ἐκείνων φύσεως προσίεσθαι. ἂν δέ τις ἀεὶ τέμνῃ· καὶ πᾶσαν ἐπιχείρησιν ἀξιοῖ, πάρεστιν ἀεὶ χρῆσθαι, κἀνταῦθα, ἡ τῆς ὕλης πρὸς ἐπίδοσιν ἀκμὴ· καὶ τοῦτο ἐστὶν αὖθις αἱ τῆς ὕδρας ἀδαπάνητοι κεφαλαὶ, καὶ πολυαρχία. κἂν μέν γε πρὸς ἑστῶσαν ᾖν ἡγεμονίαν ἡ σπουδὴ, καὶ ἡρμοσμένην ἑνὶ γέ τῳ δήπου τρόπῳ, οὐδὲν ἂν, ᾖν πρᾶγμα τέλος εὑρέσθαι. ἢ γὰρ πάντως τις πείσας περὶ ὁτουοῦν συνθήματος ἔπειτ' ἀπήλλακτο κατὰ χώραν· ἢ καταστὰς περὶ τοῦ παντὸς καὶ μεγαλοψυχήσας ἐλευθερίως τὸν ἀγῶνα, ἔδρασεν ἂν, ἀξίως τοῦ λήμματος καὶ τῆς τύχης.

24. Ἐνταῦθα δὲ πρότερον μὲν ᾖν ἄπορον, ἀεὶ τί τίς ἄν, ὡς ἔφην χρήσαιτο. νῦν δ' ὑπέδειξας αὐτός ὦ κράτιστε βασιλεῦ· καὶ προσαπέδου· καὶ παρέσχες δημιουργῆσαι τὴν γῆν· καὶ κατασκευάσασθαι τὸ πάντοθεν ἀσφαλὲς, πρὸς τὰς βαρβαρικὰς ἐφόδους· καὶ ἅμα ὅστις πειρῷτο μικρὸν, εἴ πῃ πρὸς ἥλιον ἐπεξιέναι τῇ χώρᾳ, δυσχερεῖς ἄρκυς· καὶ δεσμῶν ἀνάγκην εἶναι χαλεπῶς ἀπαλλάττειν. καὶ ταῦτ' ἔγνωσαν μὲν Βιθυνῶν ὅροι· ἔγνωσαν δὲ καὶ ξύμπανθ' ὡς ἔφην, ἑῴα τῆς ἀρχῆς· ἔγνωμεν δ' ἔπειθ' ἡμεῖς ἐφιστάνοντες ἑκάστοις· καὶ χορείάν τινα ταύτην περιιόντες ἐναρμόνιον καὶ ἡδίστην.

25. Ἀλλ' ἀνακτέον τὸν λόγον. Εἶχεν ἡ Νικομήδους τὸν βασιλέα· κἀντεῦθεν ἐδόκει πειρᾶσθαι πρόσω· καὶ ἅμα μὲν ἐπισκέψασθαι τοὺς πρὸς ἄρκτον ὅρους· ἅμα δὲ καὶ τὰ τῆς νέας δημιουρ-

34 οὐδὲν[1] V[1]: οὐδὲ V **23,3** Εὔριππος: sic V; servavimus **4** ἐστὶ μᾶλλον V[2] in marg. **11** τις V[1] in marg. **24,6–7** ἀπαλλάττειν V[1] e corr.

23,2–3 Demosth., De cor. 24 **3–4** CPG II, 100, 12–13 **7–8** Ibid. II, 698, 4 **24,9–10** cf. Phil. Iud., De agr. 51 (p. 8–9) **25,1** cf. Greg. Naz., Or. 4, 100, 1 (p. 248)

γίας ὅπῃ ποτ' ἄρ' ἔχοι· καὶ εἴ του δέοιτο, παντάπασι διαθέσθαι· ἔστι δὲ καὶ ἐφ' ὧν ἐπικαίρως ἔτ' ἀνῦσαι καὶ ἱδρύσασθαι. ἐδόκει μὲν οὖν οὕτω· χειμὼν δ' ἐπεῖχε σφοδρὸς καταιγίζων· καὶ πάντες ὤκλαζον· κἀπὶ τούτοις ἦν, τὰ καὶ τά, ὥρας ἀκρασία καὶ χαλεπότης· καὶ δυσχωρίαι φύσει τὲ καὶ ἅμα, παρὰ τοῦ καιροῦ συμμαχοῦντος καὶ χορηγοῦντος· | ὑετοὺς καὶ τέλματα· καὶ λίμνας οὐκ ἀγχιβαθεῖς· καὶ χειμάρρων ἄβατον ὁρμήν· καὶ τἆλλ' ὁμοῦ τις ἐρεῖ. καὶ προσῆν ἀνάγκη τοὐντεῦθεν, εἴκειν πρὸς τὴν τοῦ καιροῦ ῥοπήν τε καὶ δυναστείαν· εἰ δὲ μή, τό γε δεύτερον, τὸ πλεῖστον ὑπηρετικὸν παρεῖσθαι· καὶ μὴν ἔτι τὰ ἀπὸ τῶν σκευοφόρων ἀγαθὰ ἄττα πρὸς ἀναγκαστὴν χρείαν· ἄττα πρὸς ἡντιναοῦν ὄνησιν ὁμοῦ σχεδὸν σύμπαντα. καὶ τοῦτο γε αὖθις κομιδῇ δυσχερέστατον, ἐνταῦθα διασχεῖν, τόν τε καιρὸν καὶ τὸν ἐκ τῆς ὁδοιπορίας κάματον συννοουμένους. f. 155v

26. Καὶ μὴν ταῦτα ἦν ἡ ἀνάγκη, οὐ τοῖς ἐν τέλει μόνον καὶ ὅσοι εἵποντο τῶν ἄλλων· ἀλλὰ καὶ σοὶ μηδὲν ἧττον ὦ βασιλεῦ. τί τὸ ἐντεῦθεν ἀμέλει; νικᾷ τὰ κρείττω· νικᾷς ὁ πάντα νικῶν καὶ χειμῶνος ἐπήρειαν· καὶ δεσμούς· καὶ φύσεως ἀνάγκην· καὶ τὰς ἐκ τόπου δυσκολίας· καὶ τὰς νομιζομένας ἤδη βασιλικὰς χρείας· καὶ τὰς τῶν ἄλλων μικρολογίας (καὶ τἆλλ' ὁμοῦ σύμπαντα παραλιπεῖν δοκῶ), πλὴν παρ' οὐδὲν ἄρα θέμενος, κηρύττεις ἔξοδον· καὶ ταχὺ ἔπειτα ἐξέρχῃ. καὶ οἱ μὲν πλείους αὐτίκα ἡττῶντο· καὶ συνεχώρεις δουλεύειν τῇ φύσει· καὶ παρῆκας τὰ πάντα σχεδὸν τῶν βασιλικῶν ἀγωγίμων· πρὸς τὴν ἐπάνοδον ἄλλῃ μετασκευαζόμενα· ἐπιτομώτερον δήπου καὶ ῥᾷον ἀνῦσαι. ὅσοι δὲ καὶ συνεξῆλθον, ἔκαμνον μὲν καὶ σφόδρα· οὐκ εἶχον δ' ὅ,τι καὶ δρῷεν ἄλλο· μὴ συνανδραγαθίζεσθαι πρὸς ἀνάγκην καὶ ἅμα κουφίζειν, καὶ συμμετρεῖσθαι τὸν πόνον καὶ τὴν ἔπειξιν ἐκ παραλλήλου ἐφορώμενοι πρὸς τὸν αὐτοκράτορα Ῥωμαίων· ὡς ἄρα αὐτὸς συνέκαμνες, θαυμαστῶς ὡς ἡδέως· μᾶλλον δὲ καὶ προέκαμνες τὸ βασιλικὸν ἀήθως σῶμα, πλεῖστον αὐτὸς τῶν ἄλλων.

25,11 εἴκειν V[2]: ἥκειν V **26,1** ἡ V[2] s.l. **9** παρῆκας correximus: παρῆκα V **11** καὶ[2] V[1] s.l.

14–17 cf. Synes. Cyren., De regn. 13, 2 (p. 104)

27. Καὶ τὰς μὲν ἐντεῦθεν συντονίας οἶμαι τῆς πορείας, καὶ τὴν ἅμιλλαν καὶ τὸ τάχος· καὶ τοὺς πανημέρους δρόμους ἐνταῦθα· καὶ f. 156 τὴν τῆς τροφῆς δυσπόριστον χρῆσιν· καὶ τὰς ἐπὶ τῶν νυκτῶν | αὖθις ἀπασχολήσεις· τάς τε ἐφ' ἑκάστων ἐπιδημίας καὶ καταστάσεις καὶ βουλεύματα· καὶ τὴν ἅπασαν ἑξῆς δυσχέρειαν, τί τίς ἄν, λέγοι, πλὴν ὅτι καὶ τρυφᾶν ἐν τούτοις εἶχες διαφερόντως· περὶ τῶν ὁρωμένων ὦ θειότατε βασιλεῦ, ὡς ἄρα κατακεκόσμησαι καὶ κάλλιστα ἔδρασας, τὰς πρὶν ἐρημίας· καὶ οὐχ ὅτι κρεῖττον ἢ πρότερον, προσδοκῆσαι μετὰ τὴν δυσπραγίαν· ἀλλ' ὅτι καὶ κρεῖττον ἢ πρότερον ἔχειν, καὶ πρὸ τῆς πείρας ἐκείνης τῶν χαλεπῶν· ἅμα μὲν πρὸς ἀσφάλειαν· ἅμα δὲ καὶ πρὸς χάριν. οὕτω τὰ μὲν, ἐστήσω πολίσματα συχνὰ καὶ φρούρια, καὶ παντοῖάττα τειχίσματα περὶ τοὺς αἰγιαλοὺς Σαγγαρίου παρ' αὐτῆς ἑξῆς τῆς πρὸς τὸν Πόντον κοινωνίας ἀνιὼν εἰς τέλος· χοροῦ σχῆμα κάλλιστον, οἷον προσορᾶν· μᾶλλον δὲ προμάχους ὥσπερ καὶ φύλακας ἔσω τῇ χώρᾳ· καὶ μάλιστα ἐν τοῖς ἀνυσιμωτάτοις, ἔνθα τὰ τοῦ ποταμοῦ, βάσιμα· καὶ σαφῶς οὗτος προδίδωσι τὰς ἐλπίδας τῆς φρουρᾶς, ὑπανοίγων τοῖς ἐχθροῖς χώραν· τά δ' αὖθις ὡσαύτως ἐν μεσογαίᾳ· συνασπισμὸν καὶ τὸ σῶμα τῆς πάσης παρασκευῆς, ἀρτίως συντετάχθαι· ὡς ἀμφοτέρωθεν οὐ μόνον ἀλλήλοις ἐκπιμπλάναι τὴν εἰθισμένην ἀντίδοσιν, ἀλλὰ καὶ τῇ πρότερον πάντ' ἀθλίᾳ καὶ ἀοικήτῳ τὸν ἔρανον τοῦτον συντελεῖν· ἅμά τε διαρκῶς παντάπασιν ἑαυτῆς συνίσχειν καὶ ἅμα πομπικῶς πρὸς ἐπίδειξιν· καὶ χάριν ἐντεῦθεν περιφανῶς ἐσκευάσθαι.

28. Καὶ περιέστησας ὡς ἔοικεν, αὐτῇ τὴν βαρεῖαν πρὶν τύχην· ὡς ταύτῃ μάλιστα πρὸς τὴν ἀποτελεύτησιν λυσιτελῆσαι, τοσοῦτον ἐκδεξαμένῃ κράτος καὶ κόσμον. εἶχε μέν γε προτοῦ, ὡς ἄρ' οὐκ ἔχει μεμνῆσθαι καὶ φειδώ τις ὕπεστιν· εἶχε μὴν ὅμως ὡς παντάπασιν ἀνεῖσθαι· καὶ τὸν ἐκ τοῦ ποταμοῦ δοκοῦντα δεσμὸν, μηδὲν εἶναι πρᾶγμα διατέμνεσθαι καὶ συγχωρεῖν τοῖς βαρβάροις. τά γε

27,4 ἐπιδημίας V[2]: ἀποδημίας V **20–21** ἀλλήλοις ἐκπιμπλάναι V[1] e corr. **23** an ἑαυτῇ? **24** ἐσκευάσθαι V[1]: ἐσκευᾶσθαι V **28,1** βαρεῖαν scripsimus: βαρείαν V

27,14 cf. Ael. Arist., Or. 13 (p. 156, 1) **15–16** cf. Synes. Cyren., De regn. 19, 2 (p. 122) **28,1–2** cf. Soph., Aj. 980

μὴν ὕστερον ἔγγιστα τοῖς χρόνοις, οὐκ ἔστιν ἐρεῖν μόνον ὡς ἄρα οὐδεὶς ἐν τοῖς μέσοις τῆς χώρας, οἰκεῖν ἠβούλετο· οὐδ' ἐκκαρπίζεσθαι τὰ ἐντεῦθεν | ἀγαθά· οὐδ' ἔχειν ἄνετος ἑαυτῷ χρῆσθαι· ἀλλ' f. 156v ἐζήτει κρημνούς τε καὶ βάραθρα κλέπτων ἑαυτὸν, καὶ τὸ ζῆν ἐν σκότει θησαυρίζων· καὶ ὥσπέρ τινων, ὕποπτος ἀλλοτρίων, τῶν οἰκείων καὶ ὧν σφόδρα ἐπόνησεν ἁπτόμενος, ἀλλ' ἥει σαφῶς εἰς ὅτι πλεῖστον· καὶ διαπάντων ἤδη τὸ δέος ἐκράτει· καὶ ὥσπερ ἄλλό τι καὶ τοῦτο σφοδρῶς ἐχώρει, πρὸς θάλατταν ῥεῦμα, πάντοθεν ἐπιλαμβάνον καὶ κατακλύζον· μέχρι τῆς Προποντίδος εἰς νότον· εἰ μὴ ἄρα σύ γε νῦν ἐνταῦθα, κράτιστε βασιλεῦ τοὺς προβόλους τούτους ἀνιστάμενος, κατ' ἄλλους ἄλλα τῆς γῆς μέρη καὶ πάντα καιρίως, ταύτῃ πως παραχρῆμα προδήλως, ἔθραυσας τὴν καταιγίδα καὶ τὸ θράσος, ἄσχετα κατὰ πάντων ἤδη φέρον, ἔστησας.

29. Καὶ τὰ μὲν, τοίνυν οὕτως ἔσχεν ὡς ῥᾴδιον ἦν ἐφορωμένοις συλλογίζεσθαι, καὶ ὁ λόγος μετρίως ἀψάμενος, ἄγει πρόσω. βασιλεύς δε τηνικαῦτα πάντα ἐπελάσας· καὶ περὶ τῶν εἰκότων ἔστιν ἃ προσεξευρὼν ἔτι, καὶ προσαποδοὺς, ἔπειθ' οὕτω καταπαύει τῶν πόνων, τῆς περιόδου· καὶ πρὸς Νίκαιαν γίνεται καταλῦσαι, τοὺς τῶν ἐφεπομένων καμάτους, ἐλαφρίζειν προτεθειμένος, εἴ πῃ παρείκοι, πρὸς εὐπόριστον καταγώγιον, ὡς ἐν τούτοις διαρκῶς ἔχοντας, καὶ τῶν πόνων ἀνακτωμένους. ἐνταῦθα τοίνυν, πολλὴ μὲν, ἡ παρὰ τοῦ βασιλέως περὶ τὴν πόλιν φιλοκαλία· καὶ τὸ εὔθυμον ἐπὶ τοῖς οὖσιν οἷον, τά τε ἄλλα, καὶ τῶν ἑκάστοτε λόγων ὅπῃ παρείκοι δεικνύμενον· καὶ μὴν ἔτι μεγίστη σπουδὴ, πάντα ἀγαθῶν εἴδη καλῶς εἶναι, πλεῖν ἢ πρότερον ἀεὶ· καὶ πάσης παρέχουσα εὐδαιμονίας ὁπόσης ἀπολαύουσιν ἄνθρωποι· ὡς μὴ δὲ μίαν ἑτέραν οὖσαν ἡδονὴν βασιλεῖ βελτίω· καὶ ἅμα ἐλευθέραν ἐπείγεσθαι, καὶ διατρίβειν ἀεὶ παρρησίᾳ, ἢ τὰ τῶν ὑπηκόων μετὰ κρείττονος τύχης πράγματα.

15 νότον V e corr. **29,3–4** καὶ περὶ – προεξευρὼν primum iteratum, deinde deletum in V **4** προσεξευρὼν V[1]: προεξευρὼν V **8** ἀνακτωμένους V: an ἀνακτώμενος?

10 Greg. Naz., Or. 18, 2, PG 35, 988A; cf. etiam Plut., Mor. 171F

f. 157 **30.** Καὶ θαυμαστὸν ἔπειτα οὐδὲν | ἡγῇ θειότατε βασιλεῦ, εἰ ἃ πάντοθεν ἐνσκευάζῃ· τὴν εὐμάρειαν, τοῦ βίου καὶ τῶν ἀγαθῶν σχολὴν· πλεῖστα πονῶν ἀεὶ, ταῦτα καὶ ὁρώμενα καὶ τρυφώντων ἁπάντων, ἔπειτα αὐτὸς μάλιστα ἡδέως ἔχεις ἐνταῦθα. μᾶλλον μὲν οὖν, ἀλλ' ὄντως τοῦτο καὶ θαυμαστὸν· καὶ κομιδῇ γε οὕτω· καὶ οὐ θάτερον τούτων, ἀλλ' ἀμφότερα. ἔπειθ' ὅτι καὶ λόγον, ἔχει συνεῖναι τὲ καὶ συγγίνεσθαι, θαυμαστὸν οὐδὲν· οὐδὲ δυσχερὲς δήπου· ἀλλὰ καὶ παντὶ ῥᾴδιον, ἐμοὶ δοκεῖν, συννοεῖσθαι τὸ συγγενὲς ἀμέλει τοῦ καλοῦ καὶ τέλειον. ταῦτ' ἄρα καὶ σὺ μὲν τὸν πάντα χρόνον, ἀξιοῖς οὕτω καὶ νομίζεις προδήλως ἐπὶ τῶν ἔργων· ἕκαστος γε μὴν ἕκαστον ὡς ἔξεστι, καὶ συλλογίζεται· καὶ θαυμάζει· καὶ ἀπολαύει· καὶ φθόνος οὐδεὶς, ὡς ἔοικεν εὐδαιμονεῖν ὁτῳοῦν· οὐδ' εὐδαιμονεῖν δοκεῖν, ἀλλ' ἄδεια πᾶσα πειρᾶσθαι τῆς τύχης. ἐχέτω φησὶν· ἀπολαυέτω· δεικνύτω· εἰ δὲ βούλεται, καὶ πλείω τῆς τύχης ἐπιδεικνύσθω· χρήματα· οἰκοδομήματα· κτημάτων θησαυρίσματα καὶ προσόδους· καὶ τἆλλ' ὅσα νομίζεται. ταῦτα ἐστὶν, ἡ τοῦ βασιλέως τρυφὴ· ταῦτα ἐστὶν ἡ φιλανθρωπία καὶ βούλησις· πάντα πάντας εὐπόρους εἶναι· πάντα πάντας ἀρίστους· πάντα πάντων καλλίστων ἄρχειν· καὶ οὐδὲν οὕτως ἥδιστον· οὐδ' ἕλκον· οὐδ' ἔχει τὸν βασιλέα τῶν πάντων, ὡς τὸ τῶν ὑπὸ χεῖρας εὐδόκιμον, καὶ ἡ χρηστὴ τύχη· καὶ ὁ καθ' ἡδονὴν σχεδὸν καὶ καθ' αἵρεσιν ἅπασαν καὶ προσδοκίαν βίος.

31. Καὶ τοίνυν ἅπαντα πρὸς τὴν ἡγεμονικὴν κρίσιν, θαυμαστὴν οἵαν αἴρει τὴν ἐπίδοσιν· καὶ δαψιλὴς ἡ χύσις. καὶ εἰ μὲν ἅμα τὲ ἐξῆν καὶ προσῆν χώρα· ἀλλὰ μὴ πρὸς ἄλλοις πάλαι εἶχον, κάλλιστον ἂν, ἦν ἐνταῦθα καὶ συντελεῖν ἔδει τὲ καὶ περὶ λόγων· ὡς ἐνταῦθα καὶ τὰ ἡμέτερα αὐτῶν ὄντα, πράγματα· καὶ περὶ τῶν οἰκείων μάλιστα δέον οἶμαι νομίζειν, ἀνεκτῶς εἰρῆσθαι· καὶ εἴ τί ποτε ἄρα καταχώραν, νῦν ἀφ' ἑστίας ἐπιχειρεῖν καὶ διατρίβειν· καὶ διαδείκνυσθαι· τοῦτο μὲν μεγίστην ἤδη περὶ τῶν λόγων, αἰδῶ·
f. 157v τοῦτο δὲ μεγίστην | ἐντεῦθεν ἅμιλλαν· παρασκευὴν· ἀκμὴν·

30,10 ἀξιοῖς V^1 e corr. **31,8** τῶν λόγων V^2: τὸν λόγον V | αἰδῶ: sic V; servavimus

30,2–3 cf. Synes. Cyren., De regn. 25, 5 (p. 134) **12** cf. Plat., Phaed. 61d **31,7** cf. Id., Euthyphr. 3a

κράτος· διάδοσιν· ὡς εὖ μάλα πρὸς τὸν βίον ἅπαντα πομπεύει καὶ δᾳδουχεῖ· καὶ λαμπρύνει· καὶ λαμπρύνεται· καὶ κοσμεῖ καὶ ἀντιλαμβάνει· καὶ πάντα γίγνεται. καὶ εἰ δήποτε ἄλλο ἄλλῳ χρόνῳ τῶν ὄντων· μᾶλλον δὲ εἰ δήποτε τοῦτο, καὶ νῦν μάλιστα ἐπέδοτο ἡ φορά· καὶ θησαυρὸς ἀθρόον ἀνώρυκται· μᾶλλον δ’ ἡ πηγὴ τῆς σοφίας· καὶ τὸ συγκεχωσμένον φρέαρ, ἤδη νῦν ἀνεστόμωται· καὶ τὰ ταμιεῖα τῶν λόγων ἀνεῳγμένα· καὶ οἱ παλαιοὶ χαρακτῆρες ἐξεφοίτησαν· καὶ τὰ κειμήλια πρόκειται παρρησίᾳ· ἃ μὴ πολλοῦ φασὶν ἰδεῖν οἱ πρεσβύτεροι. καὶ ὁ μέν τις ἤσκηται λέγειν· καὶ σπουδάζει τὴν ἑρμηνείαν· καὶ χάριν Ἀττικὴν· ὅ δ’ ἱστορίας συνάγει καρποὺς· καὶ χύσιν εὐμαθίας· ὅ δ’ ἐκ φιλοσοφίας σεμνὸς· καὶ ὁ μὲν, πρόθυμος ἐστὶ τῇ φύσει· καὶ λογίζεται καὶ συνηγορεῖ· καὶ πάντα ἄριστα ἐπιμαρτύρεται· ὅ δ’ αὖθις τῆς τῶν μαθημάτων ἐπιβαίνει σὺν ῥυθμῷ κλίμακος· καὶ τὸν νοῦν ἀφαιρεῖται τῆς ὕλης· καὶ πόρρω τοι φέρειν, ἐπείγεται· ὅ δ’ ὑψηλὸς ὑψηλῶς ἄνω χωρεῖ· καὶ τελεῖται τὰ μυστήρια τῶν δογμάτων· καὶ νοεραῖς ἐπαφαῖς ἐπιθειάζων τῶν ἱερῶν ἅπτεται· καὶ ἄλλος ἄλλό τι, πάντως δὲ αὖ ἕκαστος ἑνί γέ τῳ τῆς σοφίας χαράττεται κόμματι.

32. Καὶ τί ἂν τις ἐρεῖ· τί δὲ χρήσαιτο νῦν, ἐν μέρει βραχεῖ περὶ ὧν ἐστὶ κομιδῇ, σπουδῆς ἀνῦσαι, πλὴν ὅτι οὐ μόνον ταῦτα, τῆς ἀγαθῆς τύχης τοῦ βασιλέως, ὡς ἂν οὑτωσί τις εὐδαιμονίσαι, ἀλλὰ καὶ πρώτη καὶ μεγίστη καὶ σχεδὸν ἡ πᾶσα παράκλησις καὶ ψυχὴ, τῆς ὁρμῆς, ἐντεῦθεν ἡ βασιλικὴ σπουδὴ καὶ φιλοκαλία· ὡς ἅμα μὲν ἥδεται καὶ σφόδρα· ἅμα δὲ καὶ χεῖρα δίδωσι φιλανθρωπίας παντοίας εἴδεσιν ἐπαίρων· καὶ παρέχων ὡς ἀεὶ βελτίστοις εἶναι, καὶ κρείττονος πειρᾶσθαι φύσεως καὶ τύχης; καὶ οὐδεὶς ἔπειτ’ ἄρα καθάπαξ ἄθλιος· οὐδ’ ἑαυτοῦ καὶ τῆς καλῆς ἕξεως ἀνόνητος· ἀλλ’ ἔξεστιν εἰ μηδέν γέ τι τἀγαθὸν ἀξιοῦν, ἀφορμὴ ⟨…⟩ | περὶ τῶν f. 158
ὄντων μᾶλλον, ἢ διαμάχεσθαι πρὸς τὴν οὐσίαν καὶ διαλύεσθαι, πρᾶγμα εὐόλισθον.

10 διάδοσιν V[1] e corr. **19** σπουδάζειν V a. corr. **32,10** γέ V[2] s.l. | post ἀφορμὴ folia quattuor ceciderunt in V

14–15 cf. Phil. Iud., De somn. 1, 6 (p. 191, 20–25) **15** cf. Greg. Naz., Or. 36, 2, 3–6 (p. 242) **17** cf. Id., Or. 40, 27, 5–6 (p. 258) **19–27** cf. Metoch., Stoich. astr. 1, 1, 15, 246–17, 296 (pp. 425–426) **21–22** cf. Or. 17, 13, 37–38 **22–23** cf. Iambl., De comm. math. scient. 1–2 (pp. 10, 21–11, 20)

33. Ἀλλὰ περὶ μὲν τούτων ἔτ’ ἔξεστιν ἐξετάζοντα διατρίβειν πάνυ πόρρω. ὅ γε μὴν ἀρχῆθεν προυθέμην καὶ ὁ λόγος ἄνωθεν· ὥρμητο, ὡς ἐνταῦθα μάλιστα αὐτὸς ἐν νῷ εἶχον καὶ οἷος τ’ ἦν ἅψασθαι, καὶ περὶ τῆς ὑστέρας ταύτης ὡς ἔφην τοῦ βασιλέως οἰκονομίας, καὶ πράξεως τῶν νεοτελῶν τουτωνὶ πολισμάτων· καὶ πρὸς τὸ συμβαῖνον ἐπισχεῖν τι καὶ διαθέσθαι. ἐπεὶ δὲ τοσοῦτος ὁ λόγος ἤδη προῆλθε· καὶ ἅμα οὐκ ἔξεστι λαβόμενον ἔπειτα ἁπλῶς, οὑτωσὶ παρελθεῖν, ἀλλὰ δεῖ μονῆς· δεῖ λόγων οὐκ ὀλίγων πρὸς τὴν ἐπιχείρησιν ἱκανώσασθαι, καὶ τὴν χρείαν, δοκῶ μοι περὶ τούτων νῦν εἶναι παρήσειν· ἴσως δὲ καὶ αὖθις ἐξέσται. καὶ οὐκ ἀπογινώσκω τὴν φοράν, κἀνταῦθα γίνεσθαι, καὶ περὶ τῶν ἄλλων. εἴη δ’ ἂν, καὶ τοῦτο γεγονὸς καὶ ὄφελον εἴη, τῆς τοῦ βασιλέως ἀγαθῆς τύχης· προσθήσω δ’ ὅτι καὶ ῥώμης ἐφαμίλλου· ψυχὴν ἄγονον οὕτω λόγων ἐπάραι· καὶ πορίσασθαι πρὸς τὴν ἐπίδοσιν. εἰρημένον δὲ, ἅμα ἤσθημαι, ὡς ὁ λόγος ἀφειδὴς μάλιστα, πρὸς τὴν ἐνταῦθα περὶ τὸν βασιλέα, νεανικὴν Ἕλληνα λόγων ἀκμήν τε καὶ χάριν. κἂν μὲν διδῶτε ὦ παρόντες, ἐνεγκόντες τὴν παρρησίαν, εἰ δὲ μὴ, λαμβάνων οἶδα τοῦ βασιλέως· καὶ ἥδομαι λαμβάνων· καὶ ἥδομαι χρώμενος, εἰς ὅσον ἂν, ἐξείη. ἀδείας δὲ οὔ φησιν ὁ Πίνδαρος εἶναι τέρμα, τὸ δ’ αὐτὸ δηλαδὴ, μὴ δὲ φειδὼ μὴ εἶναι λέγων, οἵ κεν ἀνέρες ἐν πολέμῳ πέλωνται τλησικάρδιοι φησὶν ἡ ποίησις, ὠκέες δέ σφιν ἵπποι. ἀλλὰ ταῦτα πλείω μὲν ἴσως ἢ ἔδει· πλείω δὲ ἢ φείσασθαι· καὶ προσεδόκησα ἂν, αὐτὸς καὶ προεῖδον. ὁ μέντοι λόγος ἐμοὶ δοκεῖν ἱκανῶς εἶναι· καὶ δεῖ τοῦ λοιποῦ πεπαῦσθαι· καὶ πεπαύσεται αὐτίκα. εἴρηται καὶ γέγονεν, ἔφη Σιμωνίδης.

33,3 ἐν νῷ V²: ἐν ᾧ V **20** λέγων: an λόγων? **24** ἱκανῶς V² : ἱκανὸς V

33,20 locus ignotus **21–22** cf. Or. 10, 20, 5–6 **25** locus ignotus

8

Πρεσβευτικὸς f. 158v

1. Ἆρα καὶ γραφόντων ἡμῶν ἐντεῦθεν ὥσπερ ἐνίοτε λεγόντων αὐτόθι· καὶ οὐχ ἡμῶν μόνων· ἀλλὰ καὶ ἄλλοτ' ἄλλων καὶ πλείστων ἑκάστοθ' ὁμοῦ ἀνέξῃ μακρά· καὶ δίδως ἡμῖν εἰς τοῦτο σαυτὸν ὥσπερ εἴωθας, ἕτοιμον, ἢ μὴ σχολὴν ἄγειν φήσαις τῶν περὶ σὲ τοσούτων πραγμάτων, τῆς περὶ τῶν κοινῶν διοικήσεως; ἀλλ' εἰ τοῦτ' ἄρα, πάντως ἂν, ἀδικήσαις, ὦ πάντ' ἄριστε καὶ δικαιότατε· καὶ πάντων ἂν, εἴην, αὐτὸς ἀθλιώτατος, εἰ ὧν μέτεστιν ἅπασι· καὶ ὧν ὁτῳοῦν ὡς βούλεται, καὶ ἅττα βούλεται, ξυγχωρεῖς, ταῦτ' ἐμοὶ μὴ δώσεις μόνῳ, καὶ τὴν εἰς κοινὸν ἀποφράξεις ἀκοὴν δεδομένην· ἧς μάλισθ' ὑπὲρ τοὺς πολλοὺς αὐτὸς τὲ ἠξίουν, καὶ ἐδόκουν μετεῖναι μοι. ὅτε τοίνυν ταῦτ' ἔξεστιν ἐπὶ σοῦ μήτ' οἴεσθαι μήτε λέγειν, καὶ φαῦλος τίς ἂν, εἴη καὶ πάντων κάκιστος, ὅστις ἂν, περὶ σοῦ τι τοιοῦτον ἐρεῖ, χάρισαί μοι τοσοῦτο· δοῦναί τινα χρόνον, ἐμοὶ βραχὺν, ὅσον ἐπακροάσασθαι τῶν παρόντων ἐξ ἀποδημίας ἡμετέρων γραμμάτων. πάντως οὐδ' ἡμεῖς σχολὴν τελείως ἄγομεν· οὔθ' οἵαν ἐπέραστον· οὐδ' ἀδολεσχεῖν, ἐν τούτοις παντάπασι δόξαιμεν· ἀλλ' ἔσταί τι τάχα καὶ τοιοῦτον ἐν τούτοις· ὃ λέγειν τὲ ἐμοὶ καὶ σοὶ παντὸς μᾶλλον ἀκούειν, δίκαιον· καὶ ἀναγκαίως μὲν ἔχει λέγειν· εἰρήσεται δ' οὐκ ἀηδῶς ἐμοί· ἀλλὰ φωνῇ πάλαι τρυφᾶν εἰθισμένῃ· καὶ τὸ πρότερον ἔθος ἀνακτωμένῃ τὲ καὶ ποθούσῃ· καί τινα δὴ ῥαστώνην ἐπέραστον ἐμαυτῷ διδόναι καὶ χαρίζεσθαι δόξαιμ' ἂν· ὥσπερ εἴ τινα χώροις ἀνημέροις καὶ δυσαντήτοις, ἐπιπλεῖστον ὑπ' ἀνάγκης κατακαμόντα τὲ καὶ κρημνοβατήσαντα, πόθος ἔσχε καὶ πεδίων | εὐανθῶν ἅψασθαι, f. 159
καὶ ὑπτίων· καὶ μετὰ γαλήνης ἐπαφεῖναι τὸν ἵππον, ἐνταῦθ' εὐθυδρομῆσαι τὲ καὶ πομπεῦσαι. μεταβολὴ δὲ πάντων μὲν ἡ τραγῳδία φησὶν ἡδύ· ἡ δ' ἀπ' ἀγροικίας εἰς λόγους· καὶ βαρβαρι-

tit. λόγος η´ V^2 in marg. **1,1** Ἆρα VSaMa: an Ἀρα? **3** μακρὰ V: an μικρὰ? **9** ταῦτ' in ras. V | δώσεις VSa: δώσῃς coni. Ma **10** ἀποφράξῃς coni. Ma μάλισθ' VMa: μάλιστα Sa **13** τοσοῦτον V a. corr. **17** ἀλλ' VSa: ἄλλ' Ma **26** τὲ s.l. V^1

1,7 cf. Eurip., Helen. 804 **24** Hom., Il. 6, 506–507; cf. etiam infra, Or. 10, 28, 25–26 **26–27** Eurip., Orest. 234

κῆς ξυντυχίας χρονίου καὶ ἀηδίας· εἰς Ἕλληνα γλῶτταν καὶ χάριν, τίς οὐκ ἂν, ἐρεῖ ὡς οὐ πάντων ἥδιστον; ἴσως δ' ἂν, ἐμοὶ καὶ τοῦτ' εἴη νῦν ἐντεῦθεν, ἐμαυτοῦ πειρᾶσθαι· καὶ τὴν ἐγκειμένην ἐμοὶ τοῦ λέγειν ἕξιν (ἥντινα δή τις ἂν, φαίη, πάντως δ' ἔστιν ἡτισοῦν), καθορᾶν εἰ ἄρ' ὁτιοῦν ἧττον ἔσχε καὶ ὑπέρρευσεν ἑαυτῆς· ἐπὶ τοσοῦτον λοιπὸν ἀπόδημος γενομένη τῆς ἐν ταῖς βίβλοις ἀγωγῆς εἰθισμένης καὶ τῆς ἐντεῦθεν συμμαχίας τὲ καὶ ἀρδείας, ἔρημος καὶ ἀπότροφος. διαταῦτα γοῦν πάντα· δικαίως ἂν, ἐμοὶ δοκεῖν ἀκούοις, οὕτω λεγόντων ἤδη ὡς ἄρ' ἡμῖν τὰ τῆς παρούσης πρεσβείας ἐξαρχῆς ἀπήντησεν.

2. Ἐξῄειν μὲν τῆς πόλεως αὐτόθεν (ἐντεῦθεν γὰρ εἰρήσεται), ὡς ἄρα ἐξῄειν καὶ αὐτὸς οἶσθα, ἑσπέρα δ' ἦν τηνικαῦτα σχεδὸν, ἢ ὅτι ἔγγιστα· καὶ ξυντυγχάνω περὶ τὰς πύλας αὐτόθι, ἀφ' ὧν ἦν ἀναγκαῖον ἐξιέναι, τοῖς ἐκ Τριβαλλῶν πρέσβεσιν ὁμοῦ πᾶσιν ἑστῶσι πάλαι καὶ μένουσιν· ἐφῷ τε τιμὴν ἐμοὶ τὴν δοκοῦσαν ἀποδοῦναι· καὶ προσειπεῖν ἐξιτήρι' ὡς νομίζεται· ἅμα τὲ παραδοῦναι μοι καὶ παρακαταθέσθαι πρὸς τὴν κοινὴν ὁδὸν· καὶ ὃν ἐξ ἑαυτῶν ἔστελλον εἰς τὰ σφέτερα αὐτῶν· καὶ τὸν δεσπότην· οὐ δι' ἄλλό τι τοσοῦτον, ἢ τιμῆς ἕνεκεν ὡς ἔφασαν, ἡμετέρας· ὡς ἀγγελοῦντα ἅττα δίκαια περὶ ἡμῶν (ἦν γὰρ δὴ, οὐ τῶν πάνυ παρὰ σφίσι), ἵνα μὴ λάθοιμεν οἵτινες ὄντες, εἰς αὐτὸν ἐπιδημοῦμεν· κἀντεῦθεν τῶν εἰκότων ἀτυχήσαιμεν· οἷ' ἐνίοτε δὴ γίγνεται. ξυγγενόμενοι δ' ἐνταῦθα τοῖς ἀνδράσι, μέτρι' ὅσα γ' ἦν οἶμαι κατὰ καιρὸν· καὶ ἀποφλήσαντες τῆς τιμῆς ταύτης χάριν, ὡς
f. 159^{v} λόγοις ἐξῆν, ἔπειτα ἀπαλλαττόμεθα. καὶ οἱ μὲν αὖ εἰσῄεσαν ἐς | τῆς πόλεως, εἰς τὰ εἰωθότα· ἡμῖν δ' ἐδόκει, καταλῦσαί ποι ἔγγιστα αὐτόθι, τῆς πόλεως· καὶ μένειν τὴν νύκτα· ἐπειδὴ ὀψὲ ἦν οὕτω τῆς ἡμέρας· ἄλλως τε δὴ καὶ πρὸς λόγον· ὡς ἂν, ἐπὶ σχολῆς κατασκέψασθαι, ἣν ἡμῖν του δέῃ ἔτι πω πρὸς τὴν ὁδὸν ἐνσκευάσασθαι (εἰκὸς δὲ ἦν εἶναι· καὶ δεῖν ἴσως πλείστων, ὡς ἐν ἀρχῇ συμβαίνειν εἴωθεν· ἄλλως τε καὶ μὴ κατὰ προσδοκίαν ὀψιαίτερον ἐξελθοῦσιν), ἵν' ἕωθεν πλήρεις ἅπαντ' εὐτρεπισμένοι, ὧν ἂν ἦμεν χρεῖοι, καλῶς ἔπειθ' οὕτω καὶ ἀσφαλῶς εὖ μάλ' ὁδοῦ ἁπτοίμεθα.

32 ἔσχε V e corr. **2,3** ἀφ' V^{2}SaMa: ἐφ' V **4** Τριβαλλῶν scripsimus (cf. infra, 8, 3, 1 et saepius): Τριβαλῶν VSaMa **6** ἐξιτήρι' VMa: ἐξιτῆρι Sa **11** λάθοιμεν V^{1}: λάθωμεν VSaMa | ἐπιδημοῦντες Ma **12** οἷ Ma

ἐδόκει οὕτω· καὶ ᾔειμεν εὐθὺ τῆς ἄγχιστ᾽ οὔσης τῶν Ἀναργύρων μονῆς.

3. Ἐνταῦθα δὴ καθ᾽ ὁδὸν ἰόντων Τριβαλλὸς ἐκεῖνος, ἄνθρωπος ὁ τῆς ὁδοῦ κοινωνὸς, ἐπειρᾶθ᾽ ἡμῶν πυνθανόμενος ὁπόθεν ἔσταί οἱ, τὰ πρὸς τροφὴν καὶ ἅπασαν ἡντιναοῦν, καθ᾽ ὁδὸν ἀναγκαίαν χρείαν. «πάντως δὲ τῆς χώρας» ἔφασκε, «καὶ τῶν οἰκούντων· ἐφ᾽ ὧν ἡ ὁδός». οὕτω γὰρ δὴ καὶ παρὰ σφίσιν εἰθίσθαι, πρέσβεων ἐπιδημούντων, καὶ παριόντων. «οὐκ» ἔγωγε ἔφην «ὦ ᾽γαθὲ· ἀλλ᾽ οὐχ ἡμῖν γε εἴθισται. πρέσβεσι μὲν γὰρ ἅπασιν εἰς ἅπανθ᾽ ἡ βασιλικὴ, φιλανθρωπία καὶ μεγαλειότης ἐπαρκεῖ· καὶ δαψιλῶς· μενοῦσί τε μέχρις ὅτου δέοι· καὶ ἀπιοῦσιν οἴκαδε, τὰ μὲν, ἔσται χάρις· καὶ φιλοτίμημα βασίλειον, τιμῇ τῆς πρεσβείας· τὰ δὲ, προσέσται πάντως ἀναγκαῖ᾽ εἰς πλείστας, καὶ πάσας τῆς ὁδοιπορίας ἡμέρας ἐφόδια. χώρα δὲ ἅπασ᾽ ἐφ᾽ ἧς ἡ ὁδὸς ἡ βασιλέως, πλὴν ὧν νομίζομεν φόρων μόνον, ἀνεῖται πάντων δὴ φορτικῶν καὶ δυσχερείας ἁπάσης, ἐλευθέρα· καταπολαύουσα τῆς τοῦ δεσπότου φιλανθρωπίας. καὶ δὴ καὶ σὺ νῦν» ἔλεγον, «ἔχων κατ᾽ ἀμφότερα ὡς εἴρηται (οἶδας γάρ), οἷς ἔχεις ἐκ βασιλέως, ἐφοδίοις χρήσῃ· καὶ ἡμῖν δέ γε ἴσως ἔστιν οὗ προσχρήσῃ ὅσα γε εἰκὸς ἐν οἰκείοις οὖσι· καὶ προσέσται τὰ ἀφ᾽ ἡμῶν εἴ πῃ ἄρα, εἰς τιμήν τινα καὶ φιλοφροσύνην τοῦ Ξενίου τὲ καὶ Πομπαίου. δίκαιον γάρ. καὶ τοίνυν αὐτὸς σὺ, μὴ πειρᾶσθαι τῶν ἀήθων |τῇ χώρᾳ (φέρειν γὰρ οὐκ ἔχει ῥᾷστα ὁστισοῦν καὶ ἀστικὸς καὶ ἀγροῖκος, ἅττα οὐκ εἴθισται), καὶ ὃς ἂν ἄλλως τάχα πειρῷτο, καὶ θρασύτερον ἂν ἴσως ἐντεῦθεν ἐκεῖνος αὐτῷ χρῷτο». οὐκ ἔπειθον λέγων. ἔδειξε γὰρ μεταβραχὺ· παθὼν δέ τε νήπιος ἔγνω φησὶν ἡ παροιμία. f. 160

4. Γιγνόμεθα γὰρ τάχιστα, οἷ καταπαύειν ἔδει. κἀγὼ μὲν ᾔα ἐς αὐτὴν μονὴν ἐνσκηνησόμενος, ἐκείνῳ δ᾽ αὐτόθεν προστάττω τῶν ὑπηρετῶν ἑνὶ τὲ καὶ δευτέρῳ, ξυνέπεσθαι καὶ ὑποδεικνύειν,

24 εἴημεν V a corr **3,1** ἰόντων V[2]: ἰοῦσι VSaMa **13** μόνον V[1]SaMa: μόνων V **16** οἶδας V[1]SaMa: οἶδα V | τῆς V[2]: ἧς V (obl. rubr.) **18** τινα V[1] e corr.: τε V, τινὸς SaMa **21** ῥᾷστα V[2] e corr. **4,1** οἷ V: οἱ SaMa **2** ἐνσκηνησόμενος VSa: ἐνσκηνησάμενος Ma | προστάττων SaMa

3,2 cf. Philostr., Vit. Apoll. 6, 31 (p. 245, 13–14) **19** cf. Aesch., Ag. 748 et Soph., Aj. 833 **24** cf. Hes., Op. 218

οἴκημά τι τῶν ἐν τῷ χωρίῳ τῶν ἄλλων ἄμεινον καταλῦσαι· ἐντειλαμένους τῷ δεσπότῃ μὴ δι' ὄχλου γενέσθαι τἀνδρὶ, τὴν νύκτα ταύτην ὁτιοῦν. καὶ ἐποίουν οὕτω· καὶ ἐπανῆκον ἐμοί. ἤδη δὲ εἰσιόντι τὴν μονὴν· θροῦς ἐκ τῆς χώρας προσβάλλει· καὶ ἦν ἄπορον ὅ,τί ποτ' ἂν, εἴη. καὶ ἅμα εὐθὺς, ἀπαντῶσιν ἄνδρες ἐκεῖθεν· καὶ γύναιάττα κλάοντα. ἦν δέ τι χαλεπὸν αὐτόθεν τὸ δηλούμενον· κἀγὼ πυθόμενος ἔμαθον ὅ,τί ποθ' ὑπενόουν. οὐδὲ γὰρ ἐμέλλησεν ἄνθρωπος οὐδὲ προσβραχὺ, δράσαι τὲ καὶ παθεῖν, ἃ προσεδόκησα· ἀλλ' ἀποβὰς τὸν ἵππον ἐπὶ τῆς οἰκίας ἧς ἔδει μένειν τὴν νύκτα· παραχρῆμ' ἀλλοιότερον, ἐπειρᾶτο τῶν οἰκούντων, ἢ ὡς αὐτὸς τέως καθ' ὁδὸν ἐπέτελλον καὶ παρῄνουν· προστάττων μάλισθ' ἅττα οὐκ ἦν· οὐδ' ὧν ἔδει· καὶ γάλα ὅ φασιν ὀρνίθων· καὶ ἅμα οὐδὲν πράως· οὐδ' ἀλύπως· ἀλλ' ὡς ἂν σφόδρ' ᾤετο, καταπλήξειν. ὡς δὲ οὐδὲν ἀπήντά οἱ δεξιὸν, ἐκεῖθεν· ἀλλ' ἀλλήλοις ἐχρῶντο παρὰ δόξαν, οἵ τ' ἀκούοντες, ἢ ᾤοντο τἀνδρὶ· κἀκεῖνος ἢ ᾤετ' αὐτοῖς, ἀηδῶς τε λέγων· καὶ ἀηδῶς ἀκούων, ἀνίσταται δῆτ' εὖ μάλα, αὐτόθεν αὐτίκα· καὶ ἐνθορὼν ὁτῳοῦν τῷ ξυλλαχόντι· καὶ δραξάμενος ἀπρὶξ ταῖν χεροῖν τῆς κεφαλῆς, καὶ ἅμα ταὐτὰ παθὼν, εἷλκε τὲ καὶ εἵλκετ' ἐντεινόμενος· κατὰ κόρρης πὺξ παίων τὲ καὶ παιόμενος. οἱ δ' ὑπηρέται τἀνθρώπου (εἵποντο
f. 160v γὰρ τρεῖς), πτήξαντες πρὸς τὸ τόλμημ' ἡσύχασαν· |ἀφορῶντες πρὸς ὅτι πλείστους· καὶ σφῶν αὐτῶν πλείονας τοὺς παρεστῶτας, τῶν χωριτῶν· εὖ μάλα παρεσκευασμένους· καὶ δήλους ὄντας ἥν τις τοῦ συγγενοῦς προσάπτοιτο, καὶ προσεπιτρίβοιτο, ἀμυνεῖσθαι καὶ κακῶς δρᾶν, σφόδρα ἐρρωμένως. καὶ ἐπὶ τούτοις τὰ οἴκοι γύναι' ἀπῴμωξε· καὶ ὁ θροῦς ἤρθη· κἀγὼ μανθάνω τὸ γεγονὸς· καὶ ξυντεινάμενος ὡς οἷόν τε τάχιστα, πέμπω τῶν ἐπιτηδείων τινὰς οἵ μοι παρείποντο· καὶ παρέπεμπον ὡς ἐπ' ἐξόδῳ μέχρι καὶ ἐς τὴν μονὴν, φθάσαι τὲ καὶ λῦσαι, τὸ ξυμβὰν δύσκολον· ἅμα τὲ, καὶ ἐπιτιμῆσαι τοῖς χωρίταις, καὶ καταμειλίξασθαι τὸν ἄνδρα καὶ διδάξαι περὶ τοῦ μέλλοντος ἑξῆς, μὴ δρᾶν οὕτω. συνέπεμπον δὲ

5 ἐντειλαμένους V: ἐντειλάμενος SaMa **9** γύναιάττα V[1]: γύναιττα V, γύναι' ἅττα SaMa | κλάοντα V: κλαίοντα SaMa **15** μάλισθ' VMa: μάλιστ' Sa **17** ἐκεῖθεν ἀλλ' V[1] e corr. **20** ἐνθορὼν VSa: ἐνθορῶν Ma **24** τόλμημ' VSa: τόλμημα Ma **32** καὶ[2] V[1] s.l.

4,7 cf. Philostr., Imag. 1, 2, (II, 298, 5–6) **15–16** cf. Aristoph., Av. 1673 **22–23** cf. Greg. Naz., Epist. 11, 8 (I, p. 18)

καὶ τῶν μοναστῶν τοὺς ἐπὶ τῇ διοικήσει τῆς χώρας· καὶ συνέπεμπον ἐπὶ τοῖς αὐτοῖς. καὶ δὴ καλῶς ἔσχε· καὶ ὁ Τριβαλλὸς εὐηρέστει τὲ αὐτίκ' ἐπὶ τούτῳ (ἀπήντα γὰρ αὐτῷ καὶ τὰ τῆς χρείας ἅπαντα τῶν μοναχῶν εὖ), καὶ νοῦν ἔσχε μάλιστα ἐντεῦθεν· καὶ τουλοιποῦ πρὸς ἅπασαν τὴν ὁδὸν, χρηστὸς ἦν· καὶ ἡμῖν ἡδίστην παρεῖχε τὸ ξυμβὰν τὴν διατριβὴν, ὡς ἀπέδειξε μῦν ἀντὶ λέοντος, ᾗ δὴ φασὶ τἀνθρώπιον· δεδιττομένοις αὐτὸ μὴ τολμᾶν ἑξῆς παραπλήσια· καὶ ἐδεδίει σφόδρα· καὶ προσεῖχε τὸν νοῦν. καὶ οὐκ ἔστιν ὅπῃ ποτ' ἐπὶ πολλῆς τῆς ὁδοῦ, καὶ πολλῶν ἀνύσας ἡμερῶν, ἐνεχείρησε δρᾶν, ὁτιοῦν ὅμοιον ὁτῳοῦν· ἀλλ' εἰσιὼν ἅπασαν οἰκίαν, ἠσπάζετό τε δεξιῶς τοὺς οἰκοῦντας· καὶ ἡδὺς ἦν μάλισθ' ἅπαντα πράγματα ὡς ἄν, οἷόν τε ἦν οὐδὲν ἄλλο λέγων, ἑκάστοτ' ἢ σκίμποδος αὐτῷ μόνου δεῖν· καὶ δίφρού τινος ἐφιζῆσαι καὶ κατακλινεῖν· καὶ πυρὸς πάντως τινὸς ξυλλαχεῖν σφίσι· πρός τε τὴν ἄλλην χρείαν, ὀπτᾶν τέ τινα καὶ ἕψειν, βρῶσιν ἀναγκαίαν· καὶ πρὸς ἀλέαν μάλιστα ὅσα εἰκὸς ἀνάγκην εἶναι, τοῖς ὁδὸν μακρὰν χειμῶνος οὕτω κάμνουσιν. οἶδας γὰρ ὡς ἔτος τουτὶ δυσχείμερον μάλιστ' εἴπερ δὴ καὶ | ἄλλοτέ ποτε γέγονε· καὶ σφόδρα νιφετῶ- f. 161
δες· καὶ βορείοις καταιγίζον δριμύτατα πνεύμασι· καὶ τοῦθ' ὡς ἐφ' ἡμῖν γε μάλιστα τοῖς ἐν Βυζαντίῳ· κατακεκλείσμεθά τε ὥσπερ ἐν χηραμοῖς τισὶ ταῖς οἰκίαις· καὶ μάλισθ' ὅσοις ἦν ὑπόγεω (τἄλλα γὰρ οὐκ ἀντεῖχε), καὶ ἀποκεκλείσμεθ' ὁδῶν τε πασῶν καὶ προόδων ἐπιπλεῖστον.

5. Δεῆσαν δ' ἔπειθ' ὅμως ἐξιέναι, προῆμεν ἐς βασιλέως· πεζῇ βάδην αὐτοὶ πλείστας ἡμέρας, ἐνσκηριπτόμενοι βακτηρίαις, διὰ τὸν ὄλισθον· μηδαμῶς ἵπποις ὡς ἔθος χρώμενοι· ὡς ὅτι πλεῖστον τῆς χιόνος ἀνεχούσης τὲ καὶ ἠρμένης ὕψος· καὶ πᾶσιν ὀχήμασι καὶ τοῖς μετὰ βάρους ἐπιοῦσιν, εὐενδότου καταχεχυμένης· καὶ οὐκ εὐπαγῆ τὴν ἕδραν ὑπεχούσης· οὐδ' ἑστῶσαν· οὐδ' ἀσφαλῆ· ἀλλ' ὥστε μάλισθ' ὑπολισθαίνειν μέχρις ἰγνύος· καὶ ξυμπίπτειν ἐνισχομένους, καὶ καταπίπτειν. καὶ μὴν καὶ τοῦτ' οἶσθα ὡς οὔπω δὴ

36 Τριβαλλὸς εὐηρέστει V^2 partim in ras. **46** οἷόν V^2: οἷός VSaMa **51** οἶδας V^2SaMa: οἶδα V **5,1** δεῆσαν δ' ἔπειθ' V^1 in ras. **3** ὡς² V: an εἰς?

40 cf. Synes. Cyren., Epist. 79 (p. 140, 17) **5,2** cf. Phil. Iud., De spec. leg. 3, 106 (p. 152, 7)

παντάπασιν, ἐξῆλθον ἔγωγε τῆς πόλεως, καταπεπαυμένου χειμῶνος· ἀλλὰ κατεῖχε μὲν ἐπιμήκιστον τὴν γῆν ἡ προλαβοῦσα χιών· ἄτηκτος ἔθ' ἡ πλείων· ὁ δὲ καιρὸς ἔτ' ἐπίδοξος ἦν ἐνεγκεῖν ὅμοια· καὶ μάλιστ' ἐπὶ Θράκης ὁδεύειν μέλλοντι· καὶ ἐπειρώμεθ' οὕτω σφόδρα. καὶ οἶσθα γὰρ τὰ Θρακῷα πνεύματα (τοῦτο τὸ δεινότατον ἦν ἡμῖν τοῦ χειμῶνος), αὐτοῖς νιφετοῖς· αὐτοῖς ὄμβροις πάντοθεν ἐμπίπτοντα καὶ καταθλῶντα· ὥσπερ ἐξ ἀχανοῦς δή τινος καὶ τυφωνικοῦ πελάγους, τῶν ταύτῃ παμμηκίστων τὲ καὶ ἀπλέτων, πεδιάδων καὶ παντάπασιν ἀσυνδέτων, ὄρεσί τισιν ἀμηγέπῃ καὶ ἀτειχίστων, ἀναρρηγνύμενα καὶ σφόδρα κόπτοντ' ἐπὶ πάσης, ἰοῦσιν ὁδοῦ· καὶ τοτὲ μὲν ἐξ ἀντιθέτου κατὰ πρόσωπον αὐτίχ' ἱστῶντα μὴ πρόσω φέρειν ἄνδρας ἀεθλοφόρους ἡγεμονῆας ἠδ' ἵππους, ἄγοντας· τοτὲ δ' αὐτοῖς ὀχήμασιν· ἐκ πλαγίων κατασπῶντα τὲ καὶ καταγνῦντα. καὶ τοίνυν προϊέναι δὴ πολλάκις
f. 161v ἕωθεν πειρώμενοι· ἐπειδὴ καὶ ἡπτόμεθα προϊέναι, | ἢ μικρὸν προκύψαντες· καὶ μηδαμῶς ἐνίοτ' ἀντέχοντες, ἐπανήειμεν αὖθις, ὅθεν ἐξήειμεν· ἢ πάντως αὐτίκα κατεπαύομεν καὶ ἀπεβαίνομεν τοὺς ἵππους· ἥν που λαβοίμεθα τάχιστα συνοικίας· ἢ ἀγροῦ τινος, ἐν τῷ μεταξὺ δὴ βραχυτάτῳ τινὶ μήκει, καὶ τῆς ὁδοῦ καὶ τοῦ χρόνου μάλιστ' ἀλλήλων ἑκάστοτ' ἀναπυνθανόμενοι, οὗ δὴ πρώτου τευξόμεθα· καὶ εἰ μάλιστ' ἔγγιστα· ὡς ἀνάγκην οὖσαν, ἑκάστοτ' ἤδη καταλύειν· καὶ μηκέτι πλεῖν ἢ ἔξεστι βιάζειν, ἑαυτοὺς ὁδῷ πόρρω χρῆσθαι· κακῶς οὕτω δὴ χρωμένους. καὶ σπουδῇ πάσῃ καταλύοντες τοῖς οἴκοι καθειργμένοις ὑπὸ τοῦ χειμῶνος, χωρίταις τὲ καὶ ἀγροίκοις κοινῆς σκέπης καὶ πυρὸς, ἥδιστα ξυνελαγχάνομεν· συνανακοινούμενοι, καὶ συμφυρόμενοι· καὶ συγκαλινδούμενοι, πᾶσιν ὁμοῦ πάντες, ταῖς τοῦ πυρὸς σποδιαῖς· ἅτε πρὸς κοινὴν τὴν ἀνάγκην καὶ πρὸς κοινὴν τὴν χρείαν, κοινῇ καὶ περικυκλούμενοι, τὴν ἀλέαν· καὶ οὐδὲν πλέον ἄλλος ἄλλου ὁστισοῦν ὁτουοῦν, ἀξιῶν ἀποφέρεσθαι. οὐδὲ γὰρ ἦν πρὸς

11 ἔτ' om. Ma **12** μέλλοντι V: μέλλοντες SaMa **14** ὄμβροις VSa: ὄμβρεις Ma **15** ἀχανοῦς V e corr. **16** τὲ om. Ma **20** αὐτίχ' V: ἀντίχ' SaMa **21** τοτὲ V1: τότε V **24** προκύψαντες V2SaMa: προκύψατες V | ἐπανήειμεν V1: ἐπανείειμεν V, ἐπανείημεν SaMa **30** βιάζειν V e corr. **36** καὶ πρὸς κοινὴν τὴν V in marg. (manu Metochitae?); om. SaMa

17–18 cf. infra, Or. 11, 30, 17–23 **20–21** cf. Hom., Il. 22, 22 **35–36** cf. Niceph. Greg., Hist. Rom. (I, p. 379, 8–9)

ἡμῶν, ἀδικεῖν, οἶμαι καὶ κατατυραννεῖν ἀνθρώπια δύστηνα· καὶ γραΐδια καὶ βρέφη γυμνιτεύοντα καὶ κλαυθμυρίζοντα, καὶ μετὰ τῆς κοινῆς χειμαζόμενα· καὶ κακῶς πάσχοντα φύσεως, τοῦ σφετέρου πυρὸς· ἀλλὰ καὶ μάλιστα χάριν ἔχειν, ἀξιοῦν τῆς κοινῆς χρείας, εἰς τὰ σφέτερα αὐτῶν, κοινῇ συμμεταλαμβάνοντας.

6. Καὶ ταῦτα μὲν ἀνάγκη ἦν, οἷ καταπαύειν ἔδει. ἐπὶ δέ γε τῆς ὁδοῦ, μάλιστ’ ἦν ἀνάγκη πρὸς τὰ πνεύμαθ’ ὡς ἔφην παραβαλλομένους, πλεῖσθ’ ὅσ’ ἐνῆν ἀνέχειν ἱμάτι’ ἐπὶ τοῦ σώματος ὅλου· εἴ τις καὶ μετρίως ἄρ’ ἔμελλεν οἶμαι ἀντισχήσειν, πρὸς τὴν κρατοῦσαν οὕτω συμφορὰν τοῦ καιροῦ. καὶ ἔγωγε πλεῖσθ’ ὅσα δὴ φέρειν οἷος τ’ ἦν, τηνικαῦτα εἴπερ ἄλλοτέ ποτ’ ἀναδούμενος τὸ κάρα· καὶ περιδούμενος τὸ σῶμα πᾶν καὶ ὑποδούμενος, μόγις δὴ καὶ οὕτως ἀντεῖχον· πονήρως γε μὴν ἔτι. οὕτω διὰ πάντων ἐνίκα· καὶ δριμέως | ἥπτεθ’ ἡ τοῦ ψύχους ἀκμὴ, καὶ προσβάλλοντα τὰ f. 162 πνεύματα. γίγνεται μὴν κἀνταῦθά τι, τῷ συνοδίτῃ μοι Τριβαλλῷ, μνήμης ἄξιον. τέως μὲν γὰρ ᾔει καταφρονῶν παντάπασιν, ὥς γε ἐδόκει τῆς πονηρᾶς ἐκείνης ὥρας· ἐοικὼς ἔθει τινὶ πεποιθέναι καὶ κράτει σώματος, πρὸς ἅπαν ἐργῶδες· καὶ πᾶσαν ἐπήρειαν, ἀτρέπτῳ τὲ, καὶ καρτερῷ καὶ ἀλωβήτῳ· μὴ πάνυ τοι μέλον αὐτῷ ἑαυτοῦ τὲ καὶ τοῦ σώματος, ἣν ἁμιλλῷτο πρὸς τόσην τὴν τοῦ καιροῦ δυσκολίαν· τὴν δ’ ἄρα κεφαλὴν καὶ μάλιστα προνοίας ἁπάσης, ἀτημελήτως παρεῶν, ἣν εἴ τι χαλεπὸν γίγνοιτο, πιλίδιον ἐπικείμενος ὀλίγον τὸν εἰωθότα σφίσιν ἠσκημένον τρόπον· καὶ τοῦτ’ ἐπιπολῆς καὶ κατ’ οὐδέτερα λυσιτελοῦν· καὶ μάλιστα τὰ τῆς κεφαλῆς ὄπισθεν ἀσκεπῆ παντάπασιν, οὐκ ἐπιστρέφον· ὡς δὴ τὸ λεγόμενον γυμνῇ τῇ κεφαλῇ ξυμβαίνειν μάχεσθαι. καὶ ἦν γὰρ οὕτως ἀνατεινόμενος ὡς οἷόν τε μάλιστα τὸν τράχηλον· πρὸς τὴν ἐμπίπτουσαν αὐθάδειαν τοῦ καιροῦ καὶ τῶν πνευμάτων· καὶ τό γε μὴν τουτὶ πιλίδιον μέχρι τοσούτου φέρων, μέχρις ἦν ἔφιππος, διὰ

39 καὶ κατατυραννεῖν V^2SaMa: καὶ τυραννεῖν V **40** γυμνιτεύοντα V, servavimus: γυμνητεύοντα corr. SaMa **6,7** ὑποδούμενος VSa: ὑποδηλούμενος Ma | μόγις V: μόλις SaMa **10** γίγνεται V^2SaMa: ίγνεται V (obl. rubr.) **14** τοι V: τι SaMa | μέλον V^1SaMa: μέλλον V **15–16** ἣν ἁμιλλῷτο – δυσκολίαν om. Sa **15** τὴν V^2 s.l.: τε SaMa **17** ἣν VSaMa: an ἦν? | πιλίδιον om. Ma **20** ἐπιστρέφον V: ἐπιστέφον SaMa

6,20–21 cf. Plat., Phaedr. 243b

τὸν νόμον ἐμοὶ δοκεῖν, ἐφίπποις ὁδεύουσι. ὡς δ’ ἔδει γε ἀποβαίνειν ἀμέλει τοῦ ὀχήματος καὶ ὁπῃοῦν, αὐτίκ’ ἀπεωθεῖτο καταρριπτῶν ὡς ἔτυχε· καὶ ἵστατ’ ἐπὶ πλεῖστον αἴθριος ὁ παλαμναῖος, ἐνδεικνύμενος ἡμῖν ἀνείμων παντάπασι καὶ γυμνὸς τὴν κεφαλὴν, ὥσπερ ἀνδριάς· ὄμβροις τὲ καὶ χιόσι πολλάκις κατανθιζόμενος· καὶ περιπαττόμενος ταύτην ἠύτε χιών φησιν Ὅμηρος ἐπάλλυνεν ἀρούρας. κἄγωγε ἐπὶ τούτοις τἀληθὲς ἐρῶ, τὰ μὲν, ἐθαύμαζον ὁρῶν τἀνθρώπιον· τά δ’ ἠχθόμην, οὐκ αὐτῷ προδήλως οὕτω μου καταφρονοῦντι· ἀλλ’ ἐμαυτῷ μηδὲν ὅμοιον, ἢ ὅτι ἐγγὺς δυναμένῳ. ἦν γε μὴν τοῦτο μέχρι τινὸς· πλεῖν δ’ ὡς ἀληθῶς ἢ τίς ἄν, ᾠήθη, ἔπειθ’ ὁ Διὸς κατὰ τὴν παροιμίαν ἠλέγχετο Κόρινθος εἰς f. 162v προὖπτον· καὶ κακὸς κακῶς ὁ Τριβαλλὸς | μετὰ τῆς σεμνότητος ἐπετρίβετο. ἐτύχομεν γὰρ καταλύσαντες ἐν δή τινι συνοικίᾳ (Ταρχανείου οὕτω πως ὄνομα· μικρὸν πρὸ Κυψέλλων ἄστεος), τῆς ἡμέρας ἐκείνης ὡς ἀληθῶς πάνυ τοι πεπονηκότες τῷ χειμῶνι. ἕωθεν δὲ προϊέναι δέον καὶ ὁδοῦ ἅπτεσθαι, εἰωθὼς ὁ Τριβαλλὸς ταχὺς ἀπαντᾶν μάλιστα καὶ προκαλεῖσθαι· τοὺς ἐμοὺς ἀεὶ πρὶν ἢ ἐνσκευάσασθαι, τέως μὲν ἠγνοεῖτο, τηνικαῦθ’ ὅ,τι δήποτε μέλλει. εἶτα πέμπει δὴ προδήλως καὶ διαμηνύεται, καὶ αἰτεῖται μένειν τῆς ἡμέρας ἐκείνης. τῆς γὰρ δὴ παραδραμούσης ἀμέλει νυκτὸς, κακῶς σφόδρα σχεῖν· καὶ νῦν δὴ μάλιστα κάμνειν, ἔτι· ὡς μηκέθ’ οἷον τ’ εἶναι προχωρεῖν· ἴσως δ’ οὐδὲ προχωρήσειν ἔπειθ’ ὅλως ὕστερον· ἀλλ’ αὐτοῦ μάλιστα δέος εἶναι τεθνήξειν, οὕτω πονήρως ἔχοντα. κἀγὼ πυθόμενος ὅ,τί ποτ’ ἦν καὶ μαθὼν προστάττω μένειν. ἦν μέν γε οὐ τοσοῦτο ὅσον ἀνὴρ ἐκεῖνος ἐδεδίει· ἀλλ’ ἤλγει μὲν ἡ κεφαλὴ πάνυ τοι πλεῖστον ἐκπολιορκηθεῖσα· καὶ κατακεκρουμένη τοῖς πνεύμασι· καὶ ῥευμάτων ἔφοδος καὶ βράγχος γίνεται· ἡ δ’ ὑπερῴα καὶ ὁ φάρυγξ οἰδαίνει· καὶ σίτων ἔγκλεισις καὶ ποτῶν συμβαίνει· καὶ τόδε μάλιστ’ ἄνθρωπος ἀργαλεώτερον ἐδόκει· καὶ σφόδρ’ ἐδυσχέραινεν, οὐκ ἔχων ὅ,τι χρῷτο. κἄγωγ’ ἐπὶ τούτοις ἐπιτίθεμαι μετὰ τοῦ καιροῦ· καὶ τῶν ὀνειδῶν ἐπεφόρουν

30 ἐπάλλυνεν V: ἐπάλυνεν SaMa **32** τἀνθρώπιον VSa: τἀνθρώπων Ma **34** πλεῖν VSa: πλεῖν’ Ma **41** πρὶν ἀεὶ primum scripsit, deinde litteris βα suprascriptis ordinem invertit V^{1}: πρὶν ἀεὶ SaMa **44** παραδρομούσης Ma **50–51** κατακεκρουσμένης V a. corr. **52** ὁ om. SaMa **53** ἀργαλεώτερον VSa: ἀργαλεώτερος Ma

30–31 Hom., Il. 10, 7 **34–35** cf. Plat., Euthyd. 292e

πάνυ τοι πλείστων, καὶ τῶν εἰσηγήσεων. «οὕτω τοι παντάπασιν ἀσύνετος ὦ βέλτιστ'» ἔφην «ἦσθα τῶν καθ' ἡμᾶς χώρων· καὶ ὡρῶν μὴν ὅπῃ δήποτ' ἔχει· καὶ ὅπῃ γίγνεται· καὶ ὡς ἄν τις εὖ μάλα χρήσαιτο· καὶ ἔδει πείθεσθαι· καὶ ἔδει προσέχειν· καὶ μετανοεῖν ἔδει, ἢ πρὶν ᾤου· φίλα φρονοῦσιν ἡμῖν καὶ τὰ ἡμέτερα διδάσκουσιν ἀγνοοῦντα· ὡς ἄν, εὖ τιθέναι· ἀλλὰ μὴ φρονεῖν οὕτω σφόδρα· μὴ δὲ καταφρονεῖν ἐν οἷς ἔσχατος κίνδυνος ἡμαρτηκότα. νῦν γε μὴν ὅμως ἑξῆς πείθου· καὶ δὴ γνώσῃ σαφῶς, ὡς ῥᾴων τὲ | ἔσῃ· τῆς νῦν f. 163 ταύτης συμφορᾶς· καὶ τουλοιποῦ πάντα καλῶς σαυτῷ χρήσῃ· καὶ οὐ μήποθ' ὕστερον οὔθ' ἡμῖν μέμψῃ, οὔτε σαυτῷ». Ὁ δὲ, ᾐδεῖτο μὲν πάνυ (τί γὰρ οὐκ ἔμελλε μεμνημένος λόγων ἐκείνων, ὕβρεως ἐκείνης καὶ θράσους πρότερον;), ὡμολόγει δ' ὅμως ἄκων καὶ συνετίθετο, τὰ μέγιστ' ἀγνοῆσαι καθ' ἑαυτοῦ· ἦ μέγ' ἀδόκητον πεπονθέναι φάσκων ὄντως κακὸν· καὶ ὡς οὔποτ' ἄν, ᾠήθη· οὐδ' ἄν, εἴ τις προὔλεγε κατεπείσθη· τόσα καὶ τόσα πρότερον ἄρα κατατρίψας ἔτη, τὸν εἰωθότα τόνδε τρόπον οὐκ ἐπὶ χώρας· οὐδ' εἰς τὰ σφέτερα αὐτοῦ μόνον· καίτοι καὶ ταύτῃ μὴ μετρίως· μὴ δὲ ῥᾷον ἢ ἄλλῃ πῃ χειμῶνος ἐξὸν ὥρᾳ χρῆσθαι· ἀλλά γε μὴν καὶ ἄλλοτ' ἐπ' ἄλλοις καὶ καταμηδὲν χρηστοτέροις ἐντυχεῖν, εἰς τὴν δύσκολον ταύτην ὥραν, μὴ δὲ φιλανθρωπότερον ἔχουσι τοῖς ἐξ ἀλλοτρίων ἐπιδήμοις ἐπιξενούμενος. καὶ κατηρίθμει Παίονας· Μυσούς τε καὶ Σκύθας· καὶ οὐκ οἶδ' οὕστινας ἄλλους καὶ πόρρω Σκυθικοῦ κρύους κατὰ τὴν παροιμίαν· οἷς δὴ πλεῖστα ἐμπομπεύων καὶ κατατεινόμενος ταῖς ἐκδημίαις, καὶ ὥσπερ ἐναβρυνόμενος ταῖς ἄλλοτ' ἄλλῃ ταλαιπωρίαις· καὶ προστιθεὶς τὰς ἑκάστοτε χρείας μεγίστας· καὶ ὡς ἀληθῶς ψυχρῶν τῶνδε ῥηματίων ὥρας ἐκείνης ἐπαντλῶν ἡμῖν· καὶ ἀκαιρίαν ἐπὶ τῆς νόσου τοσαύτην καταφλυαρῶν ἡμῶν, δολιχεύων καὶ πλεῖστα περιιὼν καὶ καταχειμαζομένος· ἄλλοτ' ἄλλῃ ὡς εἴθιστο γυμνὸς, ἀνείμων· ἀπαθὴς παντάπασι καὶ πάντῃ, τελευτῶν ὅμως ἔκειθ' οὕτως ἐπὶ Θράκης κάμνων· οὐ τοὺς πόδας· ἀλλὰ τὴν κεφαλὴν· καὶ πεπονηκὼς δὴ καὶ φλεγμαίνων· οὐκ ἰγνύος νεῦρα· οὐδὲ ποδῶν ἔσχατα· ἀλλ' ὑπερῴαν αὐτὴν καὶ φάρυγγα. καὶ ὁ μὲν οὕτω κακῶς εἶχε, γέλωτα ὀφλισκάνων· οὐκ

63 ὅμως V^{1} in marg. inferiore **71** ἔτη V: ἔστη SaMa **77** καὶ^{2} V^{2} s.l.
78 ἐμπομπεύων VSa: ἐμπορεύων Ma

77 cf. Plut., Thes. 1, 1 (p. 1, 5)

ἐφ' οἷς ἔπασχε μόνον· ἀλλὰ μάλιστ' ἐφ' οἷς ἔλεγεν. ἀνάγκη δ' ἦν f. 163v ὅμως ἡμῖν | οὕτω μένειν ταύτῃ τῆς ἡμέρας ἐκείνης.

7. Καὶ τοίνυν μείναντες κατὰ χώραν ταύτην τὲ καὶ δευτέραν· ἐπειδὴ ῥᾷον ἄνθρωπος ἔσχε· καὶ ἅμα μεταβέβληθ' ἡμῖν ἡ ὥρα· καὶ πρὸς ἀλέαν ἐνεδίδου· καὶ μὴν ἔτ' ἐπιδιδόναι καταβραχὺ πρὸς τοῦτ' ἐπίδοξος ἦν, εἰς τρίτην ἐκεῖθεν ἄραντες ὡδεύομεν αὖθις πρόσω· πλεῖσθ' ὅσα ἐνῆν περιστείλαντες τὸν κάμνοντ' εὖ μάλα πειθόμενον· καὶ περιδήσαντες καὶ καταπεπιλημένοι τὸ σῶμα· πᾶν ἐκ κορυφῆς αὐτῆς εἰς πόδας, τῇ μὲν, ἐρίοις τὲ καὶ κῳδίοις· τῇ δὲ, τοῖς ἐκ λίνων ὑφάσμασι πάνυ τοι πλείστοις συντιθέντες ὡς εἶχε χρῆσθαι καὶ φέρειν. ἐκεῖθεν δὲ ἵνα μὴ διατρίβω καθ' ἕκαστα τηνάλλως, ἐφ' ἡμερῶν τινων οὐκ οἶδ' ὅσων κατατείναντες, γιγνόμεθα ἐς τὴν μεγίστην τὲ καὶ καλλίστην πόλιν τῶν κατὰ δύσιν βασιλέως, αὐτοῦ Θεσσαλονίκην· ἤδη πρότερον ἀκουσθὲν, τοῖς ταύτην οἰκοῦσι φίλοις οὖσιν ἐκπολλοῦ κατὰ χρείαν ἥντινα δὴ καὶ πρεσβείας πάροδον, ἐπιδημεῖν ἡμᾶς αὐτοῖς, ἐπιδεδημηκότες σφόδρα ποθοῦντες, σφόδρα ποθοῦσιν. ἡμεῖς τὲ γὰρ δὴ ὥσπερ ἐκ ναυαγίων καὶ χειμῶνος καὶ κλύδωνος, ἐν λιμένι τῇ φίλῃ πόλει καὶ τοῖς ἀνδράσι γιγνόμεθα· καὶ πολλὴ παρ' αὐτῶν εἰς ἡμᾶς αἰδὼς ἀπήντα· φιλοφροσύνη τὲ καὶ ξενία οὐ τὸν εἰθισμένον ὡς οἶσθα τοῖς ἀνδράσι τρόπον· ἐπὶ ξένοις ἀνδράσι καὶ τιμὴν ἐκ βασιλέως ἔχουσιν ἐπιδημοῦσι τὲ καὶ παριοῦσιν ὅπῃ δή (ἔστι γὰρ τόδε παρ' αὐτοῖς οἶσθ' ὅτι πλεῖστον, ὅτι δὴ κάλλιστον), ἀλλ' ἔτι καὶ πρὸς, καὶ δι' αὐτὰ μὲν δὴ ταῦθ' ἅπερ δὴ καὶ ἄλλοις εἴρηται, καὶ ἡμῖν αὐτοῖς· τήν τε δηλαδὴ τιμὴν ἀναμετροῦσι τὴν βασίλειον οὐχ ἧττω δοκοῦσαν σφίσιν, ἢ κατὰ τοὺς πολλούς· καὶ ἅμα τοῦ λόγου χάριν· ἣν ἄρα δόξαν περὶ ἡμῶν ἔχουσι πάνυ τοι πλείστην. φιλολογοῦσι γὰρ ὡς οἶσθ' οἱ τῇδε κομιδῇ· καὶ μεμήνασιν ὡς οὐκ οἶδ' εἴ τινες f. 164 σφόδρα, κατὰ τῶν ἐν σοφίᾳ καὶ λόγοις δοκιμα|ζομένων· καὶ ἀριστεύειν δοκούντων. οἷς δὴ καὶ τὰ καθ' ἡμᾶς οὐκ οἶδ' ὅπως ἐντάττοντες, ὅπῃ δὴ σφίσι δοκεῖ, καὶ τὰ μὲν, ἐκ φήμης πρότερον,

7,2 μεταβέβληθ' VSa: μετεβλήθη Ma **8** τοῖς V² e corr. **10** τηνάλλως scripsimus: τηνάλως VSaMa **23** τήν τε V² e corr. | οὐχ ἧττω V²SaMa: οὐχήττω V

7,15 cf. Greg. Naz., Epist. 240, 1 (p. 130)

οὕτως εἰλημμένοι περὶ ἡμῶν καὶ φρονοῦντες εὖ, τὰ δὲ, κἀν τῇ προλαβούσῃ, προβραχέος ἡμῶν ἐς αὐτοὺς ἐπιδημίᾳ τῶν ἡμετέρων πεπειραμένοι, ἤθους τὲ καὶ παιδείας οὐκ οἶδ' ὡντινωνοῦν οὐδ' ὅπως δοξάντων σφίσιν, στέργουσιν ἐκτόπως ἡμᾶς· καὶ κομιδῇ φιλοῦσιν οἶμαι καὶ κυδαίνουσιν. ὄναιντο δὴ τῆς ἐς ἡμᾶς εὐνοίας οἱ ἄνδρες· καὶ σφίσιν ἀγαθὰ παρὰ Θεοῦ γένοιτο πλεῖστα, οὕτω δὴ πάνυ τετιμηκόσι φιλοκάλῳ γνώμῃ, τὸν Ξένιόν τε καὶ Λόγιον.

8. Τὸ δ' οὖν τηνικαῦθ' ὅμως ὡς ἔλεγον, οὕτω δὴ φίλοι παρὰ φίλους ἄνδρες ἐπεδημοῦμεν· πολλῶν ἡμερῶν ἤδη προπεπυσμένους κατὰ φήμην τῆς πρεσβείας, μεγίστης δοκούσης· καὶ οὔσης ἐπιδημεῖν ἡμᾶς· καὶ προσδεχομένους μάλιστα καὶ ἀπηωρημένους ἡμῖν· καὶ σφόδρα θαυμάζοντας, ὅτι δή πως ἐμέλλομεν. ἐποίει γὰρ δή τι καὶ τὸ τῆς πρεσβείας ἡμῖν ἀξιόλογον ὡς εἴρηται δοκοῦν, τὴν παρασκευὴν, πλείω τῆς τιμῆς καὶ τοῦ φίλτρου. φθάνουσι γὰρ ἤδη μεμαθηκότες ἡ πόλις, ἐπιδημεῖν τὸν δεῖνα, πρέσβυν ἐκ βασιλέως, ἐς τὸν Τριβαλλῶν ἄρχοντα· φίλον ἄνδρα περὶ μεγίστων· εἰς εἰρήνης τὲ δόγματα καὶ κῦρος, μετὰ πλείστην ὅσην τὴν μάχην καὶ χρόνιον· καὶ περὶ τοῦ κήδους αὐτῷ περανοῦνθ' ὅρκους τὲ καὶ συνθήματα· κήδους, οὐχ οὗ πρότερον συνετίθετ' ἐπὶ τῇ βασιλέως ἀδελφῇ· ἀλλ' ἐπ' αὐτῇ δὴ τῇ φίλῃ βασιλείῳ θυγατρὶ παρθένῳ νύμφῃ, μεταθέσθαι καὶ προσαρμόσαι, τὰς συμβάσεις τὲ καὶ τὰ δόγματα· καὶ γενέσθαι τὸ συνάλλαγμ' εἰς υἱοποιίαν ταύτην, οἰκειότερόν τε καὶ ποθεινότερον. ταῦτ' ἀκουόμενα πρὶν ἢ ἐπιδημεῖν ἡμᾶς, μέγιστα δὴ δοκοῦντα καὶ ἀξιόχρεω πρέσβεως, ἐπιδεδημηκόσιν ὡς ἐφάμην, προσετίθει τῇ παρὰ τῶν ἀνδρῶν ἡμῖν τιμῇ | καὶ τῷ φίλτρῳ. καὶ τὰ μὲν τῆς πόλεως οὕτω. f. 164v

9. Ἐπεί δ' αὐτίκα δῆτ' ἐνταῦθα καὶ τῷ μεγίστῳ τῶν κατὰ δύσιν στρατευμάτων τὲ καὶ πόλεων καὶ χωρῶν ἐνετύχομεν ἡγεμόνι καὶ στρατηγῷ, ὁ μὲν, δὴ, πρώτως ἐξαπορεῖ τε καὶ πυνθάνεται, ὅ,τι δήποτε πρότερον συχνῶν ἡμερῶν ἠγγελμένον ἤδη πρέσβεις ἐπιδημεῖν ἡμᾶς, οὐκ αὐτῷ δὴ μόνῳ ἀλλὰ καὶ πρὸς ὃν ἐστελλόμεθα Τριβαλλῶν δεσπότην· διά τινος τῶν αὐτοῦ προελθόν-

35 γένοιτο V: γένοιντο SaMa **8,8** πρέσβυν corr. SaMa: πρέσβιν V **17** πρέσβεως scripsimus: πρέσβεος VSaMa (fort. servandum) **9,6–7** προσελθόντος V a. corr.

τος ἡμῶν (οἶσθα δή, καὶ προσετίθει τοὔνομα), οὕτω δὴ μάλισθ’ ὑπερήμεροι τῆς προθεσμίας καὶ ὀψιαίτερον ἢ προσδοκήσιμ’ ἦν, ἀφικνούμεθα. τέως γε μὴν ἔφασκεν, ὡς δὴ πράγματα αὐτῷ παρασχοίμεθα, ὅθ’ οὕτως ἐμέλλομεν πλεῖστα· αὐτῷ τὲ πρὸς αὐτὸν, πλεῖστα λογιζομένῳ, καὶ τῷ Τριβαλλάρχῃ μάλισθ’ ὁσημέραι, σχεδὸν περὶ τούτου πυνθανομένῳ· καὶ λόγους πραττομένῳ τῆς ἡμετέρας μελλήσεως· ἀνάγκην ἔχοντι μεγίστην· τοτὲ μὲν χειμῶνας· τοτέ δ’ ἄλλοτ’ ἄλλας ὡς ἐνεχώρει καὶ οἷον τ’ ἦν ἀφορμὰς, τῆς ἡμετέρας ὑπερημερίας καὶ βραδυτῆτος ἀποδιδόναι. ἐγώ δ’ ὅπως νῦν ἀνὴρ ἔχει μάλιστ’ ἐκεῖνος, εἰς τοὖργον, μαθεῖν ἠβουλόμην· καὶ ὡς ἄρα δὴ προσίεται, οὓς αὐτὸς πέμπει λόγους. «εὖ μὲν» καὶ αὐτὸς ἐκεῖνος ἔφασκε, «μέχρι καὶ τήμερον· πολλοί δ’ εἰσὶ περὶ αὐτὸν ἄνθρωποι φαῦλοι· καὶ δύσνοι τῷ καλῷ καὶ τοῖς πράγμασιν· οἱ μὲν, τῶν ἐγχωρίων αὐτῶν βάρβαροι· καὶ σκαιοὶ καὶ ὀλιγογνώμονες· εἰσί δ’ οἳ καὶ βδελυροί τε καὶ κακοήθεις καὶ κακογνώμονες· ταῖς μάχαις εἰθισμένοι χαίρειν· ταύρων ἠδ’ αἰγῶν ἁρπακτῆρες· οὐχ εἰς προὖπτον· οὐδ’ ἐπίδημοί τινες οὐδ’ ἐπίδηλοι· ἀλλ’ ἐν τοῖς ὅροις τὲ καὶ ἐν ὄρεσι ἐπ’ ἐρημίας· ἀνδρῶν τε ὁδιτῶν καὶ βοσκημάτων, ἐλλοχηταί τε καὶ λωποδύται, καὶ ἀνδραποδισταί· κατηλογηκότες τῆς φύσεως καὶ δόγματος ἀληθείας· καὶ δίκης ἁπάσης ἧς νομίζεται. καὶ οἱ μὲν ὡς εἴρηται τῶν ἐγχωρίων οὕτω (καὶ τί ἄν τις
f. 165 πλείω λέγων διατρίβοι;), οἱ δὲ καὶ μάλισθ’ οὗτοι | τῶν πέρυσιν οὔπω καὶ πρότερον ἀποστάντων τοῦ βασιλέως (οἶσθ’ οἵτινες), καὶ προσθεμένων κακῶν κακῶς ἐπὶ τῆς μάχης αὐτῷ· κατὰ χώρων βασιλείων· ἔκθεσμοί τινες καὶ δυσσεβεῖς· καὶ χαιρέκακοι· καὶ τῶν καλῶν ἀεὶ βάσκανοι καὶ πολέμιοι (καὶ τί γὰρ ἄλλ’ ἢ θάνατον τἀγαθὸν ἔχοντες· καὶ τοὐναντίον εὐζωίαν;), καχύποπτοι νῦν σφόδρα καὶ δεδιότες περὶ σφίσιν αὐτοῖς· ἐπὶ ταῖς γινομέναις καταλλαγαῖς· καὶ τῷ γνησίῳ τῷδε κήδει· οὐ πόρρω τοῦ δικαίου μὴ δ’ ἀσυνέτως παντάπασι τόνδε δεδιότες τὸν φόβον. οἳ δὴ καθεκάστην ἐπιτίθενταί οἱ, μετὰ τῆς ὑπερημερίας καὶ παρολκῆς

8 προσδοκήσιμ’ V: προσδοκήσιμον SaMa **10** τὲ V^2 s.l. | αὐτὸν V: αὑτὸν SaMa **16** an ἀνὴρ? **23** οὐχ V: οὐδ’ SaMa **24** καὶ ἐν ὄρεσι V^2 e corr. | τε² V^1 in ras. **32** ἄλλ’ V: ἀλλ’ SaMa **33** ἀγαθὸν SaMa **34** γινομέναις V: γιγνομέναις SaMa **36** μὴδ’ V^2: μὴ V

9,22 Hom., Il. 1, 41; 24, 262 **25** Demosth., Philipp. 1, 47 **25–26** cf. supra, Or. 7, 22, 20–22

τῶν χρόνων· καὶ πάντα δεινὰ κατατεινόμενοι, καταναιδεύονται καὶ φασὶν ἐκτραγῳδοῦντες, οὐδὲν ἄλλ' ἢ λόγους μόνους τὰ παρ' ἡμῶν φάσκοντες· καὶ πλέον οὐδὲν· ἀπάτην τέ τιν' ἑκάστοτε καὶ εἰρωνείαν καὶ ὑπέρθεσιν, διαπαντὸς ἐκλύουσαν τοὺς χρόνους, προφάσεσί τισι καὶ γοητείαις· καὶ τοῦθ' ὥσπερ ἄλλοτε πολλάκις καὶ ἐπὶ πλείστων, καὶ νῦν εἶναι τὸν εἰωθότα τρόπον, οὐδὲν μέντοι προύργου· οὐδ' ἀλλοῖον ἢ κρεῖττον ἢ ἄλλοτέ ποτε πρότερον. καὶ τοιαῦτα δὴ καταφλυαροῦντες ἀείποτε καὶ καταψευδόμενοι, πάνυ τοι σὺν σπουδῇ καὶ κακοηθείᾳ· πάντα φαῦλα· καὶ οὐδὲν ὑγιὲς, τελευτῶντες ἀνίστασθαι χρῆναι φασὶν ἤδη λοιπὸν· καὶ μὴ προσέχειν οὕτω πάνυ τοι πόρρω· μὴ δὲ πείθεσθαι, κακὰ νοοῦσιν αὐτῷ καὶ βουλομένοις ἀεὶ Ῥωμαίοις· καὶ οὐδὲ νῦν πάντως οὐδ' ὁτιοῦν χρηστὸν· ἀλλά τι καὶ πλέον τοῦ προχείρου μαθεῖν, ἐνεδρεύουσιν· ἔργου τὲ καὶ μάχης ἀμέλει συνήθους ἅπτεσθαι· πρὶν ἢ αὐτὸς ἐμπεσεῖν ὁτῳοῦν ἀδοκήτῳ.

10. Καὶ οἱ μὲν, τοιαῦτα, ὃ δ' ὡς εἴρηται, μέχρι δὴ καὶ νῦν ἀντέχει καὶ ἀποτρέπεται· τὰ μὲν καὶ ἱλαρῶς καὶ μετρίως· τὰ δὲ, καὶ ἰταμώτερον εὖ μάλα πεποιθὼς, ἐντολαῖς ταῖς ἐκ βασιλέως· καὶ πίστει· καὶ τῇ περὶ τὸ θεῖον εὐσεβείᾳ καὶ ἀληθείᾳ· ὅρκοις τὲ ἀτρέπτοις ἐγνωσμένοις ὑπὸ πάντων πραγμάτων· ἐλπίδα μάλιστ' ἔχων ἐπὶ τῷ κήδει· καὶ πόθον οἷον ἄτρεπτον· καὶ φάσκων εἰς τέλος οὐκ ὀλι|γωρήσειν· μέχρις ἄν τις ἐλπὶς καὶ βραχεῖα πρόσεστιν εἰς f. 165v
τοὖργον· οὐδ' ἀφέξεσθαι μὴ τῶν ἐλαχίστων αὐτῶν λογισμῶν· μὴ τῆς ἐσχάτης προσδοκίας, οὐδ' ἂν, εἴ τι γένοιτο· ἵνα δὴ μή τιν' ἀφορμὴν ἀπολίποιθ' ὕστερον, ἔπειθ' ἑαυτῷ καὶ βασκανίαν καὶ ἀκαιρίαν, ἥντιναοῦν καὶ ὀλιγοφροσύνην ἐπιμέμφεσθαι· προσανασοβῆσαι καὶ ἀπολέσαι τὴν σπουδὴν καὶ τῆς μεγίστης δι' ἑαυτὸν ἀτευκτῆσαι καὶ ποθεινοτάτης καὶ τοῖς σφετέροις αὐτοῦ προγόνοις εὐκταιοτάτης κηδεύσεως. καὶ ὁ μὲν, οὕτως ἀντέχει δὴ πάνυ τοι· καὶ ἀντισχήσειν φησὶν· ἴσως δ' οὐκ ἀντισχήσει μέχρι παντὸς ἀμέλει· οὐδ' ἑαυτοῦ παντάπασιν ἔσται καὶ περιέσται τῶν περὶ

39 ἄλλ' V: ἀλλ' SaMa **41** ἐκλύουσαν V: ἐκλύουσι SaMa **45** καταψευδόμενοι V[2]SaMa: ψευδόμενοι V **47** χρῆναι V[2] s.l., om. SaMa **10,9** δὴ V[1] s.l. **10** ἀπολίποιθ' V: ἀπολίποι θ' SaMa

10,1–19 cf. infra, 32, 1–5

αὐτὸν ὡς εἴρηται φαύλων καὶ ἐπιβούλων ἀνδρῶν· ἀλλ’ ἴσως ἔστιν οὗ, καὶ ἴσως ὁτουοῦν τῶν φίλων καὶ εὐνοϊκῶν τἀνδρὶ μάλιστα δοκούντων, ἡττήσεται· καὶ τὴν γνώμην περιαιρήσεται. ἀγαθὴ δὲ παραίφασις ἀνδρὸς ἀγαθοῦ· φαύλη δὲ φαύλου φησὶν ἡ ποίησις. τίς δ’ οἶδ’ εἰ κέν τοι σὺν δαίμονι, θυμὸν ὀρίνῃ παρειπὼν καὶ τοῦτο φησί. πολλὴ δ’ ἡ παρὰ τοῦ μισανθρώπου καὶ πολεμίου διαπαντὸς Σατὰν, ἄγρυπνος κατὰ καλοῦ παντὸς ἐπήρειά τε καὶ δύσνοια. καὶ τοίνυν ἰέναι δεῖ· καὶ ὡς ἔνι τάχιστα δεῖ· καὶ μὴ μέλλειν ἔτι πλεῖν ἢ τοσοῦτο μόνον, ὅσον ἐνσκευάσασθαι πάντα ὧν ἐς τὴν ἀποδημίαν ταύτην, ἐπὶ ξένης καὶ ἀήθους δεῖ. δεῖ δὲ πλείστων ὧν τε ἐδεστέον μάλιστα ὧν τε ποτέον· ὧν εἰθισμένον καὶ μάλ’ ἐνταῦθα, οὐ ῥᾴδιον ἐκεῖσε εὐπορεῖν οὐκ ἐχούσης τῆς χώρας· καὶ δεῖ τοίνυν ἐνσκευάζεσθαι πάνθ’ ὡς οἷόν τε καὶ παρασκευάζεσθαι τάχιστα ἐξιέναι· καὶ μὴν ἐν τοσούτῳ δὴ καὶ ταύτην ἐλπίδ’ ἔχειν, ἀφίξεσθαι τίν’ ἐκεῖθεν ἄγγελον περὶ τῶν ὅλων ὡς ἄρ’ ἔχει νῦν ἐκεῖ πραγμάτων· κατεροῦντα τε καὶ μηνύσοντα.» χθὲς γὰρ ἤδη καὶ πρὸ τρίτης ἡμῶν μελλόντων, εὐλαβούμενον αὐτὸν ἐπὶ τούτοις ἐκπέμψαί τινα, τῶν ὑπ’ αὐτὸν ἐκεῖσε τῷ Τριβαλλάρχῃ· τὸν εἰωθότα τρόπον
f. 166 προσεροῦντα τὲ καὶ ἅμα, περὶ τῶν ὅλων ὡς ἀγαθῶν ἐσομένων·| αὐτίκα δὴ μάλα καί οἱ κατ’ ἐλπίδας, ἐγγυησόμενον· ἡμῶν τε πέρι ὡς ἄρ’ ὅσον, οὔπω περὶ πάντων ἔχοντες ἐρεῖν τε καὶ καταπράξασθαι, πρὸς βασιλέως ἀφικνούμεθα· τοῦτό τε πρόφασιν εἰς προῦπτον· καὶ καταμαθεῖν τε ἅμα· καὶ κατασκέψασθαι ὅπως ἄρα νῦν ἔχει τἀκεῖ· ὡς ἀπαγγέλλειν ἔχειν ἀσφαλῶς ἐπανήκοντα· προσδέχεσθαι δὲ ἤδη λοιπὸν ἐπανήκειν αὐτὸν· καὶ τὸν ἀριθμὸν τοῦτο διδόναι τοῦ καιροῦ· πάντως δὲ ἐπανελθόντος τοῦ ἀνδρὸς, γνῶναι τὲ ἐξεῖναι πάνθ’ ὧν ἐκεῖθεν δεῖ, καὶ ἀσφαλῶς εὖ εἰδότ’ ἐξιέναι.

11. Ἐδόκει δὴ ταῦτ’ εἰκότ’ εἶναι· καὶ λέγων ἀνὴρ εὖ λέγειν· κἄγωγε ἐπειθόμην εὖ μάλα. καὶ τοίνυν εἰς τρίτην ἡμέραν ἐκεῖθεν

17 ante ἐπιβούλων ras. duarum litterarum in V | ἔστιν οὗ V: ἔστι νοῦς SaMa **21** κέν τοι V: μέντοι SaMa **36** ἐλπίδας V: ἐλπίδα SaMa **40** ἐπανήκοντα V: ἐπανήκοντας SaMa **43** ὧν V: ὡς SaMa | εἰδότ’ V: εἰδότες SaMa **11,1** δὴ V: δὲ SaMa

20–21 Hom., Il. 11, 792–793

τῇ πόλει μείνας, καὶ τῶν αὐτῶν γε δὴ πέρι διόλου ξυνὼν ἐκείνῳ καὶ κοινούμενος· ὡς ἔδει γε καὶ ἦσαν ἐντολαὶ βασιλέως, καλλίστῳ τὲ ὄντι, καὶ μεγίστῳ τῶν βασιλέως· καὶ τῶν ἠξιῶσθαι μάλιστα δοκούντων πρώτως, κοινωνεῖν βασιλείοις βουλαῖς καὶ σκέψεσι· καὶ λέγειν ἔχειν εὖ προσιεμένου τοῦ δεσπότου· καὶ ἅμα οἰκείῳ σφόδρ' ἐμοί· καὶ τῶν ἔγγιστ' ἐκ συζύγου, κατὰ γένος ἐπιτηδείων (οἶσθα), ἐπειδὴ καὶ πάντα δι' αὐτοῦ, ὧν ἔδει μοι πάμπλεω πρὸς τὴν ἔξοδον ἐνεσκεύαστο, ἐν νῷ γε ἤδη εἶχον αὐτίκα ἐξιέναι· καὶ ἤδη γε ἐξῄειν. ἐν τῷδε μὴν ξυμβαίνει τι τοῦτο. ἀνὴρ γὰρ ἐκεῖνος ὃς πρότερον ὡς ὁ λόγος ἐκεῖ δηλοῖ παρ' αὐτοῦ πέμπεται, οὐ μόνος αὐτὸς ἐκεῖθεν ἡμῖν ἐπάνεισιν· ἀλλὰ καὶ σὺν αὐτῷ Τριβαλλὸς εἰς βασιλέα πρεσβεύων παρὰ τοῦ δεσπότου, φθάνει γε ἡμᾶς ἔτ' ἐν τῇ πόλει (Δεσισθλάβος ἀνὴρ ὄνομα), ὃς δὴ πρῶτος ἐμοῦ γ' ἐξελθόντος ἐκ βασιλέως, αὐτόθι γίνεται· καὶ μέμνησαι πάντως. γίνεται δή τι τοῦθ' ἡμῖν λοιπὸν, ἅμα μὲν ἕρμαιον πυθέσθαι τὲ καὶ μαθεῖν, ἅττ' ἐκεῖθεν ἅπαντ' ἠβουλόμεθα· ἅμα δ' ἀναγκαῖον καὶ τοῦτ' ἀναμαθεῖν τἀνδρὸς, ὅτου δή ποτε χάριν ἡ πρεσβεία αὐτῷ εἰς βασιλέα· καὶ ἥντινα χρείαν· μή που τι καινότερον, ἄλλ' εἴη· παρ' ἃ κεκίνητο ᾔδειμέν τε | αὐτοὶ καὶ πράττειν εἴχομεν ἐπὶ τοῖς συνθή- f. 166v μασι· καὶ δεήσῃ πάλιν ἡμᾶς ἐκεῖ πράγματ' ἔχειν αὐτοῦ πέρι ὁτουδηποτοῦν. βασιλεῖ γὰρ εἶναι δὴ τοῦτο μάλιστα δεδογμένον· καὶ πρὸς βουλῆς, μηδὲν ἔτι πρᾶγμ' ὁτιοῦν εἶναι· μὴ δ' ἑτεράττα δὴ κεκινῆσθαι λοιπὸν εἰς αὐτὸν συνθήματα· καὶ πρεσβεύματα· ἀλλ' εἰς ἡμᾶς ἐγκεκλεῖσθαι, πάντα καὶ πεπεράνθαι συνθέσθαι περὶ πάντων καὶ σφραγίσασθαι· καὶ τερματῶσαι πρὸς βασιλέως ἐντολὰς ἔχοντας· ὅποι δή ποτέ οἱ ἔδοξεν εὖ εἶναι· καὶ οὐδὲν ὅ,τι οὐ τῶν ἀναγκαίων εἰρῆσθαι, καὶ ἤδη κεκινημένων δογμάτων εἰς τοὖργον παρείατ' ἄρρητον· οὐδ' ὥστε μήπως ἔχειν ἡμᾶς συνθέσθαι τὸ, βασιλεῖ δοκοῦν βέλτιον· περαιτέρω δὲ τῶν ἐγνωσμένων καὶ ὄντων ἀναγκαίων, μηδὲν πραγματεύεσθαι χώραν εἶναι τουλοιποῦ· μὴ δ' ἀνοίγνυσθαι θύραν ἔτι πλείω· τὸ δέ γε εἶναι λοιπὸν μεθ' ἡμᾶς πλέον, αὐτὸν ἀπαντᾶν βασιλέα καὶ γένος ὅσον οὐ νῦν τάχιστα, ἐς τὰ κατὰ δύσιν αὐτοῦ τῇ φίλῃ παρθένῳ θυγατρὶ,

3 πέρι VSa: περὶ Ma **8** συζύγου V[2] in ras. **11** ἐκεῖνος V[2]: κεῖνος V (obl. rubr.) **15** πρῶτος V[1]SaMa: πρώτως V **16** γίνεται V: γίγνεται SaMa **20** ἀλλ' Ma **22** δεήσῃ V[2] e corr **23** δεδογμένον V: δεδογμένου SaMa **30** παρείατ' V: παρεία τ' SaMa **33** εἶναι λοιπὸν V[1] in ras. **34** γένος ὅσον V[1]SaMa: γένος V

συνεκτελέσαι δι’ αὐτοῦ τὰ γαμήλια. καὶ ἡμεῖς εἴχομεν πρὸς τοῖς ἄλλοις καὶ τοῦτ’ ἀγγέλλειν ἀμέλει, ὡς τάχιστα μεθ’ ἡμᾶς αὐτὸς ἔξεισι· μηδενὸς ὁτουοῦν λελειμμένου κατὰ ζήτησιν ἀμφιβόλου, τῶν εἰς τοὖργον συνθημάτων.

12. Ταῦτ’ ἄρα καὶ ἀναγκαῖον ἦν ὡς ἐφάμην, πυνθάνεσθαι τοῦ Τριβαλλοῦ περὶ τῆς πρεσβείας· καὶ πυνθανόμεθα καὶ μανθάνομεν ὅ,τι ποτ’ ἦν, εὖ μάλα. καὶ ἦν οὐδὲν πλέον· οὐδ’ ὡς ἄρα δέος ἦν ἡμῖν, οὐδὲν ὁτιοῦν· ἀλλ’ ἢ περὶ ὧν ἡμεῖς, λέγειν καὶ πράττειν εἴχομεν· καὶ μάλιστ’ ἀσπάσασθαι πρὸς τοῦ δεσπότου τὸν εἰωθότα βασιλέα τρόπον ὡς ἤδη πατέρα τὲ καὶ δεσπότην· καὶ πυθέσθαι λοιπὸν ὅπῄ ποτ’ ἄρ’ ἐς τὰ κατὰ δύσιν αὐτοῦ μέρη, τῆς χώρας ἀφίξεται· καὶ εἰ πρὶν ἢ φθάσαι, καταλαβούσας τὰς δι’ ἔτους ἀναγκαίας νηστίμους τῶν ἡμερῶν. ταῦτά τε δὴ καὶ ἔτι προσμανθάνομεν τἀνθρώπου ὧν ἡμῖν ἐκεῖσ’ ἀποδημοῦσιν ὡς εἴρηται λοιπὸν
f. 167 ἔδει πάντων· | ὡς ἄρ’ ἐξῆν καὶ ἠβουλόμεθα. μανθάνομέν τε δὴ καὶ τόδ’ οἶμαι κάλλιστον ἡμῖν· εὐχῆς ἔργον ξυγκύρημα· ὡς ἄρ’ ὁ δεσπότης αὐτῷ, τῶν μέσων τῆς χώρας ἀνίσταται· ἐφ’ ὧν ἄρα καὶ διατρίβων ἦν· χρόνος, οὐ βραχὺς ἐξ οὗ· καὶ πρὸς αὐτὰ δὴ γίγνεται τὰ καθ’ ἡμᾶς, ἔσχατ’ αὐτοῦ περὶ τοὺς ὅρους μάλιστα· μενεῖ τε χρόνον ὅντινα δή· ἐκεῖ τε λοιπὸν αὐτῷ καὶ ξυνεσόμεθα· καὶ ξυμπερανοῦμεν τὰ τῆς πρεσβείας. καὶ ἦν ἡμῖν τοῦθ’ ἥδιστον ἀκούειν· τάχιστα καταπαῦσαι τῆς ἐπὶ τοσούτου τοῦ χειμῶνος ὁδοῦ, καὶ ταλαιπωρίας, εἰς ῥᾳστώνην πάνυ τοι πλείστην· αὐτοῖς τε καὶ ὑποζυγίοις πάνυ πεπονηκόσιν.

13. Οὕτω δὴ λοιπὸν ἀγαθῇ τύχῃ περὶ πάντων μεμαθηκότες· ἡδέως ἐξῄμεν. χειμὼν δ’ ἦν ὅμως αὖθις· καὶ μάλισθ’ ὅσῳ δὴ καὶ προῄμεν· καὶ πλεῖστ’ ἐπονοῦμεν· φέρειν δ’ ἦν ἀνάγκη· καὶ φέροντες ᾔειμεν. ἐφ’ ἡμερῶν δ’ οὐκ οἶδ’ ὅσων, φθάνομεν ἐξηνυκότες εἰς ἄστυ δή τοι τῶν ἐν αὐτοῖς ἐσχάτοις καὶ ὅροις βασιλέως. ἐνταῦθα δὴ τῶν ἐγχωρίων· ἀκριβέστερον ἐκμανθάνομεν· ὡς ὁ Τριβαλλῶν αὐτὸς ῥήξ, ἐγγὺς ὅτι μάλιστ’ ἦν· χθὲς ἤδη καὶ πρὸ τρίτης ἐπιδεδημηκὼς ἐνί τινι τῶν κατὰ τοὺς ὅρους ἐγγειτόνων πολιχνίων ἐσχάτῳ καθ’ ἡμᾶς ἔγγιστα. καὶ ὁ συνοδεύων ἐκ Βυζαντίου

12,12 ξυγκύρημα VSa: ξυνκύρημα Ma **13,2** ὅμως om. Ma **4** οὐκ V[2]SaMa: ὐκ V (obl. rubr.) **9** ἐσχάτων V a. corr.

Τριβαλλὸς ἐκεῖνος, αὐτίχ᾽ ἡμῖν κοινοῦται τὲ καὶ ἐξαιτεῖται πρῶτος αὐτὸς ἀμέλει κατ᾽ ὄρθρον, νυκτός γε μὴν ἔτι, φθῆναι τε ἀναστὰς καὶ σπουδῇ πάσῃ χρησάμενος, ἐς αὐτὸν γενέσθαι· τἆλλα τε ὡς εἰκὸς καὶ περὶ ἡμῶν ὡς ἤδη γε πάρεσμεν ἀγγελεῖν τε καὶ κατερεῖν, ἵν᾽ ὧν ἂν, δέῃ· παραχρῆμ᾽ ἐπιδημοῦσιν, ἅπαντ᾽ εὖ προενσκευάσοιτο· καὶ ἱκανῶς σχοίη ὡς ἄρα εἰκὸς εἶναι· πρὸς ὅρους καὶ χώρας ἔσχατα· ἐπ᾽ ἄστεος ὀλίγου, δεσπότου καταλύοντος· ἐδόκει τὲ λέγειν εἰκότα, καὶ συντιθέμεθα. καὶ αὐτὸς τὲ λοιπὸν ταχὺς εἰς ὄρθρους ἀναστὰς, σπουδῇ δρόμον ἀνύτει τῷ δεσπότῃ πρότερος ἀπαντᾶν· καὶ ἡμεῖς βραδύνομεν ἐπὶ χώρας ἐκεῖσε· καὶ βραδύνομέν γε πλεῖν ἢ ἔδει τῶν ἐγχωρίων ἠπατημένοι, | ὡς πάνυ f. 167v
τοι τοὐν μέσῳ· καὶ ὅσον τῆς ἡμέρας ἐκείνης δέον βαδίζειν, ὀλίγον ὂν, καὶ μὴ χρῆναι μάλ᾽ ἐπείγεσθαι. ταῦτ᾽ ἄρα καὶ λανθάνομεν τό γε δὴ προπεπυσμένοι· καὶ πεπεισμένοι καὶ κατημεληκότες ὡς οὐκ ἔδει, ἐπειδὴ καὶ ἡπτόμεθα τῆς ὁδοῦ καὶ προῄειμεν, ἀποβουκοληθέντες τἀληθοῦς καὶ ἡμῖν πρὸς λόγον· καὶ τῆς ὥρας ὀψὲ τρέχοντες ὅσα γε εἰκὸς πρέσβεσιν, οὕτω βάδην τὲ καὶ μετὰ ῥᾳστώνης ἁπάσης ἐν σκευαγωγοῖς καὶ πλείοσιν ὑποζυγίοις· ἀλλ᾽ οὐ ταχεῖς ἄρ᾽ ὡς οἷόν τε· καὶ τὸν εἰωθότα μόνιππον λεγόμενον τρόπον βαδίζοντες. καὶ τοίνυν νυκτὸς εἰς μίαν τὲ καὶ δευτέραν· οἶμαι ἐπισχούσης ὥραν ἤδη, ἡμεῖς ἔτ᾽ οὔπω γιγνόμεθα ἐς τὸ ἄστυ· ἀλλὰ λειπόμεθ᾽ οὐκ ἐπ᾽ ὀλίγον ἐς πεδίον μέσον· καὶ ἦν ἔπειτ᾽ οἶμαι, ἄπορον ὅ,τι ποτ᾽ ἂν, χρησαίμεθα. οὔτε γὰρ μένειν ἐκείνῃ καὶ ὀπῃοῦν ξένους ὄντας ἔδει, καὶ νυκτὸς ἐπισχούσης ἤδη, καὶ τό γ᾽ ἐπιδημεῖν, εἰς μέσην αὖθις νύκτα πρέσβεις ἄνδρας, ἔνθα καταπαύειν ἔδει ὥσπερ δή τινας ἀνδραποδιστάς τε· καὶ τυμβωρύχους ἐξ ἀφανοῦς καὶ λανθάνοντας ἐπιτιθεμένους, οὐκ εὔσχημον ἐδόκει.

14. Ἐδόκει δ᾽ οὖν ὅμως τόδε βέλτιον, καὶ κατατείναντες ὡς οἷόν τ᾽ ἦν ἐπειδὴ ἔγγιστα γιγνόμεθα, στέλλω τῶν ἑπομένων ἕνα τὲ καὶ δεύτερον ξυνιέντας τῆς ἐγχωρίου γλώττης κατὰ πύστιν

13 ἡμῶν VSa: ἡμῖν Ma **15** προενσκευάσοιτο V: παρασκευάσαιτο SaMa **18** ὄρθρους V: ὄρθρον Sa, ὄρθρου Ma | ἀνύττει V a. corr. **19** χώρας V: χώραν SaMa **25** ἡμῖν V: ἡμῶν SaMa **33** ὀπῃοῦν V: ὁποιοῦν SaMa **36** λανθάνοντας V: λανθάνοντος SaMa

13,28 cf. Eust. Thess., Comm. ad Hom. Od. (I, p. 222, 9)

ἀναζητοῦντας, ἐς τοῦ ἀστυνόμου δὴ καὶ τοῦ τῆς χώρας ἡγεμόνος, ἐκείνης γενομένους, ἀγγέλλειν περὶ ἡμῶν, ὅτι πάρεσμεν· καὶ μανθάνειν ὅ,τι δεῖ ποτε ποιεῖν· καὶ οἷ δὴ καταλύειν ἡμᾶς χρή. γίγνεται τοῦτο· καὶ μόλις μὲν (ἦν γὰρ τὸ ἄστυ κεκλεισμένον· ἐξ ἑσπέρας, ἔτι ὡς ἄρ' εἰκὸς ἦν), ἐντυγχάνουσι δ' οὖν ὅμως οἱ πεμφθέντες ἐκείνῳ· καὶ ὃς αὐτίκα μηδὲν μελλήσας ἀστυνόμος ἐκεῖνος, εἰς ἡμᾶς ἔξεισιν· ἀσπάζεταί τε τὰ εἰκότα· καὶ παραπέμπει καταλύσοντας οἷ πρότερον παρεσκεύαστο. ἅμα δὴ καθ' ὁδὸν ἰοῦσι πλεῖστα καταιδούμενός τε καὶ καταδυσωπῶν, παραιτεῖται δι'
f. 168 αὐτὴν ἄρα τὴν βραδυτῆτα, μὴ προσαπαντῆσαι | τὴν εἰωθυῖαν καὶ δικαίαν· ἡμῖν, πρέσβεσιν οὕτως ἐκ βασιλέως τιμὴν ἐκ τοῦ δεσπότου καὶ πομπήν· πρὸ τῆς καταλύσεως ἔτι δὴ πόρρω, τῆς ὁδοῦ· καὶ ἠξίου, μὴ δυσχεραίνειν. συγγινώσκειν γὰρ τῷ ξυμβάντι χρῆναι. αὐτῷ γὰρ δὴ τῷ δεσπότῃ· καὶ μεμεληκέναι περὶ τούτου μάλιστ' ἔφασκε· καὶ πλείστους ὅσους τῶν περὶ αὐτὸν ἡμέρας ἔτι, πάνυ τοι πρὸ τοῦ ἄστεος, τιμὴν ἡμετέραν στεῖλαι· ἀσπασμόν τε φίλον καὶ δεξιὰν ἐκ μακροῦ· οὓς δὴ καὶ μείναντας, ἐπιπλεῖστον καὶ βραδύναντας εἰς ἑσπέραν, ἐπειδὴ μήπως ἑωρώμεθα ἐπιδημοῦντες, ἀπειπόντας, τουλοιποῦ μηκέτ' ἀφίξεσθαι ἡμᾶς, ἐπανελθεῖν.

15. Ταῦτ' εἰπὼν καὶ καταδυσωπήσας χρηστὸς ἄνθρωπος, ἄπεισιν οἴκαδε. βραχεῖα δ' ἑξῆς ὥρα· καὶ ἥκει παρ' ἡμῖν ὑπ' αὐτοῦ πάντ' ἄφθονα, τροφῆς μετασχεῖν· καὶ ἅττα μὴ ἐκ προχείρου πορίσασθαι· οἷα δ' ἐκ βουλῆς προτέρας· καὶ ἐκ κυνηγεσίων, ἅττα ὡς ἔοικε προεσκευασμένα τρυφᾶν· καὶ ἵπποις εἴπεθ' ἱκανὴ βόσκησις· καὶ πάντ' εὖ καὶ μήνυσις ἐπὶ τούτοις· ἀστεία μέν· ἴσως δὲ καὶ ἀληθής· ἡμῖν δ' οὐ τοιαύτη μέν· ἀστεία δ' ἐδόκει, ὡς ταῦτα δῆτ' ὄντα τοῦ φίλου τὲ καὶ ἀστυνόμου οἴκοθεν, ὡς ἄρ' ἔτυχεν. ὀψὲ γὰρ δὴ τῆς νυκτὸς εἶναι, καὶ μὴ θεμιτὸν μὴ δ' οἷόν τ' εἶναι τῷ δεσπότῃ, περὶ ἡμῶν ἀγγέλλειν ἀφικομένων· καὶ τοίνυν ἣν μήθ' ἱκανῶς μήτ' ἀξίως ἔχῃ, ξυγγινώσκειν χρῆναι. καὶ ἡμεῖς ἀπείχομέν τε χάριν ὡς εἰκός, καὶ ὡς ἔδοξεν ἐχρώμεθα τῆς νυκτὸς ἐκείνης.

14,8 ἦν om. Ma **12** καταιδούμενός τε V¹SaMa: κατιδούμεν V **13** προσαπαντῆσαι VMa: προσαντῆται Sa **17** μεμεληκέναι V¹ partim in ras. **15,1** καὶ V²SaMa: αὶ V (obl. rubr.) **4** ἅττα Sa: ἄττα VMa **5** ἔοικε προεσκευασμένα VSa: ἔκοικε παρεσκευασμένα Ma **6** καὶ³ om. Ma **11** ἔχῃ V¹Ma: ἔχει VSa

ἅμα δ' ἔω προσκαλούμεθά τε καὶ ἀπαντῶμεν ἐς τοῦ ἄρχοντος. οὐκ ὀλίγη τὲ δὴ γεννικὴ νεότης· ἐκεῖθεν πανηγυρικώτερον ἐσκευασμένοι προῆγον· τιμὴν ᾗ δὴ νομίζεται, τά γε τοιαῦθ' ἡμῖν φέροντες· καὶ ἦν ἡ πᾶσα πομπή τε καὶ πρόοδος, πάντ' ἀστεία· καὶ καθάπαξ αἰδοῦς τε καὶ κόσμου πλέως· εὖ μάλ' ἐμφαίνουσα καὶ δεικνῦσα τοῖς κατὰ χώραν, πρὸς εὐγενῆ τε πρεσβείαν· καὶ μεγίστου δεσπότου· καὶ περὶ μεγίστων, ἀήθης ἢ κατ' ἄλλας πρότερον αὐτὴ παραβαλλομένη. καὶ αὐτὸς δὲ μάλισθ' ὁ ῥήξ, σφόδρ' ἐνεκε|κόσμητο· f. 168v καὶ περιέδει τὸ σῶμα πᾶσαν ἑορτὴν ἐκ λίθων τὲ καὶ μαργάρων, ὡς οἷόν τ' ἦν καὶ χρυσοῦ μάλιστ' ἐπηχθισμένος· ἐπίπλοις τὲ ἅπας ὁ δόμος ἀστράπτων σηρικοῖς τε καὶ χρυσοπάστοις· καὶ ὅσον δὴ περὶ αὐτὸν τῶν αὐτοῦ παρῆν ἔκκριτον· ἀήθως τὲ πάνυ πόρρω· καὶ ἢ πρὶν, ἁβρότερον ἐνεσκεύαστο καὶ κατακεκόσμητο· καὶ πᾶσ' ὡς ἔπος εἰπεῖν ἡ σκηνὴ πρὸς ζῆλον βασιλικῆς, ὡς οἷόν τ' ἦν καὶ Ῥωμαϊκῆς εὐγενείας, πεζῇ μὲν παρὰ Λύδιον ἀληθῶς ὡς ὁ λόγος, ἡμιλλᾶτο δ' οὖν ὅμως οὕτω.

16. Εἰσιὼν δ' οὖν καὶ τὰς βασιλείους ἐπιδόμενος ἐπιστολὰς, τῷ ῥηγὶ προσειπών τε καὶ ἀσπασάμενος· τῶν βασιλέων ὡς νομίζεται, εὖ δὴ μάλα προσιεμένου καὶ μετ' εὐγνώμονος· καὶ πολυτίμου τοῦ σχήματος αἰδοῦς τε πάσης ἀνταποδιδόντος τὴν περὶ τῆς αὐτῶν εὐφήμου μνήμης τιμὴν, ἐπεὶ δὴ καὶ περὶ ἡμῶν ἀμέλει πύθοιτο οἷ δὴ μάλιστα χρώμεθ' ἡμῖν αὐτοῖς καὶ εἴημεν· πλεῖσθ' ὡς εἰκὸς πεπονηκότες ἐπὶ τῆς ὁδοιπορίας ὅσα γε ἐν ὥρᾳ ταύτῃ δὴ χειμῶνος, διειλεγμένος ἅττα ἔδει διὰ βραχέων καὶ χάριν πάντως ὁμολογήσας, παραχρῆμα ἀπαλλάττομαι ξυγχωροῦντος αὐτοῦ, μὴ πλεῖν ἔτι νῦν γε εἶναι, μὴ πονεῖν μὴ δὲ διατρίβειν, ἀλλ' ᾗ δεῖ, καταπαύειν, οἴκοι γίγνεσθαι· καὶ ῥᾳστωνεῦσαι τῆς ἡμέρας

16 πομπὴ V² in marg.: σπουδὴ VSaMa **18** τοῖς V: τῆς SaMa **19** ἀήθης ἢ V e corr **20** δὲ V: δὴ Sa, om. Ma **22** ἐπηχθισμένος VSa: ἐπηχθησμένος Ma **23** χρυσιπάστοις SaMa | δὴ V² s.l. **16,1** δ' V² s.l. **3** προσιεμένου V²: προσιεμένους VMa, προσιεμένας Sa **4** πολυτίμου VMa: μολυτίμου Sa ἀνταποδιδόντος V² s.l.Ma: ἀνταποδιδόντι V, quod iteravit V² s.l., ἀποδιδόντος Sa **6** πύθοιτο VMa: πόθοιτο Sa | χρώμεθ' V: an χρῴμεθ'? **8** ἅττα V: ἄττα SaMa **10** μὴ¹ V¹ in ras. **11** ᾗ V: ἢ SaMa

15,14 cf. supra, Or. 7, 10, 9–10 **23** cf. Ioh. Chrys., In Ioh., PG 59, 467, 17–18 **27** cf. Greg. Naz., Or. 43, 22, 3 (p. 170)

ἐκείνης ἐν σχολῇ· ὡς τῆς γε ὑστεραίας προσκεκλῆσθαι τὲ καὶ ἀπαντᾶν αὖθις, ἐς αὐτοῦ μελλήσοντα· συγγενέσθαί τε κατὰ βούλησιν καὶ ἀνύτειν, περὶ τῶν τῆς πρεσβείας.

17. Καὶ δὴ λοιπὸν οὕτω ἡμεῖς τὲ γιγνόμεθ' οἷ καταλύομεν· καὶ σὺν ἡμῖν ἄνδρες ἐκεῖθεν ἀποτετάχαται, τῶν ἐκ τῆς αὐλῆς τοῦ ῥηγὸς τροφῆς τε καὶ τῶν ἄλλων ὅσων ἄν, δέοι χορηγοί τε καὶ ταμίαι· καὶ ὑπηρέται ταχεῖς· ἐξ ἐντολῆς ἡμῖν τε καὶ ὑπηρέταις. καὶ τοίνυν ἐντεῦθεν ἐφ' ἑκάστης ἡμέρας, ἅπαντα ἐν ἀφθόνοις μάλιστα εἰς δεῦρο· καὶ πλείω καὶ κρείττω ἢ ὅσων ἄν, δέοι καὶ οἵων· καὶ οὐχ ἡμῖν ἀπόπλεω μόνοις, ἀλλὰ καὶ δὶς ἡμῶν ἴσως,
f. 169 τόσοις. χωρὶς δὲ τούτων ἅττα ἐκ κυνηγεσίων πάνυ τοι | πλεῖστα ὀρνίθων· πάνυ τοι πλεῖστα τῶν ἄλλων, ἅττα ἐδώδιμα θηρῶν· χοίρων τὲ ὀριτρόφων καὶ ἐλάφων· καὶ μὴν ἔτι τούτων, χωρὶς, ἑκάστης ἡμέρας, τὰ ἐκ τραπέζης τοῦ ἄρχοντος αὐτοῦ· πλεῖστα ἐσκευασμένα στελλόμενα, καὶ κατηρτυσμένα χρυσέοις καὶ ἀργυρέοις ἐκπώμασί τε καὶ σκεύεσιν, ἐδεστά τε καὶ πέμματα, οὐ χρείας μᾶλλον, ἢ τιμῆς ἕνεκα, τῇ τῆς τροφῆς κοινωνίᾳ· οἷα δὴ καὶ τῆς ἡμέρας ἐκείνης, αὐτίκα ἡμῖν, ἀπήντα· πλείω δὴ καὶ κρείττω, ἢ κατὰ χώραν τοῖς ἐνταῦθα· καὶ ἅμα τὴν γε ὥραν τηνικαῦτα. ἦν μὲν γὰρ ἡμέρα τῶν νηστίμων· καὶ καθ' ἣν ἀνάγκη μὴ κρεωφαγεῖν ἦν· καὶ πέμπεται δὴ τά τε ἄλλα ἡμῖν ὡραῖα, καὶ ἐξ ἀκροδρύων, καὶ πέμματα ἥδιστα ἐν σφίσι· καὶ ἰχθύων κατεσκευασμένα τὲ καὶ κατηυτρεπισμένα τεμμάχια· τὰ μὲν, αὐτόθεν ἐκ ποταμῶν ἐγχωρίων· τὰ δὲ, καὶ πόρρω· νεαλῆ μὲν ἅττα· ταρίχη δὲ ἅττα· τῶν ἀπ' Ἴστρου μεγίστων τὲ καὶ πιόνων· καὶ ἡμῖν αὐτόθι σπανίως ἐπιδημούντων· καὶ κατὰ ζήτησιν ἐνίοις ἐπέραστον· καὶ οὐ πάντως οὐδὲ πάντοτ' ἐπιτυχῆ.

18. Καὶ τὰ μέν γε οὕτως ἔσχε τηνικαῦτα· καὶ εἰς νῦν ἔχει, ἵνα μὴ τηνάλλως διατρίβοιμεν. ἅμα δ' ἕῳ τῇ ὑστεραίᾳ, κατὰ τὸ

17,2 τῶν V: τῆς SaMa **3** ὅσων V^{2}Ma: ὧν VSa **5** ἀφθόνοις V: ἀφθόνῳ SaMa **7** ἡμῖν VSa: ἡμῶν Ma **8–9** ἅττα … ἅττα V: ἄττα … ἄττα SaMa **12** χρυσείοις V a. corr. **20** τεμμάχια V, servavimus: τεμάχια SaMa **21** καὶ post μὲν SaMa | καὶ post δὲ SaMa **22** αὐτόθι VMa: αὐτόθεν Sa **24** ἐπιτυχῆ V^{2}SaMa: ἐπιτυχῆν V **18,2** τηνάλλως Sa: τηνάλως V, τὴν ἄλλως Ma διατρίβοιμεν scripsimus: διατρίβομεν VSa, διατρίβωμεν Ma

σύνθημα, προσκεκλήμεθά τε αὖθις τὸν εἰωθότα τρόπον, ἐς τοῦ ἄρχοντος καὶ συγκεχωρήμεθα λέγειν, περὶ ὧν λέγειν εἴχομεν· ἐντολὰς τῆς πρεσβείας εἵνεκα. ἦσαν δὲ τὰ παρ' ἡμῶν ὡς ἐν βραχεῖ, ὡς ἅπαντα ἐκ βασιλέως ἤνυσται τὰ τοῦ κήδους καὶ κατώμοσται· καὶ οὐδὲν ἐμποδὼν εἰς ἀληθῆ καὶ παμπλήρη τοῦ πράγματος αἵρεσιν, αὐτῷ καὶ κατάθεσιν (δεδοκίμασται γὰρ δὴ παντάπασιν ἀτρέπτως), καὶ προσετίθην τὸν σκοπόν τε καὶ λόγον δι' οὓς, καὶ ὅπως, καὶ τό γ' ἐπ' αὐτῷ δὴ βασιλεῖ καὶ πεπέρανται. «δεῖ δὲ μόνον οἶμαι, τῶν ἀπ' αὐτοῦ δὴ λοιπὸν ὅρκων ῥηγὸς καὶ πίστεων· καὶ μητρὸς ἄρα ῥηγαίνης· καὶ τῶν κατὰ χώραν σφίσιν ἐπιτηδείων τὲ καὶ μεγίστων ἀνδρῶν, ὁμοῦ πάντων ἀσφαλείας χάριν ἁπάσης· καὶ μάλιστα τῶν ἱερατευόντων δεῖν αὐτῶν πίστεως, εἰς τοὖργον | καὶ προεστώτων τῆς χώρας ἐπ' ἐκκλησίας· καὶ f. 169v πρώτου δὴ τοῦ γε σφῶν αὐτοῦ πρώτου.» ταῦτά τε καὶ ἔτι πρὸς τούτοις δεῖν πάντως ἔλεγον, αὐτίχ' ἕπεσθαι· μᾶλλον δ' ἀπαντᾶν, ὡς ἔνι τάχιστα· καὶ φθάνειν γε καὶ προήκειν, εὐτρεπῆ καὶ δόλου παντὸς ἔξω· ἅττ' ὀφείλεται καὶ δίκαιον· τὰ μὲν, ἤδη καὶ ξυντεθειμένα πρότερον· μᾶλλον δὲ τὰ πλείω χθὲς ἤδη καὶ πρὸ τρίτης· τὰ δὲ, καὶ νῦν ὑφ' ἡμῶν γε ξυντεθεῖσθαι καὶ προστεθεῖσθαι, δίκαι' ὄντα ἅτε περὶ καλλίονος καὶ οἰκειοτέρου καὶ μάλιστα σφίσιν εὐκταιοτάτου, προμνώμενα τοῦ κήδους, ἢ κατὰ τὸ πρότερον· καὶ ἀντειπεῖν ἄρ' οὐκ ἔστι. καὶ κατέλεγον ἅττα περὶ τῶν ἐν τοῖς ὅροις, πολισμάτων τὲ καὶ χώρων, ἅττα περὶ τοῦ τῶν ἀποδοθῆναι μελλόντων ὁμήρων, ἀριθμοῦ, ἐγγύης τοῦ κήδους ἕνεκα· ὧν τε πρότερον ἤδη, ὧν τε νῦν συντέθειται· καὶ μάλιστα τοῦ προύχοντος οἶσθα καὶ θήλεος· ὡς τούτων γε ὡρισμένων καὶ κατηυτρεπισμένων. οὕτω δὴ μηδενὸς ὁτουοῦν ἔφην ἐκ βασιλέως, ἔτ' ἐνδεῖν λοιποῦ τῷ κήδει· μὴ δ' ὑπέρθεσιν ἑξῆς ἡντιναοῦν εἶναι (ἐξίασι γὰρ εἰς ῥητήν τινα ταύτην ἡμέραν, αὐτὸς τὲ ἤδη βασιλεὺς τῆς μεγίστης πόλεως, καὶ βασιλὶς αὐτὴ· καὶ μὴν βασιλεὺς υἱὸς, αὐτῇ βασιλίδι τὲ καὶ συζύγῳ· καὶ τὼ λοιπὼ βασιλέως ἄρρενε παῖδε σφίσιν ἕπεσθον· τὰ κήδη τιμῶντες τοῦ γένους· καὶ τὴν βασίλειον παρθέ-

9 τε om. Ma **11** an δεῖν (cf. infra, 18, 14)? **16** αὐτοῦ VMa: αὐτῶν Sa **19** ἅττ' Ma **20** τὰ[1] VSa: καὶ Ma **21** δίκαι' VMa: δίκαιον Sa **23** τοῦ VSa: καὶ Ma | κήδους V[1]: κῆδους V **24** ἅττα VSa: ἄττα Ma | ὅροις VSa: ὄροις Ma **25** ἅττα VSa: ἄττα Ma **31–32** τῆς μεγίστης πόλεως – βασιλεὺς om. Ma

νον νύμφην ὁμοῦ πάντες, ἔς γε τὰ ὑμέτερα παραπέμποντες), καὶ δὴ τοὺν μέσῳ μηδὲν ἢ βραχὺ λοιπὸν εἶναι.»

19. Ταῦτά γε δὴ πάντ' ἐξειπὼν ὡς ἕκαστα καιρὸν εἶχεν ἐν μέρει (τί γὰρ δεῖ καὶ μηκύνειν;), σιγήσας ἔπειτ' εἶχον κατὰ χώραν μένων, ἥντινοῦν ἀπόκρισιν. καὶ ἦν γ' ἐπὶ τούτοις οὐδὲν πλέον τοῦ ῥηγὸς, ἢ ὅτι εὖ γε καὶ κατήνυσται· δεικνῦντος εἰς προὖπτον οἶμαι δυσχερῶς ἔχειν, τὰ προβεβλημένα καὶ εἰρημένα· καὶ πόρρω μάλιστα, ἢ ὥστε καὶ κατηνῦσθαι· καὶ πεπεράνθαι. δεῆσαν δὲ ὅμως σκέψεως εἰς ἀπολογίαν αὐτῷ, ἀπαλλάττομαι
f. 170 οἴκοι διδοὺς ὥραν αἰτοῦντι λογισμοῦ· καὶ ἅμα ἐφῷ τροφῆς αὐτὸς | μετασχεῖν. χρόνος ἑξῆς βραχὺς· καὶ οὔπω δὴ τροφῆς ἱκανῶς ἔσχομεν· καὶ αὖθις προσκεκλήμεθά τε καὶ ἀπαντῶμεν ἐς τοῦ ἄρχοντος. καὶ δὴ τὰ μὲν, παραχρῆμα αὐτὸς ἐφ' οἷς ἐλέγομεν, ἤδη πρότερον ἐξεῖπε τὲ καὶ ἀντεῖπε· τὰ δὲ, παρετίθει τὲ καὶ προυτρέπετο, λέγειν, ἐπιτέλλων καὶ προστιθέναι ἐνίοις, τῶν περὶ αὐτὸν ἐκκρίτων· τρεῖς οἶμαι καὶ τέτταρας ἐκλέξας τὲ καὶ πιστεύσας αὐτὸς ὑπεκστὰς· ὡς οἷόν τ' ἦν αἰδημόνως μάλιστ' ἀξιῶν τοῖς ἀνδράσιν ἡμᾶς, προσέχειν· καὶ τὰ παρ' αὐτῶν ὡς αὐτοῦ προσίεσθαι. ἦν δ' ἐν τούτοις μάλισθ' ὁ λέγειν ἔχων καὶ πρῶτα φέρων, Γεώργιος· Γεώργιος οἶσθ' ὃς πρότερον, ἐνεῖρκτο δέσμιος ἐκ μάχης τῷ βασιλεῖ· συνήθης τὲ ἐκεῖθεν μάλιστ' ἐκ τῆς χρονίου καθείρξεως αὐτῷ τὲ βασιλεῖ γεγονὼς, καὶ ἡμῖν· καὶ τὰς παρούσας καταλλαγὰς καὶ συμβάσεις, ἐπὶ τῷ κήδει πρῶτος αὐτόθι προδείξας καὶ ἐνηργμένος· καὶ καθυπουργήσας ἐς τὰ μάλιστα· ὡς ἐντεῦθεν ἄρα, καὶ μάλισθ' ὡς πεῖραν ἤδη τιν' ἡμῶν καὶ τῶν ἡμετέρων ἐσχηκὼς κρείττω, ἢ κατὰ τοὺς ἄλλους τῶν ἐκ τοῦ ἔθνους, καὶ τῆς ἁπάσης ἡμῖν προξενεῖν ἀμέλει πρεσβείας ἀξιοῦσθαι. ἔστι δὲ κἀν τοῖς μάλισθ' ὁ ἀνὴρ, καθάπαξ τῷ δεσπότῃ καὶ τῶν σφόδρα, πιστῶς τε καὶ οἰκείως ἐχόντων· καὶ κοινωνούντων βουλῆς τε καὶ λόγων καὶ φροντισμάτων· καὶ πάσης σκέψεως· ἅτ' εὔνους τὲ ὢν αὐτῷ, δὴ, καὶ σφόδρα· καὶ νοῦν ἔχων ἐφ' ἑκάστοις αὐτῷ κοινωνεῖν· καὶ μεταχειρίζειν τὲ καὶ συμβάλλειν τῶν τε ἔργων καὶ τῶν λόγων, καὶ

35 πάντες V: πάντως SaMa **19,2** δεῖ V[2]: δὴ VSaMa **7** δεῆσαν V: δεῆσαι SaMa **10** προσκεκλήμεθα V[1]SaMa: προκεκλήμεθα V **12** τὲ[1] om. Sa **13** προστιθέναι VSaMa: an προτιθέναι? **18** πρότερον om. Sa | ἐνεῖρκτο δέσμιος V: ἐνειρκτοδέσμιος SaMa **24** τῶν VSa: τῆς Ma

μάλιστα ἐν τοῖς ἡμέτεροις, τιμῆς τε διὰ ταῦτ' ἄρα πάντα ἀξιοῦται τὲ καὶ ἐπικέκληται, ἧστινος δὴ ταύτης, ἡγεμὼν ἐν τοῖς τοῦ γένους στρατεύμασι δεύτερος.

20. Ἐπεί δ' οὖν εἰς λόγους ἐγενόμεθα, τὰ μὲν καθ' ἕκαστα ὧν τε πρὸς ἀλλήλους εἴπομεν· καὶ ἀντείπομεν σφόδρα διατεινόμενοι περὶ ὧν ἐν ταῖς συμβάσεσι προύκειτο κεφαλαίων, τί τίς ἂν, ἐνταῦθα νῦν μηκύνοι, τὲ καὶ ἐκτιθείη, ἄλλως τε καὶ πρὸς εἰδότα ἴσως καὶ ἅπαντ' ἀκριβῶς | ἀκηκοότα τοῦ καλοῦ Δουκαΐτου· f. 170v πρότερον ἐπιδεδημηκότος αὐτόθι παρ' ἡμῶν; τέλος δ' ὅμως πλεῖστ' ἄρα διατρίψαντες καὶ προσκεκοφότες ἀλλήλοις ἐν ταῖς διαλέξεσι μάλιστα· καὶ τὸ πλεῖστον οἶμαι τῆς ἡμέρας μήτ' ἀμαχεὶ· μήτ' ἀφιλονείκως μήτε κατ' οὐδὲν ὅλως συμβάντες, ἀλλ' ὥσπερ ἀπογνόντες ἀλλήλων καὶ τῆς ὑποθέσεως, ἀπαλλαττόμεθα· ἀνασεσοβημένοι καὶ κακαῖς ἐλπίσι· ὡς ἀληθῶς ἐμφρόντιδες· ὡς παντάπασιν ἀλλήλων, ἀτευκτήσαντες· παρὰ τοσοῦτον, παρ' ὅσον οὐδ' ἐξιόντες, ἐντυχεῖν ὅλως μένομεν τῷ ῥηγὶ· καὶ τὰ εἰκότ' ἐξιοῦσι τῆς οἰκίας, ἀσπάσασθαι· καὶ προσειπεῖν οἷα δὴ νομίζεται· οὐκ ἔχοντες οὔθ' ὅπως ἡδεῖς αὐτοὶ, οὔθ' ὅπως ἡδεῖ γε αὐτῷ συντυχόντες, προσείποιμέν τε καὶ προσεροῦντες ἀκούσαιμεν.

21. Αὐτὴν μὲν οὖν λοιπὸν ἐκείνην καὶ δευτέραν ἑξῆς καὶ τρίτην οἴκοι καθήμεθα κατὰ χώραν μένοντες, ὥσπερ ἐν τοῖς πεντάθλοις· οἱ πυγμὴν ἢ πάλην ἢ παγκράτιον, ἐπιπλεῖστον ἀγωνισάμενοι, καὶ μηδέτεροι περιγενόμενοι· ἀλλ' ἀποκεκμηκότες τὲ τοῖς ἀγῶσι καὶ ἀπειρηκότες ἀμφότεροι· ἀτρέμ' οὐδὲν μήτε προσκεκλημένοι· μήτε λέγοντες· μήτ' ἀκούοντες· αὐτοί τ' ἐν ἀηδίᾳ καὶ δυσέλπιδες ἧπερ εἴρηται· καὶ περὶ τοῦ ῥηγὸς παραπλήσια δὴ μανθάνοντες αὐτοῦ, ὡς μάλιστα ποθῶν τὸ κῆδος, καὶ περιπλείονος ἔκπαλαι πεποιημένος· καὶ νῦν ἐπιτυχὴς ὥς γ' ἐδόκει γεγονὼς, νῦν γε δὴ μάλιστα κατατήκοιτο καὶ κατάγχοιτο· οὐκ ἔχων ὅ,τί ποτε χρῷθ' ἑαυτῷ καὶ τοῖς κεκινημένοις συνθήμασι· πλεῖστα μὲν ἀναλογιζόμενος τὸ δυσχερὲς τούτων· μάλιστα ⟨δὲ⟩ δεδιὼς μή που τις εἴη

31 ἀξιοῦται VSa: ἀξιοῦνται Ma **20,1** τὰ V²SaMa: ὰ V (obl. rubr.) **4** νῦν om. Sa | καὶ² V¹ s.l. **11** ἀνασεσοβημένοι VSa: ἀνασεσοβημένα Ma **14** ἀσπάσασθαι VSa: ἀπάσασθαι Ma **21,1** λοιπὸν V²SaMa: οιπὸν V (obl. rubr.) **9** γε om. Sa **10** κατάγχοιτο V: κατάχοιτο SaMa **12** δὲ addidimus

πρόφασις, αὕτη, τἀδύνατον ἐν αὐτοῖς τοῦτο πρόβλημα καὶ κατασκεύασμα· οὐ τοῦ πεπεράνθαι τῆς ἀσφαλείας καὶ πίστεως ὥς γε προυτείνετο· τοῦ δὲ μὴ πεπεράνθαι, μάλιστ' ἐξ ἀνάγκης διὰ τὴν ἀμετρίαν. ταῦτ' ἐδεδίει καὶ καταφροντίζων καὶ καταδαπανώμενος· f. 171 |διὰ τὸν πόθον σφόδρα τοῦ πράγματος· ταῦτ' ἐδεδίει καὶ διὰ τὰ πρότερον οἶσθα ἄλλοτ' ἄλλα παραπλήσια κεκινημένα τὲ καὶ ἡμαρτημένα· καὶ μέχρι τουνῦν ἐκεῖθεν τούτου μάλιστα, τοῦ δέους ἐστὶ καὶ μετ' ὀλίγον ἐροῦμεν· καὶ οὔποτε τόδε πάμπαν ἔξεισι τοῦ λογισμοῦ.

22. Τετάρτη δ' ὅμως ἐκεῖθεν ἑξῆς καὶ ἦν τις ἑορτάσιμος θεία· καὶ ἡμεῖς ἀνάγκην εἴχομεν, ἐπ' ἐκκλησίας γίνεσθαι· τῆς ἱερᾶς λειτουργίας ἀκροασόμενοι. ἐν δή τινι λοιπὸν, τῶν κατὰ χώραν ἱερῷ καλλίστῳ τῆς Θεοτόκου γιγνόμεθα. ἔνθα δὴ καὶ Γεώργιος ἐκεῖνος οὗ νῦν γε, ἤδη πρότερον ὁ λόγος ἦν, κατὰ χρείαν δὴ καὶ αὐτὸς τῆς ἱερᾶς τελετῆς· κἂθ' οὕτω τυχόν γε δὴ κατὰ θεῖον συμβὰν ὥς γε αὐτὸς ἔλεγε, τὸ δ' ἀληθὲς κατὰ συνθήκην ἐπίτηδες τῷ δεσπότῃ, μεθ' ἡμῶν γίγνεται. καὶ ἦμεν λοιπὸν ἐν λόγοις· ἅτε δὴ συνήθεις οἶμαι, πάλαι πόρρω. καὶ λόγου λόγον γεννῶντος οἷα δὴ συμβαίνει, ἐπ' αὐτοῖς γιγνόμεθα τοῖς προκειμένοις προβλήμασι καὶ ζητήμασιν· ἀμφότεροι πράττοντες ἐπίτηδες καὶ ποθοῦντες. εἶτ' ἀμφιγνοοῦμεν μέχρι πολλοῦ· καὶ δισχυριζόμεθα τὸ δοκοῦν ἑκάτερος ὑπερηγοροῦντες, τοῦ προσήκοντος, ὁ μὲν, ὡς οὐκ εἰκόθ' ἃ ζητοῦμεν, οὐδ' οἷα καὶ περαίνειν· ἀλλ' ἢ μόνον πρόφασιν ἀπραξίας· καὶ τέλος οὐδὲν κατ' ἀνάγκην· μᾶλλον δὲ τοῦτο κατὰ σκοπὸν ὄν. ἐγὼ δ' ἅπαν τοὐναντίον ἀπήντων· ὡς εἰκότα τὲ δὴ μάλιστα πρὸς τοὖργον· καὶ γιγνόμενα δὴ ῥᾷστα· καὶ οὐδὲν αὔθαδες· οὐδ' ἄμετρον· οὐδ' ἀλόγιστον. μάλιστα δὲ δὴ καθορῶν τὸν ἄνδρα δεδιότα πρὸς τὸ τέλος· καὶ πειρώμενον ὡς ἔνι γνῶναι τὲ καὶ λαβεῖν πίστιν, ὡς ἄρα ἀληθὲς τὸ πᾶν καὶ δόλος οὐδεὶς· οὐδ' ὑπερθέσεως πρόφασις ἡτισοῦν· καὶ τοῦτ' εἶναί οἱ μάλιστα προὔργου καὶ σκοπὸς ἅπας· εἰς ἐκεῖνον τὸν ἀγῶνα· καὶ τοῦ γε ὅλως ἐκεῖσε μεθ' ἡμῶν γενέσθαι, ἐνταῦθα δὴ σαφῶς ἔγωγε, καὶ δισχυριζόμην ὡς οἷός τ' ἦν, μάλιστα κατατεινόμενος· καὶ f. 171v | σπουδάζων καὶ ἐπομνύμενος, πρὸς τῶν ἱερῶν αὐτῶν καὶ τῆς εὐαγοῦς συναυ-

22,1 ἐκεῖθεν V[1] in marg. **6** κἂθ' V: κεῖθ' Sa, καθ' Ma **14** πρόφασιν VSaMa: an πρόφασις?

λίας, ἐφ’ ἧς ἦμεν, πρὸς τῆς ἱερᾶς τελετῆς καὶ θείας ἧς αὐτήκοοι τηνικαῦτ’ ἐγιγνόμεθα, ἦ μὴν μηδὲν ἐνταῦθα εἶναι πλάσμα· μηδεμίαν σκηνὴν· μὴ δ’ εἰρωνείαν· μὴ δὲ δρᾶμα· μὴ δὲ τρόπον ὀντινοῦν ἐκ βασιλέως· μὴ δὲ σκαιώρημα· ἀλλ’ ἀλήθειαν πᾶσαν καὶ πλήρη γνώμην· καὶ λογισμῶν ὀρθῶς αὐτουργίαν· καὶ ὄντως κεκρίσθαι τὸ πρᾶγμα, τῷ βασιλεῖ καὶ δεδοκιμάσθαι· καὶ τό γ’ ἐφ’ ἑαυτῷ πεπεράνθαι· καὶ λοιπὸν κατ’ οὐδὲν ἀμφιγνοεῖν χρῆναι· οὐδ’ ἔξω καὶ πλέον τοῦ προχείρου, φρονεῖν καὶ νοεῖν δεῖν· ὡς οὐδενὸς ἔτ’ ἐνδεῖν· πρὸς τοὔργον τόδε καὶ τὸ περισπούδαστον καὶ τριπόθητον κήδευμα, ἢ μόνου τοῦ τὰ δίκαια· καὶ αὐτοὺς δρᾶν.

23. Τούτοις ἔπειθον λέγων· καὶ οἷα δὴ τὰ τοῦ δεσπότου καλῶς ἐκεῖνος εἰδώς, ἑξῆς ἐνεδίδου καὶ εἶκε· καὶ πλὴν δὴ τριῶν τῶνδε, τὰ πάντα ῥᾷστ’ ἐξεῖναι τῷ δεσπότῃ ποιεῖν ἔλεγε· καὶ ποιεῖν ἤδη καὶ συντίθεσθαι, καὶ αὐτὸς ἀκριβῶς εἰδέναι· τὰ δὲ εἶναι τὰ λοιπὰ ταῦτα καθάπαξ ἔχοντα δυσχερῶς, ἢ ὥστε καὶ περαίνειν. καὶ κατηρίθμει λοιπὸν ἓν μέν, τὴν τῆς ἀνθρώπου οἶσθα ἣν ἀπόδοσιν· καὶ δεύτερον τὴν τῆς μητρὸς καὶ ῥηγαίνης ἐπὶ τοῖς ὅρκοις παρουσίαν καὶ μετουσίαν (τυγχάνειν γὰρ μακρὰν ἀποδημοῦσαν, καὶ χειμῶνος ὥραν εἶναι, καὶ ταύτην ἐπ’ ἀκμῆς· καὶ τοὺν μέσῳ δυσοδίας εἶναι· καὶ ὀρῶν ὕψη τόσα καὶ τόσα οὐκ ὀλίγων ἡμερῶν, ὁδόν, ἐκ τῆς γῆς εἰς οὐρανοὺς ἥκοντα· καὶ καθάπαξ τελευτῶντα συνελεῖν, μηδεμίαν ἰσχὺν εἶναι ταύτῃ πως, ἐκείνην ἐπιδημεῖν χειμῶνος ὅλου. καὶ ἐπώμνυτο τὰ παλαμναιότατα· κατ’ ἐξωλείας αὐτοῦ τε· καὶ τοῦ δεσπότου καὶ φιλτάτων· καὶ πάντα ἐπώμνυτο· τελετὰς καὶ ἱερὰ καὶ μυστήρια, ἦ μὴν οὕτως εἶναι. καὶ φρίττειν ἡμῖν ἐπῄει· καὶ πείθεσθαι (ἢ τί γὰρ εἴχομεν;), καὶ λοιπὸν προσετίθει τρίτον, περὶ τῶν ἀποδοθῆναι μελλόντων | ὁμήρων. ἀποδο- f. 172
θῆναι μὲν οὖν οὐκ ἀντέλεγεν· οὔθ’ ὅσους ὁ λόγος ἦν οὔθ’ οἵους· ἐκδοθῆναι δὲ πρώτους αὐτοὺς ὁμοῦ πάντας· καὶ εἰς τὰ ἡμέτερα αὐτῶν γίγνεσθαι, πρὶν ἤ τινα καὶ ἀντίδοσιν ἐξ ἡμῶν ἀξιόχρεων εἰς αὐτοὺς ἀπαντᾶν· καὶ ἀνθήκειν τηνικαῦτα, τοῦτ’ ἦν τὸ δυσχερές. καὶ ἐπώμνυτ’ αὖθις κατὰ τῶν αὐτῶν ὧν καὶ πρότερον, οὕτω δὴ σφόδρα μὴ καταγνώμην εἶναι τουτὶ τοῦ δεσπότου· μὴ δ’ ἀπιστεῖν

26 ἐφ’ ἧς – αὐτήκοοι om. Ma **27** μὴν om. Ma **28** τρόπον V^1 partim in ras. **23,6** κατηρίθμει VSa: κατηρίθμη Ma **10** ὀρῶν VSa: ὀρέων Ma **15** εἶναι VSa: εἴη Ma **16** ἐπῄει V^1SaMa: ἐπείει V **20** ἀξιόχρεων εἰς V^2 partim in ras.

ὅλως μὴ δ’ ἀμφιγνοεῖν ἐκεῖνον ἐκ βασιλέως, νεανικόν τι καὶ κακοῦργον σκαιουργηθῆναί ποτε· κατὰ τῶν ἐκδιδομένων, καὶ κατὰ τῶν ἐνόρκων συνθημάτων αὐτῶν, εἰ καὶ χωρίς τινος ἐξ ἀντιδόσεως ἐγγύης, ἐς ἡμᾶς γίγνοιντο. μηδὲν οὖν τοῦθ’ ὅλως, εἰς δέος εἶναι (πολλοῦ γε καὶ δεῖν), φλαῦρόν τι τοιοῦτον εἰς νοῦν ἔχειν κατὰ τῆς τοῦ βασιλέως εὐσεβείας καὶ εὐγενείας καὶ μεγαλειότητος· καὶ ἀποτρόπαιον καὶ κακόνουν οὕτω δὴ μάλιστα· καὶ ἀλιτηρίοις ἀνθρώποις καὶ δυσσεβέσι μόνοις προσῆκον· ἀλλ’ αὐτοὺς καθάπαξ οὐκ ἐᾶν οὐδὲ συγχωρεῖν τοὺς τῶν ἐκδιδομένων ἐκείνων ἐπιτηδείους καὶ οἰκείους, καὶ φίλους καὶ προσήκοντας, μὴ δ’ ἄν, εἴ τι γίγνοιτο· μὴ δ’ ἄν, εἴ τι πάσχοιεν· μὴ δ’ ἂν εἴ τι βιάζοιθ’ ὁ δεσπότης· καὶ τοῦτ’ εἶναι παντάπασι λοιπὸν ἀδύνατον· οὔτε λόγοις πειθομένων· οὔτ’ ἀπειλαῖς· οὔτε βίᾳ ἐξὸν ἄγειν ἅπαντας· οὐθ’ ὁτῳοῦν τρόπῳ.

24. Ἐπὶ τούτοις γοῦν ἀπαλλαττόμεθα· καὶ διιστάμεθ’ ἀλλήλων αὖθις, ἐγὼ μὲν κατ’ οὐδὲν συνθέμενος ἐπὶ τοῖς εἰρημένοις· οὐδ’ ἔτι πω, δούς τινας ἐπ’ αὐτοῖς ἐλπίδας· ὁ δὲ, καὶ οὕτω δὴ μὴ παντάπασιν ἀηδῶς ἀπιὼν, ὡς οὐκ ἀηδὴς ἀπαντήσων ἐς τοῦ δεσπότου· ὅτι δὴ πρότερον ἐγὼ φθάσας κατωμοσάμην τὸν ἄνδρα· καὶ καταπέπεικα σαφῶς τὲ καὶ γεννικῶς, πᾶσαν ἀλήθειαν, εἰς τοὖργον εἶναι· καὶ μηδὲν ἐγκρύπτεσθαι δύσνουν· μὴ δὲ κακουργικόν· μὴ δὲ καχύποπτον, εἰς τὸ πέρας αὐτὸ τοῦ παντὸς πράγματος διατεινόμενος.

f. 172v **25.** Τοὐντεῦθεν ἐπειδὴ καὶ ὁ ῥὴξ ταῦτα δὴ | πάντα τοῦ ἀνδρὸς ἐκείνου πέπυστό τε καὶ καταπέπειστο, προσκεκλήμεθα αὖθις τῆς ἡμέρας ἐκείνης δείλης· καὶ γιγνόμεθα πάλιν ἐν λόγοις τὲ καὶ ἀγῶσι, τὴν ἀρχὴν τοῖς προτέροις. εἶτα δὴ ξυμβαίνει τὲ ἡμῖν καὶ κατατίθεται ἐπὶ πᾶσι εἰς προὖπτον, κἀκεῖνος· πλὴν ὧν εἴρηται τριῶν. ἐν δὲ τούτοις, οὐκ ἔχειν ὅ,τι καὶ δρῴη λέγων, ἐπειδὴ μὴ συνεχώρουν ὅλως αὐτὸς, μὴ δ’ ἐφ’ ὁτῳοῦν, ἀπολύει καὶ αὖθις ὅμως οἴκοι γενέσθαι· μὴ καθάπαξ ἀηδῶς. καὶ αὖθις ἅμα ἕῳ, μετακαλεῖται περὶ τῶν αὐτῶν· καὶ αὖθις μετακαλεῖται· καὶ αὖθις εἰς τρίτην

27 ἐς VSa: εἰς Ma **29** καὶ[1] V[2] s.l. **24,6** τε V[2] s.l. **25,1** πάντα V[2]SaMa: ἄντα V **2** πέπυστο V[1]SaMa: πέπειστο V | καταπέπειστο V[1]SaMa: καταπέπυστο V **5** κατατίθεται V[2]SaMa: κατίθεται V

ἡμέραν· πρό τε δείπνου· καὶ μετὰ τὸ δεῖπνον· καὶ ἦμεν ἐν λόγοις ἀεὶ· καὶ σπουδῇ περὶ τῶν αὐτῶν· οὐδὲν περαίνοντες. μόλις δ’ οὖν ἔπειθ’ οὕτω δὴ χρόνῳ, καὶ σκέψει συμβαίνομεν. ἀπολύει μὲν δὴ τὸ τῆς ἀνθρώπου καὶ κατατίθεται, (δυσχερὲς οἶσθα ἔφην), καὶ πρὸς τοῖς ἄλλοις καὶ περὶ ταύτης ἐνδίδωσί τε καὶ δίδωσιν· ὃ δὴ καὶ μάλισθ’ ἡμῖν ἦν ἐν σπουδῇ· καὶ περιπλείονος, ἢ κατὰ ἄλλα· κἄγωγε αὐτὸς περὶ τῶν τῆς μητρὸς καὶ ῥηγαίνης ὅρκων ἐνδοὺς, ὡς εἶχον γε καὶ αὐτόθεν ἐντολὰς, οὕτω γε μὴν ὡς μὴ νῦν γε ἀπαιτεῖν καὶ κατεπείγειν διὰ τὴν ἀνάγκην ἣν ἔφασαν τῆς ἀποδημίας, ἐξ ἀνάγκης δ’ ὅμως καὶ μετὰ τὸ κῆδος ὕστερον γίγνεσθαι. καὶ δὴ λοιπὸν αὐτὸν ῥῆγα κατομόσασθαι κατὰ τούτου γε καὶ συνθέσθαι ζητῶν· ἦ μὴν οὐκ ἄλλως γε ἢ οὕτως, ἀκολουθῆσαι καὶ μὴ καθυφεῖσθαι τουτὶ παντάπασιν, εὕρισκον εὐπειθῆ τε καὶ ῥᾷστα συντιθέμενον. καὶ λοιπὸν ἦν τὸ τρίτον, περὶ τῶν ἀποδιδομένων εἰς τὴν ἐγγύην· ὃ δὴ καὶ πάντων ἐκεῖνος μάλιστα τῶν ἄλλων, καὶ πείθεσθαί τε καὶ δρᾶν ἔλεγε δυσχερέστατον· ἐπομνύμενος, οὐ δι’ ἑαυτὸν· ἀλλ’ ὃν ἀνωτέρω τρόπον εἴρηται, τῶν ἐπιτηδείων αὐτῶν ἕνεκα καὶ φίλων· καὶ ὧν δὴ παῖδες καὶ φίλτατα εἰς τὴν ἐγγύην αὐτὴν, ἀπεδίδοντο· μάλιστα μὲν ἀχθομένων, ὅτι καὶ ὅλως ἀπεδίδοντο· καὶ σφῶν αὐτῶν ἀποδημεῖν | ἦν ἀνάγκη· καὶ ὥσπερ ἐπ’ f. 173 ἀδήλοις τῶν οἰκείων, ἀποδιαιτᾶσθαι πόρρω· εἰ δ’ οὖν ὅτε καὶ τοῦτο πείθοιντο, ἑκόντες, ἀέκοντί γε θυμῷ τὸ τοῦ λόγου, πρός τό γε δεύτερον· τοῦθ’ ὅλως οὐ συγχωρούντων· οὐδ’ ἂν, εἴ τι γίγνοιτο· οὐδ’ ἂν, εἴ τι πάσχοιεν· εἰς ἐπίδηλον οὕτως ἑκόντες γε εἶναι διδόναι πρότεροι καὶ προδιδόναι παῖδας· καὶ φίλτατα, πρὶν καὶ ἡντινοῦν ἀντίδοσιν ἀσφαλείας ἕνεκεν ἀντισχεῖν. «ἐνταῦθα δὴ μάλιστα διακαρτεροῦσιν» ἔφασκε· «καὶ πᾶν ὁτιοῦν εἰσὶν ἕτοιμοι πάσχειν ἢ πείθεσθαι· καὶ δὴ πάντων ἅπτεσθαι, δυσχερὲς εἶναι καὶ κακῶς δρᾶν· καὶ χρῆναί τινα τρόπον εἰς οἰκονομίαν ἀνθευρεῖν τε καὶ πορίσασθαι.»

26. Ἀντήτει τοίνυν ἀφορμῆς αὐτῶν τινος καὶ θεραπείας ἕνεκα, ἀντὶ πλειόνων τῶν διδομένων ὁμήρων, ὀλίγους εἰς τὴν ἀντίδοσιν.

12 ἀπολύει VSa: ἀπολύειν Ma **22** τε om. Ma **35** ἕνεκεν ἀντισχεῖν V[1]SaMa: ἕνεκεν σχεῖν V **26,1** ἀφορμῆς V[2]SaMa: φορμῆς V (obl. rubr.)

25,31 Hom., Il. 4, 43

ναὶ μὴν καὶ κατολίγον ἐκβιαζόμενος, ἐκ πλειόνων εἰς ὀλίγους κατήει· ἐλπίδά τιν' ἔχων ἐξ ἐμοῦ ὡς αὐτίκα δὴ, πρὸς ὀντινοῦν ἀριθμὸν συνθείμην τὲ καὶ προσείμην (ᾤετο γὰρ ὡς δυναίμην), καὶ ἦν ἡ προχώρησις, μέχρι καὶ ἐς ἓξ αὐτοὺς δὴ μόνους· ἀντὶ τοσούτων· καὶ τῶν μεγίστων· καὶ πολυζητήτων, οἶσθα ὧν. οὕστινας δὲ καὶ τὸν τρόπον ὃν ὡς μάλιστα ἀσφαλέστατα καὶ ῥᾷστα καὶ ὡς οὐκ ἐξεῖναι· μηδόλως κακοῦργον τί καὶ δυσνοϊκὸν ἀκολουθῆσαι τῇ πράξει, ἔφθασας οἶμαι πυθέσθαι· καὶ χρεία τίς οὐκ ἀναγκάζει προστιθέναι. κἄγωγε ἐπὶ τούτοις (εἰρήσεται γὰρ τἀληθὲς, νὴ τὸν ἐμόν τε καὶ σὸν βασίλειόν τε καὶ φίλιον), ἐπειδὴ πάντοθεν σκοπούμενος ἑώρων ἀνύποπτον τοὖργον, καὶ κατ' οὐδὲν ὁτιοῦν δυσχερὲς, οἷός τ' ἦν αὐτίκα δὴ μάλα· πείθεσθαί τε καὶ συντίθεσθαι· ὡς οὐδὲν ὂν δεινὸν, οὐδὲ τρόπον ὁντινοῦν, εἰς ζημίαν. τοῦ δ' ἀσφαλεστέρου γε ἐπὶ τούτοις ὅμως γενόμενος, τῇ βασιλικῇ γνώμῃ καὶ κρίσει περὶ τούτου τὸ πᾶν, ἀνηρτῆσθαι δεῖν ᾠήθην· κἀμὲ δὴ περὶ τούτων, ἀγγέλλειν ἔλεγον· καὶ διαμηνύεσθαι χρῆναι, καὶ αὐτὸν μάλιστα ῥῆγα πέμπειν τοὺς ἐροῦντας, γε ἅπαντα· ὡς αἰτεῖται μετ' ἀσφαλείας | f. 173v ἁπάσης καὶ εὐχερείας· καὶ ὡς ῥᾷστα ἀνῦσαι καὶ μετ' εὐνοϊκοῦ σχήματος· καὶ ταπεινῶν καὶ τῶν λόγων καὶ τῆς γνώμης καταδυσωπήσοντας συνθέσθαι τὸν αὐτοκράτορα· προλέγων αὐτὸς ὡς οὐδὲν δυσχερὲς· οὐδ' ἀκυρώσει τοὖργον ἅπαν, δι' ἓν τοῦτο μόνον βασιλεὺς, εἴ γε ἀδύνατον ἄλλως ἀπαντᾶν· ἢν μὴ οὕτως συνθεῖτο. καὶ πέμπειν ἔλεγον αὐτίκα, σὺν σπουδῇ χρῆναι, μετὰ χρηστῶν τῶν ἐλπίδων, οὕστινας ἄρα ὡς μετολίγον ἥξοντας, ἐπιτυχεῖς ὧν αἰτήσοιντο· μηδέν γε μὴν ἔτι πολυπραγμονεῖν· μὴ δὲ περαιτέρω πράττειν, καὶ ἡντινοῦν ἐξέτασιν καὶ συνθήκην· πλεῖν ἢ καὶ τὸ παρὸν ζήτημα· ὡς ἁπάντων συντεθειμένων καὶ ἐγκεκλεισμένων, παντάπασι πρὸς ἐμοῦ, περί τε τῶν ἐν τοῖς ὅροις χωρῶν τε καὶ ἄστεων, καὶ φρουρίων, καὶ περὶ τοῦ κήδους αὐτοῦ μάλιστα τῶν συνθημάτων.

27. Πείθεται δὴ λαμπρῶς ἐπὶ τούτοις καὶ ἡδέως· εὖ μάλα· καὶ οὕτω δὴ παντάπασι καὶ περὶ πάντων ξυμβαίνομέν τε καὶ ἀπαλλαττόμεθα. κἀγὼ μὲν αὐτίκα τὸν καλὸν Δουκαΐτην ἐς βασιλέα·

5 τὲ om. Ma **7** οὕστινας V[2]SaMa: οὕστινα V **15** τρόπον VMa: τρόπων Sa **16** τούτοις VSa: τούτων Ma **29** καὶ[1] V: an κατὰ? **27,3** Δουκαΐτην V[2]SaMa: ουκαΐτην V (obl. rubr.)

καὶ αὐτὸς δὲ οὕστινας οἶσθα, σὺν αὐτῷ πέμπομεν· Δαμιανόν τινα αὐτὸν οἶμαι ὄνομα μοναχόν· καὶ Τομπράιλον ἐκκλησιάρχην ἐνταῦθα τοῖς ἐγχωρίοις τετιμημένον τοῦ δεσπότου καὶ κατωνομασμένον· περί τε τοῦ παντὸς ἔργου κατεροῦντας ὡς ἤνυσταί τε καὶ πεπέρανται· καὶ καταλιπαρήσοντας ἐξ αὐτοῦ δεσπότου τὲ καὶ Τριβαλλάρχου, καὶ ἤδη παιδὸς φίλου τῷ βασιλεῖ, περὶ οὗ νῦν γε εἴρηται συνθήματος. ἐλπίδες γε μὴν ἦσαν καὶ μάλιστά γε ἐμοί, καθ' ὁδὸν ἐντεύξεσθαι σφᾶς βασιλεῖ κατιόντι λαμπρῶς ὡς ἄρα προείρητο καὶ παρῆλθεν ἡ κυρία, ἐς τὰ κατὰ δύσιν ἐνταῦθα σφέτερα αὐτοῦ· καὶ ταχεῖς γε λοιπὸν τοὺς ἀνθρώπους πάντως, ἐπανήκειν ἡμῖν· κατὰ Μακεδονίαν γε μάλιστα μέσην ταῖς βασιλικαῖς ἐντυχόντας, ὁδοιπορίαις. ὡς μὲν οὖν ἔγωγε τέως ᾤμην (οὕτω δὴ ἐπεποίθειν γὰρ αὐτόθεν εἰδὼς ἐξιὼν | πάνυ τοι, καὶ ἅμα ἦσαν f. 174
ἐντολαὶ βασιλέως οὕτω, καὶ προθεσμία τίς οἶμαι ἐπὶ ῥητοῖς ἦν), καὶ δὴ προύλεγον οὕτω ῥηγί τε καὶ πᾶσιν, οἷς ἄν, ἐντύχοιμι· εὖ μάλα πιστῶς τε καὶ γεννικῶς καὶ κατ' οὐδὲν ἀμφιβάλλειν διδούς.

28. Τρίτον δὲ ἤδη τοῦτον ἀνύτων μῆνα ἐξ οὗ πρῶτον αὐτόθεν ἐξήειν ἐκ Βυζαντίου, καὶ μηδὲν ὁτιοῦν ὑγιὲς πεπυσμένος· καὶ μάλιστά γε ποθῶν τε καὶ πολυπραγμονῶν περὶ τοῦ βασιλέως, τῆς ἀποδημίας αὐτῆς, καθ' ἑαυτὸν κομιδῇ θαυμάζω· καὶ ἀπόρως ἔχω· καὶ οὐκ ἔχω τίς γένωμαι· καὶ μὴν οὐδ' ὅ,τί ποτ' ἄν, χρήσωμαι, ῥηγί τε καὶ τοῖς περὶ αὐτὸν πυνθανομένοις, καὶ λόγους εἰσπραττομένοις τῆς ἀναβολῆς· καὶ σφόδρα γε ἐπὶ τούτῳ, μάλιστ' αὐτὸς νὴ τοὺς λόγους, καὶ θαυμάζει τὲ καὶ λελύπηται. τέως γε μὴν ἄνθρωπος ἅπας ἀνήρτητο· καὶ μετέωρος ὅλως ἦν ταῖς ἐλπίσιν, ἐπ' ἐμοί· πάντα θαρρῶν καὶ οὐδὲν οὐδόλως ἐντρεπόμενος· οὐδὲ μετρίως ὦτα διδόναι συγχωρῶν, οὐδενὶ τῶν ἄλλως ὁτιοῦν· καὶ λέγειν καὶ πείθειν ἐπιχειρούντων· τῶν ἐκτός τε καὶ πόρρω· καὶ τῶν ἐγγὺς μάλιστα δύσνων τὲ καὶ ἐπιβούλων, καὶ κακοσχόλων· καὶ φαῦλα βουλομένων τὲ καὶ λεγόντων ἀνθρώπων. μᾶλλον μὲν οὖν καὶ διαβέβλητο σφίσι· καὶ παντάπασιν ἀπήχθητο, τἀναντία πειρωμέ-

5 Τομπράιλον ἐκκλησιάρχην V[1] e corr. **7** ἤνυσται VMa: ἤνησται Sa **8** τὲ om. Ma **11** ἐντεύξεσθαι V[2]SaMa: ἐντεύξασθαι V **19** τε om. SaMa **28,1** ἀνύτων V[2]SaMa: νύτων V (obl. rubr.) **3** γε V[1] s.l. **7** γε VSa: γ' Ma

28,5 cf. Greg. Naz., Or. 2, 88, 1 (p. 202)

νοις· καὶ πολλή τις ἦν περὶ ἐμὲ πίστις καὶ ἅμα αἰδώς· καὶ πολὺ μάλιστα προσεῖχε τὸν νοῦν, ἅπαν ὁτιοῦν εἰρημένον, ὑπ' ἐμοῦ, μεγίστης τὲ ἀξιῶν αὐτὸς τιμῆς· καὶ τοῖς ἄλλοις ὑπ' αὐτὸν, οὐ προστάττων μόνον παραπλήσια δρᾶν ἀλλὰ καὶ πείθων, ὡς ἀνδρί τι δυναμένῳ καὶ νοῦν ἔχοντι προσφέρεσθαι· καὶ ἅμα μεγίστου βασιλέως πρέσβει, καὶ περὶ μεγίστων· καὶ πάντως οὐκ ἀλόγως ἀξιουμένῳ περὶ μεγίστων, οὕτω πράττειν· ἐξεῖναι δὲ καὶ πεῖραν λαμβάνειν ὅστις βούλοιτο· καὶ βουλομένοις ἐντυγχάνειν ξυνιέναι. πάντα γε μὴν ἐκ πάντων τιμῶν καὶ τραπέζης ἐτίμα κοινωνίᾳ· καὶ f. 174v ὁμέστιον | ἐποιεῖτο συχνάκις. καὶ μάλιστ' ἐπειδή γε καὶ ἡμέραι ξυνέτυχον, αὗται δὴ καθ' ἃς ἀπόκρεω ἡμεῖς γιγνόμενοι, νομίζομεν ἔπειτα θεοσεβοῦντες νηστεύειν (ἐν ταύταις γὰρ δὴ παντάπασιν αὐτῷ ξυνῆμεν δαιτυμόνες· καὶ τῶν αὐτῶν ἐσθίοντες), τά τε ἄλλα καὶ τὸν εἰωθότα σφίσι τρόπον, προπίνων γε αὐτὸς ἡμῖν ἐς τιμήν· ξὺν ὀλίγοις τῶν μάλιστα αὐτοῦ καὶ πρώτων, τοῦτό γε ἡμῖν ἐποίει· καὶ προύπινε· καὶ ἐτίμα· τοῖς ἴσοις ἀντιπροπινόντων εὖ μάλα δὴ προσιέμενος· ἀμφιεννύς τε ἃ κάλλισθ' ἑαυτῷ περιετίθει πρότερον ἐφάπαξ καὶ νεουργῆ, καὶ ἀνεζώννυέ γε κοσμίως αἷς δὴ μάλιστ' αὐτὸς ζώναις, πρότερον ἀνεζώννυτο. οὕτω πολλή τις ἦν, ἡ περὶ ἡμᾶς σπουδὴ· ἅμα μὲν, διὰ τὴν πρεσβείαν· ἅμα δὲ καὶ δι' ἡμᾶς αὐτοὺς, εἶναί τι δόξαντας οἶμαι. καὶ τοίνυν δεῆσαν γε ἡμᾶς ἐντυχεῖν, καὶ τῷ πρώτῳ τῶν ἐν τῇ χώρᾳ ἐπισκόπων· καὶ κοινωνὸν ὡς εἴχομεν ἐντολὰς προσλαβεῖν τῶν κατὰ τὴν πρεσβείαν αὐτὴν καὶ κοινῇ μετὰ τούτων ὥς γε νομίζεται, συντιθέμενόν τε καὶ κατομνύμενον, τὰ τοῦ κήδους μάλιστα γε δι' αἰδοῦς ἐνταῦθα καὶ σπουδῆς ὅτι πλείστης ὄντα μεγίστης, ἐκ προρρήσεως κἀνταῦθα ἀπολαύομεν τιμῆς· καὶ οἵας οὐδείς πω πρότερον, οὔτε τῶν ἐγχωρίων, οὐθ' ὁστισοῦν ξένος. ἐτίμα τὲ γὰρ δὴ πᾶσι πλέον ἢ πρότερον, ὁ ἱερὸς ἐκεῖνος εἰώθει· κυδαίνων ἡμᾶς καὶ λόγοις καὶ σχήμασι· καὶ ἅμα προσεῖχεν εὖ μάλα πως, ὡς νοῦν τιν' ἔχουσι. καὶ ταῦτα γ' ἦν ἐντολὴ ῥηγὸς καὶ οὐδὲν ὅ,τι μὴ προύλεγεν αὐτῷ ὧν τε δεήσει πάντως πράττειν, ὧν τε λέγειν· καὶ ὡς ἄρα γε ἐχρῆν, ἕκαστα καὶ

16 πολλὴ VMa: πολὺ Sa **18** μεγίστης VMa: μεγίστως Sa **23** ἐντυγχάνειν ξυνιέναι V[2] e corr. **25** ὁμέστιον V: ὃ μέγιστον SaMa **31** ἀντιπροπινόντων V: ἀντιπινόντων SaMa **33** γε V[1] s.l. **40** γε V[2] s.l.

27–28 cf. Metoch., Carm. 1, 547 (p. 24)

πράττειν καὶ λέγειν, προύλεγε· καὶ μάλα δὴ παρεσκευάσθαι καὶ προσέχειν τὸν νοῦν, ὡς ἀνδρί γε παραβαλλόμενον τά τε ἄλλα ἐλλογίμῳ, ἀλλ' οὐδ' ἄρα καὶ τῶν ἐκκλησιαστικῶν αὐτῶν, ἀσυνέτῳ θέσεών τε καὶ νομίμων.

29. Οὕτω δὴ καθάπαξ ἅπαν ἀγαθὸν ᾤεθ' ἡμῖν, καὶ ἠξίου | f. 175v
σπουδάζειν. καὶ τί δεῖ γε ἐπιπλέον ἴσως μηκύνειν; ταῦτα μέν γε πρότερον ἐξ ἀρχῆς· καὶ οὐδ' εἰς νῦν ἔτι πω λήγει παντάπασιν· ἀλλ' ὅμως γε ὑφεῖνται· καὶ τὸ τοῦ ἀνδρὸς πρόθυμον νοσεῖ. τὸ δ' αἴτιον ὥς γ' ἐφάμην, ὁ χρόνος, οὕτω δὴ πολὺς ἐκπρόθεσμος τῆς ἐγγύης προϊών, ἐκκρούει τὰς πίστεις χώραν ἀμέλει τινὰ διδοὺς ἤδη, τοῖς λογοποιοῖς τε καὶ κακούργοις· καθ' ὃν «οὐδὲν οὐδ' ὁτιοῦν ἐκ βασιλέως ἐπυθόμεθα· περὶ ὧν πράττομεν· οὐ μικρὸν οὐ μέγα» φασίν· «οὐδὲ μὴν περὶ τοῦ βασιλέως αὐτοῦ πλεῖν ἄλλο, ἢ ὅτι κατὰ τὴν βασιλίδα πόλιν ἔτι πω καὶ νῦν ἀεὶ μένει τὰ εἰωθότα πράττων. περὶ δ' ἐκδημίας αὐτοῦ πρός γε τὰ ἐνταῦθα, οὐδὲν ἡμῖν εἰς τήνδε τὴν ἡμέραν καὶ πάντα μᾶλλον ἢ τί τοιοῦτο. καὶ θαυμάζομεν οἱ πάλαι προσδοκῶντες· μᾶλλον δὲ καὶ πεπεισμένοι σφόδρα· καὶ πείθειν ἔχοντες, τὴν μέλλησιν· καὶ ὅ,τι ποτ' ἄν, εἴη τὸ τῆς ἀναβολῆς ταύτης αἴτιον. καὶ τὸ μὲν ἅπαν ἔργον ὡς ἀληθῶς ὦ σοφώτατε, ἴσμεν ἀσφαλῶς ὡς ἤνυσται τῇ βασιλικῇ γνώμῃ καθάπαξ· ἐπεὶ καὶ κατώμοσται· καὶ οὐδὲν ὅ,τι ποτ' ἄρα μὴ τρέψειεν οἶμαι τὸ δόξαν οὕτω. καὶ μὴν ἔτι γε ὡς τὰ πλείω καὶ πάντα, σχεδὸν ἀγώγιμά τε καὶ ὀχήματα ὧν ἔδει πρὸς τὴν βασιλικὴν ἔξοδον ηὐτρέπιστο· καὶ βραχέων ἄρά τινων ἔδει καὶ λίαν εὐπορίστων, καὶ τοῦτο γε ἴσμεν. ὁ δ' ὅμως χρόνος ἔτι γε τρίβει· καὶ προήκει σφόδρ' οὕτω θαυμαστῶς μηδὲν κατὰ σκοπὸν ἀνύτων, μὴ δ' ὥς τις ᾠήθη ποτ' ἄν».

30. Ταῦτ' ἄρα καὶ λογοποιοῦσιν ὡς ἔφην τινὲς τὰ κάκιστα· καὶ χαίρουσιν οἶμαι· καὶ χώράν τιν' ἔχουσιν ἤδη καὶ τὴν ἀναβολὴν ταύτην, διαβάλλουσιν ἐκ τῶν φθασάντων πάλαι πρότερον δεδιττόμενοι· καὶ μηδὲν χρηστὸν οὔτ' ἐννοεῖν αὐτοὶ λοιπὸν οὔτε λέγειν, ἔχοντες, ὡς ἄρ' οὐδὲν ἄλλ' ἢ τὰ εἰωθότα καὶ αὖθις, ἐκ βασιλέως καὶ Ῥωμαίων, τρίβειν κἀνταῦθα τὸν χρόνον, καὶ κατολίγον

51 θέσεων V: an θεσμῶν? **29,2** γε[1] V: γὰρ SaMa **4** γε V[2] e corr. **17** οἶμαι V[1] in ras. **19** ἔδει V: ἐνέδει SaMa **30,5** ἄλλ' scripsimus: ἀλλ' VSaMa

f. 175v ὑπερτιθέναι κατορθοῦντας ὁτιοῦν ἄρα· | κἄπειθ᾽ οὕτω καὶ ἡτισοῦν ἀρκέσειε πρόφασις, τὸ πᾶν τῆς συμβάσεως ἀνατρέψαι καὶ καθελεῖν. «καὶ μέχρι τοσούτου» φασὶν «εὖ ἐροῦσι καὶ συνεροῦσι καὶ σεμνολογήσουσι Ῥωμαῖοι· καὶ συμβαίνοντες κακουργήσουσι, μέχρις ἂν, ἡντινοῦν ἔπειθ᾽ ὁ χρόνος σχεδιάσειεν ἀφορμὴν· εὖ ἠνυκόσι καὶ συντελέσασιν, ὃ κρύφα καθ᾽ ἑαυτοὺς προύθεντο. καὶ τοίνυν αὐτίκα ἐξαίφνης ἀναφανήσονται χρηστοί τινες, αὐτοὶ καὶ δίκαιοι· καὶ πάντ᾽ εὔορκοι· καὶ μέγιστον ἡμῖν φήσουσιν εἶναι· καὶ πάντ᾽ ἀναντίρρητον τὸ αἰτίαμα τοῦ παντὸς ἔργου· καὶ πάνθ᾽ ἡμεῖς ἄδικοι καὶ οὐδὲν ὑγιὲς· οὔθ᾽ ὅλως ὡς ἀληθῶς νοῦν ἔχοντες, εἴ γε μηκέτι πω καὶ νῦν ξυνιέναι δυναίμεθα· καὶ ἅπαν τὸ κῆδος· καὶ πίστις ἐκείνη· καὶ τὰ συνθήματα· ὅρκιά θ᾽ οἷς ἐπέπιθμεν, παραχρῆμα ὥσπερ ἂν, εἰ πάλαί ποτε πρότερον, ἢ μηδέποτε γέγονε, μετ᾽ εὐλογίας δ᾽ ὅμως, καὶ σεμνοτάτου καὶ γεννικοῦ τοῦ σχήματος, καταλελύσεται καὶ οἰχήσεται· ὥσπερ ἐν ὀνείροις ἢ δράμασί τισι προσολίγον ἡμᾶς παίξαντα. καὶ δεινοί τινες εἰσὶν ἐνταῦθα, καὶ πλεῖστοι γόητες.» τά γε τοιαῦτα καὶ παραπλήσια ἕτερα, βλασφημεῖν τε καὶ σκαιολογεῖν· οἱ μὲν, καὶ παντάπασιν ἀναιδῶς· οἵ δ᾽ ὄπισθεν καὶ τῷ δεσπότῃ λαθραίως· εὐνοίας δοκοῦντες ἀνάγκῃ καὶ προσχήματι, ἐπάρατοί τινες ὡς ἀληθῶς ἄνθρωποι καὶ βδελυροὶ· καὶ κακονούστατοι καὶ παμμίαροι· καὶ οὓς ἄρα κακοὺς κακῶς, δίκη τιμωρὸς ἐξολέσειεν· ὡς οὐδὲν ἔχουσιν ἱερὸν οὐδ᾽ οὐδὲν ἀποτρέπονται φαῦλον· καὶ νοεῖν· καὶ λέγειν· καὶ δρᾶν· οὔτε Θεοῦ νόμους, οὔτε προνοίας θείας ἐπισκοπὴν, οὔτε θέμιν ἡντινοῦν, ὅλως ἀνθρώπων, προορώμενοι καὶ πρεσβεύοντες.

31. Τούτοις γε μὴν τοιούτοις, οὖσι· καὶ τυμβωρύχοις τὲ καὶ κακούργοις ὁ ῥὴξ· καὶ ἀεί πως ἐπιτιθεμένοις, καὶ προσβάλλουσιν ἀνεπιχείρητος ὢν παντάπασι πρότερον· καὶ οἷος μὴ δὲ ξυγχωρεῖν ὁπωσοῦν ἅπτεσθαι καὶ πειρᾶσθαι, ἐκπολιορκεῖται νῦν γε ὅμως· καὶ ὁ χρόνος οὕτω τρίβων, ὡς ἔφαμεν, δοκεῖ πως εἰ καὶ μὴ

7 κατορθοῦντας V: κατορθοῦντες SaMa **8** ἀρκέσειε VSa: ἀρέσκειε Ma **10** σεμνολογήσουσι V^{1} e corr. | Ῥωμαῖοι om. Ma **13** post αὐτοὶ spatium quattuor litterarum erasum in V **17** πω V^{2} in marg. **19** εἰ V: ἢ SaMa **22** τισιν V a. corr. **31,3** ξυγχωρεῖν VMa: ξυνγωρεῖν Sa

30,18 Hom., Il. 4, 158–159 **21–22** cf. infra, Or. 10, 1, 6–10 **28** cf. Demosth., De cor. 267

τελείως, | κατασείειν αὐτὸν καὶ κλονεῖν, καὶ χρηστὸς μὲν ἂν, ἦν f. 176
παντάπασι καὶ πάντα τις βέλτιστος, εἴ γε δὴ μηδόλως σφᾶς προσίετο· μὴ δὲ προσεῖχεν νοῦν ὁντινοῦν· μὴ δ' ὦτ' ἐδίδου τοῖς γε τοιούτοις ἐπιβουλεύουσιν οὕτω δὴ σφόδρα καὶ σκαιουργοῦσι, κατὰ τῶν δικαίων καὶ τῆς ἀληθείας· ἐκτραγῳδοῦσι τὲ οὕτω καὶ κακορραφοῦσιν, ἃ πάντων μᾶλλον ἢ θεοσεβῶν ἀνδρῶν εἰσι πλάσματα, καὶ τολμήματα· οὐκ ἀσύγγνωστος δὲ ὅμως, ὅτι δὴ μὴ καὶ σφόδρα κακουργοῦσιν οὕτω, δοκεῖ σφίσι πείθεσθαι. ἀλλ' ἔοικε μὲν μήτ' ἀληθῆ βουλομένῳ ταῦτ' εἶναι, μήτε δοκοῦντι γε εἶναι· καὶ συλλογίζεται τὴν ἐπιβουλὴν· δέδοικε δ' ὅμως, μή που τι καὶ παρὰ δόξαν ἀπαντῆσαν ἅπασαν καὶ παρ' εὐχὴν, ὧν αὐτοὶ κακῶς ἀεὶ λέγουσι καὶ συκοφαντοῦσιν, ἔπειτ' ἀπελέγξειεν αὐτὸν, ἐν σφίσιν ἀσύνετον ὄντά τινα, καὶ ἀμαθῆ παντάπασιν ἑαυτῷ, τοῦ βελτίστου τὲ καὶ ἀληθοῦς. κἀγὼ μὲν οὐ λήγω πώποτε δὴ, καὶ νῦν, τἀληθῆ παριστάνων καὶ διαβεβαιούμενος, καὶ κατομνὺς ἄτρεπτα ἐκ βασιλέως, οὐδ' ἂν, εἴ τι γένοιτο· οὐδ' ἂν εἴ τι συμβαίη δυσχερὲς, μενόντων ἀπ' ἀμφοῖν τῶν μερῶν· μᾶλλον δ' αὐτοῦ, τῶν ὅρκων· ἀκλονήτων τὲ καὶ πάντα ὑγιῶν· καὶ τῶν συνθημάτων ἁπάντων· καὶ μένειν ὑπαγορεύων, ὅσον οὐκ ἤδη θαρρούντως τὸ πέρας ἑκάστοτε κατ' εὐχήν τε καὶ ἡδονὴν ἅπασαν· καὶ ἀεὶ περὶ τῶν χρηστῶν, αὐτῷ σφόδρ' ἐνιστάμενος· καὶ τοὺς λογισμοὺς ἐπὶ ταῖς ἐλπίσιν ἱστῶν μὴ δραπετεύειν μὴ δ' ἐκτρέπεσθαι· καὶ νῦν μὲν χειμῶνας· νῦν δ' ἄλλα ἄττα, ὅσα εἰκὸς ἐπ' ἐξόδῳ τοιαύτῃ βασιλείῳ, τῆς ἀναβολῆς αἰτιώμενος· μηδέν γε μὴν εἶναι ταῦτα· μήτ' ἄλλ' οὐδὲν ἅπαν ἐμποδὼν εἰς τὸ πέρας αὐτὸ τῆς ὑποσχέσεως· ὅρκοις τὲ οἷς ἔξεστιν ἅπασι τὰς ὁμολογίας ἐμπεδούμενος καὶ παραδιδοὺς αὐτὸς αὐτῷ τοὐμὸν σῶμα καὶ ἐνεχυράζων, ἐπὶ τοῖς λόγοις ὅ,τι πῃ ἂν βούλοιθ' ὕστερον, ἔπειτα χρῆσθαι μὴ γιγνομένων οὕτω.

32. Ὁ δὲ, πείθεται μὲν (βούλεται γὰρ | καὶ πάνυ τοι πρόθυ- f. 176[v]
μος ἐστὶν, ἐφ' οἷς σπουδάζω), ὁ δ' ὅμως χρόνος παριὼν οὕτω πολὺς, δοκεῖ πλήττειν· καὶ ἅμα οὐ μόνα τὰ ἐκ τῶν οἴκοι κακούρ-

7 τι Ma **8** ὁντινοῦν V: ὁντιοῦν Sa, ὁτιοῦν Ma | κατὰ post γε add. Ma **22** ἀπ' V[1] e corr.: ἐπ' V SaMa **23** τὲ om. Sa **25** τε om. Sa **28** ἄττα scripsimus: ἅττα VSaMa **33** πῃ V[1] s.l.Sa: πὴ Ma

γων τούτων καὶ βασκάνων ὅσαι ἡμέραι τὲ καὶ νύκτες, ἐκπολεμεῖ τε καὶ ταράττει, καὶ δεδίττεται, ἀλλὰ καὶ τὰ τῶν ἔξω δὴ καὶ ἐγγειτόνων αὐτῷ τε καὶ ἡμῖν, ἀρχόντων τουτωνί· τοῦτο μὲν ἐκ Μυσίας· τοῦτο δὲ ἐκ Θετταλίας καὶ τῶν ἐκεῖ δεσποτῶν. τὼ μέν γε ἀδελφὼ τούτω τὼ Θετταλὼ ἄρχοντε, ἐστὸν μὲν οἵω ἐστὸν· καὶ αὐτὸς οἶσθα· καὶ πάντες ἴσασι· καὶ Δημοσθένης ὁ ῥήτωρ αὐτὸς ἀμέλει φησὶ πάλαι πρότερον· ὡς ἀεὶ τὰ Θετταλῶν ἄπιστα· καὶ κοινῇ τε ἐκ γένους· ἐκ μακροῦ τοῦτο κλῆρος αὐτοῖν· καὶ ἰδίᾳ ἐκ τοῦ σφετέρου γένους τὲ καὶ προγόνου. νῦν γε μὴν, καὶ ἐπιδεδώκατον τοῦ ψεύδους· καὶ προσεπιδεδώκατον τῆς ἀπονοίας καὶ κακονοίας αὐτῆς· τὴν μετὰ τοῦ βασιλέως ἕνωσιν οὕτω γνησίαν τοῦ Τριβαλλάρχου, καὶ τὴν εἰς τὰ ἐνταῦθα βασιλικὴν ἐπιδημίαν, σφόδρα ὑφορωμένω καὶ δεδιότε κακόν τι πάντως, ἐπ᾽ αὐτοῖν φέρειν. καὶ τοίνυν ἐκεῖθεν καθεκάστην ἐνταῦθα· φοιτῶσιν κρύφα τὲ καὶ ἀνέδην ἤδη· γραφαί τε καὶ μηνύματα· καὶ δεινοί τινες ὑποβολιμαῖοι, κακολογοῦντες καὶ πάντα διαστρέφειν πειρώμενοι τὰ παρ᾽ ἡμῶν· νῦν μὲν ἀπαγορεύοντες ὡς οὐδὲν τῶν ἡμετέρων ἀληθὲς· καὶ προδιδάσκειν πειρώμενοι, μὴ προσέχειν ὅλως· μὴ δὲ πιστεύειν εἰκῇ, μὴ δ᾽ εἰς τέλος ἀπατᾶσθαι ἃ φασὶ μὴ φύσις εἶναι· ἅτε ἀκριβῶς εἰδότες αὐτοὶ (οὐκ οἶδ᾽ ὅπως οὐδ᾽ ὅθεν, ἐκ βαράθρων), καὶ πεπειραμένοι μάλιστα, ἐκ τῶν σφετέρων· νῦν δὲ τὰ ἑαυτῶν προκρίνοντες· καὶ συνάπτεσθαι πάλιν· καὶ συμβαίνειν ζητοῦντες· καὶ ἢ τὰ ἐπ᾽ ἀδελφῇ πρότερα κήδη κινεῖν, καὶ συνδεῖν νῦν γε εἶναι ἀσφαλέστερον· καὶ κοινῇ κατὰ Ῥωμαίων φρονεῖν ὅρκοις ἀρρήτοις τισὶ καὶ ἀρρήκτοις, ἐμπεδωθέντες εἰς ἀχώριστον παντάπασιν
f. 177 ἕνωσιν, ἢ ἣν μὴ τοῦθ᾽ αἱροῖτο, μετὰ τῶν αὐτῶν ὅρκων | ἑνοῦσθαι τὲ καθ᾽ ἡμῶν καὶ φρονεῖν τὸν ἅπαντα χρόνον ἓν, καὶ νέα πράττειν νυμφεύματα, δεσμῷ φιλίας ἀτρέπτου· καὶ προσλαμβάνειν ἐπ᾽ ἀδελφιδῇ νυμφίον, θάτερον αὐτῶν τὸν πρῶτον. ταῦτά τε τοῖν ἀνδροῖν τούτοιν· καὶ παραπλήσι᾽ ἕτερα καὶ χείρω· καὶ οὐκ ἔχω λέγειν ἑξῆς ἅπαντα.

32,4–5 ἐκπολεμεῖ τε VMa: ἐκπολεμεῖτε Sa **9** πάντες VSa: ἅπαντες Ma **13** προσεπιδεδώκατον V^2SaMa: προσεπιδώκατον V | τῆςVMa: τοῖς Sa ἀπονοίας V^1 e corr. **18** ἀνέδην V^1: ἀναίδην VSaMa **20** ἀπαγορεύοντες VMa: ἀπαγορευόντων Sa **26** κινεῖν V^1 in marg., om. SaMa

32,10 Demosth., Olynth. 1, 22

33. Ἡ δέ γε χρηστὴ βασιλέως αὕτη· καὶ κοσμία καὶ πάντολμος ἀνεψιὰ Μυσῶν δεσπότις· ἡ παλαμναίᾳ χρησαμένη τύχῃ προτρίτης· καὶ ἀρτιπενθὴς χήρα· καὶ ὁ νεουργὸς οὗτος δὴ Σκύθης· καὶ πολὺν ἤδη πλάνον δραπέτης, ἐξ ἀλλοδαπῆς νέον ἐπιδεδημηκὼς, τῇ φίλῃ ταύτης κόρῃ νυμφίος, ὅσα καὶ οἷα παρέσχον τὲ καὶ οὐδέπω νῦν λήγουσι, ῥηγί τε κἀμοὶ πράγματα· συχναῖς καθ' ἡμῶν πρεσβείαις· συχνοῖς ἀγγέλμασιν ἐκλιπαροῦντες σφᾶς τὲ προσίεσθαι· καὶ μηδὲν τοῖς ἐκ βασιλέως θαρρεῖν ὡς οὐδὲν ἀληθὲς ἔχουσιν· οὐδ' οἷον καὶ τέλος ποτὲ λήψεσθαι. καὶ τοίνυν ἄλλοι τὲ περὶ τούτων, καθεκάστην σχεδὸν ἐκεῖθεν ἡμῖν ἀφικνοῦνται· καὶ μάλα συχνοὶ κατεπείγονται καὶ σπουδάζουσι· καὶ εἷς γε δή τις οὗτος ὁ προύχειν ὡς ἔοικέ τι δοκῶν, ἐξαρχῆς ἀφιγμένος, ἡνίκα δὴ καὶ αὐτὸς, ἐκεῖθεν μέχρι καὶ νῦν ἐνταῦθα σὺν ἐμοὶ μένει, καὶ τρίβει τὸν ἅπαντα χρόνον ὅσον ἐγὼ· τλήμων ἐκ γειτόνων ἐνθάδε συμπαρὼν ἐμοὶ· καὶ ἀντιπρεσβεύων ἐφ' ἑκάστοις καὶ ἀναπείθων ἅττ' ἂν, φαίην αὐτὸς· ἀνθρώπιόν τι φλαῦρον καὶ καταγεγηρακὸς, ἀμαθίᾳ τὲ πάσῃ καὶ κακονοίᾳ καὶ φλυαρίᾳ· καὶ πεπολιωμένον, ἀλλ' ἐπιεικῶς εὔηθες· καὶ καταμηδὲν ἀληθείᾳ προσῆκον, οὐδ' ἱκανὸν ὑγιεῖ χρείᾳ τινί. τούτῳ με δεῖ πολλάκις ἄλλοτε δὴ καθ' ὁδὸν συναντᾶν· καὶ ἐς τοῦ ῥηγὸς συνεῖναι· καὶ ὁμέστιον γίγνεσθαι· καὶ συνῆμεν ἤδη πολλάκις ἐς αὐτοῦ πρότερον· ἐν ἑστιάσεσί τε καί τισιν ἄλλαις οἶμαι· συνελεύσεσιν οὐ τῶν αὐτῶν ἀξιούμενοι (μὴ γὰρ οὕτω ποτὲ γένοιτο· μὴ δ' ἄρα τοσοῦτο πάθοιμεν, οὐδὲ γὰρ ἂν, ἠνεσχόμεθα· καὶ τὸ πρᾶγμ' εὔδηλον, ὡς οὐδ' οὕτως ἔσοιτό ποτε), παρῆν δ' οὖν ὅμως· | ὡς ἔφην ἐνίοτε· καὶ συνῆν γε ἡμῖν, ἐπίτηδες f. 177v ῥηγὸς πράττοντος· ὡς ἂν, αὐτόθι παρών τε καὶ ἀκροώμενος περὶ ὧν ἰσχυριζόμην αὐτὸς ἐν τοῖς ἡμετέροις εὖ μάλα προσιεμένου καὶ σπουδάζοντος αὐτοῦ, αὐτόθεν ἀπαγορεύοι καὶ πλήττοιτο καὶ ἀπελέγχοιτο περὶ ὧν λέγοι, λέγων μηδὲν ὑγιὲς· ὁρῴη τε προδήλως, ὡς ὧν ἡ δεσπότις ἐρῴη, πάντων ἐστὶν ἀποτυγχάνουσα. ἐρᾷ δ' ἡ ἄνθρωπος καὶ διαμηνύεται μετ' αὐτοῦ τε καὶ πάντων ἄλλων οἳ συχνοί γ' ὡς ἔφην ἡμῖν καταπεφοιτήκασιν, οὐδὲν ὡς ἔπος εἰπεῖν σωφρονικὸν· οὐδ' ἀστεῖον· οὐδ' εὐγενὲς· ἀλλ' ὅπως ἂν, ἀνασοβήσειέ τε τὸν ῥῆγα· καὶ τοὺς λογισμοὺς ἀνατρέψειεν, ἐφ' οἷς

33,1 βασιλέως V²SaMa: ασιλέως V (obl. rubr.) **3** προτρίτης VMa: προτρίτως Sa **14** τὸν om. Ma **19** ἄλλοτε V: ἄλλη τε SaMa **21** τε V² s.l. **29** λέγοι V: λέγει SaMa | ὁρῴη VSa: δρῴη Ma **30** ἐρᾷ δ'VSa: ῥᾷδ' Ma **33** οὐδ¹ om. Sa

νῦν γε καλῶς ἥδρασται· μένων· καὶ ποθῶν τε καὶ προσδοκῶν καὶ πεποιθὼς τὸ βασίλειον κῆδος ὅσον οὐκ ἤδη νῦν ἀπαντῶν· καὶ περαῖνον. ταῦτα τὲ δὴ βούλεται· καὶ πάντα τρόπον ὡς ἔφην, κατασεῖσαι τοὺς λογισμοὺς ἐκφοβοῦσα παραπλησίως, καὶ αὐτὴ τοῖς πολλοῖς ὡς ἀκριβῶς εἰδυῖα· καὶ σὺν εὐνοίᾳ δῆθεν προλέγουσά τε καὶ πείθουσα ὡς πάντα τὰ ἐξ ἡμῶν ψευδῆ καὶ μετ' ὀλίγον οἰχήσεται· καὶ μὴ χρῆναι πιστεύειν ἀμαθῶς· μὴ δ' ἀπατᾶσθαι μέχρι παντός. τούτοις γε μὴν ἐπίτηδες συνείρει τὲ καὶ μετοχετεύει· καταμαστροπεύουσά τε καὶ γοητεύουσα· καὶ γέλωτα μὲν ὡς ἀληθῶς ὀφλισκάνουσα τῆς ἀκαίρου τέχνης καὶ πείρας· σπουδάζουσα δ' ὅμως, ἐφ' ἑαυτὴν ὡς οἷά τέ ἐστιν ἑλκῦσαι τὸ νύμφευμα· παραλύσασα τοὺς μεθ' ἡμῶν ὅρκους· καὶ τὰ συνθήματα· προμνωμένη δηλαδὴ καὶ κατεγγυῶσα τὲ καὶ κυδαίνουσα τὰ τῆς τῶν Μυσῶν ἀρχῆς· ἧς δεσπότις αὐτὴ· καὶ ἧς δι' αὐτὴν ἐσεῖται πάντως αὐτός.

34. Τοιαῦτάττα συνελόντ' εἰπεῖν, καταφλυαρεῖ τε καὶ καταψεύδεται· προστιθεῖσα καθ' ἡμῶν ἀγγελίας ἑκάστοτε δυσχερεῖς· καὶ πάντ' ἐπιχειροῦσα πρὸς τὸν σκοπὸν· καὶ φήμας ἐκπέμπουσα· νῦν μὲν ὡς ἐπίασι τὴν βασιλέως οἱ Σκύθαι καὶ λεηλατεῖται τἀπὶ Θράκης· νῦν δὲ ὡς τοῦ βασιλέως τὰ πρὸς ἕω νοσεῖ· καὶ ταύτῃ λοιπὸν ἐκεῖνος | f. 178 ἐμμέριμνος· καὶ μὴ χρῆναί τι προσδοκᾶν ἐκεῖθεν αὐτὸν ἀγαθὸν· νῦν δὲ ἄλλό τι πάντως ἀπαίσιον· καὶ οὐδὲν ὅ,τι οὐ φαῦλον. καὶ τίς ταῦτα πάντα κατὰ θνητῶν ἀνθρώπων μυθήσαιτο· φεύγων ἅμα μὲν τὸν λῆρον· ἅμα δὲ τὸ βλάσφημον; καὶ φειδώ τις ὄντως ἀνθρώποις ἀστείοις ὕπεστι, περὶ τῶν τοιούτων καὶ μεμνῆσθαι καὶ λέγειν· πλήν γε ὅτι βασιλέα ταῦτα πάντα προειδέναι χρὴ· καὶ σέ γε αὐτὸν προειδέναι τὲ καὶ προλέγειν, ὄντα γε ἐν οἷς, εἶ, καὶ μέσον τῶν κοινῶν ἑστῶτα· καὶ μὴ παντάπασι παρορᾶν ὡς λόγου μηδενὸς ἄξια· ἵνα μὴ δή τι πολλάκις ἔκ γε τῶν τοιούτων, καὶ τῆς ἡμετέρας βραδυτῆτος παρὰ δόξαν ἀπαντήσειεν· εἰωθὸς οὕτως ἐνίοτε γίγνεσθαι· καὶ τῶν κακῶν καὶ ψευδῶν τε καὶ

39 τοῖς πολλοῖς V: τοῦ πολλοῦ SaMa **41** ἀπατᾶσθαι VSa: ἀπαντᾶσθαι Ma **34,1** καταφλυαρεῖ V²SaMa: αφλυαρεῖ V **8** τίς V² in ras. **10** ἀστείοις om. Ma **13** ἑστῶτα VSa: ἑστῶσα Ma

34,8 cf. Hom., Od. 3, 113–114

φαύλων, ὑπ’ ὀλιγωρίας ἡττᾶσθαι τἀληθῆ τε καὶ ἀγαθά· καὶ κουφοτάτου πράγματος, ὥς φασι τῶν κακίστων λόγων· μεγίστην ἐνίοτε ζημίαν, ἀπαντᾶν ἐν τοῖς πράγμασι. ὅθεν δὴ μὴ πάντ’ ὦ γενναῖε περιφρονείσθω· μὴ δὲ θάρρει τοῖς ἀληθέσιν ὡς ἀηττήτοις καὶ ἀτρέπτοις παντάπασιν· ἀλλ’ ἐπιστρέφου καὶ τῶν λήρων τῶνδε καὶ φαύλων· καὶ τῶν αὐτά γε καὶ λεγόντων δὴ καὶ πραττόντων ἐπιστρέφου· καὶ πειρῶ τάχει τῶν καλῶν καταστρέφειν τὰ χείρω καὶ κατελέγχειν· καὶ τὰ βελτίω, βελτίω πάντως οὕτω πέρας ὁτιοῦν λαμβάνοντα· εἰ δὲ μή γε, λόγος ἄλλος καὶ πάντως εὐπεριφρόνητα. καὶ τοίνυν καὶ τὸ νῦν οἶμαι τοῦτο κῆδος καὶ ἡ τῆς πράξεως ταύτης οἰκονομία καὶ βούλευσις εἴ γε ἐπ’ ἀληθείας βασιλεῖ· ὡς ἄρα γε ἐπ’ ἀληθείας ὄντως διανενόηταί τε καὶ λυσιτελοῦν κέκριται· καὶ κεκύρωται· καὶ τό γ’ ἐπ’ αὐτῷ βασιλεῖ, πεπέρανται, (καὶ αὐτὸς ἀκριβῶς οἶδα· καὶ οὐδεὶς ἄλλως ἐρεῖ, οὐδ’ ἀμφιγνοήσει μετρίως τῶν ὅλως εἰδότων βασιλέα· τά τε ἄλλα καὶ περὶ ὧν ἐφάπαξ, κατερεῖ τε καὶ κατομόσεται), τίς ἡ βραδυτὴς αὕτη· τίς ἡ κατ’ ὀλίγον ἐς τοσοῦτον ὑπέρθεσις; βεβούλευται· κέκριται· | ἤνυσται δή· καὶ ἀπ’ ἀμφοτέρων τῶν μερῶν κατώμο- f. 178v
σται. αἱ ὁμολογίαι πᾶσαι· αἱ συμβάσεις καὶ τὰ συνθήματα, πέρας ἔχουσι. δεῖ δὲ ἔργου λοιπὸν· δεῖ δὲ τάχους· καὶ τοῦ τὰς ἐπιβουλὰς ταύτας ἐπισχεῖν τε καὶ ἀνακόψαι δεῖ, μή τι παρ’ ἐλπίδα λυμήνωνται· καὶ μὴ πάντα ἐν πᾶσι τοῖς λόγοις πιστευτέον· καὶ τοῖς συνθήμασιν· ἀλλὰ καὶ τὸ μέγιστον ἐπὶ τοῖς ἔργοις ὥς φασὶ πλεονέκτημα, τὸν καιρὸν προσλαβεῖν σπουδαστέον· ἀλλ’ οὐκ ἀμελητέον οὐδὲ παροπτέον ἀεὶ προϊὸν· ἀλλ’ ὡς εἰκὸς προσληπτέον· μᾶλλον δὲ προληπτέον ὡς οἷόν τε. ἐγὼ μὲν γὰρ ἐς νῦν ἀντέσχον ταῖς ἐπηρείαις ταύταις καὶ κακονοίαις· καὶ λέγων· καὶ πείθων καὶ μέχρι παντὸς τοῖς λόγοις καὶ τοῖς ὅρκοις χειρούμενος· καὶ ἴσως γε καὶ μέχρι τινὸς ἑξῆς αὖθις ἀντισχήσω καὶ οὐκ ἀμέλει ταχέως νῶτα τὲ δώσω· καὶ ἀπογνώσομαι· καὶ τραπήσομαι· καὶ ἡττήσομαι. ἐς τέλος δὲ πάντως οὐκ ἀντισχήσω· οὐδὲ λόγοις αὐτὸς περιέσομαι.

24 an βελτίω[2] delendum? | πάντως VSa: πάντων Ma | πέρας VSa: περὶ Ma **26** τοῦτο om. Sa **30** ἄλλως correximus: ἄλλος VSaMa **32** βραδυτὴς VSa: βραδύτης Ma **41–42** ἀεὶ – προληπτέον om. Ma **47** πάντως om. Ma

18 cf. Plat., Leg. 717d **39–40** Ael. Arist., Or. 30 (p. 577, 18–19)

ἀλλ’ ἄδηλον εἴ γ’ ἐπὶ παντὸς, ἀεὶ τὰ βελτίω τίς λέγων νικῴη· καὶ οὐ τῶν φαύλων ἡττήσεται· καὶ τὰ χείρω παρέλθοι, τὸν λόγοις μόνοις ἐπιχειροῦντα· καὶ τούτοις ἀεὶ θαρροῦντα τὲ καὶ βραδύνοντα· ὡς ἔστι λόγος μὲν ἅπας καὶ ἐπὶ πάντων, ὡς ἀληθῶς ἔργου σκιὴ· ἐπὶ δέ γε τῶν βαρβάρων τουτωνὶ καὶ ὀλιγόνων, τοῦτο δὴ μάλισθ’ οὕτως ἔχει· καὶ οὐ πάντα ῥᾷστα λεγόντων προσίενται· καὶ μάλιστα γ’ ἐν τοιαύταις ἐπιβουλαῖς προσβολαῖς τε καὶ κακουργήμασι· καὶ ὅτι δὴ πλέον αὐτῶν τε καὶ τῶν ἄλλων τοῖς λόγοις, προχειρότατα δοκοῦμεν ἡμεῖς χρῆσθαι· καὶ κατισχύειν· καὶ πείθειν· καὶ μεταπείθειν· καὶ πάντα στρέφειν, ὡς ἂν, βουλοίμεθα. κἀγὼ μὲν ἐν τοῖς πράγμασιν αὐτὸς ὢν, ἅττα δὴ ξυνελογισάμην καὶ ξυννενόηκα, καὶ δεδήλωκα πάντα ἑξῆς καὶ κατείρηκα· καὶ εἰσηγησάμην, ἅττ’ ἂν, δοκοίη βέλτιστα. νομίζομεν δὲ οὐχ ὅσα νοοῦμεν αὐτοὶ, βελτίω δὴ καὶ λυσιτελοῦντα, ἀλλ’ ἅττα δὴ βασιλεῖ
f. 179 γίγνεται· καὶ πειθόμεθα | πολυπραγμονοῦντες, ἔπειτ’ οὐδὲν οὐδ’ ἀνερευνώμενοι. καὶ μὴν ὅσα γε ἐπὶ τοῖς πράγμασιν αὐτοὶ ξυνορῶμεν, εἰσφέρειν νομίζομεν· ὡς νῦν γε καὶ αὐτὸς, ἐν οἷς ἄρα νῦν εἰμὶ διὰ τῶν μακρῶν σοι τούτων γραμμάτων, ἐπῆλθον τὲ καὶ διείλεγμαι· καὶ γεγένησαι δι’ αὐτῶν μεθ’ ἡμῶν. ἃ μείζω μὲν ἢ κατ’ ἐπιστολὴν ὄντως ἐκτέταται, μείω δὲ ἢ ὡς ἂν, βουλοίμην αὐτὸς· καὶ ἀκορέστως ἔχω τῆς σῆς ἐντυχίας· αὐτόθι τὲ δὴ παρὼν, καὶ συνὼν ἥδιστα· καὶ μάλιστα νῦν γε ἐς τοσοῦτον ἀπόδημος· καὶ ἅμα τι κἀντεῦθεν ἡμῖν εἴη κέρδος, τοῦ μήκους τῆς ἐπιστολῆς ταύτης εἴτουν τοῦ βιβλίου, διὰ τῆς σῆς σοφίας τὲ καὶ φιλίας.

51 ἔργου VSa: ἔργον Ma **54** γ’ V: γε SaMa **58–59** ξυνελογισάμην καὶ ξυννενόηκα VSa: ξυνελογησάμην καὶ ξυννεκόηκα Ma **62** οὐδ’ V[1] s.l. **71** τοῦ V[2] s.l.

48 Id., Or. 37, 29 (p. 312, 25) **51–52** cf. Plut., Mor. 9F

9

Μονῳδία ἐπὶ τῇ βασιλίδι Θεοδώρᾳ τῇ τοῦ βασιλέως μητρί

1. Οὔτε λέγειν ἄρ’ ἔξεστιν ὦ παρόντες εἰς τήνδε τὴν χρείαν, οὔτε σιωπᾶν ἄμεινον. ὅτῳ γὰρ κλάειν ἄτρεπτος ἀνάγκη· καὶ κατασχεῖν οὐχ’ οἷόν τε, πῶς ἂν ὅδε καὶ περὶ ὁτουοῦν ἔχοι λέγειν; σιωπᾶν δ’ αὖθις αἱρεῖσθαι περὶ τῶν οὕτω μεγίστων καὶ ἀναγκαίων, οὐκ οἶδ’ ὡς εἴ τί ποτ’ ἄλλο, μεμνημένους τὲ εὐφημεῖν καὶ θρηνοῦντας ἐξαίρειν, δεικνῦντας τὸ μέγεθος τῆς ζημίας, καὶ οἵων ἐστέρηνται, ὦ πῶς ἄν τις ἀνάσχοιτο· πῶς δ’ ἄν, ἕλοιτο; καὶ μὴν ἐνίους αὐτὸ μάλιστα τοῦθ’ ὁρῶμεν πολλάκις, εἰς παντελῆ καταστῆσαν ἀφωνίαν, ἢ μέγεθος ἀνίκανον καὶ οὐκ αὔταρκες, ἀλλ’ ἀλόγιστον συμφορᾶς ἢ πραγμάτων ὄγκον ἀξιολόγων, ὥσθ’ ἃ μάλιστ’ ἀνάγκην ἔχει πάντα κινεῖν λόγον, ταῦτ’ ἐξ ἑτέρου δὴ τρόπου, καὶ πλεῖστον ἐπέχειν ὁπηοῦν φθέγγεσθαι. καὶ τοίνυν ἔγωγε νῦν ἀπορῶ, τί ποτ’ ἄν, μάλιστ’ ἀμφοτέρων, ἄκοντος γίγνοιτο· ἢ περὶ ὧν οὐκ ἔξεστιν ἐνταῦθα λέγειν, λέγειν αἱρεῖσθαι, ἢ περὶ ὧν οὐ δίκαιον οὐδ’ αὖθις | ἔξεστι σιωπᾶν, σιωπᾶν. ἄπορον f. 179v μὲν οὖν οὕτως ἐπ’ ἀμφότερα. οὐ μὴν ἀλλὰ θαυμάσαι τίς ⟨ἂν⟩ ἴσως μᾶλλον σιωπῶντος· ὡς ἄρα τῷ σιωπᾶν, προσείη τίς ἄν, καὶ νέμεσις ἑτέρα· ἀμαθίας ἴσως ἢ ἀγνωμοσύνης ὑποψία περὶ τῶν βελτίστων. καίτοι τίς οὕτως ἀμαθὴς τῶν ἁπάντων ἀνθρώπων, καὶ ἀναίσθητος ὃς οὐκ ᾔσθηται τὴν κοινὴν ταύτην καὶ μεγίστην, τοῦ παντὸς ἔθνους συμφορὰν· τῆς πάντα ἀρίστης καὶ θαυμαστῆς βασιλίδος, ἐξ ἀνθρώπων γενομένης· ἧς οὐκ ἦν ὁτιοῦν ἢ παθούσης ἢ ποιησάσης, ἁπάντων ἀνθρώπων ὁντιναοῦν ἀγνοεῖν· οὐ διὰ τὴν τύχην μόνον· ἀλλὰ καὶ τὸ κλέος μάλιστ’ αὐτὸ· ὃ πολλαὶ καὶ μέγισται πράξεις καὶ ἀρεταὶ κατὰ πάσης ὥσπερ τῆς οἰκουμένης θριαμβεύουσαι, σφόδρα παμμηκέστατον, ηὔξησαν αὐτῇ; καὶ μὴν οὔτε τὴν Ῥωμαίων ἡγεμονίαν ἀγνοεῖν εἰκὸς τῶν ἁπάντων οὐδένα, καὶ πρὸς πάντας ἔφθασε μάλιστα, ἡ τῆς ἐν αὐτῇ θαυμασθείσης

tit. post βασιλίδι quattuor litterae erasae (an κυρᾷ?) in V | λόγος θ′ V[2] in marg. **1,3** ἔχοι corr. Si: ἔχει V **16** ἂν addidimus **20** ὃς V: ὡς Si

1,2–3 cf. Synes. Cyren., Catast. 2, 1, 1 (p. 204) **19–20** cf. Ael. Arist., Or. 22, 2 (p. 28, 7–9)

βασιλίδος, κομιδῇ πομπεύουσ' εὔκλεια· μέγά τι δοκούσης αὐτῆς· μάλιστ' ἐπ' αὐτῆς, οἶμαι τῆς ἡγεμονίας καὶ ὄντως εὖ μάλ' ἡρμόσθαι.

2. Εἶχες μὲν γὰρ μεγίστη βασιλίδων καὶ θειοτάτη, πάντα κατὰ λόγον αὐτῇ· καὶ αὕτη γε σοὶ προσήκειν· καὶ σύ γε προσήκειν αὐτῇ. οὐκ ἔχω τίνας ἀνθρώπων ἐρεῖν, οὐ πρὸς ὑμᾶς θαυμάζοντας ἐπιστρέφουσαν, τὴν ἱκάνωσιν καὶ κοινωνίαν ὡς ἀληθῶς εὖ πεφυκυῖαν. καίτοι τὰ μὲν ἄλλα, τί τίς ἂν, ἔχοι λέγειν; νῦν δὲ σοῦ κειμένης οἶμαι, τίς οὐκ ᾔσθηται, τοσοῦτο μέγεθος τῆς ζημίας· τίς οὐ σφόδρ' ἀλγεῖν ἔχει βοῶν ἅμα καὶ μεμηνώς, ὥσπερ ἐκπλήξει, τῆς ἀπευκταίας τύχης· καὶ ἀδοκήτου μάλισθ' ὡς ἀπευκταίας; σοῦ γὰρ ἀδόκητος οὕτω σχεδὸν θάνατος, ὡς ἀηδής τε σφόδρα καὶ ἄχαρις (ἡ γὰρ χρεία μεγίστη· καὶ ὁ πόθος ζώσης, κλέπτοντα τἀληθὲς ἠπάτα), σοῦ τοίνυν οὕτως ἀδόκητος θάνατος· καὶ λογισμῶν ἔξω πρότερον, ὥσπερ εἴ τι τῶν ἀρρήτων τὲ καὶ ἀπορρή- f. 180 των· ἡλίου τίς μύσις· σελήνης | ὑφαίρεσις παντελής. ἐδόκει δ' ἄν τις ὡς ἔγωγ' οἶμαι, ὕπνον ἄν τινα τέως δαμάσαι τοὺς ἀκοιμήτους αὐτοὺς ἀστέρας· καὶ καταπηρῶσαι τὰς νύκτας παντάπασιν ἀνθρώποις ἀφεγγεῖς· ἢ σὲ τὸν ἀτελεύτητον ὕπνον καὶ τὴν σκυθρωπὴν ταύτην τελευτὴν, κατασχεῖν. ἧς γε ἄρα τὸ ζῆν, πολλοῖς ἦν ζῆν· καὶ πλείστοις ἦν σε βούλεσθαι ζῆν, ὥσπερ ἄρα καὶ σφᾶς αὐτοὺς ἦν βούλεσθαι ζῆν· καὶ ἧς ἄρα κοιμηθείσης τὸν ζοφερὸν τόνδε καὶ κάκιστ' ἀηδέστατον ὕπνον· καὶ σβεσθείσης τὴν εἰς πολλοὺς δᾳδουχοῦσαν ζωτικὴν ἀληθῶς χάριν, ἀφεγγὴς παντάπασιν, ἅπαντας ἔσχεν νὺξ· μελαίνουσα πάθεσι πολλοῖς· καὶ τί γὰρ οὐ κακὸν φέρουσα· πρὸς ἐσχάτην αὐτῆς ζωῆς ἀηδίαν. καὶ νῦν δὴ περιιᾶσιν ἅπαντες οἶμαι τὸν ἀβίοτον ὄντως βιοῦντες βίον· ἐν ζόφῳ καρδίας καὶ λογισμῶν σκοτομήνῃ· ἔμπληκτοί τινες τῇ καινοτομίᾳ ταύτῃ· θαυμάζοντες μὲν ἴσως ὅ,τί ποτ' ἐστὶν ὃ γέγονε· μᾶλλον δ' ὅ,τί ποτε γενήσεται λοιπὸν· μὴ ξυνορᾶν δ' ἔχοντες ὅλως μὴ δὲ

2,4 ἐπιστρέφουσαν corr. Si: ἐπιστρέφουσαι V **5** τίς V: τις Si **10** κλέπτοντα V^2 s.l. Si: κλέπτουσα V **20–21** τὴν εἰς πολλοὺς δᾳδουχοῦσαν V: τῆς εἰς πολλοὺς δᾳδουχούσης coni. Si **21** ὡς ante ἀληθῶς erasum in V ἀφθεγγὴς V a. corr. **23** περιιᾶσιν V: περιίασιν coni. Si **24** ἀβίοτον V: servavimus, ἀβίωτον Si

2,20–24 cf. Ael. Arist., Or. 22, 11 (p. 31, 9–12) **24** cf. Aristoph., Plut. 969

καταλογίζεσθαι, ὥσπερ ἀήθει τινὶ καὶ παραδόξαν ἀπαντῶντες δράματι· καί τινι βαρυαλγεῖ καὶ καινῇ τύχῃ, περὶ τὴν τοῦ παντὸς αὐτοῦ κατάστασιν· θρηνεῖν μὲν ἔχοντες ἅπαντες πάνυ τοι πλεῖστα· καὶ θρηνοῦντες· θρηνεῖν δ’ οὐκ ἔχοντες ὄντως τὰ δίκαια· ἢ ὁποῖάττα βούλονται καὶ ἀξιοῦσιν· οὐ μόνον διὰ τὸ μέγεθος αὐτὸ τῆς συμφορᾶς οὐχὶ ἱκανούμενοι, ἀλλὰ καὶ τῇ τοῦ πράγματος ἐκπλήξει καθάπερ ὑπ’ ἀμηχανίας ἀπειρηκότες· ὥσπερ ἐν τοῖς τοιούτοις ἀπορεῖν εἰώθασιν ἄνθρωποι· ὅτι μέν γε τὰ πάντων κακῶν ἔσχατα καὶ δεινότατα, πεπόνθασιν, εὖ εἰδότες· καὶ οὐχ οἱ μὲν, μᾶλλον, οἵ δ’ ἧττον· καὶ οὐχ οἱ μὲν, οἵ δ’ οὔ· οὐδ’ ἄνδρες μὲν, γύναια δ’ οὔ· καὶ πρεσβύται μέντοι πλεῖστον καὶ πρεσβύτιδες, ὅσοι καὶ πλεῖστον αὐτῆς πεπείρανται, νέοι δὲ καὶ νέαι τῶνδ’ ἧττον· ἴσως ἧττον πεπειραμένοι. οὐ γάρ ἐστιν οὐκ ἔστιν, ὃς οὐκ εὖ σοῦ γε καὶ ὁπωσοῦν τῆς πάντα ἀρκούσης καὶ δυναμένης πεπείραται· | καὶ πεπειραμένος οὐκ εἶχεν ἅμα· καὶ ἥδεσθαι μάλα καὶ f. 180v θαυμάζειν· καὶ νῦν γε μεγίστης τοὐναντίον ἅπαν αἰσθάνεσθαι, τῆς ζημίας.

3. Καὶ τοίνυν, οὐδείς ἐστιν ὃς μὴ τοῖς ἄλλοις συμμετέσχηκε μετὰ ταύτης νῦν, καὶ τῶν ὀδυρμῶν· καὶ πᾶς ὁτῳοῦν παριστάμενος, παρακαθήμενος· λόγων ἀμηγέπῃ κοινωνῶν, κοινωνὸν καὶ αὐτὸν ὅστις ἐστὶ τὸν ὁμιλοῦντα τοῦ κλάειν ἔχει· καὶ παρήγορον οὐκ ἔστι καθάπαξ οὐ μήποθ’ εὑρεῖν· ᾧ μὴ προσῆκον τῆς συμφορᾶς ὅλως ἔξεστι συνήθει φιλότητι καὶ ἀνθρωπίνοις αὐτοῖς, ὡς εἰώθαμεν πολιτεύμασι συμπαθοῦντες τῇ φύσει, παρακαθιζῆσαι τὸν ἀλγοῦντα καὶ τὴν νόσον τοῦ πένθους ἰᾶσθαι, λόγοις καὶ πράγμασι παρακλήσεως· τὰ μὲν, κοινούμενος αὐτὸς τὸ πάθος· τά δ’ ἀνώτερος ὢν αὐτὸς τοῦ δεινοῦ· ὡς ἂν τῷ κάμνοντι συμπονεῖν ἑκών γε εἶναι καὶ μαλθάσσειν τὴν συμφοράν. ἀλλ’ ἄρα κοινῆς ἅπαντες καὶ βαρυαλγήτου ταύτης, πεπειραμένοι τῆς τύχης, κοινήν τινα ταύτην ἔχουσι τῶν θρήνων ἀφορμὴν· καὶ θρηνοῦσιν ἄτροποι· οὐχ ὁ μὲν, ὅ δ’ οὔ· παρήγορον δ’ οὐκ ἔχει τις ὁστισοῦν, ἕτερον τοῦ πάθους ἀνώτερον, ὥστε κουφίζειν καὶ παραιρεῖσθαι τὴν ἀκμὴν τῆς συμφορᾶς· αὐτὸν ἐν ἐλευθέρῳ τοῦ πάθους ὄντα. ζητῶν δ’ οὐχ εὑρήσει τίς

3,2 ὁτωσοῦν V a. corr. **4** καὶ V^{2}Si: αὶ V

3,8–9 Act. 13, 15; Hebr. 13, 22

τοιοῦτον, οὐδεὶς οὐδένα· οὐδ’ ἔχει λέγειν ποιητικῶς ὀδυρόμενος· «ἦ δ’ ἄρ νύ τοι δότε μοι φίλοι παρηγορῆας· ἀκέστορας». ἢ πόθεν· ἢ τίς ἄρα δοίη; τίς γὰρ οὐκ αὐτὸς ἔχει τὴν πληγήν; τίς οὐκ αὐτός ἐστιν ὁ ζητῶν ἀκέστορα· ὥστε λοιπὸν ἄλλους ἰᾶσθαι; τίς ὅστις οὐχ ἑαυτὸν οἴεται, τὸν πλεῖστον τῶν ἄλλων νῦν δυστυχοῦντα· καὶ εἰ δήποτ’ ἄλλοτε καὶ ἄλλό τι· τοῦτο γε νῦν ὅμως πλεῖστον· καὶ πλεῖν ἢ κατὰ ἄλλα δυστυχοῦντα; τίς οὕτω μεγίστων πεπειραμένος συμφορημάτων, ἀλγεινῶν, οὐ νῦν μέγιστόν τε καὶ μεῖζον, τοῦτο f. 181 κρίνει; τίς ἀλλότρια περιεργασάμενος πλεῖστα καὶ | ἀλλοτρίων ἐπίδημος ἄνθρωπος· καὶ συμμετρησάμενος καὶ ἱστορήσας, ξένά τινα καὶ ἀλλοδαπὰ δυσπραγήματα, νῦν οὐ τοῦτο δὴ μέγιστον παρ’ ἡμῖν, ἀξιοῖ πάντων ἀφέμενος ἄλλων, ὧν πώποτ’ ἔγνω πραγμάτων, καὶ παραβαλλόμενος, νικᾶν δοκεῖ, κακὴν ἐν κακοῖς ὡς μὴ ὤφελε τὴν νίκην; τίς οὕτω εἰς κόρον συμφορῶν μετεσχηκὼς, καὶ ὡσπερεὶ καταπαύσας ὑπ’ ἀμηχανίας, οὐχ ὡς ἄν γε νῦν πρῶτος ἁπτόμενος, παραβάλλεσθαι δὴ πρὸς μεγίστήν τινα ταύτην δοκεῖ συμφορὰν· καὶ νῦν γε εἶναι μᾶλλον, τῶν θρήνων ἀκμάζειν ἀναγκάζεσθαι καιρὸν ἔχειν; τίς οὕτω βεβαπτισμένος πλείστοις τοῖς φθάσασιν ἐργώδεσι· καὶ δυσχερέσιν ἀπαντήμασι· καὶ ὡσπερεὶ κατακαμών τε καὶ καταπεπτωκὼς, ἀπαλγήσας πάντων ἀνεπίστροφος, οὐ νῦν αὖθις ὥσπερ ἔμπληκτος, ἀνίσταται πρὸς τὸ μέγεθος τοῦ πάθους τοῦδε· καὶ ζητεῖ θρήνων νέαν ἰσχὺν· μᾶλλον δὲ καὶ δίδωσιν αὐτὸς αὑτῷ· ἢ λαμβάνει τοῦ πάθους πλεῖν ἢ τέως ἐδόκει φύσιν εἶναι τονούμενος ὑπ’ αὐτοῦ; τίς μάλισθ’ ὃς, μὴ δὲ πώποτε καὶ νῦν πενθήσας, οὐ νῦν ὅμως πενθεῖ τε· καὶ πενθεῖν τινα ἀφορμὴν ταύτην ἔχειν, ἀπαραίτητον καὶ μεγίστην οἴεται; ἢ τίς μάλιστ’ οὐχ οὕτω νῦν πενθεῖ· οὐχ οὕτω νῦν καιρὸν θρήνων ἔχειν δοκεῖ, οὐχ ὡς ἀμέλει καὶ λήξων οὔμενουν τῇ ὑστεραίᾳ οὐδ’ εἰς τρίτην αὖθις κατ’ ἔθος· οὐδ’ ἑξῆς· οὐδ’ ὅτι πλεῖστον· ἀλλ’ ὡς μὴ δέ ποθ’ ὕστερον, ὅλως ἀξιῶν· μὴ δ’ ἀποπενθήσειν μήποτε φύσιν, εἶναι· μὴ δὲ παῦλαν τινὰ τῶν θρήνων ἐγγενέσθαι, τὸν ἅπαντα βίοτον αὐτῷ πᾶς ἕκαστος ἂν εἴ τι γίγνηται; ἢ μᾶλλον ἐρεῖν, τίς οὕτως ὡς ἀξίως θρήνων ἅπτεται· καὶ πάντα πράττων, αὐτὸς· καὶ πάντα πάσχων ὅμως, ὅσα τοὺς ἐν μεγίσταις συμφοραῖς

32 πρῶτος V: πρώτως coni. Si

46–49 cf. Metoch., Carm. 7, 225–226 (p. 146)

καὶ δεινοτάτοις πράγμασιν εἰκός; οὐ γάρ ἐστιν ὅλως ὃ δρῶν, ἢ (οὐκ οἶδα πῶς ἄν, φαίην), πάσχων καὶ σφόδρα κατατεινόμενος, οὐ νομίζει τοῦ πάθους δεύτερον, οὐκ ἔχειν, | ἱκανῶς, πρὸς αὐτὸ f. 181v κρίνων· ἀλλ' ἀπορεῖν ὀδυρμῶν ἀξίων αὐτῷ τε δικαίων, καὶ συμμετρουμένων τῇ συμφορᾷ.

4. Καὶ τοίνυν συμβέβηκε θρήνων μέν σοι πλείστων, ὦ θειοτάτη βασιλὶς οὐκ οἶδ' ὡς εἴ τινι καὶ ἄλλῃ, τελευτησάσῃ τυχεῖν· καὶ ὀδυρμῶν ἐξοδίων· τῶν προσηκόντων δ' οὐκέτι· καὶ πλείστων μὲν ὀλίγων δ' ἤ, πρὸς τὸ τοσοῦτον δεινὸν· καὶ οὐχ ὧν ἕκαστος ἀξιοῖ τε καὶ βούλεται. καὶ σὺ μὲν ἑκάστου τὴν συμφορὰν ἑκάστοτε· πρὸς ἑαυτῆς καὶ ἰδίαν ποιουμένη· καὶ κλαίειν περιοδύνως οὐκ ἀπαξιοῦσα· καὶ δακρύων ἐγχεῖν ἐκθύμως οὐκ ἀποκνοῦσα, καὶ σφόδρα γοερὸν κωκύειν· καὶ τὴν καρδίαν μέσην αὐτὴν κατακναίεσθαι καὶ βαρυαλγεῖν· παρρησίᾳ προκαθημένη τῶν θρήνων· καὶ πάντα πάσχειν· καὶ συμπάσχειν ἑκάστοις, ὁτιοῦν κάμνουσιν, ἤ τινὶ συντετυχηκόσιν ἀνίᾳ· καὶ τύχης πταίσματι (καὶ ὦ τίς οὐκ οἶδε πεπειραμένος, αὐτός τὲ ἐν ἑαυτῷ καὶ τοῖς ἄλλοις οὐχήκιστα· καὶ ὢ πῶς φέρω καὶ μεμνημένος· καὶ λέγων, οὐκ ἀπολέγομαι τὴν ζωήν;), ἀλλὰ σὺ μέν γε ὡς ἔφην, οὕτως ἡμῶν ἑκάστου κακῶς πράττοντος ὁτιοῦν, οἷα δὴ τὰ ἀνθρώπεια, καὶ συμπονοῦσα· καὶ κοινωνεῖν εὖ μάλα προθυμουμένη τῆς τύχης, καὶ τῶν δακρύων (ὢ τῆς τοσαύτης χρηστότητος, ὢ ψυχῆς ἐκείνης συμπαθεστάτης), πρὸς πάντας ὅμως ἤρκεις καὶ μόνη· φιλοίκτου γνώμης ἀκμῇ καὶ φιλανθρωπίας καὶ ταπεινότητος, ἀδαπανήτῳ πλούτῳ. ἡμῶν δ' ἕκαστος οὔθ' ὅσον ὀφείλει καὶ ἀντεισφέρει τῆς αὐτὸς αὐτοῦ προνομῆς τε καὶ δόσεως, οὔθ' ὅσον ὀφείλομεν μάλιστα τῷ δικαίῳ τοῦ πράγματος, ἔχομεν τῶν δακρύων, ἢ τῆς εὐγνωμοσύνης αὐτῆς εἰσφέρειν· καὶ πάντα πάσχοντες· καὶ πάντα πράττοντες· ἕκαστός τε ἰδίᾳ· καὶ μὴν ἅπαντές γε ὁμοῦ κοινούμενοι. ἢ τί γὰρ ἔχομεν ἱκανοῦσθαι· ἢ τί γὰρ ἔξεστιν; εἰ δὲ δεῖ τι καὶ ἡμᾶς ὑπὲρ ἡμῶν καὶ ταῦτα θρηνοῦντας· ἀπολογεῖσθαι, οὐ γάρ μοι δοκοῦμεν ἔχειν | f. 182 ὅ,τι καὶ δράσαιμεν, πρὸς τὴν πάντ' ἀήττητον ἀποδιδόντες τὲ καὶ

54 δικαίων V^2: δικαίως V Si **4,1** Καὶ V^{2}Si: αι V (obl. rubr.) **11** ἀνοίᾳ V a. corr. **12** ἑαυτῷ V^{2}Si: αὑτῷ V

4,13–14 cf. Ps.-Greg. Naz., Chr. pat. 685 (p. 182)

παραβαλλόμενοι· πρὸς τὴν πάντας βασιλικοῖς ὄντως τοῖς μέτροις, ὑπεραίρουσαν· καὶ διὰ πάντων· καὶ ἧς οὐκ ἄν, ἐφίκοιτό τις, οὔτ' εὐγνωμονῶν· οὔτ' εὐφημῶν· οὔτε κλάων ἀξίως· οὔτε τῆς αὐτὸς αὐτοῦ ζημίας· οὔτε τῆς ἐπὶ τοῖς κοινοῖς πράγμασι.

5. Μεγίστη μὲν οὖν ἀγαθὰ πάντα ἦσθά τε καὶ ἀρίστη· μέγιστα πάντας εὖ ποιοῦσα διετέλεις· τὰ μὲν, εὐγενείας καὶ χάριτος βασιλείου· τὰ δὲ, συμπονοῦσα φιλανθρωπίας καὶ συμπαθείας, μεγίστην νῦν ἐπὶ πᾶσιν ἡμᾶς ἔπληξας· μέγιστ' ἐζημίωσας ἡμῶν ἀποιχομένη· καὶ ὡς οὐκ ἔστι πρὸς λόγον ἐφικνεῖσθαι, θρηνοῦντας τὴν βαρεῖαν δὴ ταύτην τύχην. εἴθε δὴ πάντα νικῶσα, μὴ καὶ ταύτην ἐσχάτην καὶ βαρυτάτην, ἡμᾶς ἐνίκας τὴν νίκην· πρὸς ἣν οὐδ' ἔχεις ἐξυποθέσθαι τὴν νίκην· οὐδ' ἔστιν ἄλλο τί σοι δράσαι, καὶ τὰ δεύτερα φέρειν ἑκοῦσαν γε εἶναι. πάντα μὲν ἐνίκας· καὶ πολὺ πλεῖστον· καὶ ἡμεῖς ἡδόμεθ' οἱ νικώμενοι. τῶν γὰρ καλῶν ἡμῖν μετῆν· καὶ πάνυ τοι· καὶ πλείων τῶν ἀγαθῶν καὶ ἡμῖν ἡ μοῖρα· παρόσον ἀεὶ προύφερες· καὶ πρὸς ἡμῶν ὄντως ἡ νίκη. νίκην δὲ ταύτην ἀπευκταίαν οὔτε πρὸς σοῦ γε νῦν ὡς μήποτ' ὤφελες, οὔτε πρὸς ἡμῶν ἤρω καθ' ἡμῶν καὶ ἧς οὐδόλως οὐκ ηὐχόμεθα πεῖραν σχεῖν· οὐ νικῶντες· οὐ νικώμενοι· οὔθ' ἱκανούμενοι· καὶ σοί γε καὶ ἡμῖν πολλῷ τοῦτο βέλτιον. καὶ μὴν ἀχθόμεθα μὲν, οὕτω πάντα τρόπον ἐν τούτῳ (καὶ πῶς γὰρ οὔ;), συγγινώσκομεν δ' ὅμως, μάλισθ' ἑαυτοῖς ἡττώμενοι· ἕκαστος ἑκάστῳ· καὶ πάντες πᾶσι· μὴ τῶν ὀδυρμῶν ἀξίως γιγνόμενοι τοῦ τοσούτου πάθους. οὔτε γὰρ ἄλλος ἄλλῳ τοῦ πάθους προσήκειν δοκεῖ, πλεῖν ἢ τέως γ' αὐτῷ· οὔτ' ἄλλος ἄλλου· κἂν εἰ πάντα πράττειν δοκεῖ, ἀνύτειν τί πλέον πρὸς τὸ πάθος· καὶ τῆς συμφορᾶς ἀξίως πράττειν δοκεῖ.

6. Καὶ δὴ τοίνυν ξυμβαίνει γε ἡμῖν, ἐντεῦθεν τῇ κοινωνίᾳ ταύτῃ, πρὸς ἀλλήλους ἔχειν μετρίως· ἢ μάλισθ' ὅλως τῇ κοινωνίᾳ
f. 182v τοῦ πάθους αὐτοῦ. | ᾧ γὰρ δή τις κοινὸν ἀναγκαῖον ἔχει ξυναλγεῖν, καὶ ὁτιοῦν συμπάσχειν, τούτῳ (πῶς ἄν, εἴποιμι;), προσηνῶς τε καὶ ἥδιστ' ἔχει· καί πως νομίζει τοῦτον ὅστις ἂν καὶ εἴη, πρὸς αὐτοῦ τε εἶναι, καὶ παραμυθεῖσθαι λοιπόν· ἀμηγέπη συνδιαφέ-

5,4 an ⟨δὲ⟩ νῦν? **6–9** an πάντας… πάντας? **20–21** πλεῖν – δοκεῖ V in marg. **22** ἀνύτειν V: ἀνύττειν Si **6,1** Καὶ V[2]Si: αὶ V (obl. rubr.)

ροντα τὸ πάθος. καὶ τοίνυν πρότερον μὲν ἐλέγομεν, ὡς οὐκ ἔστι τίς παραμυθία παρ' ὁτουοῦν ὁτῳοῦν, ἀνωτέρου τέως τοῦ πάθους, αὐτοῦ γε ὄντος ὅλως· καὶ τῆς συμφορᾶς ἔλαττον ἔχοντος· ὃν τρόπον μόνον ἔξεστιν, ἄλλόν τινα αὐτὸν ἰᾶσθαι, τὸν πλεῖστον τοῦ πάθους ἔχοντά γε καὶ παντάπασιν ἐσχημένον. καὶ γὰρ μὴ δ' εἶναι καθάπαξ τὸν μὲν, ὡς οὕτως ἔχειν, τόν δ' ὡς οὕτως· ἀλλὰ κοινὴν πάντας ἐπέχουσαν καὶ ἀναγκαίαν· καὶ μεγίστην ταύτην τὴν συμφοράν. νυνὶ δ' αὖθις καὶ τοῦτο δοκοῦμεν, ὡς κοινὸν μὲν εἰς ἅπαντας τόδε τὸ πάθος· κοινόν δε τἄλγημα· ἀλλὰ μήν γε πάντες, ἅπασι λοιπὸν φέρουσί τινα καρπὸν παραμυθίας, ἐντεῦθεν τὴν κοινωνίαν· ἄκαρπόν τινα τοῦτον ὄντως καὶ δυσξύμβλητον· καὶ πολλῇ πάντοθεν ἀωρίᾳ ξυντετυχηκότα· καὶ εἴθε μὴ ξυντετυχηκότα· φέρουσι δ' οὖν· καὶ πρὸς τὴν κοινὴν ταύτην ναυαγίαν, οἷα δὴ γίγνεταί τε κατ' ἀνθρώπους, καὶ λέγομεν ἑκάστοτε, καὶ κοινή γέ τις ὅμως ἐντεῦθεν ἅπασιν, ἀηδὴς αὕτη παραμυθία. ὢ συμφορᾶς ταύτης μεγίστης, ὑπερβαλλούσης μὲν οὖν, ἢ κατὰ τὰ ἄλλ' ἅπαντα εἰκονίζειν· ὢ πολυτρόπου μὲν, καὶ ξένης· πάντα δ' ἐργώδους καὶ ἀλογίστου. ὢ καινὰ πάντα τὰ σὰ βασιλὶς καὶ πάντα νικῶντα· καὶ οὐ κοινὰ μόνον ἁπάντων εὖ τε καὶ ὡς ἑτέρως ἔχοντα. ὢ καινότατα βλέποντες ἡμεῖς· ὢ καινότατα πάσχοντες. ὢ καινότατον δὴ τόδε καὶ κοινότατον, ὃ καθ' ἡμῶν κατεσκεύασεν ἡ βαρεῖα καὶ πικρὰ τύχη δράμα· μᾶλλον δὲ καὶ νοεῖν καὶ χρῆσθαι θαῦμα· οὔτέ τινα παραμυθίας ὡς ἔφην ἀφορμὴν, καὶ μεγίστήν τινα ταύτην αὖθις, ἔχον διὰ τὸ κοινὸν εἰς ἅπαντας, | τοῦ πένθους ἀπαραίτητον χρέος. f. 183
ὢ τῆς βασιλείου τῆσδε καὶ περιβλέπτου σκηνῆς, νῦν ἐνηλλαγμένης· ὢ συλλόγῳ χρωμένης ἀήθει καὶ στολῇ, καὶ κόσμῳ μὴ προσήκουσιν· ἀλλ' ἃ τοῖς Ἅιδου βασιλείοις, ἐμοὶ δοκεῖν προσήκει. νυνί δ' (ὢ βασκάνου δαίμονος), ταύτῃ χώράν τινα ταύτην ἔχει· καὶ νικᾷ καθ' ἡμῶν ἐνθάδε, τοῦ κοινοῦ Ῥωμαίων κακῶς καὶ θριαμβεύει κατὰ τῆς ὑπερλάμπρου ταύτης αὐλῆς, καὶ τῶν περιδόξων βασιλείων· ζόφῳ στυγητῷ καὶ ταπεινῷ, καὶ δυσξυμβλήτῳ σχήματι καὶ κατηφείας· καὶ ἀηδίας· καὶ πάσης αἰσχύνης τραγι-

8 ὁτῳοῦν V p. corr. Si: ὁτουοῦν V a. corr. **34** ταύτῃ V: ταῦτα corr. Si **38** καὶ[1] V[1] s.l.

6,16–17 CPG II, 778, 8–9

κῆς. ὢ χορῶν συστήματα· καὶ συναυλίαι δακρύων· ὢ πάντων ἁμιλλωμένων ἀλλήλοις ἐπὶ τῷ κοινῷ πάθει· νικωμένων δ' ὅμως ἁπάντων τοῦ πάθους. ὢ μηδενὸς ὡς ἔφην μετριώτερον ἔχοντος, πρὸς τὴν συμφορὰν ὥστε καὶ ἄλλους ἀνακτᾶσθαι· τὰ μὲν, συναλγοῦντα· τὰ δὲ, λόγοις παρακλήσεως, ἐλευθερωτέρᾳ διαθέσει τοῦ πάθους, ὡς εἰκὸς παρακαθήμενον· καὶ τοῦτο τοῖς ἄλλοις κουφίζοντα. ὢ πάντων πᾶσι ξυναλγεῖν ἄτρεπτον ἀνάγκην ἐχόντων· καί τινα παρακλήσεως αὖθις χάριν ἀντιδιδόντων, τὴν πονηρὰν ταύτην καὶ δύσκολον κοινωνίαν. πενθοῦμεν οὐκ ἔχοντες τὸν αὐτὸν ἑστῶτα τοῦ πάθους ἄνετον· καὶ συμπονοῦντα μὲν, ἀλλὰ καὶ ὑπανέχοντα, μὴ παντάπασι καταπίπτειν τῆς συμφορᾶς. πενθοῦμεν ἅπαντες ἀλλήλους ὁρῶντες· ἅπαντες ἀλλήλους ἔχοντες, ἐξ ὑπογυίου παραμυθουμένους, διὰ τὴν ἀνέκφυκτον κοινὴν ταύτην καὶ ἐργώδη τύχην. καὶ μὴν πενθοῦμεν οἶμαι δι' ἑαυτοὺς ἕκαστοι· πενθοῦμεν δι' ἀλλήλους· πενθοῦμεν διὰ πάντας, τοῦ κοινοῦ γένους τὴν συμφορὰν· πενθοῦμεν, οὐχ ὡς ἀξίως τοῦ τοσούτου πάθους (ἢ πῶς γὰρ ἔξεστιν;), ἀλλ' ὡς ἀεὶ τὸν τῆς ζωῆς χρόνον ἅπαντα πενθήσοντες καὶ τοῦτ' αὖθις ἐρεῖν, ὡς οὐκ ἀξίως. οὐδὲ γὰρ ὅλως ἔξεστι.

7. Κεῖται βασιλὶς ἡ μεγίστη θανοῦσα, ἡ πολλοὺς κειμένους καὶ ἀεὶ καταπίπτοντας, εὐποιίαις ἰσχυραῖς ἀνιστῶσα. κεῖται, πολλοὺς f. 183v | ἐκ τυχηρῶν πτωμάτων ἐγείρουσα· ἄπονον δεξιὰν φιλανθρωπίας· καὶ ἀδάπανον· καὶ ἀκάματον, ὁσημέραι σχεδὸν ἐκτείνουσα· καὶ καμπτομένους ὀρθοῦσα. κεῖται τῆς βασιλικῆς εὐγενείας, ὁ μέγιστος καὶ περικαλλέστατος κόσμος· καὶ τύπος τῆς νῦν ἁπάσης ἑστώσης εὐτάκτου καλλονῆς, μεγάλῃ τύχῃ πρεπούσης. κεῖται ἧς τὰ μέγιστα καὶ σεμνὰ τῶν ἀρετῶν ἔργα, βεβαίως ἀθάνατοι στῆλαι, κατὰ παντὸς ἵστανται τοῦ χρόνου, καὶ στήσονται· κηρύττουσαι φωνῇ περιτράνῳ, τῶν πραγμάτων ὄντως σιγῶσαι, τὴν ἄφωνον νῦν ταύτην κειμένην· καὶ μὴ δ' ὅτε λέγειν εἶχε τὰ ἑαυτῆς, ἀνακηρύττειν καὶ θριαμβεύειν, ἀγαπῶσαν· μὴ δὲ μεγαλίζεσθαι ἀληθινῇ λογισμῶν ὄντως εὐγενείᾳ. κεῖται, ἧς φεῦ, πόσα τὲ καὶ οἷα

51 ἀνέκφυκτον V: ἀνέκφευκτον coni. Si **7,3** ἡ ante ἐκ add. Si

39 cf. Greg. Naz., Or. 22, 3, 9 (p. 224); Ael. Arist., Or. 18, 7 (p. 10, 13) **55–56** cf. Metoch., Carm. 7, 225–226 (p. 146) **7,1** cf. Aesch., Pers. 325 **9** cf. Greg. Naz., Epist. 197, 6 (p. 89); Demosth., Ad Leptin. 64

μεγαλουργήματα· βασιλείου γνώμης ὄντως καὶ χειρὸς ἵσταται (οἷς, τίνος ἐστὶν ἄλλης ἄλλα, τῶν ἐπὶ αὐτῆς τύχης προτέρων παραβαλεῖν ἔγγιστα;), τὰ μὲν, βασιλείου κράτους καὶ κάλλους δημιουργήματα κάλλιστα καὶ κράτιστα· πομπεύοντα καὶ πομπεύσοντα τὸν αἰῶνα γνώμης ἀκμῇ καὶ φρονήματος· τὰ δὲ, φιλευσεβοῦς λήμματος καὶ ζήλου φιλοθέου, πῦρ ἐν καρδίᾳ ταύτης ἔρωτος ἀκαμάτου, περὶ τὰ θεῖα φλεγόντος ἐπίδειξις ἀπαράμιλλος· σεμνεῖα τὲ καὶ περικαλλῆ φροντιστήρια μέγιστα· καὶ πλεῖστα πλειστάκις· καὶ πολλαχοῦ τῆς οἰκουμένης· θαῦμα μὴ ὅτι γε δρᾶν οὕτω καὶ τελεσιουργεῖν, ἀλλὰ καὶ ὅλως ἐννοεῖν· τὰ δὲ, φιλανθρωπίας ἀκενώτου καὶ συμπαθείας· ἧς οὐκ ἔστιν ἔχειν ἕτερα πρότερα παραδείγματα, περὶ τὴν ὁμόφυλον φύσιν, ἔργα πολυαρκῆ· πτωχῶν καμνόντων καὶ ξένων τροφεῖα· νικῶντα σχεδὸν τὴν χρείαν· ἀτελεύτητος φιλανθρωπία. κεῖται, ὑπὲρ ἧς πάσας χεῖρας ἱκέτιδας, ἵστασθαι πρὸς Θεὸν ἔδει· καὶ μέντοι γε καὶ ἵστανθ’ ὡς ἀληθῶς, μὴ πεσεῖν αὐτὴν· ἀλλὰ μένειν, ἀτελεύτητον, ἀνθρώποις καλόν.

8. Καὶ μὴν τέως ἐδόκουν ἰσχύειν, ὦ θειοτάτη βασιλὶς· ὅτι μὴ προετμήθης χρόνοις οἷστισιν ἄρα, τοῖς παρελθοῦσιν, εὖ | μάλα f. 184 παραβαλλομένη. νυνὶ δ’ (ὢ τῆς ἀωρίας ταύτης), οὐκ ἔχομεν συλλογίζεσθαι τῆς ἀλήπτου προνοίας τὸ βούλευμα· ὡς ἀφ’ ἡμῶν οἴχῃ πρόωρος ὄντως πρὸς τὸν ἡμέτερον ἔρωτα· εἰ καὶ σοὶ μάλιστα κατ’ ἔρωτα· καὶ ὡς ἐπόθεις τῶν ἄνω καὶ κρειττόνων λαβέσθαι. καὶ σὺ μὲν ὡς ἤρας ἔτυχες, ἡμεῖς δ’ ὡς ἂν, ἀράσαιτό τις καθ’ ἡμῶν οὕτω χρώμεθα· οὕτως ἀνύσομεν βίον ἄθλιον· καὶ ἀβίοτον σοῦ κειμένης. καὶ σὺ μὲν ὧν πάλαι παρεσκεύασαι, νῦν καιρὸν ἔχεις· ἡμῖν δὲ τίς ἄν ποτ’ ἔδοξε σοῦ καιρὸς στερέσθαι, ἢ μεθ’ ὅσους ἄν τις ἐρεῖ χρόνους ἔμπροσθεν, οὐκ ἄκαιρος αὖθις ἂν, ἦν, ἡ σὴ τελευτή; ἢ τίς ἂν, εἴη τῶν ἀγαθῶν ὅρος, ἡ τελευτή; ἢ πότε μὴ χρεία τῶν βελτίστων, εἰς ἀνθρώπων εὐδαιμονίαν; ἢ τίς οὕτω δύσερως ἂν, ἦν

15 ἄλλης V^2 in marg.: ἄλλου VSi | ἄλλα V^2 e corr. | an ⟨τῆς⟩ αὐτῆς? **19** λήμματος V, servavimus: λήματος Si **25** φύσιν V^1Si: φῦσιν V **8,5** μάλιστα V^2 e corr. **8** ἀβίοτον V, servavimus: ἀβίωτον Si

8,7 cf. Or. 17, 36, 1 **12** cf. Iambl., Protr. 6 (p. 39, 17–18)

μεταβολῆς; ἣ σὺ μὲν εὖ ποιοῦσα κόρον οὔποτ' ἔσχες· ἀλλ' ἀντὶ τούτου μόνου καὶ ζῆν ᾑροῦ καὶ βασιλεύειν· ἄλλως ἐξ ἅπαντος τρόπου τὰ παρόντα φεύγουσα· ἡμᾶς δ' εὖ πάσχοντας τὸν ἅπαντα χρόνον, ἣν ἄρα ποτὲ κόρον σχεῖν· οὐκ οἶδα τί παθόντας ἢ μανέντας, ἢ κακῶς πράξαντας; ὢ πόσοι καθ' ἑαυτῶν κατὰ φιλτάτων, ηὔχοντο θανάτους ἀντὶ σοῦ· πόθῳ τοῦ κρείττονος καλοῦ καὶ μείζονος, οὐ φιλαυτοῦντες· μᾶλλον δ' ὡς ἀληθῶς φιλαυτοῦντες, πρὸς τὰ βελτίω σφίσι τὲ αὑτοῖς καὶ πᾶσι κοινῇ παραβαλλόμενοι. ὢ πόσοι σε δραπετεύουσαν τὰ παρόντα, καὶ τὸν βίον· καὶ τοῦτ' ἀεὶ κατὰ νοῦν στρέφουσαν, κατεῖχον πολυωροῦντες καὶ ἀνθέλκοντες ἄφυκτα· μικροῦ καὶ τῆς ψυχῆς αὐτῆς, ὡς καθεκτῶς ἐχούσης λαμβανόμενοι· γνώμῃ συνηθείας καὶ συμπαθείας καμπτομένῃ, τὴν πάντ' ἀήττητον νικωμένην. ὢ πόσοι σοῦ κατίσχυον, φιλανθρωπίας τυραννίδι δυναστευομένης ἐν βασιλείᾳ διὰ σφᾶς ἄρα μένειν, οἳ μὴ γνώμην εἶχες· καὶ ὅθεν οἱ λογισμοί, σὺν ἔρωτι θείῳ φεύγειν ἔκρινον. καὶ βλέπουσα γε ἄλλῃ· καὶ κατεπειγομένη, δεσμοῖς ὅμως οὕτως f. 184v ἀρρήκτοις εὐκόλου καὶ | φιλοίκτου ψυχῆς· εἴχου παρὰ γνώμην τρεπομένη, τὰ δοκοῦντα βέλτιστα· ζῆν ἄλλοις ἄμεινον, οὐχ ἑαυτῇ κρίνουσα· οἷσπερ νῦν πλείστοις ὡς ἀληθῶς, ἔθανες αὐτὴ θανοῦσα.

9. Σὺ μέν γε πρότερον, οὐκ ὀλίγοις ἔτεσιν ἅπαντα πρὸς τὴν ταφὴν ἐσκευάζου· καὶ μνήματά σοι· καὶ περιταφίους στέγας οἷα δὴ νομίζεται· καὶ ἔπιπλα κατατύμβια· καὶ δεήσεις ἐν γράμμασι (καὶ τί γὰρ οὐ τῶν εἰωθότων;), καὶ πάντ' ἐφρόνεις πρὸς τὴν τελευτήν· καὶ τῇδε μάλιστα τὸν νοῦν προσεῖχες· καὶ μὴν ἔτι γε τὰ τούτων βελτίω, μονήρη μάλιστα πρὸ πάντων βίον ἀλλάξασθαι· καὶ μεταθέσθαι τῶν βασιλείων κόσμων καὶ τύφων· καὶ τὸ θεῖον μεταμφιάσασθαι τῆς οὐρανίου πολιτείας ἔνδυμα. καί σοι τὸ ῥάκος ἔγγιστα ἀεὶ· καὶ τὰ τρίχινα διαπαντὸς ἐν λογισμοῖς τε καὶ ἐν χερσὶν ἐξ ὑπογυίου χρήσασθαι· καὶ μελεμβαφὴς καλύπτρα· καὶ περιαυχένιον θεοσέβημα· καὶ περίζωμα ἱερὸν ὡς νόμος· καὶ

15 τούτου μόνου V^2 e corr. **18** κακῶς corr. Si: καλῶς V **22** σε V^2 s.l. **25** καμπτομένῃ scripsimus: καμπτομένη V, καμπτομένην coni. Si **28** ἔκρινον V e corr.: ἔτεινον legit Si **30** φιλοίκτου V^2 e corr. **9,2** οἷα V^1Si: οἳ V **4** ἐσωφρόνεις V a. corr.

14 cf. Greg. Naz., Or. 18, 21, PG 35, 1009C

μελεμβαφὲς πέδιλον (καὶ τί γὰρ οὐ τῶν νομίμων τῆς κατὰ Θεὸν ὄντως· ὑψηλῆς εὐτελείας;), καὶ ταῦτα μεθ᾽ ὅσης ἀεὶ προσεώρας, καὶ παρεσκευάζου τῆς ἡδονῆς· ἐπειγομένη σφόδρα ἐνθέως ἀντὶ τῶν προτέρων βασιλείων περικόσμων, καὶ στολισμάτων καὶ τῆς χλιδῆς. καὶ μὴν ἔτι μοναυλίας ἀνίστης οἰκήματα· καὶ νεὼς ἐοικότας ἐν μονώσει τὲ καὶ ἰδιωτείᾳ· καὶ ταῦτα πρὸ τῶν ἀρχείων ἐβούλευές τε καὶ ᾕρου· καὶ πάντα εἶχε σε σαφῶς ὁ περὶ τούτων ἔρως. καὶ τί γε ἄλλο ἦν σοι τὸ τελευταῖον τῶν χρόνων σπούδασμα, ἢ τῶν ἱερῶν σοι τῶνδε καὶ πανσέπτων οἴκων, καὶ μονῶν φιλοκαλία πᾶσα; οὓς τοσούτους τὲ καὶ τοιούτους, ἀντ᾽ ἀγαλμάτων τῆς σῆς βασιλικῆς ψυχῆς, ἀνεστήσω καὶ κατεκόσμησας στήλας ἀθανάτους τῆς σῆς θεοσεβείας καὶ τοῦ μεγίστου περὶ τῶν θείων ἔρωτος· καὶ ἱερῶν λογίων· καὶ βίβλων ἐπιμελὴς περικόσμησις· καὶ θησαυρίσματα· καὶ τῶν πανάγνων σκευῶν τε καὶ ἐκπωμάτων, καὶ κειμηλίων εὐσέβεια.

10. Πρὸς ταῦτα τὸν νοῦν εἶχες ἀεί· ἐν τούτοις ἐσχόλαζες τὴν ἅπασαν δαπανῶσα φροντίδα· πρὸς ταῦτ᾽ | ἔφευγες ἀφ᾽ ἡμῶν· f. 185
ἀλλ᾽ ἡμεῖς εἰχόμεθ᾽ ἀπρὶξ καὶ κατισχύομεν. ἀλλ᾽ ἔμελλες (οἴμοι), καὶ ἀκόντων ἡμῶν, τῶν ἐρωμένων τῶνδε καὶ θείων οὐκ ἀτευκτήσασα, πάντά σοι τὸν ἱερὸν πόθον ἐκπεράναντος αἰσίῳ, καθὼς ἤρας τέλει τοῦ Θεοῦ, νῦν ἡμᾶς ἀθλίους λιπεῖν. καὶ σοῦ μὲν ἔχουσι νῦν τὴν σεμνοτάτην καὶ πάντιμον ψυχήν, αἱ κάλλισται καὶ ὄντως βασίλειοι, τῆς οὐρανίου λήξεως καὶ ἀτρέπτου μοναί· πρὸς ἃς ἑώρας ἐκ πολλοῦ σφόδρα ποθοῦσα· καὶ ἀλλάξασθαι βουλομένη. τὸν δέ σου νεκρὸν (ὢ πῶς καὶ δύναμαι καθορᾶν κείμενον πρὸ τῶν ὀφθαλμῶν ὁρῶν, ὢ πῶς καὶ δύναμαι λέγειν· καὶ δύναμαι μεμνῆσθαι, περὶ τοῦ σοῦ καὶ λέγων καὶ μεμνημένος νεκροῦ;), ἀλλὰ τόνδε δή σοι παραπέμπει κατωμαδὸν ἀράμενος, εἰς τήνδε σοι τὴν περίλαμπρον καὶ θαυμασίαν μονήν· καὶ πεζῇ κατιχνεύων ἐπὶ μήκιστον· καὶ πρὸς ἀκμὴν χειμῶνος παραβαλλόμενος· καὶ ὄμβροις ῥαγδαίοις καὶ ὑετοῖς καταντλούμενος, οἷς ἄρ᾽ οἶμαι καὶ οἱ ἀπὸ τῶν ὀμμάτων αὐτῷ κατάρροι, προσοχετεύοντες, τοὺς καταχεομένους κρουνοὺς αὔξουσι· καὶ συναναφυρόμενος τέλμασι· καὶ τοῖσδε πᾶσιν ἐναεθλεύων· ἃ πλούσι᾽ ὁ καιρὸς νῦν, ὥσπερ ἐπίτηδες

18 ἐβούλευες V^1: ἐβούλευσέ V, ἐβουλεύσω corr. Si **19** γε V^1 s.l. **23** περὶ τῶν θείων V^1Si: περὶ τὸ θεῖον V **10,19** ἐναεθλεύων V: ἐπαεθλεύων Si

συμπενθῶν· καὶ τοῦ πάθους αἰσθανόμενος μάλιστα, καὶ κοινωνῶν, καταιγίζει, ὁ μέγιστος καὶ κάλλιστος υἱός σοι καὶ βασιλεύς· τὸ γλυκύ σοι φῶς· ὃν ἔπνεις μᾶλλον ἢ ἔπνεις, ᾧ καὶ ζῆν ἠβούλου μάλιστα, ἵν' ἡδὺς προσορῴη τέ σοι καὶ προσορῷτο (καὶ τί γὰρ ἄλλο τούτου γε ἀμφοῖν ὑμῖν ἥδιον, ἵνα μὴ λίπῃς μόνον· ἵνα μὴ χωρὶς ᾖς;), ὁ σὸς ἐπὶ πᾶσιν οἷς ἐκ Θεοῦ συνέλαχες ἀγαθοῖς κόσμος· ἡ περιφανὴς καὶ σοῦ καὶ τοῦ γένους δόξα· τὸ μοναδικὸν εἰς τὸν βίον, καὶ σὸν μοναδικὸν ἀγαθόν· ὡς αὐτή τε ξυνεώρας καὶ λέγουσα πολλάκις ἤδου· δι' ὃν μάλισθ' ἡ πολυτιμοτάτη σὺ διὰ πάντα· τιμιωτέραν ἑαυτὴν ᾤου τὲ καὶ ἔλεγες. περὶ οὗ πρότερον, τὰ μέν, ἤρας ἀεὶ καὶ ηὔχου μήποτε χωρὶς εἶναι, μήποτ' ἀποτμηθῆναι· μὴ δὲ προλιπεῖν ἢ σέ γ' αὐτὸς ἢ σύ γ' αὐτόν· τὰ δὲ αὖθις ἤρας ἀεὶ καὶ ηὔχου ταῖς αὐτοῦ χερσὶν ἐναποθέσθαι τὸ πνεῦμα· καὶ σὲ πρὸ f. 185^{v} πάντων περιστελεῖν αἰδημόνως αὐτὸν | τὰ νόμιμα.

11. Τοῖν γε μὴν δυοῖν τοῖνδ' ἑνὸς ὅμως (ὤ μοι), πικρῶς ἔλαχες· καί σε θανοῦσαν ὁ φίλτατος οὗτος σοι βασιλεύς· περιστὰς καὶ κατακοσμήσας καὶ καταστειλάμενος, εὖ μάλα τὸν εἰωθότα κάλλιστα τρόπον· ἀράμενός γε λοιπὸν αὐτὸς πρὸ τῶν ποδῶν ῥιπτεῖ τῶν πανάγνων τῆς θεομήτορος, ὡς εἰς ἄσυλόν τι τοῦτο βασίλειον· καὶ ἱερὸν ἐναποθέμενος· καί σοι προστάτην τὲ καὶ φρουρὸν τὴν τῆς αὐτοῦ βασιλείας φρουρόν, τὴν αὐτοῦ τε καὶ σοῦ καὶ παντὸς τοῦ κόσμου βασίλισσαν, ἑλόμενος· αὐτὸς ἱκέτης περὶ σοῦ προσπίπτων, καὶ δυσωπούμενος ὁ σοὶ πάντων, φίλτατος· καὶ σὲ πρὸ τῶν ἄλλων τῶν καθ' ἑαυτὸν ἁπάντων ἄγων, καὶ τὰ σὰ πρὸ τῶν ἄλλων ἁπάντων σπουδάζων, τῶν σῶν· καὶ πομπεύων οὕτω καὶ παραπέμπων αὐτός, ἐπὶ τὸ μνῆμα κατολοφυρόμενος καὶ τληπαθῶν, μετὰ τοῦ καιροῦ ταῖς περὶ τὸν νεκρόν σου, φιλοπονίαις· αἰδοῖος μὲν τῷ μεγέθει τῆς ἁλουργίδος, καὶ τῇ τοῦ στέφους περιωπῇ· αἰδοῖος δὲ τῇ τῶν τοσούτων ἀγαθῶν ἡγεμονίᾳ, μάλιστα καὶ κράτει· ἠθῶν τε εὐγενείᾳ· καὶ σεμνότητος ὄγκῳ βασιλείου·

22 σοι V^{1}Si s.l.: σε V | an ἀέρα ante ἔπνεις^{2} addendum? **24** ὑμῖν corr. Re: ἡμῖν VSi **30–32** μήποτ' – ηὔχου in marg. inferiore V^{1} **11,10** σὰ V^{2} s.l. **16** τῷ ante κράτει add. Si

10,22 cf. Theod. Prodr., Carm. hist. 39, 125 (p. 386) **11,14–15** cf. e.g., Hom., Od. 5, 447

οἰκτρὸς δὲ νῦν ἐπὶ σοὶ τοῦδε τοῦ πάθους μάλισθ’ ὁρώμενος ἁπάντων ταπεινούμενος οὕτω σοι καὶ συγκλινόμενος· καὶ τί γε οὐ δρῶν, ὃ μὴ καὶ φύσιν σχεδὸν ἀναισθήτων τε καὶ ἀψύχων εἰς οἶκτον τινὰ· κατακάμψειέ τε· καὶ πάθος οἷον ἐλεεινὸν ἄρρητον, θαυμαζόμενος μὲν οὖν ἐπὶ ταῖς προτέραις δοκιμασίαις, οὐχήκιστα γὲ καὶ τῷ νῦν τῷδε περὶ σοῦ πράγματι, ὡς ἄν, ἐχρήσατο· τέως μὲν προειδότων ἁπάντων ὡς ἐν καιρῷ τῷδε κάλλιστά τε καὶ καθ’ ἑαυτὸν ἀξίως εὖ χρήσαιτο· οὐ μὴν ἀλλὰ καὶ οὕτω κρεῖττον ἢ καθ’ ἡμᾶς αὐτοὺς, ὡς προήδειμέν τε καὶ ξυνελογίζομεθα, πρὸς τὴν χρείαν αὐτὴν ἀπαντήσας· καὶ τὸ οἰκεῖον ἀποδοὺς βέλτιστος ἐπὶ βελτίστοις· καὶ τοὺς πάλαι περιλαλήτους, ἀποκρυψάμενος Φιλομήτορας, οὐκ ἐπιμελείᾳ πλείονι μόνον, ἀλλὰ καὶ περὶ τῶν ἀναγκαιοτάτων, αὐτῇ σοι καὶ μεθισταμένῃ τῶν ὧδε· ἀνυσιμοτάτων τὲ καὶ ὀνησιμοτάτων· ὡς ἄρα Χριστιανοῖς νομίζεται, θαυμαστῇ | θεοσεβείᾳ τὲ καὶ σπουδῇ. f. 186

12. Καὶ τί ἂν ἐν μέρει θρήνων τὰ κατ’ αὐτὸν θαυμάζοιμεν ἀνέφικτα; ἀλλ’ οὗτος γε μήν σοι τὸν νεκρὸν οἴκτιστα μὲν αὐτῷ καὶ τοῖς ὁρῶσιν ἡμῖν γε ἅπασιν, ἀποδίδωσι δ’ ὅμως εἰς τὸ μνῆμα καθὼς ἦρας, αὐτῇ γε σοὶ πρότερον ἥδιστα· καὶ σφόδρα αἰδημόνως σὺν οἴκτῳ μεγίστῳ καὶ σεβασμῷ· καὶ κόσμῳ παντὶ· αὐτοῦ τε καὶ σοῦ γε ἀξίως. καί σοι σεμνότης ἱερέων, οὐκ ὀλιγάριθμος παρίσταται· ὑμνῳδοί τε θρήνων· καὶ εὐχῶν ἐξοδίων· εὖ μάλα σύντονοι λειτουργοὶ· τὴν ἐσχάτην σοι ταύτην ἀποδιδόντες νῦν γε εἶναι καὶ σοὶ μεγίστην ὄντως καὶ περισπούδαστον εὐγνωμοσύνης τελετὴν· ἐφ’ αἷς πολλαῖς καὶ πολλάκις· καὶ πρὸς πλείστους καὶ πάντας αὐτοὺς, πρόθυμος ἀεί ποτ’ ἧς εὐποιίαις· καὶ θεραπείαις σεβαζομένη καὶ προσπίπτουσα· καὶ πᾶσαν αἰδῶ τε καὶ θεοσέβειαν ἱερατείας, οὐκ οἶδ’ ὡς εἴ τις ἄλλη τῶν ἀπ’ αἰῶνος, πασῶν βασιλὶς χαριζομένη τὲ καὶ νομίζουσα, (πῶς ἄν, εἴποι τις;), εὖ μάλα γεννικῶς καὶ κοσμίως, καὶ ὡς ἄν, ἅπας ὁρῶν τὲ καὶ χρώμενος· καὶ ὅλως μανθάνων, αἰδεσθείη τὲ καὶ ἀγάσαιτο. οὗτοι δή σοι κοινῇ πάντες εὖ μάλα πρόθυμοι παρίστανται· καὶ πρὸς ἀλλήλους

21 γὲ V^2 s.l.: δὲ VSi **12,4** αὐτῇ γε σοὶ V: αὐτή γε σὺ coni. Si **6** σοι scripsimus: σε VSi **6–7** παρίσταται V: περιίσταται coni. Si

18–19 cf. Eurip., Phoen. 878

ἁμιλλώμενοι μετ᾽ ἔρωτος μὲν, ἀλλ᾽ ἀπευκταίαν ὄντως σφίσι ταύτην τὴν ἀπόδοσιν τῆς εὐγνωμοσύνης· γηραιοί τε καὶ ἀκμάζοντες καὶ μέσοι· πάντες τὴν ἴσην ἐνδεικνύμενοι περὶ τὴν ἄφυκτον ταύτην, χρείαν εὐτονίαν· οἱ ἐν προεδρείαις καὶ προστατεύειν εἰληχότες πολλῶν· οἱ ἐν ἀξιώσει τῆς πανσέπτου πάσης ἱεραρχικῆς ἐνθέου τάξεως· καὶ ὅλως τοῦ βήματος ἅπαντες· τελεσιουργοὶ· καὶ μυσταγωγοί τε καὶ ὑπηρέται· ὅσοι τὲ τῶν μοναδικῶν καὶ ὅσοι τῶν ἄλλως ἐχόντων· οἱ κατατετηγμένοι χρονίοις ἀσκήσεως ἀγῶσι· καὶ σεμνοὶ τὴν ἀρετὴν καὶ πάσης αἰδοῦς ἠξιωμένοι· καὶ μάλισθ᾽ ὑπὸ σοῦ γε τῆς ἐν τοῖς τοιούτοις νικώσης ἅπαντας· οὓς ἅπαντας ἐζήτεις καὶ ἀνεύρισκες· ἄλλους ἀλλαχόθεν ἐκ πόθου· μεγίστου τὲ καὶ ἐνθέου καὶ κρυπτομένους προύφερες· ὡς τοῦ βίου παντὸς καὶ τῆς σῆς βασιλείας θησαυροὺς ἀσυλήτους· οἷς ἅπασαν ἐπήρκεις τὴν χρείαν ἀδαπάνητον· οἷς κατεδημιούργεις | f. 186v τὰς μοναυλίας· τὰ φροντιστήρια, οἷς ἄρα τὴν ἄπονον συνῆς ἀεὶ καὶ ἡδίστην ὁμιλίαν γεραίρουσα ταῖς προεδρίαις· καὶ πάσῃ σπουδῇ τε καὶ αἰδοῖ καὶ κόσμῳ προσφθεγγομένη. καὶ νῦν γε (οἴμοι), παρίστανταί σοι κειμένῃ, σεμνοὶ σεμνῶς κλάοντές τε καὶ προσλαλοῦντες οὐκ ἐπαΐουσαν· ἧς οὐκ ἦν ὅλως αὐτοὺς ἑστῶτας ὁρᾶν· κατευχόμενοι τῆς πανσέπτου καὶ ἱερᾶς σου ψυχῆς τὰ ἐξιτήρια· καὶ παραπέμποντες εἰς τὴν ἄληκτον ἐκείνην λῆξιν· καὶ ἧς οὐ πάθος ὁτιοῦν οὐ φθόνος· οὐ μεταβολὴ καὶ τροπή τις οὐχ ἅπτεται· χορὸς οὗτος παμπληθὴς· καὶ σύνταγμα ἱερὸν· καὶ δορυφορία καὶ συνασπισμὸς, ἀκλόνητος· τοῖς ἄνω βασιλείοις ἐγκαθιστῶντες· λιποῦσαν τὰ παρόντα σε τὴν ἐν αὐτοῖς κάλλιστα δειχθεῖσαν.

13. Οὕτως οὐδὲν οἶμαι τῶν εἰς εὐδαιμονίαν ἐσχάτην, ἀγόντων ἐνέλιπέ σοι· οὐδ᾽ ἐνδεῖ νῦν εἰς αὐτὴν τὴν τελευτήν. καλλίστη γὰρ ἐξ αὐτῶν καλλίστων τε καὶ μεγίστων, καὶ περιδόξων εἰς φῶς ἐλθοῦσα, καὶ κάλλιστα διὰ πάσης ἀκμάσασα βιοτῆς, καὶ κατ᾽ οὐδὲν ἀνωμάλου καὶ περιτρόπου πειραθεῖσα τῆς τύχης, ἐν αὐτῇ κάλλιστα τελευτᾷς τὸν βίον ἀνθούσῃ. οὐδέν σοι τῶν εἰς δόξαν ἔσβεσται· οὐδὲν τῆς εὐδαίμονος ὑφεῖται ζωῆς· οὐδὲν ὑπερρύηκεν·

28 ἀνεύρισκες V: ἀνηύρισκες Si **40** συνασπισμὸς corr. Si: συναπισμὸς V **13,3** αὐτῶν V^1 in ras.

12,35 cf. Ael. Arist. Or. 46 (p. 229, 22–23)

ἀλλ’ ὥσπερ, ἀγωνιστής τις ἔντονος· καὶ ἀήττητος μέχρι καὶ ἐς δεῦρο, καταλύει σοι νῦν ὅμως διὰ πάντων, ἄτρεπτος ἡ σὲ προενεγκοῦσα· καὶ συζήσασά σοι πολλοῖς ἔτεσιν ἀγαθὴ τύχη· μᾶλλον δὲ ὥσπερ ἀγωνιστήν τινα τοιοῦτον οἷος εἴρηται, καὶ θαυμαστὸν ἔποχον ὄχημά τι γεννικὸν αὕτη σε καὶ ἀκάματον ἐπέσχεν εἰς τέλος, ἐν ἀκμῇ καὶ κράτει μὴ συμπεσὸν ὅλως, μὴ δὲ σφαλὲν· μὴ δ’ ὑφέμενον καὶ λαμπρότατα καὶ κάλλιστα, ἐπεσφραγίσατο τὸν ὅλον ἀγῶνα· καὶ διάδρομον τοῦ βίου μήκιστον ἀτρέπτῳ τῇ τελευτῇ. οὐ γὰρ πρότερον εὖ πράξασα, εἶτα χεῖρον ἀπήλλαξας· οὐδὲ τουναντίον κακῶς ἄρα χρησαμένη πρότερον, ὕστερον εὖ ἔπραξας· ἀλλὰ διὰ πάντων ἐξαρχῆς, ὥσπερ ἐν ἀκηράτου τινὸς λειμῶνος ἢ ἔαρος ἀνθήσασα, καὶ τραφεῖσα, διετέλεσας πανηγυρίζουσα, | [f. 187] τὸν ἅπαντα βίον ἐν ἀκμῇ τῆς εὐτυχίας· καὶ νῦν εὐγενῶς οἶμαι καὶ περιλάμπρως, ὥσπερ οἵ τινος ἑορτῆς ἀπολήξαντες, κατέπαυσας· καὶ ποθούντων σε μὴν εὖ μάλα τῶν χρωμένων τὲ καὶ συνόντων ὥσπερ ἐκεῖνοι γε πάντες ἄνθρωποι, τὴν τῆς ἑορτῆς χάριν ἀπολιποῦσαν.

14. Πρόγονοι μέν σοι βασιλεῖς ἐκεῖνοι Δοῦκαι τὲ καὶ Κομνηνοί· τὰ κάλλιστα καὶ περίτρανα βασιλέων ὀνόματα. βασιλεῖς γε μὴν οἵδ’ οἱ πρὸ σοῦ γε νῦν ἔγγιστα, αἵματός τέ σοι κοινωνοί· καί σε πηγῶν ὁμογνίων ὀχετεύουσι· καί σε κατεγγυησάμενοι τῷ καλλίστῳ τὲ καὶ περιδοξοτάτῳ· τῶν τότε πάντων ἐκ βασιλέων προγόνων, ἐπιδόξῳ βασιλεῖ, σφόδρα ἔδοξαν, εὖ ἁρμόσασθαι τὴν καλλίστην ταύτην ὑμετέραν σύζευξιν καὶ κρίσιν. οὐ γὰρ ἦν εἰκὸς, ἐκεῖνον οἶμαι σοῦ γε χωρὶς, ὡς ἄρ’ ἦν εἰκὸς καὶ τὴν ὀφειλὴν ἀπέδωκεν ὁ χρόνος, εὖ γε ποιῶν, βασιλεῦσαι. καὶ τοίνυν βασιλεύσαντες, ἄμφω γε ἀλλήλων ἦτε ἄξιοι· καὶ οὔτ’ ἦν, οὔτ’ ἐδόκει δι’ οὐδέτερον ὑμῶν, ὑβρίζειν ἀνώμαλος ἡ τύχη. συζήσασα δὲ ἐπιπλεῖστον, τῷ καλλίστῳ τὲ καὶ μεγίστῳ· καὶ πάντα ἀρίστῳ τῶν πώποτε βασιλέων καὶ οὗ πᾶσα πλήρης ἡ γῆ· κατὰ πάσης αὐτῆς ὡς ἀληθῶς θριαμβευούσης· τῆς τοσαύτης τῶν ἐκείνου θαυμάτων περιφανείας τὲ καὶ εὐκλείας, συζήσασα δ’ οὖν ὅμως οὕτω κάλλιστα

19 ἀνθήσασα V: ἀνθίσασα Si **14,7** κρίσιν V[1]Si: κράσιν V

13,18 cf. Eurip., Hipp. 73–74 **19–20** cf. Phil. Iud., De spec. leg. 2, 48 (p. 84, 8–9)

καὶ μάλα εὐγενῶς, τῷ κρατίστῳ βασιλέων· ἐπεὶ τόνδ’ ἀπολείπειν τὰ παρόντα καιρὸς ἐδίδου, ἀλλὰ σέ γε, οὐκ ἔπειτ’ ἔλιπεν ἡ σοὶ παραμένουσα· πιστὴ, τοῖς πολλοῖς δοκοῦσ’ ἄπιστος ἀγαθὴ τύχη· ἀλλά σοι μεταβολὴν ἄλλου τινὸς ἐχορήγει δράματος εὐδαιμονίας, ὥσπερ ἐπίτηδες ἅπαντά σοι πρὸς χάριν μηχανωμένη, καὶ ἀεὶ βέλτιστα, βασιλεῖ συντιμᾶσθαι τὲ, καὶ τὰ πρῶτα φέρειν αὐτὴν υἱῷ· πάντα τὲ ἀρίστῳ καὶ ὑμῶν ἀξίῳ· καὶ πάντων μάλιστα φιλομήτορι· καὶ τὴν εἰς σὲ σπουδήν τε καὶ τὸ σέβας, πρὸ τῶν ἄλλων ἁπάντων
f. 187v ἔργον | τιθεμένῳ καὶ σπούδασμα· καὶ ὡς ἄρα τί μέρος εὐσεβείας, ὀφειλὴν ἀπαραίτητον. τούτῳ συνεβίους ἥδιστα· τούτῳ πάντων ἧς ἀγαθῶν κοινωνὸς· συντιμωμένη καὶ πρῶτα τιμωμένη μάλιστα· μετ’ αὐτοῦ· πάντων ἀπολαμβάνουσα τὸ δίκαιον τοῦ σεβάσματος ὄφλημα· μᾶλλον δὲ μετ’ αὐτὸν πρῶτον ἀποδιδόντά σοι. τοῦτον εἶχες καὶ μύστην τῶν ἀγαθῶν καὶ πιστὸν διδάσκαλον, τὸν ἄμεινον τῶν ἄλλων εἰδότα καὶ χρώμενον αὐτὸν· καὶ σοὶ καθάπαξ ἀνυπόπτως ὑποτιθέμενον· τὸν τῶν καλῶν ἐραστὴν ἁπάντων, αὐτῷ τὲ παρεῖναι· καὶ σοί γε οὐχ ἧττον· ὅσα τὲ εἰς αὐτὴν φέρει ψυχὴν τὴν ἀνώλεθρον· καὶ ὅσα ἐνταῦθα περὶ τὰ σωματικὰ· καὶ τὴν περίβλεπτον βασιλείαν ὑμῖν.

15. Οὕτω σε διὰ πάσης ἐξαρχῆς ἐλθοῦσαν ζηλωτῆς καὶ περισήμου τῆς εὐπραγίας, καὶ τὸν βίον ἅπαντα μεθ’ ὅσης τῆς εὐδρομίας καὶ ῥαστώνης ἀνύσασαν, καὶ βασιλέων ἀρίστων, τῷ μὲν, συνοικήσασαν, τόν δ’ ἐξ ἑαυτῆς προενεγκοῦσαν τοῦ στέφους κοινωνὸν, καὶ ἀμφότερα ἐπὶ πλείστοις ἔτεσι· καὶ μὴν βασιλεῖς ἔτ’ ἐκ βασιλέων, ἐπὶ τῶν αὐτῶν βασιλείων θρόνων συντιμωμένους ἰδοῦσαν· καὶ τοῦτ’ ἐπιμήκιστον ὡς ἔξεστιν, εἰς τρίτον κλῆρον διαδοχῆς· καὶ τοσαύτης εὐκληρίας ὁπόσης ὀλίγαι τῶν ἀπ’ αἰῶνος πεπειραμένην, καὶ παράδειγμα γενομένην σε σχεδὸν, ἀνθρωπείας ὄντως εὐδαιμονίας, μετ’ αὐτῆς δὴ ταύτης ἀκμαζούσης σοι τῆς εὐπραγίας, καὶ τῶν ἀγαθῶν ἀσαλεύτων οὐχ ὁτιοῦν σφαλεῖσαν, λαμβάνει τὸ πέρας νῦν ἄξιον ἀπαντῆσαν τῶν ὑπαρχόντων· καὶ παραπέμπον ἀσφαλῶς, εἰς τὰ πολλῷ βελτίω καὶ ὧν μάλιστα

17 σοὶ V: σὴ Si **22** πάντα V² e corr. **15,6** fort. τῶν post ἐκ erasum in V **9** ἀνθρωπείας tacite corr. Si: ἀνθρωπίας V **11** ὁτισοῦν V a. corr.

14,18–19 cf. Metoch., Carm. 15, 44–50 (p. 261) et infra, Or. 10, 81, 4–5

λαβέσθαι μεγίστην εἶχες ἀεὶ σπουδήν. καί σε νῦν αὐταῖς ἱερουργικαῖς εὐλογίαις, εἰς ταῦτα μετάγει· καὶ δᾳδουχίαις· θεῖος οὗτος σοι παρεστὼς χορὸς σὺν αἰδοῖ καὶ κόσμῳ σε παραπέμποντες, ἄκοντες μὲν ἀμέλει καὶ θρηνοῦντες καὶ αὐτοὶ (καὶ τί γὰρ οὐκ ἔμελλον ἡμῶν χάριν καὶ τοῦ κοινοῦ καλοῦ;), | σοί δ' ὅμως ξυνορῶντες τόδ' f. 188 ὡς ἀληθῶς βέλτιον· καὶ ὥσπερ ἐν ἀρρήτοις τισὶ τελεταῖς, ἀντιθέτων δὴ τῶνδ' ἀμφοτέρων ἡδονῆς τέ τινος καὶ ἀνίας δέει συμμιγοῦς, κάτοχοι· δῆλοι τὲ δὴ πᾶσιν ὄντες, ὡς εἰς καινήν τινα ταύτην καὶ πόρρω δὴ μάλιστα θαύματος ἥκουσαν κατάστασιν παραβαλλόμενοι. ἡμεῖς γε μὴν ἅπαντες, οὐκ ἔχομεν ὅ,τι δρῷμεν ἀξίως· οὔτε θρηνεῖν· οὔτε θαυμάζειν σε τῆς εἰς ἔσχατον εὐδαιμονίας, ἀμφότερ' ὀφείλοντες. θρηνεῖν δ' ὅμως ἀνάγκην ἔχομεν, ἄτρεπτον ταύτην ἅπαντες· γηραιοί τε καὶ γηραιαὶ· καὶ νέοι καὶ νέαι· καὶ ἀμφότεροι πάντως ὡς τὸ κάλλιστόν τε καὶ ἥδιστον, καὶ ὀνησιμότατον οἰχόμενον, ὧν εἴδομεν· ὧν εἴχομεν· ὧν ἀπηλαύσαμεν· καὶ μὴν ὡς ἑκάτεροί γε νομίζοντες, σφίσι προσῆκον τῶν θρήνων μετεῖναι, πλεῖν ἢ κατὰ τοὺς ἄλλους· οἱ μὲν, ἄρ' ὡς πλεῖστον οἶμαι, πεπειραμένοι· καὶ πλεῖστον ἀεὶ ποθοῦντες, διὰ τὴν πεῖραν αὐτὴν μάλιστα· οἵ δ' ὡς ἐλάχιστον αὖθις καὶ γευσάμενοι μόνον καὶ ποθήσαντες· τοῖς πλεῖστον πεπειραμένοις φθονοῦντες. καὶ μὴν πρότερον ἐνόμιζον ἑαυτοὺς εὐδαιμονεστέρους· οἱ μὲν, διὰ τὸ σύνηθες ἤδη, πολλὰ ἔτη καὶ ὡσπερεὶ συμβιῶσαν ἀγαθὸν· οἱ δὲ, διὰ τὴν ἐλπίδα μάλιστα πρόσθεν αὐτοῦ δὴ τούτου, τὴν ἡλικίαν τὸ πλεῖον ἐγγυωμένην, σφίσι ξυμμετρούμενοι. νυνὶ δὲ διαταῦτα δὴ λοιπὸν, οἶμαι τὴν ζημίαν αὖθις ἑκάτεροι λογίζονται, σφίσι πλείω· οἱ μὲν, ὧν ἔσχον ἀπολαύσαντες· καλῶν πλείστων πλεῖν ἢ κατὰ τοὺς ἄλλους· οἵ δ' ὧν ἤλπιζον, πλεῖν ἢ κατὰ τοὺς ἄλλους αὖθις· οἱ μὲν, ὧν ἔφθασαν, σχόντες αὐτοὶ μόνοι· οἵ δ' ὧν ἔμελλον ὡς ἐδόκουν, μόνοι. καὶ τοὺς μὲν, τὰ φθάσαντα τόσα πλέον· τούς δ' ἀνιᾷ τὰ μέλλοντα· καὶ οἱ μὲν, ζητοῦσι τὴν ἡλικιῶτιν εὐδαιμονίαν· νυνὶ ταλαίπωροι λελειμμένοι καὶ σεσημμένοι, βαρυδαίμονες ἐν γήρᾳ· οἱ δὲ, τὴν θρέψασαν· οἱ δὲ, τὴν αὐτὸ τοῦτο μέλλουσαν.

19–20 ἀντιθέτων V e corr. **20** ἀνοίας V a. corr. **23** δρῷμεν scripsimus: δρῶμεν VSi **27–28** ὀνησιμότατον V, servavimus: ὀνησιμώτατον Si **31** πλεῖστον V^1 e corr.

15,43 cf. Niceph. Greg., Hist. Rom. (II, p. 617, 17)

f. 188v | **16.** Ὦ τίνας ἄν τις θρηνήσαι μάλιστα· ὢ τίνας ἄν τις ἄλλους, ἀφεὶς ἑαυτόν· ὢ τίς οὐ πρότερον μάλισθ' ἑαυτόν, ὡς ἡ φύσις κρίνει, ἐπιθήκην μεγίστην ἔχων τῆς ἀλγηδόνος· καὶ τοὺς ἄλλους πρὸς οὓς ἄν, ὁρῴη; ὢ τίνας ἄν τις πρὸ τῶν ἄλλων ἀθλιωτέρους θεῖτο; ὢ γηραιῶν ἀπόρων ἐν ἀνδράσι καὶ γυναιξὶν· οὐδὲν ἄλλο τῆς ζωῆς κεκτημένων ἐχέγγυον, ἢ τὴν σὴν ζωὴν καὶ φιλανθρωπίαν· νυνί γε ἐξ ἀνάγκης συνθνῃσκόντων σοι. ὢ νέων διὰ τὴν αὐτὴν ἀπορίαν, ἢ τύχης ἢ νόσων ἀπόγνωσιν, ταὐτὸ τοῦτο καὶ ὄντων πρότερον, καὶ νῦν πασχόντων. ὢ φιλανθρωπίαι· καὶ ξένων καὶ νοσούντων ὑποδοχαὶ· καὶ λιμένες καὶ πτωχοτροφεῖα πάλαι θρυλλούμενα, νυνὶ πάντα δεύτερα τῶν σῶν. ὢ τίνας ἄν τις οἰκτίσαιτο, πλέον τοὺς ἐν τοῖς βιωτικοῖς οἷστισι ναυαγίοις, τῆς σῆς ἀπολαύσαντας εὐκαίρου γαλήνης τὲ καὶ τέως χειμασθέντας· ἀσφαλῶς λοιπὸν ἐλλιμενίσαντας, ἢ τοὺς μέλλοντας ὧν ἐλπὶς ἦσθα μόνη; νυνί δ' ἀμφοτέροις ᾤχου. νυνί γε μοι δοκοῦσιν καὶ χῆραι καὶ ὀρφανοὶ τὴν μόνωσιν, καὶ ταλαίπωροι πάντες τὴν ἅπασαν δυσκολίαν τῆς τύχης, ἐπιδήλως αἰσθέσθαι, ἃ μὴ πρότερον διὰ σέ, καὶ τὴν σὴν οἶμαι καὶ γνώμην, καὶ δεξιὰν ἄφθονον νικῶσαν· νυνὶ πρεσβύται καὶ πρεσβύτιδες ξυντεμεῖν ἤδη τὸ ζῆν, ὄντως οὐκ ἔχοντες τὴν κινοῦσαν ὥσπερ δύναμιν, καὶ τὸ ζῆν αὐτοὺς ποθεῖν πείθουσαν. νυνὶ πάντες ὡς ἀληθῶς ξυνορῶμεν κακῶς πράξαντες, ὁτιοῦν ἕκαστος· καὶ θρηνοῦμεν ἁμιλλώμενοι· τὰ μὲν, ἁπλῶς οὑτωσὶ κλάοντες· τὰ δὲ, λόγοις· καὶ θρηνήσομεν τὸν ἅπαντα χρόνον, καταπαύοντες ἑκάστοθ' ἡττώμενοι· πλὴν ὡς μικρὸν αὖθις καὶ ἀεὶ καὶ θρηνήσοντες, καὶ παυσόμενοι· τὸ μὲν, ὡς ὀφειλόμενον ἀπαραίτητον ἀναγκαζόμενοι· τὸ δὲ, καὶ αὐτὸ μὴ καθάπαξ ἔχοντες, τὸ δίκαιον ἄτρεπτον ἀποδι-
f. 189 δόναι· μὴ κατὰ βούλησιν ὅμως ἀναγκαζόμενοι· | καὶ θρηνοῦντες μὲν ἄκοντες (ἢ τίς γε οὕτω δύσερως, κακῶς οὕτω πράττειν βούλεσθαι;), καὶ καταπαύοντες δ' ὅμως, θρηνοῦντες πολλῷ μᾶλλον ἄκοντες· ὡς καὶ αὖθις καὶ ἀεὶ, τὰ πικρὰ καὶ λέξοντες καὶ θρηνήσοντες.

16,10 θρυλλούμενα V, servavimus: θρυλούμενα corr. Si **12** ἀπολαύσαντας V[2]Si: ἀπολαύσαντες V **24** καὶ[1]V[1] s.l.

16,23–30 cf. Metoch., Carm. 7, 330 (p. 150); Carm. 8, 329–330 (p. 162); Carm. 9, 360 (p. 175)

10

Ἠθικὸς ἢ περὶ παιδείας

1. Πολλάκις ἔγωγ᾽ εἱλόμην μέτριάττα, περὶ τῶν λόγων ὡς δὴ τυγχάνω γινώσκων, καὶ καθὼς ἄν, οἷός τ᾽ εἴην, ἐρεῖν σοι· καὶ ὅπως ἄν, ἀντὶ τούτων ἅπασαν, ἥντιν᾽ ἔξεστι σπουδὴν αἱροῖο, παρακαλέσαι· ὡς πόνον ἀγαθὸν· οὐδὲ τὴν ἐπιμέλειαν αὑτοῦ καὶ κτῆσιν, οὐκ ὄντα μᾶλλον ἢ ῥᾳστώνην, ἀληθῆ τε καὶ φίλην. ἐπεί δ᾽ ἑκάστοτε προσεῖχον τὸν νοῦν, ταὐτὸν ἄρα ὥσπερ οἱ καθ᾽ ὕπνους ὄναρ ὁτῳοῦν ἐγχειρεῖν δοκοῦντες, ἐσκοπούμην μὲν, καὶ μέχρι τῶν λογισμῶν μόνων, ἦν ἐνεργὸς· ἀνάγκη δ᾽ ἦν ἔπειτα μηδὲν πλέον, ἐπὶ τοῖς ἔργοις αὐτοῖς ἀπαντᾶν· μηδ᾽ ἄν, ὅτι μάλιστα βιαζοίμην, ἕπεσθαι· ἀλλὰ πάντ᾽ ἔδρων μᾶλλον, ἢ λέγειν προθέμενος ἤνυτον λέγειν· τῆς ἄλλοτ᾽ ἄλλης ἐμπιπτούσης ἀφορμῆς, ἀπαγούσης βίᾳ, φροντίδων εἰς τὸν βίον ἀναπιμπλάμενον· οὐκ οἶδ᾽ ὧντινων οὐδ᾽ ὅπως ἐρῶ· παντάπασιν ἀγεννῶν καὶ ἀνελευθέρων· καὶ πραγματιδίων φλαύρων· καὶ οὐδὲν καθάπαξ ἱερῶν· οὐδ᾽ ἀξίων σπουδῆς· οὐδ᾽ ὧν οὐδείς ποθ᾽ ἑκών γε εἶναι προειδόμενος ἀνὴρ ἐλλόγιμος, ὅλως ἅψαιτ᾽ ἄν, κάκιστ᾽ ὀλουμένων· μᾶλλον δὲ κακῶς ὀλλύντων· καὶ κατατεμμαχιζόντων, εἰς μυρίαν ὅσην ἀηδίαν τὸν ἐραστὴν τοῦ καλοῦ νοῦν.

2. Ἐδόκει δέ μοι καὶ τοῦτο μάλιστ᾽ ἐργῶδες. εἰ γὰρ πειρῴμην, ἀμελετήτως ἔχειν, ἅτ᾽ ἤδη τῆς ἐν λόγοις, ἧσπερ εἰώθειν | f. 189^{v} ξυντυχίας ἀπότροφος πολλοῦ γεγονὼς. μελέτη δέ τοι ἔργον ὀφέλλει φησὶν ἡ ποίησις, ὃ δὲ μήτέ τιν᾽ ἄσκησιν· μήτε τὴν γιγνομένην ἐπικουρίαν ἀεὶ προσλαμβάνον, τὴν ἕξιν, οἶμαι, καθ᾽ ἑκάστην ἐξ ἀνάγκης ἀπορρεῖ, τοῖς ἀτημελήτοις ἔοικε τῶν φυτῶν, καὶ μὴ τῆς νομίμου τυγχάνουσιν ἀγωγῆς· καὶ ὥσπερ οὐδ᾽ ἐκεῖνα πρὸς τὴν φύσιν ἢ τὴν φορὰν, οὔτ᾽ εὔδρομον· οὔτε σῶφρον ἄν, εἴη, πρὸς ἅπασαν ἐπιχείρησιν. ἐγὼ μὲν οὖν οὕτω δὴ μάλιστ᾽ εἶχον πόρρω ἢ

tit. Ἠθικὸς ἢ περὶ παιδείας V^2 λόγος ι´ V^2 in marg. **1,4** πόνων V a. corr. ὄντ᾽ ante ἀγαθὸν erasum in V | αὑτοῦ V^2: αὐτοῦ V **2,5** προσλαμβάνων V a. corr.

1,13–14 cf. Plat., Gorg. 469b **2,3–4** Hes., Op. et Dies 42

πρὸς τὴν νῦν κατασκευὴν περὶ τὸν λόγον ταύτην, καὶ ξυνουσίαν· ἔμελλες δ’ ἄρα παντάπασιν αὐτὸς ἀφροντίστως ἔχων σαυτοῦ, ἐμὲ λοιπὸν πρὸς ἑαυτὸν ἐπιστρέψαι, παρ’ ὥραν ἤδη. καὶ μηδὲν ἐπὶ σαυτοῦ, μήτ’ ἄμεινον βεβουλημένος μήτ’ ἐξισχύσας, κατ’ ἐμοῦ γέγονας ἰσχυρὸς· πάντων μεταστῆσαι πραγμάτων πλεῖν ἢ ἔγωγ’ αὐτὸς, τέως ᾤμην τὲ καὶ παρεσκευάσμην. καὶ σαυτοῦ μὲν, οὔπω σὺ καὶ νῦν γέγονας· ἐμὲ δ’, οὐκ οἶδα πότερον ἂν, φαίην, εἴτ’ ἐμαυτοῦ πεποίηκας, εἴτε τἀληθέστερον μᾶλλον σοῦ. ὧν γὰρ μήπω πρότερον δι’ ἐμαυτὸν εἶχον, μεταστῆναι μήθ’ ὅλως ἐξῆν, διὰ σὲ γίγνεται. καὶ δοκῶ μοι πάντων περιέσεσθαι τῶν ἄλλων φροντισμάτων, μεριμνῶν ἐπὶ σοί. ὡς γὰρ τῶν ἡμετέρων οἶμαι παντάπασιν ἀπεγνωκὼς· καὶ ὧν ἐλπίδων εἶχον ἐπ’ ἐμαυτοῦ περὶ λόγους, καὶ δευτέρων ἀμεινόνων φασὶν· ὧν ἐξῆς πλέως ἦν ἐπὶ σοὶ, ζημιούμενος, κάμνω καὶ δεινὰ πάσχειν δοκῶ μοι· μηκέτ’ ἀνεκτῶς ὥσπερ ἄρα πρότερον, ἔμοιγε ξυγγινώσκειν ἠξίουν.

3. Καὶ τοῦτο μὲν ὃ μέγιστον ἠνάγκασεν, εἰς τὸν παρόντα νῦν οἶμαι λόγον. ἀλλὰ μὴν ἔτ’ ᾠήθην μάλιστα, ὡς ἐκείνως μὲν ἴσως ἐπιχειρῶν εὐφημεῖν τοὺς λόγους· μελετῶν αὐτὸς ἐν αὐτοῖς καὶ συνασκούμενος, τἀμαυτοῦ θαυμάζειν, ἀξιοῦν ἐδόκουν ἂν, καὶ οἷς ἄρα δὴ ξύνειμι, καὶ σὲ καὶ πάντας καθάπαξ σπουδάζειν, καθάπερ ἀμέλει τοῦτο δρῶσιν, οἱ πλείους· τὰ οἰκεῖα αὐτῶν πρὸς ἑκάστους
f. 190 ἀνθρώπων, συνιστῶντες καὶ καταπείθοντες | ὁμολογεῖν· καὶ σφίσιν ὡς βελτίστοις προσέχειν. καὶ τοίνυν οἱ μὲν, πατρίδας αὐτῶν καὶ τόπους τινὰς, καὶ ξυνοικίας· οἱ δὲ, πολιτεύματα· οἱ δὲ, βίων αἱρέσεις· οἱ δὲ, ἕκαστα ἅττα ἂν, ἕλωνται· καὶ μεθ’ ὧν ὑπ’ ἀνάγκης ἂν, ἡστινοσοῦν συνῶσι, κόπτουσι πᾶσαν ἀκοὴν σεμνηγοροῦντες· καὶ πραττόμενοι περὶ αὐτῶν, ἀγαθὰς τῶν ἀκουόντων ἐλπίδας.

4. Νυνὶ δὲ ἔγωγε, μάλιστα μὲν ἠβουλόμην, οὐχ οὕτως ἔχειν· ὡς ἄρα πέπονθα καὶ ἀπετράπην τῶν λόγων. πειρώμενος δ’ ἴσως εὐφημεῖν, ὧν τέως αὐτὸς κατηλόγηκα· καὶ μακρὰν εἰμὶ, ἄκων

10 τὸν λόγον V[1]: τῶν λόγων V **15** παρεσκευάσμην V[1]: παρεσκευασάμην V
3,5 ξύνειμι V[1] e corr. **7** συνιστῶντες V[2] : συνιστάμενοι V

22 CPG II, 357, 8

ἀνάγκῃ πράγματος ξυγχωρεῖν μᾶλλον, οὐκ ἐμαυτῷ καὶ οἷς προσήκει μοι, χαρίζεσθαι δόξαιμ' ἄν. οὕτω γε μὴν καὶ ἐμαυτὸν μᾶλλον, ἐλέγχειν ἔσται ὡς ἔξω προνοίας, ἀτυχοῦντα τῶν δοκούντων βελτίστων. ἐμαυτὸν δ' ἀξιῶν ἐλέγχειν, ὑπὲρ ὧν ἔδοξα πρὸς σὲ σπουδάζειν, πῶς οὐκ ἄν σοι πιστὸς εἴην ἐπιχειρῶν πείθειν; καίτοι τοσοῦτόν γε νῦν ἐρῶ, μηδὲν ὑποκρυψάμενος ὥσπερ ἐν ἀρχῇ μεταχειρίζων, καὶ προσποιούμενος τὸν λόγον, ὡς οὐδὲν ᾗ προσήκει, πλέον ἐπαινεῖν ἢ λέγειν εὖ παρεσκεύασμαι. εἰσὶ γὰρ δή τινες οἳ τοσαύτην ἀξιοῦσιν ἀποφλισκάνειν τῇ παιδείᾳ χάριν, ὥστ' οὐδὲν ἐῶσιν ἄρρητον, ὅ,τι ἄν, εἰς τοὺς λόγους ὅλως, ξυννοήσωνται φέρον ἡντιναοῦν σεμνότητα· ἀλλὰ πάντα πράγμαθ' ὑπὲρ αὐτῶν, καταψεύδονται· καὶ φασὶ, καὶ ἀποσεμνύνουσιν· ὅσα ἄν, οἷοί τε γένοιντο· καὶ εἰ σφίσιν ἄρα δὴ μὴ μέτεστιν αὐτῶν τἀληθοῦς, ἐμοὶ δοκεῖν, ἵν' ἰσχύῃ τὸ σπούδασμ' ἑαυτοῖς ἑκόντες ἀμελοῦντες· ἢ τῷ σφόδρα βούλεσθαι, πρότερον μὲν αὐτοὶ· εἶθ' οὕτως τοὺς ἄλλους ἀπατῶντες.

5. Καὶ τοίνυν οὐκ ἀνεπιτίμητον μὲν οὐδ' ἀνεμέσητον, ἀμφοτέροις τούτοις ὁ τοῦ καλοῦ πλάνος· καὶ τὸ τοῦ προσήκοντος ἀτυχεῖν· οὐκ ἀσύγγνωστον δὲ αὖθις, τῶν μὲν, ἡ φιλοκαλία μέχρι καὶ τοσοῦτο πάσχειν, τῶν δὲ, ἡ φιλαυτία μέχρι καὶ ψεύδεσθαι. ἅπαντες γὰρ ἑαυτοὺς φι|λοῦσιν, εἰς ὅσον ἄν, ἥκῃ· καὶ δύναιντο f. 190v πλεῖστον· καὶ τοσοῦτον, ἴσως ἀνεύθυνον ὡς νομίζεται, ὥστε καὶ πάντα διὰ τοῦτο μόνον, ῥᾳδίως τολμᾶν. καὶ βούλοιντ' ἄν, τὰ πάντα σφίσι, πρὸς τὸ βέλτιστον ἐσκευάσθαι· καὶ τὸ δεύτερον ἔτι μάλισθ' οὕτως ἐσκευάσθαι δοκεῖν. ἀλλὰ μὴν καὶ τοῖς γ' ἑτέροις τοῖς ἀνάγκῃ δούλοις ἔρωτος, ἅπαντες ἕτοιμοι συγγνώμης εἰσὶν, ὡς μηκέτι πρὸς ἄλλ' ὁτιοῦν οὐδὲν, καὶ τοῦτο μόνον ἄφυκτον καὶ παντάπασι βίαιον, τὸ πάθος οἴονται· κἂν, ὅτι πλεῖστον ἔλαθον· ἑαυτοὺς ἀποιήτως ἔχοντες καὶ ἀπροόπτως, εἴ τις αἰσθάνοιτο καὶ ξυνορῴη· ὡς οὐδένα λογισμὸν προσόντα, δι' ὃν προσήκει σφίσι τῆς νόσου κρείττοσιν εἶναι. καὶ μὴν ἀμφότεροί μοι δοκοῦσιν ἁμαρτά-

4,16 μετέστιν αὐτῶν τἀληθοῦς V[2] partim in ras. **18** an αὐτοὺς post αὐτοὶ addendum? **5,3** τῶν V[2]: τοῦ V **4** τῶν V[2]: τοῦ V

5,5–6 cf. Plat., Leg. 731de; cf. etiam Plut., Mor. 48E; Metoch., Misc. 357–358 **7–9** Metoch., Misc. 52

νειν ἐνίοτε, πρὸς ἐφεδρεύουσαν ἀκοὴν· οὐχ οὗ σκοποῦσι καὶ βούλονται μόνον, πλέόν τι τοῦ προχείρου τοῖς παιδικοῖς καὶ μετρίου πραττόμενοι, ἀλλὰ καὶ τῶν δικαίων, ἔπειτα αὐτῶν, καὶ ὧν μάλιστα ἐπ' ἀσφαλείας, ἐξῆν οἶμαι περαίνειν· καὶ τῇ λίχνῳ πρὸς ἅπαν κέρδος καὶ πᾶσαν ὑπερβολὴν ἐπιχειρήσει· καὶ τόλμῃ, τὸ κεφάλαιον ζημιοῦν, ὥσπερ ἄρα καὶ τῶν ναυτῶν οἱ ἀπληστότεροι· ταῖς ἀεὶ παρενθήκαις τὸ σκάφος αὐτὸ καταδύουσιν. ἢν γὰρ ἄρα πρὸς ὁτιοῦν ὅλως, ἐφάπαξ ἀντιστῶσιν οἱ ἀκροώμενοι καὶ κρίνοντες· καὶ ξυναίσθωνται νοσοῦν τοῦ ἀληθοῦς, αὐτίκα αὐτόθεν ἀνασεσόβηνται· καὶ δραπετεύουσι τὴν ἀδικίαν· καὶ πρὸς οὐκέτ' οὐδέν εἰσιν εὐπειθεῖς· οὐδ' ἀξιοῦσι συγχωρεῖν· ἀλλ' εἰς ἕκαστ' οὐκ ἀνυπόπτως, οἷοί τ' εἶναί φασι τῶν λόγων· καὶ πειρωμένοις ἐπιβούλως, οὕτως ἤδη ξυνέπεσθαι.

6. Τοιγαροῦν οὗτοι δὴ καὶ μάλιστ' ἐοίκασιν εἶναι, οἱ σπουδάζοντες ἀμέτρως οὕτως, οἱ τὴν πλείστην αἰτίαν, ὑπὸ τῶν πολλῶν κακηγορεῖσθαι παιδείαν παρασχόμενοι· μετ' ἀδείας ὥσπερ ἐχόντων ἐντεῦθεν ἁπάσης, ἀσελγαίνειν καὶ βλασφημεῖν εἰς τοὺς f. 191 λόγους· καί, μετά τινος | ἐμοὶ δοκεῖν ἀναγκαίου δικαίου, τοῖς χειρίστοις συνεῖναι βασκανίᾳ καὶ ἀμαθίᾳ, ὥσπερ οἱ πατάγοις τισὶν ἀήθεσιν, ἔκπληκτοι γενόμενοι· καὶ πρὸς πάνθ' ὁμοῦ φερόμενοι πράγματα. ἀλογοῦσι μὲν γὰρ δῆθεν, ὡς οὐδὲν ὂν δεινόν· βασκαίνουσι δ' ὡς ὑπερτέροις ἢ δύναιντο· καὶ κρείττοσιν ἢ πρὸς τὴν ἑαυτῶν φύσιν τυχεῖν. καὶ φασὶ μὲν, μηδὲν εἶναι μέγα· μήθ' οἷον, μήτ' ἐρᾶν μήτε κτήσασθαι· φθονοῦντες δὲ μάλα ξὺν προθυμίᾳ, δρῶσιν ἐναντί' ἢ φασί· πείθοντες ἐντεῦθεν οἶμαι, ὡς ἄρα πρὸς τὰ μέγιστα βασκαίνειν ἐσκευασμένοις ἐοίκασι· καὶ ἀσυμφώνως οὕτως ἑαυτῶν ἔχουσι. καὶ τούτῳ πρώτῳ δηλονότι τὰ σφέτερα αὐτῶν, ὡς νοσεῖ καὶ ἀμαθῶς ἔχει δεικνῦντες, ἀφ' ἑστίας δοκοῦσί μοι περιπίπτειν· φημί δ' ὧν τις καὶ λόγος ἐστὶ βραχύς.

7. Τῶν γὰρ δὴ πλειόνων τουτωνὶ, τί ἂν τις καὶ μεμνῆτο· οἳ θρεμμάτων δίκην ἐπ' αἰσθήσει μόνῃ τὸν ἅπαντα βίοτον ἐξανύ-

6,1 μάλιστ' V² in ras. **3** κακηγορεῖσθαι V²: κατηγορεῖσθαι V **7,1** δὴ add. V¹ **2–3** ἐξανύτουσι scripsimus: ἐξανύττουσι V

6,15 cf. Plut., Mor. 93E **7,1–2** cf. Plat., Resp. 586a

τουσι· τῶν πλείστων αὐτῶν καὶ καλλίστων μερῶν τῆς ψυχῆς, οὐδὲν, ἐπαΐοντες· κατηλογηκότες παντάπασιν ἑαυτῶν καὶ τῆς φύσεως; καὶ τοίνυν πρὸς τὴν τοσαύτην εὐμοιρίαν καὶ τὸν κλῆρον· καὶ τὰ παρ' αὐτῆς δῶρα, οὔτ' ἔγνωσαν ὅλως χάριν, οὔθ' ὅ,τι χρήσαιντο· ἀλλ' ἄρα πάνυ τοι πλουτοῦντες οὕτω δὴ· οὐκ οἶδ' ὁπότερον ἐρῶ, εἴθ' ἑκόντες εἴτ' ἄκοντες, ὅμως δ' οὖν τὰ σφέτερα αὐτῶν καὶ τὴν οὐσίαν, ἐμοὶ δοκεῖν ἠγνοήκασι· καὶ τὰ οἴκοι πατρῷα τόσα καὶ τόσα κατορύξαντες, καὶ προέμενοι, πενίαν ἑαυτοῖς χειροποίητον κατεστήσαντο· οὐδ' ἐξὸν ἐπὶ πλεῖστον ἀμέλει τρυφᾶν· καὶ δὴ σεμνῶς, οὐ προυνόησαν οὔθ' εἵλοντο· ἀλλ' ἐπ' ἐλαχίστων καὶ φαῦλοι φαύλων τὸ ζῆν ὀλιγώσαντες, ἀσελγαίνουσιν. οἳ νοῦν φοροῦντες ἐν ἑαυτοῖς ἐλάθοντο· οὐδ' ἐπιστρέφονται καθάπαξ· οὐδ' ἴσασι τοσοῦτον· ὅπη δὴ γῆς κατορώρυκται· καὶ τὴν τῆς ψυχῆς ἄσκιον αἰθρίαν, καὶ τὸ τῶν λογισμῶν καὶ τῆς διανοίας διαφανὲς, ἀμαυρώσαντες καὶ καταζοφώσαντες, ἐπετείχισαν πρὸς ἅπασαν | ἐπιστήμης αὐγὴν καὶ θεωρίας· ἀσυλλογίστως ἑαυτῶν f. 191[v] καὶ τῶν ὄντων, ἀσυλλογίστως τῶν ὁρωμένων ἔχοντες· ἀτεχνῶς ὥσπερ τὰ ἀνδρείκελα τῶν τυπωμάτων· μορφαῖς μόνον ἄνθρωποι ἣν ὁρῶσιν, οὐ ξυνιέντες ἔπειτα πρὸς οὐδὲν καθάπαξ· ἣν ἀκούωσι περαίνοντες οὐκέθ' ὁτιοῦν· οὐ νῷ προσχρώμενοι (πόθεν;), ὃν γε κατεχώσαντο παντάπασι συμπεπιλημένον, τοῖς τῆς σαρκὸς ἐπαχθίσμασι· καὶ ὥσπερ ἀνεπιστρόφοις οἶμαι καὶ ἀφύκτοις εἱρκταῖς, κατακεκλεισμένον ταῖς τοῦ σώματος λατομίαις· ὥστ' οὐδὲ διοίγειν ὅλως ἐξεῖναι τὰς σαρκικὰς πτυχὰς· οὐδ' ἀνακαλύπτειν· οὐδὲ προφέρειν ἑαυτοὺς· οὐδὲ δεικνύειν ἅττα οἴκοι κατακέκρυπται ἀγάλματα· ὥσπερ οἱ ἐν ταῖς ὁδοῖς εἶχον Ἑρμαῖ πάλαι· ἀλλ' ἀτρέπτως ὥσπερ ἐν τάφοις εἶρχθαι σφίσι νεκρὰ τὰ κάλλιστα. καὶ ζῶσιν· ἐμοὶ δοκεῖν, ὡς ἂν ἀπηγχονισμένοι τῷ κρείττονι ἑαυτῶν· καὶ μόναις αἰσθήσεσι σαλεύοντες ἀνάρχοις· ἀλογίστοις· ὑφ' ὁτουοῦν ἐντυγχάνοντος φορουμέναις· καὶ καθάπερ ἐν πελάγει

4 κατηλογηκότες V e corr. **18** ἐπι | ἐπιστήμης V **28** εἶχον V[2] in marg.

5–18 cf. Phil. Iud., De decal. 67–68 (pp. 234, 26–235, 4) **15** cf. Plat., Resp. 533d **16–17** cf. Phil. Iud., De somn. 2, 46 (p. 248, 21–22) **16** cf. Id., De spec. leg. 4, 191 (p. 213, 11–12) **20** cf. Id., De congr. 65 (p. 74, 19–21) **25–28** cf. Plat., Symp. 215b

τῷ βίῳ, τὸν ἅπανθ' ἑαυτῶν αἰῶνα δυστυχοῦντες· καὶ δίχα κυβερνήτου προθέμενοι ναυαγεῖν.

8. Καίτοι, καθάπερ οἶμαι οἱ ταῖς φορταγωγοῖς ἔμποροι χρώμενοι, παρέλκονται κελήτιάττα· ἐφ' ᾧ προσσχεῖν εἴ πῃ παρείκοι τῇ γῇ καὶ ὑδρεύσασθαι· καὶ πρὸς ἄλλην ἅπασαν ἡντιναοῦν ἑκάστοτε χρείαν· ἀμέλει ῥᾷον εὐπορῆσαι καὶ σκευαγωγήσασθαι, πρὸς τὴν αὐτὴν ἐμοὶ δοκεῖν χρείαν ἐσκευάσθαι, τῇ φύσει τὴν αἴσθησιν· ὡς τὸν μὲν ὅλον σκοπὸν καὶ τὴν ἐμπορίαν τῆς φύσεως, αὐτὸν ὄντα τὸν νοῦν καὶ τὰ λογικὰ πράγματα· αἰσθήσει δὲ τοσοῦτο προσχρῆσθαι δέον, ὅσα καὶ τοῦ παντὸς ἐλαχίστῳ μέρει· καὶ ἅμα μὲν πρός τινα δὴ καὶ παῦλαν, τῆς εὐτόνου μὲν, ἐπιπόνου δὲ μάλιστα τῶν λογισμῶν ἐργασίας, ὡς ἂν μὴ διαπαντὸς, ἐξὸν οὐριοδρομεῖν, ἅμα δὲ καί τινα ἐντεῦθεν, πορίσαι διανοίας ὕλην· καὶ συλλογισμῶν προβλήματα· καὶ πρὸς τὴν ἔσω σπουδαζομένην
f. 192 πραγματείαν καὶ πολιτείαν, | διαδικασίαν καὶ παρασκευὴν οὐκ ἀνέορτον· καὶ ὥσπερ ἀνθεινά τινα καὶ εὐανάδοτα πέμματα· οἷς τοῦτο μὲν ἐξέσται, ῥᾳστώνῃ χρῆσθαι· τοῦτο δὲ προσέσται πρὸς ὁτιοῦν χρόνοις ἔπειθ' ὕστερον ἀνύτειν· καὶ φέρειν ἡντιναοῦν πάντως ὄνησιν.

9. Ἀλλ' ἡ μὲν ἐμοὶ δοκεῖν αἰσθήσεως αὕτη φύσις· καὶ χρῆσις· οὕτως ἄρα ἐπελθὸν μνησθῆναι. ἐπεὶ δὲ τὴν τῆς παιδείας ὁ λόγος ἐξετάζων φύσιν, ἐδόκει δὴ τἀληθοῦς μάλιστα φροντίζων· καὶ μὴ πάντα ἐκ πάντων ἐπαινεῖν προθέμενος· καὶ βίων αἱρέσεις ὥσπερ δή τινας λεωφόρους ἀντιθέτους ἀνατεμεῖν, ἥντινα μὲν ἁπασῶν, ἐκ παντὸς τρόπου σπουδαστέον, ἔστι μὲν οὐδεὶς ὃς ἀμαθὴς οἶμαι, οὐ μὴν ἀλλὰ καὶ αὐτὸς ἐρῶ· καταβραχὺ νῦν γε εἶναι, πρὸς ἀρχὴν ἐπανάγων ἀμέλει τὸν λόγον· καὶ γνώμην τιθεὶς ἥν μοι ἔξεστιν, ὅτι δὴ μόνον τἀγαθόν ἐστιν, ἡ τοῦ ὄντος ἀλήθεια· καὶ περὶ Θεοῦ φύσεως καὶ προνοίας ἀπλανῶς δόξαι· καὶ ὥσπερ οἶμαι ἐνταῦθα, ἐφορμεῖν ἀσφαλῶς· καὶ ἡδρασμένον καὶ ἠρτημένον ὡς ἀφ' ἱερᾶς

8,1 post οἱ duae litterae (ἐν?) erasae reperiuntur in V **2** κελήτιάττα scripsimus: κελλήτιάττα V | προσσχεῖν V^{1}: προσχεῖν V **9** παῦλαν V^{1}: παύλαν V **16** ἀνύττειν V a. corr. **9,2** παιδείας V^{2}: αιδείας V (obl. rubr.)

9,5 cf. infra, Or. 13, 1–11

ἐντεῦθεν ὄντως ἀγκύρας ὡρμῆσθαι μὲν πρὸς ἅπασαν τουλοιποῦ θεωρίαν· οὐ μόνον δὲ ἀλλὰ καὶ τολμᾶν καὶ φέρειν ἅττα ποθ' ἑκάστοτε, ξυμπίπτοι· καὶ ὁ ῥέων προστρίβοιτ' ἄν, χρόνος· ἐν ἀκύμονι ψυχῆς γαλήνῃ· εὖ μὲν παρασχὸν, οὐκ ἐξιστάμενον καθ' ὁτιοῦν· οὐδ' αἰρόμενον ἢ 'χρῆν πλεῖστον φρόνημα· μὴ τετυφῶσθαι· ἂν δὲ τοὐναντίον αὖθις, μηδ' οὕτω καθάπαξ ἡττώμενον, ἀλλὰ κατὰ τὸν Δωρικὸν κυβερνήτην ἐκεῖνον πρὸς τὸν τοῦ βίου χειμῶνα καὶ τὸ κλυδώνιον καὶ αὐτὸν φάσκοντα ὀρθὰν τὰν ναῦν καὶ οὕτω καταδῦσαι· καὶ μετὰ τῶν καλῶν λογισμῶν ἀτρέπτως τὸ σωματικὸν ναυάγιον ἑστήξειν φέροντα.

10. Ὁ μὲν δὴ λόγος οὕτω χρῆναί φησιν οἴεσθαι, πρὸ πάντων εὐσεβῆσαι τὰς περὶ τοῦ Θεοῦ δόξας ἀληθεῖς· τό δ' ἄρ' εἶναι ἐν ἀπορρήτῳ πίστει μόνον, καὶ ἀναμφηρίστῳ περὶ τῆς | τριαδικῆς f. 192v θεαρχίας καὶ τῆς τοῦ ὄντως ἀγαθοῦ, ἐν τρισὶν ἰδιότησιν εἴτουν ὑποστάσεσιν, ἑνοειδοῦς φύσεως. ἣ δὴ πάνθ' ὁπόσ' ἐστὶ διὰ μόνον ἀγαθοῦ πλοῦτον, οὐκ ἐξανάγκης· οὐδὲ δι' ὕλην τινὰ προενοῦσαν τὲ καὶ συνοῦσαν χρόνῳ πρότερον κινήσασα, δεῦρο νῦν ἔχειν, οἰκονομεῖ μέν γε λόγῳ· καὶ πρυτανεύει τὴν ἅπασαν φύσιν· τάξιν ἣν ἐνέθετο καλλίστην, ἐκ πρώτου τηροῦσα· χρόνοις ὕστερον λῦσαι βουλομένη. καὶ γὰρ ἀμφότερα ἐνόμισεν· οὔτε τὸ γεγονὸς φύσιν εἶναι μὴ λυθῆναι, γεγονὸς δὴ, οὔτε μὴ προνοεῖν τούτου τὸν πατέρα, καὶ κατασκευασάμενον μέχρις ἄν, ἵστασθαι καὶ ἴσχειν βούληται.

11. Ἀλλὰ μὴν τοῦ ἀγαθοῦ πέρι καὶ προνοίας οὕτω δὴ νομίζοντες, ἔτ' ἔχομεν ἀμέλει δόγμα· μέγιστον ὄντως· καὶ περὶ μεγίστου πράγματος. θαυμασίαν γὰρ δή τινα καὶ ὑπερφυῆ καὶ ξένην κοινωνίαν, ἡ θεότης ἡμῖν ἐν μιᾷ τῶν αὐτῆς ὑποστάσεων κοινωνεῖ· ἄληπτον παντὶ· ἄρρητον καὶ κρείττω παντάπασιν ἢ ξυνιδεῖν. ὁ

16 μὴ V: an μήτε? **10,4** ὄντως scripsimus: ὄντος V **5** καὶ post φύσεως erasum in V **6** προσενοῦσαν V a. corr. **7** κινήσασα V[1] partim in ras. **8** γε add. V[1] s.l. **11** δὴ γεγονὸς primum scripsit V, deinde litteris βα suprascriptis ordinem invertit V[1] **11,1** μὴν add. V[1] s.l.

17–19 Ael. Arist., Or. 43, 13 (p. 75, 21–24); Metoch., Misc. 524 et Carm. 20, 209–216 (p. 335) **10,1–2** cf. Ps.-Isocr., Ad Demon. 13 **6** cf. Plat., Tim. 30a **10–11** cf. Mich. Psell., De omn. doctr. 157, 1–3 (p. 81) **11,3–4** cf. Greg. Naz., Or. 38, 13, 38–39 (p. 134)

γὰρ τοῦ ἀθανάτου Θεοῦ συναΐδιος αἰώνιος Λόγος, ζῶν· ἡ μεγάλη καὶ παντοκρατορικὴ τοῦ Πατρὸς ἀνεκφοίτητος· καὶ ἐνυπόστατος δύναμις καὶ σοφία· καὶ ἀπαράλλακτος σφραγὶς αὐτοῦ, κινουμένη, ἐφ' ᾗ πρότερον αὐτὸς ὑπεστήσατο κτίσει· βουλῇ φιλανθρωπίας ἀπορρήτῳ, ὀψὲ τῶν χρόνων ἐπιδημεῖ καὶ κάτεισιν ἀθορύβῳ δῆτα, καὶ ἀσείστῳ καθάπαξ ἐντεύξει ταπεινωθεὶς ἡμῖν· οἰκονομίᾳ μάλιστα· καὶ προνοίᾳ τοῦ βελτίστου· ᾗπερ ἔδοξε συνοίσειν· καὶ γίνεται, καθ' ἡμᾶς· διὰ παρθενικῆς μητρὸς, πάντ' ἄνθρωπος· πλὴν τῶν παθῶν· ἃ φαῦλα καὶ διαβέβληται· προσλαβών τε σάρκα μείνας ὅμως ὅπερ ἦν, ἐξ ἀμφοτέρων καὶ οὕτως εἷς ἐστιν ἀσυγχύτων· καὶ ἀμφότερά ἐστιν ἀδιαίρετα ἐν ὑποστάσει μιᾷ. τοῦτο δῆτ' ἐστὶ τὸ ἡμέτερον τῆς εὐσεβείας μέγιστον δόγμα· τοῦθ' ὃ παντάπασι, f. 193 καὶ νοῦ πᾶσαν καὶ | λόγου νικᾷ φύσιν· τοῦτο ἡ τελείωσις τοῦ καλῶς θεοσεβεῖν· καὶ οὗ χωρὶς οὐχ οἷόν τέ ἐστι Θεοῦ τυχεῖν ἣν ἄρα τίς μυηθεὶς ὅλως, μὴ προσεῖτο.

12. Ταῦτά γε μὴν ἅπερ εἴρηται· ὅστις ἄνθρωπος, οὕτως εἶναι ἵλεῳ διανοίᾳ καὶ ἀσείστως, παντάπασι πείθοιτο, ἐπ' ἀσφαλοῦς τε ὄντως ἑστήξει. καὶ ἅμα δέοιτ' ἂν, ἔτι καθάπαξ νομίζειν, καὶ ὅσ' ἑκάστοτε καὶ ἐφ' ἑκάστοις, καταμέρος συνθήματα τετάχαται· καὶ κατ' ἔθη τὲ καὶ ἤθη, καὶ τὴν λοιπὴν ἱερὰν διακόσμησιν, πολιτεύματα· τοῖς παλαιοῖς ἐκείνοις ἡγεμόσι τὲ καὶ πατράσιν, οἷς καὶ τὸ πιστὸν ὁ χρόνος, ἐκεῖθεν πολὺς δίδωσι· καὶ ὁμαλῶς εὖ μάλ' ἕπεσθαι ξὺν ἀπραγμοσύνῃ· καὶ ἀπολύτως ὡς ἡδέως ξυνεῖναι, μήθ' ὁτιοῦν κινοῦντα, μήθ' ὅλως πειρώμενον, καταλογίζεσθαι καὶ κρίνειν. τῷ ὄντι γὰρ καὶ ἄριστον εἶναι καὶ ἀσφαλέστατον, ἁπλοϊκῶς τὲ καθόλου καὶ ἐλευθέρως, ἐν ὀλιγότητι γνώμης, εὐσεβεῖν· καὶ μηδὲν πλέον τοῦ προχείρου διατρίβειν, πειρᾶσθαι· μὴ δὲ περαιτέρω ἢ κατὰ τοὺς πολλούς τε καὶ ἀγροικοτέρους φιλοσοφεῖν· ὡς ἔγωγε ὅστις ἐξὸν οὕτως ἀκινδύνως θεοσεβεῖν, ἔπειθ' ἑκών γε εἶναι πράγματα αἱρεῖται· καὶ τἀπόρρητα καὶ καινότερα περὶ τῶν θείων

6 Θεοῦ V[2] : εοῦ V (obl. rubr.) **11** ἐντεύξει V[1]: ἐντεύξη V **12,1** ἄνθρωπος V[2]: νθρωπος V (obl. rubr.) **13** κατὰ τοὺς V[2] : κατοὺς V

8 I Cor. 1, 24; cf. etiam Greg. Naz., Or. 38, 13, 18 (p. 132) | Greg. Naz., Poem. Arc. 1, 31 (p. 4) **13** Id., Poem. Arc. 8, 43 (p. 44) **12,1–2** cf. Phil. Iud., De opif. 172 (p. 50, 20–27)

ἐπιχειρεῖ, σοφίζεσθαι καὶ ἰχνηλατεῖν μὴ πρὸς ἡντιναοῦν, ἀνάγκην· μὴ πρὸς ἡντιναοῦν ὄνησιν, τοῦτον ἄν, εἶναι φαίην, δυστυχῆ σφόδρα καὶ ἀνούστατον. καὶ τοῖς μὲν ἐμπόροις οὐκ ἄν, παραβάλλοιμι τοῖς δι' ἀπληστίαν κέρδους, κατασωτευομένοις τῶν ἀγωγίμων, καὶ ἀεὶ, παρεντιθεῖσι, καὶ τὰ σκάφη καταδύουσιν· ὅτι τούτοις ἔρως γε τέως, καὶ προσδοκία κέρδους, τὸν ὄλεθρον φέρει· τὸν δ' ἀνάγυρον ὄντως εἴποιμ' ἄν, αὐτὸν κινεῖν παροιμιακῶς· καὶ ὡς Καρπάθιον ἀμέλει τὸν λαγῳὸν· καὶ ὡς αἶγα φέρειν τὴν μάχαιραν· καὶ σκάλλειν πῦρ ταῖς χερσί· καὶ πάσαις δυσφημίαις ἐνέχεσθαι. «ἄνθρωπε» φαίην ἄν, ἔγωγε «μαίνῃ· καὶ | τῷ μεγίστῳ τῶν κινδύ- f. 193v νων, μηδὲν δέον παραβαλλομένος, ἀγνοεῖς. ἢ πῶς οὐκ ἄν τις θαυμάσειεν, ἢ πῶς οὐκ ἄν τις τὰ μέγιστα καταγνοίη, περὶ τοιαύτης ἐργασίας, ἐν ᾗ κατορθοῦντι μὲν, οὐδὲν ἔπειθ' ὁτιοῦν ἀπαντᾷ κέρδος, ἀποτυχόντι δ' εὐθὺς ὁ μέγιστος ὄλεθρος; ἣν γὰρ οἶμαι δὴ περιγένῃ παντάπασιν ἄπταιστος καὶ ἀλώβητος· ὡς ἔστι γε τοῦτο δυσχερές τε καὶ ἄπιστον, οὐδέν σοι πλέον ἐντεῦθεν· οὐδὲν μᾶλλον, ἢ ὥσπερ οὐδ' ὅστις τὴν ἀρχὴν, οὔτ' ἐπεχείρησεν ὅλως, οὔτ' ἤνυσεν· ἀλλ' ἕλκει βίον εὐσεβῶν ἀπράγμονα. εἰ δ' ἀποτεύξῃ τι παρεκκλίνας καταβραχὺ, φεῦ τῆς τόλμης· φεῦ τῆς ἀνοίας· φεῦ τοῦ πτώματος. οὐκ οἶδ' ὁπότερον φαίην, ἢ κατὰ κρημνῶν ὦσας· ἢ σαυτὸν ἀπηγχόνησας. καὶ τοῖς σαυτοῦ μὲν, οὐχ ἑάλως πτεροῖς· τοῖς Ἰκάρου δὲ πτεροῖς, παραπλησίως χρησάμενος, ἀφ' ὕψους ἐκείνου τοσούτου, ἑκών γε εἶναι ἀλόγιστος, αὐθέκαστος καταβέβληκας σαυτόν».

13. Πυθαγορείοις μὲν δὴ λόγος, εἷς, τῶν χρυσῶν, μὴ ταῖς λεωφόροις βαδίζειν· ἀλλ' ἀτραπὸν ἀνύτειν ἀήθη τὲ καὶ ἀνόδευτον. βούλεται δ' οἶμαι σφίσι τοὖπος, μὴ τοῖς τετριμμένοις τῶν δογμάτων ἐπιχειρεῖν· μηδὲ καθάπαξ ἐγκεῖσθαι· ὡς ἄν, διὰ τὴν συνήθειαν ὑπὸ τῶν πολλῶν ὀλιγωρουμένοις· καὶ ἅμα μὴ δὲ κατάγχειν, ἀείποθ' ὥσπερ ἐπὶ ῥητοῖς τὸν νοῦν μὴ δὲ ξυνδεῖν· οὐκ οἶδ' αἷστισιν

19–20 ἀγωγίμων V^2 e corr. **13,6** ξυνδεῖν V^2: ξυνιδεῖν V

19–20 Greg. Naz., Or. 22, 16, 10–14 (p. 256) **23–25** CPG II, 95, 5, 483, 11, 758, 1, 516, 15; cf. etiam Metoch., Misc. 379 **36–37** cf. Aesch., Fragm. 139, 4–5 (pp. 252–255) **13,1–11** cf. Phil. Iud., Quod omnis prob. lib. 2–3 (1, 8–18)

εἱρκταῖς τὴν ἐπιστήμην τεταγμένα κατὰ τὴν παροιμίαν, βαδίζειν· καὶ δειλανδρεῖν μή τι πλέον ἄλλεσθαι, ἢ δέδοται· ἀλλ᾽ εὐδρομεῖν τὰ πάντα καὶ τολμᾶν καὶ γυμνάζεσθαι· καὶ ὥσπερ εἰς κοινόν τινα ἔρανον, ἥν τι καὶ δύνηται πλέον φέρειν· καὶ τοὺς πολλοὺς στρέφειν εἰς ἑαυτὸν, ἄγασθαι τὴν εὐπορίαν. τοῖς μὲν, οὖν οὕτω δὴ πρὸς δόξαν ἁμιλλωμένοις, οὐδὲν ἀτόλμητον καὶ μάλιστ᾽ ἴσως, ἐπειδὴ καὶ τούτων ᾠήθησαν ἔνιοι, μηδὲν εἶναι πρᾶγμα περὶ τῶν θείων, f. 194 καθ᾽ ὅσον οἷόν τέ ἐστι σπουδάζειν | ὡς οὐδένα τῶν ἁπάντων φλαῦρον οὐδὲν ὁτιοῦν περὶ τούτων οὔτε δοκεῖν ὅλως, οὔτε λέγειν· ἀλλ᾽ ἅττα ποτ᾽ ἂν, μάλισθ᾽ ἡγοῖτο κάλλιστα· τούτοις τὲ πείθεσθαι· καὶ πείθειν ἐπιχειρεῖν ὁντινοῦν. τῶν οὖν δοκούντων φασὶ σφίσι βελτίστων, τούτων περὶ τοῦ θείου καὶ δοκούντων αὐτοῖς καὶ λεγομένων, οὔτέ ποτ᾽ ἂν αὐτὸ δυσχερᾶναι, οὔτ᾽ ἄλλον οὐδέν᾽ εἰκός γε εἶναι τῶν ἁπάντων. ἡμῖν δὲ οἷς μεγίστη ζημία· οἷς ἐπαχθέστατον ἔγκλημα· ἑνὸς ὄντος τἀληθοῦς περὶ Θεοῦ· ὥσπερ ἄρα καὶ περὶ παντὸς ἄλλου πράγματος ἁμαρτεῖν, καταβραχὺ, πᾶν ἄλλ᾽ ὁτιοῦν τιθεμένοις, τί τὸ κινοῦν· τίς ἀνάγκη καθ᾽ οὕτω μεγίστου κινδύνου· κῦβον ῥιπτεῖν καὶ ὠθεῖσθαι· καὶ μάλιστα νῦν ἀμέλει, τούτων τῶν καιρῶν· ἡνίχ᾽ ὡς οὐδὲν, ἄλλό τι τῶν ἁπάντων τοῖς πλείοσι πρόχειρον, ἐπὶ γλώσσαις ἐπενεγκεῖν ἔγκλημα, δόγματος ἀλλοτριότητα καὶ κακοδοξίαν· ῥᾷον ἢ σκῶμμά τι, τῶν οὐδενὸς λόγου; καὶ μέντοι παραλαμβάνουσα οἶμαι τὴν κακηγορίαν ἡ φήμη, αὐτίκα αὐτόθεν κούφοις ὅ φασι πτεροῖς, αἴρεται καὶ δείκνυσιν ἄρα, ὅσον πλεονεκτεῖ, ἡ τῶν φαύλων προκοπὴ καὶ κακολογία, τὴν τῶν ἀγαθῶν εὐφημίαν. καὶ οἱ πολλοὶ τῶν ἀνθρώπων καὶ φαῦλοι καὶ ἀλογώτεροι, μάλιστα ἐν τούτοις εἰσὶ κατὰ τῶν ἐλλογίμων ἰσχυρότεροι· οἳ καθάπερ αἱ βδέλλαι φύσιν ἔχουσιν ἐπὶ τοῖς πονηροῖς αἵμασι τρέφεσθαι· παραπλησίως καὶ αὐτοὶ προσανάκεινται, καὶ ἀνιχνεύουσιν ἤν τί που φλαῦρον, καθ᾽ ὁτουοῦν τῶν εὐγενῶν καὶ χαριέντων, προσαναμάξωνται· καὶ προσανιμήσωνται· καὶ πορίσωνται σφίσιν αὐτοῖς οὐκ οἶδ᾽ ἥντιν᾽ ἐντεῦθεν ἀηδίας ὕλην ἐντρυφᾶν· κακοὶ καὶ σοφισταὶ καὶ ἀγύρται· καὶ σκηνῆς καὶ δράματος πλέω ἀγροικίαν ἐργολαβοῦντες δήμου· καὶ προσποιούμενοι τὰ

23 τιθεμένοις V[2]: τιθέμενον V

7–8 Ael. Arist., Or. 46 (p. 159, 20–21) **20** cf. Greg. Naz., Or. 2, 28, 1 (p. 126) **24** CPG I, 383, 9 **28–29** cf. Aristoph., Av. 1453

μηδαμῇ παρὰ σφίσιν ὄντα· καὶ πρὸς ἅπαντα εἰρωνευόμενοι. καὶ πολλὴ παρ’ αὐτοῖς ἡ ἀκρίβεια· καὶ ἡ κακο|ήθεια καὶ ἡ βασκανία· f. 194v καταγοητεύουσα καὶ ἀεὶ κακῶν ἐφιεμένη κατὰ τῶν πεπαιδεῦσθαι δοκούντων καὶ νοῦν ἐχόντων· καὶ σφόδρα ἀνύτουσα καὶ κατεργαζομένη.

14. Πλάτων μὲν οὖν τὸ τοῦ ἀγαθοῦ κράτος, ἀποδεικνύων, ὁρᾶν ἔλεγεν ὅτι τἀναντία, φύσιν ἔχει μάχεσθαι καὶ δρᾶν εἰς ἄλληλα· μέχρι τοῦ φθείρειν ὀρεγόμενα, μὴ ξυνεῖναι· τὸ δ’ ἀγαθόν τε καὶ τοὐναντίον· τὸ μὲν, ἀεὶ πλεῖον ἐν βίῳ τὸ φαῦλον· τὸ δ’ αὐτοῦ πολλοστὸν· μένει μέντοι διαπαντὸς· καὶ οὔπω καὶ νῦν ἐξέλιπε πρὸς τὴν μάχην· ὡς ἄρ’ ἦν εἰκὸς πρὸς τὸ ’φάμιλλον, τοσοῦτο τοῦ κακοῦ πλῆθος· καὶ τό γ’ εἶναι, μέγα ῥώμης οἶμαι τεκμήριον. ὁ μὲν δὴ λόγος ἔοικεν ἀσφαλὴς ἔτι καὶ νῦν εἶναι· καίτοι γε κομψότερον εἰρημένος, μάλιστα ἀληθείας ἧφθαι. ἡμεῖς δὲ νῦν ὅμως τοσοῦτο κατὰ τῶν ἀστείων ἐνίοτε καὶ ἐνίων τὸ τῶν βδελλύρων τούτων ἀνδρῶν καὶ φθορέων· καὶ λήρων, κράτος, ὁρῶμεν, ὥστε τὰ μέγιστα, κατὰ τοὺς λυσσώδεις δάκνοντας κύνας ἰσχύειν· ἢ μᾶλλον κατὰ τῶν ζῴων τὰ ἰοβόλα κρύφα· καὶ δολίως ἐπιφυομένους παντάπασιν ἐξολλῦναι. ἢν γάρ τι που παραφθέγξωνται καὶ προστρίψωνταί τι τοιοῦτον ὁτῳοῦν ἔγκλημα, παραχρῆμα κατήνυσται· καὶ οὕτως ἐνέδυ κατὰ τοῦ ἀνδρὸς καὶ ἥψατο δευσοποιὸν τὸ αἰτίαμα, ὡς θᾶττον ἂν, κατὰ τὴν παροιμίαν ἐξεῖναι, κεραμείῳ τὴν θάλασσαν ἀντλῆσαι· ἢ τοῦ παντὸς ἐκεῖνον λοιπὸν βίου, τοὔνειδος ἀπολῦσαι καὶ ἀποτρίψασθαι. οἱ δὲ, ἐφ’ ἑαυτῶν οἱ πλείους, μᾶλλον δὲ καὶ τοῖς πολλοῖς παρρησίᾳ, τίς ἂν, ἐρεῖ, ὅσα καταφλυαροῦσι τῶν ἱερῶν; ἅττα δὴ καὶ κατακούειν σπουδαίοις ἀνδράσι πολλὴ ἀηδία· καὶ ναυτιᾶν ἔπεισι. καταπομπεύουσί τε τἀπόρρητα· κακοὶ κακῶς τε καὶ ἀμαθῶς, ἐκτραγῳδοῦντες καὶ κιβδηλεύοντες· καὶ σεμνοπροσωποῦσι (πῶς ἂν, εἴπῃ τις;), ὡς ἥδιστα σφίσιν αὐτοῖς ἀνοηταίνοντες· μηδενὸς ἑπομένου, μήθ’ ὅλως ἀντιπράττοντος. | f. 195

42 πεπαιδεῦσθαι V[2] in ras. **43** ἀνύτουσα scripsimus: ἀνύττουσα V **14,1** τὸ V[2]: ὁ V (obl. rubr.) **10** βδελλυρῶν V: servavimus **14–19** ad ἢν γὰρ – ἀποτρίψασθαι spectans ὡραῖον V[1] in marg. **17** κεραμείῳ V[2]: κεράμῳ V **24** σεμνοπροσωποῦσιν V a. corr.

14,1–5 Plat., Theaet. 176ab **17** cf. Plut., Mor. 779C; Plat., Resp. 429e | τὴν[2] CPG I, 446, 8 **23** cf. Aristoph., Nub. 363

οὐδὲ γὰρ ἔχουσιν οἶμαι τοὺς βασκαίνοντας· ἀλλ' οἱ μὲν, οὐδ' ἀξιοῦσι προσβλέπειν· οὐδ' ἐπιστρέφεσθαι πρὸς τὸν λῆρον· οἱ δὲ, οὐ ξυνιᾶσιν· ἀλλὰ πρὸς μόνην φήμην ἐπτόηνται· ἣ μηδὲν κατὰ τῶν τοιούτων ἰσχυρὸν ἔχουσα, κατὰ τῶν ἐλλογίμων μάλιστα δρᾶν ἰσχύει, ὥσπερ αἱ κατ' ἀντιτύπων ἀφέσεις, καὶ τὰ βέλεμνα.

15. Ταῦτ' ἄρα ἐγώ φημι, παντὸς μᾶλλον εὐλαβητέον τὴν περὶ τῶν θείων, πολυπραγμοσύνην· οὐ μόνον πολιτικώτερον οὕτω πρὸς τὴν ἐφεδρεύουσαν βασκανίαν, ὡς εἴρηται, κεχρημένους, ἀλλ' ὅτι καὶ τῷ παντὶ βέλτιον ὡς ἀληθῶς καὶ λυσιτελέστερον σιγῇ τιμᾶν τὰ ἀνέφικτα· καὶ τὸν ἐκ τοῦ μὴ τυχεῖν ἐπιχειροῦντα κίνδυνον, δεδιέναι καὶ φεύγειν. οὐ γὰρ ὅ,τι μὲν τεύξῃ, οὐκ οἶδας· τοῦτο δὲ οἶδας εὖ μάλα, ὡς ἀποτυχὼν καὶ ἁμαρτήσας καταβραχὺ· ἢ ῥῆμα ἢ νόημα, αὐτίκα αὐτόθεν ἐξώλης τὲ καὶ προώλης, γεγένησαι· καὶ τόν γε πόθον· καὶ τό γε σέβας, οὐκ ἐκ τοῦ λέγειν ἑτοίμως ἅττα βούλει, πάνυ τοι πλεῖστα· ἀλλ' ἐκ τοῦ μηδὲ λέγειν ἃ δὴ καὶ πρόχειρα, δηλοῦν ἐστιν.

16. Ἐπαναλάβωμεν δὲ τὸν λόγον. ἐφάμεθα τοίνυν πρῶτον εἶναι καὶ μέγιστον, καὶ πρὸ πάντων· καὶ ὅ,τι τίς ἂν, ἐρεῖ μάλιστα, τῷ μέλλοντι καλῶς βιώσεσθαι, τὰς περὶ Θεοῦ καὶ τῶν θείων δόξας, ὀρθῶς τε καὶ ἀπλανῶς εὐσεβῆσαι· καὶ τοῦθ' ὡς ἀνωτέρω καὶ διελόντες διὰ πάντων ἐφάμεθα. τούτῳ γε μὴν μάλισθ' ἕποιτ' ἂν, ἑξῆς ἅπαντα ἀγαθὰ· ὅσα τις ἂν, ξυννοήσειε καὶ κατερεῖ· ὡς μετὰ τούτου πάντῃ τε καὶ πάντως, κάλλιστ' ἔχοντα· καὶ χωρὶς, οὔ· ὥσπερ οὐδ' εἴ τινι τυφλώττοντι, καὶ περὶ τἀναγκαῖα καὶ κράτιστα δεδυστυχηκότι, κάλλη καὶ κόσμους τις περιβάλοιτο· καὶ οὐκ οἶδ' ἥντινα φλυαρίαν καὶ ἀχρηστίαν. καὶ γὰρ δὴ κἀνταῦθα τομηδὲν ὡς ἀληθῶς εἶναι, τοῦ θεοσεβεῖν χωρὶς, καὶ βίος εὐγενής f. 195v τε καὶ σώφρων· καὶ λόγος, καὶ πᾶν ὁτιοῦν. ἐπεὶ δὲ | τοῦθ' οὕτως ἔχοι· καὶ κέοιτ' ἂν, παντάπασιν ἀσφαλές τε καὶ ἄτρεπτον, λοιπὸν δὴ περὶ τῶν ἄλλων ἁπάντων θεωρῆσαι· οἷ μάλιστα χώραν ἕκαστα

15,1 ἐγὼ V[2]: γὼ V (obl. rubr.) **8** τε V[2] s.l. **16,1** ante Ἐπαναλάβωμεν ras. duarum litterarum | πρῶτον V[2] : ρῶτον V (obl. rubr.) **14** τῶν V[2] s.l.

15,1–2 cf. Ps.-Dion. Areop., De div. nom. 3, 3 (p. 142, 15)

ἔχει· καὶ τετάξεται. ὅτι μὲν δὴ· τὰ πάνθ’ ἡμῖν κατὰ τὸν βίοτον τόνδε ῥεῖ, καὶ οὐδὲν πιστὸν παντάπασιν· οὐδὲ μόνιμον, οὔθ’ ἵσταται· ἀλλ’ ὅλως ἀλόγιστοι δή τινες αὗται· καὶ ἀτέκμαρτοι μεταβολαί, στρέφουσι ταῦτα καὶ μεταφέρουσιν, οἷς ἐχόμεθα· καὶ περὶ ἃ σχολάζομεν, ξυνεωράμεθα μὲν οἱ πλείους· καὶ ἀκριβῶς ὅμως κατιδόντες, καὶ λέγοντες παρρησίᾳ, καὶ αὖθις οὕτως ὥσπερ ἀρρήκτοις τισὶν ὑπὸ τούτων δεσμοῖς ἐχόμεθα· μήθ’ ἡμᾶς αὐτούς, μήτ’ ἀλλήλους αἰσχυνόμενοι. τὰ μέν γε παίζοντα καὶ κατειρωνευόμενα, λείπει πάντως κεχηνότας ἡμᾶς καὶ σφόδρα ἐπτοημένους, αὐτίκα αὐτόθεν μὴ προειδομένους μήθ’ ὁτιοῦν προνενοηκότας, ἀποδιδράσκοντα· ἢ λείπεται δὴ παρ’ ἡμῶν οἶμαι (πῶς ἂν εἴπῃς;), ἀπρὶξ, ἀντεχομένων τὲ καὶ συμφυομένων· καὶ μηδέποτε καθ’ ὥραν τῶν λογισμῶν τε καὶ τῆς προσδοκίας, ἀπαλλαττομένων. καὶ οὐκ οἶδ’ ὅ,τι δεῖ πλείω περὶ τούτων λέγειν· ὅπου γε, μηδέν ἐστιν ἀμέλει καινόν, ὃ μήπω πρότερον ἐνίοις εἴρηται, μήτε νῦν τοῖς πλείστοις, ὑπείληπται καὶ προεώραται. πάντες γὰρ ἐσμὲν ἐν τούτοις φιλοσοφεῖν εὔποροι· καὶ τῷ πάνυ δήλῳ τοῦ πράγματος καὶ προχείρῳ συγχωροῦντες, οὐδ’ ὁ ἀμαθέστατος, ἡμῶν ἐνταῦθα ἀτυχήσαι ποτ’ ἄν, μὴ οὐ τῶν δεόντων τι καὶ αὐτὸς, κατιδεῖν τε καὶ κατερεῖν· ὥσπερ αὖ οὐδ’ ὁ πολυπραγμονέστατος καὶ περιεργότατος, ἔχει τί πλέον ἀνύσαι καὶ προενεγκεῖν, κἂν ὅτι μάλιστα βούλοιτο, ὃ μὴ δὴ πρότερον ξυννενόηται.

17. Καὶ τὰ μέν γε, οὕτως ἔχει. ἀρετὴ δὲ μόνον δὴ κατ’ ἀνθρώπους, ἐν τῷ βίῳ τῶν ἁπάντων κτῆμ’ ἐστὶν, ἀσφαλές τε καὶ τέλειον, καὶ κατ’ οὐδὲν ἐνδεῖ, τὸ μὴ οὐ πάντῃ τὲ καὶ πάντως, καὶ ἀείποτ’ | εἶναι καλλίστη. ἡδίστη μέν γε μάλα συνεῖναι· ὡς οὐδὲν f. 196
ἄλλο τί ποθ’ ἓν τῶν ἁπάντων· οὐδ’ ὁμοῦ πάντα. περὶ ὃ δὴ πλεῖστον, κέχηνεν ἡ φύσις· καὶ ἅμα κλέος οὐρανόμηκες πρόσεστιν, εἴ τῳ μέλοι. μᾶλλον δὲ καὶ ὅστις ἄρα περιγέγονε, μὴ μέλον αὐτῷ, διὰ τὸ τῆς ἀρετῆς παντάπασιν, ἀνεπίστροφον ταύτῃ, τό δ’ αὐτόματον, ἕποιτ’ ἄν, ἀποτρεπομένῳ. καλλίσταις δ’ ἀείποτε καὶ περὶ πάντα τὸν βίον, ἐλπίσι συνοῦσα, ἔτι μᾶλλον ἐπὶ τέλει δείκνυ-

26 ἀντεχομένων τὲ V e corr. **33** ἀτυχήσαι V[2]: ἀτυχῆσαι V

16,15–19 cf. Plat., Cratyl. 411c **34–36** cf. Metoch., Misc. 15–16 **17,1–3** cf. Plut., Mor. 5E **6** cf. Aristoph., Nub. 459

σιν. οὐ γὰρ ὥσπερ οἶμαι τἆλλ’ ἅπαντα, τελευτῶντα ἀπέδρα ἀπαλλαττομένων, ἢ καταλέλειπται, καὶ οὐ πάνυ δὴ βούλεται, ξυνέπεσθαι, οὐχ οὕτω λοιπὸν καὶ αὕτη· ἀλλ’ ἥδε πιστὴ γηροτρόφος· καὶ εὐμενὴς εἰς τέλος παραμείνασα, καὶ μεταλλαττόντων, οὐκ ἔλιπεν· οὐκ ἀπεχώρησε· τηνικαῦτα δὲ μάλισθ’ ὥραν ἔχει· καὶ οὐδέπω προύδωκεν, οὐδ’ ἀπέδρα τὸν κτησάμενον. ἀρετὴ γὰρ κἂν θάνῃ τίς φησὶν, οὐκ ἀπόλλυται· ζῇ δ’ οὐκέτ’ ὄντος σώματος· ἀπαίρει δὲ συνέκδημος ψυχῇ· καὶ συμπέφυκεν ἀθάνατον μόνον ἀγαθὸν τῷ σπουδάσαντι· μᾶλλον δὲ ὡς ἡμεῖς ἔγνωμεν ἀληθέστατα καὶ νομίζομεν, ἵλεως ἀγαθῶν κληροδότις· ὧν οὐκ ἄν τις ἐνενόησε πρότερον, οἷ’ ἐστὶν· οὔθ’ ὅλως, ἐλογίσατ’ ἂν. ὧν ἔτι κἀνταῦθα τὰς ἐλπίδας τίς ἔχων μόνας, οὐκ ἠξίου πολιτεύεσθαι τὰ παρόντα· ἀλλὰ μάλιστ’ ἐν δευτέρῳ ἐποιεῖτο καὶ ἀπεωθεῖτο· μόνην δ’ ἐκείνην εὐδαιμονίαν ἐμνηστεύσατο, ἧς οὐχ ὅλως ἅπτεται τροπὴ, κατιδὼν τἀνθρώπεια πράγματα, μηδὲν ὑγιὲς· μηδ’ ἑστάναι πεφυκότα· ἀλλ’ ἄνω καὶ κάτω στρεφόμενα καὶ φερόμενα, μυρίαν καὶ ἀκαταλόγιστον παντάπασι μεταβολὴν.

18. Ταῦτ’ ἄρα ἐπὶ γῆς ἑστὼς ἄνθρωπος, εἰς οὐρανὸν ἄνω ποιεῖται συνθήκας· καὶ πραγματεύεται, ἀντὶ τῶν παρόντων, τὰ μήπω δῆλα· μᾶλλον δὲ ἀντὶ τῶν ἀδήλων τὲ καὶ ἀστάτων καὶ ῥεόντων, τὰ ὄντως εὐπαγῆ τε καὶ εὔδηλα, γενναῖον προϊστάμενος f. 196v λογισμὸν· καὶ | ποθῶν ἀπλανὲς· οὐκ ἀπατηλὸν καλὸν· οὐδ’ εὐρίπιστον· οὐδ’ ὅπερ αὖραι πάντοθεν ἀντιπνέουσαι στρέφουσι· πλείω τὴν ἀηδίαν καὶ λύπην, ἀείποτ’ ἐμποιοῦν τοῖς ἐνισχομένοις, ἀλλ’ ἄλυπον μὲν, ἀνώλεθρον δὲ, καὶ πεπηγὸς μὲν, κόρον δ’ οὐκ ἔχον· ῥᾳστώνην δὲ συνεῖναι καὶ οἵαν ἄρρητον. τοῦτό ἐστι τὸ πρῶτον κατ’ ἀνθρώπους· τοῦτο τὸ μόνον ἄτρεπτον ἀγαθόν. σπάνιον δὲ οἶμαι τόδε τὸ χρῆμα καὶ σφόδρα σπάνιον· κἂν εἰ πολλοὶ παρρησίᾳ καθ’ ἑκάστην, οἱ ἀπογραφόμενοι πρὸς τὸν βίον τοῦτον καὶ μετατάττόμενοι. οἷς ὁ μὲν νοῦς ἴσως, ὀρθῶς ἔγνω· καὶ

17,21 ἐλογίσατ’ ἂν V[2]: ἐλογίσαταν V **18,6** εὐρίπιστον V e corr. **11** εἰ V[2] in ras. **13** μετατάττόμενοι V[1]: μεταττόμενοι V

13–14 Plat., Resp. 331a; cf. etiam Bas. Caes., De leg. gent. libr. 5, 42–46 (p. 53); Ps.-Isocr., Ad Demon. 7 **16–17** Eurip., Fragm. 734, 1–2 (p. 728); Stob., Anth. 3, 1, 4 (p. 4, 8–9); cf. etiam Ioh. Chrys., In Gen., PG 53, 197, 42–50 **25–18,1** cf. Plat., Phaed. 90c

ὁ λογισμὸς ὥρμηται· τὸ σῶμα δὲ ὅμως κλᾷ καὶ οὐκ ἔρρωται· καὶ τὸ τῆς φύσεως ἀστατοῦν τε καὶ εὔτροπον, ὑπὸ πάντων ἅττα δὴ παρεμπίπτει.

19. Εἶδον ἐγὼ πολλάκις ἐνίους· μᾶλλον δὲ πλείστους εἶδον, γεννικῶς μὲν ἁψαμένους τοῦ πράγματος· καὶ μετὰ λογισμῶν ἀκμαίων τὲ καὶ θερμῶν, πρὸς τὸν βίον τοῦτον αὐτομολήσαντας· καὶ σχεδὸν οὐδεὶς, ὅστις οὔ. οὐκ ἔμελλον δὲ ἄρα καθάπαξ ἀντισχεῖν· οὐδ' εἰς τέλος τὸ λῆμμα διατηρῆσαι· ἀλλ' οἱ πλείους, ἢ αὐτίκα καὶ μετουπολὺ· ἢ μεσοῦντες· ἢ τέως γε μὴν, ἐνέδοσαν· καὶ τοῖς μὲν, καὶ παντάπασιν ἡ θερμότης ἔσβεσται· οἱ δ' οὐκέτ' ἦσαν ὡς πρότερον αὐτῆς· ἀλλ' ὅμως ὑφεῖντο· καὶ τῶν γενναίων ἐκείνων λογισμῶν ἀνεχώρησαν. οὕτως ἔστιν ἀνώμαλον ἡ φύσις· καὶ μυρίων ἀεὶ μεταβολῶν καὶ τροπῶν ὑπὸ τοῦ σώματος, καὶ τῶν τοῦ σώματος πλέως· καὶ κομιδῇ τοῦτο δυσχερὲς, ἁπάντων, περὶ ὁτουοῦν εἰς τέλος καρτερῆσαι πράγματος τὰ δόξαντα· τῶν λογισμῶν ταραττομένων ὑπὸ τῶν ἐμπιπτόντων, καὶ τρεπομένων ὁσημέραι καὶ ὅσαι ὧραι σχεδόν. ἃ γὰρ δή τῳ χθὲς καὶ πρώην ἔδοξε, σήμερον εἰς τοὐναντίον ἅπαν, τἀνδρὶ μετέδοξεν ὑφ' ἑαυτῷ μάρτυρι, καὶ πολλοῖς ἴσως τοῖς θεωμένοις· καὶ αὖθίς γε τοὐναντίον· καὶ τοῦτο πολλάκις· καὶ πάσης ἀνωμαλίας τὲ | f. 197 καὶ ἐναντιότητος καὶ ἀοριστίας, ἅ τὲ πράττομεν πλήρη· καὶ ἃ νοοῦμεν οὐχήκιστα δὴ καὶ λέγομεν· καὶ σφόδρα ἐστὶν ἀλόγιστον τοῦτο· καὶ οὐκ ἀσφαλὲς ἐρεῖν· ὡς περὶ ὁτουοῦν αὐτῷ τινι τὰ αὐτὰ καὶ δόξειε, καὶ εἰρήσεται μέχρι τοῦ βίου παντὸς· καὶ ὡς τόνδέ τινα δὴ τὸν βίον, εἰς τέλος ὃν εἵλετο καταπράξεται.

20. Οὐκοῦν διὰ ταῦτ' ἔγωγε ἐφάμην, σπάνιον εἶναι κομιδῇ ὅστις τὰ κάλλιστα ἑλόμενος, μέχρι παντὸς ἐκαρτέρησε καὶ οὐκ ἐτράπη· οὐδ' ἔλιπε τὴν τάξιν ἣν αὐτὸς ἑαυτὸν, ἐπὶ καλλίστου κατέστησε σχήματος· καὶ σφόδρά εἰσιν ἐκ πολλῶν οἱ κατορθοῦντες ὀλίγοι· οἷς ὁ λογισμὸς εἰς τέλος ἔρρωται· οἵ κεν ἀνέρες πέλωνται,

20,3 an ⟨εἰς⟩ ἣν?

19,1–6 cf. Greg. Naz., Carm. Mor., PG 37, 671A–672A; cf. etiam Metoch., Misc. 314–315 **20,1–2** cf. Phil. Iud., Leg. alleg. 1, 102 (p. 76, 11–13) **5–6** Hom., Il. 8, 88; 16, 833; 23, 294

τλησικάρδιοι· ὠκέες δέ σφιν ἵπποι καὶ πᾶσαν, αἱ πράξεις δηλαδή, περὶ τὰ τῇδε καὶ οἷς ἡμεῖς ἐχόμεθα προσπάθειαν ἀποτρέχουσι· μηδενὶ τῶν ἀπαντώντων, ὅ,τι ποτ' ἂν, ᾖ καινότερον μὴ διατιθέμενοι· μὴ δὲ στρέφοντες ὡς οἴακα, καθάπερ οἱ ναυτιλλόμενοι, πρὸς τὰς ἀντιπνοίας τοῦ βίου, τὸν λογισμὸν· ἀλλὰ πλοῦν ἀνύτοντες καινότερον καὶ ἀεὶ τὸν αὐτὸν πρός τε γαλήνην καὶ πᾶσαν ἐπήρειαν, ἀείποτ' ἐχόμενοι τοῦ σκοποῦ· βραχὺ μὲν τὸ τῇδε τῆς ζωῆς μέτρον, καὶ εἰ μήκιστόν τῳ ξυμβαίνει, καθορῶντες· μεγίστους δὲ τοῦ μέλλοντος καὶ ἀθανάτου βίου καρποὺς· καὶ πολιτείαν· εὖ τε πράξασι τῇδε, καὶ μή· καὶ τὸ νῦν ἑκάστοτε προσβαλόν τε καὶ ἐνοχλῆσαν, ὅσον οὐκ ἤδη παρερχόμενον σφᾶς· τὴν δὲ δι' αὐτὸ τροπὴν τῆς ἐξαρχῆς αἱρέσεώς τε καὶ γνώμης μεγίστων ἴσως ἀφορμὴν ὀλέθρων· καὶ ἀτυχῆσαι παντάπασι τοῦ μέλλοντος ἐκείνου καὶ καλλίστου βίου· τοῦτο δ' οὐκέτι μὴ εἶναι χάλκεα χρυσέων· ἀλλὰ τὰ μὴ ὄντα καθάπαξ τῶν ἀεὶ καὶ μὴ τελευτώντων ἀλλάξασθαι.

21. Τοιγαροῦν οἱ πλείους δὴ τούτων, καὶ φυγῇ φεύγουσιν f. 197[v] ἡμᾶς καὶ τὰ καθ' ἡμᾶς ὅλῃ γνώμῃ καὶ ῥώμῃ· καὶ ἀποτρέπονται· | οὐ μισανθρωπίαν ἀσκοῦντες (πόθεν;), οἱ τοῦ μόνου φιλανθρώπου καὶ κοινοῦ τῶν ὅλων δεσπότου, ἐρασταί τε καὶ ὀπαδοὶ· ἀλλὰ τὸ ἀτύρβαστον σφίσι καθάπαξ, σοφῶς βουλόμενοι καὶ οἰκονομοῦντες· καὶ μή τι προσπίπτειν ἐντεῦθεν, πολέμου καὶ ἀσχολίας ἔχον ἀνάγκην· ἀλλ' ἐφ' ἡσυχίας ἁπάσης καὶ γαλήνης, τῶν ῥεόντων τῶνδε ὡς οἷόν τέ ἐστι, τὸν σκοπὸν ἀνύτειν· καὶ τὰς ἐν πόλεσι καὶ μετὰ τῶν πολλῶν κοινωνίας καὶ συνουσίας, ὡς κῆρας ἀγαθῶν λογισμῶν ἀποδιδράσκουσι· καὶ πᾶσαν τὴν ἀπὸ τῆς ὕλης ἀποχωροῦσιν ἐπιβουλὴν· συνεργὸν τοῦ πόθου καὶ τῆς γνώμης, τὴν ἐρημίαν τῶν πάντων πραγμάτων ἀνθαιρούμενοι· καὶ τὴν ἐξαρχῆς ἔνστασιν κρατύνοντες. οἷς αὖραι κατ' ὄρεσφι πνείουσιν ὀλβιόδωροι· αἱ παρὰ τῆς θεαρχίας αὐτῆς ἵλεω συλλαμβανομένης ἐπίπνοιαι τοὺς πόνους ἀναψύχουσαι· καὶ τὰς ἀπὸ τῶν πειρασμῶν φλογώ-

10 τὰς V² s.l. | ἀνύττοντες V a. corr. **21,8** ἀνύττειν V a. corr.

9–10 cf. Bas. Caes., In princ. Prov., PG 31, 420B **20** Hom., Il., 6, 236; Karathanasis 39 **21,1–6** Phil. Iud., De Abr. 22–23 (p. 5, 12–17) **13** Hom., Il. 4, 452

σεις· ἐπιτολαί τέ τινες, ἄρρητον οἵαν ἐμποιοῦσαι, γλυκυθυμίαν· ἃς καὶ ἴσασιν αὐτοὶ μόνοι, ἀρραβωνιζόμεναι τὴν ὅσον οὐκ ἤδη μίμνουσαν σφᾶς εὐπραγίαν· καὶ ἴσχουσαι πρὸς ἑνοειδῆ καὶ μόνιμον κίνησιν ἄτρεπτον, ὑπὸ πάντων, τοὺς λογισμούς. ἀμέλει δὴ σχεδὸν ἡμῶν παντάπασιν, ἀνεπίστροφοι γίγνονται παράλληλα τιθέμενοι· καὶ καθορῶντες ἐκ μετεώρου, ἅ τε νῦν ἡμεῖς σπουδάζομεν καὶ πλανώμεθα, καθάπερ ὀνειρώττοντες· οὐδενὶ θαρροῦντες πιστῷ, καὶ σφᾶς ὅπῃ δὴ προήκουσιν, εὖ μάλα πεπεισμένοι· καὶ ἅττα καρποῦνται ταῖς ἐλπίσι· καὶ μὴν ἔτι καὶ νῦν ἐνταῦθα, ὧν οὐ πρίαιντ᾽ ἄν, μήποθ᾽ ἅπασαν, ἣν ἄν τις δόξειε παρ᾽ ἡμῖν εὐδαιμονίαν.

22. Οὗτοι μὲν οὖν οὕτω κατωλιγωρηκότες τῶν ὁρωμένων, ἀειφυγίαν εἵλοντο τοῦ παντὸς βίου· μόνου τοῦ καλοῦ γεγονότες ὀπαδοὶ θερμοί τε καὶ ἄτρεπτοι· καὶ λογισμῷ κρείττονι καθάπαξ ἀπαλλαγέντες· ἔκ τ᾽ ἀνδροκτασίης· ἔκ θ᾽ | αἵματος· ἔκ τε κυδοι- f. 198 μοῦ· ὑψηλοὶ καὶ ἀκροβάμονες· καὶ ἀριστεῖς κατὰ τῆς φύσεως, πρὸς ἣν οὐκ ἔκλιναν ὅλως· οὔτ᾽ ἐνέδοσαν· οὔτ᾽ ἐνετράπησαν· μᾶλλον δ᾽ εἰπεῖν καλλιστεῖα· καὶ ἀγάλματα ταύτης· καὶ ὥσπερ πρωτοτόκια ἐντελεστέρας τὲ καὶ ἀκμαζούσης· καὶ πλήρους πλάσεως. ὀλίγοι μὲν οὖν ἐκ πολλῶν πάνυ· καὶ εἰ τοῦ παντὸς ἰσοστάσιοι· καὶ τοῦθ᾽ ἧπερ εἴρηται, διὰ τὴν τῆς φύσεως νόσον καὶ τῆς ὕλης ἃ προβάλλεται πράγματα· καὶ τοῦ λογισμοῦ τροπὰς ἑκάστοτε καὶ ἐφ᾽ ἑκάστοις.

23. Ἔστι δὲ καὶ τῇδε κατ᾽ ἀνθρώπους ὅμως ἐν βίῳ, μετουσία τις ἀγαθοῦ καὶ κοινωνία, πολιτική τις ὡς ἔπος εἰπεῖν ἀρετή· ᾗ δὴ καθάπερ τῷ νομίσματι πρὸς ἀλλήλους χρώμεθα· καὶ συγγιγνόμεθα· καὶ ὅλως σύνεσμεν· ὡς οὐκ ἔστι ταύτης χωρὶς πολιτείαν ἢ

18 μίμνουσαν scripsimus: μίνουσαν V; fort. μένουσαν scribendum **22,1** Οὗτοι V^2: ὗτοι V (obl. rubr.) **9** ἐκ V^2: κ V (obl. rubr.) **23,3** τῷ V: an τῳ (= τινι)?

16 cf. Synes. Cyren., Epist. 79 (p. 144, 3–4) **18–19** cf. Ps. Dion. Areop., De div. nom. 4, 9 (153, 11–12) **21–26** cf. Ioh. Chrys., In Gen., PG 53, 197, 1–18 **22,4–5** Hom., Il. 11, 164; cf. etiam Lucian., Nigrin. 18 (I, p. 38, 5) **7** cf. Greg. Naz., Or. 24, 6, 8 (p. 50) **9** cf. Phil. Iud., De spec. leg. 2, 47 (p. 83, 30–32) **23,2–3** cf. Plat., Phaed. 69a et 82ab

ὅλως ἀνθρώπεια πράγμαθ᾽ ἵστασθαι. τὸ μὲν οὖν πρῶτον καὶ ἄκρατον ἀγαθὸν εἴρηται· καὶ σφόδρα σπάνιον εἴρηται, καὶ δυσκαταγώνιστον· ὥστε καὶ τοῦτ᾽ αὐτὸ πολλάκις ἔνιοι καταλογισάμενοι, καὶ δεδιότες, ὑποκεχωρήκασιν ὡς ἐργῶδες ἀνῦσαι· καὶ παγχάλεπον· τοῦ δὲ ἔξεστι πάντας ἱκνεῖσθαι· καὶ ὡς ἐν ἀνθρώποις καὶ βίῳ ξυνόντας τυγχάνειν· ἀφορῶντας ἀείποθ᾽ ὡς πρὸς ἀρχέτυπα, ἀνδρείκελα καὶ καθόσον οἶμαι ἔξεστιν, ἀφομοιουμένους, τοὺς ἄνδρας ἐκείνους· ἃ μὲν οὖν ἔδοξεν ἐκείνοις φευκτὰ, παντὶ σθένει καὶ αὐτοὺς οἰομένους χρῆναι φεύγειν· ἃ δὲ τοῖσδε μὴ, κἀνταῦθα πειθομένους τε καὶ συνεπομένους.

24. Πλοῦτον μὲν οὖν καὶ τρυφὴν καὶ τὴν κατὰ κόσμον εὐεξίαν· οἱ πλείους τῶν ἀνθρώπων τῶν κατὰ τὸν βίον ἁπάντων, ἥγηνται κάλλιστα· καὶ σφίσιν εὐκταιότατα παρεῖναι· καὶ σχεδὸν περὶ ταῦτ᾽ ἐστὶν, ἡ πάντων πᾶσα σπουδή. τὰ μέν γε οὐκ ἄρα μόνον, οὐδ᾽ ἡντινοῦν κοινωνίαν ἔχει πρὸς ἀρετὴν, ἀλλὰ καὶ σφόδρα δὴ πρὸς αὐτὴν ἀντιπράττει· καὶ τῆς ἐναντίας προδήλως ἐστὶν ἕξεως. ἡ μέν γε τῶν ὄντων ἐρᾷ· τὰ δὲ, τῶν τε χθὲς καὶ πρὸ τρίτης γενομένων· f. 198v καὶ τῶν ὅσον οὐκ ἤδη, | κατολουμένων· ἡ μὲν, τῶν ἑστώτων τὲ καὶ μονίμων· τὰ δὲ, τῶν ῥεόντων· καὶ μηδ᾽ ἂν ὅτι μάλιστα βιάζηταί τις, παραμεῖναι πρὸς ὀλίγον δυναμένων· ἡ μὲν, τῶν ἀφθάρτων καὶ ἀνωλέθρων τὲ καὶ ἀτρέπτων· τὰ δὲ, τῶν πάντῃ τε καὶ πάντως, καὶ ἀείποτε τρεπομένων τὲ καὶ μεταβαλλόντων· καὶ πλανώντων· καὶ οὐδὲν πρὸς τοὺς κεκτημένους ἐχόντων πιστόν. οὕτως ἀπό τε τῶν ἐναντίων παντάπασιν ἀρχῶν ὥρμηνται, καὶ πρὸς αὐτὰ τἀναντιώτατα φέρονται. τοῦτο μέν γε ῥᾴδιον καὶ ὁτῳοῦν κατιδεῖν· μηδένα πώποτε τῶν ἀρετῆς τελείας ἐπιμελουμένων, τῶν τοιούτων ὅλως ἐπιστρεφόμενον ὁρᾶν· ἀλλ᾽ ὡς αὐτὰ δὴ τὰ σφίσιν ὀλεθριώτατα, ταῦτα παντὶ τρόπῳ χρῆναι φεύγειν οἴονται· καὶ ἀποτρέπονται δεδιότες καὶ ὑφορώμενοι, μέγιστον αὐτόθεν ἀπαντᾶν κίνδυνον· οἵ γε ὡς ἀληθῶς σπουδαῖοι, καὶ σφόδρα ἠνυκότες πρὸς τὴν ἐξαρχῆς τοῦ βιοῦν αἵρεσιν.

14 συνεπομένους V^{2}: ξυνεπομένους V

24,1–3 cf. Luc., Iupp. conf. 1 (I, p. 202, 1–2) **6–9** cf., e.g., Mich. Sync., Vita Cosm. et Ioh. Dam. 4 (p. 297, 23–25)

25. Λόγῳ μέντοι πάνυ δὴ πρὸς τὴν ἀρετὴν, κοινὰ πλεῖστα καὶ μεγίστη συγγένεια· πρός τε τὴν τῶν ὄντων καὶ τοῦ βίου παντὸς σύνεσιν καὶ ἱστορίαν· καὶ πρὸς αὐτὴν ἔτι τὴν εὕρεσιν τοῦ ἀγαθοῦ καὶ θεωρίαν. καὶ μὴν ἔτ' ἄλλα πλεῖστα νῦν παρεῖται· ἅττα καθ' ὥραν ἴσως αὖθις ἔσται λέγειν· καὶ ὡς ἐξέσται. εἰμὶ μὲν οὖν ἔγωγε καὶ πρότερον εἴρηται, οὐ τῶν σφόδρα πασχόντων τῷ πράγματι καὶ προστετηκότων· οὐδὲ τῶν πάνθ' ὅσ' ἂν, οἷοι τὲ γίγνοιντο, ἐπιθειαζόντων τὲ τοὺς λόγους καὶ ἐξισταμένων· ὡς ἄρα μόνον ἐν ἀνθρώποις καλὸν, καὶ μόνον ἐστὶν αἱρετὸν· καὶ μόνον ἡδὺ· καὶ μόνον ἱερὸν καὶ ἀθάνατον· καὶ ὡς οὐκ ἔστιν οὐκ ἄλλως ἢ μετὰ τούτου βιωτὸν, ἀνθρώπῳ νοῦν ὅλως ἔχοντι. καὶ οὐκ ἔγωγ' ἐπαινῶ τὰ περιττὰ ταῦτ' οὐδὲ πείθομαι· ἀλλὰ καὶ σφόδρα δὴ θαυμάζω τῶν τε πάλαι ἐκείνων πρότερον· καὶ ὅσοι νῦν τὰ τοιαῦτα φιλονεικοῦσι καὶ βιάζουσι καὶ μαρτύρονται, ἄκαιρον καὶ ἀνήνυτον ἔνστασιν. ἐρῶ δὲ ὅμως περὶ αὐτοῦ δὴ | τούτου παρρησίᾳ· ἅττα μοι f. 199 δοκῶ καὶ ἃ ξυννενόηκα· καὶ ὡς ἄν τις οἶμαι ἐρεῖ μετρίως, καὶ μάλιστα πρὸς ἤδη σὲ, παρακαλεῖν εἰς αὐτοὺς ὡρμημένος.

26. Παιδεία τοίνυν ἓν τοῦτο καὶ πρῶτον, καὶ τὰ τῆς σοφίας ἀγαθὰ, παραμένει τῶν κατὰ τὸν βίον ἁπάντων, πιστῶς εἰς ἅπασαν τῷ κτησαμένῳ τὴν ζωὴν· καὶ οὐκ ἔστιν οὐκ ἀφαιρεῖσθαι, μήτε τὸν ἀπὸ ταύτης πλοῦτον ἐχθρὸν ὅτι μὴ πέφυκε, μήτε τὴν ἀπὸ ταύτης δόξαν, ὅτι μὴ κρείττω γενόμενον. τῷ ὄντι γὰρ πρὸς ταύτην ὥσπερ εἰς ἄσυλόν τι τέμενος, ηὐτομοληκότα τινὰ καὶ καταστάντα, ἔξεστιν ἐπ' ἀσφαλοῦς ἑστήξειν· καὶ μηκέτι καθάπαξ ἔπειτα μὴ δεδιέναι, μήτε χρόνων ἐπιβουλὴν καὶ ἀνωμαλίαν, μήτε τυράννου βασκανίαν τὲ καὶ πλεονεξίαν, μήτ' ἄλλην ἅπασαν ἐχθρῶν ἐπήρειαν· ἀλλὰ πάντ' ἄν, μᾶλλον ἄνω καὶ κάτω γίγνοιτο· καὶ μεταχωροίη καὶ τρέποιτο, ἢ νοῦς ὁτῳοῦν ἀφαιρεθείη σώφρων, καὶ λογισμὸς ἔντεχνος· καὶ ἣν ἐπιστήμη, καὶ παιδεία τοῖς θιασώταις καὶ σπουδασταῖς, φέρουσα ἐνῴκισεν, εὐδαιμονίαν καὶ τρυφήν.

25,2 τε scripsimus: τι V **14** βιάζουσι V²: βιάζονται V | ἀνήνυτον scripsimus: ἀνύνητον V **26,1** τοῦτο V²: οὗτο V (obl. rubr.)

25,1–2 cf. Plut., Mor. 33F **8–10** cf. Isocr., Euag. 4; Thomas Mag., De regn. 1175–1206 (pp. 76–77) **26,1** cf. Plut., Moral. 5E; Iambl., Vita Pyth. 8, 42, 16; cf. etiam Ps.-Isocr., Ad Demon. 19 **6–7** cf. Stob., Anth. 3, 1, 51 (p. 20, 15)

27. Καὶ ταῦτα δὴ μάλιστα λόγῳ πρὸς ἀρετὴν κοινά· τό τε μόνιμον κτωμένοις παντάπασι καὶ πιστὸν, καὶ τὸ μηδόλως ἐχθροῖς δουλεύειν μήθ' ἡττᾶσθαι, κἂν ὅτι μάλιστα βλάπτειν ζητῶσι· μήτε προδήλοις ἁρπαγαῖς ἰσχύουσι· μήτ' ἐλλοχήσεσι καὶ ἐνέδραις καθάπερ ἀμέλει, τἆλλ' ἃ πρότερον εἴρηται· παντάπασιν ἄπιστα καὶ οὐκ ἔμμονα· καὶ πρὸς πᾶσαν ἐπιβουλὴν καὶ κακόνοιαν ἔφεδρον, ἐμπίπτει καὶ μετοχετεύεται· καὶ πᾶσι πρόκειται, τοῖς μεῖζον ἐχθροῖς ἰσχύουσι, δρᾶν ὁτιοῦν κακὸν καὶ τρέπειν ᾗ βούλονται καὶ καθιστάναι· μείζονος ἀνίας αἴτια τοῖς κτησαμένοις· ἐπ' ὀλίγον ἔστιν ὅτε καταγοητεύσαντα· καὶ παραχρῆμα ἀποιχόμενα καὶ ἀναχωρήσαντα· ἢ καὶ θάτερον πλεῖστον συνῳκηκότα χρόνον· καὶ συνήθειαν δόντα τροπῆς ἀνυπονόητον καὶ μηκέτι τοῖς
f. 199^v λογισμοῖς | ὑποπτευομένην, ἔπειτα κακῶς ἀπαλλαττόμενα· καὶ πρὸς βίαν ἀποτεμνόμενα τῶν μήτε προσδοκησάντων, καὶ σφόδρα ἀντεχομένων τὲ καὶ πασχόντων. τοῖς πλείστοις δὲ καὶ τῶν ἐσχάτων ταῦτα συμφορῶν ἀφορμαὶ, γίγνονται· πλοῦτός τε καὶ δόξης κράτος ἀκμάζον, ἢ φθονηθεῖσιν, ἢ ὑποπτευθεῖσι. καὶ καθάπερ ἄρα τὰ ἐν πελάγεσι σκάφη, ὑπὸ πνευμάτων ἀκμαίων οὐριοδρομήσαντα, ὑπ' αὐτῶν δὴ τούτων ἐνίοτε τελευτῶντα περιετράπη καὶ κατηνέχθη, τὸν αὐτὸν ἐμοὶ δοκεῖν τρόπον καὶ οὗτοι, βαρυπενθεῖς τε καὶ παλαμναίας ἠλλάξαντο τύχας, ὑφ' ὧν ἔδοξαν εὐδαιμονῆσαι. παιδείας δὲ θησαυροὺς καὶ κλέος, οὐδεὶς μή ποτ' ἴσχυσεν οὔτ' ἐνεδρεύσας, καὶ εἰ μάλιστα φθόνῳ τήκοιτο, οὔτ' ἐπιδήλως ἐπιθέμενος, ἀφελέσθαι τοῦ κτησαμένου· μένει δ' οἷον συμφυὲς κάλλος καὶ ἀναπάλειπτον, οὔτ' ὄμμασι βασκάνοις οὔτε χερσὶ τεμνόμενον. καὶ ταύτην οἶμαι τίς λέγων μόνην παρασκευὴν, ἀκαταγώνιστον πρὸς πᾶσαν δυσμένειαν καὶ ἀνεπιχείρητον, οὐκ ἂν, ἴσως ἁμάρτῃ λέγων. ὅλως μὲν γὰρ οὐκ ἔστι κατ' αὐτῆς ἐξισχῦσαι· καὶ ὑποποιήσασθαι, καθάπερ οἱ πλέον ἰσχύοντες μαχόμενοι πάντα καταστρέφονται καὶ δουλοῦνται. ἢν δ' ἄρα τις ἕλοιτο πολεμεῖν καὶ προπηλακίζειν, καὶ μάλα ἀμυνεῖται καὶ σφόδρα καιρίως· καὶ ὡς οὐκ ἔστιν ἰᾶσθαι· καὶ πόρρω μάλιστ' ἀείποτε τῶν χρόνων, ὥς τις ἔφη, σοφά δ' ἄκλαυστα· καὶ πολύδηκτα βέλη. καὶ

27,9 ἀνοίας V a. corr. **22** μὴ V^2 s.l. **33** σοφά V^2: σοφὰ V

27,5–15 cf. Metoch., Carm. 15, 29–43 (p. 261) **11–17** Metoch., Misc. 284 et 414 **32–33** cf. Plut., Lyc. 1, 4 (p. 1, 18–19)

τοῦτο μάλιστα δάκνει καὶ λυπεῖ τοὺς ἐν δυναστείαις κακοήθεις· αἰσθανομένους καὶ δεδιότας, τὸ τῆς σοφίας ἀνεπιχείρητον μὲν, ἰσχυρὸν δὲ, καθ' ὁτουοῦν· εἰ βούλοιτο, κακῶς δρᾶν, καὶ ἀμύνεσθαι.

28. Ἐλύπει Πλάτωνα Διονύσιος, εἶτα μετεμέλετό τε καὶ ἤχθετο· καὶ ἐπυνθάνετο «ἦ που Πλάτων ἐν Ἀθήναις καὶ Ἀκαδημίᾳ γενόμενος, πολὺν ποιήσει λόγον, περὶ ἡμῶν τε καὶ καθ' ἡμῶν». καὶ ὁ μὲν ξυνενόει τὲ καὶ ἔμφροντις ἦν· βραχέα λυπῶν τὸν ἀμυνεῖσθαι πλεῖστον | δυνάμενον. ὁ δὲ, ἡδὺς ἦν καὶ μεγαλόφρων ἐκ f. 200 φιλοσοφίας, ἐδείκνυε μὴ μέλον αὐτῷ· καὶ «μήποτε γένοιτο» ἔφασκε «τοῖς ἐν Ἀκαδημίᾳ τοσαύτη σχολὴ, ὡς περὶ σοῦ λόγους ποιεῖσθαι, καὶ φροντίσματα». τῷ ὄντι γὰρ ὅ γε δὴ σπουδαῖος, δύναται μὲν, οὐχ αἱρεῖται δέ· φιλοσοφίᾳ καὶ λογισμοῖς ἑαυτοῦ, δεσπόζων μήθ' ὑπὸ παντὸς πάσχειν, δυσχεροῦς ξυμπίπτοντος, μήτε πρὸς πάντα κινεῖσθαι· ἀποχρῶσάν τὲ δίκην ἡγεῖται τῷ δυσμένει δεδιότι, τὸ δέος αὐτὸ· καὶ τὴν περὶ τῆς ἀμύνης φροντίδα νύττουσαν. οὐ γὰρ ἔστιν ὅπως ἀπαλλαγὴ γένοιτ' ἂν, ἀλλ' ἀείποθ' ὑπόνοιαι τὸν ἄνδρα καὶ βασκανίαι δειναὶ ταράττουσιν, ἔμμονον ἀλγηδόνα φέρουσαι, μὴ δυνάμενον τῶν πολεμίων ὅπλων κρατῆσαι καὶ ἀφελέσθαι. ὁ δὲ, ἀπεριφροντίστως ἀνύτει τὸν βίον καὶ ἀμερίμνως. καὶ μὴν ἢν ἄρα τι καὶ ἀνιαρὸν ἀπαντῴη, οἷα δὴ καθόλου τἀνθρώπεια· καὶ πειρώμεθα πάντες καὶ οὐδεὶς ὅστις οὔ, ὁ δὲ ἄχθεται μὲν (πῶς γὰρ οὐ μέλλει, θνητὸς ὢν καὶ μετὰ σώματος εὐπαθοῦς συνοικῶν καὶ πολυδεοῦς τε καὶ πολυτρύτου;), αὐτίκα δ' ὅμως ὥσπερ ἀπὸ δυοῖν ποδοῖν ἀμέλει φασὶ καθάπερ εἰς ἀλεξητήριόν τι τοὺς λόγους αὐτοὺς ὥρμηται· καὶ τὴν ἀπ' αὐτῶν παραμυθίαν ἐπὶ τῷ δεινῷ καὶ συμμαχίαν, καὶ ῥᾷον ἢ κατὰ τοὺς πολλοὺς διαφέρει, τὸν ἐμπεσόντα κλύδωνα τοῦ βίου. ὀφθαλμοῖς μὲν γὰρ κάμνουσιν ἥδιστον· καὶ πλείστην ὡς ἀληθῶς φέρει παραμυθίαν, τόποις ἐνδιαιτᾶσθαι χλοεροῖς καὶ διηνθισμένοις· ἀνδρὶ δὲ ἀστείῳ

28,1 Διονύσιος V[2]: ιονύσιος V (obl. rubr.) **3** ποιήσει scripsimus: ποιήσῃ V; fortasse ποιήσῃ ⟨ἂν⟩ scribendum **6** μέλον V[2]: μέλλον V | καὶ V[2] in marg **16** ἀνύττει V a. corr. **21–22** ἀλεξητήριον scripsimus: ἀλεξιτήριον V

28,1–8 Diog. Laert., Vit. phil. 3, 21 (p. 205, 9–12) **9–10** cf. Phil. Iud., Leg. alleg. 3, 198 (p. 154, 4–5) **21** cf. Ael. Arist., Or. 13 (p. 188, 12–13) **26–33** cf. Plut., Mor. 469A

καὶ περὶ τοὺς λόγους ἐσπουδακότι μάλιστα· ὑπὸ δὲ τῆς βιωτικῆς ἀνωμαλίας ταραττομένῳ τὲ καὶ φλεγμαίνοντι· μεγίστην ἐμποιεῖ τοῖς λογισμοῖς λειότητα καὶ γαλήνην, ἡ τῆς σοφίας οἶμαι συνοίκησις καὶ οἱ κατ' αὐτὴν ἀνθηροὶ λειμῶνες πρὸς αὐτοὺς τραπομένῳ τε καὶ συννενευκότι· καὶ ἵλεων δὴ καὶ ἀκύμονα, καθίστησι τὴν ψυχὴν, ἡ πρὸς αὐτὴν καταφυγὴ καὶ παρ' αὐτῆς ὑποδοχὴ καὶ f. 200v καρποφορία τε καὶ ξενία, φέρειν οὐκ | ἀγεννῶς τὰ λυποῦντα. τὸ μὲν γὰρ ὅλως κακῶς πρᾶξαι, κοινὸν· καὶ ὥσπερ τὸ νοσεῖν, ἀνθρώπειον καὶ τῆς φύσεως. ὁ δ' ἄρα νοσήσας ἐκεῖνος καὶ τάχιστα τὸ δεινὸν ὑπερέσχε· καὶ ῥᾴων γέγονε· καὶ μάλιστα ἤνεγκεν ἐν τῷ πάθει κοῦφος, ὅτῳ ἔδωκεν ὁ Θεὸς εὐκαιρίαν τὲ τόπου, καὶ τὴν ἄλλην περὶ αὐτὸν κατάστασιν, τῇ φύσει πάντη συμμαχοῦντα· πρὸς τὸν ἐγερθέντα τῆς νόσου ταύτης πόλεμον, γεννικῶς ἀντιπράττειν· ᾧ δὲ, μὴ, τοὐναντίον ἅπαν, δεινῶς ἔχει καὶ κατενήνεκται· οἷα δὴ καθεκάστην ὁρῶμεν, καὶ γίγνεται. καὶ ταὐτὸν ἄρα τοῦθ' ὡς ἀληθῶς οἶμαι, ἔχει πρὸς τύχην πολεμοῦσαν, ὅτῳ λόγος ἐστὶν, ἐπαναπαύσασθαι· καὶ τὴν γιγνομένην ἐπικουρίαν, πλείστην ὄντως ἐκεῖθεν λαβεῖν· καὶ ὅτῳ μὴ, ἀθλίως σφόδρα γεγυμνωμένῳ, πάσης πάντοθεν συμμαχίας.

29. Καὶ ἔγωγε εἴκασα πολλάκις τὸν τοιοῦτον κατασκοπούμενος, ἀνδρὶ τόπους ἐρήμους τὲ καὶ ἀσκίους ὁδοιποροῦντι, ὃς ἐπιπεσόντος ἀθρόον χειμῶνος, καὶ ἅμα νιφετοῖς καὶ ῥαγδαίοις κοπτόμενος πάντοθεν πνεύμασιν, οὐκ ἔσχεν οὔθ' ἑαυτῷ χρήσασθαι, οὔτέ ποι καταφυγεῖν· καὶ προσολίγον τὴν ἐπίκλυσιν παραμυθήσασθαι καὶ δυσχέρειαν, τοῦ καιροῦ· ἀλλὰ κακῶς ὄλλυται· τλήμων· ἄθλιος· ξένος· ἀνέστιος· ἀλήτης ὥς· οὐκ ἔχων ἡντινοῦν ἀσφάλειαν· οὐκ ἔχων λιμένα πρὸς τὸ ναυάγιον· ἀλλ' ἅμα τὲ προσέπεσε τὰ λυποῦντα, καὶ τῶν λογισμῶν αὐτῶν κάθηται παντάπασιν ἀφειμένος, μᾶλλον δὲ ἀφηρημένος μηκέτ' ἰσχύσας, ὅπῃ ἄρα τουλοιποῦ προσδραμεῖν καὶ ἀποχωρῆσαι· καὶ τὴν διάνοιαν κατασεισθεῖσαν, ἐφορμῆσαι καὶ ἀνακαλέσασθαι, διενεγκεῖν τὸν ἐπιβρίσαντα

27 βιωτικῆς V[1]: βιοτικῆς V **29,11** ἀποχωρῆσαι V[2]: ὑποχωρῆσαι V

31–32 Synes. Cyren., Epist. 41 (p. 57, 9) **29,6–8** cf. Plut., Mor. 601E
12–13 Hom., Il. 7, 343

πόλεμον· ἀλλ' ἀγόμενος καὶ φερόμενος· καὶ τί γὰρ οὐ τῶν ἀθλίων πάσχων ὑπὸ τῆς πικρᾶς καὶ δυσκόλου τύχης.

30. Ὁ δὲ σπουδαῖος ἐκεῖνος ἄνθρωπος· καθάπερ οἱ πολεμίων ἔφοδον ἤδη κρατοῦσαν, οἰκονομοῦντες, ἐπ' ἄστεος ἐγγειτόνων ἀναχωροῦσιν, εἴκοντες μὲν, | ἀσφαλιζόμενοι δ' ὅμως, ὡς οἷόν τέ f. 201 ἐστι τὴν ζωὴν, παραπλησίως πρὸς τὴν ἔξωθεν τῶν βιωτικῶν ἀντιπράττουσαν ἀκμὴν, οἱονεὶ κρησφύγετον· εὑρίσκει τοὺς λόγους· εἰς οὓς καταφεύγων, ῥώννυταί τε καὶ οὐκ ἐᾷ σκίδνασθαι, καθιστάνων ὡς οἷόν τέ ἐστιν ἐκ τῶν παρόντων, μὴ παντάπασιν αἰχμάλωτον κινδυνεῦσαι τὸν λογισμόν· καὶ ποριζόμενος ἐκεῖθεν, ἀνίας ἰσχυρὰ φάρμακα· ὥσπερ εἴς τινας αὐθόρμητος ἀγαθοὺς συμβούλους· τοὺς λόγους αὐτοὺς καταφεύγων· καὶ παραμυθίας ἀποκειμένους θησαυρούς· ἐν καιρῷ χρείας ὅτου τις ἂν δέοιτο.

31. Καὶ γὰρ ὄντως ἐν τοῖς τοιούτοις εἰώθαμεν ἄνθρωποι, μάλιστα δὴ φίλων δεῖσθαι συμμαχούντων· καὶ νομίζουσιν οἵ γε γνησίως φιλοῦντες, ἐνταῦθ' ὥσπερ τινὰ τοῦτον ἀναγκαῖον ἔρανον, καὶ ὀφειλόμενον ἀπαιτεῖσθαι, φίλῳ κάμνοντι συγκαθιζῆσαι· καὶ συμπαραμεῖναι· καὶ πάθος φλεγμαῖνον λόγοις παρακλητικοῖς, καὶ βιωτικὴν ἱλαρῦναι, καὶ καταστορέσαι δυσχέρειαν. καίτοι γε τίνας ἄν τις μᾶλλον, καὶ φίλους καὶ συμβούλους, ἀμείνους εὑρήσῃ, ἢ τοὺς ἐκ τῶν βίβλων διαλεγομένους ἡμῖν, παλαιοὺς ἐκείνους ἄνδρας· οἳ καὶ πείρᾳ πρότεροι τὰ καθ' ἡμᾶς ἔγνωσαν καὶ προεῖδον, καὶ σοφίᾳ τὰ κατὰ τὸν βίον ἐσταθμήσαντο πάντα; τίνες δ' ἂν καὶ παραμείναιεν ἀχώριστοι τούτων πλέον, τίνες ἄρα καὶ κρεῖττον ὁποῖον ἄν, εἴη, λόγοις ἀληθινοῖς καὶ γενναίοις τὸ λυποῦν σωφρονίσαιεν; εἰσὶ γὰρ ὄντως εἰσὶ, πάλαι λόγοι περὶ πάντων· ἐσκευασμένοι τοῖς ἀνδράσιν ἡμῶν ἕνεκεν, εἰς ἕτοιμον χρῆσιν· κἂν θάνατος φιλτάτων ᾖ τὸ λυποῦν· κἂν πενία· κἂν νόσος· κἂν ὕβρις ἐχθροῦ· κἂν ἄλλη τύχης ἡτισοῦν ἐπήρεια. ἐνταῦθα δὴ ζητήσας ἐξ ὑπογυίου

30,3 ἀναχωροῦσιν V²: ἀναχωροῦσι V **31,4** ἀπαιτεῖσθαι V²: εἰσπράττεσθαι V **7** εὑρήσῃ scripsimus: εὑρήσει V

30,1–6 cf. Arist., Ethic. Nicom. 1171b20; cf. etiam Plut., Mor. 454A **31,15** cf. Ioh. Chrys., De Laz., PG 48, 1022, 29–30 **16–17** cf. e.g., Isocr., Paneg. 13; cf. etiam infra, Or. 17, 38–42

πορίσῃ φάρμακον· ἐνταῦθα λόγοις τὲ ἄλλοις ἐκ φιλοσοφίας, ἰσχὺν ἔχουσι καὶ παραδείγμασι πρὸς παραμυθίαν χρήσῃ, τῇ κοινωνίᾳ τῆς συμφορᾶς. Πλάτων μὲν οὖν χρῆναι φησὶν ἰέναι τοὺς νέους f. 201v παρὰ τοὺς γέροντας καὶ χαίρειν συνόντας· | καὶ πυνθάνεσθαι δὴ, τῶν ἀνδρῶν, τὰ κατὰ τὸν βίον. αὐτοὺς γὰρ ἂν, ἔχειν μάλιστα καὶ εἰδέναι· ἅτε προωδευκότας, ᾗ βαδιστέον ἐστὶ· καὶ ᾗ μὴ, καὶ προειπεῖν τὴν βελτίω τὲ καὶ λυσιτελεστάτην. τὸ μὲν οὖν ἁπλῶς οὕτως ἰέναι τινὰ παρὰ τοὺς γέροντας, οὐκ ἂν ἴσως εἴη τι προύργου· ἐπεὶ μὴ δὲ πᾶσιν οἷόν τέ ἐστι, νοῦν ἔχουσιν, ἐντυγχάνειν· μὴ δὲ προμεμαθηκόσι· μὴ δ' ὧν ὄναιτ' ἄν τις μὴ δ' ὁτιοῦν. ἄλλως τ' οὐδὲ πᾶσιν, οὐδὲ τοῖς ἀρίστοις ἐξέσται συνεῖναι· ἀλλ' ὀλίγοις μὲν ἴσως τῶν ἐφ' ἑαυτοῦ· ὀλίγοις δὲ τούτων ἔτι πολλῷ, ξυνεωρακόσι περὶ ὧν βούλοιτ' ἄν· καὶ λέγειν ἀσφαλῶς ἔχουσιν.

32. Ἀλλ' ἔμοιγε δοκῶ, κάλλιστα ἂν, οὕτως ἔχειν τὸν λόγον· καὶ μάλιστα ἐξεῖναι καὶ πλείοσι ξυντυγχάνειν· καὶ ἅμα ἀρίστοις· καὶ καλῶς προωδευκόσι τὲ, καὶ προεγνωκόσι· καὶ δυναμένοις περὶ πάντων εἰπεῖν, εἴ τις τοῖς πρὸ ἡμῶν ἐκείνοις σοφοῖς, καὶ θεσπεσίοις ἀνδράσι, δι' ὧν καταλελοίπασιν ἡμῖν ἐν ταῖς βίβλοις, συγγίγνοιτο λόγων, εὖ μάλα προσέχων τὸν νοῦν· καὶ δεξιῶς ἐπακροώμενος καὶ καταμανθάνων, ἅττα βούλοιτ' ἂν ἕκαστα. ποῦ γὰρ ἄν τις ἄλλοις συγγένοιτο κρείττοσι, καὶ γῆν ἀναμετρήσας πᾶσαν καὶ θάλασσαν, ἢ τίσιν ἄλλοις καὶ ῥᾷον, ἢ τούτοις· οἳ πᾶσι πρόκεινται βουλομένοις, ἀπραγμάτευτος ἀπόλαυσις· εὔωνον ἀγαθὸν· εὐπόριστος θησαυρὸς· κοινὴ καθάπερ ἀέρος μετουσία καὶ οὐρανοῦ· καὶ τῶν ὑπ' αἴσθησιν πάντων κατασκόπησις; ἢ περὶ τίνος ἄρα καὶ ζητήσας οὐχ εὑρήσεις αὐτίκα αὐτόθεν, πάλαι τοῖς ἀνδράσιν ἐσκευασμένα δόγματα, καὶ λόγους ἠσφαλισμένους· καὶ τὸ πιστὸν ἔχοντας· ἐπεὶ καὶ περὶ πάντων, ἀκριβέστατα προεῖπον· καὶ προύθεντο νόμους καὶ κλήρους αὐτάρκεις, ἀπολαύειν, ἀπόνως τοῖς ἑξῆς ἡμῖν; καὶ οὐδὲν οὔτ' ἀνεπίγνωστον, οὔτ' ἄρρητον, παρεῖται·

21 τῶν ἀνδρῶν τὰ V^2 partim in ras. **22** βαδιστέον V^2 e corr. **23** βέλτιστον V a. corr. **24** παρὰ V^1: πρὸς V

32,4–5 Bas. Caes., De leg. gent. libr. 1, 21–22 (p. 41) **8–12** cf. Phil. Iud., Quod omn. prob. lib. 68 (13, 26–29); Max. Tyr., Or. 1, 217–235 (pp. 9–10) **12–14** Metoch., Misc. 746–747

ἀλλ’ ἅπασιν εἴαται, πᾶσιν ἀνεπληρώθη. πάντως εἰς τὴν κοινὴν φορὰν ἕκαστος, εἰσηνέγκαθ’ ὁτιοῦν, καὶ βέλτιόν ἐστι τῷ ὄντι κατὰ | τὸν παλαιὸν εἰρημένον λόγον, συγχρωτίζεσθαι τούτοις καὶ f. 202 νεκροῖς, ἢ τοῖς ζῶσι νεκροῖς, καὶ μὴ δ’ ὅτι ζῶσιν ἐπαΐουσι· καὶ πρὸς τὴν ἐπείγουσαν χρείαν, ἢ καθὼς ἄν τις καὶ ἕλοιτο, μετὰ ῥᾳστώνης ἁπάσης ἐπιδημεῖν ἑκάστοτε ἑκάστῳ καὶ προσιέναι. ἐοικέναι γὰρ ὄντως ἔμοιγε δοκεῖ, τὸ πρᾶγμα ὥσπερ ἐν ἑκάστου καθ’ αἵρεσιν ἅπασαν ἀπαντᾶν· καὶ οἷον ἐπιξενοῦσθαι κομιδῇ φιλοφρόνως ὑποδεχομένου· καὶ πᾶσαν ἐπίδειξιν οἶμαι καὶ φιλοτησίαν, σπουδάζοντος· καὶ ξυνεῖναι καθάπερ ἐν φιλικῇ πανδαισίᾳ, τρυφᾶν ἔχοντα, ταύρων ἠδ’ ἀρνειῶν ἑκατόμβας, μῆλά τ’ ἀδινά· καὶ εἰλίποδας ἕλικας βοῦς· ἃ δὴ καὶ παντοῖα καὶ κάλλιστα διδάγματα, περὶ ὁτουοῦν, προβάλλονται· τρυφᾶν ῥᾷστα, καὶ ἀπολαύειν οἱ ἄνδρες· ἄφθονα, νικῶντες τῇ περιουσίᾳ τὴν χρείαν.

33. Διογένης μὲν οὖν ὁ κύων ἡμέρας μέσης, δᾷδα ἡμμένην ἔχων, ἐζήτει περιιὼν ἄνθρωπον ἤν που λάχῃ, ὡς ποθεινὸν καὶ πάνυ τοι δυσπόριστον, ὂν τὸ χρῆμα· καὶ ἅμα ἐμοὶ δοκεῖν ἐπισκώπτων, ἀνεκτῶς τοὺς παρόντας τῇ καινότητι ταύτῃ, καὶ σωφρονίζων ἑαυτῶν ἐπιστρέφεσθαι. τοῖς δ’ οἶμαι λόγου συντρόφοις ἀνδράσιν, ἔξεστιν ἄρα ἀπόνως τὲ καὶ ἀθρόον, τοῖς ἀπ’ αἰῶνος ἀρίστοις καὶ εὐδοκίμοις ἀνθρώποις, καὶ νοῦν συνειληχόσιν ὅτι πλεῖστον, ξυνεῖναι· καὶ διαλεγομένων, ἐπακροᾶσθαι τὰ βέλτιστα· περὶ ὧν δέοιτ’ ἄν τις· καὶ μηδὲν ὁτιοῦν πολυπραγμονήσασι· μὴ δὲ περιεργασαμένοις, μὴ δ’ ἀναγκασθεῖσι, κατὰ ζήτησιν ἴσως γῆς καὶ θαλάττης, ἄλλοτ’ ἄλλας περιόδους, ἔστιν αὐτόθεν οἴκοι ξυλλαχεῖν μετὰ ῥᾳστώνης ἁπάσης, ὅτου τίς ἄν, εἴη χρεῖος. καὶ ἅμα ὁ πόθος τἀνδρὸς ὅστις ἄρα, ἅμα ἡ ζήτησις, ἅμα ἡ ξυντυχία· χωρὶς πλάνης ἡστινοσοῦν· χωρὶς δαπάνης· χωρὶς πραγμάτων ἁπάντων.

32,18 ἅπασιν scripsimus: ἃ πᾶσιν V **19** βέλτιστον V a. corr. **28** ἀρνειῶν scripsimus: ἀρνιῶν V | ἀδινὰ scripsimus: ἀδεινὰ V **29** εἰλίποδας scripsimus: εἱλίποδας V (fort. servandum) **33,1** ὁ add. V[2] in marg.

19–21 Diog. Laert., Vit. phil. 7, 2 (p. 445, 1–3); Metoch., Carm. 1, 390–392 (p. 11) **21** cf. Phil. Iud., De fug. 55 (p. 107, 27) **28–29** Hom., Il. 1, 315–316 **33,1–3** Diog. Laert., Vit. phil. 6, 41 (p. 400, 10–12)

34. Καίτοι γε εἰ καὶ τοῦτ' ἦν ἀνάγκη ξυμβαίνειν, τίς ποτ' οὐχ εἵλετ' ἂν τῶν φιλοκάλων ἀνδρῶν καὶ σωφρόνως βιοῦν ἑλομένων· f. 202v καὶ | πάνθ' ὡς οἷον τέ ἐστιν, ὑπὲρ τῶν λυσιτελούντων πονεῖν ἀξιούντων; νυνί δ' ἀμέλει καὶ πρόχειρος ἐνταῦθα ἡ χρῆσις· καὶ ἅμα κατ' οὐδὲν ἐνδεὴς, ἀλλ' εἰς ὅσον ἄν τις ἐρῴη (μέτρα δ' οὔ φασιν ἔρωτος), καὶ πάνυ καταπολαύειν πλείστη. καὶ μὴν εἰ τοῦτο κάλλιστόν ἐστιν ὡς ἀληθῶς καὶ λυσιτελέστατον, ἀνδράσιν ἀστείοις ἀεὶ συνεῖναι· καὶ συνετοῖς τε καὶ νοῦν ἔχουσι, καὶ τοῦτο σπουδάζουσιν, οἱ πλεῖστοι καὶ φιλοδοξοῦσιν, ὡς ἀνάγκην οὖσαν ἐντεῦθεν, τῆς καθ' ἡμέραν τί φέρειν κοινωνίας τῶν ἀγαθῶν ἀνδρῶν, καὶ συνδιατίθεσθαι καὶ δεῖγμα μέγιστον εὖ ἔχειν, ὅστις χρῷτο, καὶ τοιοῦτός ἐστιν ἕκαστος οἷσπερ ἥδεται συνὼν, καὶ τοῦτο πρόσεστιν ἐνταῦθα μάλιστα· καὶ τοῖς βελτίστοις ἔνεστιν ἐξαρχῆς ἄνωθεν πᾶσι καὶ σώφροσι καὶ πεπαιδευμένοις, ἀείποτε συγγινόμενον, ἄλλου δὴ πάντως ἄλλό τι τῶν καλλίστων, καὶ πάντων ἅπαντα, πρὸς κατόρθωσιν βίου καὶ προκοπὴν ἐπιστήμης καὶ διανοίας· καὶ ἡρμοσμένην ἕξιν καὶ σώφρονα, πορίζεσθαι.

35. Διατοῦτο καὶ Σωκράτης ἐκεῖνος τοὺς θησαυροὺς, τῶν παλαιῶν καὶ σοφῶν ἀνδρῶν, οὓς ἐν ταῖς βίβλοις κατέλιπον, ἔλεγεν ἀνελίττειν ἀεὶ· καὶ κοινῇ μετὰ τῶν φίλων διέρχεσθαι, ὡς ἐντεῦθεν σφόδρα ἐνὸν, ἄριστον καὶ νοῦν καὶ βίον συλλέξασθαι· καὶ κομιδῇ τὴν τῶν ἀνδρῶν οὖσαν ἐπέραστον καὶ λυσιτελεστάτην συνουσίαν. ὅ δ' αὐτὸς οὗτος, ἀεί τινι τῶν κατ' αὐτὸν ἑαυτοῦ κρείττονι, καὶ σοφωτέρῳ σπουδάζων ἐντυχεῖν, καὶ καθ' ὅσον οἷόν τέ ἐστι τἀνδρὸς ὄνασθαι, πάντων πειρώμενος, πάντας ἤλεγχε καὶ ἀπεωθεῖτο· καταφρονῶν ὡς μηδένων ὄντων· μηδέ τι μὴ χρήσιμον ἐχόντων· ἀλλ' ἢ μόνον δόκησιν ἄλογον καὶ κομπώδη φλυαρίαν· τοῖς δ' ἐκείνων τῶν ἀνδρῶν θησαυροῖς ἡδέως συνῆν· καὶ τοῖς φίλοις κοινωνεῖν τῶν ἐκεῖθεν ἀγαθῶν ἠξίου. πάντως δ' εἰ μὴ λόγου καὶ σπουδῆς ἄξιον, ᾤετο τὸ πρᾶγμα, κέρδη ψυχῆς ἐντεῦθεν καὶ

34,9 ὡς add. V^2 s.l. **12** ἥδεται V^1: εἴδεται V **15** πάντως V^2 e corr. | ἄλλο V^2 e corr.

34,11–12 Eurip., Fragm. 812, 9 (p. 852); Stob., Anth. 2, 33, 1 (II, p. 255, 9) **35,1–5** Xenoph., Memorab. 1, 6, 14; cf. etiam Stob., Anth. 3, 1, 205 (III, p. 161, 11–14) **6–10** Plat., Apol. 21e–22e

λογισμοῦ, προκοπὴν ἀποφερόμενος, | ἃ δὴ μόνα Σωκράτης ἀντὶ f. 203 πάντων, ἐπόθει τὲ καὶ ἐτίμα· καὶ θησαυρούς τινας ἐκεῖθεν ὡς αὐτός φησιν ἀρυττόμενος, οὐκ ἄν ποτε ἄρα ἡδέως, οὕτω συνῆν· καὶ πρὸς τοὺς πυνθανομένους ἐν τίσιν ἐστὶν, ἐπὶ τούτοις ἐλαμπρύνετο.

36. Οὕτω δὴ παντάπασιν ἔοικε, περισπούδαστόν ἐστι καὶ ὀνησιμώτατον, ἡ τῶν σοφῶν καὶ κοσμίων ἀνδρῶν συντυχία καὶ συνδιατριβή· καὶ τοῦτο πάντες ἂν, συμφαῖεν τε καὶ συνθεῖντο. τό δ' ἄρα πολὺ μᾶλλόν ἐστι καὶ πρόδηλον ἐν αὐταῖς ταῖς βίβλοις· καὶ τοῖς λόγοις, οὓς οἱ παλαιοὶ πρότερον ἄνδρες, ἐκεῖνοι κλῆρον καταλελοίπασι τοῖς ἐλλογίμοις. ἄλλως τε μὴν ποῦ τηνικαῦτα Σωκράτης· τοσούτους εὕρατο θησαυροὺς ὁπόσους νῦν ἡμεῖς ἔχομεν· τῶν ἀπ' ἐκείνου τοσούτων χρόνων, μεγίστην τὴν προσθήκην ἐμποιησάντων, τοῖς κληρονομοῦσι τὲ καὶ ταμιουχοῦσι; καὶ σχεδὸν ἐκεῖθεν ἡμῖν τὰ πλείω καὶ καλλίω τῶν λόγων κειμήλια, οὔτε φιλοσοφίας οὐδέπω καὶ τότε καθάπαξ, ἠκριβωμένης καὶ τοσαῦτα προενεγκούσης· οὐδὲ πρὸς πάνθ' ὡς ἔπος εἰπεῖν ὡρμημένης τὲ παρρησίᾳ· καὶ ἀραμένης φρόνημα, καὶ πρὸς τὴν τῶν ὄντων ἅπασαν, καὶ τῆς φύσεως ἑτερότητα ἐπιχειρούσης, μὴ δ' εἰς μυρίους, ὅσους ὀχετοὺς, ὥσπερ ἐκ μιᾶς τινος τὴν ἀρχὴν πηγῆς κατατετμημένης, τὸν ἀνθρώπινον τοῦ βίου λειμῶνα, πολυσχιδῶς καταρδεύοντας, οὔτε ῥητορικῶν λόγων ἐν τοῖς δικαστηρίοις, ἀνθούντων καὶ ῥεόντων ἔμμετρα, μᾶλλον δ' ὁσημέραι κοπτόντων τὰ βουλευτήρια· οὐδέπω τῆς τέχνης ἐν καταστάσει γεγονυίας καὶ πεπηγμένης· οὐδ' ὅρους ἐντελεῖς οὕστινας ἄρα καὶ μέτρα, καὶ συνθήματα δεξαμένης, καὶ τεταγμένης· ἀλλ' ὥσπερ ἐν ἀορίστοις τισὶ τεμμαχίοις, καὶ ἀσυνδέτοις κάλλεσι προκειμένης, ἕκαστος ὁτιοῦν ὡς ἔτυχε συλαγωγῶν τε καὶ ἀφαιρούμενος, ἐδόκει περιστέλλειν ἑαυτὸν καὶ κατακοσμεῖν· ὡς οἷός τ' ἦν. καταπεποικιλμένης δὲ | διὰ πάντων· καὶ ὥσπερ ἡρμοσμένης τε καὶ παντά- f. 203v πασιν ἐξυφανθείσης εἰς περίβλημα διανοίας κάλλιστον, οὐδείς πω

35,16 ἀρυττόμενος V[2]: ἀνορυττόμενος V **36,3** συνθεῖντο V[1]: συνθεῖτο V **7** ὁπόσους νῦν ἡμεῖς V[2]: ὁπόσους ἡμεῖς V **15** ὥσπερ V[1]: ὡς V **20** οὕστινας scripsimus: οὕστινα V **23** συλαγωγῶν V[2]: συλλαγωγῶν V **26** εἰς V[2]: ὡς V

36,5–27 Attic., Fragm. 1, 2 (p. 39) **15–18** cf. Them., Or. 317a et 318d–319a (pp. 858–862)

ἔτυχεν ἔτι. καίτοι τί λέγω; ἀλλ' οὔπω δὴ καὶ τότε μάλιστα τῶν κατὰ τὸν βίον πραγμάτων, αὐτῶν ἐπιδεδωκότων οὐδ' ὥσπερ τοῦ κόσμου, τῆς ἀκμῆς αὐτῆς ἐπελθούσης καθάπερ ἔπειθ' ἑξῆς εἵπετο πραγμάτων Ἑλληνικῶν, καὶ Ῥωμαϊκῶν ὄγκος τοσοῦτος. ὑφ' ὧν ὥσπερ ἐστὶ φύσις ἐξαπτομένη· προδήλως ἡ σοφία συμπαρέθει· καὶ ὅλοις φασὶν ἱστίοις καταπνεομένη ἤρετο· καὶ κατ' ἀνάγκην ἅπασαν παραβαλλομένη, πρὸς ἅπασαν ἰδέαν τὲ καὶ φορὰν ἑαυτῆς ἐπέδωκεν, ὡς πρὸς ὕλην ἑαυτὴν ἀνιστῶσα καὶ ἀναφλεγομένη, μεγίστην καὶ ἀεὶ πλείω· καὶ τοῖς καιροῖς αὐτοῖς ἐπιδιδοῦσι τὲ καὶ τοῖς πράγμασι, συμπαρεκτεινομένη τε καὶ προκόπτουσα (ἀρχὴ δ' ἄρα παντός φασιν ἥμισυ), καὶ ὥσπερ εἰς μέγιστον θέατρον καὶ ἐπιδείξεως ἀκμὴν, μετ' ἐπιμελείας ἁπάσης καὶ ῥώμης ἀποδυομένη.

37. Τοιγαροῦν ὥσπερ οἱ τὰ πόνοις πολλοῖς κατορθωθέντα, προγόνοις· καὶ προσγενόμενα· κτήσεις τε καὶ χρήματα, εἰώθασιν ὡς τὰ πολλὰ τρυφᾶν αὐτοὶ· καὶ καταχρῆσθαι μηδὲν ἔτι προσπονοῦντες· μὴ δ' ἐπικτώμενοι, παραπλησίως ἐμοὶ δοκεῖν καὶ ἡμῖν τὰ τῶν παλαιῶν ἐκείνων, καὶ σοφῶν ἀνδρῶν παραλαβοῦσιν, ἀμερίμνως ἐστὶν ἔχειν, πᾶν ὁτιοῦν ἄρα βουλομένοις τὲ καὶ ποθοῦσι· ῥᾷστα πάνυ τοι καὶ ἐκ τοῦ προχείρου πορίζεσθαι· καὶ ἀπολαύειν, ἐξὸν· νῦν μὲν, φιλόσοφον ἔννοιαν· προκεχειρισμένοις δόγματα πλεῖστα ὅσα· καὶ κατὰ πᾶσαν ἰδέαν· καὶ λογικὰς ἐργασίας· καὶ ταῦθ' ἧπερ ἄρα βούλει καὶ τὴν γνώμην ἐκίνησεν ἔρως· εἴτε μεθ' ἧς ἔχει φύσιν ἀπλαστίας· καὶ πρεσβυτικῆς εὐγενείας φιλοσοφία· καὶ ποθεῖς τὸ ἀνεπιμέλητον μὲν παντάπασι, διὰ σωφροσύνην, ἄκομψον δὲ διὰ μεγαλοψυχίαν· καὶ τὴν ἐν ἀξιώματι τοσούτῳ τῶν τοῦ νοῦ δογμάτων, τοσαύτην ἀναγκαίαν ὄντως καὶ λυσιτελεστάτην
f. 204 [...] | νῦν δὲ συμπλανώμενος πανταχοῦ Ῥωμαίοις· καὶ ἐπ' αὐτὰ Λιβύης τε καὶ Εὐρώπης τὰ ἔσχατα, καὶ πάνθ' ὁμοῦ· καὶ περὶ πάντων ἔχων ἰσχυρίσασθαι ὡς ἀμέλει νῦν ἐκεῖθεν ἐπιδεδημηκώς.

37,3 κατακεχρῆσθαι V a. corr. **9** καὶ κατὰ V^2 e corr. **14** post λυσιτελεστάτην folia duo ceciderunt in V

31–34 cf. Lucian., Fugit. 10 (III, p. 210, 12–13) **36–37** CPG II, 13, 9

38. Καὶ μὴν καθεκάστην ὁρῶμεν ἐνίους διά τιν’ ἐμπορίας χρείαν, ἢ πρεσβείας· ἢ ἄλλην οὐκ οἶδ’ ἥντινα ἀνάγκην, ἀποδεδημηκότας, ἀλλοτρίοις γένεσιν. οἳ δοκοῦσιν ἐπανιόντες, πάνυ τοι φιλοτιμεῖσθαι τὴν πλάνην καὶ ἥδονται (πῶς ἄν, εἴπῃ τις;), εὖ μάλα· καὶ σεμνολογοῦσιν ἐπιδεικνῦντες ἃ σφόδρα κατεῖδον· καὶ ὥσπερ τινὲς θαυμαστοὶ καὶ μεγάλων αὐτόθεν ἐπιτυχεῖς γεγονότες, μακαριζόμενοι τῆς ἱστορίας ταύτης ὑπὸ τῶν ἀκουόντων. οὕτω δὴ πολλοῦ τινος ἄξιον ἅπαντες ἥγηνται, πλεῖν ἢ πρόχειρόν τι γινώσκειν καὶ τοῖς πολλοῖς εὔληπτον. καίτοι τί ποτ’ ἄν, εἴη τοιοῦτον, πόσον δ’ ἄν τις περιόδου τινὸς ἀποφέροιτο κέρδος· πόσον δ’ ἐργῶδες τοῦτ’ ἐστὶ καὶ οἵας ἄρ’ ἔχει, τὰς πάντοθεν δυσκολίας κατασκοποῦντι; νυνί δ’ ἔξεστι μετὰ ῥαστώνης ἁπάσης καὶ ἀδαπάνως· καὶ πάσης ἀπηλλαγμένον δυσκολίας, ἅπαντα ἐπιέναι οἴκοι μένοντα ἐν ταῖς βίβλοις· καὶ τόπων καινότητας· καὶ πράξεων παμπληθῆ καὶ παμμεγέθη φορὰν· παλαιά τε, καὶ νέα· καὶ βίους οὕστινας ἄρα καὶ πολιτεύματα· ὀλίγῳ δὴ κομιδῇ τῷ χρόνῳ· ὀλίγῳ δὴ κομιδῇ καὶ τῷ πόνῳ, ὥσπερ ἐν πανδήμῳ πανηγύρει γενόμενον, πάνθ’ ὁπόσ’ ἄν, βούλοιτο, πρίασθαι.

39. Ἀνεμνήσθην δὲ ἤδη καὶ αὐτῆς πέρι πανηγύρεως, ὡς οἱ πολλοὶ τῶν ἀνθρώπων σπουδάζουσι, ταῖς παμμεγίσταις καὶ παμπληθέσιν ἑκάστοτε ἐπιδημεῖν, θέας ἕνεκα πλείστων τὲ καὶ παντοίων πραγμάτων. ὧν εἴ τις ἐνταῦθα ὡς ἔοικεν, εἰς τοὺς ἐν ταῖς βίβλοις θησαυροὺς τὸ φιλοκερδὲς τρέψοι καὶ τὴν τῆς γνώμης πολυπραγμοσύνην, πλεῖστον ὅσον ὀνίναιντ’ ἄν· καὶ μέγιστον ἵμερον ταῖς ψυχαῖς ἐμβαλεῖται σοφίας· καὶ ἡδονὴν θηρωμέναις περὶ ὧν ἄρα ἐπόθουν. εἰ δὲ μὴ τοῦτο, πάντως εὔδηλον ὃ πάλαι πρότερον εἴρηται, ὡς οἷς μὲν ἔχουσιν ὀφθαλμοῖς καὶ ἴσασι καὶ ἥδονται χρῆσθαι, οἷς δ’ οὐκ ἔχουσιν οἶμαι νῷ καὶ ψυχῆς ὄμμασιν, οὔτ’ ἔχουσι χρήσασθαι, | οὔτε μὴν οὐδὲν ἐπαΐουσιν ἀμέλει περὶ f. 204v
αὐτῶν.

38,14 τόπων: litteram τ V[1] scripsit **39,6** ὀνίναιντ’ V[2]: ὀνίναιτ’ V

38,1–7 Phil. Iud., De Abr. 65 (p. 13, 24–29); Metoch., Misc. 749 **12–18** cf. Max. Tyr., Or. 22, 97–104 (p. 189) **39,1–3** cf. Ps. Long., De subl. 35, 2 (p. 44, 1); Synes. Cyren., Epist. 41 (p. 57, 8); Greg. Naz., Carm. mor., PG 37, 930A **7** cf. Phil. Iud., De spec. leg. 1, 50 (p. 10, 23)

40. Ἐθαύμασα δὲ ἔγωγε κἀνταῦθα τὴν Ἕλληνα τύχην, ὅπως ἠνέγκατο πλέον τυχοῦσα· πλειόνων, ἢ κατὰ τοὺς ἄλλους ἀφηγήσεων· καὶ λόγων ἐν οὐκ ἀφθονωτέροις ἴσως τοῖς πράγμασι. μᾶλλον δ’ ὡς ἀληθῶς ἐθαύμασα ἔγωγε κἂν τούτοις, τὴν Ἕλληνα καὶ σοφίαν καὶ γλῶτταν· ἐπεὶ τὰ σφέτερα ὁρῶμεν ὡς ηὔξησε μάλιστα καὶ προύθετο· τὰ οἰκεῖα αὐτῆς ἐφ’ ἑαυτῆς δαπανῶσα· καὶ ἀφ’ ἑστίας ὃ δή φασιν, ἀξιοῦσα χαρίζεσθαι τοῖς ἑξῆς ὑπομνήματα. τῷ ὄντι γὰρ καὶ τοῦθ’ ὡς ἔοικε, κέρδος ἐστὶ σοφίας· τὰ συγγενῆ τιμᾶν πλεῖστον τῶν ἄλλων, ἀξιολόγῳ μνήμῃ μάλιστα. Ἕλληνές τε γὰρ δὴ πλεῖστα συνεγράψαντο τῶν ἄλλων, καὶ περὶ αὑτῶν δὴ μάλιστα πλεῖστα, ἢ περὶ τῶν ἄλλων. καὶ τοίνυν ἅπαντα τὰ αὐτῶν ἴσμεν, παμπλήρη· καὶ μείζω· καὶ μείω· καὶ περιφανῆ τε καὶ μή· ἀλλ’ ἥττονος δόξης, καὶ οὐδὲν ὅ,τι μὴ σχεδὸν ὠλιγώρηται, μὴ τυχεῖν μνήμης. ἀλλ’ ἴσμεν ὅσα τὲ δὴ μέγιστα· ἐν τοῖς Μηδικοῖς ἀγῶσιν ὡς ἀληθῶς, τῶν ἐκ παντὸς τοῦ χρόνου γενομένων ἔργα· καὶ Μαραθῶνι καὶ Πλαταιαῖς· καὶ τῆς ἐν Σαλαμῖνι ναυμαχίας τὰ τρόπαια· καὶ τὸν αὐτὸν τρόπον ὡς ἔπλευσε ναυσὶ Σόλων, τρισὶν ἐς Σαλαμῖνα ὀλίγῳ πρότερον· καὶ παρεστήσατο, ἴσμεν· καὶ μὴν ἔθ’ ὡς Περικλῆς ἐκεῖνος, οὗ πλεῖστον Ἕλλησιν ὄνομα, δέκατος στρατηγὸς τὸ μέγιστον τεσσαράκοντα ναυσὶν ἐπέπλει κατὰ τῆς Σάμου· καὶ περιέπλει γε ἑκατὸν μεθύστερον ἔπειτα, τὴν Πελοπόννησον· ὃ δ’ αὐτὸς οὗτος στρατηγὸς αὖθις αὐτοκράτωρ πεντεκαίδεκα ναυσὶν, Ἄντρον ἐδουλοῦτο. καὶ Χαβρίας, ἑκατὸν μὲν ναυσὶ τρίτος στρατηγὸς Αἴγυπτον, ἀφίστη τοῦ βασιλέως· δυοκαίδεκα δὲ μόνος αὐτοκράτωρ, Χίους ἐπολιόρκει. καὶ Ἰφικράτης ἕβδομος παραπλησίως εἰς Αἴγυπτον· καὶ αὐτοκράτωρ τρισὶ ναυσὶ, Σηστὸν παρεστήσατο. καὶ Σαμία μία ναῦς, τὸν Πελοποννησιακὸν f. 205 συνεκρότησε πόλεμον· καὶ Λύσανδρος τὴν μεγίστην καὶ | καλλίστην Ἑλλήνων πόλιν Ἀθήνας θαλάττης ἄρχουσαν, καταστρεψάμενος· καὶ τείχη καθελὼν, μεταβραχὺ κρεωδότης ἦν Ἀγησιλάου· καὶ μετολίγον αὖθις, ἐν Ἁλιάρτῳ καθαπερεὶ πελταστὴς, τίς ἢ ὁπλίτης

40,2 ἠνέγκατο V^1 partim in ras. **6** ἐφ’ V: an ἀφ’ scribendum? **23** ἑκατὸν V in marg. (manu Metochitae?) **29** Ἑλλήνων add. V^2 s.l.

40,7 cf. Plat., Euthyphr. 3a **17** cf. Plut., Sol. 8–9 (pp. 90,1 – 92,19) **18–21** Thuc. 1, 116 **21–22** Ibid. 2, 56 **22–23** cf. Plut., Pericl. 11, 5 (p. 14, 9–10) **23–24** Id., Ages. 37, 1 (p. 242, 8); Diod. Sic. 15, 29, 2 (p. 24); Polyaen., Strat. 3, 11, 7 (pp. 150,20 – 151,7) **30** Plut., Lys. 15, 1

Λάκων εἷς ἔπιπτεν. ὁ δ’ αὐτὸς Ἀγησίλαος ἄριστος τῶν ἐν Σπάρτῃ καὶ ἰδιωτῶν τε καὶ βασιλέων, ἀνταίρει τὲ καθ’ ἕω πρὸς ἅπασαν, τὴν Περσικὴν δυναστείαν, καὶ μέγιστα ἐκεῖνα τότε καὶ κάλλιστα τῶν Ἑλληνικῶν· οὐ πολλοῦ δ’ ἔπειτα χρόνου, κατέπλεεν εἰς Αἴγυπτον, πάνυ πρεσβύτης, μισθοῦ συμμαχῶν στασιώταις· καὶ περιτρεπόμενος ἐπὶ θάτερα τοῖς μεῖζον ἰσχύουσιν, ἢ διδοῦσί τι πλέον, ὥσπερ ὁτιοῦν ὅπλον τοῦ νικῶντος ἀεὶ γιγνόμενον.

41. Καὶ ταῦτα δὴ πάντα καὶ μνήμης ἠξιοῦτο πλείστης· καὶ συγγραφόντων ὧν ἐπὶ σοφίᾳ μέγιστον κέρδος· καὶ οὐδὲν ὅ,τι μὴ παρείαται καὶ κατωλιγώρηται· καὶ τῶν ὀλίγου καὶ μηδενὸς ἀξίων ἀμνηστίᾳ. καίτοι πόσαι ταῦτα καὶ χῶραι καὶ πόλεις καὶ ἄνδρες· καὶ ἰδιῶται καὶ ἄρχοντες, κατεπράξαντ’ ἂν, ἀτυχεῖς συγγραφῆς· πόσοι δὲ τὰς αὐτὰς ἢ καὶ μείζους· ἔν τε παρασκευαῖς καὶ ἀγώνων κράτει ἐπεδείξαντο πράξεις; ἃ δὴ μηδενὸς ἢ βραχέος ἀξιωθέντα τυχὸν ἔνια λόγου, κατετάκησαν ὑπὸ τοῦ χρόνου καταβραχὺ· καὶ λέλυνται παντάπασιν οἶμαι λήθης ἐντελοῦς ὀλέθρῳ. καὶ τὰ μὲν ἄλλ’ ἐῶ. πόσαι δὲ πόλεις ὅμως ἐν δημοκρατίᾳ καὶ πολιτεύμασι, τὸν αὐτὸν ὅνπερ Ἕλληνες τρόπον, ἔν τε Βιθυνίᾳ· καὶ Φοινίκῃ καὶ Ἀφρικῇ παραπλησίαις ἀρχαῖς χρώμεναι, παραπλησίοις στρατηγοῖς καὶ στρατεύμασι, παραπλησίοις δὲ καὶ οὐδὲν ἧττοσι καὶ αὐτοῖς πράγμασι, παραπλησίας οὐκ ἔτυχον μνήμης· μὴ γλῶτταν ἔχουσαι νικῶσαν ἐπὶ παντὸς ὡς ἔοικε τοῦ χρόνου· καὶ κέντροις ἔρωτος φιλοκάλου πρὸς ἑαυτὴν τοὺς πολλοὺς ἕλκουσαν; καίτοι τί λέγω; ἢ οὐ καὶ νῦν ἔτι μάλιστα ὁρῶμεν ὡς οὐκ ὀλίγαι τῶν ἐν Ἰταλίᾳ πόλεις, ἐν τοῖς αὐτοῖς εἰσὶ καὶ | μεθ’ ὁμοίων οἶμαι τῶν f. 205v πραγμάτων, καὶ γῆς ἅπτονται καὶ θαλάττης καὶ τὰ πρὸς ἀλλήλους, βουλεύουσί τε καὶ μεταχειρίζουσι;

42. Κατ’ οὐδὲν μέν γε ὡς ἀληθῶς αὐταῖς ἐλλείπει, ἢ ἐκείναις τότε πρότερον ἐνομίζετο· οὐ βουλευτήριά τε καὶ δικαστήρια· οὐ πολέμους· καὶ μάχας καὶ ναυμαχίας· οὐ παρασκευὰς ἃς ὁρῶμεν

41,4 ταῦτα V: an ταυτὰ? **5** συγγραφῆς scripsimus: συγγραφεῖς V

32 Ibid. 23 **33–35** Xenoph., Hellen. 3, 4, 5 **35–38** Plut., Ages. 37, 1 (p. 242, 12–14) **41,4–7** Dion. Halic., Antiquit. Rom. 1, 5, 4 (p. 18) **15–16** cf. Eurip., Hipp. 39

ἑκάστοτε· οὐκ ἀρχαιρεσίας· οὐ στρατηγῶν τόλμας· καὶ ἴσως γνώμας, οὐκ ἄλλο τι οὔ. ἀλλὰ ταῦτα μὲν οὔτ' ἐπισημαινόμεθ' ὁρῶντες, οὔτε καινόν τι νομίζομεν· οὔτ' ἀξιοῦμεν προσέχειν τὸν νοῦν, ὁτιοῦν συλλογίζεσθαι· ἀλλ' ἡσυχῇ τῶν λογισμῶν ἐσμὲν, ὥσπερ ἂν, εἰ μηδὲν ἴσως γίγνοιτο. πρὸς δ' ἐκεῖνα, πολλή τις αἰδὼς· καὶ χρώμεθα ἔν τε βίοις εἰκόσι καὶ λόγοις ἐπιχειροῦντες· καὶ πάσῃ τιμῶντες μνήμῃ· «ὁ δεῖνα· τὰ καὶ τὰ πάλαι ποτ' ἔφη· καὶ τὰ καὶ τὰ, κατεπράξατο»· ἅπαντα ἡγούμενοι τοῖς γε ἀστείοις κέρδος· καὶ μηδὲν ὅ,τι βραχὺ μὴ δ' ἀδοξίαν ὅστις χρῷτο. σεβόμεθά τε δὴ μάλιστα καὶ σπουδάζομεν, τὴν ἀγγέλλουσαν γλῶτταν, ὡς οὐκ ἂν ἄλλως ἀξιώσασαν, περὶ αὐτῶν καὶ λέγειν εἰ μή τι νόμιμον, ἣν ἀνάγκῃ παντὸς μᾶλλον ὡς ἔοικεν, ἀξιολόγῳ μνήμῃ τιμᾶσθαι, τὰ δόξαντα δηλαδὴ τῶν ἔργων, κάλλιστα.

43. Καὶ γὰρ δὴ σφόδρα, ἕλκουσί τε πρὸς ταυτὰ καὶ ἐπιστρέφουσι, Θουκυδίδαι τε καὶ Ξενοφῶντες καὶ Θεόπομποι, Ἀττικαῖς εὐγλωττίαις χειρούμενοι καὶ τῇ παρασκευῇ τῆς φωνῆς, μέγιστον ἀνύτοντες πρὸς ὑποδοχήν· καὶ τὸ παραλαβεῖν ἃ σπουδάζουσιν οὕτω, καὶ κατατείνουσιν ἑαυτοὺς πράγματα. οὕτως ἄρα τῇ τῆς φωνῆς οἶμαι τύχῃ, πολλῷ γέγονε τὰ τῶν Ἑλλήνων ἐπικυδέστερα· καὶ παρῆλθε παντάπασι, τἆλλ' ἅπαντα παλαιά τε ὁμοῦ καὶ νέα· καὶ ὅσα καθ' ἕω· καὶ ὅσα τῆς λοιπῆς μοίρας, ἐν τοῖς αὐτοῖς ἴσως ὄντα.

44. Καὶ πρὸς, ἔτι ἐξαίρω μέντοι λόγῳ τὰ Ῥωμαίων αὐτῶν. ἃ τοσοῦτον ὑπερέσχεν ἅπανθ' ὡς ἔπος εἰπεῖν ἀξιώματι καὶ δόξῃ· καὶ
f. 206 τῷ τῶν πράξεων αὐτῶν ἀπαραμίλλῳ καὶ | κράτει τῶν ὅλων· καὶ ῥώμῃ· καὶ ἀνδρῶν γνώμῃ καὶ τόλμῃ· καὶ πᾶσιν ὁμοῦ, ὥστε πᾶσαν εἰς ἑαυτὰ κεκίνηκε γλῶτταν· ἀφηγεῖσθαι τὲ καὶ θαυμάζειν πάντων ἀφεμένους τῶν ἄλλων· ὥσπερ ἄρα ἐν ταῖς καινοτομίαις εἰώθαμεν ἄνθρωποι, καὶ πάντα οἶμαι νοῦν ἦρε· καὶ εἰ πρότερον ὀλίγος ἦν μὴ καθεύδειν ἀλλ' ἐγρηγορέναι· καὶ προσέχειν· καὶ λογίζεσθαι,

42,5 ἄλλό τι οὔ V: an ἀλλ' ὁτιοῦν? **13** ἀγγέλλουσαν scripsimus: ἀγγέλουσαν V **43,1** Καὶ V e corr. | ταυτὰ V^2: αὐτὰ V (obl. rubr.); fort. ταῦτα **4** ἀνύτοντες scripsimus: ἀνύττοντες V **44,1** ἔτι V^1 in ras.

πρὸς τοσοῦτο τοῦ χρόνου καὶ τῆς οἰκουμένης θαῦμα. Δημάδης μὲν οὖν ἔλεγε, πυθομένων Ἀθηναίων, Ἀλέξανδρον ἐν Σούσοις τελευτῆσαι· καὶ ταραττομένων, μὴ πείθεσθαι. πάλαι γὰρ ἄν, ὄζειν τὴν οἰκουμένην νεκροῦ· ὡς τὸ ἐκείνου σῶμα, τῆς οἰκουμένης σχεδὸν ὄν· καὶ ταύτην ἀναγκαῖον συμπάσχειν· ὁτιοῦν αὐτῷ πεπονθότι. τὰ δὲ Ῥωμαίων αὐτὰ γέγονε σχεδὸν ἡ οἰκουμένη. καὶ οὐκ ἦν οὐδένας ἀνθρώπων οὐκ ἀμερίμνως ἔχειν οὐδ᾽ ἀλογίστως, ὁτιοῦν ἐν ἐκείνοις γιγνόμενον· ἀλλ᾽ ἅμα τέ τι παρὰ Ῥωμαίοις ἦν ἢ ἐγίγνετο ὅ,τι ποτ᾽ ἄν, ἦν, ἢ ἐγίγνετο, καὶ ἅμα τοὺς ἁπανταχοῦ τῆς γῆς ἀνθρώπους εἶχε ξυναίσθησις καὶ θάμβος· καὶ λόγος πλεῖστος ἐθριάμβευε διὰ πάντων· ὥσπερ ἑνὸς ὁρῶμεν σώματος, μέρους ὁτουοῦν δράσαντός τι ἢ παθόντος, αὐτίκα αὐτόθεν τῷ παντὶ ξυναισθάνεσθαι συμβαίνει.

45. Ὅπερ δὲ περὶ Ἀθηναίων ἔφη Θουκυδίδης, πεφυκέναι τοιούτους, οἵους μήτ᾽ αὐτοὺς ἡσυχίαν ἄγειν δύνασθαι, μήτε τοὺς ἄλλους ἐᾶν, τοῦτο δὴ μάλιστα Ῥωμαίους εἶχεν, ἀεί τ᾽ ἐν μεγίστοις ἐξεταζομένους πράγμασι· καὶ αὐτούς τε ὄντας ἐνεργεῖς κρειττόνων, ἢ κατὰ τοὺς ἄλλους· μᾶλλον δ᾽ ἢ κατὰ τὰ πρότερον ἀεὶ σφέτερα αὐτῶν, καὶ πάντας μὴ καθεύδειν διὰ ταῦτα συγχωροῦντας· ἀλλ᾽ ἀνίστασθαι καὶ ὡς ἔνι μάλιστα τῷ λογισμῷ τῶν πράγματων ἅπτεσθαι καὶ ξυνορᾶν. τοιγαροῦν ἅπανθ᾽ ὡς ἀληθῶς κατέσχον τῇ δόξῃ· καὶ πλέω γε τῆς αὐτῶν γέγονε τύχης· καὶ τοῦ περὶ αὐτῶν λόγου· καὶ πλεῖστοι δὴ | πλεῖστα περὶ αὐτῶν f. 206v
συγγραψάμενοι, φιλοκαλίας τε περὶ αὐτῶν δόξαν καταλελοίπασιν ἡμῖν· καὶ ἡδίστην ξυνεῖναι διατριβὴν πλεῖν ἢ κατὰ τὰς ἄλλας, ἴσως συγγραφάς τε καὶ ἱστορίας.

46. Καθόλου μὲν οὖν παντὸς ἡδονὴ πράγματος· ἣ φησι Πλάτων περόνη τίς ἐστι πρὸς αὐτὸ· καὶ συνδεῖ (πῶς ἄν, εἴπῃ τις;), σφόδρα· καὶ οὐ διάλυτον· οὐδ᾽ ἀπότμητόν ἐστι ῥᾷστα· ὅτῳ

9 an πρὸς ⟨τὸ⟩ τοσοῦτο? **20** δράσαντος V²: δράσοντος V **45,1** Ὅπερ δὲ V e corr. **46,2** αὐτὸν V a. corr.

44,9–14 Plut, Phoc. 22, 5 (p. 18, 16–18) **20–21** cf. Plot., Enn. 4, 9, 1, 19 (II, p. 253) **45,1–2** Thuc. 1, 70 **6** cf. Plut., Them. 3, 4 (p. 160, 22–23) **46,1–3** Plat., Phaed. 83d; cf. etiam Synes. Cyren., Dio 6, 4 (p. 156)

ἂν, ξυμβαίνοι τὸ τοιοῦτον πάθος, πρὸς ὁτιοῦν. ἡ δὲ περὶ τὴν ἱστορίαν ὅλως, ῥοπὴ· καὶ πραγμάτων μετρίως ἐποπτεῦσαι παλαιῶν ἀφηγήσεις, οὕτως ἀκάματον ὡς ἀληθῶς ἔρον ἐνέσταξε τῇ ψυχῇ· καὶ τοσοῦτο δηγματῶδες, ἀεὶ νύττον θέλγητρον, ὡς οὐκ ἄλλο τί ποτ' οὐδὲν· οὐδ' ἔστι καθάπαξ ἀναμαθεῖν, ὅστις ἄρα μὴ πεπείραται παθῶν. οὐ γάρ ἐστιν ὅπως ἄν τις κόρος καὶ μέτρον ὁτιοῦν, γένοιτο τῇ περὶ ταῦτα φιλοπραγμοσύνῃ· οὐδ' ὅπως ἀγαπήσειεν ἂν, ἀμέλει, καὶ ἠρεμίᾳ τινὶ σχήσειν ἑαυτήν· ἀλλ' ἀείποτέ τι προσλαμβάνων ὁ σπουδάζων οἶμαι πάντως, ἀεί πως ἱμέροις· ἀγρύπνοις τὲ καὶ ἀτρύτοις προστέτηκε· καὶ ζητεῖ· καὶ προσεξεργάζεται, τῷ τῶν ληφθέντων ἤδη κέντρῳ, τἀφανὲς ἰχνηλατῶν αὖθις καὶ ἀνορύττων· ἅττα δὴ πάλαι πρότερον χρόνων καὶ πραγμάτων ἄλλαις ἐπιδρομαῖς συγκέχωσται. τοιγαροῦν, ὥσπερ οἱ φιλοπλουτοῦντες αὐτοὶ, οὐδὲν ὅ,τι ἄρα μέτρον ἐνόμισαν, οὐδ' ἔστησαν· οὐδ' ἐπαύσαντο· οὐδ' ἐφ' ὅτῳ δήποτ' ἂν γενόμενοι, καὶ ἀποχρῆναι τοῦ λοιποῦ φαῖεν· καὶ κατασχεῖν ἄρα σφᾶς ἔλοιντο· ἀλλ' ἀεὶ γῆν καὶ θάλατταν περινοοῦσι σπουδῇ πάσῃ συλλογιζόμενοι· πάνθ' ὁμοῦ χρήμαθ' ἅ, ξυνίσασι γεωργοῦντα πλοῦτον, τὸν αὐτὸν ἐμοὶ δοκεῖ κἀνταῦθα καὶ οὗτοι τρόπον, οὐκ ἔχουσιν ὅπως ἂν ἔπειθ' ἑαυτῶν γένοιντο, καὶ ἀποσταῖεν εἴ πῃ ἄρα καὶ παύσαιντο· τῆς περὶ τὴν ἱστορίαν τῶν παλαιῶν, λιχνείας ταύτης καὶ ξυλλογῆς· ὅρον ὁντινοῦν προστησάμενοι· ἀλλ' ὡς ἀληθῶς ἀπέραντα κατεπείγονται καὶ κάμνουσι· | f. 207 τοῖς ἠνυσμένοις ἤδη λοιπὸν καὶ φθάσασι, τὸν ἀεὶ μαθημάτων, νέον ἀνακινοῦντες πλοῦτον· μηδὲν ἀπαμβλυνόμενοι, μὴ δ' ἐν τοῖς ἐλαχίστοις ἀποκνοῦντες, κάματον κέρδους ἅπαντα· ἀλλὰ μετεῖναι πάντων, ὅλως ἐξὸν, ἅπαντα αἱροῦνται, σφίσι παρεῖναι· καὶ οὐδὲν, ὅ,τι οὔ· ὥσπερ οἱ ἐν περιουσίαις καὶ πλούτῳ τρυφᾶν ἑλόμενοι, καὶ Συβαριτικὰς σπουδάζοντες καρυκείας· οὐ μόνον τἀναγκαῖα καὶ ὧν ἀπαραίτητος ἡ χρῆσις, ἀλλ' ἅπαντα πρὸς τὸ ἁβρότερον ἐσκευασμένοι, προτιθέασι καὶ περινοοῦσι καὶ μαγγανεύουσιν εἴ τί που ἔξεστιν ἔτι νέον· καὶ

6 γ' ante ὡς erasum in V **9** παθῶν V[1]: μαθῶν V **14** προσεξεργάζεται V in marg. (an manu Nicephori Gregorae?): προσεξείργασται V **17** φιλοπλουτοῦντες V e corr. **28** τοῖς primum iteravit, deinde linea exstinxit V **34** τί add. V[1] s.l.

29–36 cf. Phil. Iud., De agr. 23–25 (p. 94, 15–30) **31–32** cf. Maxim. Tyr., Or. 21, 102–103 (p. 181)

ὁπόσα φέρουσι γῆ τε καὶ θάλασσα· καὶ οἷοί τ’ ἂν ὦσι πραγματεύεσθαι, πρὸς οὐδὲν ὅλως ἀποκναίουσιν· οὔθ’ ἵστανται, παραπλησίως ἀμέλει καὶ οὗτοι, πρὸς οὐδὲν ὁτιοῦν ὀλιγωροῦντες· ἀλλ’ ἅπανθ’ ὡς ἀληθῶς τρυφῶντες ἡδονὴν, εὐγενῆ τε καὶ παραμένουσαν.

47. Τῆς δ’ ἄρα ἡδονῆς οἶμαι ταύτης, οὐ μόνον ἐν ἱστορίᾳ καὶ τῷ παλαιοῖς οὕτω συμπλέκεσθαι πράγμασι πειρῷτο ἄν τις, ἀλλὰ καὶ πρὸς ἅπασαν αὕτη σοφίαν ἐπαγωγὸν, ἔστι σφόδρα, καὶ διὰ πάσης ὡς ἔπος εἰπεῖν συμφύεται· εὐφυής τε καὶ καλλίστη ἑαυτῆς, προμνωμένη, τοῖς ἀπαντᾶν βουλομένοις χάριν οἵαν δή τινα καὶ ῥᾳστώνην, οὐκ εὐκαταφρόνητον· ὥσπερ ἀμέλει καὶ οἱ παμφόρα πεδία, καὶ λειμῶνας εὐκάρπους φιλοπονοῦντες, ἐοίκασιν αὐτοὶ πρώτως αὐτόθεν οἷοί τ’ εἶναι μάλιστα ἥδεσθαι. ὥστε οὐ μόνον κατὰ τὸν Πυθαγόραν ἔξεστιν εἰπεῖν, ὡς «ἑλοῦ βίον τὸν ἄριστον· τοῦτον δὲ ἡδὺν ἡ συνήθεια ποιήσει»· ἀλλὰ καὶ τοῦθ’ ὡς «οὐχ ἥκιστα ἑλοῦ βίον τὸν τῆς σοφίας ἄριστον ὡς ἀληθῶς ὄντα»· καὶ ὃν οἶμαι κἀκεῖνος μάλιστα ἠβούλετο· «τοῦτον δὲ ἡδύτατον τῶν ἄλλων εὑρήσεις», ὡς οὐκ ἔστιν ὅ,τι ποτ’ ἂν, ἥδιον ἄλλο γένοιτο· ἀνδρὶ νοῦν ὅλως ἔχοντι, τῆς ἐν λόγοις αὐτῆς ξυνουσίας τὲ καὶ διατριβῆς.

48. Καὶ μὴν εἰ τοσοῦτο δὴ τῆς ἡδονῆς ὁρῶμεν αὐτῆς κατὰ πάντων ἀνθρώπων | τὸ κράτος· καὶ οὕτως εὖ μάλα περὶ αὐτὴν καὶ f. 207[v] μικροὶ καὶ μείζους κεχήνασι· κατ’ ἄλλος ἄλλό τι πάντως, ἢ ἄλλα· καὶ πάντες ἅπανθ’ ὡς οἷόν τέ ἐστι, ταύτην θηρώμενοι· οἱ μὲν, δόξῃ καὶ τύφῳ κάτοχοι καὶ προστετηκότες, καὶ τὸν τρόπον τοῦτον ἥδεσθαι προελόμενοι καὶ τετιμηκότες· οἱ δὲ, φιλοπλουτίᾳ· οἱ δὲ, κυνηγεσίοις· οἱ δὲ, γυμνασίοις, οὐκ οἶδ’ οἷστισι καὶ πόνοις· οἱ δὲ, καὶ τοὐναντίον ἀπονίᾳ δηλαδὴ καὶ ῥᾳστώνῃ πάσῃ· οἱ δὲ, τρυφαῖς· καὶ τοῖς αἰσχροτάτοις αὐτοῖς, ἀσελγείαις· καὶ ᾄσμασί τε καὶ αὐλοῖς· καὶ κορδακίσμασιν, ἕκαστος δὲ πάντως καθ’ ὁτιοῦν, πρὸς ταύτην ἐπείγονται καὶ ἀνύτουσιν, Ἐπίκουρος δὲ καὶ συχνοὶ τῶν

35–36 πραγματεύεσθαι V[1]: πραγματεύσασθαι V **38** εὐγενῆ τε V e corr. **47,3** ἅπασαν V[1] e corr. **6** εὐκαταφρόνητον scripsimus: εὐκαταφρότητον V **14** αὐτῆς V: an αὐτοῖς? **48,11** ἀνύτουσιν scripsimus: ἀνύττουσιν V

47,9–10 Plut., Mor. 123C **14** cf. Philostr., Vita Apollon. 1, 19 (p. 19, 30–31) **48,5** cf. Lucian., Demon. 5 (I, p. 47, 21) **6–7** cf. Isocr., Areop. 45

ἐλλογίμων παλαιῶν ἀνδρῶν στασιῶται, τῆς αἱρέσεως, ἡδονὴν τὸ πᾶν ἐν βίῳ τέλος· καὶ τῆς ἀνθρωπίνης ὁρμῆς καὶ γνώμης νομίσαντες, ἔδοξαν οὐ πάνυ τοι φορτικῶς οὐδ᾽ ἀηδῶς ἀποφήνασθαι, ἀλλὰ καὶ πολλοὶ προσήκαντο τὸ δόγμα· καὶ προσέθεντο νοῦν ἔχειν ἀξιοῦντες, ἧ που χάριεν ἐστὶν ὡς ἀληθῶς· καὶ παντάπασιν εὐφυές τε καὶ οἰκεῖον, καὶ λυσιτελέστατον, ἡ παρὰ τῶν λόγων καὶ περὶ τοὺς λόγους, αὐτοὺς γιγνομένη τοῖς σπουδαίοις ἡδονή· καὶ τοῖς ἅπασαν οἶμαι τὴν τοῦ βίου γνώμην καὶ πορείαν ἐνταῦθα κόπτουσι καὶ τῶν ἄλλων προελομένοις. ἡδονή τε γὰρ δὴ μάλιστα πλείων, ἢ κατὰ τἆλλ᾽ ἅπαντα ὅστις πεπείραται· καὶ ὤναθ᾽ ὁτιοῦν καὶ μετρίως, ἅπαντες ἂν, συμφαῖεν· βεβήλοις δ᾽ οὐδὲν ὅλως μὴ δοτέον· ἀλλὰ πύλας ἐπιθέσθων· τῶν κρειττόνων ἀπαθεῖς αὐτῶν καὶ καθάπαξ, ἀνήκοοι καὶ ἀναίσθητοι· βοσκημάτων τρόπον ἐπὶ τῷ σώματι μόνῳ τὴν ἡδονὴν ὁρίζοντες. ἡδονή τε δὴ ὅπερ ἔφην ἐνταῦθα, πάνυ τοι πλείστη· καὶ ἅμα καλλίστη καὶ καθαρὰ· καὶ τοῦ θειοτέρου μέρους ἄκρατος· αὐτῆς μόνης τῆς ψυχῆς οὐκ οἶδ᾽ ὡς εἴ τί γ᾽ ἄλλο, φόρτου καὶ μολυσμάτων ἁγνεύουσα· καὶ καθιστῶσα μὲν ἐν ἀπαραμίλλῳ γλυκυθυμίᾳ τὲ καὶ ῥᾳστώνῃ, ταύτην εὖ πως ὑγροτέραν καὶ κεχυμένην καὶ ἵλεων· ὁπλίζουσα δὲ μάλιστα καὶ f. 208 ἀνεγείρουσα, καὶ τελεσιουργὸν τῶν ἑαυτῆς ᾗ δὴ | πρότερον εἴρηται, παρασκευάζουσα διανοίας τὲ καὶ ἐπιστήμης, καὶ ἀμφότερα ὡς ἔνι δηλαδὴ κάλλιστα· νοῦν ἐνεργῆ μὲν, ἀλλ᾽ ἐπαφρόδιτον· καὶ ἡδονὴν μὲν, ἀλλ᾽ ἔντονόν τε καὶ σώφρονα, οἷόν τι χρῶμα καὶ θέαμα καθορῶμεν ἐπ᾽ ἀέρος, ἐνίοτε σύγκρατόν τε καὶ κάλλιστον, εἰ ἄρα μεσημβρίᾳ καὶ θέρει φλέγοντι αὐτόματον ὗσε· καὶ ταῖς ἡλιακαῖς ἀστραπαῖς, νοτίδες ἄνωθεν συνυφαίνονται· καὶ συμπλέκονται· τὰς τοῦ πυρὸς λαμπάδας ἐπανθίζουσαί τε καὶ κατατέμνουσαι· καὶ κεραννῦσαι κατάστασίν τινα καὶ κάλλος οἷον ἀδόκητόν τε καὶ ἥδιστον, καὶ δὴ λοιπὸν καὶ τῆς σοφίας αὐτῆς οὐ καθάπαξ τὸ δραστικὸν, οὐκ ἀνέορτον· ἡ δ᾽ ἀκμὴ παντάπασιν, οὐκ αὐστηρὸν τί

15 προσέθεντο scripsimus: προσένθεντο V **19** τὴν add. V[1] s.l. **20** πλείων V[2]: πλεῖον V **26** ἐνταῦθα V[2]: ἐντεῦθεν V **28** μὲν add. V[1] s.l. **30** ἵλεων V[2]: ἵλεω V **35** τε add. V[2] s.l. **36** εἰ scripsimus: ἐν V **38–39** καὶ κατατέμνουσαι V[2]: καὶ τέμνουσαι V

12–13 cf. Stob., Anth. 3, 6, 57 (III, p. 15–16) **24** cf. Plat. Resp. 586a **25–28** cf. Synes. Cyren., Dio 8, 1–2 (pp. 159–160); Plut., Mor. 391D **39–42** cf. Phil. Iud., De plant. 167 (p. 156, 18–20)

ποτ᾽ ἐστὶν, οὐδ᾽ ἀτόλμητον· ἀλλ᾽ ἕκαστος καθεωραμένος, οἷός τε ἔσται θαυμάσαι τὸ κεκραμένον ἄρα, καὶ εὐξύμβλητον ὥρᾳ τοσαύτῃ καὶ χάριτι.

49. Καὶ μὴν οὐ τοῦτο μέγιστον οἶμαι, φαμὲν τὸ τῆς ἡδονῆς· ἀλλὰ τὸ τοσοῦτο τοῦ νοῦ κέρδος, μεθ᾽ ὅτι πλείστης τῆς ἡδονῆς, ὥσπερ οἱ ἐν γαλήνης εὐκαιρίᾳ, καὶ πνευμάτων ἔαρι πρὸς πελάγη καὶ θαλάσσας, ἀφέντες· καὶ ἀναγόμενοι καὶ τὰ μέγιστα πονοῦντες, καὶ κατακτώμενοι κέρδη, καὶ τὸ τῆς εὐπλοίας ταύτης, κάλλιστον ἔχουσιν ὄντως ἡδονῆς παρεμπόρευμα. καὶ οἱ πρὸς τὴν ἐλπίδα τῶν μεγίστων, κάματον ἅπαντα καὶ τόλμαν κινδύνων αἱρούμενοι· καὶ πρὸς μηδὲν ἀποκνοῦντες, πόσου πότ᾽ ἂν, πρίαιντο, καὶ τίνες ἄρα γένοιντ᾽ ἂν, μετ᾽ εὐφορίας καὶ ῥᾳστώνης τοσαύτης εὐτυχοῦντες, τὰ κέρδη; καὶ τὰ μὲν ἀγαθὰ φασὶν οὐκ ἐπίηρα· παμπλείστου δ᾽ ἀγῶνος δεῖται. νῦν δ᾽ οἶμαι τὸ τοσοῦτο τῆς παιδείας χρῆμα· ἀγῶνος μὲν ὡς οὐκ ἄρα μεγίστου δεῖται, οὐκ ἂν μήποτε ἔγωγε ἐρῶ (μικροῦ γὰρ ἀγῶνος οὐ μέγ᾽ ἔρχεται κλέος, φησὶν ἡ τραγῳδία), ὡς δ᾽ ἔρχεται τὸ τοσοῦτο μέγα καὶ κέρδος· καὶ κλέος· ἀγῶνι μὲν ὡς ἀληθῶς καὶ καμάτῳ πλείστῳ· σὺν ἡδονῇ δ᾽ ὅμως καὶ γλυκυθυμίᾳ, συμπεφυκὸς πάνυ τοι πλείστῃ καὶ πολυεράστῳ, τοῦτ᾽ οἶμαι, καὶ δικαίως ἂν ἐρεῖν αὐτὸς· καὶ πεῖραν ἀξιῶν λαμβάνειν, | f. 208v οὐκ ἂν, αἰσχυνθῆναι, ὡς οὐκ ἔστιν ὅστις ποθ᾽ ἁψάμενος καὶ μετρίως, οὐδ᾽ ὅστις ξυγγεγονὼς ἀληθῶς τε καὶ εὐψύχως, οὐχ ἅπαντες ἂν, συμφαῖεν.

50. Χωρὶς δὲ τούτων, εἴπερ οὐ καθάπαξ φλαῦρόν τι καὶ εὐδιάβλητον, τὸ τῆς ἡδονῆς τοῦτο χρῆμα ὡς οὐκ ἔγωγε οἶμαι, ἀλλ᾽ ἔστιν ὅτε καὶ οὒ· καὶ ἐφ᾽ οἷστισι δέδοται καὶ νενόμισται· καὶ οὐκ ἀπόθεσμον, ἐν τίσιν ἂν, εἴη μᾶλλον· ἢ τίς ἂν, ἕλοιτ᾽ ἄλλοσέ πῃ· ἢ περὶ οὗ νῦν ὁ λόγος, ἐνταῦθ᾽ οὗ καὶ πλεῖστόν ἐστι καὶ κάλλιστον, εἰς ἀγλαΐαν καὶ τρυφὴν, τοῦ βελτίστου καὶ βασιλικοῦ μέρους, αὐτῆς τῆς ψυχῆς· καὶ τὴν ἐξ ἐπιστήμης καὶ παιδείας τελείωσιν, καὶ τοῦ νοῦ τοσαύτην ἀνθοφορίαν καὶ εὐκαρπίαν; εἰ δ᾽ ἀτενές ἐστι

49,3 ἐν iteravit V **50,4** ἕλοιτ᾽ add. V^2 in marg. **8** ἔστιν V a. corr.

49,10 locum non invenimus; cf. Plat., Hipp. mai. 304e **13–14** Soph., Fragm. 938, 2 (p. 588) **50,8–9** cf. Arist., Ethic. Nicom. 1117a 25–31

καθόλου πρὸς ἅπασαν ἡδονὴν ἡ τελειότης, καὶ πρὸς οὐδὲν ὁτιοῦν μαλθακὸν ὁρᾷ· καθάπερ τὰ Γοργόνεια φάσματα· παρομαρτεῖ δ' ὅμως αὕτη· δι' ἀδυναμίαν ἢ οὐκ οἶδ' ὅπως ἐρῶ νόσημα ἀναγκαῖον, καὶ φύσεως πάθος ἄτμητον, τί οὐ μάλιστα τρεπτέον ἐστὶ τὸ τοιοῦτον πάθος, ἔνθα δὴ λώϊόν ἐστι χρησαμένοις ἡμῖν καὶ πεπονθόσι· καθάπερ οἱ τέχνῃ πλέοντες ἅπαν· καὶ τἀντίπαλον καὶ δύσνουν πνεῦμα, μεταχειρίζουσί τε καὶ τρέπουσι πρὸς τὴν χρείαν; μὴ γὰρ νοσοῖμεν καὶ ὁ ἐξ Ἀκαδημίας φησὶ λόγος, νοσήσασι δὲ παρείη τις αἴσθησις. οὐκοῦν μὴ δὲ ἡδυνοίμεθα· καὶ τοῦτ' ἄν, ἄμεινον ἦν, φησὶν ὁ νῦν λόγος οὗτος (νοσεῖν γάρ ἐστι δὴ τοῦτο κατ' αὐτὸν· καὶ οὐ παντελῶς εὖ ἔχειν), ἡδυνομένοις δ' οὖν ὅμως κατ' ἀνάγκην φύσεως ἄτρεπτον, παρείη τις κέρδους συλλογισμὸς καὶ συναίσθησις· καὶ πάρεστιν ὡς ἀληθῶς ἐνταῦθα νῦν, μέγιστον ἡ τοῦ νοῦ προκοπή, τοῖς ἐπὶ παιδείᾳ καὶ τέχνῃ λόγων, τὴν ἡδονὴν ἑλομένοις. καὶ μὴν ὁ μὲν τραγικὸς φησὶν Εὐριπίδης, εἴπερ ἀδικεῖν χρή, τυραννίδος πέρι, κάλλιστον ἀδικεῖν· ἀγνώμονα παντάπασι καὶ ἀνελεύθερον λόγον, ὡς ἀληθῶς εἰσενέγκας. οὔτε γὰρ ὅλως τἀδικεῖν οὔθ' ὑπὲρ οὗ μάλιστα φησὶν, αἱρετέον. καὶ περὶ μὲν τούτων, οὐ νῦν
f. 209 καιρὸς λέγειν. ὃ δ' οὖν, ἠβουλόμην, | ὡς τοῦτο μᾶλλον ἐμοὶ δοκεῖν δικαιότερον, ὡς εἴπερ ὅλως ἄνθρωπον ἥδεσθαι χρὴ· καὶ παντὸς μᾶλλον ἡ φύσις ἀναγκαῖον ἕλκουσα, ἐκ σοφίας καὶ περὶ λόγους ἡδυντέον αὐτόν τινα, ἑαυτὸν· ἡδονὴν πλείω τε, ἢ κατὰ τἆλλ' ἅπαντα· καὶ πάσης ἁγνεύουσαν, ὄντως καὶ ἀπηλλαγμένην ὑγρότητος καὶ ἀωρίας.

51. Καὶ μὴν, οὐ τοῦτο ἔγωγε λέγω· οὐδ' ὡς ἄν τις ἄρα ὑπονοήσειε· μὴ δ' οὕτω μανείην· ὡς διά τινα νόσον ἄρα συνήθη, καὶ οὐ παντάπασιν ἠλλοτριωμένην τῆς φύσεως οὐδ' ἀπόβλητον τὰ τῆς σοφίας αὐτῆς σπουδαστέον· ὁδοῦ φασὶ μᾶλλον δὲ συμφορᾶς τινος, ὡς ἔοικε πάρεργον· ὡς ἄν τῳ δόξαι ἴσως ἀδιαβλήτῳ τινὶ πράγματι, καὶ οὐ κακῷ τὸ κακὸν ἰωμένους, κατὰ τὴν παροιμίαν· ἀλλ' ὡς ἀντὶ μεγίστου καὶ καλλίστου τοῦδε καὶ πρώτου, τῶν ὅσα

14 τἀντίπαλον V[2]: ἀντίπαλον V

10 cf. Mich. Chon., Or. 14 (p. 231, 7–8) **15–17** Plut., Mor. 102D et 501A **23–24** Eurip., Phoen. 527–528; cf. etiam Plut., Mor. 125D **51,4–5** cf. Iambl., Protr. 21 (p. 106, 21–23) **6** cf. Greg. Naz., Or. 43, 30, 11–12 (p. 192)

κατ' ἀνθρώπους εἰσὶ χρήματος, ἅπαντα αἱρεῖσθαι δέον ἐπικτωμένους, καὶ σπουδῇ πάσῃ χρῆσθαι· μὴ δὲ τούτου φειστέον ὡς ἔοικε· μηδ' ἀποκνητέον. καὶ εἴπερ ἄρα καθόλου νόσημα, ὁτιοῦν ὡς ἄν τις φαίη ἐπὶ παντὸς, ἀναγκαίᾳ τινὶ καὶ ἀπαραιτήτῳ, φύσεως ἕξει παρέλκει, κἀνταῦθα δὴ παρειλκύσθω τῆς τοσαύτης ἐπικερδείας ἕνεκα, παρεωραμένον· καὶ μηδὲν μᾶλλον διατοῦτο, τῆς ἐξ ἀρχῆς ἀποστατέον σπουδῆς· γεννικῶς τὸ σύμπαν ἐχομένους, ὥσπερ καὶ οἱ πολύχουν οἶμαι λήιον ἀμώμενοι, καὶ πολύσταχυ συνεπαμῶνται πάντως, καὶ τἀν μέσῳ ἥν τινά που παραφύηται γῆς ἀκμαζούσης ὑβρίσματα καὶ λωβήματα. καὶ ὥσπερ ὅσοι τῶν ἐμπορευομένων ἐν πελάγεσι ναυτιῶσιν, ἅπανθ' ὁμοῦ σκάφη δυσχεραίνουσι, κἂν, εἰς ἀκάτιόν τις ἐμβάλῃ, ἀπαραίτητος ἡ νόσος· κἂν εἰς φορταγωγὸν μεγίστην, κἀνταῦθα ἕπεται· καὶ ταὐτὸ τοῦτο πάσχουσι· καὶ ναυτιῶσι πανταχῇ περιπλέοντες καὶ μικρὰ καὶ μείζω κατακτώμενοι κέρδη· ἀμείνους μέντ' ἂν, εἶεν, ὅμως πολὺ, κἂν εἰ ἐνταῦθα ναυτιᾶν ἀνάγκη πάντως, μεγίσταις ἑαυτοὺς ναυσὶ πιστεύοντες, καὶ διὰ τὰς πειρατικὰς | οἶμαι ἐφόδους· καὶ διὰ χειμῶνας ἅπαντας, f. 209v ἀντιπράττοντας καὶ πρὸς τὰ μέγιστα, μᾶλλον παραβαλλόμενοι κέρδη, παραπλησίως ἐμοὶ δοκεῖν ἔχουσι· καὶ οἵτινες ἀντὶ πάντων τῶν ἄλλων, μᾶλλον ἐν λόγοις καὶ τοῖς ἀπὸ τῆς παιδείας, ἄρα θησαυροῖς ἥδεσθαί τε καὶ πάσχειν, ὅστις οὕτω βούλεται καλεῖν, εἵλοντο.

52. Ἀλλὰ ταῦτα μὲν ἴσως ἀνάγκῃ τινὶ μᾶλλον, καὶ δρόμῳ λόγου παρήχθη, νῦν εἶναι. ἐπ' ἀληθείας δὲ αὐτῆς ἐξετάζοντι, τὸ μὲν τῆς παιδείας οἷόν ἐστι χρῆμα, καὶ εἴρηται μὲν ἤδη μετρίως, καὶ εἰρήσεται ὡς οἷόν τε ἑξῆς· καὶ τὰ πλείω γε ὡς ἀληθῶς παρήσομεν· οὐδ' ἐφιξόμεθα. ἡδονὴν δὲ ὡς ἔοικεν, οὐ πᾶσαν· οὐδὲ παντάπασιν ὀστρακιστέον· οὐδ' ἀποκηρυκτέον ἀνθρώπων· ἀλλὰ πλείστην μὲν ἴσως· τὴν δὲ, οὔ. ὅση μὲν γὰρ μόνη τοῦ σώματος ἄκρατός ἐστι καὶ ἀκόλαστος περὶ τὴν αὐτοῦ κολακείαν, καθόλου σπουδάζουσα, καὶ μηδὲν ὅ,τι πλέον, προσαναματτομένης τὰς

51,15 λήιον V^1 in marg.: γήδιον V **20** ταὐτὸ V^2: αὐτὸ V **22** ναυτιᾶν scripsimus: ναυτίαν V **23** πιστεύοντες V e corr.

18–26 cf. Bas. Caes,, Epist. 2, 1, 12–18 (p. 5); Plut., Mor. 466BC; Metoch., Misc. 287–288 **52,5–7** cf. Plut., Mor., 158E

κηλῖδας διιούσας· καὶ τῆς ψυχῆς αὐτῆς ἀναγκαίᾳ τινὶ καὶ ἀτρέπτῳ τοῦ δεσμοῦ καὶ τῆς φύσεως ὁλκῇ καὶ παρόδῳ, ταύτην ὡς οἷόν τέ ἐστι παντὶ σθένει καὶ τρόπῳ χρῆναι φεύγειν, ὡς δυσμενῆ παντάπασιν, ὅση δὲ μόνης αὐτῆς ἐπὶ θάτερα ψυχῆς ἤρτηται, καὶ λογισμῷ τινὶ πάντως συνέζευκται, πρὸς δὴ ταύτην οὐκ ἀποδειλιατέον ὡς ἐπίβουλον· οὐδ' ἀποτρεπτέον. ἐπειδὴ γὰρ ἔνι τι προδήλως τῆς ἡμετέρας ψυχῆς ἄλογον καὶ παθητικὸν, τοῦ δὲ, μετὰ πρώτην εὐθὺς τὴν αἴσθησιν, ἡδονή τε καὶ τοὐναντίον μόριάττα καὶ τεμμάχι' ἐξῆπται, φύσεως ἀναγκαίως ἑπόμενα συνεχείᾳ· καὶ διαδράναι καὶ παραιτήσασθαι τὸ σύμπαν οὐκ ἔστι, χρηστέον μὲν ὡς ἔοικεν ἀνάγκῃ, χρηστέον δὲ ὅμως ᾗπερ ἄρα βέλτιον. τὸ δὲ, ἐστὶν οὐκ ἄλλως, ἢ λόγου παιδαγωγοῦ, μᾶλλον δὲ βασιλέως δεῖσθαι· καθιστῶντος, οὐκ ὀλλῦντος· καὶ οἰκονομοῦντος, οὐ καταστρεφομένου· καὶ χρωμένου, μὴ παρορῶντος. καὶ ἰατρὸς γὰρ ᾧ χρῆσθαι παρὸν ὅλως κατ' ἄλλην τινὰ οἰκονομίαν καὶ τέχνην, οὐ
f. 210 τέμνειν, καὶ τὸ δοκοῦν δυσχερὲς ὁπωσοῦν καθιστᾶν | ἄλλως ἢ κάειν, ἀμαθὴς ἂν, εἴη καὶ τέμνων ἔπειτα ἐνταῦθα καὶ κάων· ἐπεὶ κἀνταῦθα ἡ φύσις, οὐκ ὀλετῆρα τῶν οἰκείων αὐτῆς, ἀλλ' ἡγεμόνα τὸν νοῦν καὶ ἰατρὸν ἐπεστήσατο. καὶ γὰρ οὔτ' ἀχρεῖον τὸ γεγονὸς δὴ τοῦτο, καὶ παρεζευγμένον ἄλογον τῇ νοερᾷ τε καὶ λογικῇ μοίρᾳ, τῇ φύσει γέγονε (πόθεν; ἥ γε πάντα ἔλλογός τε καὶ ἐνεργός), οὔτε ἐφ' ᾧ καὶ ὀλέσθαι γέγονε (τοῦτο γὰρ ἔτί πω καὶ δεινότερον), ἀλλ' ἵνα ὡσανείπως ὑποζυγίῳ τὸ κρεῖττον χρῷτο· κατατιθασσεῦον εὖ μάλα καὶ ἡνιοχοῦν πρὸς ὑπηρεσίαν, ἥντινά οἱ δόξειε λυσιτελεῖν.

53. Καὶ τὰ μέν γε καὶ μείζονος ἴσως· καὶ ἄλλου λόγου, καὶ νῦν οὐ καιρὸς λέγειν. ὃ δ' οὖν ἐβουλόμην καὶ ὁ λόγος ἦν, ὡς ἔστι καὶ ἡδονῇ χρῆσθαι· πρὸς τὸ βέλτιον οἶμαι ἐσκευασμένοις· καὶ ἐπ' ἔργοις ὄντως ἀρίστοις, πάσης ἀπηλλαγμένῃ κακοηθείας καὶ βδελλυρίας· καὶ οὐ παντάπασι καταψηφιούμεθα ταύτης ξενηλασίαν, τῆς φύσεως. συμβέβηκε δὲ αὐτῇ μάλιστα ἐνταῦθα, σφόδρα τὲ εἶναι καλλίστῃ· καὶ πάνυ πλείστῃ. τῷ ὄντι γὰρ πολὺ τὸ ἐπαγω-

15–16 cf. Plut. Mor. 442A; Bas. Caes., Hom. in Att. tibi ipsi, 7, PG 31, 213C **19–20** cf. Max. Tyr., Or. 33, 46–47 (p. 266) **21** cf. Phil. Iud., De somn. 1, 191 (p. 228, 22) **27** cf. Plat. Leg. 631d et Plut., Mor. 451C **28** cf. Phil. Iud., De agr. 142 (p. 116, 25) **53,4–5** cf. Plut., Mor. 68C

γὸν αὐτὴν ἔχουσαν, καὶ μεγίστην ἰσχὺν εἰς τὴν φύσιν συνέζευξεν ὁ Θεὸς, ἐπὶ τοῖς ἀμείνοσι πράγμασι, πλείω ἑαυτῆς· ἢ κατὰ τὰ ἄλλα ἅπαντα· ὡς ἄν, ἀτρέπτως, μάλιστα ἔχοιντο οἱ σπουδάζοντες καὶ διὰ τὸ συγγενὲς τοῦτο, καὶ φίλον θέλγητρον. ὁρῶμεν δὲ τοῦτο μάλιστ' ἐπ' αὐτῆς ἀρετῆς· ὃ δὴ μόνον ὄντως καὶ πρῶτον καὶ μέγιστον ὂν κατ' ἀνθρώπους ἀγαθὸν, τὸ αὐτὸ καὶ ἥδιστόν ἐστι. καὶ σφόδρα οἱ μετιόντες ἐν ἡδονῇ τινι καὶ ῥᾳστώνῃ, πάντως ἀρρήτῳ καὶ κόρον οὐκ ἐχούσῃ, διαφέρουσι τὴν τοῦ βίου ταύτην πρόθεσιν· οὐκ οἶδ' ὡς εἴ τινες ἄλλοι· καὶ πρότερον ἤδη εἰρημένον οὐκ ἄλλως τις ἔχον εὑρήσει εἰ βούλοιτο τῶν ἀνδρῶν πυνθάνεσθαι· καὶ μάλιστα ἐφ' ἑαυτοῦ πεῖραν λαμβάνειν.

54. Τόν δ' αὐτὸν οἶμαι τρόπον ἔχει καὶ ἡ τοῦ νοεροῦ καθ' ἡμᾶς ἐργασία καὶ παρασκευὴ· καὶ τῶν λογισμῶν αὐτῶν ὑπὸ παιδείας· εὐρυ|θμία καὶ προκοπὴ, καὶ μάλιστα ὁπόθ' ὡς φιλεῖ ξυμβαίνειν, ἀρετῇ συνελθοῦσα πάντα τἆλλα κατὰ τὸν βίον, ἐν δευτέρῳ ποιησαμένη ἑαυτῇ ζῇ μόνῃ· καὶ τῇ τῶν ὄντων ἀσχόλῳ θεωρίᾳ· ὡς οὐδὲν τί ποτ' ἄλλο γένοιτ' ἄν, κατ' ἀνθρώπους ἥδιον, ὅταν τις ἑαυτοῦ γενόμενος ὅλος, καὶ τῆς ἐν ταῖς βίβλοις καὶ σοφίᾳ νεύσεως καὶ τρυφῆς καὶ συνουσίας καὶ συναγαγὼν ὡς οἷόν τέ ἐστι τῶν ἄλλων ἁπάντων εἰς ἀκλόνητον καὶ ἄσχετον καθάπαξ ἁπάντων· καὶ ἀνέκδημον· καὶ ἀμέριστον ἑδρασμὸν καὶ μονὴν ἐλευθέραν τὲ καὶ ἀτύρβαστον, ἔπειθ' οὕτω παντάπασιν ἄδετον καθάπερ ἐν μοναυλίᾳ, ὥσπερ ἀφ' ὑψηλῆς τινος σκοπιᾶς ἀπόλυτον ἐπόπτην ἀφήσῃ πρὸς ξύμπαντα τὸν κόσμον· καὶ τὴν ἄπλετον οὐσίαν, τὸν νοῦν· καὶ περισκοποῖτο, διαίρων ὁμαλῶς καὶ ἀλύπως τὼ ὀφθαλμὼ πάντα ἑξῆς· καταθεώμενος· τὰς ἀμυθήτους ἁρμονίας τῶν ὄντων· καὶ συμπλεκόμενος· καὶ μακαρίαν ὄντως καὶ θειοτάτην ἐπαφὴν ἐφαπτόμενος· μὴ κατορρωδῶν ἀμέλει· μὴ κατοκλάζων οἶμαι· μὴ κάμνων· μὴ ξυμπίπτων μὴ καθάπαξ πρὸς τὸν ἀπέραντον δίαυλον· ἀλλ' οἷόν τινα πομπὴν ἀκύμονά τε καὶ ἔμμουσον ταύτην καὶ f. 210v

53,17 ἔχον scripsimus: ἔχων V **54,7** τῆς V[1]: τοῖς V **10** μονὴν V[1]: μόνην V **13** ἀφήσῃ scripsimus: ἀφήσει V

12–13 cf. Iambl., Protr. 12 (p. 60, 4–6); Stob., Anth. 2, 31, 99 (p. 219, 1–2) **54,12–16** Phil. Iud., De spec. leg 3, 2 (p. 129, 15–17) **14** cf. Max. Tyr., Or. 10, 58 (p. 79)

πορείαν ἐκδημῶν ἀείποτε· ἀνήνυτον μὲν, ἄπονον δὲ· καὶ ἀόριστον μὲν, ἡδίστην δὲ, καὶ μετὰ γαλήνης τῶν ἔξωθεν, καθάπερ ἐν ἀστασιάστῳ τινὶ, καὶ ἠρεμαίῳ πελάγει τῇ τοῦ κόσμου παντὸς οὐσίᾳ κουφίσας τῶν ἄλλων ἁπάντων καὶ τὰ τῆς θεωρίας ἀναπετάσας λαίφη, τὸ τῆς διανοίας σκάφος ἐφίησι, περιπλέων πάνθ' ἕκαστα, καὶ ἐπιξενούμενος καὶ κατατρυφῶν, ἅττα ἂν, δοκῇ καὶ ἃ βέλτιστα· καὶ τὰς ἀμυθήτους τῶν ὄντων ἀσπαζόμενος καλλονάς· κἄπειθ' οὕτω καθ' αἵρεσιν πᾶσαν, ἐν ἑαυτοῦ κάλλιστος ἀπὸ καλλίστων φασὶν, ἐπανιὼν οἴκαδε, ζητῇ καὶ σκέπτηται· κἀν τῷ ἑαυτοῦ συνεδρίῳ, καὶ βουλευτηρίῳ τῆς διανοίας γιγνόμενος, τἀληθὲς ἐν
f. 211 αὐτοῖς ἰχνηλατῇ· καὶ ἀνορύττῃ | καὶ τὸν ἐφ' ἑκάστοις σύγκρατον νοῦν τε καὶ λόγον ἀναλαμβάνων τελευτῶν ἄρα καταπλήττηται, καὶ θαυμάζῃ τὸν εὑρετὴν καὶ τεχνίτην, ἐν ὄντως ἀρρήτῳ τῇ συναισθήσει· ἄρρητον αὐτίκα αὐτόθεν γλυκυθυμίαν ἀποφερόμενος.

55. Αἴ αἴ· τί τούτου γένοιτ' ἂν, ἥδιον, ὄντως ἀνδρὶ τῶν ἁπάντων ἄλλο, ᾧ μὴ παντάπασι κατεκιβδηλεύθη καὶ κατενόσησεν ἡ ψυχή· μὴ δὲ συμπλακεῖσα τοῖς τοῦ κόσμου τοῦδε λήροις· καὶ μολύσμασι, κηλῖδας τινὰς, ἔστιν ὑφ' ὧν δευσοποιοὺς καὶ μύση κακῶς προσανεμάξατο· καὶ καταγοητευθεῖσα τὲ καὶ καταπεδηθεῖσα, ἔστιν οἷστισι συνέφυ καὶ προσέσχεν ἄτρεπτος· ἀλλ' ἀνεπιστρόφῳ παντάπασι καὶ ἀτρεμιζούσῃ διανοίᾳ τὲ καὶ κινήσει τοῖς τῆς σοφίας πτεροῖς αἰθεροδρομεῖ καὶ δίεισι πάντων· ἀεὶ κατὰ τὴν παροιμίαν βάλλουσα, ἐς μακαρίαν καὶ τρυφὴν οἵαν ἀκύμονα· καὶ μὴ σεσοβημένην· μὴ δὲ φορτικῶς ἄρα κατέχουσαν μὴ δ' ἐπικτωμένην ἀλλ' ἐλευθέραν ὄντως, καὶ λογικῇ φύσει πρέπουσαν· καὶ διιοῦσαν ἵλεων καὶ περιλαμβάνουσαν τὴν τοῦ νοῦ χώραν καὶ τὴν

20 πορείαν V^2: χορείαν V | ἀνήνυτον scripsimus: ἀνύνητον V **21** ἡδίστην V^2 in ras. | γαλήνης V^2 in ras. **28** φασὶν V^2: φασὶ V **30** ἰχνηλατῇ V^1: ἰχνηλατεῖ V **32** θαυμάζῃ V^1: θαυμάζει V **55,2** ἄλλο V^2: ἄλλων V **5–6** καταπεδηθεῖσα V^2: καταπεδηθεὶς V

21–25 cf. Plut., Mor. 563F **22–23** cf. Max. Tyr., Or. 37, 188 (p. 303) **27–28** cf. Or. 7, 7, 19–20 **28–55,1** Phil. Iud., De vita contempl. 27 (p. 37, 14–17) **30–31** Id., De spec. leg. 3, 1 (p. 129, 8) **55,3–5** cf. Philostr., Vita Apollon. 3, 42 (p. 117, 11–12) **4** cf. Plut., Mor. 488B **7–8** cf. Phil. Iud., De spec. leg. 3, 5 (p. 130, 8–9)

λογικὴν ἅπασαν συμφυΐαν καὶ ἁρμονίαν· ἀύλῳ τὲ καὶ ἀλύπῳ σοφίας πνεύματι;

56. Ἀλλ' ἐμοῦ τις ἄν, ἴσως θαυμάσαι, τί δήποτε τοσοῦτο προειπὼν ἄρα καὶ προθέμενος· ὡς οὐ πάντα ἐκ πάντων ἐπαινέσομαι παιδείαν ὡς οἱ πολλοὶ τῶν σπουδαζόντων τὸ χρῆμα πάνθ' ὅσ' ἄν, οἷοί τε γένοιντο, κατεπείγονται καὶ ἀποσεμνύνουσιν, ἔπειθ' οὕτως ἔλαθον ἐμαυτὸν, αὐτίκα διὰ πάντων ὡς ἔπος κλεΐζων καὶ ἀνατιθεὶς αὐτῇ τὰ δοκοῦντα κάλλιστα· ἀφ' ἑστίας ὡς ἄν τῳ δόξαι τἀναντία δρῶν καὶ περιπίπτων ἐμαυτῷ. μάλιστα μὲν οὖν ἔγωγε τοῦτο δηλαδὴ μόνον, προύλεγόν τε καὶ προυνοούμην, ὡς ἐπ' ἀληθείας ἁπάσης, εἰρήσονται οἱ λόγοι· καὶ οὐδὲν ἄρα φορτικὸν, οὐδ' ἐπαχθὲς, οὐδ' ἐπαινεῖν πλέον ἢ ἔδει, ἐσκεύασμαι περὶ σοφίας· καθάπερ ἅπαντες εἰς τὰ παιδικὰ | νομίζουσιν. ἐπαινεῖν δὲ οὐ f. 211v παντάπασιν ἔγωγε ἀπεῖπον· οὐδ' ἃ πρόσεστιν οἶμαι τῷ πράγματι, καὶ προφέρειν ἀληθῶς ἔξεστι παρρησίᾳ, μὴ οὐ προφέρειν· εἴπερ ἄν, οἷός τ' εἴην· οὐδὲ τοῦτ' ἦν ἡ ἀπόρρησις ἀδικῆσαι τἀληθῆ, καὶ φαῦλα δόξαι τὲ καὶ ἐρεῖν τὰ βέλτιστα· ἐπεὶ καὶ ἄλλως χάριεν ἂν ἦν ἴσως ὦ φιλότης, εἴ γε βουλόμενός σε προτρέπειν καὶ παρακαλεῖν ἐπὶ παιδείαν, καὶ τὴν τῶν λόγων ἐπιμέλειαν ἔπειθ' ἑωρώμην, λοιδορούμενος αὐτὸς εἰς τὸ πρᾶγμα, καὶ ᾑρημένος ἅττα ἂν δυναίμην κακῶς ἐρεῖν. καὶ τοῦτ' ἦν ὡς ἀληθῶς ἄν, ἀφ' ἑστίας ἐμαυτῷ περιπίπτειν καὶ γελοίως ἔχειν· ὅστις ἄν, ἔπειτα ὁρῴη. ἔπειθ' ὅτι μάλισθ' οἷς ἄρα προεῖπον· παρέμεινα καὶ τετήρηκα σαφῶς τὴν τάξιν, ὅστις ὀρθῶς οἶμαι ζητεῖ, καὶ πρότερον μὲν ἤδη γεγονός τε εὑρήσει τοῦτο, καὶ εἰρημένον· οὐ μὴν ἀλλὰ καὶ νῦν αὖθις ἐροῦμεν.

57. Εἰσὶ μὲν οὖν οἵ φασιν ἀθάνατον μόνον ὑπὸ παιδείας γίνεσθαι τὸν σπουδαῖον. λείπεται γὰρ τἀνδρὶ φασὶ μνήμη πολυμήκης ἑξῆς καὶ κλέος, ἀείζῳον, ὑφ' ὧν ἔλιπε λόγων. τοῦτό γε μὴν οὐ τοῦ σοφοῦ μόνον ἔοικεν εἶναι· ἀλλ' ἀμέλει καὶ ἄλλων ἐπ' ἄλλοις· καὶ μικροῖς τε καὶ μείζοσι· καὶ Φειδίου· καὶ Πολυγνώτου·

56,14 οἷος τ' V[1] in ras. **57,1** οὖν add. V[2] s.l. **3** γε add. V[2] s.l. **4** μὴν V[1]: μὲν V

56,6 CPG II, 321, 5 **19** cf. Plut., Mor. 93E **57,2–3** cf. Plat., Symp. 209d

καὶ καθ’ ἡμᾶς Εὐλαλίου, Ζευξίππου τὲ καὶ Λυσίππου, εἶθ’ οὗτινος βούλει. οἳ δόκιμοι γεγόνασιν, ἐν τέχναις αἷστισιν ἄρα· καὶ ὧν ἔργα χειρῶν παραμένειν ἔχει. καὶ τὸν μὲν, οἱ λόγοι· τοὺς δὲ, γραφαὶ καὶ ἀγάλματα· τούς δ’ ἄλλα μηχανήματα· τοὺς δὲ, οἰκοδομαί τινες καὶ νεώρια· τούς δ’ ἄλλο τί ποτ’ ἄλλους παραπέμπουσι καὶ διδάσκουσι, τὸν ὅμοιον τρόπον, ὥς φασιν οὐ θνήσκοντας. εἰ δ’ ἐρεῖ τις ἴσως ὡς ἄρ’ ἀλλ’ ἐκεῖνο μάλιστα ὀνησιμώτερον καὶ βιωφελέστατον, ἄλλος ἂν εἴη λόγος. βιωφελέστατον μὲν γὰρ ὡς ἔστι καὶ ζῶντι καὶ τελευτῶντι τὸν αἰῶνα τοῦ βίου τῷ σοφῷ τοὖργον· καὶ τὸ σπούδασμα, ὅ,τί ποτε προήνεγκεν, ἢ τὰ τῶν
f. 212 ἄλλων, ἔγωγε λέγω καὶ | οὐκ ἂν, οἶμαί τις νοῦν ὅλως, ἔχων, ἄλλως ἐρεῖ. ὅτι δ’ οὐδὲν μᾶλλον αὐτῷ διὰ τὴν ἀνάγκην τῆς μνήμης· ἢ τοῖς ἄλλοις τὰ σφέτερα αὐτῶν πολυζωΐας αἴτιον· ὡς ἄρα τινὲς βούλονται, τοῦτο πανάληθες τέ ἐστι· καὶ τοῦτο ἦν ὁ λόγος. ἐζητοῦμεν γὰρ νῦν εἶναι, οὐχ ὅ,τι πέρ ἐστι κρεῖττον καὶ λυσιτελέστατον, κατὰ τὸν βίον ἀνθρώποις ἀφ’ ὧν ἕκαστοι σπουδάζουσι πραγμάτων, ἀλλ’ εἰ μόνον οἶμαι οἱ λόγοι τὸν δημιουργὸν, ἔπειτ’ ἀθανάτῳ μνήμῃ παραπέμπουσι· καὶ οὐ συγχωροῦσι κεῖσθαι· καὶ καθεωρῶμεν ὡς οὐδὲν ἧττον, οὐκ ἐπιλήστους· οὐδὲ θνητοὺς, διὰ τὴν μνήμην ταύτην, οὐδὲ τἆλλα τοὺς ἄλλους πατέρας ὧν εἴσιν, ἐῶσι. καίτοι χωρὶς τούτων, τί τοῦτ’ ἂν, εἴη τὸ σεμνὸν· ἢ τί ποτ’ εἰσὶν οἱ λόγοι, τῷ σπουδαίῳ μένοντες· ἢ τίς ὄνησις τἀνδρὶ τῶν λόγων οὓς ἔλιπε, σπουδαζομένων τὲ καὶ τιμωμένων· ἢ τί πλέον ἐντεῦθεν αὐτῷ ἥδεσθαι καὶ ἀπολαύειν· ἢ καὶ ἄλλοις οἷστισιν ἄρα μετ’ αὐτοῦ κειμένοις· ἐπ’ ἀγροικίας καὶ βαναυσώδους τινὸς βίου, τὸ ζῆν ἐξανύσασιν;

58. Ἀλλὰ ταῦτα μᾶλλον, ὡς ἔοικεν, ἐραστῶν εἰσὶν οἱ λόγοι· πάντ’ οἰομένων τῷ πάσχειν χαρίζεσθαι δεῖν· οἷς σπουδάζουσιν. οἷς συγγνωσόμεθα μὲν ἴσως· οὐ πεισόμεθα δὲ σωφρονοῦντες αὐτοὶ· ἐπεὶ καὶ Πλάτωνι· καὶ εἴ τινι ποτ’ ἄλλῳ τῶν παλαιῶν ἐκείνων ἀνδρῶν καὶ πανσόφων περὶ φιλοσοφίας μάλιστα ἠγώνισται ὡς μόνον ἐν πολιτικοῖς αὔταρκες πράγμασι, καὶ τἆλλ’ οὐδὲν ἐνταῦθ’

15 ἢ V^1: οἱ V **27** ὤνησις V a. corr. **29** αὐτῷ V^2 e corr. **30** αὐτοῦ V^2 e corr. **58,1** οἱ add. V^1 in marg. **2** τῷ V a. corr., servavimus: τὸ V p. corr.

58,6 cf. Plat., Resp. 387d

ἅπαντα τοῦδε χωρὶς, καὶ μόνον ἐφάμιλλόν ἐστι βασιλείᾳ πρὸς ὄντως οἰκονομίαν· ἡρμοσμένην ἀνθρώπων, καὶ διὰ μόνου τούτου συνελόντ' ἐρεῖν, ἅπαντ' ἂν, ὀρθοῖντο τοῦ βίου πράγματα· καὶ καλῶς ἄγοιντο παρόντος τὲ καὶ ἐπιστατοῦντος, ἀπόντος δ' οὐκέτ' οὐδ' ὁτιοῦν· ἀλλ' ἅπαν τοὐναντίον· καὶ λῆρος· καὶ ἀηδία· καὶ οὐδὲν ὑγιές, οὐ πεισόμεθα μὲν πάντως ἐπιχειροῦντι καὶ βουλομένῳ, κἂν ὅτι πλεῖστον βιάζηται· διαλεκτικαῖς ἀνάγκαις | τισὶ f. 212v καὶ δεσμοῖς· γνωσόμεθα δὲ ὅμως καὶ συγγνωσόμεθα, διὰ φιλαυτίαν οὕτως ἐπειγομένῳ σφόδρα· καὶ οἷς διαπαντὸς ἐσχόλασε τοῦ βίου συνηγοροῦντι· ὡς ἂν ἀμέλει δοκοίη τὰ βέλτιστα· καὶ τῶν ἄλλων ἀμείνω πάντων ἐξελέσθαι· καὶ μή τις οἶμαι νεμεσῆσαι καταγνοὺς, ἀργίαν τἀνδρὸς· καὶ βίου· καὶ πολιτείας πάσης, διὰ τὴν αἵρεσιν ταύτην ἀπραξίαν. πρὸς γὰρ ταύτην, ὡς ἔοικεν ἄρα τὴν ἀνάγκην, φιλονεικεῖν ᾤετο χρῆναι· καὶ ἀποδεικνῦναι πάνθ' ὁμοῦ πράγματά οἱ, προσόντα διὰ φιλοσοφίαν· καὶ οὐδὲν μὴ εἶναι πρὸς ὃ μὴ παρεσκευάσθαι· μὴ δ' ἔχειν δύναμιν ταύτην· μὴ τυγχάνουσαν δὲ τῶν πραγμάτων δι' ἀπειρίαν αὐτὴν, τῶν πολλῶν φευγόντων καὶ ἄγνοιαν καὶ δυσβάστακτον ἐπιστασίας, ὀρθῆς ὄγκον, ἀποστρέφεσθαι καὶ ἰδιοπραγεῖν· μυσαροῖς καὶ τετυφωμένοις ἔθεσιν, ἀξιοῦσαν μὴ συμφύρεσθαι.

59. Ἀλλὰ ταῦτα μέν ἐστιν ὡς ἔφαμεν, λόγοι μόνον· μὴ δεδοκιμασμένοι· μὴ δὲ πεῖραν ἐν τοῖς πράγμασι δόντες· καὶ κάλλιστα μὲν εἴρηνται καὶ πάνυ τοι σεμνῶς, φύσιν δ' ὅμως οὐκ ἔχει τινὰ τελευτῆσαι τὲ καὶ πραχθῆναι· ἐπεὶ εἴ πως ἄρα ἐνῆν, ἀδύνατον ἂν ἦν, ὥς γέ μοι δοκῶ μὴ καὶ καιροῦ τυχεῖν τινὸς, εἰς φορὰν ὅλως· καὶ διὰ τῶν πραγμάτων ἐπίδειξίν τινα εὑρεῖν, καὶ πάροδον εἰς τοσοῦτον ἤδη παρελθόντα τὸν χρόνον. ἐπεὶ δὲ λοιπὸν οὔτέ πω καὶ νῦν γέγονεν, οὔτε μήποτε γενήσεται (δῆλον γὰρ ἀναμετρουμένοις· καθόλου τἀνθρώπινα), ἡ διὰ τὴν τούτων ἀτυχίαν τῶν πραγμάτων καθάπαξ, ἀποχώρησις ἥν τις τοῦτ' ἀξιοῖ, κατάλυσίς τις ἔοικε τῷ ὄντι εἶναι, τοῦ μεγίστου τὲ καὶ καλλίστου μέρους φιλοσοφίας, τοῦ πολιτικοῦ. ἐφιεμένῳ γὰρ πραγμάτων ἀνηνύτων· καὶ μὴ ἄλλως συμπλεκομένῳ, λείπεται παντελὴς ἀπραξία. καίτοι μάλιστα ἔγωγε ᾤμην καὶ νῦν οἴομαι, πολιτικὴν ἐφίεσθαι μὲν τῶν εἰκότων·

7 cf. Phil. Iud., De somn. 2, 244 (p. 281, 5–6) **9–11** cf. Plat., Resp. 501e
59,7–8 Plat., Resp. 473d; Id., Epist. VII, 326b **13–20** Metoch., Misc. 169

f. 213 καὶ σφόδρα | ἐπὶ μεγίστων τὲ καὶ καλλίστων ἐξεῖναι δείκνυσθαι καὶ κατορθοῦν· οὐ μὴν ἀλλὰ μὴ τυγχάνουσαν οἶμαι, ὡς ἄρα ἔξεστι πράττειν, τοῖς παροῦσι χρῆσθαι· καὶ παρεσκευάσθαι πρὸς ἅπασαν χώραν· καὶ οἵαν τ' εἶναι πρὸς ἅπασαν ὕλην· ὥσπερ ἄρα καὶ κυβερνητικὴν ὁρῶμεν, οὐκ ἐν εὐφορίᾳ πνευμάτων ἐνεργὸν μόνον, ἀλλὰ καὶ πρὸς ἅπασαν ὥραν καὶ τύχην οὐκ ἐρρᾳστωνευμένην οὐδ' ἀτόλμητον. πολλάκις δὲ αὐτὸς εἴκασα, κατασκοπούμενος ἐν ἐμαυτῷ τὴν πολιτικὴν ταύτην ἀρετήν· καὶ ὅση ψυχῆς κατόρθωσις, εὐφημίᾳ μὲν ἁπάσῃ πάντων τιμώντων· καὶ λόγοις μὲν ἐντελῶς ἀποδεδειγμένην τὲ καὶ ἀνευρημένην· οὐδέπω δὲ ὡς ἀληθῶς καὶ τήμερον, παντάπασιν ἔν τισιν ἐγνωσμένην, μὴ δ' ὅντινα ἄρα τῶν ἐξαρχῆς· ἄνθρωπον παντελῆ κατειργασμένον, ταύτην καὶ κτησάμενον καὶ κατηνυκότα πάντων τῶν ἑαυτῆς ἀμείωτον· καὶ εἰ μάλιστα ξυνεώρακε καὶ καταμεμέτρηκεν ἐξειπὼν εἰς ἀκρίβειαν, παραπλησίως ἔχειν, ὥσπερ ἄρα καὶ περὶ τὸ σωματικὸν τοῦτο κάλλος τόδε, συμβαῖνον ὁρῶμεν. ὃ ζωγραφοῦσι μὲν καὶ καταρρυθμίζουσιν ἐντελῶς οἱ λόγοι· κτήσασθαι δὲ, ἢ τοιοῦτο κατιδεῖν ἔν τινι, οὐχ οἷός τ' ἄρ' οὐδεὶς γέγονεν· οὔτ' ἔγνωμεν ἀλώβητον, ὁτῳοῦν παρόν. ἔστι δὲ ὅμως κάλλος ἐν ἀνθρώποις καὶ πλεῖστον, εἰ καὶ μὴ πλῆρες καὶ πλεῖον ἄλλο ἄλλου. καὶ πολιτική τις οἶμαι ἀρετὴ, πάντως ἔστι καὶ νοῦ καὶ ψυχῆς εὐδοκίμησις, εἰ καὶ μὴ παντέλεια· καὶ ὡς ἄρ' οὐδεὶς παντάπασι μὴ νεμεσῆσαι· ξυμβαίνειν δὲ ταῦτα, οὐ διά τινα ἀναγκαίαν καὶ φυσικὴν, ἀνυπαρξίαν, ὡς ἤδη τινὲς ἐνόμισαν τἀγαθοῦ· ἀλλὰ διὰ τὸ τῆς ὕλης ἐμοὶ δοκεῖν, περὶ ἣν ἀνάγκην ἔχει ἀρετή τε πᾶσα καὶ πρᾶξις, καθορᾶσθαι, δυσάγωγόν τε καὶ πολύνοσον· καὶ πάντως πρὸς ἡντιναοῦν τῆς συμμετρίας ἁμαρτίαν εὔτροπον.

f. 213v **60.** Τοιγαροῦν οὔτε κυβερνητικὴν οὔτε στρατηγικὴν, | οὔτ' ἰατρικὴν· οὔτ' ἄλλην ἅπασαν· ἢ τέχνην· ἤ τινὰ ἄσκησιν καὶ ἐμπειρίαν, εὑρήσει τίς ἐντελῆ· καὶ πρὸς τὰ σφέτερα αὐτῆς καθάπαξ καὶ

59,23 ἐντελῶς V[2] in ras. **30** κάλλος V[1]: κάλλως V **36** νεμεσῆσαι V a. corr. **39** δυσπαράγωγόν V a corr.

16–18 μὴν … καὶ[1] Ibid. 533 **24–25** cf. Plat., Resp. 498e **28–34** cf. Max. Tyr., Or. 17, 81–86 (p. 147); Metoch., Misc. 534–535 **37–38** cf. Sext. Empir., Adv. mathem. 11, 185, 4 **60,1–16** cf. Greg. Naz., Or. 43, 60, 1–3 (p. 254); Plut., Mor. 40B

ἐπὶ πάντων εὔδρομον· ἀλλὰ δι' ἣν εἴρηται νῦν ἀνάγκην, ἐλλείπει καὶ πάντως ἔστιν ἐφ' οἷς ἥττηται· καὶ βουλομένοις ἐπιτιμᾶν τε καὶ καταμέμφεσθαι χώρα λοιπὸν ἐξέσται· καὶ οὐκ ἄν, ἔπαινός τις, ἄκρατος εἴη καταπαντὸς ἀνδρός τε καὶ τεχνίτου καὶ πράγματος. ἀλλ' οἱ μὲν ἄρα χρηστοὶ πάντα ἐπαινοῦσι· καὶ πρὸς οὐδέν εἰσιν ἐπαχθεῖς· οὐδὲ βασκαίνουσιν· οὐδ' ἐπιτιμῶσι φιλανθρωπίᾳ τινὶ καὶ φύσεως εὐκολίᾳ, μήτε βουλόμενοι· μήτε περινοοῦντες, ἀηδές τι καὶ φλαῦρον· οἱ δ' ἀκριβέστεροι τῶν ἀνθρώπων καὶ σώφρονες, ἄγανται μὲν καὶ καταμεμετρήκασιν, ἣν ἄρα τὰ πλείω τῆς κρείττονος, καὶ ἀνεπιτιμήτου μοίρας καὶ ἀρετῇ καὶ λόγῳ κεκόσμηταί τῳ προσόντα· πάντα δ' οὐ ζητοῦσιν οὐδ' οἴονται μὴν ἐξεῖναι, κατανενοήκασι δὲ ὅμως καὶ μετρίως ἔχουσι καὶ ξυγκεχωρήκασιν, ἣν ἄρα καὶ θατέρου μέρους τῆς ἐναντίας ἰδέας, ὥσπερ ἀναγκαῖόν τι μοιρίδιον κρᾶμα καὶ ἀπαραίτητον, φύσεως ἐνδείᾳ λώβημα συμβέβηκεν εἱλκῦσθαι· μὴ πάνυ δέ τοι πλεῖστον ᾖ, μὴ δὲ μάλιστα ἰσχύον.

61. Οἱ δὲ πολλοὶ τῶν ἀνθρώπων καὶ σφόδρα εἰσὶν αὐθάδεις καὶ τολμηροὶ· καὶ κακοπράγμονες· καὶ ἐπαχθεῖς· καὶ κακοήθεις· τῶν ἀλλοτρίων κριταὶ· καὶ πρὸς πάνθ' ὁμοῦ πράγματα καὶ ἀνθρώπους, δυσνούστατοι καὶ κακόφρονες· καὶ πάνυ τοι χαίρουσιν, ἀηδῶς ἅπαντα πραττόμενα, καὶ ἅπαντα ἀηδῶς ἀκούοντα· καὶ λέγουσιν οὕτως αὐτοὶ μάλιστα· καὶ καταμέμφονται, ὡς ἡδύτατα σφίσιν. ἁπάντων δὲ, μόνα τὰ κακῶς ἔχοντα ζητοῦντες καὶ λελωβημένα, ἀείποτ' ἀφθονίαν ἔχουσι βλασφημεῖν· καὶ πάντως οὐδέποτ' εἰσὶν ἐνδεεῖς ὧν ἐρῶσι· καὶ οὐδένας λοιπὸν ἐῶσιν, οὔτ' ἀνθρώπους οὔτ' οὐδὲν ἐπιτήδευμα, τωθασμοῦ καὶ χλεύης τινὸς καὶ καταδρομῆς κρείττω· | ἀλλ' ἅπαντα μὲν ἀεὶ βούλονται σφόδρα· f. 214 καὶ ξυννοοῦσιν εἶναι φαῦλα· λέγουσι δὲ ὅμως κακῶς, καὶ πλεῖν ἢ νοοῦσι τὲ καὶ βούλονται· πράττοντες ὡς ἔοικεν ἕκαστος, τὰ σφέτερα αὐτῶν κρείττω δοκεῖν· καὶ σφίσι λοιπὸν ὡς βελτίστοις προσέχειν· ἢ μάλιστ' οἶμαι πρὸς τὰ οἰκεῖ' ἀτυχήματα, τοῦ καλοῦ καὶ ἁμαρτίας ξυνηγοροῦντες ἑαυτοῖς· ὡς ἁπάντων παραπλήσι' ἐχόντων τὲ καὶ πασχόντων· καὶ οὐδὲν ἐν ἀνθρώποις ὅλως ἀνεπιτί-

60,9 τινὶ V e corr. **17** κρᾶμα V[2] e corr **18** εἱλκῦσθαι V[2]: εἱλκύσθαι V

17 cf. Procl., In Plat. Tim. (II, p. 236, 1)

μητον. καὶ καθάπερ αἱ μεμψίμοιροι φύσει καὶ βάσκανοι γυναῖκες, ἀείποτ' ἀλλήλαις ἐντυγχάνουσαι καὶ συγγινόμεναι, σφόδρα ἔπειτ' ὄπισθεν αἰτιῶνται· καὶ κατηγοροῦσιν ἄλλη ἄλλης· τὰ καὶ τὰ φασί, κατὰ τοῦ προσώπου· τὰ καὶ τὰ πρὸς τὴν ξύμπασαν τοῦ σώματος ἄρα φυήν· καὶ πάντως ὁτιοῦν λαμβάνουσι καὶ διαλοιδοροῦνται· αἱ πλείους ἐμοὶ δοκεῖν πάνυ τοι αἰσχίους οὖσαι· ὡς ἀληθῶς σπουδάζουσαι, μή τι δοκεῖν ἀστεῖον ὅλως εἶναι, καὶ χάριν ἡντινοῦν καὶ ὥραν ἀνεμέσητον, τὸν αὐτὸν οἶμαι τρόπον οἱ πλείους τῶν ἀνθρώπων πρὸς τἀλλότρια βλέπουσιν ὀξὺ φαῦλα καὶ σφόδρα περινοοῦντες καταιτιῶνται καὶ προφέρουσιν ἡδέως, ὡς ἂν ἄρα μὴ δοκοῖεν αὐτοί, κακῇ μόνῃ μοίρᾳ συνόντες· ἀλλ' ἀμέλει πάντες ὁμοῦ, καὶ μηδαμῶς ὂν ἐν τῇ φύσει, τὸ τοῦ καλοῦ πλῆρες· ἀλλά τινα πλάνην οὖσαν τὴν εὐφημίαν καὶ ζήτησιν τἀγαθοῦ· καὶ σύνθημα ἀνθρώπων· καὶ λόγον ἄλλως.

62. Τοιγαροῦν ἅπαντα καταμέμφονται καὶ περιτρέπουσι· καὶ οὐδὲν ὅ,τι σφίσι παρεῖται, μὴ οὐ κακῶς λέγειν χρῆναι. καὶ μάλιστα κατεπείγονται τοῦθ' οἱ φαῦλοι· καὶ δρῶσιν ἐπὶ τοὺς σπουδαίους· καὶ νομίζουσιν ἅπαντα λῆρον εἶναι, καὶ οὐδὲν ἱερόν· ἥν τινά που ἴσως κατασκέψωνται τύχης ἀωρίαν· καὶ νόσημα ξυμβὰν ἀνάγκῃ τινὶ δυσκόλῳ, σφόδρα ἀντιλαμβανόμενοι καὶ ἐπιτιμῶντες, οἱ δειλοὶ κατὰ τῶν ἀνδρείων· οἱ μικρολόγοι, κατὰ f. 214v τῶν ἐλευθέρων· οἱ ἀκόλαστοι, κατὰ τῶν σωφρόνων· οἱ | πάντα ἀπαίδευτοι κατὰ τῶν πεπαιδευμένων· οἱ συκοφάνται, κατὰ τῶν ἀστείων καὶ εὐγενῶν. καὶ τοίνυν ὡς ἤδη νῦν εἴρηται, εἰς ἅπαντα ἔπεισιν ἀναιδῶς, καὶ τὰ κάλλιστα ἡ βασκανία· καὶ κακοήθως παντὶ σθένει, δεῖν οἴεται μάλιστα ἐπιτίθεσθαι καὶ κατελέγχειν· καὶ οἷος τέ ἐστιν ἕκαστος ἄρα, τῶν πολλῶν τε καὶ πάνυ φαύλων, τὰς τῶν ἀγαθῶν ἀνδρῶν εὐφημίας περιτρέπειν· κἂν ὅτι μάλιστα ὦσιν ἀληθεῖς τε καὶ πρόδηλοι, λυμαινόμενος ὁπωσοῦν· καὶ πράττων μὴ παντάπασιν ὡς βελτίστοις· καὶ κατηνυκόσι προσέχειν τὸν νοῦν. οὐδ' ἔστιν ὡς ἀείποθ' ὁρῶμεν ἔπαινον ὁντιναοῦν ἀλώβητον

61,25 ἀνεμέσητον V² e corr **28** μόνῃ V: an μόνοι? **62,5** κατασκέψωνται V¹: καὶ σκέψωνται V **8** οἱ² V¹ in marg. | πάντα V¹: πᾶν V

61,29–31 cf. Plat., Gorg. 492c; Max. Tyr., Or. 26, 41–42 (p. 217) **62,4** CPG I, 288, 16 **16–19** Metoch., Misc. 204

εὑρεῖν· ἀλλ’ ἐκπολιορκεῖται καθάπαξ ἀσπόνδῳ πολέμῳ, καὶ πολυμηχάνῳ τὲ καὶ κακοσχόλῳ καὶ παμπληθεῖ στρατοπέδῳ, τῆς ἀρετῆς ἡ τιμὴ, πάντοθεν ἐκκρούοντι καὶ καταγνῦντι.

63. Ταῦτ’ ἄρα οὐδ’ ὁ περικλεΐστος ἀνὴρ ἐφ’ ὁτῳοῦν καὶ κατωρθωκὼς μάλιστα, καθόλου δύναιτ’ ἂν, περιγενέσθαι, καὶ παρελθεῖν ἅπασαν ἐπίβουλον· καὶ βούλησιν καὶ γλῶτταν κακουργοῦσαν· καὶ ὁ πλείστοις πάνυ τοι πολλοῦ τινος ἄξιος εἶναι δοκῶν, ἀρετῆς δή τινος χάριν καὶ δοκίμου τέλους· καὶ πλείστοις ὅσοις ὁσημέραι περιαντλούμενος τοῖς ἐπαίνοις, ἔστιν ὅμως ὑφ’ ὧν ἀκούει κακῶς· καί τινες ἔδοξαν ἄρ’ ἐνίοτε καταδραμεῖν εὐκαίρως τἀνδρὸς· καὶ παντάπασιν, οὐκ ἀπέτυχε χώρας ἡ βλασφημία, οὔθ’ ἡδονῆς τινος ἀκουόντων. καὶ ὃν λογιζόμενοί τινες καὶ καταμετροῦντες· ἄγανται καὶ προφέρουσιν εἰκόνα καὶ τιμὴν φύσεως, ἕτεροι καταμέμφονται· καὶ προβέβληνται· καὶ κηρύττουσι καὶ ἀπελέγχουσιν εὖ μάλα τἀληθὲς ἀδικεῖσθαι· καὶ τὰ μὴ ὄντα δοκεῖν τε καὶ θαυμάζεσθαι. καὶ μὴν ἔθ’ ὁ παντάπασιν ἀναιδής τις εἶναι δοκῶν· καὶ ἀνάρμοστος· καὶ λελωβημένος ἀμέλει καὶ στιγματίας, οὐ συνηγόρων καθάπαξ· οὐδὲ χρηστολογούντων ἀνδρῶν οὐκ ἀπέτυχεν· οὐδὲ κατακεκλήρωται, καὶ παρεῖται συγκεχωρημένος, παντελεῖ λοιπὸν κακῇ μοίρᾳ· | κατὰ τὴν Σικελικὴν παροιμίαν ἀπαίσιός f. 215 τις ἐν λατομίαις, οὐδ’ ἄρ’ Ἀθήνῃσιν ἐς τὸ Κυνόσαργες κατακεκλήρωται συντελεῖν.

64. Οὕτω πολλή τις ὡς ἔοικεν ἀπιστία τἀγαθοῦ περιχωρεῖ· καὶ οὔτ’ εἰ ἔστιν οὔθ’ ὅπέρ ἐστι κατ’ ἀνθρώπους, μάλιστ’ εὐπετῶς καὶ ῥᾳδίως ἔχομεν ὑποδεῖξαι· καὶ ὁρίσασθαι· ἀλλ’ ἄνω τὲ καὶ κάτω καὶ πάντῃ πάντα, περιτρέπεται. καὶ περὶ τῶν αὐτῶν ἀνδρῶν, ἐν ταῖς αὐταῖς σχεδὸν πράξεσι τἀναντιώτατα, μάλιστ’ ἀείποτε δοκοῦμεν τὲ καὶ ἀκούομεν· πολλοῖς μὲν ἐπαινουμένων· πολλοῖς δὲ βλασφημουμένων· καὶ νῦν μὲν ἀγαθῇ τετιμημένων

63,11 προβέβληνται V[2]: προβέβληται V **16** παντελεῖ V[2]: παντελῆ V

63,9–12 λογιζόμενοί … καὶ[1] Ibid. 450–451 **10** cf. Ael. Arist., Or. 13 (p. 319, 3) **17–18** CPG II, 382, 1 **18–64,1** Ibid. II, 381, 1 **64,1–5** cf. Phil. Iud., De ebr. 176–178 (p. 194, 4–25); Metoch., Misc. 196

δόξῃ· νῦν δὲ ἀπεστραμμένων ὡς παντάπασιν ἀνονήτων· καὶ οὐδὲν ἱερῶν. καὶ οὐδεμία παρ' ἀνθρώποις, οὐκ ἔστι περὶ ὁτουοῦν συμφωνία· οὐδὲ θέλησις· οὐδὲ κρίσις ἄρα κοινή· ἀλλ' ἃ τοῖσδ' ἀρέσκει καὶ πρόσκεινται καὶ προσέχουσιν εὖ μάλα, τοῖς δὲ, οὔ· καὶ ἃ τοῖσδε αὖθις ἥδιστα, πολλῷ μᾶλλον ἐκείνοις κατωλιγώρηται. καίτοι τί λέγω; ἃ νῦν νομίζομεν, ἔπειτ' ὀλίγον ὕστερον οὔ· οὔθ' ἡμῖν αὐτοῖς αὖθις ξυνδοκεῖ· καὶ ἀπανδάνει τὰ πρὶν κάλλιστα, καὶ παρεώραται· καὶ οὐδὲν εἰς τέλος ἡδύ· οὔθ' ὃ φέρειν, οὔτ' ἐπαινεῖν ἀείποτε δὴ, καὶ πάντ' ἔχομεν· ἀλλ' ἢ μεταβάλλομεν ἡμεῖς ἢ μεταβέβληται· καὶ ἢ τὰ μὲν, εὖ· τά δ' ὡς ἑτέρως ἔχει· ἢ τὰ μὲν, νοσοῦμεν ἡμεῖς· τά δ' ὑγιῶς τε καὶ ὀρθῶς, ξυνεωράμεθα. χαλεπαίνουσι δὲ πρὸς δούλους δεσπόται· καὶ ὅλως τοὺς ὑπὸ χεῖρα· καὶ κακῶς ἀεὶ λέγουσι καὶ μεμψιμοιροῦσι· καὶ οὐδὲν εἰσὶν ἡδεῖς οὐδ' εὔκολοι· καὶ μὴν ἔτι δοῦλοι πρὸς δεσπότας ἅπαντα κρύφα διαλοιδοροῦνται· κακουργοῦντες καὶ ὑπολογιζόμενοι· καὶ καταιτιῶνται πάνθ' ὁμοῦ γιγνόμενα πράγματα· τὰ μὲν, δικαίως ὡς ἔοικε· τὰ δὲ φυσικῇ βασκανίᾳ· καὶ ἄλλως ὥσπερ ἅπαντες ἄνθρωποι, τἀλλότρια καταμέμφονται, μὴ τῶν σφετέρων ἐπιστρεφόμενοι. καὶ τὰ μὲν τῶν ἄλλων ᾗ δὴ χεῖρον εἴρηται ἢ ἔχει ἢ ὅλως ὁπωσοῦν ἀκαίρως καὶ
f. 215v δυστυχῶς εἴργασται, ταχύτατα σφόδρα ξυνεῖδον τὲ | καὶ κατανενοήκασι· καὶ προσέσχον μάλα τὸν νοῦν καὶ κατέδραμον ὅλως, ἐπὶ γλώττῃ καὶ ἀκοῇ πάσῃ καταπομπεύοντες· καὶ βδελλυρῶς καταμωκώμενοι· τὰ δὲ σφέτερα αὐτῶν, οὐ ξυνορῶσιν· οὔθ' ὅλως καταλογίζονται καὶ ὑπονοοῦσι· καὶ δεδίασι παραπλήσι' ἴσως, ἢ καὶ χείρω· οὐδ' ἔτι πω ξυνιᾶσι, τίνες ἄν ποτ' εἶεν αὐτοὶ· ἢ τί ποτ' ἄρα καὶ δράσαιεν· ἢ ὅπως ἂν διαθεῖντο, ταὐτὰ βουκολοῦντες κατὰ τὴν παροιμίαν καὶ τῶν αὐτῶν ἡμμένοι· καὶ παραπλησίων ἔργων τὲ καὶ πραγμάτων· καὶ γενόμενοι λοιπὸν ἐργάται πράξεων αὐτοὶ· ὧν ἐπὶ τοὺς ἄλλους ᾐτιάσανθ' ὡς ἄν, μὴ καλῶς εἰργασμένων· μὴ δ' ἠνυσμένων. καὶ τὰ μὲν ξένα κομιδῇ βαρεῖς τε καὶ φορτικοὶ κρίνουσι, φαῦλα, καὶ παραφέρουσι καὶ προφέρουσιν εὐθαρσῶς, ἀείποτ' εἰς αἰτίασιν ἀναίδην καὶ πλατεῖ στόματι· ὡς δή τινες ἄρ' ὄντες αὐτοὶ σεμνοὶ σεμνῶς, παντάπασιν ἀρτιουργοὶ καὶ ἀλώβητοι·

64,8 ἀνονήτων V[2]: ἀνοήτων V **11** τοῖς δὲ V[1] in marg. **15** ὃ φέρειν V: non perspicimus **27** δυστυχῶς V e corr **33** διατεθεῖντο V a. corr.

12–14 cf. Max. Tyr., Or. 11, 70–73 (p. 90) **33–34** locum non invenimus

καὶ πᾶσαν ἀποδραπετεύσαντες ἁμαρτίαν· καὶ πάνθ' ὧν ἂν ἅψαιντο, καθάπαξ ἄνοσοι καὶ ἐργατικώτατοι· ἀγνοοῦσι δὲ τὰ οἰκεῖ' αὐτῶν ἐντεῦθεν μᾶλλον, ἢ τἀλλότρια ἐμπλέκοντες, τῇ ἐπηρείᾳ ταύτῃ καὶ δυσχρηστίᾳ, τοῖς καλῶς ἔπειτ' αὐτὰ σκοπουμένοις, παραπλησίως, ἴσως ἢ καὶ χεῖρον ἔχοντα· καὶ σφόδρα αὐτοὶ τῶν σφετέρων ἐπαχθεῖς ἐλέγχονται κατήγοροι καὶ κριταί· καὶ δύσνοι μάλιστα πρότερον, ἢ τῶν ἀλλοτρίων· καὶ ὧν ἐν νῷ εἶχον. ὥστε οὐ τὸν οἴκοι πλοῦτον, φαίη τίς ἄν, κατὰ τὴν παροιμίαν, ἀλλ' ὡς ἀληθῶς τὴν ἔσω πενίαν, κατ' αὐτοὺς καὶ νόσον, ἐκτραγῳδοῦσι· καὶ κακοὶ κακῶς προφέρουσι· σεμνολογοῦντες μὲν, ἀλλ' ἁλισκόμενοι· καὶ φρόνημα μὲν ὡς δοκοῦσι, μέγιστον ἐπιδεικνῦντες καὶ προβαλλόμενοι· ἡττημένοι δὲ πάνυ τοι ἔνδον ἐν σφίσιν αὐτοῖς· καὶ ταπεινοὶ καὶ παμμόχθηροι. ὥσπερ δὴ καὶ Διογένης, τοὺς κατ' αὐτὸν κομπώδεις καὶ ἀλαζόνας, τοῖς κεχρυσωμένοις εἴκασε βέλεσιν, ἃ δὴ λαμπρὰ πάντως ἔξω | δοκοῦντα καὶ προδεδειγμένα, f. 216 σίδηρος εἰσὶ τἄνδον· καὶ ἴσως ἰοῦ πλέως· ὡς δὴ καὶ οὗτοι σφόδρα μεγαληγορίαν τινὰ τῶν ἀλλοτρίων, ἐπόπται προδείκνυνται· καὶ καταιτιῶνται τἄλλα, σεμνοί· λελήθασι δὲ τὰ ἑαυτῶν σφόδρα ἔσω νενοσηκότα· καὶ δυστυχῆ φέροντες.

65. Πεφύκασι δ' εἰς τοῦτο τῶν ἀνθρώπων, οὐκ ὀλίγοι τινὲς· οὐδ' εὐαρίθμητοι· ἀλλ' ἅπαντες σχεδὸν εἰσί, τῶν ἀλλοτρίων ἐπαχθεῖς ἔργων τὲ καὶ πράξεων, ἐπιγνώμονες· καὶ νεμεσηταί· καὶ οὐδεὶς ὅστις οὔ· οὐδ' ἶσός ἐστιν αὐτῷ καὶ τοῖς ἄλλοις. καίτοι καὶ τοῦτό γ' ἐνίοτε διὰ βασκανίαν οἱ φαῦλοι, καὶ χείρους κατὰ τῶν βελτιόνων καὶ ἀστειοτέρων ἀνδρῶν βούλονται· καὶ οὔτέ φασὶν οὔτ' οἴονται, ἄμεινον ἐκείνους ἔχειν τι, μεταχειρίσαι περὶ ὧν ἀμέλει σπουδάζουσιν, ἢ κατὰ σφᾶς αὐτούς· ἀπιστοῦσι τὲ ὅλως ἀεί· καὶ τἀναντία λέγουσιν ἣν ἄρα περὶ αὐτῶν ἀρετὴν, ἡντιναοῦν καὶ δοκίμησιν ἠνυσμένην πυνθάνωνται, ἣν οἶμαι, μὴ ξυνίσασι σφίσι δεδυνῆσθαι. ἃ γὰρ δὴ καὶ σφᾶς ᾠήθησαν κατειργάσθαι, μόγις μὲν ἴσως· ἀλλ' ὅμως καὶ τοῖς ἄλλοις, κατατίθενται καὶ ξυγχωροῦσιν· ἃ δὲ μὴ, βασκαίνουσιν· ὡς ἔπειθ' οἷόν τέ ἐστι τοῖς ἀρίστοις, καὶ τῆς φύσεως αὐτῆς κατεξανίστανται· καὶ κατηγοροῦσιν, ὡς οὐκ ἐξὸν

41 ἂν V² s.l. **65,4** ἶσος V²: ἴσώς V | αὐτῷ scripsimus: αὑτῷ V

48 cf. Plut., Mor. 583F **53–55** Stob., Anth. 3, 22, 40 (III, p. 593, 12–13)

ὅλως· καὶ περιτρέπειν παντὶ σθένει χρῆναι νομίζουσι· καὶ καταμετρεῖν εἰς ἑαυτοὺς ὅρους, ἅ τ' ἔξεστιν· ἅ τε μή. καὶ τὸ μὲν κατ' αὐτοὺς δοκεῖν σπουδάζουσι παντέλειον· ἢν δέ τι καὶ πλέον ἀκούωσι, τοῦτο μὴ σωφρονεῖν· καλοῦσι δὲ τὸ μὲν, φύσεως καὶ πέρας ἀνθρώποις αὐτό· τὸ δὲ, ἄλλό τι λοιπὸν καὶ δαιμόνιον· καὶ κατοχήν τινὰ καὶ μανίαν.

66. Πάσχουσι δὲ τοῦθ' ὡς ἔοικεν, οὐχ οἱ ἄλλοι μόνον ὁμότεχνοι πρὸς ὁμοτέχνους· καὶ συνασκηταὶ πάντως ἡντιναοῦν αἵρεσιν, ἀλλ' ἥψαθ' ὡς ἀληθῶς ἡ νόσος αὕτη, σφόδρα καὶ τῶν ἐν λόγοις. ὃ καὶ πολλάκις ξυνορῶν ἐν ἐμαυτῷ κατεθαύμασα καὶ λελύπημαι, τὴν κοινὴν ἁμαρτίαν σοφίας· ὥσπερ τἆλλ' ἅπαντα καὶ τύχην· καὶ ὅπως ἀεὶ βάλλομεν ἕκαστος ἀλλήλους ἐκ τἀφανοῦς· σπουδῇ καὶ f. 216v προθυμίᾳ πάσῃ· καὶ καταστρέφομεν | τὸ κράτος ἑαυτοῖς μόνοις ἅπαντες, κατακληροῦν ἀγῶνα προτιθέμενοι· καὶ ἀλλήλων τὰ χείρω καθορῶντες καὶ καταμωκώμενοι· τὰ ἡμέτερα λοιπὸν αὐτῶν ὡς οἶμαι ἔχει, καὶ αὐτὰ παραπλήσι' οὐχ ὁρῶμεν ἕκαστος. καὶ νοσοῦμεν μὲν τὰ οἰκεῖα· νοσοῦμεν δὲ τἀλλότρια, πλεῖν ἢ ἔχει, κρίνοντες ἀμφότερα· τῇ μὲν φιλαυτοῦντες· τῇ δὲ, βασκαίνοντες· τοσαῦτ' ἐπαινοῦντες τῶν ἄλλων ὅσα προδήλως τῶν ἡμετέρων ἥττηται· καὶ παρ' ὧν οὔτ' ἐκείνοις οὐδὲν πλέον ὡς ἔοικεν, οὔτε τοῖς χαριζομένοις ἡμῖν, ἡτισοῦν ζημία, μὴ βέλτιον ἐκείνων ἔχειν. καὶ τοσούτου μέχρις ἐπαινοῦμεν, ὡς ἔπειτ' ἐξεῖναι καὶ μείζους αἰτίας προσάπτειν· καὶ παρασκευὴν ἀνύποπτον οἶμαι ποιούμεθα, τῆς ἐν νῷ κακοηθείας, τὴν δοκοῦσαν ταύτην εὐκολίαν καὶ τὸ μέτριον τῆς εὐφημίας, πάντ' ἔχει φάσκοντες εὖ· τὰ καὶ τὰ ὅμως εἰ προσῆν, ἀναίτιον παντάπασι, τοὖργον ἂν, ἦν· καὶ παρεντίθεμεν ἴσως, ἃ μὴ προσόντα, μεγίστην ἐπιδήλως δείκνυσι τὴν ζημίαν καὶ τὴν αἰσχύνην· καὶ λογιζόμεθα τοῦ λοιποῦ δὴ, κρείττους πολλῷ δοκεῖν, ἃ μὴ καλῶς ἔχει, κατανενοηκότες αὐτοί.

66,11 δὲ V[1]: δὴ V **12** δὲ V in ras.

65,20 cf. Plat., Phaedr. 245a **66,3** Metoch., Misc. 309–310; cf. etiam Agath., Hist. 2, 29 (p. 78, 15–29) **13–22** cf. Plut., Mor. 856CD **21–23** Metoch., Misc. 319

67. Ἀξιοῦμεν δ' ἀείποτε καὶ σπουδάζομεν, μέγιστον ἐν βίῳ καὶ κάλλιστον δοκεῖν εἶναι· τὸ χρῆμα τοῦτο σοφίας· καὶ ἀντὶ πάντων εἴ τῳ παρείη, καὶ πολὺς ὁ περὶ τούτου λόγος· καὶ μέγιστος ἀγὼν· καὶ οἷός τέ ἐστιν ἕκαστος ἐνταῦθα, μάλιστα φιλαυτεῖν τε καὶ κινδυνεύειν· καὶ παραβάλλεσθαι πρὸς ἅπαντ' ἄνθρωπον, ἢν ἄρα μὴ πείθοιτο. ἐπισκεπτόμενοι δὲ καὶ φυλοκρινοῦντες ἑκάστοτε πάντας· ὅσοι καθόλου περὶ τοὺς λόγους ἔχουσι· καὶ φιλοπονοῦσι κοινόν φασιν, ἄεθλον, εἰ δὲ βούλει κοινόν τινα τοῦτον Ἑρμῆν, πάντ' οἰόμεθα τρόπον κολούειν ἑκάστου τὴν δόξαν· καὶ ἀποφλαυρίζειν πάντως ὁτιοῦν· ὡς μὴ καλῶς ἄρ' ἔχοντος· καὶ ἥδιστ' ἄν, ἔχοι πάνυ τοι, εἰ μὴ πλείστου ἄξιος, μήτ' εἴη τῶν ἄλλων, μὴ δὲ δοκοίη μηδεὶς· κέρδος τοῦθ' ἑαυτοῖς τιθέμενος ἕκαστος· ὡς ἂν δὴ μόνος τίς αὐτὸς νομίζοιτο, | παντέλειος· καὶ f. 217 μόνος τἀγαθὸν ἔχων· καὶ βαθύγειον καὶ πολύχουν· καὶ παμφόρον οἶμαι τινὰ σοφίαν καρπούμενος· καὶ ἃ λιμώττουσιν ἕκαστος, σφόδρα εὔπορος ὢν· ἐν οἷς γε τοὺς ἄλλους δηλαδὴ ξυνορῴη καὶ κατελέγχοι, λειπομένους τοῦ καλλίστου· καὶ παραγομένους ὑπ' ἀμαθίας ἀμέλει, καὶ παραθέοντας· αὐτὸς ἔπειθ' ἱκανὸς ὤν, ὡς ἔοικε μόνος ἱκνεῖσθαι καὶ χρῆσθαι· ἅτε κατανενοηκὼς ᾗ τε καλῶς ἔχει, καὶ ᾗ μή. ἀγνοοῦμεν δ' ὡς ἔοικε, πρῶτον μὲν τοσαύτην ὀλιγότητα, τῆς σοφίας βουλόμενοι καὶ κατηγοροῦντες· καὶ σπουδὴν ταύτην διὰ τὴν τοσαύτην ὀλιγότητα πάντως ἀποδεικνῦντες· ἐμοὶ δοκεῖν ἀνήνυτον· ἔπειτ' ὀλίγου τινὸς ἄξιον, ὃ πάντων ἀντάξιον εἶναι βουλόμεθα προδήλως πράττοντες δοκεῖν. εἰ γὰρ δὴ τοῦτο πανάληθες καὶ πρόδηλον, ὡς οὐκ οἶδ' εἴ τι, τῶν ἄλλων ἁπάντων, ὡς ἕκαστα τῶν πραγμάτων ἐκ τῶν μετιόντων αὐτὰ μᾶλλον δὲ τῶν ὅλως μετασχόντων κρίνεται, καὶ θαυμάζεται διά τινα τῶν ἀνδρῶν πάντως ἀστειότητα καὶ εὐχρηστίαν, ἕκαστος δ' ἡμῶν οὐδένα τῶν αἱρεσιωτῶν καὶ ὁμοτέχνων, πλείστου ἄξιον ἀείποτε πειρᾶται δεικνῦναι· καὶ κατελέγχειν· περίεισι δ' εἰς αὐτὸν, τινὰ τὸν βουλόμενον ἀεὶ παρὰ τῶν ἄλλων ταυτὸ τοῦτο ὥσπερ δή τις κοινὸς ἔρανος, τῆς τέχνης, συλλογίσασθαι δὴ τουλοι-

67,6–7 φυλοκρινοῦντες V[1]: φιλοκρινοῦντες V **14** μόνος V[1]: μόνον V **17–18** ὑπὸ ἀμαθίας V a. corr. **19** ἅ τὲ V a. corr.

67,8–9 CPG II, 483, 15; Karathanasis 5; cf. etiam Metoch., Misc. 66; CPG I, 259, 1 **25–28** cf. Vett. Val., Anth. 6, 1, 1–2 (p. 230, 4–9)

ποῦ χρὴ, τίνα δή ποτε θύραν καθ’ ἡμῶν τε καὶ τοῦ μεγίστου χρήματος τῆς σοφίας ἠνοίξαμεν τοῖς φιλοσκώμμοσιν, ἐπεγγελᾶν τε καὶ διαλοιδορεῖσθαι πλατεῖ στόματι· ὡς ἄρ’ οὐδὲν ὄντα τὰ καθ’ ἡμᾶς ἄλλο πράγματα, ἢ λῆρόν τινα μόνον ὡς ἀληθῶς καὶ βασκανίαν· καὶ οὐδὲν ἱερὸν ὅλως· οὐθ’ ἓν τοῦτο μόνον χρήσιμον μεταχειρίσαι, ὅπως ἂν, εἴη τις αἰδὼς παρὰ τὸν βίον· καὶ χώρα τῷ συστήματι.

68. Ἀλλ’ ἔγωγ’ ἴσως ἐμαυτοῦ χάριν ὦ φιλότης, οὐκ ἂν, ἐπιτιμῶν εἴην δίκαιος· τοῖς οὕτω διὰ φιλαυτίαν ἀλόγιστον, οὐ μόνον ἑαυτοὺς καταισχύνουσι καὶ | f. 217v καταστρεφομένοις, ἀλλὰ καὶ τῷ καλλίστῳ καὶ πολυεράστῳ σφίσι σπουδάσματι, τῇ παιδείᾳ λυμαινομένοις, πρὸς τὴν ἐν ἀνθρώποις ὑπὸ τῶν πολλῶν εὐδοξίαν. καὶ γὰρ καὶ πρότερον εἶπον ἀρχόμενος· καὶ νῦν ταὐτὸ τοῦτ’ ἐρῶ ὡς ὄφελον μὲν, μήποθ’ οὕτω διατεθῆναι· ἀπετράπην δ’ ὅμως τῶν λόγων· ἐν ἄλλοις, ὡς ἄν τῳ δόξαι πράγμασι· καὶ ἧς ἄρα πρότερον οὐκ οἶδ’ ὡς εἴ τις τῶν ἄλλων ἠράσθην, σφόδρα ἐν αὐτοῖς εὐκλείας· καὶ ἥλων παντάπασιν ἐμμανῶς, καὶ αὐτὸς οἶσθα, περιφρονήσας ἐπιδήλως καὶ τοῖς ἄλλοις σπουδάζουσιν ὑπεκστὰς, προειλόμην ἅττα δή· καὶ νῦν εἰμί. κατωλιγωρηκὼς οὕτω δὴ λοιπὸν ἀναίδην τοῦ πράγματος καὶ καταπροέμενος, χαλεπὸς οὐκέτ’ ἂν, εἴην, οὐδὲ δυσχεραίνοιμι τοῖς ὁτιοῦν εἰς αὐτὸ καθυβρίζουσι· καὶ λυμαινομένοις, οὔτ’ ἐμαυτῷ συνηγορῶν ἴσως ἤδη (πῶς γάρ; ὃς ἐν ἄλλοις ἔχω νῦν εἶναι), οὔτ’ ἀνάγκην βοηθείας τινὸς ἔχων καὶ συμμαχίας, εἰς τοὖργον ὅπερ ἐκ πολλοῦ παρεῖδον, ἕτερα ἀνθελόμενος· καὶ προσέχειν ὑπ’ ἀνάγκης οἶμαί τινος ἀτρέπτου, τὸν ἅπαντα βίον ἀμέλει προηγμένος. οὗ δὴ χάριν ἄρ’ ἔγωγε καὶ μέσην αὐτὴν δέδηγμαι τὴν καρδίαν· καὶ μεμνημένος οὐκ ἔχω φέρειν, ὅπως ἐν αὐτῷ μέσῳ πλῷ, τῆς σοφίας· καὶ ἴσως οὔρια πλέων, ἀθρόον οὐκ οἶδ’ ὅπως πρύμναν ἐκρουσάμην, καὶ τρέχων ἄλλην, ἄλλην δὴ μεταβέβληκα.

68,2 ἐπιτιμῶν V^{1}: ἐπιτιμᾶν V **13** χαλεπὸς V^{2}: χαλεπῶς V

68,7–9 Greg. Naz., Or. 2, 6, 10–12 (p. 94) **19–20** Synes. Cyren., Calv. enc. 1, 2 (p. 48) **22–69,1** Greg. Naz., Or. 43, 17, 26–27 (pp. 158–160)

69. Ἔπλεον μὲν γὰρ εὖ μάλα δή· καὶ προυθυμούμην ἀνύτων τὸν τοῦ βίου σκοπὸν περὶ τοὺς λόγους αὐτούς· ἔπειτα ἐξαίφνης ὥσπερ ἑκουσίῳ τινὶ καὶ χειροποιήτῳ, χρησάμενος ἀντιπνοίᾳ, ναυαγεῖν εἱλόμην. καὶ προσταλαιπωρῶ μὲν ἔτ' ἀμέλει ζητῶν ἄρα καὶ πλανώμενος, ἐκεῖνον, τὸν ἔρωτα (μὴ γὰρ οὕτω δὴ μανείην ὡς παντάπασιν ἀφεῖσθαι τῶν καλῶν παιδικῶν), οὐκ ἔχω δ' ὅμως ὅστις ἄν, καὶ γενοίμην· οὐδ' ἀσφάλειάν τιν' εὑρίσκων, οὐδ' ἐφικνούμενος ὥσπερ ἐξ ἀρχῆς | ὥρμησα· ἀλλ' ἀνάγκῃ πάντως f. 218 ἀπαραιτήτῳ συνὼν ἑκάστοτε, δυσχερείᾳ καταντλεῖσθαι μυρίᾳ· καὶ πρὸς κύματα διαμιλλᾶσθαι καὶ χειμῶνα φροντίδων, ἄλλοτ' ἄλλων· ὧν τὸ μέν, παρῆλθεν ἤδη· τὸ δ' ἀεὶ καταλαμβάνει κατὰ τὴν παροιμίαν· καὶ οὐκ ἐῶσιν ἀτρεμεῖν ὅλως οὐδ' ἅπτεσθαι μὴν οὐδ' ἐπιχειρεῖν, οἶμαι πρὸς ἅ τις ἄν, ἐρῴη μάλιστα καὶ νοῦν ἔχοι.

70. Τῷ ὄντι γὰρ πολλή τις ἔοικεν ἀνωμαλία καὶ ζάλη, κατέχειν τῶν ἐλλογίμων καὶ πεπαιδευμένων ἐκείνους ἀνδρῶν, ὅσοι τοὺς λόγους λειποτακτήσαντες, φέροντες ἑαυτοὺς ἐνεχείρισαν, κοσμικαῖς οἶμαί τισι μικρολογίαις καὶ θορύβοις καὶ πράγμασιν· οἷς ἀεὶ παραμένειν ἀνάγκην ἔχουσιν, ἄτρεπτον· καὶ τὸν πλεῖστον καταδαπανᾶν καιρόν τε καὶ νοῦν. παντάπασί γε μὴν οὐκέτ' ἀπέστησαν, τῆς περὶ τοὺς λόγους κατοχῆς ἐκείνης οὐδὲ ξενηλασίαν, τινὰ παντελῆ τῶν προτέρων ἐκείνων εὐγενῶν εἵλοντο, λογισμῶν, ἀλλὰ δοκοῦσιν ὅμως κἀνταῦθα ἠσχολῆσθαι· καὶ νέμειν ὁτιοῦν μέρος· καὶ μὴ καθάπαξ ἀνήροτον, μὴ δ' ἀκατέργαστον ὑπὸ παιδεύσεως, τὴν τῆς διανοίας καταλείπειν χώραν· παραπλήσιον ἐμοὶ δοκεῖν ὥσπερ οἱ βαθύγειόν τινα καὶ λιπαρὰν πεδιάδα, σφετέραν καταχερσώσαντες, καὶ συγχωρήσαντες ἐξυβρίσαι παντελῶς· καὶ ὑλομανῆσαι τῶν ἀνονήτων, καὶ πρὸς ἅπαντα ἀσυντελῶν ἐκφύσεων, ἔπειθ' ὅμως ἐπὶ τούτοις οὐκ ἀποκνοῦντες οὐδ' ἀποτρεπόμενοι καταβάλλειν τὲ καὶ συμφύρειν αὐτοῖς, εὐγενῆ καὶ χρήσιμα σπέρματα· ἐπεί, τί ποτ' ἄν, καὶ γεωργήσειε νοῦς ἐκεῖνος ἀστεῖον, ὅς, συμπεπίληται μέν, πλείστοις ὅσοις ἐπαχθίσμασι καὶ

69,1 ἀνύττων V a. corr. **7** οὐδ'[1] V[2] in marg. **10** κύματα V[1]: κῦμα V
70,2 κατέχειν V[2]: κατέχει V

69,11–12 cf. Liban., Or. 59, 130 (p. 275, 5–9) **70,12** cf. Phil. Iud., De spec. leg. 3, 39 (p. 137, 30–31)

κατηγχόνισται φροντισμάτων ἀγεννῶν καὶ λήρων οὐκ οἶδ' ὥντινων, κατατέμνεται δ' αὖθις, εἰς μυρίαν ἀηδίαν· καὶ νῦν μὲν ἕλκεται δή, πρὸς πολιτικὰ ἄττα, φροντίδα μεγίστην ἔχων· ὅπως ἡδύς τις καὶ μὴ παντάπασιν ἀνάρμοστος δοκοίη· εἰ δὲ μή, πάντως f. 218ᵛ οὔτ' αὐτὸς οὔτε τὰ φίλτατα λοιπὸν | χαιρήσει· νῦν δὲ καταδεδαπάνηται καὶ προστέτηκε τοῖς οἴκοι· πολυμέριμνον ἀεὶ διεξιὼν χορηγίαν· καὶ μελέτην νεουργῇ· καὶ τρόπον ἀνορύττων ἑκάστοθ' ὅντινά οἱ, δοκεῖ ξυνοίσειν πρὸς ἀνενδεῆ τὴν χρείαν; ταῦτα γὰρ οὔτ' ἀποθέσθαι τουλοιποῦ ἔξεστιν, ὅτῳ δὴ καὶ ξυμβέβηκεν ἐφ' ἅπαξ συμπλακῆναι, καὶ βίοτον ὅντινα ἄρα ἑλέσθαι καὶ ξυνοικίαν· καὶ διαδοχήν τινα παίδων, οὔτε μετρίως· οὔθ' ὅλως συμβατικῶς ἔχει τοῖς ἐλλογίμοις, πρὸς τὸν ἐξαρχῆς σκοπὸν, ἀλλ' ἀεὶ ζημίαν ἐμποιοῦσι τῷ νῷ πλείστην· καὶ τοῦ μεγίστου κτήματος, ἀφαίρεσιν τοῦ καιροῦ, διὰ τὴν ἐν αὐτοῖς συνεχῆ καὶ ἄτρεπτον μέριμναν· καὶ ὡς ἂν δή τινες λῶβαι ἀνθρώπων τῶν γε τοιούτων καὶ κῆρες γίγνονται· τὸν λογισμὸν ἐνεχυράζουσαι· καὶ τῶν καλλίστων ἀφαιρούμεναι, τοὺς προτεθειμένους· καὶ προσαυξῆσαι δέον, ὑποτέμνονται· καὶ τὰς εὐγενεῖς αὐτοῦ βλάστας ἀποκείρουσιν ὡς ἀληθῶς ἑκάστην ἐν χρῷ, καὶ πάσας γε ἐπιφύσεις, ἀκολουθούσας τῇ μονῇ καὶ ἀρδείᾳ τῆς ἐπιστήμης ἐκθλίβουσι· καὶ πρὸς τὰ κάλλιστα καὶ μέγιστα ὡρμηκότα, τὸν νοῦν, χειμάρρου τρόπον ἑτέρωσε κακοτέχνως τρέπουσι τὴν φορὰν, εἰς βαναυσώδη καὶ ἀνελεύθερον διατριβὴν, μετοχετευσάμενοι. καὶ μὴν καὶ τοῦτο πολλάκις ᾠήθην, ὡς οἱ τοιοῦτοι δὴ φροντισμοὶ· καὶ τὰ κατὰ τὸν βίοτον ἀναγκαῖα ταῦτα μεριμνήματα, καὶ λογίσματα ὥσπερ ἐπιστάται τινὲς βάσκανοι, καὶ αὐθάδεις καὶ τυραννικοὶ παντάπασιν ἀμβλώσαντες καὶ ἐπιφράξαντες τὸ τοῦ νοῦ μεγαλοφυὲς καὶ περὶ τὰ κρείττω μεγαλουργὸν, κατέλιπον ἀργὸν· καθάπερ, οἵ τινα δὴ εὔγεων καὶ εὐδαίμονα χώραν ὀρφανῶν, παίδων ἐπίτροποι κακοὶ, χέρσον ἀτημελήτως· καὶ δυσνοΐκως ἀπεργασάμενοι.

71. Τοιγαροῦν πόλεμός τις ἐντεῦθεν ἐμοὶ δοκεῖν εἶναι, καθάπαξ ἄσπονδος καὶ ἀκήρυκτος, πρὸς τὴν λογικὴν ἐργασίαν τὲ

28 βίοτον V¹: βίον V

32–33 cf. Soph., El. 75–76 **33–48** Phil. Iud., De somn. 1, 105–107 (p. 211, 13–2131) **71,1–9** Ibid., 105–107 (III, pp. 211, 13–212, 1)

καὶ φύσιν· καὶ σφόδρα λυμαίνεται | πρὸς τὴν ἀκμὴν ταύτης καὶ εὐεξίαν· καταστενούμενος παντὶ τρόπῳ, καὶ καθειργνὺς ταύτην καὶ ἐκπολιορκῶν, μὴ προσάπτεσθαι τῶν σφετέρων καὶ ξυντεινόντων· καθάπερ οἱ τὰ τῶν πολεμίων δῃοῦντες χωρία καὶ τόν τε σῖτον· καὶ τὸν ἄλλον καρπὸν φθείροντες· ὃς ἀφεθεὶς, μεγάλη τοῖς κεκτημένοις ὄνησις, ἂν, ἦν· καὶ παντελῶς ἀπογινώσκειν καταναγκάζοντες καὶ σφίσι προσέχειν. πεπείραμαι δὲ καὶ αὐτὸς καὶ κατανενόηκα τοῦθ', ὥσπερ δὴ καὶ ἄλλος τις σφόδρα. καὶ πάνυ μὲν ἠβουλόμην, πανδέξιός τις εἶναι· καὶ ἀμφότερα ὡς ἀληθῶς ἐξαρκεῖν, καὶ πρὸς οὐδέτερον ἐνδεῖν· μήθ' ὅλως περιτρέπεσθαι· προσρέπων ὁτῳοῦν ἑνὶ τούτων, ἢ δεῖ πλέον. καὶ μὴν ᾤμην γε οὕτω, πρότερον ἐξεῖναι· καὶ οὕτω δὴ σαφῶς, μετετιθέμην ἄρα καὶ προσηπτόμην, πολιτικῶν δή τινων τούτων ὧν νομίζομεν· καὶ ἀναγκαίας ἐνταῦθα λοιπὸν κτήσεως· καὶ συνδιαγωγῆς φιλτάτων καὶ μοίρας, ὡς οὐκ ἀφεξόμενος οἶμαι, οὐδ' ἀποχωρήσων οὐδ' οὕτω καθάπαξ τῶν ἄρα καλῶν ἐκείνων καὶ γεννικῶν ἐρώτων· καὶ τῆς πρότερον ἐν λόγοις καὶ παιδείᾳ σπουδῆς, ἧς τῷ ὄντι μάλιστ' εἴπερ δὴ καὶ ἄλλος τις ἥλων.

f. 219

72. Νυνί δ' ἀμέλει κινδυνεύω μαθεῖν ὡς ἔοικε πεπονθὼς, ὃ μήποτ' ὄφελον· ὡς πάντα μᾶλλον ἢ ἀμφότερα, ταῦτα, ἔξεστι σπουδάζειν ὁντιναοῦν· καὶ σφόδρα δὴ φιλονεικοῦντα· καὶ κατακτᾶσθαι κοινῇ. τὰ γὰρ δὴ θήλεα· καὶ ὁ νεογνής μοι παῖς οὗτος, ἄρρην παντάπασί με κατέσχεν ἤδη· καὶ πάντων ἀπέστησεν ἄρα· καὶ ἀπήγαγε βίᾳ τῶν ἄλλων· κατασκοπούμενον ἀεὶ καὶ μελετῶντα καὶ σφόδρα κατεργαζόμενον, διαπαντὸς, ὅ,τί ποτ' ἂν, αὐτοῖς εἴην χρήσιμος. ταῦτά με δὴ νυκτός τε καὶ μεθ' ἡμέραν, ἀεί πως γρηγορεῖν ἀναγκάζει τὲ καὶ καταπείθει· πάντ' οἶμαι τρόπον βίοτον σφίσι ποριζόμενον, ὅντινα ἔξεστιν· οὐ νῦν δὴ μόνον· ἀλλ' ἄρ' ἀσφαλῆ καὶ μεθύστερον ἐμοῦ τελευτῶντος. νόμος γὰρ οὗτος ἡμέτερος τῶν πλειόνων ἀνθρώπων, κατέσχεν | ἤδη πάλαι πρότερον· οὐ τὸ νῦν εἶναι μόνον ζητεῖν καὶ φροντίζειν· οὐδὲ τὸ καθ' ἡμέραν αὐτὴν, ἑκάστοθ' ὅπως ἂν, εἴη τοῖς γνησίοις καὶ φιλτάτοις

f. 219v

71,10 ὥσπερ V: cave in εἴπερ corrigas **13** τούτων V²: τούτῳ V **19** μάλιστ' εἴπερ V¹ e corr **72,14** αὐτὴν V²: αὐτὸ V

10–11 Metoch., Misc. 188

καλῶς, ἀλλ' ὡς ἔοικεν ἄρα καὶ τοῦ μέλλοντος χρόνοις ὕστερον· πορρωτάτω τὴν πρόνοιαν ἀποτείνειν ὡς οἷον τέ ἐστιν, ὀφείλομέν τε καὶ εἰσπραττόμεθα περὶ αὐτῶν· καὶ παρασκευὴν εὐδαιμονίας σφίσιν ἔπειθ' ἑξῆς, ἀποχρῶσαν τὲ οἶμαι καὶ παμπλήρη τινὰ, πρὸς τὸν βίον πραγματεύεσθαι. ταῖς γε μὴν παρθένοις αὐταῖς, οὐκ ἄλλως ἢ θησαυρῶν πολυταλάντων ἔξεστι κήδη τινὰ καλλίω καὶ σεμνότερα πρίασθαι. καὶ δὴ τοῦτ' ἀεὶ πρόεισιν οὐκ οἶδ' ὅπως μετὰ τοῦ χρόνου· καὶ πλείω κατατιθέναι καὶ φέρειν ἀνάγκην ἡμεῖς ἔχομεν· ἢ καθ' ὅσα ἀπημπολήμεθα ταῖς τῶν ἡμετέρων αὐτοὶ, παίδων μητράσι. οἱ δὲ πολλοὶ καὶ φιλαυτοῦντες ἡμῶν ἀπλήστως κἀνταῦθα, καὶ κρείττω ἢ καθ' ἑαυτοὺς σπουδάζουσι κήδη· καὶ χρημάτων πλειόνων, ὠνήσιμα· ἀξιοῦντες τὸ μένον ἑαυτῶν, καὶ τὴν διαδοχὴν ηὐξημένην· καὶ πόρρω δόξης ἀφικομένην· καὶ ἀνύσασαν καταλιπεῖν.

73. Τοιγαροῦν, ὡς ἐνταῦθα ὄντα ἡμῖν, τὰ πάντα πράγματα, καταδαπανώμεθα τὸν ἅπαντα νοῦν· καὶ ἀεὶ στρέφομεν ἐν τούτοις· τῶν ἄλλων κατολιγωροῦντες, ὡς ἀνονήτων ἁπάντων καὶ μηδὲν ἤδη λοιπὸν προσπεριεργαζόμενοι. καὶ κατακτώμενοι μὲν δὴ καὶ κατορθοῦντες, χαίρομεν εὖ μάλα· καὶ ἀεὶ πλεῖν ἔτι σπουδάζομεν· μετὰ τὴν ἐν πείρᾳ ἡδονὴν ἐμοὶ δοκεῖν ἁμιλλώμενοι. ἀποτυγχάνοντες δὲ καὶ χαλεπῆς πειρώμενοι τῆς τύχης, κακοὶ κακῶς ἀνιώμεθά τε, σφόδρα, καὶ καταγχόμεθα πάντων ἀνεπίστροφοι. οὐ γὰρ δὴ μόνον ὥς φασιν οὐκ ἔξεστι, τοῖς ἐν λύπαις γεωμετρεῖν, ἀλλ' οὐδὲ φιλοσοφεῖν, ὅλως, οὐδ' ἐπιχειρεῖν λόγοις· ὧν οὐκ ἄλλως ἐστὶν ἐπικαίρως ἅπτεσθαι, ἢ παρασκευῇ ψυχῆς ἀκμαζούσῃ, καὶ διανοίας ἀσείστῳ φρονήματι, ἀπηλλαγμένης συγχύσεως πάσης·
f. 220 καὶ νόσου κακοσχόλου. |

74. Οὕτω δὴ μετὰ πάσης ἀληθείας κομιδῇ δυσχερέστατον, διακαρτερῆσαι καὶ διασώσασθαι τὸν ἐν παιδείᾳ καὶ λόγοις ἔρωτα παντάπασιν, ἀμείωτόν τινα καὶ ἄτρεπτον, ταῖς κατὰ τὸν βίον

24 πολλοὶ V[1]: πολὺ V | ἀπλήστως scripsimus: ἀπλείστως V **27** ἀφικομένην V[2]: ἐφικομένην V **73,3** ἀνονήτων V[2]: ἀνοήτων V **7** χαλεπῆς V[1]: χαλεπῶς V

73,7 cf. Greg. Naz., Or. 43, 33, 1–2 (p. 198) **9–10** Karathanasis 111
74,3–4 cf. Plut., Mor. 82B

ταύταις, ἐφάπαξ συμπλακέντα μικρολογίαις, ἁπάσῃ βίᾳ κατεχούσαις τὲ καὶ μεθιστώσαις, καὶ τὸν μάλιστα δὴ προτεθειμένον αὐτὸν, μηδ᾽ ἂν, εἴ τι γένοιτο, μεθέσθαι τῶν ἀπὸ τῆς σοφίας ἀγαθῶν. καὶ τόν γε δὴ συνετὸν ὄντως καὶ σώφρονα ταύτης ἐραστὴν, καὶ πάντων μᾶλλον τὰ κατ᾽ αὐτὴν προελόμενον καὶ τετιμηκότα, τοῦτο δεῖ μάλιστα προϊδέσθαι καὶ φυλάξασθαι, τῆς ἐν βιωτικοῖς αὐτοῖς σπουδάσμασι τερθρείας καὶ περιπλανήσεως, ὅλῃ σπουδῇ καὶ ῥώμῃ καθάπαξ ἀποσχέσθαι, καὶ μὴ δὲ κατὰ βραχὺ συμφύρεσθαι ταύτῃ πως συγχωρῆσαί τε καὶ συνθέσθαι, εἴ γε δὴ πάντως ἀνῦσαί τι, καὶ κατορθῶσαι πρὸς τὴν ἔνστασιν δηλαδὴ τοῦ βίου ταύτην, ὀρθῶς αἱρεῖται· τἀντεῦθεν ὡς ἔοικεν ἅπαντ᾽ ἀλλαττόμενον, ὁποῖά ποτ᾽ ἂν, μέλλῃ ξυμβαίνειν, τῆς ἀπὸ ταύτης εὐγενείας καὶ δόξης· καὶ μήθ᾽ ὅλως, ἀποχωρεῖν ταύτης· μήτ᾽ εἰς ἄρκυς ἐνταῦθ᾽ ἑκόντα εἶναι, κακῶς τε καὶ ἀμαθῶς ἐμπίπτοντα λαβυρινθώδεις τὲ καὶ δυσεκφύκτους, ἔπειτ᾽ οἴεσθαι ῥᾴδιον εἶναι, καὶ ἀπαλλάττειν οὕτως εἰς ἅπερ εἶχε πρότερον· καὶ νόστου δή τινος μεμνῆσθαι, φίλην ἐς πατρίδα γαῖαν· μήθ᾽ ὥσπερ δυσμεταχειρίστῳ τινὶ καὶ πολυτρόπῳ· καὶ κακούργῳ· καὶ βιαίῳ θηρίῳ συμπλεκόμενον, κατατιθασσεῦσαι λοιπὸν οὕτω δὴ δοκεῖν ῥᾷστα καὶ κημαγωγῆσαι, ὡς ἐξεῖναί οἱ τάχα καὶ πρὸς ἄλλοις ἔχειν· καὶ διαφέρειν ἅττα δὴ πλείστης σπουδῆς καὶ ἀσχολίας ἁπάσης, δεῖται, ἀτεχνῶς ἄρα, κατὰ τὸν Κυδίου λόγον· ὃν Πλάτων αὐτὸς ἔφησε σοφώτατον τὰ ἐρωτικὰ, κατέναντι λέοντος νεβρὸν ἐλθόντα, μοῖραν αἱρεῖσθαι κρεῶν· καὶ μὴ τοὺς ἀπ᾽ αὐτοῦ σπαραγμοὺς, μήτε δεδιέναι· μήθ᾽ ὑποχωρεῖν. ἀλλ᾽ ὅπερ ἔλεγον, ὅ γε σοφὸς ὄντως παιδείας ἐραστής· ταῦτα τὲ δὴ | προόψεται· καὶ ἢ πάντα τρόπον ὡς ἔξεστιν εὐλαβή- f. 220v
σεται καὶ ἀποφευξεῖται, ἢ πρόνοιάν τινα ποιήσεται καθάπερ οἱ πλέοντες ἀμέλει, μέλλοντες εἰς ῥευματώδεις ἀνάγεσθαι θαλάσσας, ἐξ ὑπερτέρων ἀφιᾶσι πολλῷ, τὴν βίαν αὐτὴν τοῦ ῥεύματος προυποτεμνόμενοι, καὶ τοῦτο δηλαδὴ μεταχειρίζοντες, καὶ πολιτευόμενοι, ὡς ἂν, τῷ περιόντι τῆς προλήψεως, ταύτης, καὶ προνοίας ὁ πλοῦς αὐτοῖς ἀσφαλὴς γίγνοιτο, καὶ μὴ κινδυνεύσαιεν παρασυρῆναι τῇ σφοδρότητι, τῆς ἐπιφορᾶς, καὶ παραχθῆναι

74,15 μέλλῃ V[1]: μέλλει V **22** κατατιθασσεῦσαι V: servavimus κημαγωγῆσαι scripsimus: κιμαγωγῆσαι V **23** τάχα V[1]: τάχυ V

20 Hom., Il. 9, 413–414 **24–28** Plat., Charm. 155d

λοιπὸν ἄλλῃ ποι, καθ’ ἕτερα ᾗ ἐσκοποῦντο, παραπλησίως ἐμοὶ δοκεῖν καὶ αὐτὸς, πλείστῃ δὴ σοφίας παρασκευῇ, καὶ τοῦ νοῦ πολλῷ κράτει προσαπτόμενος, τῶν κατὰ τὸν βίοτον τῶνδε πραγμάτων· τεθαρρηκὼς πάνυ τοι τῇ περιουσίᾳ τῆς ἕξεως· καὶ προκόψας οὕτως ὡς ἄμεινον ἔχειν, ἢ ὡς παντάπασιν ἐκλιπεῖν κἂν εἴ τι ξυμβαίνῃ, μὴ δ’ ἐκπεσεῖν ὧν μάλιστ’ ἠβούλετο. οἱ δὲ πολλοὶ τῶν ἀνθρώπων, ἀπροόπτως τὲ καὶ μηδενὶ ξὺν νῷ, αὐτίκα αὐτόθεν μεταχωροῦντες ἐνταῦθα καὶ προστιθέμενοι, ἐοίκασιν ὥσπερ ὁ σίδηρος ἔτι ζέων εἰς ὕδωρ ἐμπίπτων, παραχρῆμα σβέννυσθαί τε παντελῶς καὶ πρὸς μηδὲν ἀντέχειν.

75. Καίτοι φασί τινες μήτ’ ὀνίνασθαί τι, μένοντας ἀεὶ καὶ φιλοπονοῦντας ἐν τοῖς λόγοις, μὴ δέ τι πλέον πάντως προσκτᾶσθαι· μήτ’ αὖθις ζημίαν μηδεμίαν ἀποσχομένῳ ξυμβαίνειν, ἢν ἄρα τις ὁτιοῦν ὅλως ἐν αὐτοῖς γένηται. καί τινος ἤκουσα χθὲς ἤδη καὶ πρότερον, σφόδρα τοῦτ’ αὐτὸ βουλομένου, καὶ κατασκευάζοντος· σοφοῦ καὶ γενναίου καὶ μάλα ἐν τοῖς πρώτοις, τῶν νῦν ἐν λόγοις ἀνδρῶν, οὐκ οἶδ’ εἴτε συνηγοροῦντος, ὃν τρόπον εἶχεν, ἑαυτῷ (καὶ γὰρ τῶν τοῦτο καὶ αὐτὸς πεπονθότων ἦν), εἴθ’ οὕτως ἴσως, καὶ δοκοῦν αὐτῷ, ἔφασκε γοῦν, ὅτι καθάπερ ἐπὶ τῶν σωμάτων ἔστι ἄρα τί ποσὸν ἑκάστῳ τῶν ἀνθρώπων· καὶ φύσεώς τις ὅρος ἀπαρεγχείρητος, εἰς ὃ δὴ περαίνειν ἀνάγκη.

f. 221 |76. […] οὐδὲν ἀηδές· οὔτέ ποτ’ ἄρα φαίημεν ἴσως ἄν. ἔνιοι δέ μοι δοκοῦσι καὶ δυσχεραίνειν, τῶν ἐν ὑπεροχαῖς μάλιστα καὶ βλάκες, ἄνθρωποι, ἢν ἄλλου πύθοιντο περὶ τῶν ξυμβαινόντων· ἀνάγκῃ τῇ φύσει καὶ ἀνθρώποις οὖσι, τὸν αὐτὸν ἐμοὶ δοκεῖν τρόπον· καθάπερ καὶ οἱ πολλοὶ τῶν ἀνθρώπων ὀφθαλμοὺς ἢ χεῖρας, ἢ πόδας παρακεκομμένοι τὲ καὶ λελωβημένοι, ἢν ἄρα τίς μεμνῇτο καὶ προφέροι τὴν νόσον, βαρέως φέρουσι· καὶ ὡς ἐχθρόν τινα τοῦτον καὶ σφόδρα ἐπίβουλον, καὶ ἠδικημένοι ἀμύναιντ’ ἄν, ὡς ἄν, ἕκαστος οἷος τ’ εἴη· καὶ ταῦτα πρὸ τῶν ἄλλων αὐτοὶ

75,5–6 κατασκευάζοντος V[1] in marg.: καταναγκάζοντος V **11** post ἀνάγκη folia quaedam ceciderunt in V **76,1** οὔτέ V[2] e corr. **6** παρακεκομμένοι V[1]: περικεκομμένοι V (fort. servandum)

75,9–11 cf. Niceph. Choumn., Epist. 154 (p. 176) **76,4–5** cf. Plat., Tim. 28c

μάλιστα πᾶσι, προδεικνῦντες, ᾗν, φεύγουσιν αἰσχύνην· δεινὸν νομίζοντες ἤν τις ἐπαΐοι.

77. Ἀλλὰ ταῦτα μὴν ἔτ' ἔξεστιν ἴσως λέγειν εἰς μήκιστον καὶ μάλιστα ξυνορᾶν ἐστι πλεῖστον, ᾗ ἔξεστι λέγειν, ὅστις δὴ προσέχει τὸν νοῦν. καὶ ἃ δὴ πείρᾳ λαμβάνομεν ἑκάστοτε ἐφ' ἑκάστοις, οὐ μάλα δὴ ῥᾴδιον ἐρεῖν· ἀλλὰ νοοῦμεν, οὐ πάντες μὲν ἴσως· οὐδὲ μὴν πάντα ῥᾷστα· λέγειν δὲ πάντ' οὐχ οἷοί τέ ἐσμεν οὐκέτι· οὐδ' ἃ λέγομεν, ἱκανῶς λέγομεν· ἀλλ' ἧττον ἢ ὡς νοοῦμεν πολλῷ. καὶ μὴν ὑπὸ τῆς ἀληθοῦς ἔνιοι καὶ συνήθους πείρας, ἐς τοσοῦτο δὴ κατεγνώκασι τῶν ὁρωμένων, ὡς μὴ δ' ἔμβραχυ λοιπὸν ἀξιοῦν, περὶ αὐτῶν ὁτιοῦν καὶ λέγειν· ἀλλ' εἰς ἀφωνίαν δή τινα παντελῆ κατηντηκέναι· ἀρκούμενοι τῇ θεωρίᾳ μόνῃ· καίτοι γε μὴ δὲ ταύτῃ πάνυ τοι χαίροντες· μὴ δ' ὥσπερ ἐντεῦθεν ἠνυκότες τὶ· ὅτι μὴ δ' ἔστι τοῖς πολλοῖς, ἐντεῦθέν τι πλέον, ᾗ πρότερον εἴρηται. τί γὰρ εἴ τις δὴ ξυννενόηκε μὲν κρεῖττον, ἢ κατὰ τοὺς ἄλλους τἀνθρώπεια, περιπέπτωκε δ' ὅμως αὐτοῖς, ἢ ἑκὼν πάντως ἢ ἄκων, τὸν αὐτὸν τρόπον κατὰ τοὺς ἄλλους; οὐ γὰρ δῆθ' ὅλως ἔξεστιν ἐκφυγεῖν τοὺς ἀρρήτους τούτους δεσμούς· οὐδὲ καθάπαξ οὐκ ἀποδράναι. εἴρηται δὴ τοῦτο πρότερον πολλάκις ὦ φιλότης εἴρηται, ὡς οὐχ ἃ βουλόμεθα δρῶμεν· οὐδ' ἃ νοοῦμεν | ἅπαντα ἔξεστιν ἀνύτειν οὐκέτι. καὶ f. 221v συλλογίζονται μὲν ἔνιοί τινες, καὶ ἐνίοτε κάλλιστα· ξυνέχονται δὲ ὅμως, κοινῇ τοῖς ἄλλοις πᾶσι πράγμασι. καὶ στροβοῦνται· καὶ νοσοῦσι· καὶ περιφέρονται· καὶ περιπίπτουσιν οὐ τοῖς ἄλλοις μόνον ἔξωθεν κρίνουσιν, ἀλλ' ἀμέλει καὶ σφίσιν αὐτοῖς· καὶ οἷς ξυνεώρανται λογισμοῖς. νομίζομεν δὲ κοινὴν ἀπολογίαν τὰ κοινὰ πταίσματα· καὶ οὐδεὶς λοιπὸν οἶμαι δίκαιος ὁτιοῦν φρονεῖν· εἰ δ' ἀμέλει φρονήσεις, αὐτίκα αἱρήσῃ, εἰ δὲ σεμνολογήσεις, ἐγγελᾷ τἀναντία δρῶν. καὶ σοφὸς, οὐχ ὃς οἶδέ τε καὶ διδάσκει· ἀλλ' ὃς οἶδε μὲν, ἡττωμένῳ δὲ ξύνοιδεν ἑαυτῷ. καὶ καταμεμφόμεθ' ἀλλήλων, ἅπαντες ἁπάντων· ταῦθ' ἃ πράττομεν αὐτοὶ, φαῦλοι

77,1 post ἀλλὰ spatium duarum litterarum erasum in V **13** ξυννενόηκε scripsimus: ξυνενόηκε V **16** ἀρρήτους V: an ἀρρήκτους? **18** ἀνύτειν scripsimus: ἀνύττειν V **20** πᾶσι V[1] in marg.

77,1–11 Metoch., Misc. 67–71 et infra, Or. 18, 13, 55–58 **8** cf. Diog. Laert., Vit. Phil. 9, 7 (p. 636, 15–16) **9–10** cf. Phil. Iud., De decal. 92 (p. 239, 20–21) **23–24** Metoch., Misc. 357

φαύλων· καὶ συνετοὶ συνετῶν· καὶ συνετῶν φαῦλοι· καὶ τοὔμπαλιν. ἔστι δ' οὗ καὶ συγγινώσκομεν καὶ συμφρονοῦμεν καὶ συλλαγχάνομεν· οὐ κοινὸν Ἑρμῆν· ἀλλὰ κοινὴν τύχην· καὶ τοῦτο τῆς παροιμίας· καὶ οἷς ἐχόμεθ' ἕκαστος, καὶ τοῖς ἄλλοις ἀξιοῦμεν συγχωρεῖν. καὶ πάντ' εἰς ταὐτὸν ἄρα φέρει· καὶ οὐκ ἔστι διελέσθαι· καὶ κατακεκύβευται μικρά τε καὶ μείζω· καὶ ὁμοῦ πάντα χρήματα· ὅς τε πελώριος ἀνὴρ· ὅς τ' ἐλάχιστος· καὶ ὥσπερ ἐν πανθήρῳ τινὶ σαγήνῃ· κοινῇ πάντες συνδεδέμεθά τε καὶ καταγχόμεθα· καὶ περιστρεφόμεθ' ἄλλοτ' ἄλλως ᾄττοντες· καὶ πάντ' ἄφυκτα.

78. Τοιγαροῦν ἔνιοι βούλονται μὲν, κρεῖττον, ἢ ὡς πράττουσι, βούλονται δ' ὅμως ὡς πράττουσι· καὶ ἀξιοῦσι μὲν ἑαυτοὺς, καλλιόνων ἢ ἔχουσι· φέρουσι δ' ὅμως ἅττα ξυμπίπτει σφίσιν, ὑπ' ἀνάγκης τινὸς· ἢ δι' ἑαυτοὺς· ἢ φίλτατα· ἥ τινα εὔνοιαν ἀποπιμπλάντες ἐπιτηδείοις. οὐ γὰρ ἑαυτοῖς ἄρα ζῶμεν μόνον ἄνθρωποι· οὐδὲ πειθόμεθα τῇ γνώμῃ· ἀλλὰ καὶ πρὸς τὴν τῶν πολλῶν ἠρτήμεθα κρίσιν· οὐδ' ὡς ὁ λόγος αἱρεῖ νομίζομεν· ἀλλὰ δυσωπούμεθα ἐνίοτε
f. 222 τοῖς ἔγγιστα· εἰ δὲ μὴ, τῆς ἁμαρτίας αὐτοὺς ἀφορμὴν | ποιούμεθα· οὐδ' αἰσχυνόμεθα ἡμᾶς αὐτοὺς· ἃ μὴ καλῶς ἔχει· ἀλλ' οὐχ ἧττον καὶ τοὺς ἄλλους καὶ φίλους μάλιστα καὶ ἀμαθεῖς, ἴσως καὶ μηδὲν ἐπαΐοντας· καὶ πολλοῦ τινος ἡμᾶς, οὐκ ἀξιοῦντας· ἀλλ' ὧν αὐτοῖς δοκεῖ· καὶ ὧν σφίσιν ὄνησις, ἡτισοῦν. καὶ οὐ τὴν αὐτῶν ἀλογίαν ἣν δὴ καθ' ἡμῶν αὐτῶν, ἣν μὴ πειθοίμεθα σφίσιν ἐπιψηφίζονται, φεύγομεν· οὐδ' ἀναδιδάσκομεν σφᾶς ἅττα βέλτιστα· ἀλλ' ἀνάγκην ἔχομεν ὡς ἀσφαλῆ· καὶ πυθόχρηστα στέργειν ἃ κρίνουσι· καὶ δουλείαν ἀντ' εὐνοίας· ἴσως τῆς πρὸς ἡμᾶς ἀλλαττόμεθα.

79. Καὶ τοίνυν δὴ σπουδάζουσιν, ἔνιοι σφόδρ' εἰς ἃ δυσχεραίνουσι, καὶ συντείνονται, πλεῖν ἢ πρὸς ἃ ἐρῶσι, καὶ γνώμης ὅλης σπουδάζουσιν ἕτεροι· καὶ οὐκ ἀποχωροῦσιν ἐν μέσοις· οὐδ'

37 ᾄττοντες scripsimus: ἅττοντες V **78,10** ἧττον καὶ τοὺς ἄλλους καὶ V[1] in ras. **14** φεύγομεν scripsimus: φεύγωμεν V **79,2** γνώμης ὅλης V: an γνώμῃ ὅλῃ?

31 cf. Plut., Mor. 777D **34** cf. Plat., Resp. 604C; Plut., Mor. 467A **35** cf. Hom., Od. 9, 187 **78,1–7** cf. Niceph. Choumn., Epist. 89 (pp. 119–121) **5** cf. Rom. 14, 7; Greg. Naz., Epist 11, 7 (I, p. 18)

ἀποτρέπονται, ὧν μὴ καλῶς ἔχειν σφίσιν ἀξιοῦσι, ξυνεῖναι· αἰσχυνόμενοι μὴ δόξαιεν, οὐ κρίνοντες δρᾶν· ἀλλ' ἡττώμενοι· οὐκ ἀποστέργοντες, ἀλλ' ὑστερίζοντες· οὐκ ἀρρενωποί τινες· ἀλλὰ νοσοῦντες μᾶλλον· οὐ περὶ ὧν ξυνορῶσιν ἰσχυροὶ· ἀλλ' ἀλόγιστοι, καὶ λειποτακτοῦντες· καὶ αὐθάδεις· οὐ φεύγοντες ὕβριν· ἀλλὰ βασκαίνοντες· οὐκ ἀπαξιοῦντες ταπεινὴν γνώμην· ἀλλ' ἀπολίτευτοι δή τινες καὶ πρόωροι. τοιγαροῦν ἄλλοτ' ἄλλας ἀείποτε μεταβολάς τε καὶ πολιτείας, κατ' ἔφεσιν καὶ νοῦν τρέπονται· καὶ οὐδέποτε ταυτὸν ἄρ' ὁτιοῦν ᾕρηνται· καὶ ξυντέθεινται σφίσιν αὐτοῖς ἐνεργεῖν, εἰς ἅπαντα τὸν βίον· ἀλλ' ὃ νῦν ἔδοξε (πῶς ἂν, εἴποι τις;), γεννικῶς, καὶ κεκύρωται, μετέδοξεν ἔπειτα καὶ μετέγνωσται· καὶ ὃ νῦν τοῦ παντὸς ἀξιοῦσι καὶ σπουδάζουσιν, ὡς οὐκ ἄλλό τί ποτε· προσῆκον μάλιστ' ἀνδρὶ σπουδαίῳ, καὶ μόνον τἀγαθὸν ἐν ἀνθρώποις, τοῦτο λοιπὸν ὂν, μεθύστερον οὐ πάνυ τοι κατωλιγώρηται, παντάπασι, καὶ περιπεφρόνηται. καὶ δοκεῖ τὸ μένειν, ἄλογον· ἀργία, φαῦλον· φησὶν, ἄκομψον. νῦν μὲν ἡσυχίας ἔρως ἄτρεπτος ἔχει· νῦν δὲ πραγμάτων ὅτι μάλιστα μετέβαλε. καὶ προΐστανται μὲν | ὡς οἷόν τέ ἐστι, πρὸς τὴν ἀόριστον δηλαδὴ f. 222v ταύτην περιπλάνησιν· ἀταπείνωτον εὖ μάλα καὶ ἀνεπίστροφον, φρόνημα· κηλοῦνται δ' ὅμως καὶ τρέπονται, πολιτικαῖς δή τισι συλαγωγίαις καὶ χάρισι· καὶ τοῖς ἀπ' αὐτῶν οὐκ οἶδ' οἷστισιν ἄρα γλυκασμοῖς, καὶ πολιτεύμασιν, ἀπὸ Δωρίου φασὶν ἐπὶ Λύδιον. καὶ ποτὲ μὲν δὴ θύουσιν εὐκολίᾳ τινὶ· καὶ καθάπαξ ἐρραστωνευμένῳ βίῳ· καὶ πάντων ἀπολύτῳ τὲ καὶ ἀπραγματεύτῳ· θύουσι δ' ἐκ μεταστροφῆς, ἄλλοτε τοὐναντίον φερεπόνῳ καὶ τολμηρᾷ γνώμῃ, κατορθοῦν καὶ πράττειν ἅττα δὴ· καὶ φέρεσθαι καρποὺς, οὓς ἂν, οἷοι τ' εἶεν. καὶ οὐδὲν ὅλως ἑστὼς· οὐδ' ὅρος εἷς ἀναμφίβολος· ἀλλ' ἄνω καὶ κάτω μεταχωρεῖ τε καὶ τρέπεται· ἀτεκμάρτοις τισὶ παντάπασι καὶ ἀορίστοις, εὐμεταβόλου φύσεως καὶ λογισμῶν, εὐρίποις· καὶ κύβοις· καὶ περικλίσεσιν, εἰς πάνθ' ὁμοῦ καὶ τἀναντία πράγματα. καὶ πάντες μὲν ἐπαινοῦσιν, ἃ πράττουσι κοινῇ·

12 ᾕρηνται scripsimus: ἥρηνται V **24** συλλαγωγίαις V a. corr. **27** τε V[1] s.l. **30** ἑστὼς scripsimus: ἑστῶς V | εἷς V e corr. **33** περικλίσεσιν V[2]: περικλύσεσιν V

79,19 cf. Plut., Cim. 4, 5 (p. 336, 18) **19–34** Metoch., Misc. 198 **25** CPG II, 302, 1; cf. etiam Metoch., Misc. 795; Id., Carm. 18, 307–308 (p. 310); Max. Tyr., Or. 29, 12–22 (pp. 237–238); Plut. Mor., 53B

λέγουσι δ᾽ ἐναντί᾽ ἔνιοι, ἢ πράττουσι· καὶ διδάσκουσι μὲν ὡς ἄριστα· δρῶσι δ᾽ ὡς ἥκιστα· χρῶνται δ᾽ οἷς ξυνορῶσι βελτίστοις, οὔ· συγχωροῦσι δ᾽ ἑαυτοῖς ὡς ἀκουσίως· καὶ τοὺς μὲν ἄλλους ἀξιοῦσι πείθειν· ἑαυτοὺς δ᾽ οὔ. καὶ σωφρονίζουσιν, ἃ μὴ κατορθοῦν ἔχουσι· καὶ προδιδάσκουσιν ἄλλους ὧν ἐλεγχόμενοι τὴν ἀτυχίαν αὐτοὶ, ἀδυναμίαν, ἀφορμὴν προβάλλονται· καὶ τῶν ἄλλων ἡγεμόνες ὄντες, ἔλαθον ἑαυτῶν, ἀποιήτως ἔχοντες. οἱ δὲ, καὶ τοῦτο πολλάκις, ἐπαινοῦσι τὲ καὶ δρῶσι, τἀναντί᾽ οἷς προσεῖχον πρότερον· καὶ οἱ μὲν, ὀψὲ δὴ τῶν χρόνων· οἱ δὲ, καὶ σφόδρα ἔγγιστα· οἱ μὲν, ἑαυτοὺς αἰσχύνοντες ὡς ἔοικεν, ὡς ἀμαθεῖς τοσαῦτα πάντως ἔτη πρότερον· ἃ κακῶς εἶχον, οἷς ἐχρῶντο· οἱ δὲ, τοὺς ἄλλους ἢν μὴ ξυνορῷεν καὶ κατελέγχοιεν, τὸ τάχος μεταβαλλόντων ἀναίδην οὕτω.

80. Καὶ μὴν τἀγαθὸν, ἅπαντες ἑαυτοῖς οἶμαι ζητοῦντες, καὶ
f. 223 βέλτιον ὡς ἔξεστι καὶ | ῥᾷον· καὶ ἄλλος ἄλλο τοῦτο νομίζων· καὶ ἄλλοτ᾽ ἄλλως ἴσως ἕκαστος, οἱ μὲν, ἐν πράγμασι δή τισι τοῦτο ζητοῦσιν, ἤν που λάχωσιν· οἵ δ᾽ ἐν ἀπραγμοσύνῃ μάλιστα· καὶ ἠρεμίᾳ τινι· οἵ δ᾽ ἐν ἄρα τελείᾳ φυγῇ, καὶ πάντων, ὡς οἷόν τέ ἐστιν· οἱ δὲ, οὐκ οἶδ᾽ ὁτῳοῦν ἄλλῳ· καὶ πάντες ὅμως σχεδὸν εἰς ἕκαστ᾽ ἀφ᾽ ἑκάστων πολλάκις τοῦ βίου, καὶ τῆς ζωῆς μεταχωροῦσι καὶ μετατίθενται· καὶ πολλοὶ μὲν καὶ τοῖς πράγμασιν αὐτοῖς εἰς προὖπτον· πολλοὶ δὲ ταῖς γνώμαις· τοῖς ἔργοις οὐκ ἔχοντες. καὶ μὴν πολὺς ὁ πλάνος ἐνταῦθα, οὐχ ἧττον διὰ τὰ ξυμπίπτοντα ἑκάστοτε, ἢ τὸ τῆς ὕλης καὶ τῆς φύσεως ἀστάθμητόν τε καὶ ῥέον ἀεὶ· καὶ οὐδενὶ πιστὸν, οὐδ᾽ ἀκλόνητον. πολλοὶ γὰρ δὴ φεύγουσιν ὧντινων ἄρα καὶ προσχωροῦσιν ἑτέροις, οὐχ ἧττον δι᾽ ἀνάγκην ἡντιναοῦν ἅττα δὴ ξυμπίπτει, ἢ κατὰ γνώμην ἀμέλει σφετέραν ἑαυτῶν. καὶ πολλοὶ τοὔμπαλιν οὐ δι᾽ ἑαυτοὺς, ἀλλ᾽ ἀβουλήτως καὶ ὃν εἴρηται τρόπον, παραμένουσιν, οἷς ἄρα, οὐχ ἥρηνται· οὐδὲ αὐτοῖς ξυνδοκεῖ· καὶ ὧν μάλιστ᾽ ἐρῶσιν, οὐχ ἑκόντες ὄντες ἀποτρέπονται. φεύγουσι δ᾽ ἔνιοι μὲν τὰ πράγματα· δι᾽ ὀλιγωρίαν ἀληθῆ· σπάνιον τὸ χρῆμα, οἱ δὲ, διὰ σφοδρὸν μάλιστα πόθον, ὡς ἂν, αὐτῶν ἀτευκτοῦντες· οἱ δὲ, δι᾽ ἀργαλεότητα τὴν ἐν αὐτοῖς, ἀκύμονα ποθοῦντες βίον· οἱ δὲ, δι᾽ ἔρωτα θεωρίας καὶ νοῦ· καὶ κτῆσιν ἐπιστήμης· καὶ δόξης ᾗ συνέτυχον ἂν, δόξαν ἀλλαττόμενοι·

80,1–8 Arist., Ethic. Nicom. 1095a20–30 **21** cf. Plut., Mor. 465A

καὶ ἡδονὴν ἡδονῆς· οἱ δὲ, δι’ ἀνάσκητον ἐν αὐτοῖς γνώμην· οἱ δὲ, διὰ βασκανίαν· ἣν τὲ βασκαίνουσι τοὺς ὑπερέχοντας, καὶ ἣν ὑπ’ αὐτῶν, πάσχουσι κακοδοξοῦντες. οἱ δὲ, διὰ παντελῆ τύχης ἐρημίαν, σεμνοὶ φιλοσοφοῦσιν ἐφ’ ἑαυτῶν· καὶ πλάττονται ὥσπερ ἐν σκηνῇ τινὶ, τὴν ἀναλγησίαν· παραχωροῦντες, ἃ μὴ δύνανται· καὶ φεύγοντες ὧν εἰσι πάνυ πόρρω· καὶ κατολιγωροῦντες ὧν οὐκ ἔχουσι. καὶ ἃ μή πως ἔξεστιν, οὐ βούλονται· μᾶλλον δὲ βούλονται μὲν, πλάττονται δ’ οὒ, καὶ νοσοῦσιν, ἐφωπλίσθαι δὲ | φασὶ καὶ f. 223v σφόδρα ἐρρῶσθαι. καὶ γαλήνην μὲν ἀείποτ’ ἔχειν φασί· κῦμα δ’ ὕπουλον διὰ παντὸς κυλίνδει πόντον Αἰγίνης, ἡ παροιμία φησὶ, καὶ χειμὼν ἔσω λογισμῶν, τοῖς ἀνδράσι στροβεῖ τὰς ψυχάς. καὶ κρατύνονται μὲν δῆθεν, πρὸς ἅπαντα πράγματα· ἐλέγχονται δ’ ἣν ἄρα τύχωσι· κἄν πού τις αὖρα, καὶ βραχεῖα σφίσι προσπνεύσειεν, αὐτίκα αὐτόθεν μεταβέβληνται προδήλως καὶ προσετράπησαν· καὶ πρύμναν ἐκρούσαντο· καὶ πλησίστιοι φασὶ φέρονται· καὶ πρὸς τὴν τῆς τύχης ἔφοδον ταύτην, Γοργόνα Περσεὺς ἐχειρώσατο· καὶ ὁ τέως ἐκεῖνος ἀήττητος, καὶ πάντων παντάπασιν ἀνεπίστροφος, κέχηνεν ἄελπτον πρὸς δέλεαρ φησὶν ἡ ποίησις, θῦννος βολαῖος ὥς, στροβούμενος· καταγελώμενος· οὐ τῆς νῦν μετὰ τῶν πολλῶν ὡς ἄν τις ἐρεῖ συμπαθείας· τῆς δὲ πρότερον ἀηθείας ἐκείνης τε καὶ ἀγερωχίας.

81. Καὶ οἱ μὲν, οὕτως. οἱ δὲ, τοσοῦτον ἄρα τῆς κατὰ τὴν τύχην εὐπλοίας, ἐξ ἀρχῆς ἡττήθησάν τε καὶ συνηρπάγησαν· καὶ ὅλως ὑπόκουφοι δή τινες, γεγόνασι καὶ μετέωροι, ὥστε καὶ παντάπασιν, ἑαυτῶν ἐλάθοντο· καὶ σφᾶς ἠγνοήκασι. νομίζουσί τε τὴν μὲν τύχην, ἀμέλει τἀγαθὸν· τὴν δὲ φύσιν ἔλαττον· ἢ τὸ μὲν, ἴσως ἡγεῖσθαι· τὴν δὲ φύσιν σύμψηφον· ὡς ἄρ’ ὅπου δὴ τὴν τύχην οὖσαν, ἐκεῖ λοιπὸν ἕπεσθαι καὶ ξυνεῖναι, πάνθ’ ὁμοῦ, πράγματα· καὶ πᾶσαν ἀρετὴν φύσεως καὶ εὐαρμοστίαν. καὶ τὸ πάντων

80,40 θῦννος V: servavimus **81,1** τὴν V[1] s.l.

30–37 Phil. Iud., De ebr. 58 (pp. 169, 23–32) et De vita Mos. 1, 30 (p. 107, 2–5); Metoch., Misc. 328–329 **32** Metoch., Misc. 366 **35–37** cf. Phil. Iud., De mut. 215 (p. 178, 30–32); Metoch., Carm. 19, 288 **38** CPG II, 349 **40–41** Plut., Mor. 554F **81,1–8** Phil. Iud., Leg. 1 (p. 121, 5–9)

μάλισθ’ ὡς ἀληθῶς πλάνον καὶ πάντων ἀσταθμητότατον αὐτὴν, μόνον εἶναι, δοκοῦσι τἀληθέστατον· καὶ πάντων ἀσφαλέστατον· καὶ σὺν αὐτῇ δὴ μόνοι τὰ πάντων ἔχειν· μόνοι τὰ πάντ’ εἰδέναι, τά τ’ ἐόντα τά τ’ ἐσσόμενα· πρό τ’ ἐόντα· καὶ πρὸς πάνθ’ ὁμοῦ πανδέξιοί τινες εἶναι δρᾶν, καὶ κατορθοῦν εὔθηκτοι· ἐν Ἕλλησι φασὶ γράμματα διδάσκειν· ἐν Γαλάταις, ὅπλα· ἐν Σκύθαις, τόξα· ἐν Λυδοῖς, ὀρχεῖσθαι καὶ κατ’ οὐδὲν ὁτιοῦν οὐδὲ τὸ φαυλότατον [...]

f. 224 **82.** | παραβαλλομένων· τῶν μὲν, ὑψουμένων ὅσαι ὧραι καὶ καθ’ ἑκάστην τῆς ἀγαθῆς τύχης προϊόντων· τῶν δὲ, τοὔμπαλιν ξυμπιπτόντων τὲ καὶ ὑπορρεόντων· τῶν μὲν, πολυταλάντοις πλούτοις ὑβριζόντων τὲ καὶ ἐντρυφώντων· τῶν δὲ, ὑπὸ ἐσχάτης πενίας, ἀγχομένων τὲ καὶ προσταλαιπωρούντων· τῶν μὲν, μετὰ τῆς εὐπραγίας ἅπαντα εὐπλοούντων· καὶ κατορθούντων εὔδρομα ἐπιδιδόντα· τῶν δὲ, μετὰ τοῦ ἐναντίου ξυντηκομένων τὲ καὶ ὑποσυλωμένων, καὶ τὰ προσόντα· καὶ καθόλου, τῶν μὲν, καὶ λέγειν καὶ δρᾶν ὁτιοῦν ἰσχυόντων καὶ κατὰ τῶν ἄλλων· τῶν δὲ, πάντα ἡττῆσθαι καὶ φέρειν ἀνάγκην ἐχόντων. ταῦτα μέντοι πάντα σφόδρα κλονεῖ καὶ διασείει τοὺς λογισμούς· καὶ ὅστις ἀνδρικώτατος. καὶ τὸ μὲν ἄρα προσέχειν τούτοις· καθάπαξ καὶ προσηρτῆσθαι νομίζοντας ἀσφαλῶς τε ἔχειν, καὶ πάντα διαρκῶς, ἀληθῶς εὔηθες· τό δ’ αὖθις ἅπαντα μετρίως φέρειν· καὶ παντάπασιν οἶμαι περιφρονεῖν, ὡς ἄρα γίγνοιτο, κομιδῇ δυσχερές. ὡς δ’ ὅμως οἷόν τέ ἐστιν ἐπὶ τούτοις ἀνθεκτέον, πᾶσα ἀνάγκη τῶν βελτίστων λογισμῶν· καὶ τὴν εἰρημένην ἤδη ταύτην ἀνωμαλίαν ἐντεῦθεν, ἰατέον καὶ καχεξίαν· καὶ μὴ παντάπασιν ὀλιγωρητέον· πρὸς τὸ κοινὸν ἀφορῶντας ὡς ἐφάμεθα τόδε τοῦ βίου κατάντημα· ἔνθα δὴ τάχιστα ταῦτα πάντα, κατολίγον ἐμπομπεύσαντα ἡμῖν, ὑποχωρεῖ τε καὶ ὑπεξίσταται· τοῦτο δὴ δοκοῦντας μόνον δεδόσθαι ἀλεξητήριον, τῆς ἐπὶ τοῖς γιγνομένοις τῶν λογισμῶν νόσου τὲ καὶ τροπῆς.

9 ἀσταθμητότατον V²: ἀστάθμητον V **10** πάντων V²: πάντ’ V **15** post φαυλότατον folia duo ceciderunt in V **82,7** ἐπιδιδόντων V a. corr. **20** ἐμπομπεύσαντα V¹: ἐμποπεύσαντα V **21–22** ἀλεξητήριον scripsimus: ἀλεξιτήριον V

9 cf. Max. Tyr., Or. 5, 143–144 (p. 43) **12** Hom., Il. 1, 70 **14** cf. Plut., Mor. 163F

83. Καὶ μὴν οἶμαι νομίζουσιν ἕτερον ἔνιοι τρόπον, ὡς ἔτ' ἔξεστιν ἀμέλει πρὸς ἅπασαν τύχην παραβαλλόμενον αὐτόν τινα ἑαυτὸν, ἕκαστον ἐπανισοῦν καὶ μηδενὸς ἡττῆσθαι· μηδ' ἂν, εἴ τι γίγνηται, τῆς οἴκοθεν ὁρμῆς τε καὶ γνώμης πρὸς ἅπαντ' ἐρρωμένως παρεσκευασμένον. ὅλως μὲν γὰρ ἥντινά τις ἐρεῖ τύχην ἅπασαν, ἀπατηλόν τέ ἐστι καὶ πλάνον· καὶ παντάπασι καὶ ἀείποτε ψεύδεται· καὶ οὐδὲν ἄρα μήποτε πρὸς οὐδένα | ἀνθρώπων f. 224v ἔχει πιστόν· ἄν τ' ἀγαθή τις, ἄν τε φαύλη· καὶ σώφρων ὡς ἀληθῶς ἐκεῖνος ἄνθρωπος, ὅστις μὴ πάντα ἐν πᾶσι ταύτῃ προσνένευκε· μὴ δ' ἐπιπείθεται· ἡμὲν καὶ χερείοσι δαίμονος ἠδὲ καὶ ἐσθλοῖς· ἀλλ' οἶδε μὲν τοῦτο μάλιστ' ἀσφαλῶς ὡς ἔστιν· ἐκ βελτιόνων ἀλλάξασθαι χείρω· καὶ χρυσέων ὡς ἀληθῶς χάλκεα· καὶ μεθ' ὑγείαν νοσεῖν· καὶ μετὰ πλοῦτον πένεσθαι· καὶ μετ' εὐδοξίαν ἄκρατον, ὥσπερ ἀνδράποδον ἐπιτρίβεσθαι· καὶ τὸν χθές τε καὶ πρώην καὶ νῦν ὑπερύψηλον, ὅσον οὐκ ἤδη μελλήσειν κατατίθεσθαι τὸ δράμα· καὶ τὴν σκηνὴν ταύτην ἀλγεινότατα μὲν αὐτῷ, καταγελαστότατα δὲ τοῖς ἐχθροῖς καὶ βασκαίνουσιν· οἶδε δὲ ὡς ἔστιν αὖθις ἐκ κακίστων ἀλλάξασθαι κάλλιστα· καὶ μετὰ χειμῶνα καὶ ζάλην πᾶσαν, καὶ κλύδωνα, πρύμναν τὲ κρούσασθαι· καὶ ἐξουρίου δραμεῖν. καὶ πάνθ' ὡς ἀληθῶς τὰ κατ' ἀνθρώπους ὡς ἅπαντες ξύνισμεν ὥσπερ ἐν ἀτεκμάρτοις πεττείαις, μεταχωρεῖ καὶ μετακυβεύεται. ἀμείβει γὰρ ὁ μέν τις εὐπραγίαν εἰς τοὐναντίον· ὁ δὲ, θάτερον εἰς εὐπραγίαν· καὶ τῷ μὲν, εὐπραγοῦντι προσδοκᾶν ἐστι τραπέσθαι καὶ χείρω τύχην, εἰ σωφρονεῖ (ἢ τί γὰρ ἕτερον;), τῷ δὲ, κακῶς πράττοντι πρόσεισιν ὅμως, ἔπειτα ἐλπίδες καὶ καλλίω μεταλαχεῖν τύχην, ἢν καὶ αὐτὸς σωφρονῇ. ὥσθ' ὁ μὲν, οἶμαι, πλουτεῖ νῦν· ὁ δὲ, ταῖς ἐλπίσιν ὕστερον. κἂθ' οὕτως ἐπανισωτέον ὡς ἔοικεν ἑαυτὸν πλέον ἔχοντα φασὶ καὶ λειπόμενον, λειπομένῳ παραπλησίως καὶ πλέον ἔχοντι. εἰ δ' ὁ μὲν, ὑβρίζει κακῶς τῇ τύχῃ φρονῶν· ὃ δ' ἀπογινώσκει τῶν ἀείποτ' ἐν προσδοκίαις ὄντων, ἑκάτερος ἁμαρτάνει πάντως, τῶν γιγνομένων οὐ ξυνιέντες·

83,10 ἠδὲ scripsimus: ἢ δὲ V **13** ἄκρατον iteravit, deinde cancellavit V **21** ἐν V[1] s.l. **30** ὃ: οἱ V a. corr.

83,11–35 cf., e.g., Bas. Caes., In princ. Prov., PG 31, 417C–420B **12** Hom., Il. 6, 236; Karathanasis 39 **21–22** Phil. Iud., Leg. 1 (VI, p. 121, 9–12) et De vit. Mos. 1, 31 (p. 107, 9–10) **23–26** cf. Plut., Caesar 43, 4 (p. 304, 20–21); Mich. Gabr., Epist. 27, 14–16 (pp. 57–58)

οὐκ οἶδα δ’ ὡς ἀληθῶς ὁπότερος μᾶλλον τῆς ἀνοίας μέμφεσθαι δίκαιος. ἁμαρτάνουσι δ’ ὅμως ἀμφοτέροις, ἔλεος ὀφείλεται καὶ συγγνώμη· καὶ παιδευτέον, εἰ οἷόν τέ ἐστι τοὺς ἄνδρας, καὶ ἀνορθωτέον ἀγνοοῦντας, οὐ συναμαρτητέον νοῦν ἔχουσι.

84. Καὶ μὴν ἀμφοτέρωθεν ἄν, οὐκ ἀηδῶς ἔχειν μοι δοκεῖ τὸ f. 225 πρᾶγμα, | [...] δραμεῖν τε καὶ τῆς τοσαύτης εὐπραγίας· αἰχμαλώτους ἀνδραποδίσασθαι, σφᾶς καὶ κατατυραννῆσαι. δοκοῦσι τέ μοι καθάπερ ἐν χειμῶνι λογισμῶν ἀείποτε ναυαγεῖν· ἐπ’ ὀλίγου σκάφους μεγίστην εὐδαιμονίαν ἐμπορευόμενοι· καὶ μηδέποτ’ ἀνύποπτοι κινδύνου πλέοντες· ἀλλ’ ἐν χρῷ πάντοτ’ εἶναι καὶ βιοτεύειν νομίζοντες τοῦ δεινοῦ. τοιγαροῦν σφόδρα τὲ δεδίασι διαπαντὸς· καὶ ἴδῃς ἂν αὐτοὺς, μνημονικωτάτους πλεῖν ἢ κατὰ τοὺς ἄλλους, αὐτοῦ τοῦ θανάτου, ὃν ὡς ἔφεδρον ἐπίβουλον· καὶ χαλεπὸν τύραννον, καὶ συλητὴν ἀείποθ’ ὑφορῶνται καὶ προφέρουσι. καὶ ὥσπερ οἵ τινας δυσοδίας· καὶ χώρους ὑπόπτους τὲ καὶ δυσαντήτους, καὶ αὐτοὶ τὸν τῆς ζωῆς ἅπαντα χρόνον μεθ’ ἁπάσης τῆς οὐσίας παριόντες, ἀνδραποδιστήν τιν’ ἐνταῦθα τὸν θάνατον· καὶ λωποδύτην ἑκάστοτ’ ἐλλοχεῖν νομίζουσι· καὶ μέγιστον ἀείποτε τὸν φόβον· καὶ πλείστην ὅσην τὴν ἀνίαν, εἰς ἅπασαν τὴν ζωὴν ἐκτραγῳδοῦσι καὶ καταστένουσιν· ἐλεεῖσθαι τοῦ πάθους· οὐ θαυμάζεσθαι τῆς τύχης ἄξιοι.

85. Μᾶλλον δ’ ὅπερ ὁ λόγος ἐξαρχῆς εἶχεν, ἐνταῦθα δὴ προσεκτέον εἶναί μοι τοῖς ἀνδράσι δοκεῖ· καὶ τοσοῦτο συλλογιστέον ὡς ἅπασα δυσπραγία τὲ, καὶ τῶν δοκούντων ἀγαθῶν ἀτευξία πρὸς τοὺς τοσούτους ἐργώδεις, καὶ πονηροὺς κομιδῇ φροντισμοὺς, καὶ τὴν ἀγχόνην τῶν λογισμῶν, τούτων ὧν εἴρηται νῦν· οὓς αἱ μεγάλαι τύχαι τρέφουσι, μέγ’ οὐδὲν ὄντως· οὐδὲ χεῖρον ἀλλ’ ἐπανισοῦται. ὅλως μὲν γὰρ ἅπασαν ἡδονήν τε καὶ λύπην, οἱ λογισμοὶ τίκτουσι καὶ ὡς ἔχει τις ἀμέλει φρονήματος, ἀμφότερα οἶμαι πάσχει· καὶ δι’ ἑαυτὸν κακῶς τε πράττει καὶ μή. μᾶλλον δ’ ἔξεστιν ἴσως, ἔοικεν ἀπονώτερον, διάγειν τῶν λογισμῶν καὶ

84,2 post πρᾶγμα folia quattuor ceciderunt in V **11** τινας V^1: τινες V
85,4 καὶ^1 V^2 s.l. | καὶ ante κομιδῇ erasum in V

85,7–8 cf. Ioh. Chrys., In epist. I ad Cor., PG 61, 330, 57–58

ἀνεπαχθέστερον ἐπὶ ταπεινῆς τύχης ἢ λοιπὸν ἐπ' ἀμείνονος. καὶ τὸν μὲν, ἀνιᾷ τὰ πράγματα μὴ παρόντα· τὸν δὲ, παρόντα μὲν νῦν ἀλλ' ὅμως | ἀνάγκη πᾶσα, ὕστερον ἀφαιρησόμενα, σφόδρα ἀνιᾷ. f. 225v ἡ γὰρ μετὰ τὴν πεῖραν στέρησις, ἀλγεινότερον· τὸ δὲ μέλλον ἐνταῦθ' ὡς ἤδη παρὸν ἀσφαλέστατον.

86. Τοιγαροῦν δεῖξον ὡς κρεῖττον εἶ τοῖς λογισμοῖς (δύνῃ δὲ), καὶ νενίκηκας τὸν ὑπ' αὐτῶν ἀείποτ' ἀγχόμενον. δεῖξον ὡς ὁ μὲν, ἔξωθεν εὖ ἔχει· σὺ δὲ γαλήνην ἔχεις, ἐντὸς καὶ διάθεσιν ἵλεων· ὁ μὲν, ἀλλοτρίοις, αἴρεται· καὶ θαρρεῖ τοῖς οὐχ ἑαυτοῦ· σὺ δὲ τῆς αὐτὸς αὑτοῦ παρασκευῆς ἔρρωσαι. καὶ τοίνυν τῷ μὲν, δῆλον, ὡς οὐχ' ἑαυτοῦ δεῖ· τινῶν δ' ἄλλων ἔξωθεν· σοὶ δὲ σαυτοῦ καὶ νοῦ σώφρονος· ῥᾷον δὲ σαυτὸν ἔχειν ᾗ βούλει πάντως, ἤ τι τῶν ἔξω. μὴ δὴ κάμῃς σεαυτὸν, ὡς ἔξεστιν εὖ ποιῶν· ἔξεστι δὲ, οὐ πάνυ τοι δυσχερῶς. εἴρηται, πολλάκις εἴρηται. νικᾷ τῇ τύχῃ; νίκα τοῖς λογισμοῖς. ὑβρίζῃ; μὴ ταπεινοῦ. ἔμπληκτός ἐστιν; ὑγίαινε σύ. ἐπιδείκνυται τὴν εὐπραγίαν καὶ τετύφωται κατὰ σοῦ, ὡς ἔχων τι πλέον; μάλιστα μὲν μὴ πείθου· πλάττεται. ξύνοιδεν ἑαυτῷ, μηδὲν ἀληθὲς ἀγαθὸν ἔχοντι, ἣν ὅλως νοῦν ἔχῃ. εἰ δὲ μὴ, δεῖξον, ἀλλ' οὐδ' ὡς αὐτὸς ἀλγεῖς· οὐδ' ἧττον ἔχων φρονεῖς· ἀλλ' εἰς ταὐτὸν ἀξίωμα γνώμης διάγεις περὶ αὐτοῦ· καὶ ξυναισθήσεται, μηδὲν λοιπὸν πλέον ἔχων· ὅτι μὴ δὲ τοῦ φρονήματος πλέον, ἐν ᾧ τὸ ἥδεσθαί τε καὶ μή· καὶ σφόδρα ὀδυνήσεται τὸ σὸν ἀνάλγητον. ἐπιθήσεταί σοι λοιπὸν καὶ κακῶς δράσει· κράτος ἴσως ἔχων, ὡς ἂν, ἀνιάσῃ καὶ δείξῃ τι πλέον ἔχων αὐτός; ἀντεπίδειξον ὡς οὐκ ἐντρέπῃ· πρὸς δὲ τὸ μέλλον ὡς ἤδη παρὸν ὁρᾷς· ἐν ᾧ μάλιστα μὲν, οὐκ ἀπροσδόκητον ταὐτὰ παθεῖν παρ' ἄλλου, καὶ αὐτὸν, ἃ νομίζει προστρίβεσθαί σοι δεινά. εἰ δὲ μὴ, βραχὺς ὅμως ὁ χρόνος· καὶ ἀμφοτέρους δεήσει πάντως κεῖσθαι, τοῦ μηδενὸς ἐπίσης ἀξίους· καὶ πλέον ὁντιναοῦν ἑτέρου μὴ φέροντα. ἂν τοῦτο ἐπιδείξῃ· καὶ οὐκ ἀνιάσῃ, | σφόδρα αὐτὸς, ἀνιάσεται καὶ πεπλήξεται, μέσην f. 226 αὐτὴν τὴν καρδίαν, ὅτι μηδὲν τῆς τύχης ἔχει σου πλέον. κατακερτομήσει λοιπὸν καὶ καταμωκήσεται· φιλοσκώμμων τις ὢν, καὶ

12 τὸν[1] V[2] s.l. : τὸ V **15** ἀσφαλέστατον V[2]: ἀσφαλέστερον V **86,1** καὶ post δύνῃ erasum in V **3** ἔξωθεν V[1]: ἔσωθεν V **6** σοὶ V[2]: σὺ V **10** ὑβρίζῃ V: an ὑβρίζει? **19** ἀνιάσῃ V[1]: ἀνιάσει V **20** δὲ V[1] in marg. **21** νομίζει scripsimus: νομίζῃ V

φιλαίτιος· ὡς δῆθεν ἐντεῦθεν ἀπελέγξων ἑαυτὸν πλέον ἔχοντα, καὶ σέ γε ἡττημένον; ἂν μὲν ἐπὶ πολλοῖς μάρτυσι καὶ παρρησίᾳ δι' ἐξουσίαν, οὐδ' αὐτὸς εἰ βούλει ταυτὰ κακῶς δρᾶν ἀπορήσεις, τῶν ἀκροασομένων, οὐδ' ἄν, ὅπως ἔχοις, οὐδ' ἂν ὅπως πράττοις, ἀλλ' εὑρήσεις οὕστινας δή· καί σοι παρέσονται· καὶ προσκαθεδοῦνται καὶ μάλα τοι τὰς κατ' αὐτοῦ, προθύμως αἰτίας καὶ λοιδορίας, ἀκούσονται· καὶ ἴσως καὶ κρείττους σοί γε καὶ ἀληθέστεροί τε καὶ συνετώτεροι· πάντως δ' οὖν εὐνούστεροί γε καὶ ἥδύτερον ἀκροώμενοι.

87. Πρὸς σὲ μὲν γὰρ, οὐδεὶς φθόνος· ἀλλὰ καὶ τυχὸν ἔλεος· τῷ δὲ, οἱ πλείους βασκαίνουσι καὶ μεμψιμοιροῦσιν· ἡδέως ἐπιτιμῶντες διὰ τὴν ὑπεροχὴν καὶ λοιδορούμενοι καὶ καταμεμφόμενοι. εἰ δέ γ' ἐφ' ἑαυτοῦ μόνου· ἀλλὰ καὶ σοὶ ταυτὸ τοῦτο μάλιστ' ἔξεστιν ἐπὶ σαυτοῦ· καὶ ἴσως ἐπ' ἀμείνονος ἢ κατ' ἐκεῖνον ἀκροατοῦ καὶ κριτοῦ· καὶ ὡς ἄν, τύχης αὐτὸς παρεσκευασμένος. ἐνταῦθα γέ τοι, καὶ ὁ λόγος, ἄριστός σοι θεωρὸς καὶ συνεξεταστής· καὶ μάλιστ' ἔστιν ἐν τούτοις προυργιαίτατον ἡ τῆς σοφίας παρασκευὴ καὶ λυσιτελέστατον ἐπιστραφῆναι πρὸς ἑαυτὸν γεννικῶς καὶ πορίσασθαι πρὸς τὴν ἀνίαν ἀλέξημα· κατοπτεῦσαι τὲ τἀλλότριον ἁμάρτημα, καὶ καταστεῖλαι τὰ σφέτερα αὐτοῦ· καὶ παιδαγωγεῖσθαι, καὶ παρεξετάζειν ἅμα θ' ἑαυτὸν, καὶ τὴν τοῦ γείτονος ἀντίπαλον ἀμετρίαν· ὀρθὸν τὸν λόγον ἐπίσκοπον προβαλλόμενον, ἐπ' ἀμφότερα καὶ παραστάτην δεξιὸν, μὴ κατολισθαίνειν ὥσπερ ἄρ' ἐκεῖνος ὁ βαρύστονος, οἶμαι καὶ παλαμναῖος ἐμπίπτει διόλου· καὶ δεινὰ
f. 226v πάσχει· ἄνευ χειραγωγοῦ τινος | προηγμένος· καὶ ξυνίησι καὶ δεδαπάνηται πλείστας ἐπιδραμεῖν λαβὰς παρέχων, τῷ καλῶς ἐποπτεύοντι· καὶ ἡδομένῳ δυσμενεῖ· ἀσθενὴς ὄντως καὶ εὐεπιχείρητος· τῷ καλῶς ἐσκευασμένῳ τὲ καὶ ὡπλισμένῳ, τῇ ἐκ τοῦ λόγου βοηθείᾳ καὶ νῷ σώφρονι.

88. Τοιγαροῦν, ὁ μὲν, οὐκ ἀηδῶς διάγει καὶ ξυλλογίζεται· μεθ' ἵλεω γνώμης· καὶ μετριάζει τῇ τῆς ψυχῆς εὐδίᾳ· ἐπαναπαυό-

28 ἑαυτὸν V[2]: αὐτὸν V **30** ἀπορρήσεις V a.corr. **35** γε V[2] in marg.

87,1 cf. Plat., Phaed. 61d **88,2** cf. Plut., Mor. 477A

μενος τῷ λόγῳ· καὶ ὥσπερ εὐαγώγοις τισὶ καὶ εὐδρόσοις αὔραις, ὑπ' αὐτοῦ καταπνεόμενος. ὅ δ' ἄρα ξυντέτηκε καὶ κατάγχεται· οὐδὲν μήποθ' ὁρῶν ἑαυτῷ πλέον. καὶ φιλονεικεῖ μὲν ἀείποθ' ὁτιοῦν, ἣν οἷός τ' εἴη περιγενέσθαι· οὐκ ἔχει δ' ὅστις, γένοιτ' ἄν· οὐδ' ὅ,τι χρήσαιτο ὑπ' ἀμαθίας ἐξηπορημένος. κἂν μὲν ἴσως ἔπειτ' ἀγαπῴη καὶ μετριώτερον ἄρα καὶ ἠρέμα καταπαύων χρῷτο, ἡδὺς ἄν, οὕτως εἴη τουλοιποῦ καὶ βελτίων, νοῦν τ' ἔχων τινὰ οὐδὲν ἂν ἑαυτῷ παρέχοι πράγματα· τιμῶν ἡσυχίᾳ τἄμεινον. εἰ δέ τι περιεργάζεται καὶ φιλονεικῶν ἐπέξεισί τε καὶ προσεπιδείκνυσι τὴν ὕβριν, καταπολαύειν θ' αἱρεῖται τοῦ κράτους· ἔμπληκτος ἐπιτιθέμενος ἀείποτε καὶ μεμηνώς· λόγοις τὲ καὶ οὐκ οἶδ' οἷστισι πράγμασι· τύφῳ· περιβολαῖς· ἐμπλήκτοις, ἀλογίστοις· πάντ' ἀνίσοις ὁρμαῖς· ἀκαιρίᾳ πομπικῇ· μέθαις· πᾶσι βλακεύμασι· κορδακισμοῖς· βδελλυρίαις· φρυαγμοῖς· ἀναιδείᾳ πάσῃ καὶ ἀσωτίᾳ· συνελόντ' εἰπεῖν καταχρώμενος ἀμέτρως, ἁπάσῃ τῇ τύχῃ· ὡς ἄν τι πλέον ἐντεῦθεν ἀποφερόμενος, εἰ μὲν ἔπειθ' ὅμως καὶ οὕτω, πάλιν ἐπάνεισι μετρίως, τελευτῶν οἴκαδε· καὶ ἐν ἑαυτοῦ γίγνεται· καὶ καιρὸν ὁντιναοῦν λογισμῶν δίδωσι καὶ ἀναφέρει, εὖ ἴσθι ὡς ἔτι πλέον τηνικαῦτα, πάντ' ἐλέγχει ταῦτα· καὶ οὐδὲν βέλτιον, ἑαυτῷ ξυνορᾷ χρώμενος καὶ τοῖς αὑτοῦ. εἰ δ' οὐδὲν | f. 227 οὐδαμῶς ἑαυτοῦ γίγνεται· καὶ κατ' ὀλίγον ἀποχωρεῖ, ἀλλ' ἀεὶ τοῖς τοιούτοις ἀνεπίστροφος· ἐμφιλοχωρεῖ τε καὶ πρόεισι, τότ' ἄν, εἴη μᾶλλον, ἀθλιώτερος ἑαυτοῦ τε καὶ πάντων ἄνθρωπος· καὶ οὐκ οἶδ' ὁπότερον ἄν, φαίην γελοιότερος· εἴτε δυστυχέστερος ἀηδίᾳ τοσαύτῃ καὶ νόσῳ, καὶ μοχθηρίᾳ ξυνοικῶν καὶ κατεχόμενος.

89. Καὶ Διογένης μὲν ὁ κύων παριὼν Ἀθήνησιν οὕτω· καὶ μειράκιόν τι τῶν εὐγενῶν, ἰδὼν ἐν καπηλείῳ, ἐπειδὴ καταιδεσάμενον, ἐκεῖνον, προῆλθεν ἔσω κρυπτόμενον, «ἀλλὰ σύ γε», ἔφησεν, «οὐχ ὁρᾷς ὡς ἔτι μᾶλλον ἔσω τοῦ δεινοῦ γίγνῃ καὶ τῆς αἰσχύνης, ἣν δοκεῖς φεύγειν;». πρὸς δὲ τὸν, ἔξεστιν ἴσως ἐρεῖν· οὕτως

88,3 εὐδρόσοις e corr. V **8** καὶ[1] add. V[1] s.l. **10** δέ τι V: an δ' ἔτι? **16** βδελλυρίαις: sic V, servavimus **20** λογισμῶν V: an λογισμῷ? **89,5** τὸν V[1]: τὴν V

3–4 cf. Phil. Iud., De spec. leg. 3, 5 (p. 130, 9) **7–10** cf. Id., De somn. 2, 292–293 (pp. 288, 29–289, 3) **89,1–5** Plut., Mor. 82CD

ὑβριστικώτερον καθόλου προηγμένον, καὶ κακὸν κακῶς τὲ καὶ κάκιον ἀείποτ' ἐμπομπεύοντα, τῇ τύχῃ· καὶ καταχρώμενον ἐπὶ τοῖς εὐγενέσιν, ἀνδράσι καὶ ἐλλογίμοις, ὡς ἄρα ἔχοντά τι πλέον· καὶ τῆς κατ' αὐτῶν μάχης ἑκάστοτε προϊόντα, καὶ σφᾶς ἡττημένους οὕτω παμπληθὲς τῆς ἑαυτοῦ περιουσίας καὶ μοχθηρίας, «ἀλλὰ σύ γε ὦ βέλτιστε οὐκ αἰσθάνῃ ὡς χεῖρον ἀεὶ πράττεις, καὶ προέρχῃ καὶ νικᾷς ἀεὶ σαυτὸν τοῖς κακίστοις· οὐ τοὺς σὺν λόγῳ σὲ κατοπτεύοντας καὶ κατεγγελῶντας, καὶ τῇ σῇ νόσῳ προστίθης, οὐ τῇ κατ' αὐτῶν μάχῃ καὶ νίκῃ. μᾶλλον δὲ τοῖς μὲν, καὶ εὐχερέστερον κατὰ σαυτοῦ δίδως νικᾶν· καὶ ῥᾷον, ἢ τέως ᾤοντο· σαυτόν δ' ἄγχεις μᾶλλον καὶ καταστρέφεις· ὥσπερ οἱ κατὰ τῶν κοντῶν ὠθούμενοι χοῖροι· καὶ προσβιαζόμενοι μᾶλλον ἁπάσῃ ῥώμῃ τοῖς θηρευταῖς, ἀπονώτερον τὸν κατ' αὐτῶν ὄλεθρον ἀπεργάζονται. νομίζων τὲ κατ' αὐτῶν ἀκολασταίνειν τὲ καὶ ἰσχύειν, σαυτὸν ἀθλίως ἀπόλλυς· εἰ καὶ μὴ νῦν γε δι' ἀμαθίαν, οὐ δοκεῖς, τοῖς αὐτὸς αὑτοῦ νοσήμασι καὶ κακοῖς ἐπεντρυφῶν. οἱ δὲ, ξυνορῶσι τό τε βέλτιον καὶ μή· καὶ λόγῳ κρίνουσιν, ὃν συνέμπορον σφίσι· f. 227v μᾶλλον δ' ἄγρυπνον ἡγεμόνα καὶ διδάσκαλον ἔχουσιν· ὧν τὲ | ἥδεσθαι χρὴ· καὶ ὧν τοὐναντίον, παιδαγωγοῦντα περὶ τούτων αὐτῶν τῶν ἡδέων τὲ καὶ λυπηρῶν ἀκριβέστερον, ἐπαΐειν καὶ τεταγμένα βαδίζειν κατὰ τὴν παροιμίαν.»

90. Καίτοι γ' ἐνίων καὶ τοῦτ' ἔξεστιν ἀκούειν, ὡς ξὺν ὀλίγῳ μάλιστα νῷ, βιωτέον ἂν, εἴη, ἢ λόγον τε καὶ φρόνησιν· προσπορισαμένους πλείστην. μηδὲ γὰρ εἶναι πλέον ἐντεῦθεν· ἄλλ' ἢ πλέον τὲ ξυνιέναι· καὶ πλέον ἀνιᾶσθαι· ἄμεινον δ' εἶναι πολλῷ, μήτ' ἐπαΐειν περὶ τῶν ὄντων, πλεῖστον, καὶ βιοῦν ἀπονώτερον. οὕτω δὴ πόρρω παντάπασιν ἀνοίας τὲ καὶ ἀμαθίας, σπουδάζουσι καὶ τοῦ παρόντος ὅπως ἂν, ἥδοιντο μόνον, εἰσὶν ἐρασταί. πρὸς οὓς, οὐκ οἶδ' ὅ,τι ἂν, τις καὶ ἐρεῖ· μηδὲν οὕτως ἀμέλει ξυνιέντας μὴ δὲ βουλομένους. ὅμως δὴ πευσόμεθα τῶν ἀνδρῶν, τοσοῦτο βραχὺ, εἰ

19 ἀκολασταίνειν V[2] e corr. **90,6** ἀνοίας V[2]: ἀνίας V

16–18 cf. Plat., Euthyd. 294d; cf. etiam Metoch., Misc. 381 **26** cf. Ael. Arist., Or. 46 (p. 159, 20–21) **90,1–3** cf. Soph. Aj. 554; cf. etiam Macar., Apocr. 4 (p. 250, 20–21) **9–11** 12 cf. Ps.-Plat., Alc. I, 134e–135a; Dio Chrys., Or. 14, 13 (II, pp. 229, 25–230, 3)

καὶ πλέειν μέλλοντες βούλοιντ᾽ ἂν, πλέειν, ἀξυνέτως παντάπασι καὶ ἀπρομηθεύτως, πρὸς ἅπασαν καὶ ἀνέμων ἐπιβουλὴν, καὶ χειμῶνος καὶ πειρατῶν ἐπήρειαν· ἵν᾽ ἀφροντιστότερόν τε καὶ ἀπονώτερον πλέοιεν· καὶ οὐ δέοι ἂν, σφᾶς πράγματ᾽ ἔχειν, ἑκάστοτε καὶ τρέπεσθαι πρὸς τὴν χρείαν, καὶ πονεῖν πλεῖστα· νῦν μὲν περιορῶντας τὸ πνεῦμα· καὶ χρωμένους ἄλλοτ᾽ ἄλλως, τοῖς καλῳδίοις τὲ καὶ ἱστίοις· νῦν δ᾽ ὑφορωμένους, ἐχθρῶν ἔφοδον καὶ χειμῶνος ἀκμὴν· καὶ ἀνέμους ἐξώστας τὲ καὶ δυσαντήτους· καὶ τόπων· καὶ λιμένων δυσχέρειαν· καὶ νῦν μὲν, φεύγειν ταῦτα· νῦν δ᾽ ἐκεῖνα τολμᾶν τε καὶ εὐθαρσεῖν· καὶ τἆλλ᾽ ἅπερ οἱ τέχνῃ καὶ σὺν νῷ πλέοντες, πλεῖσθ᾽ ὅσα φροντίζειν ἔχοντες ἀνάγκην ἀείποτε καὶ πονεῖν.

91. Πρὸς γοῦν ταῦτα, τί δὴ φασὶν· εἰ βούλοινθ᾽ ὅπερ ἔλεγον, ἀπηλλάχθαι πάντων ὁμοῦ· καὶ μηδὲν ἐν νῷ κάμνειν καὶ δεδιέναι· πλέειν δ᾽ ὡς ἔτυχεν, ἀνυπόπτως τὲ καὶ παντάπασιν ἀπεριμερίμνως; τί δ᾽ εἰ καὶ στρατεύοντες βούλοιντο, καθάπαξ ἄοπλοί τε καὶ ἀνεπαίσθητοι, παντὸς δεινοῦ χωρεῖν ὁμόσε καὶ μηδὲν προορᾶν | f. 228
μήτε φυλοκρινεῖν· ὡς τὸ μὲν, τολμητέον· τό δ᾽ οὔ· καὶ τὸ μὲν, ἐστιν ἀνιαρὸν καὶ δέος, ἔπειθ᾽ ἅπτεσθαι· τὸ δὲ, εὔελπι· καὶ ἀντιληπτέον ἐρρωμένως· ἀλλ᾽ οὐδενὶ σὺν λόγῳ· οὐδεμιᾷ μήποτε σὺν ἀσφαλείᾳ, πᾶσιν ἀλογιστότατά τε καὶ ἀλυπότατα ἐπιέναι, διὰ τοῦτ᾽ αὐτὸ τὸ ἄφροντι καὶ ἀδεὲς, οὐκ οἶδα μέχρις ὅτου; μαίνοιντο μέντ᾽ ἂν, εἰ οὕτω δρῷεν· εἰ οὕτω πλέοιεν· εἰ οὕτω στρατεύοιεν. τὸν δ᾽ αὐτὸν οἶμαι τρόπον, καὶ βιωτέον ἐστὶ· καὶ μηδὲν μηδαμῶς τῶν τὰ τοιαῦτα λεγόντων, οὔ ποτε ἀποδεκτέον. πλέειν γάρ ἐστιν ὡς ἀληθῶς καὶ τὸ βιοῦν· καὶ σωφρόνως ἐστὶν ἦν σὺν ὅτι πλείστῳ νῷ τε καὶ προμηθείᾳ, καὶ στρατεύειν τοῦτ᾽ ἐστὶ· καὶ σωφρόνως αὖθίς ἐστὶν, ἢν τὸν αὐτὸν τρόπον ἅπαντα δηλαδὴ καταλογιζομένους καὶ κρίνοντας, κἂν δέοι τούτων ἔσθ᾽ ἅτινα ὑφορᾶσθαι καὶ ἀνιᾶσθαι· καὶ ἴσως τὰ πλείω· κἂν δέοι μή. οὐδὲ γὰρ τοῦτ᾽ εὔλογον οὔθ᾽ ὅλως

15 πνεῦμα V[2] : πνα V in abbreviatura **19** εὐθαρσεῖν V[2] e corr. | οἱ V[2] e corr. **91,6** φυλοκρινεῖν V[1]: φιλοκρινεῖν V **9** ἀλογιστότατα V[1]: ἀλογιστότα V ἐπιέναι V[1]: ἀπιέναι V **10** μαίνοιντο V[2]: μαίνοιτο V

91,4–16 cf. Plat., Euthydem. 279e–280a **15** cf. Max. Tyr., Or. 13, 83 (p. 112)

νοῦν ἔχον (πόθεν; πολλοῦ γε καὶ δεῖ), διὰ τὸ τὴν πεῖραν τέως, καὶ ξυναίσθησιν φεύγειν τῶν ἀνιαρῶν, ἐσχάτην πάντων παντάπασιν ἀμαθίαν, ἑαυτοῦ κατεύχεσθαι· καὶ ὡς ἂν, μηδὲν ἀνιῷτο, πρὸς μηδὲν ἐπαΐειν· καὶ ὡς ἂν, μηδενὸς ἅπτοιτο δυσχερῶς, μηδενὸς ἅπτεσθαι ξὺν νῷ. καὶ ὀρχεῖσθαι μὲν οὐκ ἔστιν ὅτι μὴ σὺν τέχνῃ· καὶ λύραν οἶμαι κρούειν οὐχ ὡς ἔτυχεν· οὔτ' αὐλοὺς· οὔτε κιθάραν· οὔτ' ἄλλην μουσικὴν ποίησιν· μὴ προορῶντ' εἰ σὺν ἁρμονίᾳ ἢ μή· εἰ δὲ μὴ, γελῷτο ἂν, ὡς ἔοικε καὶ συρίττοιτο· καὶ κακὸς κακῶς ἐμοὶ δοκεῖν ἐπιτρίβοιτο. βιοῦν δέ ἐστιν ἄμεινον παντάπασιν ὡς ἀληθῶς ἐξορχούμενον· ἀναρμόστως τὲ καὶ ἀξυνέτως τῶν τε βελτίστων, καὶ τῶν ἐναντίων· ἵνα μηδένα πόνον· μὴ δ' ἄλγημ' ἔχῃ; καὶ τὸ μέν γε σῶμα τρέφειν οὐχ ἁπλῶς οὕτως· οὐδὲ πᾶσιν οἷόν τέ ἐστιν, οὐδ' ἀλογίστως· καὶ μάλιστ' ἂν, εἴ τις τύχῃ νοσερὸν ἔχων, καὶ εὐόλισθον· ἀλλ' ἐξετάζοντα πάνυ τοι πλεῖστον· καὶ μετὰ
f. 228v πάσης ἐπιμελείας· | τὸν νοῦν προσέχοντα καὶ καταλογιζόμενον· ὧν τε ἐδεστέον καὶ ποτέον ἐστὶν· ὧν τε μή· καὶ ὡς τὰ μὲν, ἡδυντέον ἐστὶ, τῶν δὲ κἂν εἰ πάνυ πλείστων, ἀνιατέον ὅμως ἀπεχόμενον· εἰ μέλλει καλῶς σχήσειν· εἰ δὲ μὴ, κλαιήσει μετ' ὀλίγον· καὶ κακὸς κακῶς ὀλεῖται· ἀφροντιστῶν τε καὶ μηδὲν ἐπαΐων, περὶ τῶν εὖ τε καὶ φαύλων· καὶ πάντων ἀλογίστως ἐφαπτόμενος. τῇ δέ γ' ἔπειτα σαυτοῦ ψυχῇ, ὃ κρεῖττον μὲν ἔχεις εἴ γε ξυνίῃς· ἐπιμελείας δὲ πλείονος καὶ ἀσφαλείας δεόμενον· εἴ γε μέλλει σοι καλῶς ἔχειν ὅτι δῆτ' εὔτροπόν ἐστιν ἀεὶ καὶ πολύνοσον· καὶ πλείστας ἄρα καὶ παρὰ πλείστων ἔχει· καὶ λίαν ἐργώδεις μεταχειρίσαι λαβάς τε καὶ ἐπιβουλὰς· καὶ περὶ πλείονος ὄντως, ἡ τούτου ζημία, ταύτῃ δὲ λοιπὸν βέλτιόν ἐστιν ἀνυπόπτως παντάπασι· καὶ ἀδεῶς καὶ ἀνέτως βιοῦν οἷς ἂν, ἐντύχοι χρωμένῃ· καὶ μήτε νοῦν ἔχειν κυβερνήτην, μήτε λόγον ἐξεταστὴν· καὶ ἐπόπτην· ἅ τὲ κάλλιστα· καὶ ἃ πᾶν τοὐναντίον· ἅ τὲ ἥδεσθαι καὶ ἃ λυπεῖσθαι χρὴ· πάντ' ἀκριβῶς τε καὶ ἀσφαλέστατα ξυνιέναι καὶ κατοπτεύειν· ἀλλ' ἀλογώτατά τε εἶναι καὶ ἀπροόπτως, καθάπαξ,

19 ἔχον scripsimus: ἔχων V **29** ἔχῃ V[1]: ἔχει V **35** πλείστων V: an πλεῖστον (sine distinctione)? **36** εἰ μέλλει V[2] e corr. | σχήσειν V[2]: σχήσει V **38** πάντων V[2]: πάντως V **49** ἀλογώτατα V[1]: ἀλογώτα V

23–92,1 cf. Ael. Arist., Or. 34, 12 (pp. 239, 25–240, 3); Greg. Naz., Or. 2, 50, 1–22 (pp. 156–158) **34–45** cf. Plat., Prot. 314a **37** Mt. 21, 41 **46** cf. Plut., Mor. 601F

ὅθεν τι μελλήσει κακῶς ἕξειν καὶ ἀνιάσεσθαι· καὶ μήτε λογίζεσθαι μηδὲν οὐκ ἔχειν· οὐκ οἶδ' ὁπόσόν τινα τοῦτον χρόνον καὶ ὅπως· μήτε λυπεῖσθαι τοιγαροῦν ἐντεῦθεν; ὡς δὴ σὺ λοιπὸν ἐμοὶ δοκεῖν καὶ τυφλὸς ἡδέως ἄν, εἴης, καὶ τώ γε ὀφθαλμὼ ἀμφοτέρω μεμυκώς τε καὶ παρακεκομμένος, ἵνα μηδὲν ὁρῴης τῶν ἀηδῶν· καὶ ἕλοιο ἄν, μήθ' ὁρᾶν ὅλως, μήτ' ἀνιαρὸν μηκέτ' οὐδοτιοῦν.

92. Ἀλλ' οὐκ ἔγωγε οἶμαι ὦ βέλτιστε, οὐδ' ὅστις ὅλως νοῦν ἔχει· ἀλλὰ πάνθ' ὁρῴην ἄν· καὶ εἰ μέλλω πάντα ἀνιᾶσθαι, πάντα ἀνιῴμην, ὅμως δ' οὖν ὁρῴην. καὶ δὴ τοίνυν κἀνταῦθα ταυτὸ τοῦτο δῶρον ὑπὸ Θεοῦ τὸν νοῦν τε καὶ λόγον λαβών, πλεῖν ἢ κατὰ τὰ ἄλλα ζῷα, πλείστῳ δὴ τούτῳ χρῴμην καὶ | ἐπασκοίην, εἰς ὅσον f. 229 ἄν, ἐξείη· μάλιστα καταρτίζων εἰς τέλος τοῦ δώρου τοὖργον. καὶ εἰ μέλλω πλέον ἀνιᾶσθαι, σὺν ἀεὶ πλείονι νῷ, τοῦτ' ἄν, εἴη μᾶλλον ἢ τοὐναντίον· καὶ ἀνιῴμην· καί κεν τὸ βουλοίμην· καί κεν πολὺ κέρδιον, εἴη. ἢ σὺ μὲν θοἰμάτιον μέλλων ἀφαιρήσεσθαι, πλεῖστ' ἂν ἄχθοιο· καὶ δεινὰ πάσχειν, ἡγοῖο· μᾶλλον δὲ σὺ μὲν ἄρα εἴπερ ἐφ' οἷς ἔχεις ἐξείη σοι προστιθέναι πλείω καὶ περιουσιάζειν, ἑτοιμότατα ἄν, ἕλοιο· καὶ εἰ μέλλεις ἐπ' αὐτοῖς, πλείους καὶ τὰς φροντίδας ἔχειν· καὶ ἴσως δέος ἔτι καὶ ὑποψίαν πλεῖν ἢ πρότερον· ἐμοὶ δὲ τολμᾷς λέγειν μηδὲν εἶναι πρᾶγμα, εἰ μὴ προστιθείην ὅσ' ἂν οἷός τ' εἴην, ἐφ' οἷς τῆς προνοίας ἔτυχον λογικοῖς δώροις· καὶ προσεπαύξοιμι· κἂν εἰ μέλλω σαφέστερον κρίνειν, καὶ καθορᾶν τἀνιαρὸν καὶ θάτερον· μᾶλλον δὲ μηδεμίαν εἶναι ζημίαν, μήθ' οἷον ὑπολογίσασθαι καὶ δυσχεράναι χρῆναι, ἣν ὅτι πλεῖστον ἐμαυτὸν ὀλιγώσας τὲ καὶ καθείρξας, ᾧπερ ἔχω καλλίονι καὶ περιόπτῳ μάλιστα κτήματι, καὶ κόσμῳ, νῷ, καὶ τοῦτο δὴ παντάπασιν ἀπ' ἐμαυτοῦ διώξας, καὶ ποιησάμενος, ἔπειτα βιῴην ἀλογίστως καθάπαξ, ἀκρίτως· ἀνεπαισθήτως· πάντων ἀσυνέτως, ἐμαυτοῦ, τῶν ἔξω καὶ μηδὲν ὁτιοῦν, μήτε συνιείς, μήτ' ἀνιώμενος· καὶ τοῦτ' εἶναι

50 τι V²: τοι V **52** σὺ V²: σοὶ V | δοκεῖν V²: δοκεῖ V **54** παρακεκομμένος V²: περικεκομμένος V (fort. servandum, cf. 10, 76, 6) **92,14** προστιθείην V²: προτιθείην V

50–52 cf. Arist., Ethic. Nicom. 1174a1–8 **92,8** Hom., Il. 3, 41 **19–20** cf. Theodoret. Cyrr., De prov., PG 83, 560B

μάλιστα εὐδαιμονίαν ἄκρατον, τὸ ἀνόητον ἐρεῖν, ἔμβραχυ καὶ ἀμαθὲς· καὶ ἀνάλγητον;

93. Ἀλλ' οὐκ ἄν σοι πείθεσθαι δίκαιος εἴην, νοῦν ὅλως ἔχων καὶ σωφρονῶν. οὕτω γὰρ ἄν, οὐ μόνον τῶν ἀνθρώπων ὅσοι πλεῖστον μετέχουσιν ἀγνοίας καὶ ἀμαθίας, νικῷεν εὐδαιμονίᾳ τοὺς νουνεχεῖς καὶ σώφρονας, ἀλλὰ καὶ τούτων αὐτῶν καὶ τῶν ἄλλων, ἔτι μᾶλλον τἄλογα τῶν ζῴων· καὶ βοῦς καὶ ἵππος· καὶ ὄϊς καὶ ὗς, τὴν τελεωτάτην εὐδαιμονίαν ἀποφέροιντο· καὶ τἀγαθὸν πλῆρες ἔχοιεν, αὐτὰ μᾶλλον πλεῖν ἢ κατὰ πάντας ἀνθρώπους· ὡς οὐκ ἔστι παράλληλα θεῖναι· οὕτω παντάπασιν ἀλογίστως· καὶ ἀνεπαισθή-
f. 229v τως τῶν | ἀνιαρῶν βιοῦντα. καὶ τὸ δοκοῦν οὕτω κάλλιστον εὐεργέτημα, καὶ τῆς προνοίας μέγιστον ἀνθρώποις δῶρον, τὸ λογικὸν θεῖον, πνεῦμα· καὶ ᾧ μέγιστον ἄνθρωπος, κατὰ τῶν ἄλλων ζῴων φρονεῖ· ἐν δευτέρῳ καὶ τοῦ μηδενὸς ἄν, ἄξιον εἴη· μᾶλλον δὲ καὶ μεγίστης ἀφορμὴ δυστυχίας· ὅσα γε ἐκ τῶν νυνὶ λόγων· καὶ συμφορῶν τῶν ἀπευκταιοτάτων, ἀρχή. καὶ τὰ μέγιστα δοκοῦντες ἔχειν, καὶ ξυλλογίζεσθαι, τὰ μέγιστα ἴσως ἀγνοοῦμεν· καὶ γέλωτα προσοφλισκάνομεν οὕτω πονηρῶς ἔχοντες· ὥσπερ οἱ μεθύοντες τοὺς ἄλλους κλονεῖσθαι νομίζουσι· τοῦτ' αὐτοὶ πάσχοντες, καὶ τοὺς ἄλλους περιφέρεσθαι καὶ κακῶς ἔχειν, αὐτοὶ νοσοῦντες· μᾶλλον δὲ ὥσπερ ἔνιοι τῶν μαινομένων δοκοῦσιν εὐδαιμόνως μάλιστα πάντων ἀνθρώπων εἶναι· καὶ βασιλεύουσιν ἐν τῇ νόσῳ· καὶ προστάττουσι· καὶ πλουτοῦσι· καὶ ἥδιστα βιοῦσιν ἐν σφίσιν αὐτοῖς οἱ πάντων ἀθλιώτατοι.

94. Δέδοικα μὲν οὖν μὴ πᾶν εἴη τοὐναντίον ἐνταῦθα· καὶ μαινοίμεθ' ἄν, κατ' αὐτοὺς εἰ οὕτω λέγομέν τε καὶ κρίνομεν ἥδιστα βιοῦν, καὶ πλέον ἢ κατὰ τοὺς ἄλλους, ὁπότε πλεῖστον δυστυχοῦμεν· καὶ κακῶς μάλιστ' ἔχομεν. καὶ γὰρ εἰ μὴ τοῦτ' ἄν, εἴη, οὐκ οἶδ' ὅ,τι ποτ' ἄν, μᾶλλον εἴη τὸ μαίνεσθαι, ἄμεινον ἡγεῖσθαι τἄλογα τῶν ζῴων βιοῦν, ἢ καθ' ἡμᾶς. καὶ εἰ μὲν ἄλλος οὐκ οἶδ' ὅστις βούλοιτ' ὄϊς τὲ μᾶλλον εἶναι καὶ ὗς, ἢ καὶ ὁστισοῦν

93,16 πονήρως V a. corr. **20** δοκοῦσιν V[2]: δοκοῦσι V

93,3–4 cf. Vett. Val., Anth. 6, 1, 14 (p. 231, 32–33) **5–6** cf. Arist., Ethic. Nicom. 1099b33–34 **18–19** cf. Plut., Mor. 81F

ἄνθρωπος καὶ τῶν ἀνιαρῶν οὕτως ἀλογίστως καθάπαξ καὶ ἀνεπαισθήτως τρυφᾶν, αἱρείσθω τὲ τοῦτο· καὶ τρυφάτω· καὶ ἀγνοείτω· καὶ καθ' ἑαυτοῦ ταῦτα δὴ τὰ βέλτιστα εὐχέσθω. ἀλλ' ἔγωγ' οὐκ ἂν ποθ' ἑλοίμην· μὴ δ' οὕτω μανείην ὡς ταῦτα δόξαι, καὶ καταπροδοῦναι ῥᾷσθ' οὕτω καθάπαξ ἡδονῆς ἀλογίστου· καὶ ἀλύπου βίου, τὸν λόγον τὸ κάλλιστον τῆς φύσεως ὧν ἔχω· ὥσπερ ἐν τῷ Καρὶ κινδυνεῦσαι μέλλων ἀλλ' οὐκ ἐν αὐτοῖς τοῖς φιλτάτοις τὲ καὶ βελτίστοις, καὶ ὄντως ἀναγκαιοτάτοις τῶν ἄλλων ἁπάντων.

95. Ἀλλ' εἰ μὲν ἄρα ξυνέμιξεν ὁ Θεὸς ἀμφότερα ταῦτα | τόν τε σοφώτατον βίον καὶ ἥδιστον, ὥσπερ, οἶμαι, τοῖς πλείοσι τῶν παλαιῶν τε καὶ νέων σοφῶν δοκεῖ, τοῦτ' ἂν, ὡς ἀληθῶς εἴη τὸ κάλλιστον· καὶ ἀγαπῴην ἂν, σφόδρα τῇ ξυντυχίᾳ ταύτῃ· ἐξὸν τὲ ἅμα λόγῳ τὲ καὶ σοφίᾳ συνεῖναι, καὶ τοῖς κατὰ τὸν βίοτον, εὐπραγεῖν καὶ ἀλύπως τὲ καὶ ἡδέως ἔχειν, τοῦτό μοι δοκεῖ πάντων κατ' ἀνθρώπους εὐκταιότατον. εἰ δ' οὐκ ἔστιν οὕτως· ἀλλ' ἔστι μὲν οὗ ξυμβαίνει ταῦτα, καὶ ξυγγίνεται τυχὸν οὕτως, ἔστι γε μὴν ἔνθα ποτ' οὔ· καὶ οὐκ ἀνάγκη τις ἀμφότερα συνέλκει δεσμοῖς ἀρρήκτοις· ἐργῶδες τὲ ἐστὶ σφόδρα καὶ παγχάλεπον τἀγαθὸν τέλειον, τὴν εὐγένειαν ἔγωγε βουλοίμην μᾶλλον τῆς φύσεως, τὸ τοῦ λόγου δῶρον· καὶ ἀσκοίην οἷός τ' ὢν, εἰς ὅσον ἂν, ἐξείη κράτιστον, ἑαυτοῦ καὶ τελεώτατον· καὶ καθαρώτατον· καὶ εἰ μέλλει μοι πράγματ' ἔνια παρασχεῖν, καὶ μὴ παντάπασιν ἐρρᾳστωνευμένον βίοτον, ξυλλογίζεσθαι. εὖ γὰρ τοῦτ' οἶδ' ὡς οὐ παντάπασιν ἀνιαρώτατον. τοῦτ' οὖν αὐτὸς ἐμαυτῷ προτίθημι· τοῦτ' ἀξιῶ· καὶ σοί γε ὦ φιλότης τοῦτο βούλομαι ξυνδοκεῖν· ἢ παντελῶς ἀσυνέτως· ἀφροντίστως· ἀνεπαισθήτως· ὥσπερ τἄλογα τῶν ζῴων βιοῦν, πάντων ἀνιαρῶν ἀπηλλαγμένος διὰ τὸ μὴ φρονεῖν μὴ δ' ἐπαΐειν· ὁτουοῦν τῶν ἐν φύσει καὶ κατ' ἀνθρώπους. f. 230

96. Οὕτως ἐγὼ περὶ τούτων φρονῶ· καὶ τούτοις ἄρα τοῖς λογισμοῖς, τῶν ἐν κόσμῳ δὴ πάντων ἄλλων, ἄμεινον τίθεμαι

94,14 ἀλλ' V[2] s.l. **95,11** τὸ V[2] e corr.

94,14 CPG II, 401, 11 **95,1–2** cf. Arist., Ethic. Nicom., 1177a24–26 **10–11** cf. Ibid. 1097b8; cf. etiam Plat., Protag. 339b

λόγον. ῥώμῃ μὲν γὰρ προύχειν ἔστι παραπλησίως καὶ ζῴοις, ἄλλοις, ἔστι καὶ κρεῖττον κάλλει, καὶ τὸν αὐτὸν οἶμαι ἔχει τρόπον· μεγέθει, καὶ μάλισθ’ οὕτω· πάντων, οὐκ ἔστιν ἐφ’ ὅτῳ οὔ. ἡ δ’ ὄντως τοῦ λόγου χάρις μόνον ἐξαίρετον ἀνθρώποις ἀγαθὸν καὶ πάντων κάλλιστον· ἐπιστάτης καὶ διδάσκαλος ἀληθοῦς εὐδαιμονίας· καὶ χρήσεως ὀρθῆς ἐν ἅπαντί τε καθάπαξ τῷ κόσμῳ· καὶ ἐν αὐτῷ ὁτῳοῦν μάλιστα· προορωμένη τὲ καὶ καταρρυθμίζουσα πάνθ’ f. 230[v] ἕκαστα· ἀτεχνῶς κατὰ τὸν Αἰσχύλου λόγον· μόνη | ἐν τῇ πρύμνῃ καθημένη τῆς πόλεως· πάντα κυβερνῶσα καὶ πάντων ἄρχουσα· εὖ γ’ ὡς ἂν, χρήσιμα ποιεῖν· ἥντινα δὴ βούλεταί τις πόλιν καλεῖν· εἴτε τὸν βίον ἅπαντα καὶ τὴν τοῦ κόσμου καθάπερ ἑνὸς ἀληθῶς ὄντος, ἅπαντος θεωρίαν, εἴτ’ αὐτὸν ὁντιναοῦν ἄνθρωπον ἕκαστον· ἐν ᾧ καθάπερ εὐγενὴς προστάτης καὶ τῆς φύσεως βασιλεὺς, ἡγεμονικῶς ὁ λόγος τὲ καὶ νοῦς προκάθηται· καὶ προορᾷ τὰ βελτίω καὶ θεσπίζει· κατασυλλογιζόμενος, καὶ νομοθετῶν ἐμμέτρως· ἅπασαν πρᾶξιν· ἅπασαν κίνησιν, καὶ καθιστάνων τελείαν εὐνομίαν τὲ καὶ ἰσότητα, καὶ δικαιοσύνην· καὶ πολιτείαν ἡρμοσμένην, ἐν τοῖς αὐτοῦ τινος μέρεσιν ἑκάστου· οὐχ ὑπερβάθμιον τείνειν πόδα· οὐδ’ ἔξω σκοποῦ βάλλειν κατὰ τὴν παροιμίαν· ἀλλ’ ἐν ὅροις ἀσφαλέσιν ἅπασι καὶ νενομισμένοις. ἔνθ’ ἀριπρεπέες δμῶες ἀνέρες τ’ ἠδὲ δμωίδες, ἐφράσαντ’ ἠδ’ ἔταξαν, ὡς ἄρ’ ἥνδανε βασιλῆι κατὰ φρένα καὶ κατὰ θυμὸν· μάλιστα δὲ τέρπετο λεύσσων· οἶμαι δὴ συλλογισμοί τινες τοῦ νοῦ δοῦλοι καὶ διάνοιαι· καὶ δόξαι· καὶ προτάσεις συνυπηρέτιδες, ἅπαντ’ ἐν μέτρῳ καθιστάνουσαι καὶ συμπληροῦσαι· καὶ κατεργαζόμεναι κάλλιστα· καὶ ὡς ἂν, ὁ βασίλειος ἀμέλει νοῦς, ἐποχούμενος αὐταῖς καὶ κατοπτεύων ἔπειθ’

96,4 καὶ[1] add. V[1] s.l. **6** ante ἐξαίρετον duae litterae erasae in V **8** καθάπαξ add. V in marg. (manu Nicephori Gregorae?) **14** ἅπαντος V[2] e corr. **16** προσορᾶ V a. corr. **23** ἀνέρες V[2]: ἄνδρες V **24** λεύσσων scripsimus: λεύσων V **25** συλλογισμοί V[2]: λογισμοί V **27** καὶ[2] add. V[2] s.l.

96,3–7 Stob. Anth. 2, 2, 6 (II, p. 20, 8–10); Phil. Iud., Quis rer. div. her. sit 302 (p. 58, 31–32); Id., De congr. 17 (p. 65, 15–16); Id., De somn. 1, 103 (p. 210,32–211,1) **10–11** Aesch., Sept. 2; cf. etiam Plat., Euthyd. 291c **12–16** cf. Plat., Phaedr. 246ab; Phil. Iud., De somn. 1, 215 (p. 233, 12–16) et De somn. 2, 248 (III, p. 281, 22–28) **20–21** cf. Agath., Hist. 2, 29 (p. 78, 17–18) **22–24** Hom., Il. 1, 24; 18, 19; Id., Od. 8, 171 **28–29** cf. Phil. Iud., De sacr. 45 (p. 211, 20–28)

ὕστερον, ἕκαστα μέλλοι προσίεσθαί τε· καὶ τοῖς καλῶς εὑρημένοις καὶ τεταγμένοις ἥδεσθαι.

97. Καὶ τοίνυν οὐδὲν ἐντεῦθεν οὔτ' ἄλογον οὔτ' ἀόριστον, οὔτ' εὔτροπον ὁπωσοῦν οὔτε κινούμενον παντὶ τρόπῳ, ἀλλ' ἀσφαλέστατά τε ἔχει καὶ παντάπασι πέπηγεν, ὅσα δὴ ξυνεώραται, μᾶλλον δὲ ξυνεργάζεται, καὶ κατατεχνιτεύει διάνοια, προστατοῦντος τοῦ νοῦ· καὶ οὐκ ἄλογοι κινήσεις· οὐδ' ὁρμαὶ φύσεως κατισχύουσαι στασιώδεις· ἀεὶ περιτρέπουσιν ἄλλοτ' ἄλλῃ τὰ δίκαια καὶ κατασύρουσι. καὶ τὰ μὲν Δαιδάλου τοῦ μηχανοποιοῦ φησιν ὁ θαυμάσιος | Πλάτων ἔργα τὲ καὶ τεράστια, βελτίω μάλιστ' εἶναι f. 231 τὰ δεδεμένα τῶν μὴ τοιούτων· καὶ ὅσα τις ἐν δεσμοῖς ἐώνητο, ἀσφαλῶς τὲ καὶ καλῶς ἐώνητ' ἄν· καί οἱ παρέμενον, οἷ' ἐώνητο· ἂν δ' ἄρα τίς ἀγνοήσας μὴ τοιαῦτα μᾶλλον, ἀλλ' ἄδετα πρίαιτο, φεύγοντα παραχρῆμα οἴχεσθαι· καὶ ζημιοῦν ἀμέλει τὸν πριάμενον. οὐ μὴν ἀλλὰ κἀνταῦθα· πᾶσαν δὴ πρᾶξιν· καὶ γνώμην· καὶ κρίσιν· λόγῳ τε δεδεμένην καὶ ἠρτημένην αἰτίας ἀναγκαίας· καὶ ἡρμοσμένην οὕτω, καλλίστην τὲ εἶναι ξυμβαίνει καὶ ἀσφαλεστάτην· καὶ κάλλιστα δὴ λοιπὸν καὶ ἀσφαλέστατα· καὶ πεπράχθαι καὶ ἐρρῶσθαι τὲ καὶ εἰρῆσθαι· ὃ δὴ μόνης ἐπιστήμης ἔργον, ἀληθῶς εἶναι φησὶν, οὑτοσὶ Πλάτων. ἂν δ' ἄρα δόξα τίς ἄδετος αἰτίας μόνη· καὶ κρίσις ἄλογος ὥρμηται καὶ δρᾷ, οὐκ ἀσφαλὲς· οὐδ' ἔμμονον εἰς τέλος. ἂν δ' ἄρ' ἐνίοτε καὶ μέχρι τινὸς ἔδοξεν εὐστοχῆσαι, καὶ κατωρθωκέναι, τελευτῶσα δ' ὅμως νοσοῦσ' ἐμπίπτει· καὶ καταστρέφει καὶ περιτρέπεται. οὕτως ἐστὶν ἀκλόνητον λόγος μόνον καὶ ἀληθὴς εὐγένειά τε καὶ πλοῦτος· ὃ μόνος καρποῦσθαι τῶν ἄλλων ζῴων ἁπάντων, γέρας ἄνθρωπος ἔχει· δι' οὗ τά τε οἰκεῖα αὐτοῦ, πάντ' εὖ κατεστήσατο καὶ συνεσκεύασε· καὶ τέχναις καὶ μεθόδοις· καὶ ἁρμονίαις πάσαις, κατακεκόσμηται· τά τε τῶν ἄλλων ζῴων ἁπάντων δεσποτικῶς νομοθετεῖ, ὥσπερ ἐξ ἀκροπόλεώς τινος καὶ μυρίων ὅσων ὁπλοφόρων τὲ καὶ δορυφόρων τῶν τοῦ λογισμοῦ δυνάμεων ἐπιτάττων· καὶ τοῖς μὲν, συμβαίνων

29 μέλλοι V[2]: μέλλει V **97,3** ἔχειν V a. corr. **15** καὶ post οὕτω erasum in V **19** οὐκ ἀσφαλὲς V[2] e corr.

97,7–12 Plat., Men. 97d–98a; Metoch., Misc. 20 **27–28** cf. Phil. Iud., De somn. 1, 32 (p. 196, 24–27)

καὶ καταλλασσόμενος ὑπηρετικῶς χρῆσθαι, πρὸς δ' ἔνιάττα τῶν ἀτιθάσσων· καὶ ἀείποτ' ἐπιβούλων, πόλεμον ἄσπονδόν τε καὶ ἀκήρυκτον, παντάπασιν ἀνηρημένος.

98. Τοιγαροῦν ἀμείνους γ' ἄν, εἴημεν ὡς ἀληθῶς τοῦ δώρου τούτου τοσούτου καὶ τῆς ἀγαθῆς εὐμοιρίας ξυνιέντες· καὶ f. 231v κατασπαζόμενοι· καὶ τιμῶντες | ἢ προφέροντες εἰς ὅσον οἷόν τέ ἐστι· καὶ τὸν ἐν ἡμῖν ζωτικὸν ὄντως ἐνεσπαρμένον καὶ λογικὸν σπινθῆρα, ὥσπερ ἐν σποδιᾷ τινι τῷ σώματι κεκρυμμένον· ἀναχωννῦντες αὐτοὶ μάλιστ' ἐπίτηδες· καὶ προδεικνῦντες καὶ ταῖς ἀεὶ γιγνομέναις ἐπιμελείαις, καὶ παρατρίψεσιν, εἰς πυρσὸν ἀνάπτοντες· ἀλλὰ μὴ μᾶλλον ὑπ' ἀμελείας τινὸς καὶ ἀμαθίας· καὶ ὑγροῦ καὶ διακεχυμένου καὶ ἀκολάστου βίου καὶ τρυφῆς κατασβεννῦντες. καὶ τὸ πλουτεῖν οὕτω δὴ κλῆρόν τινα τοῦτον, μεγαλοπρεπῆ τε καὶ πολυέραστον λαβόντες, αὐτοὶ δὴ λοιπὸν οἴκοθεν προσεισενέγκωμεν δι' ἐπιμελείας· καὶ χρήσεως ἀγαθῆς καὶ προσεπαυξήσωμεν. τὸ μὲν, γὰρ ἐλάβομεν, καὶ χάρις· τὸ δ' ἡμέτερόν ἐστιν ἐφ' οἷς ἐλάβομεν, καὶ τὸ μὲν, καὶ πολλοῖς ἄλλοις κοινὸν· τὸ δὲ, τοῦ κατορθοῦντος εἰς ἰδιάζουσαν εὐδοξίαν· καὶ τὸ μὲν τυχεῖν, οὐχ ἡμῶν· ἡ δ' ἀγαθὴ χρῆσις ἐπαινεῖται. καὶ τὸ μὲν εὐμοιρεῖν τὰ κάλλιστ' οὐ μέγα· μᾶλλον δὲ μέγα μὲν, ἀλλ' οὐ τοῦ λαβόντος· τὸ δ' ἐπαΐειν τὲ καὶ περιέπειν, ποιεῖ τοῦ λαβόντος. καὶ τὸ μὲν λαβεῖν εὕρημα· τὸ δὲ χρῆσθαι καλῶς, ὄφλομεν· καὶ θαυμαστὸς οὐχ ὁ τἀγαθοῦ τυχὼν· ἀλλ' ὁ συντηρήσας. τὸ μὲν γὰρ, τιμᾶται μόνον· τὸ δὲ, θαυμάζεται. μᾶλλον δὲ ὁ μὲν λαβών τε καὶ ἀπολέσας, ᾔσχυνεν ἑαυτὸν καὶ τὸν δόντα· ὁ δὲ σπουδάζων τὸ δῶρον συνηγόρησεν ἑαυτῷ τὲ καὶ τῷ δόντι· καὶ τιμῶν ἑαυτὸν, ἐκεῖνον τιμᾷ· καὶ σοφὸν δείκνυσιν ὡς τοῖς ἀξίοις νέμοντα. καὶ μὴν τὸ μὲν λαβεῖν τε καὶ συντηρῆσαι κάλλιστον· τὸ δέ γε καὶ ἐπαυξῆσαι, βέλτιον· βέλτιον δὲ ὂν, τὸ αὐτὸ καὶ ῥᾷστον ἐστί. πλουτῆσαι μὲν γὰρ φασὶν ἐργῶδες πάνυ· πλουτήσαντα δ' ἐφάπαξ τὴν οὐσίαν

31 ἄσπονδον V2: ἄσποδον V **32** ἀνηρημένοις V a. corr. **98,12** προσεισενέγκωμεν V2: προσενέγκωμεν V

98,4–10 cf. Sap. Salom. 2, 2–3; Phil. Iud., Quis rer. div. her. sit 309 (p. 10–15) **15–16** cf. Plat., Euthyd. 280d; Plut., Mor. 337CD **23–24** cf. Ioh. Chrys., In epist. ad Hebr., PG 63, 175, 34–36

ἐπαύξειν οὐκέτι. καὶ τίς οὕτως ἄθλιος ὅστις ἐξὸν οὕτως οὐχ ἕλοιτ’ ἂν πλέον ἑκάστοτε προστιθέναι, καὶ πλουτεῖν ἀεὶ πλοῦτον ἀληθῆ τινα καὶ οὐκ ἀλλότριον· οὐδ’ ἀλλοτρίων· οὐδ’ ἔξωθεν ἄρα ἐπίδημον· | ἀλλ’ ἡμέτερον ὄντως αὐτῶν καὶ ξυμπεφυκότα· καὶ βελτίω f. 232 πολλῷ· καὶ τοῦ βελτίονος τῆς ψυχῆς μέρους· οὐδὲ μυρίαις ὅσαις ἐπιβουλαῖς τε καὶ λόχοις ὑποτεμνόμενον καὶ ἡττώμενον· καὶ ἀείποτ’ ἐγρηγορέναι· καὶ δεδιέναι, καὶ καταστυγνάζειν καταναγκάζοντα· ἀλλὰ πολυαρκέστατόν τε οἶμαι, καὶ πάντων ἀσύλητον πραγμάτων; δι’ ὃν ἡμεῖς τε ᾐσθήμεθα κεκτημένοι, πλέον ἔχοντες, τῶν ἄλλων ἀληθῶς καὶ αὐτοί γε ξυντέθεινται καὶ ξυνεωράκασιν, ἧττον ἔχοντες, ἢν σωφρονῶσιν. εἰ δὲ μή, πολλῷ γ’ ἧττον τῇ ἀληθεί’ ἔχουσιν.

99. Ἔτι καὶ τοῖς καλῶς καθορῶσι· καὶ βοῦς γὰρ οἶμαι καὶ ὄϊς οὐδὲν ἐπαΐει πλέον ἔχοντος ἀνθρώπου, τῇ δ’ ἀληθεί’ οὕτως ἔχει καὶ σφόδρ’ ἥττηται. καὶ δὴ καὶ οὗτοί γε τότε μάλιστ’ ἄν, εἶεν, μὴ ξυνιέντες, ἀθλιώτεροι καὶ πενέστεροι. ᾧ γὰρ οὐκ ἔχουσι, τὸ τοσοῦτ’ ἠγνοήκασι καὶ παρὰ τοσοῦτον ἀμαθίᾳ πένονται· παρ’ ὅσον οὐδ’ ᾔσθηνται· ὥσπερ ἄρα καὶ τῶν μελαγχολώντων ἐκείνοις ἡ νόσος ἐστὶ βαρυτέρα καὶ μάλιστ’ ἐργώδης χρῆσθαι, ὁπόσοι μηδὲ νοσεῖν ὅλως καθάπερ ὁρῶμεν ἐνίους, οἴονται· καὶ δυσχεραίνουσι πάντως πρὸς τοὺς ἰᾶσθαι πειρωμένους· καὶ κηδομένους· ὡς σφᾶς ἀδικοῦντας καὶ διαβάλλοντας· καὶ μηδὲν αὐτῶν βελτίους. οὕτω δὴ παντάπασι τῆς νόσου κάτοχοι· καὶ περιγεγένηται σφῶν· ὥστ’ οὐδ’ ἴσασιν, ἡντιναοῦν ἀπαλλαγήν, οὐδὲ ζητοῦσιν· οὐδὲ πιστεύουσιν, ἄλλο τί ποτ’ ἀγαθὸν μήποτ’ εἶναι· μὴ δ’ ἄν τις πάσῃ σπουδῇ προδιδάσκῃ. καὶ τυφλῷ δὴ γεννηθέντι, τὲ καὶ βιοῦντι, τίς ἂν ἀμέλει ξυναίσθησις, φωτὸς γένοιτο· ἢ τίς ἄρα ποτὲ μάθησις, παρ’ ὁτουοῦν ὅσης ἡμεῖς ἀπολαύομεν, ἐπ’ αὐτοῦ τὲ καὶ δι’ αὐτὸ τρυφῆς;

100. Καὶ τοίνυν καὶ τοῖς ἀνδράσιν ἐνταῦθ’ οὐκ ἔστιν ὁτιοῦν μάθημα· οὐδὲ διδάσκαλος. οὕτω δὴ πόρρω πάνυ πένονται καὶ

34–35 καταστυγνάζειν καταναγκάζοντα V^2 partim in ras.: στυγνάζειν ἀναγκάζοντα V **36** ὃν V^2: ὧν V **99,6** ᾔσθηνται scripsimus: ἤσθηνται V **11** τῆς νόσου V: an τῇ νόσῳ?

99,6–11 cf. Plut., Mor. 82A

ἀγνοοῦσιν· ὥστ' οὐδ' εὖ παθεῖν ἔχουσιν· οὐδ' οἷοί τ' ἐσμὲν τοὺς f. 232v τοιούτους εὐεργετεῖν. | καὶ πένης μὲν ἄρ' ὃς ξύνοιδέ τε καὶ προσίεται δῶρα χάριν ἔχων ἅπασαν διδόντι, σοφός τέ ἐστι καὶ ἴσως ἂν ποτε γένοιτο πλούσιος, οὗτοι δ' ἐοίκασιν οὕτω παντάπασι σκαιοί τινες εἶναι καὶ ἀγροῖκοι· καὶ δυστυχεῖς· καὶ οὐκ οἶδ' ὅπως ἀμαθεῖς καθάπαξ ἑαυτῶν, ὥστ' οὐδὲ παθεῖν εὖ οἴδασι, καὶ μάταιος εἴη πόνος, εἰ πειρῷτό τις εὐεργετεῖν, ἀτεχνῶς· ὥσπερ ἄν, εἴ τις χοίροις χρυσόν τε καὶ ἄργυρον διδῷ κατὰ τὴν παροιμίαν, μήτ' εἰδόσι· μήτε βουλομένοις· μήτ' ἔχουσι χρῆσθαι. ἀλλ' ὅμως ταῦτ' ἐστὶ καὶ ἄργυρος· καὶ χρυσὸς· καὶ τίμιον· κἀνταῦθ' οἱ μὲν οὔτ' ᾔσθηνται· οὔτ' ἔχουσιν ὅπως αἰσθήσονται καὶ νοήσουσι τὸ βέλτιον· καὶ χρήσονται. ἀλλ' ὅμως τόδέ ἐστιν ὄντως ἔγωγ' ἂν φαίην ἀληθῶς, πλοῦτος φύσεως ἀνθρώποις, ἡ σοφία, καὶ πολυέραστος· δι' οὗ φίλους τὲ ἔξεστιν εὖ ποιεῖν· καὶ σεμνύνειν· τὰ μάλιστα τοῦ πλουτεῖν ἴδια· καὶ ἀνιᾶν ἐχθροὺς· καὶ κακῶς δρᾶν· ὃ δῆτ' ἄλλῳ καὶ πρότερον εἴρηται· καὶ οὐκ ἔστιν ὅπως ἄν ποτε μάλιστ' ἐχθροὺς ἀνιάσαις, ἢ καλός φασι γενόμενος· οἶμαι δ' ἔγωγε καὶ σοφὸς προσθεῖναι, καθ' οὗ σοι μήτ' ἐπιβουλεύειν· μήτε δρᾶν, ὁτιοῦν κακὸν ἔχουσι· καὶ δάκνονται, νύκτά τε πᾶσαν καὶ μεθ' ἡμέραν, τῷ καλλίστῳ σε κτήματι ξυνόντα καθορῶντες· καὶ φθόνου· καὶ μάχης πάσης κρείττονι· καὶ δι' οὗ μετὰ ῥᾳστώνης ἁπάσης καὶ καθαρωτάτης βιοῦντ' αἰσθάνονται· κἂν μὲν ἄρα καὶ τοῖς ἔξωθεν εὖ χρῇ, καὶ τοῖς ἐνταῦθα τούτοις, εὐπραγῆς κατὰ τὸν βίον· κἀνταῦθα μάλιστ' ἐπανθοῦντα τούτῳ τὲ καὶ κεκοσμημένον, εἰ δὲ μὴ, μὴ δ' οὕτω παντάπασι πενόμενον· μὴ δ' ἀτυχοῦντα τῶν βελτίστων· ἀλλὰ τῷ μεγίστῳ καὶ καλλίστῳ τῷδε μέρει πλουτοῦντα. ὄλβιος γὰρ ἀεὶ, ὃν Μοῖσαι φιλέοντι, φησὶν ἡ Σαπφώ. ἀληθὴς ὁ λόγος· καὶ οὔποτ' ἐλέγχεται, καὶ ἃ δὴ νῦν ἤδη πρότερον εἴρηται, καὶ αὖθις μένει· τρυφᾶν τε ἐν ἑαυτοῦ διὰ τῆς ἐν σοφίᾳ ταύτης παραf. 233 σκευῆς καὶ φίλους τὲ εὖ ποιεῖν | καὶ τοὐναντίον ἐχθροὺς, καὶ πᾶσιν οἷς οἱ πλουτοῦντες ὡς ἔφημεν χρῆσθαι· καὶ μηδενὸς ἐνδεῖν ὁτουοῦν· ἀλλ' ὅτου δήποθ' ἑκάστοτε δεῖ, δι' αὐτοῦ δρᾶν καὶ καταλ-

100,4 τε V[1]: γε V **17** ἄλλῳ V e corr. **25** εὐπραγῆς V[2]: εὐπραγεῖς V | κατὰ τὸν V[2]: κατὸν V

100,9–11 Mt. 7, 6 **15–16** cf. Phil. Iud., De somn. 1, 126 (p. 216, 6–7) **18–19** Plut., Mor. 21F; 88B **28–29** cf. Hes., Theog. 96–97

λάττειν· καὶ ἀπολαμβάνειν τὲ καὶ ἀποδιδόναι, οὑτινοσοῦν ἑκάστου πράγματος σοφίας ἀμοιβὰς· καὶ λόγου χάριτας. καὶ ὅ,τι ποτ’ ἄρα παθὼν, οὐκ ἂν, ἴσως μήποτ’ ἀπορήσαις ἀντιδοῦναι· καὶ ὅτού ποτ’ ἐρῴης ἂν καὶ τύχης, ἔξεστιν, ὑποστῆναι καὶ συναλλάξαι λόγου δόματα.

101. Καὶ τοῦτ’ ἔξεστι μὲν, ἐπ’ ἀνθρώπων· ὡς οὐδείς ποθ’ οὕτως ἄθλιος· οὐδ’ ἀμαθὴς, ὃς οὐκ ἂν, πρίαιτο μάλα πρόθυμος λόγους ἀγαθοὺς καὶ δόξαν, ἐντεῦθεν εὐμεγέθη πάντ’ ἂν, ἀποδοὺς, ὅσα ἂν, οἷός τ’ εἴη· ἔξεστι δὲ μάλιστ’ ἐπὶ τῶν θείων χρῆσθαι· καὶ τοῦ φιλανθρώπου καὶ κοινοῦ δεσπότου πάντων αὐτοῦ· καὶ τῶν αὐτοῦ φίλων τὲ καὶ δούλων, ἔνθα δὴ φίλα μάλισθ’ ἃ μόνα δύναιτ’ ἄν τις δῶρα· φίλαι δ’ αἱ τοῦ λόγου παρ’ ἡμῶν φοραὶ· ὡς οὐκ οἶδ’ εἴ τι τῶν ἄλλων· μᾶλλον δὲ πλεῖν ἢ κατὰ τὰ ἄλλα πάντα. καὶ δεῆσαν ὁτουοῦν σοι τῶν Θεοῦ φίλων καὶ παρ’ αὐτῷ δυναμένων ἐν δυσχερείᾳ τινὶ παραστάτου, ἐν κινδύνοις, ἐν νόσοις, ἐν χαλεποῖς ἅπασιν, ἀλεξίκακον εὑρεῖν τὴν ἐνοχλοῦσαν ἐπήρειαν, ῥᾷον εὔξασθαι πάνυ τοι κατ’ εὐφημητηρίου λόγου· καὶ χαριστηρίου, τυχόν τι συνεισενεγκεῖν· καὶ μέντοι καὶ τυχόνθ’ ὅτου δέοι, ἂν, ἔπειτ’ εἰσενεγκεῖν· καὶ τοῦτο πολλάκις, ἄλλοτ’ ἄλλῳ καὶ ἐπ’ ἄλλῃ τῇ χρείᾳ. οὐ γὰρ μήποτ’ ἀπορήσαις ὥσπερ οἱ ταῦτα δὴ, τὰ μήτ’ αὐτάρκη καὶ ὀλιγάριθμα πλουτοῦντες ἐκλείπουσι· τῶν ἐνόντων σοι παμπλείστων· καὶ ἀεὶ μεστῶν θησαυρισμάτων, καὶ τῆς ἀμειώτου παρασκευῆς ἣν βούλῃ. καὶ οἶδά ποτ’ ἔγωγε καὶ αὐτὸς, καὶ οὕτως εὐξάμενος· καὶ τυχών τε καὶ ἀποδούς, μάλιστα μὲν ἱκανῶς ἔχων, καὶ ἄλλως ἀποδοῦναι καὶ ποιήσασθαι, τὴν εὐχὴν, καθ’ ὧν καὶ τοῖς | ἄλλοις νομίζεται· ὡς δ’ οἶμαι βέλτιον ὧν εἶχον τόδε μάλιστα f. 233v κρίνων, τοῦτο καὶ προελόμενος, ψυχῆς ἁγνὸν δῶρον, καὶ νοῦ· οὐχ ὕλης· καὶ πολυαρκὲς, οὐ τάχιστ’ ὀλλύμενον· καὶ μένον ἀεὶ, μὴ συλώμενον.

39 δόσματα V a. corr. **101,4** ἂν iteravit V **6** αὐτοῦ V[1]: ἑαυτοῦ V **9** αὐτῷ scripsimus: αὐτοῦ V **13** τυχὸν θ’ V a. corr. **18** οὐκ ante οἶδα erasum in V **19** μάλιστα V[2] e corr.

101,1–2 cf. Greg. Naz., Epist. 183, 6 (p. 73) **7** cf. Ael. Arist., Or. 42, 3 (p. 334, 14–20) **11–13** cf. Greg. Naz., Or. 4, 3, 14–15 (p. 90) **18–19** cf. Or. 4, 27, 17–29 et Or. 2, 3, 18–20 **22–24** cf. Greg. Naz., Or. 6, 4, 29–32 (p. 132)

11

f. 233v

Βυζάντιος ἢ περὶ τῆς βασιλίδος μεγαλοπόλεως

1. Πλεῖσται μὲν ἀφορμαὶ πᾶσι, πρὸς τὴν παροῦσαν ὑπόθεσιν· κἀμοὶ δ' οὐχ ἥκιστα· καὶ οὐκ οἶδ' ὅτῳ μᾶλλον ἄν, ἢ ἐμοί· καὶ μεθ' ὅτι μεγίστης τῶν δικαίων ἀνάγκης, παρακαλοῦσαι πρὸς τὴν ἀπὸ τῶν λόγων φορὰν τῇ πόλει. οὐ μὴν ἀλλὰ καὶ ὅμως πᾶσαι παντάπασιν, ἐργώδεις· καὶ οὐ ῥᾴδιαι περαίνειν, οὔθ' ὅπως ἄρα δίκαιον, οὔθ' ὅπως ἄρα βούλησις, ἂν ὅστις ἅψαιτο. πρῶτον μὲν ὃ φύσει τοῖς μεγίστοις πράγμασι, καὶ τῶν ἄλλων ὑπερηρμένοις ἕπεσθαι ξυμβαίνει, ἐξίστησιν εἰς ἑαυτὰ πάντα, καὶ ὀφθαλμὸν ἐπόπτην καὶ νοῦν, καὶ χειροῦται, καὶ ἅμα τέ τις κατεῖδε καὶ ὁπῃοῦν πεπείραται· καὶ ἅμα λοιπὸν αὐτίκα συνέσχηται, προσέχειν εὖ μάλα σφίσιν ἀνάγκην ἔχων, ὡς οὐκ ἐξὸν ὅλως, ἔπειτα ἔχειν ἠρέμα· καὶ τοῦ πράγματος οὐκ ἀφροντίστως, οὐδ' ἄσειστον ἀναχωρεῖν· ἀλλὰ πρὸς τἄληθες ἐπιμαρτύρεσθαι λόγους θαύματος (πῶς ἄν, εἴπῃ τις;), εὐψύχως τῶν ὁρωμένων πραττόμενον. τίς ἄν, οὕτως εἴη φρενῶν ἔξω καὶ τῶν καλλίστων τὲ καὶ μεγίστων ὑπὸ μικρογνωμοσύνης, οὐκ οἶδ' ἧστινος, παντάπασιν ἀσύνετος· καὶ ἀμαθὴς καὶ ἀνέρα-
f. 234 στος, καὶ ὡς ἀληθῶς ἄν, φαίην ἀναίσθητος | προσορᾶν, ὃς οὐκ ἄν, ἐνταῦθα τουτὶ μάλιστα δοκοίη· καὶ τῇ βασιλικῇ ταύτῃ πόλει, καὶ τοῖς κατ' αὐτὴν κάλλεσί τε καὶ θαύμασι, τοὺς λογισμοὺς τούσδε καὶ τὴν κρίσιν, μάλιστ' ἄν, ἀξιοίη· ὡς οὐκ οἶδ' εἴ ποτε ἄλλοτ' οἶμαι ἄλλῳ τῳ, τῶν ἀπὸ τοῦ παντός τις αἰῶνος ἢ νῦν μάλιστα τῶν ἁπάντων ἄλλῳ τῳ;

2. Καὶ τοῦτο μέν, οὕτω πρῶτον ὡς εὐθὺς ἰδεῖν ὅσα παρέχεται θαυμάζειν ἡ πόλις αὐτίκα· σφόδρ' οὕτω δὴ κατὰ τὸ κρατοῦν τῆς φύσεως ἔθος, εἰς τοὺς λόγους ἕλκοντα· καὶ τοῦτο μὲν οὕτω πᾶσι κοινόν. ἕτερον αὖθις ὅτι μοι καὶ πατρὶς ἡ πόλις· ἕτερον αὖθις ὅτι μοι καὶ λόγων τροφὸς· καὶ τούτους πάντως ἀντεισφέρειν αὐτῇ,

tit. Βυζάντιος – μεγαλοπόλεως V[2] | λόγος ιαʹ V[2] in marg. **1,14** an τίς ⟨δ'⟩ ἂν?

1,9 cf. Synes. Cyren., Epist. 105 (p. 188, 9) **14–17** Ael. Arist., Or. 22, 2 (p. 28, 7–10) **2,4** cf. Or. 1, 3, 3 **5** cf. Liban., Or. 1, 48 (p. 32, 17)

πολὺ δίκαιον· ὥσπέρ τινος ἐράνου πάνυ τοι δοκοῦσαν εὔλογον ἀντίδοσιν, ὧν ἀμέλει παμπλείστων φθάσας αὐτῆς ἔχω λαβὼν· καὶ κομιδῇ παθὼν εὖ, ἀπομετρεῖν καὶ αὐτὸς, ἔπειθ' ἥντιναοῦν ἀναγκαστὴν ὀφειλήν. καὶ γὰρ δὴ τοσοῦτο γ' ἂν, εἰπεῖν ἔχοιμι σαφὲς καὶ παντὶ ξυνιδεῖν, ὡς εἰ μὲν χρημάτων βοήθεια προὔκειτο· καὶ δωρεὰ τῇ πατρίδι, ἢ κατ' ἀνάγκην· ἢ κατ' ἄρα καὶ κόσμον ὅντινα δή, ὅστις ἄν, οἶμαι, μὴ πρόθυμος ἀπήντα, τῇ χρείᾳ, τῶν ἐνόντων ῥᾷστα τὲ καὶ ἥδιστα, ἐπιδιδοὺς καὶ εἰσφερόμενος, φαῦλος ἄν, ἦν· καὶ οὐκ ἄν τις ἄλλως ἐρεῖ· ἀλλὰ τοῦτο νόμιμον· ἀσάλευτον κατὰ πάντων ἀνθρώπων, καὶ κατὰ παντὸς ἀληθῶς τοῦ χρόνου. τοὺς δὲ μένοντας ἀεὶ λόγους καὶ ἀσυλήτους, ἐπίπαν καὶ ἀζημίους, μὴ καὶ τούτους ἐκ τῶν ἐνόντων συνεισφέρειν, φεύγων τις εἰσαεὶ καὶ παραιτούμενος, οὐκ οἶδ' ἔγωγε πῶς ἄν, ἔπειτ' ἀνεμέσητος εἴη.

3. Καὶ μὴν εἴ τις ἄρα καὶ τῷ μεγίστῳ πολιστῇ βασιλεῖ ταύτης τῆς μεγίστης καὶ βασιλίδος, ὀφείλεται χάρις τοῦ τοσούτου πράγματος καὶ τῆς τοσαύτης ὑπερφυοῦς | ἔμβραχυ γ' ἐρεῖν γε f. 234v
φορᾶς, εἰς τὸν βίον (πάντως δ' ὀφείλεται, καὶ δικαίως εὖ μάλα· καὶ παντὶ πολιστῇ πολίταις αὐτοῦ· καὶ παντὶ μεγίστών τινων καὶ καλλίστῳ, δημιουργῷ πᾶσιν εὐγνώμοσι, καὶ σοφοῖς θεαταῖς καὶ κριταῖς), τί τίς ἄν, ἐνταῦθα λέγειν ἔχοι, περὶ Κωνσταντίνου τοῦ θείου, ᾧ καὶ τῆς χριστιανικῆς αὐτῆς, εὐετηρίας· καὶ παρρησίας καὶ προκοπῆς, καὶ βασιλικῆς ὡς εἰπεῖν πολιτείας, καὶ τῆς ἐλευθερίας τοῦ καθ' ἡμᾶς δόγματος, καὶ τοῦ κράτους, εὐγνωμοσύνη πᾶσα Χριστιανοῖς, γε πᾶσιν ἀμέλει προσοφείλεται· καὶ μνήμη μετ' εὐφημίας τὸν ἅπαντα χρόνον, καὶ δόξα παμμήκης· καὶ πολὺ προήκουσα τῶν ἄλλων· καὶ κρότοι λόγων· καὶ πάντων πραγμάτων, καὶ τό γε μὴν ἄρα, πόσον οἶμαι, πρὸς τὸν παρόντα λόγον ἕλκει· καὶ προβάλλεται πρόφασιν ὅσην εὔλογον, ἐνταῦθα γίγνεσθαι;

4. Τὸ δὲ δὴ τῶν ἐμῶν, τουτωνὶ μεγίστων τὲ καὶ πάντ' ἀρίστων βασιλέων, καὶ ὡς ἀληθῶς ἀπογόνων τὲ καὶ κληρονόμων τῆς ἐκείνου πίστεως καὶ ἀρχῆς, καὶ κατ' ἀμφότερα μεγαλοδοξίας, ὅσον ἄρα πρὸς τὸν παρόντα συμπείθει, καὶ καταναγκάζει λόγον;

2,11 ἢ[1] V e corr. **14** post ἀλλὰ tres litterae erasae in V **3,6** an καλλίστων? **13** προσήκουσα V a. corr. **4,3** ἐκείνου V[1]: ἐκείνων V

οἳ κρατοῦσι μὲν τῆς πόλεως ἐκεῖθεν σφίσι προσηκούσης, κοσμοῦνται δὲ ταύτῃ, τῷ καλλίστῳ πάντων καὶ μεγίστῳ κατ᾽ ἀνθρώπους καὶ ἀπαραμίλλῳ κτήματι· κοσμοῦσι δὲ ταύτην, ὡς ἂν, αὐτῆς γε ταύτης ἀμέλει, πρὸς τὸν βίον εὐγενὴς ἐπίδειξις καὶ αὐτῆς ἄξιοι· καὶ τοῖς οἴκοθεν αὐτῶν κάλλεσι προσθήκη δόξης, αὐτῇ καὶ κάλλους γίγνονται. καὶ οἷς μὲν ἄρα τῆς μεγίστης ἁπασῶν, ἐκ παντὸς αἰῶνος εἰσὶν ἄρχοντες, τοῖς μεγίστοις ἀριθμοῦνται σὺν ὀλίγοις· τῶν ἐκ τοῦ παντὸς αἰῶνος· καὶ πάντων ἐν τοῖς νῦν μέγιστοι. οἷς δὲ ξυμπεφύκασι, ταύτῃ· πάντα τρόπον, ὡς ἔπος
f. 235 εἰπεῖν, | καὶ πολὺ τὸ πρὸς αὐτὴν εὔλογον ἔχουσι καὶ ἡρμοσμένον· ἄρχειν τὲ καὶ ξυνεῖναι καὶ κοινωνεῖν, οὕτως ἄρα κατὰ θεῖον, ἀντιδιδόντες ἀλλήλοις τὰ προσήκοντα· αὐτοί τε τὰ κατ᾽ αὐτούς· καὶ ἡ πόλις τὰ κατ᾽ αὐτήν· καὶ χωροῦντες καὶ ἱκανούμενοι, τὴν ἀλλήλων εὐδαιμονίαν τὲ καὶ μεγαλοφυίαν, ὅσον τοῦτ᾽ ἀμφοτέροις εἰς δόξαν καὶ κόσμον, κατὰ πάντων ἀνθρώπων, συνακουόμενον; οἷς δὲ περὶ αὐτὴν οὕτω, τὸν ἀεὶ χρόνον κατεπείγονται καὶ σπουδάζουσι, πάσαις ἐπιμελείαις, καὶ παντὶ τῷ γιγνομένῳ· καὶ πᾶσι πράγμασι· καὶ ἀεὶ κάλλιον καὶ πολὺ κρεῖττον πράττειν εὖ, μάλιστ᾽ ἂν, ἥδοιντό τε τῷ λόγῳ, καὶ ταῖς αὐτῆς εὐφημίαις· καὶ οὐδὲν ἂν οὕτω σφίσιν ἥδιστον, ὡς τοῦτ᾽, ἄλλό τι τῶν ἁπάντων· καθάπερ ἐραστῇ βελτίστου πράγματος βελτίστῳ, παιδικῶν ἔπαινος· ἅμα τὲ προσμαρτυρῶν τῇ σπουδῇ τἀνδρὸς, καὶ ἅμα θερμαίνων ἔτι τὸν πόθον αὐτῷ, καὶ προσεξάπτων.

5. Ἃ μὲν οὖν, πρὸς τὴν παροῦσαν ὑπόθεσιν τῶν λόγων, κἀμὲ καὶ πλείστους εἰκότως ἂν, ἄλλους συνέλκῃ καὶ βιάζηται, καθόλου γε ὡς εἰπεῖν τῶν πλείστων ἐκλεξάμενον· τὰ καὶ πλεῖστον τῶν ἄλλων δοκοῦντα, κατισχύειν εἰς ταυτηνὶ τὴν σπουδὴν, ταῦτά ἐστίν. ἀλλὰ καὶ ὅμως τούτων ἕκαστον ὡς ἔφην, καὶ πάντα μάλισθ᾽ ὁμοῦ καθάπαξ ἀνέφικτα· ὥστε πρὸς λόγον ἐνταῦθα λοιπὸν ἀπαντᾶν ἐξεῖναι· καὶ τοῦ πράγματος ἀξίως γίγνεσθαι. ἢ πῶς γὰρ οὔ· ἢ πόσης ἕκαστον τῆς ἱκανώσεως καὶ διαρκείας, δεῖται κατεπιχειρεῖν

9 προσθήκη δόξης V^2 partim in ras. **10** μεγίστης V^2: μεγίστοις V **16** κατ᾽ αὐτοὺς V^1: κατ᾽ αὐτὴν V **17** κατ᾽ αὐτὴν V^1: κατ᾽ αὐτοὺς V **5,2** πλείστους εἰκότως ἂν V^1 in ras. | βιάζηται V^1 partim in ras.

4,25–26 cf. Themist., Or. 12c (p. 138)

εἰς τόδε τοὖργον καὶ ὁντιναοῦν, ἔπειτα συμμετρούμενον· καὶ τῶν πλείστην ἐχόντων, περὶ τοὺς λόγους σχολὴν· καὶ τὰ μέγιστα δυναμένων τὲ καὶ δοκίμων· οὐχ ὅσοι καθ' ἡμᾶς οὕτω πάνυ τοι· καὶ τοῦ κράτους τῶν λόγων πόρρω· | καὶ τῆς περὶ αὐτοὺς μάλιστα σπουδῆς καὶ σχολῆς, πόλλ' ἔτι πω καὶ νῦν ἔτη, προωστρακισμένοι; κἂν εἴ τις ἀμέλει, πρὸς τοῦτο βλέπειν ἀξιοῖ τὸ τοῦ πράγματος αὐτοῦ δίκαιον εὖ μάλα πραττόμενος, πλείστη μὲν ἡ ἄνοια· πλείστη δὲ ἡ αἰσχύνη. καὶ πλατὺς δὲ ὁ γέλως εἰς νοῦν ὅλως τὴν ἐγχείρησιν ταύτην βαλέσθαι· καὶ προσάπτεσθαι· ὥσπερ ἄν, τῶν ἐπ' οὐρανοῦ σωμάτων ἅπτεσθαι πειρᾶσθαι, καὶ τὼ χεῖρε κινεῖν εἰς τοῦτο· ἢ καὶ πεζεύειν καὶ φέρειν εἰς Ἀτλαντικὰ πελάγη νηχόμενον, ὑποβρύχιον ἢ καὶ παραπλήσιον ἄρα τόλμημα· τῷ κατὰ τὸν μῦθον τῶν Θετταλικῶν μειρακίων, ὡς ἄρα ἐτόλμησαν ἐκεῖνοι, τὴν εἰς οὐρανοὺς πορείαν διὰ τῆς τῶν ὀρῶν ἐπιθέσεως, ἐπ' ἄλληλα. f. 235v

6. Οὐ μὴν· ἀλλ' ἔστιν, οἶμαι καὶ τούτων ἐχόντων οὕτω, καὶ συγγνώμην ἀξιοῦν ἐνταῦθα· καὶ νέμειν οὐκ ἔξω παντάπασι λόγου, κατ' ἀμφότερα σκοπούμενον. ἢ γὰρ τὸν ἐμὸν τουτονὶ περὶ τὴν πόλιν ἄσχετον ἔρωτα· καὶ ἀκάματον πρὸς τὴν παροῦσαν ἐπιχείρησιν ὑπολογίσασθαι χρὴ, καὶ ὡς οὐκ ἔξεστι παντὸς, ὁτουοῦν ἐρῶντα πράγματος, ἔπειτα σωφρονεῖν οὐδ' ἑαυτοῦ καθόλου γε εἰπεῖν καὶ τῶν προσηκόντων, λογισμῶν εἶναι· ἀλλ' ἐξάγειν παντάπασι τῶν δικαίων ἔξω καὶ ξυμμέτρων αὐτῶν ὑπὸ τῆς ἔσω φλογὸς ἄτρεπτον ἐξιστάμενον, καὶ πάθος τοῦθ' ὡς οὐκ οἶδ' εἴ τι πάντων τῶν ἄλλων συγγνωστὸν, τοῖς καλῶς ἐφορῶσι καὶ κρίνουσι μετὰ τῆς κοινῆς φύσεως, καὶ πᾶσαν ἔχουσι συγγνώμην οἱ περὶ τὰ παιδικὰ τὸν ἀεὶ χρόνον σπουδάζοντες καὶ τὸν νοῦν ἔχοντες ὅλον, καὶ τοῖς περὶ αὐτῶν ἀεὶ λόγοις τρίβοντες· καὶ πᾶσαν κόπτοντες ἀκοὴν ἀφειδῶς ἐν τούτοις· ἢ τό γε δεύτερον ἔοικα μάλιστα καθάπερ οἱ τὰ πρὸς τὸ θεῖον καλλιερήματα, καὶ τὴν νομιζομένην | ἀπαραίτητον, ἡντιναοῦν φορὰν, καὶ αὐτὸς ἐνταῦθα τῇ πόλει τὸ γιγνόμενον προθυμεῖσθαι, ὑπ' ἀνάγκης τῶν εἰρημένων ἄνω καὶ f. 236

9 καὶ[1] V[1] s.l. **10** πλείστην V[1]: πλείστων V **22** ἐπ' ἄλληλα V[2]: ἐπάλληλα V
6,7 καὶ V[1] s.l. **8** αὐτῶν V[2]: αὐτὸν V

5,21 cf. Hom., Il. 5, 385 et Od. 9, 305; Synes., De insomn. 19, 4 (p. 307); Ps.-Arist., De mund. 391a11

λόγων καὶ τρόπων ἑλκόντων· καὶ νόμων ὡς εἰπεῖν ἀφύκτων· καὶ παρελθεῖν ὅλως οὐκ ἔξεστι νοῦν ἔχοντα· καὶ φροντίζοντα τῶν δικαίων· καὶ ὀφείλων μὲν, φέρειν, ἂν δ’ οὐχ ἱκανὸν οὐδ’ ἐπάξιον, οὐκ ἀσύγγνωστον. καὶ τοῦτο γὰρ νόμιμον ὡς ἀληθῶς, ἀκίνητον κατὰ πάντων ἀνθρώπων ἐπὶ παντὸς, πράγματος, οἷς ὀφείλει τις, πάντως εὐγνωμονῶν, οἷς ἔχει πάντως, φέρειν καὶ χρῆσθαι. ὁ μὲν γὰρ τοῖς μεγίστοις οἴκοθεν ὑπό τινος ἴσως φιλοτιμίας ἐπιβάλλων, πράγμασι· μὴ πρὸς ἀνάγκην τινὰ παραβαλλόμενος, τυγχάνων μὲν, θαυμάζειν ἄξιος, τῶν καλλίστων ἐραστὴς ἐπιγνώμων καὶ συνετὸς, καὶ θαυμαστὴς ἀξιόχρεως· ἂν δὲ τοὐναντίον ξυμβαίνοι, πάντων ἀβελτερώτατος οἶμαι· καὶ πάντων ἐγκλημάτων καὶ πάσης εὐθύνης ὑπόχρεως, τῆς τοσαύτης ἄρα τόλμης καὶ τοῦ θράσους, ἑκών γε εἶναι γέλωτα ὀφλισκάνων, καὶ τῶν μὴ προσηκόντων, ἀφειδῶς ἑαυτοῦ παντάπασιν ἀντιποιούμενος. ὁ δ’ ἀνάγκην ὀφειλῆς ἀπαραλόγιστον, προσάγειν ἔχων, ἐκλείπων μὲν ἀμέλει, τὴν ἀπαραίτητον λειτουργίαν, ἀσύγγνωστος ἐπὶ πᾶσι κριταῖς· πρὸς δὲ τὴν ὄφλησιν ἀπαντῶν ἀμηγέπη, συγγνωστὸς μὲν οὐ τυγχάνων· ἂν δ’ ἐφικνοῖτο προθυμούμενος, οὐκ εὐγνώμων μόνον, ἀλλὰ καὶ ἴσως εὐδαίμων· μὴ καθάπαξ ὑστερίζων ἐπὶ τοῖς καλλίστοις, ἢ γνώμης, ἢ τύχης· ἢ δυνάμεως.

7. Καίτοι τί λέγω; μάλιστα μὲν ἔγωγ’ οἶμαι, τῷ παντὶ βέλτιον εἶναι μοι· πρὸς τὴν παροῦσαν χρείαν οἵῳ τ’ εἶναι, καθάπαξ ἱκανῶς ἔχειν, καὶ τῆς ὅλης ἐπιχειρήσεως καὶ τοῦ
f. 236v πράγματος ἀξίως ἅπτεσθαι· κἀμαυτοῦ | πειρᾶσθαι τὲ καὶ πεῖραν οὕτω διδόναι. καὶ τοῦτο κέρδος ἂν, οὐ τῇ πόλει μᾶλλον, ἢ ἔμοιγ’ αὐτῷ, πρὸς αὐτὴν ἀνενδεῶς ἐσκευᾶσθαι, καὶ τῶν περὶ αὐτὴν καλῶν καὶ θαυμάτων, ἐξεῖναι μοι τὸν λόγον εὖ μάλα προσάγειν, ἐραστὴν οὐκ ἀνάρμοστον, οὐδ’ ὡς εἰπεῖν ἀπᾴδοντα. ἐπεὶ δὲ τοῦτο παντὸς μᾶλλον ἀνέφικτον, περαίνειν, οὔκουν γέ ἐστιν ὁτῳοῦν τῶν ἁπάντων, ὅσοι περὶ τοὺς λόγους ἔχουσιν, οὐδὲν ἧττον τοῦθ’ οὕτως, καὶ πάντες ἂν, οὑτωσὶ συμφαῖεν, εἰ μὴ μαίνοιντο, καὶ τοῦτο δὴ λοιπὸν πρὸς ἐμοῦ κρίνω, μετὰ τῶν ἄνω τοσούτων δικαίων, ἃ

29 ὑπόχρεως V^2 e corr. **31** ἀφειδῶς V^1 in ras. **33** πᾶσι scripsimus: πασι V

6,28 cf. Demosth., Philipp. 3, 14, 2 **30** cf. Greg. Naz., Or. 2, 101, 5–6 (p. 220) **30–31** cf. Ael. Arist., Or. 45 (p. 73, 16)

προσαναγκάζει κομιδῇ τὸν παρόντα λόγον, οὐκ αἰσχυνόμενος αὐτὸς ἅπτεσθαι πόρρω φέρων· ὅτι δὴ καὶ πάντες οὕτως ἄν, ἂν πάντες ἅπτοιντο, διὰ τὸ τῆς ὑποθέσεως αὐτῆς, οἷον ἄληπτον· καὶ καθάπαξ ὑπὸ μεγέθους ἀδύνατον τυχεῖν καὶ παρισωθῆναι.

8. Ἐκ μὲν οὖν ὥντινων ἄρα τῶν λογισμῶν καὶ τῶν δικαίων ἅμα τὲ τὸ τῆς παρούσης ὑποθέσεως, τῶν λόγων ᾠήθην ἀναγκαῖον, καὶ ἅμα τὸ μὴ παντάπασιν ἀσύγγνωστον, καθ' ὅσον οἷόν τ' ἦν, συνελόντι σχεδὸν εἴρηταί μοι. Ἤδη δέ μοι καθισταμένῳ πρὸς τὴν τῆς ἐπιχειρήσεως ταύτης ἀρχὴν, πολλὴ ἀπορία λοιπὸν, ὅθεν ἄρξομαι τῶν λόγων· καὶ τίσιν ἐμαυτὸν δώσω τὴν πρώτην ἐπιβάλλων, τοσούτων ἄρα καὶ τηλικούτων· καὶ πάντων ἐφαμίλλων τὲ καὶ προσάγειν ἀναγκαίων ἐπίσης ἐμὲ κυκλούντων, καὶ πάντοθεν ἰσχυρῶς ἕλκοντος ἑκάστου, πρὸς ἑαυτὸ καὶ οὐ ῥᾴδιον τί χρήσομαι· καίτοι γε πεπεισμένος μάλιστα καὶ προειδὼς, ὡς ἄρα μένει τοῦτο καὶ προείληπται πᾶσι· καὶ οὐχ ἧττον ἐμοὶ καὶ ἴσως ὥς γ' ἔφην, καὶ πρόφασις τοῦτο πρὸς παραμυθίαν τὲ, καὶ χρηστὴν ἵν' οὕτως εἴποιμι, | τὴν ἐλπίδα· ὡς ἄρα ὅθεν ἄν, ἄρξωμαι, κοινὸν ἔπειτα τὸ f. 237
τέλος πάντοθεν ἐπιχειροῦντι, τὸ μὴ τυχεῖν οὗ ποθῶ καὶ σπουδάζω, καὶ τῆς ὑποθέσεως ἀπολειφθῆναι πάνυ τοι πόρρω, καὶ τί λοιπὸν ἂν εἴη πρᾶγμα, πολυπραγμονεῖν ἀνόνητα, ὅπως ἄν, δέοι καθίστασθαι· πρὸς τὴν ἀρχήν; ἀλλ' ὅμως ὅπερ ἔφην, ἀπορῶ λοιπὸν ἐνταῦθα· καὶ οὐκ ἔχω χρῆσθαι ῥᾷστα. περὶ μὲν τῶν τοῦ πράγματος αὐτοῦ δικαίων, οὐκέθ' ὅλως, ἀλλ' ὡς ἄν, ἀμέλει γ' ἐμαυτῷ προσήκειν, τὴν ἀρχὴν οἶμαι πειρᾶσθαι· τούτου μόνου φροντίζων. ὡς δ' οὖν ἔμοιγε δοκῶ, μὴ παντάπασιν ἔξω λόγου τῆς ὅλης ὑποθέσεως, κατάρξασθαι, πρὸς τὸν σκοπὸν τέως ἀνύτων, ὅπως ἄρα, φέρε δὴ πρῶτον ὥσπερ ἄγαλμά τι τῶν κατ' οὐρανὸν τὸ κάλλιστον τὴν πόλιν, ἀποσκοποῦντες θεωρήσομεν εἴ πῃ μάλιστα, τῆς γῆς ἄλλῃ καιρὸν εἶχε βέλτιον ἱδρύσθαι· ἢ ὅπῃ νῦν γε εἶναι· καὶ καθάπερ ἐπὶ θεμελίων τῶν ἀρίστων τοῖς λόγοις αὐτὴν, ἀνιστῶντες ἐν τῷ περιόπτῳ καὶ διηρμένῳ· καὶ ὅλως ἀξιολογω-

7,14 an ἂν² delendum? **16** ἀδυνάτων V a. corr. **8,23** τῶν V²: τῷ V **24** an θεωρήσωμεν?

8,4–5 cf. Id., Or. 50 (p. 431, 9) **8** cf. Id., Or. 17, 10 (p. 4, 8) **22–23** cf. Id., Or. 13 (p. 293, 10)

τάτῳ τοῦ κοινοῦ θεάτρου· τῆς ὅλης οἰκουμένης, κατίδωμεν ἀπολεξάμενοι, τὴν χώραν, ἐφ' ἧς αὐτὴν ὡς εἰπεῖν ἱστῶμεν· καὶ τὴν κατ' αὐτὴν καὶ γῆν καὶ θάλατταν.

9. Καθόλου μὲν οὖν ὅσῳ λείπονται· καὶ χῶραι καὶ πόλεις, αἳ μόνης ἢ γῆς εἰσὶ, θαλάττης καθάπαξ ἀπῳκισμέναι, ἢ περικλύζονται μόνῃ θαλάττῃ, καὶ περικλείονται καὶ τέτμηνται, τῆς κατὰ γῆν συνεχείας ἁπάσης, ἐπ' ἐρημίας ὀρφανικαὶ καθάπερ ταῖς νήσοις, ἡ φύσις ἔχει, τῶν κατ' ἄμφω ταῦτα χρωμένων· καὶ πόλεων· καὶ χωρῶν· καὶ κεκραμένων ὡς εἰπεῖν, εὖ ἐξ ἀμφοῖν, καὶ τῆς ὅλης οὕτω τοῦ παντὸς κοινωνίας, καὶ συναφείας, εἰς τελείαν ὄντως τὴν εὐδαιμονίαν, ὡς μὴ μόνον εἶναι μέρους τοῦ κόσμου τμῆμα· καὶ f. 237v ὁτιοῦν, ἀλλ' ὅλου μέρος τοῦ κόσμου· | τῷ παντὶ σύμπνουν καὶ συμπεφυκὸς ὡς ἔπος εἰπεῖν· καθάπερ ἐφ' ἑνὸς, ἀμέλει τοῦ σώματος, ῥᾴδιον τοῦτο, καὶ παντὶ ξυνιδεῖν· καὶ βεβαιῶσαι μὴν καὶ τρανῶσαι, τοὺς λογισμοὺς ἔτι μάλιστα χρώμενον, ἐπ' ἀμφότερα ἐν τῷ μέρει· ὡς οὐκ ἔξεστιν, ἀνελλιπῶς ἔχειν πάντως, καὶ ἀλύπως οἶμαι ταῖς καθ' ἕτερον, τοῖν δυοῖν ὁτιοῦν ἀφῃρημέναις, κοινωνεῖν ἀμηγέπῃ, οὔτ' εὐετηρίαν εἶναι πραγμάτων καὶ τύχης οὕτω χρωμένοις, οὔτε πρὸς χάριν, οὔτε πρὸς χρείαν μάλιστα. οὐ γὰρ ἔχουσιν, οὔτ' εὖ ποιεῖν, ὅπῃ ἄρα καὶ βούλοιντο καὶ δύναιντ' ἴσως, καὶ τῶν ὄντων ἀξίως δείκνυσθαι, καὶ πλουτεῖν ὄντως, καὶ φιλοτιμεῖσθαι καθ' αἵρεσιν, οὔτ' εὖ πάσχειν, ἄλλων καὶ ἱκανῶς, ἢ πρὸς χάριν· ἢ πρὸς χρείαν· ὧν ἂν, δέοι· καὶ ὧν ἂν, βούλοιντο· καὶ δύναιντ' ἂν, ἴσως· ἀλλ' ἀτεχνῶς καθάπερ οἱ μιᾷ χειρὶ δυστυχοῦντες, ζημιοῦνται τὴν ζωὴν ἀτελῆ· καὶ τῆς χρήσεως καὶ τῆς φύσεως ἐλλείπουσαν, πενόμενοι, πλουτοῦντες ἴσως, διὰ τὴν ἀχρηστίαν, αὐτοῖς μόνοις, καὶ πλουτοῦντες καὶ ζῶντες, οὐκ ἄλλοις εἰς δόξαν ἡντιναοῦν εὐδαιμονοῦντες, ὥσπερ οἱ καθ' ὕπνους αὐτοὶ πράττειν εὖ δοκοῦντες, οὐκ ἄλλοις ἐπὶ τῶν πραγμάτων ὁρώμενοι, καὶ πενόμενοι ταῖς ἀληθείαις, αὐτίκα θνήσκοντες, οὐκ ἔχοντες ὅ,τι χρήσονται

9,5 ἔχει scripsimus: ἔχοι V

28–30 cf. Greg. Naz., Or. 23, 6, 13 (p. 292) **9,1–6** Menand. Rhet., De orat. 1, 348, 25–31 (p. 36) **7–8** cf. Arist., Ethic. Nicom. 1117a17 **8–10** cf. Syn. Cyren., Aeg. 2, 7, 3 (p. 157) **22** cf. Plot., Enn. 1, 4, 3, 35 (p. 84, 3) **25–26** cf. supra, Or. 10, 1, 6–7

σφίσιν αὐτοῖς· καὶ τῇ δυσχερεῖ τύχῃ· καὶ μόνοι νοσοῦντες σχεδὸν πάντ' ἀνίατα καὶ οὐδὲν ἄλλως, ὡς ἔστιν ἐπ' ἐνίων φύσις, τἀρρώστημα ξὺν νῷ διοικεῖσθαι καὶ ἰᾶσθαι φαρμάκοις, ἔξωθεν οἷστισιν ἄρα χρωμένους· τοῖς δ' οὐκ ἔστιν ἄλλως ἔοικε ζῆν, ἢ πάντα διὰ πάντων ὑγιαίνουσιν, ὃ παντὸς μᾶλλον ἀνθρώποις οὖσιν ἀδύνατον· οὐδ' ἔστιν εὖ θέσθαι καὶ μεταθέσθαι τύχης βάρος· καὶ νόσων ἐπιβουλήν τε καὶ κακουργίαν εἰωθυῖαν ἑκάστοτε κατὰ τῆς | f. 238 φύσεως· καὶ συμφορᾶς αὐτοματισμόν.

10. Ἀλλ' οὐχ οὕτω γε τῇ πόλει καθ' ἡμᾶς ταύτῃ, καὶ τῇ κατ' αὐτὴν χώρᾳ ταῦτ' ἔχει· ἀλλ' ὁρᾶν πάρεστιν ὅπως κατ' ἄμφω καὶ γῆν καὶ θάλατταν, ὡς βέλτιστα πασῶν ἔχει· καὶ ὡς ἄν, μόνης εἶναι, τὸ κάλλιστον ὅλης τῆς οἰκουμένης ἐξαίρετον· καὶ ὡς ἄν, κατ' ἔφεσιν αὐτῇ· καὶ νοὸς ὡς εἰπεῖν εὕρημα μόνου καὶ ἅμιλλαν, ἄριστ' εἶναι παντάπασι. καὶ ὄντως εὐχῆς ἔργον ἦν, οὕτως ἄρα ξυλλαχεῖν. καὶ τοῦτο μὲν ὄψει χρῆσθαι· τοῦτο δὲ καὶ τῶν παλαιῶν μνήμῃ, ῥᾴδιον ἐνταῦθα· μᾶλλον δὲ καὶ τούτοιν ἑτέρῳ ῥᾴδιον, οὐδετέρῳ χρῆσθαι, οὔτ' ὄψει καθάπαξ ἱκανῶς τυχεῖν τοσούτου πράγματος, ἀλλ' ἢ μόνον θαυμάζειν, οὔτε ταῖς παλαιαῖς πρότερον ἐκεῖθεν, παμμήκεσι φήμαις καὶ δόξαις, ἑαυτόν τινα δόντα, καὶ προσχρησάμενον, ἔπειτα καλῶς ἀπαλλάττειν· ἀλλ' ἔστι τὰ παρόνθ' ὡς ἔφην, θαυμάζοντα καὶ καθάπαξ οὐδὲ τοῦτ' ἀξίως, οὔθ' ὅσον δίκαιον, τοῦ πράγματος ὀφθαλμοῖς ἁπτόμενον, ἔτι προσθήκην ἔχειν τὴν μεγίστην, ἐπὶ τῷ θαυμάζειν, εἰς τοὺς παλαιοὺς λόγους· καὶ τὰς περὶ αὐτῆς ἱστορίας, ἀνατρέχοντα· καὶ τὴν ἀπαράμιλλον ἐκεῖθεν πομπήν· καὶ τὸ κλέος ἀνέφικτον· εἰς ἡμᾶς ἧκον συνεχὲς οὕτω, κατὰ παντὸς τοῦ χρόνου.

11. Πλάτων μὲν οὖν οὐ χαλεπόν φησιν Ἀθηναίους ἐν Ἀθηναίοις ἐπαινεῖν· αὐτοῖς παροῦσιν αἴροντα λόγοις τὰ κατ' αὐτούς. τῷ ὄντι γὰρ καὶ ῥᾴδιον εἶναι· καὶ οὐχ ἥδιστον μόνον, μᾶλλον δ' ὡς

29–30 τἀρρώστημα scripsimus: τἀρώστημα V **31** χρωμένους V^2: χρώμενοι V

32 cf. Phil. Iud., Quis rer. div. heres 67 (p. 13, 8–9) **35** cf. Plut., Mor. 332C **10,2–3** Menand. Rhet., De orat. 1, 345, 15–17 (p. 30) **11,1–3** Plat., Menex. 235d; Arist., Rhet. 1367b8–9

ἀληθῶς ὅτι τοῦτο, καὶ ῥᾴδιον, αὐτόν τινα περὶ ἑαυτοῦ τὰ βέλτιστα πείθειν· καὶ τὸ πρὸς χάριν, πάνυ τοι πιθανὸν καὶ κράτιστον ἐν τοῖς ἀκούουσιν. ἀλλ' ἡμῖν γε ὦ ἄνδρες οἱ τῆς βασιλικῆς ταύτης· καὶ μεγίστης ἔποικοι πόλεως· οὐκ οἶδ' ὡς εἴ τί ποτ' ἄλλο δυσχερέστατον· περὶ τῶν ἡμετέρων τούτων καὶ τῆς πόλεως | f. 238v πρὸς ἀλλήλους ἐκδιηγεῖσθαι. ἀμείνους μέντ' ἄν, εἴημεν ὡς ἔοικεν ἀλλοτρίοις, μᾶλλον περὶ τούτων καὶ μήπω πεπειραμένοις ὅλως, ἢ πρὸς ἡμᾶς αὐτοὺς λόγους ποιούμενοι, καὶ Βαβυλωνίοις· ἢ Αἰγυπτίοις· ἢ Κελτοῖς ἢ Ἄφροις, ἢ Βορυσθενίταις, βιβλία πέμποντες, περὶ τῶν τῆς πόλεως ἀγαθῶν, καὶ ὥσπερ ἐν πίναξι τοῖς γράμμασιν ὁπηοῦν, καταδημιουργοῦντες καὶ προτιθέντες, τὰ μεγέθη ταύτης καὶ κάλλη, ἢ πάντα πράγματα, καὶ τὰ πάντων κάλλιστα καὶ μέγιστα, πείθειν ἀξιοῦντες, περὶ αὐτῆς τοὺς ἐν αὐτῇ· καὶ κατατεινομένοι σφόδρα· καὶ σπουδάζοντες, αὐτίκα τῶν λόγων, ἐπὶ τοῖς οὖσιν ὁρωμένων καὶ συνεξεταζομένων σφίσι· καὶ λειπομένων ἄν, πάντως, παμπληθὲς εὖ μάλα· κἂν εἴ τις ἄρα, πολὺς ἐν τῷ λέγειν· καὶ πάντ' ἄριστα· καὶ βούλοιτό τε καὶ δύναιτο. ἐκείνως μὲν γάρ ἐστιν ἴσως ὁτιοῦν ἀξιόλογον δοκεῖν, λέγειν, ἔστι καὶ χαρίζεσθαι, καὶ συνέλκειν τοὺς ἀκροωμένους εἰς θαῦμα διδάσκοντα· καὶ βούλοιντ' ἄν, εὖ μάλ' ἕπεσθαι, καὶ ξυγχωρεῖν. ἐνταῦθα δὲ, τί τις ἄν, ἐρεῖ· καὶ τῶν πάνυ· καὶ πάνθ' ὑπερβαλλόντων καὶ λόγους ἀμέλει καὶ πράγματα· μὴ παντάπασι γέλωτα ὄφλων, μὴ πᾶσαν ἀποκναίων ἀκοὴν, ἀηδίᾳ, διὰ τὸ τῆς φύσεως τῶν πραγμάτων, ἀδύνατον οἷον ξυμμετρεῖσθαι· καὶ τοῦτο λοιπὸν εὐσύνοπτον νῦν εἶναι, τοῖς ἑκάστοτ' ἀκούουσι, σπουδάζων ὅλως ἀνόνητα· καὶ τοὐναντίον ἅπαν ἢ βούλεται, κομιδῇ, κατασμικρύνων, ἃ μάλιστ' ἐξαίρειν βούλεται· εἰ μή τις ἑκάστοτε λέγων προτίθησι, τοῦθ' ὡς οὐδὲν ἄρα λέγει καὶ συγγνώμης αἴτησιν ἐφ' ἑκάστοις οἷς λέγει, προστίθησι, δεικνύων ἐμοὶ δοκεῖν ἐν τούτοις, αἰσθανόμενος ἑαυτοῦ, καὶ τῶν πραγμάτων καὶ τῶν ἐπακροωμένων γε αὐτῶν;

12. Καὶ μὴν καὶ τοῦτ' ἄν, εἴη προύργου, πρὸς τὸν ὅλον οἶμαι σκοπὸν, καὶ τῆς σπουδῆς | f. 239 τὴν πρόθεσιν· καὶ ἅμα ἥδιστον, οὐκ

11,28 ἀνόνητα V: an ἀνήνυτα? **30–31** τοῦθ' ὡς – συγγνώμης V^{1} in ras.

9 cf. Ael. Arist., Or. 42, 3 (p. 335, 2–3) **17** cf. Eurip., Hec. 130 **26** cf. Dion. Halic., Demosth. 20 (p. 171, 17–18)

οἶδ’ ὡς εἴ τι ἄλλο, τῷ λέγοντι πάντοθεν ἀποτυγχάνοντι, πάντων καὶ κατελεγχομένῳ προδήλως οὕτως, ἀδύνατα ἐπείγεσθαι· καὶ προκηρύττοντι μᾶλλον ἐκ τούτων ὡς ἔπος εἰπεῖν, καὶ προδεικνῦντι τὴν ὑπερβολὴν τοῦ πράγματος· καὶ τὸ μέγεθος ἀνέφικτον παραβάλλεσθαι, καὶ σφόδρα ἐρῶντι καὶ παντὶ τρόπῳ, πειρωμένῳ. εἶναι γὰρ, ὡς οὐκ ἔστι μὴ ἐρᾶν, αὐτίκα προσβλέψαντα καὶ πεπειραμένον ὅλως, καὶ κινεῖσθαι πρὸς λόγους θαύματος· καὶ εἶναι γε ὡς οὐκ ἔστιν ὅλως ἐρεῖν· καὶ οὐ τὰ μὲν, οὕτω· τά δ’ οὒ, οὐδὲ τὰ μὲν, μᾶλλον, ἔνια δ’ ἴσως ἧττον· καὶ τόπον ὅμως εἶναί τινα περὶ ταῦτ’ ἐπιχειρεῖν. οἷον εὐθὺς, περὶ οὗ νῦν προὔκειτο· τί τίς ἂν, ἔχοι λέγειν πρὸς τὴν τοσαύτην, τῆς θέσεως εὐκαιρίαν, τῇ πόλει· καὶ τὸ θαυμασίως αὐτῇ πεφυκὸς· ἅμα μὲν καθ’ ἑαυτὴν εὖ εἶναι, καὶ ὡς ἔνι μάλιστα κάλλιστα καὶ τελεώτατα, καὶ ὡς οὐκ ἄλλῄ ποι, τοῦτ’ ἐξῆν ἂν, ἅμα δὲ καὶ πρὸς τὸν ὅλον τῆς κατασκευῆς ἐξαρχῆς σκοπὸν ὡσαύτως;

13. Καὶ πρόκειται διὰ πλειόνων, περὶ τούτων ἐρεῖν μικρὸν ὕστερον· νυνὶ δὲ τοσοῦτον, ὅτι ξυμβέβηκεν αὐτῇ κατὰ θεῖον ὡς ἀληθῶς, τῆς τε ὅλης οἰκουμένης ὑπερφυῶς, ἐν τῷ καλλίστῳ κεῖσθαι καὶ πᾶσαν χάριν διαρκεστάτῳ· καὶ πᾶσαν χρῆσιν ἀνθρωπίνης εὐπραγίας, καὶ ἅμα τῆς ὅλης τοῦ γένους ἀρχῆς, ἐπικαιρότατα καθάπερ αἱ ἀκροπόλεις, ἔχουσι ταῖς κατ’ αὐτὰς πόλεσι, πρός τε κόσμον καὶ κράτος· καὶ καθόλου γε εἰπεῖν, τῆς ἁπάσης ταύτης ἡγεμονίας, ἀναδήσασθαι τὸ βασίλειον· καὶ τὴν προεδρίαν πάνυ τοι κατὰ λόγον, ἐμπρέπουσαν· καὶ κάλλισθ’ ὁμολογοῦσαν· καὶ τοῦτ’ ἐμοὶ δοκεῖν πολὺ πάνυ λαμπρῶς τὸ εὔλογον ἔχειν. ταὐτὸν γὰρ εἶναι καὶ τῆς ὅλης | οἰκουμένης τὸ βέλτιστον· καὶ τῆς ὅλης ἀρχῆς f. 239v εἶναι, καθ’ ἡμᾶς ταυτησὶ, ὅτι δὴ καὶ τῆς ὅλης ἦν οἰκουμένης αὕτη· κατ’ ἶσον σχεδὸν, συμπεφυκυῖα· ὡς εἶναι γε λοιπὸν ὅπερ ἔφην, καὶ ξυμβαίνειν, ἐξανάγκης ἀμφοῖν ἓν ὁτιοῦν καὶ τῆς οἰκουμένης καὶ τῆς ἀρχῆς τὸ κάλλιστον καὶ τελεώτατον. εἰ δὲ μὴ βούλεταί τις οὕτω, τιθείη τίς ἂν, ἄλλον τρόπον, ταὐτὸ τοῦτο παραπλήσιον, ὅτι

12,3 πάντων V[1]: πάντως V **7** παραβάλλεσθαι V[2]: παραβάλεσθαι V **13,9** κάλλισθ’ V[2]: κάλισθ’ V **10** πολὺ V[2] in marg. **11** post ὅλης[1] spatium fere duodecim litterarum erasum in V **16** τοῦτο V e corr.

13,5–6 Ael. Arist., Or. 13 (p. 320, 5)

τῆς μὲν ὅλης οἰκουμένης τὸ μεσαίτατον ἀναμφηρίστως καὶ κάλλιστον, ὅπερ ἡ καθ’ ἡμᾶς ἐξήρηται τῶν ἄλλων, ἀρχὴ, καὶ τῆς ἀρχῆς ἐν τῷ πεφυκότι βέλτιστα, πρὸς τὴν ἀρχὴν ἡ πόλις· καὶ ὃν ἡ ἀρχὴ, πρὸς τὰς ἄλλας λόγον ἀρχὰς ἔχει, τοῦτον ἡ πόλις, οὐ πρὸς τὰς ἄλλας ἁπανταχοῦ μόνον πόλεις, ἀλλὰ καὶ τὰς αὐτῆς τῆς ἀρχῆς.

14. Ἀλλὰ περὶ μὲν τῶν τῆς ἀρχῆς ὡς ἔχει· καὶ πρὸς αὐτὴν ἡ πόλις, καὶ τοὔμπαλιν ἡ ἀρχὴ πρὸς αὐτὴν, μικρὸν ὕστερον ἴσως ἁρμόττει λέγειν· καὶ καθὼς ἂν, ἐξείη, κατακαιρὸν ἐροῦμεν· βραχὺ τοῦθ’ ὅσον εἴρηται προλαβόντες, εἰς τὴν παροῦσαν χρῆσιν καὶ τὴν ἀπόδειξιν, τῆς περὶ τὴν θέσιν ᾗ ξυνέλαχεν, εὐκαιρίας τῇ πόλει. ἀλλ’ ὅπερ ἐλέγομεν· καὶ γῆς ἐπειλημμένη καὶ θαλάττης αὐτῆς, πρὸς ἐντελῆ τὴν εὐεξίαν, ἀμφοῖν μέν ἐστι ταῖν καλλίσταιν ἠπείροιν· Εὐρώπης τὲ φημὶ καὶ Ἀσίας ἐν μεθορίῳ, τῶν ἐξ ἀμφοῖν ἁπάντων μεταλαγχάνουσα καὶ κοινωνοῦσα, τὸ γιγνόμενον λυσιτελούντως μὲν αὐτῇ σφόδρα· λυσιτελούντως δ’ αὐταῖς, ἅτε μηδετέρας ἀφῃρημένη τῶν καλλίστων· καὶ οἷς πλουτοῦσιν ἀγαθοῖς αὗται, μάλιστα πολλῷ βέλτιον, ἢ κατὰ τὴν λοιπὴν τρίτην εἰς κόσμον· καὶ κράτος· καὶ πᾶσαν ἀρετὴν καὶ ἀστειότητα· καὶ μηδετέραν ἔρημον αὖθις ἀπολείπουσα τοῦ τοσούτου πλεονεκτήματος, τῆς κατ’ αὐτὴν εὐπραγίας, ἀλλ’ ἑαυτῆς ἀμφοτέρας ποιουμένη f. 240 | καὶ οἰκειουμένη· καὶ ἀντιδιδοῦσα κόσμον τὸν μέγιστον· ἐφ’ οἷς ἔχουσιν, ἑαυτὴν· καὶ δεσμὸς γιγνομένη ταύταις ὁμολογεῖν τὲ καὶ πράττειν εὖ ἐντελέστατα· καὶ μεταδιδόναι καὶ μεταλαγχάνειν ἀλλήλων, δι’ αὐτῆς, ὡς κοινή τις γέφυρα καὶ δίοδος ἐν προθύροις ἑκατέρας· καὶ κοινὸν ὡς εἰπεῖν ταμεῖον, τῆς κατ’ αὐτὰς περιουσίας, ἔχειν τὲ μάλιστ’ ἐπ’ ἀσφαλοῦς καὶ τῆς χρείας ἀνενδεῶς· καὶ περιφανέστατα, καὶ ἀλλήλων ἀντιλαμβάνειν· καὶ ἀντιδιδόναι, οἷς μὲν ἀμφότεραι πλουτοῦσιν, αὕτη πλουτοῦσα· καὶ οἷς ἑκατέρα πλουτεῖ, δι’ ἑαυτῆς τὸν πλοῦτον ἑκατέρας, καὶ τῆς ἑτέρας ποιουμένη· μετέχειν τὲ καὶ ὡς οἰκεῖον αὐτῆς ἔχειν, ῥᾷστα· καὶ πάνυ τοι καθ’ αἵρεσιν ἐκ τοῦ προχείρου. ὥσθ’ ὧν ἂν, ἐξ ἀλλήλων δέοι, μετεῖναι· καὶ κάλλιστ’ ἐξεῖναι χρῆσθαι, καὶ λανθάνειν ἀτεχνῶς, ὡς

14,16 οἰκειούμενη V e corr.

14,5–6 cf. Greg. Naz., Or. 33, 7, 1–2 (p. 170) **7–9** cf. Liban., Or. 11, 264, 3–4 (p. 531, 10–11) **20** cf. Ael. Arist., Or. 23, 24 (p. 37, 28–29)

ἄρ’ ἐπ’ οἰκείων ἀγαθῶν· καὶ οἷς ἀμφότεραι κοσμοῦνται, ταῦθ’ ὁμοῦ, πάντα κόσμος τῇ πόλει μάλιστα· καὶ οἷς οὕτως αὕτη περιφανῶς ἔχει, καὶ παντελείως, αὗται κοσμοῦνται· καὶ τὰ οἰκεῖα καὶ τἀλλότρια δι’ αὐτῆς. καὶ τῆς μέν ἐστιν ἐξ ἀμφοῖν τὸ πλέον καὶ δι’ ἀμφοῖν, ὁμοῦ τὸ πᾶν· ταῖς δὲ, δι’ αὐτῆς, πλέον ἑκάστοτε γίγνεται, τῆς οἴκοι περιουσίας. καὶ ὧν γὰρ ἀλλήλων ἔλαττον ἔχουσιν ὡς εἰκὸς, ἐπὶ τῶν ἀνθρωπίνων πραγμάτων, τούτων μετέχουσι δι’ αὐτῆς ἀλλήλων· ὡς ἂν, λοιπὸν ἔχειν διαρκῶς.

15. Δοκεῖ δ’ ἐπιδήλως καὶ μάλισθ’ οὕτω νομίζουσιν, ἐκ τοῦ παντὸς αἰῶνος ἄνθρωποι, ταύτας ἀναμφηρίστως εἰς εὐδαιμονίαν ἀνθρώποις οἰκεῖν· καὶ πᾶσαν εὐγένειαν, κατὰ τῆς λοιπῆς καὶ τρίτης Λιβύης αὐτῆς, ἐξαρχῆς τὸν ἀεὶ χρόνον, τὴν νίκην καὶ τὸ πρωτεῖον φέρεσθαι. καὶ τὴν αὐτῶν νίκην ξυμβαίνει τῆς πόλεως, ἐξανάγκης εἶναι· καὶ οἷς ἀλλήλας νικῶσιν, ἡ πόλις ἀμφοτέρας νικᾷ· καὶ οἷς ἀλλήλων | αὖθις ἡττῶνται· κἀνταῦθα πάλιν ἡ πόλις, f. 240v
διὰ τὴν ἑτέραν νικᾷ καὶ τῆς ἑτέρας περιγίνεται. καὶ πανταχόθεν πειρωμένῳ· καὶ ξυνορῶντι· καὶ νικώντων καὶ ἡττωμένων, αὕτη λοιπὸν ἐν μέσοις ὡσπερεὶ τρόπαιον, νίκης ἁπάσης· καὶ περιφανείας· καὶ λαμπρότητος καὶ δόξης, ἵσταται περίοπτον ἀπὸ γῆς ἁπάσης. ἐπεὶ δ’ ἡ πρόθεσις ἦν ὡς ἄρ’ ἔφην ὅρον ἀμφοῖν εἶναι ταῖν ἠπείροιν τὴν πόλιν, αἱ δὲ, μέσῃ θαλάττῃ διειργέσθον, τίς ἡ μηχανὴ· καὶ τί τὸ κάλλιστον ἀμέλει χρῆμα καὶ ξυγκύρημα νῦν ἐνταῦθα; φεύγει μὲν καὶ οὕτως ἡ πόλις τὴν θάλατταν, καὶ τὰς αὐτῆς παντελεῖς εἱρκτάς (οὐδὲ γὰρ ἦν πρὸς αὐτῆς, αὐτῆς εἶναι μόνης· καὶ τοῦτο δέδεικται πρότερον ἤδη), ἣ δ’ ὥσπερ ἐκ παντὸς ζητοῦσα καὶ περαίνουσα πρὸς τὸν σκοπὸν ἡ πόλις, εὑρίσκει μὲν αὐτὸ τῆς θαλάττης ἁπάσης, τὸ στενότατον καὶ διατέμνον, μονονοὺ καθάπερ ἐν ζωστῆρι τινὶ γραμμικῷ, τὰς ἠπείρους γε ταύτας· παραπλησίως κατὰ τοὺς τῶν ζωγράφων πίνακας· ἐνταῦθα δὲ τὸ τῆς οἰκουμένης ἁπάσης ἀπολαβοῦσα, κάλλιστόν τε καὶ χαριέστατον, καὶ διαρκέστατον εἰς ἐντελῆ τὴν εὐκαιρίαν, καὶ

31 τῆς V[2]: τοῖς V **15,19** στενότατον scripsimus: στενώτατον V **22** ἀπολαβοῦσα V[2]: ἀπολαυοῦσα V

15,18–20 cf. Id., Or. 26, 10 (p. 94, 19–20)

σφόδρα πεφυκὸς εἰς ἅπασαν ῥᾳστώνην ζωῆς ἀνθρωπίνης καὶ πολιτείας, ἀμφότερα μὲν κατέχει τὰ τῆς γῆς ὡς ἔφην προδήλως αὕτη μέρη· καὶ παροικεῖν ἔχει, μηδὲν μᾶλλον Εὐρώπην, ἢ τὴν Ἀσίαν αὐτήν· ἐξαιρεῖται δ' ὅμως κἀνταῦθα τὸ βέλτιον ὁπῃοῦν· καθάπερ ἄν, εἰ ἐν τῷ συνεχεῖ καὶ συνημμένῳ τῆς γῆς, τὸν ἐπιτήδειον μᾶλλον ἦν ἑλέσθαι τόπον, ἐκ τοῦδέ τινος καὶ τοσοῦδε καθίστασθαι λοιπὸν ἐπὶ τοῦδε τὴν πόλιν. καὶ ξυμβαίνει δὴ λοιπὸν ἐν τούτοις βραχὺ μὲν εἶναι κομιδῇ κατὰ τὸν τόπον καὶ τὴν τῶν
f. 241 ἠπείρων διάστασιν τοὐν μέσῳ· καὶ δοκεῖν μηδὲν | εἶναι, καὶ λανθάνειν ὡσπερεὶ κλέπτον τοὺς ὁρῶντας, καὶ οὐδὲν μᾶλλον ὡς ἔφην τῇδε ἢ τῇδε σχεδὸν τὴν πόλιν συνάπτειν δόξαις ἄν, κατασκοπούμενος καὶ μετρῶν· καὶ τὸ διάφορον, οὐκ ἐπίδηλον ἀτεχνῶς οὑτωσί, ξυλλαγχάνει δὲ τοσοῦτον διαφέρειν κἀνταῦθα τῇ πόλει πρὸς εὐδαιμονίαν ἅπασαν, ὅπῃ γε μὴν ἵσταται, καὶ τοσοῦτο προέχειν ἐκτόπως, τῆς ἀντιπέραν γῆς ἐξ ὑπογυίου, καὶ τῶν ἐν αὐτῇ πόλεων, ὥσπερ ἄν, εἰ πάνυ τοι πλεῖστον ἀπ' ἀλλήλων ᾤκουν, κἂν τοῖς πορρωτάτω διίσταντο τόποις, καὶ οὐδὲν ὁτιοῦν κοινὸν ἦν ἀλλήλαις, ἀλλ' ἄπλωτα πελάγη· καὶ γῆς ὡς εἰπεῖν καὶ θαλάττης, μέσα, καὶ ὄρη δυσάντητα· καὶ τῶν ἐπικεχυμένων ἀέρων ἑτερότητες. δηλοῖ δὲ τά τε ὁρώμενα καὶ ῥᾴδιον πειρᾶσθαι, καὶ παλαιοὶ λόγοι· καὶ σοφῶν ἐκ μακροῦ κρίσεις καὶ δόγματα.

16. Μυρία μέν γε ἡ περὶ τούτων, μετ' εὐφημίας ἁπάσης καὶ θαύματος μνήμη τῶν παλαιῶν καὶ ξυγγραφή, ὅσοι τὲ γῆς ἀναζωγραφοῦσιν ἱστορίαν καὶ περιήγησιν οἰκουμένης· ὅσοι τὲ πράξεις Ἑλληνικὰς ἐπέρχονται, καὶ κατὰ πᾶσαν ἀνάγκην συμπίπτουσι τῇδε, μεμνῆσθαί τε καὶ προσέχειν τὸν νοῦν καὶ τρίβειν οὐκ ἀηδῶς, καὶ ὅσοι Ῥωμαϊκάς τε καὶ βαρβαρικὰς ἔστιν ἅς· καὶ τῇ συνεχείᾳ τοῦ δρόμου καὶ τῶν πραγμάτων ἐνταῦθα γίγνονται· κἆτα χρεία σφίσιν ἀπαραίτητος μένειν ἀμηγέπῃ, καὶ κατασημαίνεσθαι λοιπὸν ὅπως ἄρα, καὶ τάχιστ' ἐπιοῦσι καὶ πλεῖστα πονοῦσιν·

32 ἠπείρων scripsimus: ἠπείρων V **33** κλέπτον V[2]: κλέπτειν V **16,7** γίγνονται V[1]: γίνονται V

24 cf. Stob., Anth. 4, 5, 74 (p. 222, 10) **41** cf. Phil. Iud., Quod omn. prob. lib. sit 67 (p. 13, 25) **41–42** cf. Hom., Il. 1, 157 **16,2–3** cf. Claud. Ptol., Geogr. 2, 1, 1, 4 **3** fort. ad. tit. operis Dionysii Periegetae refert

ἀλλὰ καὶ ὅσοι περὶ ἄλλων προτεθειμένοι καὶ σπουδάζοντες, καὶ τυχὸν ἐπελθὸν, ἔπειθ' οὕτω παρόδῳ τῆς προθέσεως καὶ τῆς σπουδῆς, ξυνέλαχον ἐνταῦθα, καὶ οὐ παρέδραμον οὑτωσί (πῶς ἂν ἐρεῖ τις;), ὡς ἂν τῶν καλῶν ἀναίσθητοι καὶ ἀνέραστοι, ἀλλ' ἑάλωσαν αὐτίκα· κατωλιγω|ρηκότες τοῦ πρώτου σκοποῦ καὶ τοῦ f. 241v δρόμου τῶν λόγων, ὡς κάλλιστον ὂν, τῇδε προσσχεῖν καὶ κατοπτεῦσαι· καὶ διεξιέναι λαμπρῶς· καὶ μεθ' ὅσης τῆς ῥᾳστώνης τὸ μέγιστον θέαμα καὶ τερπνότατον, τοῦ βίου καὶ τῶν ἐν γῇ πάντων. καὶ συχνοῦ χρόνου καὶ πόνου πολλοῦ· καὶ σχολῆς ἔργον ἂν, εἴη, πάντως εἰ καὶ δοίημεν ὅλως οἷον τ' εἶναι, τὰ πάντων ἅπαντ' ἐπιλεξάμενον, ἔπειτα ἐρεῖν καὶ καταλογίσασθαι, καὶ παντάπασι τοῦ καιροῦ γίγνοιτ' ἂν, ἔξω· καὶ τοῦ μέτρου πρὸς τὴν χρείαν ἀμέλει ταυτηνί.

17. Ἀλλά μοι δοκῶ μόνῳ τῷ καλλίστῳ συγγραφέων Ἡροδότῳ χρησάμενος, καὶ τῆς τῶν αὐτοῦ Μουσῶν ἐξηγήσεως, ἀποτεμόμενος ἐκεῖνο, κἀνταῦθα προθεὶς, ὃ περὶ τῆς πόλεως εἴρηται τἀνδρὶ, καὶ τῆς κατ' αὐτὴν εὐκαιρίας, μᾶλλον δ' ὃ κάλλιστα πάλαι καὶ ἀστειότατα παρ' ἄλλων, εἰρημένον, μνήμης ἀξιοῖ, μεγαλοψυχίᾳ καὶ θάρρει τῶν ὁρωμένων αὐτῶν, καὶ διδασκαλίᾳ τῆς ὄψεως, ἧς οὐδὲν πιστότερον ὡς καὶ αὐτῷ γε μὴν Ἡροδότῳ, τουτὶ ξυνδοκεῖ, τἆλλα τε πάντα τῶν ἄλλων, μεθεὶς ἁπάντων καθάπαξ ὡς περίεργον ὂν, τὰ ἑκάστων ἕκαστα προφέρειν ἐν μέρει, καὶ διατιθέναι καθάπερ μαρτυρίας πλείστας, ὡς ἐν διαδικασίᾳ τινὶ πολιτικῇ, καὶ κριταῖς δυσκόλοις, λοιπὸν αὐτῇ δοῦναι τὸν λόγον, τῇ τοῦ πράγματος ἐποπτείᾳ· καὶ καθιστορεῖν ὡς ἂν, οἷον τ' εἴη, τοῦτο δὴ πρότερον ἐφάπαξ ἤδη τὴν ἀρχὴν κείμενον· καὶ προειρημένον τὲ, καὶ προειλημμένον, ὡς οὐδὲν ἄρα πρᾶγμα, οὐδ' ἡτισοῦν αἰσχύνη καὶ ἀωρία, παντάπασι τῶν εἰκότων, ἀποτυγχάνειν, διὰ τὸ παντάπασι τοῦ πράγματος, καὶ ὁτῳοῦν τῶν πειρωμένων ἀξύμμετρον τυχεῖν.

18. Ἑπτὰ μὲν οὖν ἐπὶ δέκα ἑξῆς ἔτη, τυφλοὺς εἶναι φησὶν ἀνθρώπους ἐκεῖνος Ἡρόδοτος, παλαιόν τινα τοῦτον ἄνωθεν, εἰς

15 προσσχεῖν V²: προσχεῖν V **17,8** τε V² s.l.

13 cf. Ael. Arist., Or. 19 (22) (p. 28, 8–9) **16** Id., Or. 13 (p. 156, 14–15) **21** Id., Or. 46 (p. 204, 3) **17,6–7** Herodot., Hist. 1, 8 **18,1–11** Ibid. 4, 144

f. 242 αὐτὸν ἥκοντα | λόγον· ἐκδεξάμενος, ἀξιώσας ἱστορίας καὶ λόγου· ὡς καλῶς εἰρημένον, καὶ πιστὸν ἄρα νομίζων εὖ μάλα τοῖς πράγμασιν αὐτοῖς, καὶ οἷς ἔξεστιν ὁρᾶν. καὶ εἶναι γὰρ τοσαῦτα ἔτη, καθ' ἃ πρότερον ἄνδρες ᾤκησαν, Χαλκηδόνα τὴν πόλιν, πρὸ Βυζαντίου, μὴ ξυνιέντες ἔοικεν, ὅσῳ βέλτιον οἰκεῖν αὐτὸ ῥᾷστα Βυζάντιον, ἐκ τοῦ προχείρου ὡς παντάπασιν ἀλόγιστον καὶ οὐκ ἀξίαν οὖσαν, ταύτην τὴν πλάνην ἀνδρῶν ὁρώντων, ἐκείνῃ μᾶλλον, ἢ τῇδε οἰκεῖν ἑλέσθαι, μάλιστ' ἐξὸν ἐκ παραλλήλου χρωμένους, ἔγγιστα ἐπ' ἐρημίας τοσούτῳ κτήματι. καὶ ὡς ἀληθῶς ἐθαύμασ' ἔγωγε τῶν ἀνδρῶν ἐκείνων, τὸ καθάπαξ ἀπρονόητον οὕτω, καὶ ἀσύνετον καὶ ἀμαθὲς τοῦ βελτίστου σφίσι, καὶ ἀγροικικὸν τοσοῦτο· καὶ σκαιὸν καὶ ἀβέλτερον, καὶ τὴν εὐκολίαν αὐτὴν τῆς γνώμης, οὕτως ἀσυλλόγιστον καὶ ἀνεπίστροφον τοῦ καλοῦ· καὶ τὴν ὀλιγωρίαν ὅπως ἀτημελήτως, ἑαυτῶν ἔσχον εὖ ἔχειν, καὶ πάνυ τοι πλεῖστον εὐδαιμονεῖν· καὶ πλουτεῖν ῥᾴδιον ὄν, οἱ δὲ, πενίαν εἵλοντο χειροποίητον· καὶ τύχῃ δυσχερεῖ παλαίειν τὸν ἀεὶ χρόνον· καὶ ἀντὶ τοῦ σφόδρα ἐρρῶσθαι, νοσεῖν καὶ πράττειν ἀηδέστατα.

19. Ἀνέχει μὲν γὰρ ὁ καθ' ἡμᾶς τῆς πόλεως οὑτοσὶ χῶρος, ἐλεύθερος καθάπαξ ἐξῃρμένος μετεωρότερον· καὶ πρόεισιν ἐπιπολὺ τῆς θαλάττης, φαιδρότατος κύκλῳ, καὶ πάντων ἀπρόσκοπος, εἰς μετάληψιν τῆς ἀέρος καὶ οὐρανοῦ χάριτος ἁπάσης καὶ συντελείας, πρὸς ἐρρᾳστωνευμένην βιοτήν· καὶ ταῖς ἡλιακαῖς ἀπόνως προσαντᾷ καὶ συνυφαίνεται κοινωνίαις· τοῦτο μὲν, ἐπιπλεῖστον, τῆς θαλάττης, προεξάγων τὲ καὶ πεζεύων, ἥδιστα καθορᾶν· τοῦτο δ' ἐπιπλεῖστον καὶ τοῦ ἀέρος ἀνατρέχων εἰς ὕψος μεγαλόφρων τὲ,
f. 242ᵛ καὶ ἀδέσποτος, καὶ πάσης τυραννίδος, | καὶ δεσμῶν ἄσυλος, ἀσπαζόμενος ῥᾷστα καὶ ὑποδεχόμενος, κάλλιστα τὰς ἐκεῖθεν ὠφελείας καὶ λαμπρότητας. καὶ οὐδὲν ἄρ' ἐνταῦθα προσίσταται· οὐ θέσεως κατὰ φύσιν ἱζάνουσα κοιλότης ἡτισοῦν· καὶ βυθὸς τῆς ἐπιπέδου συνεχείας ὑφεδρεύων· καὶ ἀποκρυπτόμενος καὶ στενού-

18,3 post λόγον quattuor litterae erasae in V **19,13** ἀποκρυπτόμενος V e corr.

13–14 cf. Aristoph., Nub. 628–629 **18** cf. Phil. Iud., De vita contempl. 15 (VI, p. 35, 9–10) **19,1–2** cf. Ael. Arist., Or. 46, 17 (p. 367, 9) **7–8** Id., Or. 26, 8 (p. 93, 15)

μενος καὶ δραπετεύων, τὸ τοῦ φωτὸς καὶ τῆς καταλάμψεως ἀνύσιμον, οὐκ ἀντίθεσις καὶ εἱρκτή τις ὀρῶν, οὔτ’ ἐπιτειχιζόντων κατὰ προσώπου, ἢ ἐγγὺς, ἢ καὶ ὅτι μάλιστα πόρρω· οὔτε κατὰ πᾶν ἄλλο μέρος ἐγκλειόντων ὁπηοῦν κύκλῳ τὴν ἀφ’ ἡλίου καὶ οὐρανοῦ καὶ ἀέρος, εὐετηρίαν, ἀλλὰ πολλὴ σκοπουμένῳ, πάντοθεν ἡ τῆς ἀδείας εὐγένεια καὶ ἀστειότης, ὥσπερ ἐπ’ ἐξουσίας ἀπηλλαγμένη, τυραννικῆς, βίας καὶ δυναστείας· καὶ βασιλικῷ μάλιστα κάλλει πρέπουσα, καὶ ἁπάντων ὧν ἂν, δέοι, καὶ βούλοιτ’ ἂν, ἀτεχνῶς ἀζήμιος, μετουσία· καὶ παντάπασιν ἀκώλυτος καὶ ἀλώβητος, καὶ εἰλικρινὴς, καὶ πάντων ἀνόθευτος τῶν χρησίμων, τά τε ἄλλα καὶ τὰ ἐκ θαλάττης, ἧς τὰ κάλλιστα καὶ ἀξιολογώτατα μέρη ἐφ’ ἑκάτερα, τοῦτο μὲν ἄνω τὸ τοῦ Εὐξείνου πέλαγος, τοῦτο δ’ ἐπὶ θάτερα κάτω, Προποντίδα καὶ τὸν Ἑλλήσποντον, καὶ αὐτὸν Αἰγαῖον διελομένη, τὰ μέσα λοιπὸν εἰ δή τις ἄλλη, μάλισθ’ αὕτη κατέχει γῆς καὶ θαλάττης· καὶ τὰ ἐξ ἁπάντων ἔχει· καὶ πάσαις πνοαῖς πορίζεται· πᾶσιν ἀνέμοις, ὡς ἀληθῶς εὐπλοοῦσα· μᾶλλον δ’ εὐδαιμονοῦσα καὶ χρωμένη, κατὰ τὴν παροιμίαν· μᾶλλον δ’ ὡς ἔοικεν αὐτὴ, καὶ τῇ παροιμίᾳ τὰς ἀρχὰς δοῦσα, τῷ κατ’ αὐτὴν θαύματι τούτῳ δὴ, καὶ τῷ τοῦ πράγματος ἀπαραμίλλῳ καὶ καλλίστῳ· καὶ ὑπερφυεῖ, παροιμίας ὑπερβολὴν εἰς τοὺς καθόλου λόγους χορηγήσασα.

20. Καὶ ὁρῶμεν ἑκάστοτε καὶ χρώμεθα πολίται, τῆσδ’ ἡμεῖς εὐδαίμονες καθ’ αἵρεσιν, | ὡς ἂν, ἐν πομπῇ θεατρικῇ ῥᾳστώνης, f. 243
ἔργα πράττοντες· τὰ μὲν ἀποφερόμενοι πάντα πάντων· τὰ δὲ, πέμποντες ἅπασι πάντα· καὶ ἀμφότερα τἀντίθετα, τῆς αὐτῆς ἡμέρας, καὶ πάσης ἡμέρας· ἢ καὶ μεθ’ ἡμέραν νυκτός. καὶ οὐκ ἔστιν ὅτε μή· οὐδ’ οἷστισιν οὔ· ἀλλ’ ἔστι κατὰ ταυτὸν, καὶ τὸν ἀεὶ καιρὸν τοῦτο, ἀνάγεσθαί τε τῆς χώρας καθ’ ὁπότερα βούλει, κἀπὶ θάτερα τῶν αὐτῆς, ὧν ἂν, δέοι, καὶ ἅττα δὴ, πάντως ὑποδέχεσθαι. καὶ πᾶς ἄνεμος αὐτῇ πρὸς αὐτῆς· καὶ πᾶς ἄνεμος τῇ πόλει φορώ-

14 καὶ τῆς καταλάμψεως V[2] in ras. **17** μέρος ἐγκλειόντων V[2] in marg. **18** εὐετηρίαν V[2]: εὐετηρία V **27** μάλισθ’ V[2] e corr. **34** χορηγήσασα V[2]: χορηγάσασα V

24–28 Id., Or. 27, 6–7 (p. 126, 12–22) **29–30** cf. Xen., De vect. 1, 7 **20,2** Ael. Arist., Or. 13 (p. 155, 24)

τατος· καὶ ἐργατικώτατος· καὶ ὄντως καθάπερ, ἄλλαις τισὶν ἄρα τῶν εὐδαιμόνων· ὁστισοῦν ἐκλόγιμος τῶν ἄλλων ἐνεργὸς, καὶ πλουτοποιὸς· καὶ βίου δοτὴρ· καὶ ζωῆς εὐμαρείας, καὶ χρήσεως ἀνυσίμου· καὶ οὐδεὶς ὅστις οὒ· οὐδ᾽ ἔστιν ἧτινι τῶν ἁπασῶν μᾶλλον, ἢ τῇ πόλει· οὐδ᾽ ὅστις μᾶλλον· οὐδ᾽ ὅστις ἧττον· ἀλλ᾽ ὁμοῦ πάντες, ταυτὸν δύνανται παρ᾽ ἡμῖν· καὶ πάντῃ χρωμένοις ἀγαθὸν. καὶ μόνοις ἡμῖν ἔστιν ἐκ τῶν ἐναντίων εὐδαιμονεῖν· καὶ οὐ τἀναντία τῶν ἐναντίων φέρεσθαι· εὖ τε πράττειν καὶ μὴ, ἐρρῶσθαι τὲ καὶ νοσεῖν· ἀλλ᾽ ἀπ᾽ ἀμφοτέρων ὅμως καὶ τῶν μαχιμωτάτων ἀλλήλοις, αὐτοὺς βέλτιστ᾽ ἔχειν· καὶ ὡς ἂν, ῥᾳστώνῃ χρῆσθαι· καὶ ὡς ἂν, εὔξαιντ᾽ ἄλλοι· καὶ τοὺς κοινοὺς ὡς δοκεῖ, τῆς φύσεως λόγους ὡς εἰπεῖν, ἡμῖν ἀντεστράφθαι μόνοις· καὶ ὅλως ζῆν ἐν θαύματι, πάσης ἐργώδους τύχης ἀπηλλαγμένους καὶ ἀωρίας· οἷα δὴ τἀνθρώπεια πράγματα. καὶ πάντες ἐπ᾽ ἀμφότερα πειρῶνται καὶ κατὰ φύσιν οὕτως ἀναγκαῖον ὂν, ξυλλογιζόμενοι, φέρουσι τὴν λαχοῦσαν μοῖραν, τοῦ τε καλοῦ καὶ μὴ τοιούτου ἡμῖν παραχωροῦντες μόνοις, ἄκρατον εὐπραγίαν, καὶ στασίμην ἀεὶ καὶ ἄτροπον ἐν παντὶ τῷ προστυχόντι· καὶ μακαρίζοντες ἐπιεικῶς ὡς ἔξεστι βιοῦν· διὰ πάντων ἀπραγμόνως καὶ ὡς ἀληθῶς, καθάπερ ἐν εὐπλοίᾳ πάσῃ τῆς ζωῆς. καὶ οὐ γεωργοῦμεν
f. 243v ἀνέμους· | ὡς ἡ παροιμία τοῖς εἰς κενὸν φησὶ κάμνουσιν· ἀλλὰ πάντες ἡμῖν ἄνεμοι γεωργοῦσιν. ὥστε εἰ τοῦτ᾽ ἐστὶν οἶμαι τινὶ τἀγαθὸν, τὸ, μέσῳ εἶναι (καὶ τοῦτο γὰρ δίκαιον ὄντως λογίζεσθαι), τὸ, καλλίστῳ εἶναι πάντοθεν, καὶ πάσης ἀπὸ πάντων ἀηδίας κύκλῳ καὶ λύπης ἐκτὸς, καὶ πάσης ἕξεως ὑπερβαλλούσης τῶν περὶ αὐτὸ· καὶ κράτους· καὶ δυνάμεως ἀθώῳ καθάπαξ· καὶ πάσης ἀζημίῳ τῆς χρείας ἐπίσης, ἐνταῦθα δὴ τοῦτο μόνον, καὶ οὐκ ἄλλῃ νικᾷ, καθάπερ ἐπὶ κυκλικοῦ μέσου τινὸς ὄντος, ξυμβαίνει πάσας τὰς εἰς αὐτὸ περαινούσας, ἀπὸ τοῦ κύκλου· καὶ τὰς ἀπ᾽ αὐτοῦ πάντῃ, πρὸς τὸν κύκλον ἀγούσας πάσας εὐθείας, τὰς αὐτὰς εἶναι καὶ τὸν λόγον ἴσον ἔχειν, πάντοθεν ὁρῶντι καὶ παραπλήσιον· καὶ οὐ τῇδε μᾶλλον, ἢ τῇδε· οὐδ᾽ ἐκπίπτειν ὁπηοῦν, τοῦ κάλλους καὶ τῆς ἁρμονίας καὶ τῆς ἰσότητος. οὐδὲ γὰρ κἀνταῦθα δὴ τῇ πόλει, τὰ μὲν, ἄνωθέν ἐστιν ἥκειν αὐτῇ, ῥᾷστα, τά δ᾽ ἐξ αὐτῆς

12 cf. Dio Chrys., Or 12, 75 (I, p. 176, 6–7) **15–16** Ael. Arist., Or. 46, 22 (p. 369, 5–7) **29–30** CPG II, 9, 1–2 **32** cf. Arist., Ethic. Nicom. 1106b27 **37–40** cf. Eucl., Elem. 1, Hor. 15

ἥκειν, οὐκ ἔστιν εἰς ἀντίθετον κάτω ῥᾶστα· ἀλλ᾽ ὁμοῦ γ᾽ ἐπ᾽ ἀμφότερα μηδὲν μᾶλλον, κατὰ ταυτὸν ὡς εἴρηται· μᾶλλον δ᾽ ὡς ὁρᾶται, παραπλησίως ἔχει· καὶ κατ᾽ ἀμφότερα γε μὴν ἔτι τὰ λοιπὰ· μέρη τῆς θέσεως, κατὰ ταὐτὸν αὖθις παραπλησίως· καὶ οὐ μᾶλλον τἀπὸ γῆς ἢ τἀπὸ θαλάττης ἅπαντα τὸν αὐτὸν πάντοθεν τρόπον, εἰς αὐτὴν περαίνει· καὶ παρ᾽ αὐτῆς, ὡς ἄν, ἀπὸ μέσου τινὸς ἐπιδήλου· καὶ πάντῃ δικαίου· καὶ λόγον ἔχοντος κατ᾽ εὐθυωρίαν, ἔξεισι.

21. Ταῖς μὲν γὰρ ἄλλαις, ὅσαις τι καὶ τοιοῦτον φιλοτιμεῖσθαι, περὶ θέσεως εὐκαιρίας, πρόσεστι· ταῖς μὲν ἴσως, οὕτως ἄρ᾽ ἔχειν ἐν μεσογαίῳ ξυμβαίνει θαλάττης ἀκοινωνήτοις· ταῖς δ᾽ ἐπὶ θαλάττης μόνης· καὶ ταύτῃ δῆθ᾽ ὡς τῶν μὲν, ἐξεῖναι μετεῖναι, τῶν δὲ, μή. ἀλλ᾽ ὁρῶμεν ἐπὶ τῶν πλείστων καὶ σχεδὸν ἁπασῶν, ὡς τὰ μὲν, εἰσὶν αὐταῖς ἀγωγὰ τῶν πνευμάτων· τά δ᾽ | f. 244 ἀποκέκλεισται παντάπασιν ὡς ἄρα μαχιμώτατα· καὶ οὐ πρὸς αὐτῶν· ἀλλ᾽ οὕτως ἀμέλει πρὸς αὐτὰς, ἔχει, ὡς μᾶλλον τἀναντιώτατα πράττειν· καὶ ὡσπερεὶ πολιορκεῖν· καὶ πᾶσαν εὐπραγίαν αὐταῖς ἀποτειχίζειν. καὶ μὴν αὖθις ὅσα καὶ φέρει· καὶ καταπνέει, τισὶν ἀγαθῶν τινα μετουσίαν, τὸ λοιπὸν ἐξῆς ἀηδία· καὶ παντάπασιν οὐ ξυγχωρεῖ, τῶν οἴκοι καὶ ὧν περίεστιν ἐκφέρειν ὅπῃ ἄρα καὶ πομπεύειν τὸν πλοῦτον· καὶ δείκνυσθαι τῶν ὄντων ἀξίως· τὰ μὲν ἀποφερομένους· τὰ δὲ, πέμποντας μετὰ τῆς αὐτῆς δυνάμεως· καὶ κατὰ ταυτὸν ἐπὶ τῆς αὐτῆς ῥᾳστώνης· ὡς ἄρα τοῦθ᾽ ὁ λόγος ἐπὶ τοῦ μέσου δικαίως, καὶ τῆς ἡμετέρας ταυτησὶ πάντα θαυμαστῆς καὶ μεγίστης δείκνυσι πόλεως μόνης· ὡς καὶ μόνης ἀληθῶς ἐχούσης τὰ μέσα, τῆς ὅλης καὶ γῆς καὶ θαλάττης, ἐκ τῶν πραγμάτων καὶ τῆς ἐργασίας τὸν εἰρημένον τρόπον.

22. Καίτοι τί λέγω; μάλιστα μὲν ἐκ τούτων τῆς πόλεως, ἄν, οὕτω, ταύτης τιθείη τις τὰ μέσα. ἢ τί γὰρ οὐ τοῦτο μᾶλλον τῇ πόλει νικᾷ, καὶ τῇ κατ᾽ αὐτὴν ἀστειότητι καὶ εὐκληρίᾳ καὶ ἀρετῇ, τῆς Ἀττικῆς αὐχμηρίας καὶ ἰσχνότητος, ἢ τῶν ἐν Δελφοῖς πετρῶν;

21,14 κατὰ ταυτὸν V[2]: καταυτὸν V

21,2–3 cf. Ael. Arist., Or. 27, 24 (p. 131, 20–21) **22,4–5** Liban., Or. 11, 15 (p. 441, 18)

οὐ μὴν ἀλλὰ καὶ καθορᾶν ἔξεστιν, ὡς ἅπαντα περὶ αὐτὴν ὅσα τῆς οἰκουμένης κάλλιστα, καὶ μυρίας ταῦτα τῆς φήμης· καὶ λόγων ἄξια, καὶ πάντων ὀνομαστότερα. καὶ τὰ μὲν γὰρ αὐτῆς ἐστιν ἐξ αὐτῆς αὐτίκα· καθάπερ ἀπό τινος ἀμέλει, κοινοῦ σημείου πρὸς ἕω φέρειν· τὰ δὲ, πρὸς δυσμὰς· καὶ τὰ μὲν, ἔνθεν ἀπ' αὐτῆς αὐτίκα ἑξῆς· ὡς ἄρα ἀπό τινος κορυφῆς χωρεῖ, τῶν Ἑλλήνων τὰ πράγματα· τὰ δὲ, ἔνθεν τὰ τῶν ἄλλων γενῶν· ἐπώνυμα καὶ ὅσα πρὸς τὴν Ἑλλάδα, διαστέλλεται τῶν καθ' ἕω· παραχρῆμα τῆς πόλεως, ἀντίπρωρα ταύτης ἐξ ὑπογυίου καὶ οὐ μακρὰν· ἀλλ' ὅσον f. 244v ἐκ τῶν τῆδε πορθμῶν | στενοτάτων εἴργεσθαι· μὴ συνάπτειν μὲν, ἀλλ' ὡς εἰπεῖν αὐτῆς ὅμως, ἔγγιστα καὶ τάχιστα ἠρτῆσθαι· καὶ τὰ μὲν, ἐκ τῶν κατ' αὐτὴν θαλαττίων διαλέπτων αὐλῶν, καὶ ὡσπερεὶ κοινῶν συνδέσμων, τῆς ἁπάσης ἁπανταχοῦ θαλάττης καταρρέοντα μέχρι, πρὸς Αἴγυπτον καὶ Λιβύην αὐτῇ πρόσοικον· καὶ μὴν πρὸς ἑκάτερα τεμνόμενα, λοιπὸν ἔνθεν, εἰς ἑῷα τε πέρατα· Κιλίκων τὲ κόλπους· καὶ Φοινίκων λιμένας· καὶ αὖθις Γαδείρων, ἐς αὐτοὺς ὅρους ἐπὶ θάτερα· καὶ τὰς Ὠκεανοῦ διεξόδους τὲ καὶ πηγὰς· καὶ τά γε μὴν ἔτ' αὖθις ἄνωθεν, ἐκ θατέρου προσορᾶν, εἰς αὐτὴν ἥκοντα· τῶν ἐκ Μαιώτιδος ἀρχῶν καὶ πελαγῶν Εὐξείνου· στενούμενά τε καὶ περαίνοντα προδήλως αὐτῇ, τῆς τοσαύτης πολυρροίας ἀπλέτου τὲ καὶ παμμήκους, εἰρηνικὰ προσιούσης καὶ κλειομένης, ἔπειτ' ἐνθάδε καθάπερ ἐν σωλῆνι τῷ Βοσπόρῳ, καὶ δεσμουμένης μικρὸν πρὸ τῆς πόλεως, καὶ ταπεινῷ μεταβαλλούσης φρονήματι καὶ σχήματι, τῇ πόλει συνάπτειν· ἀτεχνῶς, ὥσπερ ὑπὸ χεῖρα γιγνομένης δεσπότῃ· κἀντεῦθεν λοιπὸν ἑξῆς ἔπειτα τὸν ἀδυνάστευτον δρόμον, καὶ τὴν ἐλευθερίαν, ἀπολαμβανούσης αὖθις τὸ κάλλιστόν τε καὶ ἥδιστον θέαμα· καὶ ὡς ἀληθῶς θαῦμα, παντὶ τῷ προσορῶντι, καὶ μόνης αἰσθήσεως· ἀλλ' οὐ λόγου καθιστορεῖν ὅστις ἄρα δυστυχεῖ, μὴ προστυχὼν τοσαύτῃ, καινότητι πράγματος, σὺν ὥρᾳ τοσαύτῃ· καὶ φύσεως ἀήθει παντάπασιν ἔργῳ, καθάπερ ἀμέλει καὶ ἄνθρωποι, χειροποίητα καλλιτεχνήματα,

22,11 τὰ^{2} V^{2} s.l. **13** ὅσον V^{2} e corr. **30** ἐλευθερίαν scripsimus: εὐλευθερίαν V **32** προσορῶντι V e corr.

10–11 cf. Ael. Arist., Or. 13 (p. 320, 6) **16–18** τῶν…πρὸς^{1} cf. Id., Or. 27, 6 (p. 126, 12–13) **19–29** cf. Himer., Or. 62, 19–32 (p. 225) **21** cf. Hes., Theog. 282 **24–27** cf. Ael. Arist., Or. 46, 17 (p. 367, 1–3)

πρὸς ἡντιναοῦν δραματουργοῦνται χάριν, ἐνίοτε τυραννοῦντες κατὰ τῆς φύσεως, καὶ μετατιθέντες αὐτῆς, ὅρια· ἢ νοῦς ἀναπλάττει μόνος, ἐξουσίᾳ τινὶ καὶ κράτει καθάπαξ, ἀνευθύνῳ δημιουργῶν ἐν ἑαυτῷ κατὰ χώραν ῥᾷστα τὸ προστυχόν· ἢ ζωγράφος, | ἀλαζὼν f. 245 ἴσως καὶ κατὰ τῶν ὄντων ὑβριστὴς, ἕτοιμος κατ' αὐτῶν τὴν χεῖρα κινῶν· καὶ καινοποιῶν ἔκτοπος· καὶ ὡσπερεί τις αὐτοκράτωρ, καὶ δυνάστης τῆς φύσεως καὶ τῶν τῆς φύσεως, ἢ μᾶλλον εἰπεῖν αὐτοκράτωρ ἑαυτοῦ καὶ χειρῶν ἑαυτοῦ· καὶ χρωμάτων· καὶ ὅλως τῆς τέχνης· ἐν γράμμασι ποιεῖν, καὶ μεταποιεῖν ταχὺς ἀξιῶν ἃ βούλοιτ' ἂν· καὶ ἃ μὴ πέφυκεν.

23. Οὕτω τεράστια μὲν ἐνταῦθα φύσεως ἔργα· νικᾷ δ' οὐ τῇ καινότητι μᾶλλον θαυμάζειν, ἢ τῇ μετ' αὐτῆς ἥδεσθαι καλλονῇ τοσαύτῃ. καὶ τὰ μέγιστα καὶ φοβερώτατα τῆς πόλεως ἑκατέρωθεν, πελάγη, ὥσπερ ὀμφαλῷ τινι ταύτῃ ξυνάπτει· εἰ δὲ μὴ, καθάπερ τις κλεὶς ἡ πόλις ἀμφοῖν, ἐν μέσῳ κοινὸς γίγνεται· καὶ καθείργνυσι καὶ ξυνδεῖ· τὰς τοσαύτας εὐρύτητας ἀμφοτέρωθεν, ἐπικλυζούσας, στενουμένη, τὰς ἀορίστους ὡς εἰπεῖν πεδιάδας τοσαύτας, τῶν ἐκχύσεων· καὶ ἀδοκήτους ἑλεῖν μετ' εἰρήνης, ἐς τὸ κομιδῇ βραχύτατον. εἰκάσαις ἂν, ὁρῶν, γραμμικὸν αὐχένα λοιπὸν εἶναι τὸ χρῆμα Βοσπόρου· καὶ ζυγοῦ τινος μιμεῖσθαι τὴν πόλιν δεσμόν· ἐξ ἑνὸς μὲν τοῦ μέρους τὸν Εὔξεινον ἐξαρτῶσαν τοῦ Βοσπόρου· θατέρου δὲ τὸν Αἰγαῖον αὐτὸν, καὶ τὰ λοιπὰ πελάγη, τῶν Ἑλλησποντείων στενῶν· καὶ νέμειν οὕτω δῆτ' αὐτὴν ἔχουσαν, ἅπασαν ἰσότητα καὶ γαλήνην· καὶ σταθμὸν αὐτοῖς γίγνεσθαι δικαιοπραγίας, εἰς τὴν κοινὴν τοῦ παντὸς κόσμου κατάστασιν καὶ θεωρίαν· καὶ τὸν τῆς ὅλης φύσεως τῶν ὄντων διάκοσμον. καὶ τοσοῦτος ὁ Πόντος ἄνωθεν ἐπιβρέμων· καὶ χαλεπὸς ἐπικρεμάμενος· καὶ κατιέναι δοκῶν πάντων πραγμάτων, ἀήττητός τε καὶ ἄσχετος, ὁ δὲ, λοιπὸν ἐνταῦθα θαυμαστῶς ὅπως ξυνέχεται· καὶ ταπεινὰ πράττει· καὶ τῇ πόλει διὰ τῶν στενοτάτων, ὅτι μάλισθ' ὑποκύπτων, πρόσεισιν ἐκ τοσαύτης τῆς δυναστείας καὶ τοῦ

23,5 κλεὶς scripsimus: κλεῖς V **8** ἑλεῖν scripsimus: ἐλεῖν V

38–42 cf., Id., Or. 45, 1 (pp. 352,6–353,2) **42–43** cf. infra, Or. 18, 11, 34
23,2 Menand. Rhet., De orat. 1, 349, 9–11 (p. 38) **10** cf. Herodot., Hist. 4, 118
17 cf. Hom., Il. 2, 210

f. 245v θράσους, ὁμαλῷ καὶ | ἀλύπῳ ῥεύματι χειροήθης· πᾶσαν τὴν ὀργὴν ἀφεὶς, ἀσπάζεταί τε ξὺν ὥρᾳ· καὶ περιχεῖται τὴν πόλιν, πᾶσαν σχεδὸν κύκλῳ κάλλιστα περίρρυτον· καὶ ξυμπλέκεται μέχρι καὶ εἰς πόδας ὑποπίπτων· οὐ κατὰ πάροδον ὡς ἄν τις εἴποι, ἀμηγέπῃ συνάπτων· καὶ κοινωνῶν οἷ παρήκοι· τῶν αὐτῆς ἐρώτων, ἀνεπίστροφος.

24. Τέως μέν γε κομιδῇ καταρρέων ὁ Βόσπορος ὀλίγος, καὶ παραπλήσιος ἐφ' ἑκάτερα, ἐνταῦθα λοιπὸν ἔπειτά γε δοκεῖ τι πλέον· καὶ κολποῦται μεθ' ὅτι πλείστης τῇ πόλει χάριτος, χωρῶν καὶ συμπαρατείνων, εἴσω, καὶ ὅλον αὐτῇ δίδωσιν ἑαυτὸν· λιμένας ταῖς ἀγκάλαις εἰσφέρων τῇ φιλτάτῃ καὶ δημιουργῶν· τοσοῦτος ἐκκλίνων ἀμέλει, καὶ τὸν πρότερον αὐτῇ δίαυλον παριεὶς, καὶ προσάγων ἡδὺς εἴσω, ὅσον ξύμμετρος εἶναι, τῷ τῆς πόλεως μόνῳ μεγέθει· καὶ παρισοῦσθαι· περαιτέρω, καταμηδὲν ὁτιοῦν καὶ τοὐλάχιστον προχωρεῖν ἀξιῶν. ἀλλ' ὡς ἀληθῶς ἔοικεν εὖ μάλα καὶ δῆλος, ἐστὶ τῇ πόλει μεθαρμοζόμενος· καὶ προσέχων αὐτῇ τὸν νοῦν· καὶ ταπεινὸς ἐπιμένων· καὶ τοῖς παιδικοῖς σχολάζων, κάλλιστον οἶμαι χρῆμα προσορᾶν καὶ ἥδιστον, καὶ οὐκ οἶδ' ὡς εἴ τι ἄλλο τῶν ἄλλῄ πῃ θαυμαστῶν, καὶ κοσμίων, αὐτὸ τὸ τερπνότατον· παντάπασι κατ' ἀμφότερα, βραχὺς· εὖρος τὲ καὶ μῆκος· κολπούμενος, μόνῃ τῇ πόλει· καὶ ὠθούμενος ἄνωθεν, ἀπὸ τοσούτου καὶ συνίσχων, ἑαυτὸν, ὡς ἂν, εἴπῃς ἑκών γε εἶναι, πρὸς τοὺς τῆς πόλεως ἔρωτας, ὡς ἄρα κέρδος τιθέμενος, καὶ ὡς ἐμοὶ δοκεῖν μέγιστον, πάντα τρόπον, ὡς οἷόν τέ ἐστι, συμπλέκειν αὐτῇ.

25. Τοὐντεῦθεν δὲ ἤδη πομπεύει χρώμενος λοιπὸν, ἑαυτῷ σὺν ἐλευθερίᾳ· καὶ ῥᾳστώνῃ· καὶ κράτει τῆς φύσεως· καὶ μέγας μεγαλοπρεπῶς ἀνοίγων ἐν ὀφθαλμοῖς τῇ φιλτάτῃ πόλει, θέατρον καὶ f. 246 κατευρύνων ἑαυτὸν, ὡς ἂν, μάλιστα καθ' ἡδονὴν εὐσύνοπτα· | καὶ πελαγίζων, ἄλλοτ' ἄλλῃ καὶ πάντα στρεφόμενος καὶ πᾶς γιγνόμενος· καὶ μυρίαν καθιστορῶν ὥσπερ ἐν σκηνῇ τινι καὶ δράματι

24,15 post ἀπὸ quattuor litterae erasae in V **25,3** ἀνοίγων ἐν ὀφθαλμοῖς V[1]: ἀνοίγων ὀφθαλμοῖς V **5** πᾶς V in ras. **6** τινι V[2]: τι V

22 cf. Ael. Arist., Or. 13 (p. 162, 21) **24,5** Menand. Rhet., De orat. 1, 351, 22–23 (p. 42) **25,2–3** cf. Hom., Il. 16, 776

μορφὴν, τοῖς προθύροις αὐτοῖς τῆς πόλεως. νησίδια μέν γε μικρὸν πρὸ τῆς πόλεως, ταῦτα συχνὰ· καὶ προσάλληλα· καὶ πᾶσαν ἀρετὴν, ἐπαφρόδιτα· καὶ κάλλος θαυμάσιον οἶον, δοκεῖ μέν πως φιλανθρωπίας ἐρωτικῆς, προσεστάναι τῇ πόλει σύμβολα· καὶ τοῖς αὐτῆς ἀποστόλοις καὶ καταστόλοις, ἔγγιστα χρήσιμα· καὶ χάριτες, καὶ σωτηρίας· καὶ παραμυθίας ἐχέγγυα· καὶ πάντων ἀνιαρῶν, ἀλεξίκακα· καὶ τῆς χρείας λιμένες· ἵνα δὴ μὴ κατὰ γῆν μόνον· ἀλλὰ καὶ κατὰ θάλατταν, πᾶσα προαυλίων ἡδονή τε καὶ ἀστειότης, εἴη τῇ πάντα μεγίστῃ καὶ θαυμαστῇ πόλει, καὶ πάντων πάντοθεν ἐπιδημούντων, ἢ πανταχοῦ παριόντων, ὑποδοχαί τε καὶ καταγώγια· μὴ πρὸς χρείαν μόνην, ἀλλὰ καὶ πᾶσαν ἁβρότητα· καὶ καλλονῆς ἐπίδειξιν. δοκεῖ δ’ ὑπ’ αὐτοῦ τρόπον γέ τινα, λίαν ἐρωτικῶς ἀποτετμῆσθαι· καὶ διεσπᾶσθαι τῆς φίλης γῆς· καί πως ἐγκόλπια, συνοικεῖν αὐτῷ καὶ τεθησαυρίσθαι· καθάπερ, ἐρωτικά τινα δήγματα· ἢ τῆς φιλίας ὑπομνήματα δεδομένα, τῶν παιδικῶν, ὥσπερ οἱ ποθοῦντες εἰώθασι διιστάμενοι, φέρεσθαί τινας ἀλλήλων, οὐ μᾶλλον μνήμης, ἢ ψυχαγωγίας ἀφορμὰς, ἅττ’ ἂν, ξυλλάχοι σφίσιν ἐξ ὧν συνίσασι χρωμένοις ὁπωσοῦν τοῖς φίλοις, καὶ γένοιτ’ ἂν, αὐτοῖς ἐν καιρῷ τῆς χρείας καὶ σπούδασμα ἐπέραστον, κομιδῇ, ζώνη τις ἢ δακτύλιος ἢ καὶ τριχῶν τομὴ καὶ ζημία τῆς κεφαλῆς, κέρδος μέγιστον τῷ λαμβάνοντι· ἢ χρῆμα ὁτιοῦν καὶ τῶν τέως, φαυλοτάτων δοκούντων.

26. Θαυμάζω δ’ ἔγωγε νῦν, τῶν τὰς Πλαγκτὰς· καὶ Κυανέας ἐνταῦθα πέτρας ἐπικτυπούντων τὲ, καὶ προσαρρασσόντων, καὶ καταμυθευομένων τῆς πόλεως· ποῦ γῆς ἢ | θαλάττης ἐξῳκισμένοι, τοσαῦτα κατὰ τῶν ἀξιολογωτάτων καὶ πᾶσι δήλων· καὶ μάλιστα περιόπτων διὰ τὸ κλέος, ἀναιδεῖς εἰσι καὶ καταψεύδονται· καὶ καθάπερ ἀπὸ μηχανῆς τινος τραγικῆς, ἀντανιστῶσι τῇ πόλει· τοιαῦτά τινα φάσματά τε καὶ δράματα· καὶ τοὺς ἀκροωμένους ὡσπερεὶ δεδίττονται· κακοὶ κακῶς τε, καὶ ἀμαθῶς παραληροῦντες· οὕτω παντάπασιν, οὐ μόνον ἔκτοπα τῆς ἀληθείας, ἀλλὰ καὶ τῆς f. 246v

7 νησίδια V[1]: νησήδια V **11** αὐτῆς correximus: αὐτοῖς V **21** δήγματα V[2]: δείγματα V **26,4** δήλων V[1]: δῆλων V

22–26,1 cf. Plat., Phaed. 73d; Max. Tyr., Or. 2, 194–196 (p. 21) **26,1–2** cf. Herodot., Hist. 4, 85, 6; Ael. Arist., Or. 46, 17 (p. 367, 1–4)

πόλεως. ἧς τὰ μὲν ἄνω, χαλεπῶς πόρρωθεν ἐξ Ὑπερβοραίων ἵν' οὕτως εἴποιμι, καὶ τῶν Σκυθικῶν χειμώνων· καὶ Μαιώτιδος κατιὼν, Εὔξεινος δυσάντητος καὶ αὐθάδης, καὶ δυσχερὴς χρῆσθαι καθάπαξ, ἔπειτ' ἐνταῦθα, τοῖς τοῦ Βοσπόρου στενοῖς εἴργεται· καὶ δουλεύει θαυμάσιον οἷον τῇ πόλει ξυνάπτων· οὐχ ἑαυτοῦ μόνον, ἀλλὰ καὶ πάσης ὡς ἔπος εἰπεῖν θαλάσσης, προσηνέστατος· καὶ πᾶν ἀμείλικτον καὶ ἀγριωπὸν ἀποθέμενος· ἐπὶ θάτερα δὲ Προποντὶς κατολίγον εὐρυνομένη· κάλλιστόν ἐστι καὶ ἡμερώτατον ἁπάντων θέαμα· καὶ φιλανθρωπότατον ὁρᾶν τε καὶ χρῆσθαι, τά τε ἄλλα καὶ οἷς ἀναδίδωσιν, ἄλλοις ἄλλῃ συχνοῖς, ἑκάστοτε νησιδίοις καὶ καταποικίλλεται, τερπνότατα· καθάπερ ταῖς στικταῖς ἐλάφοις, ἢ ταῖς παρδάλεσιν, ἡδονὴν φέρει καὶ καλλονὴν τοῖς ὁρῶσιν, ἡ κατὰ τῆς δορᾶς αὐταῖς σκηνή· καὶ ὁ κόσμος τῶν βαφῶν, ὥσπερ ἐν λειμῶσι τὰ ἄνθη.

27. Καὶ τοίνυν ἔξεστιν ἐπ' ἀμφότερα, μάλιστα πειρᾶσθαι καὶ θαυμάζειν. ἂν μὲν γὰρ ἐκ τῆς πόλεως εἰς αὐτὴν ὁρᾷς τὴν Προποντίδα, ὥσπερ αὐλῆς τινος ἠσκημένης εὖ κατ' ὀφθαλμοὺς αὐτίκα κεχυμένης, ὁρᾶν δόξαις ἄν, ἕρκος· ἢ λειμῶνος τινὸς χάριν, εὐσύνοπτα πάντῃ κύκλῳ περαίνουσαν· ἡδονάς τε πάσας καὶ δρόμους καὶ περιόδους, καὶ καταπαύσεις ἁπάσης ῥᾳστώνης· καὶ λιμένας ταῖς
f. 247 ὄψεσι προσχεῖν· | καὶ ἀνακλίσεις, ὑφαπλοῦσαν ἔστιν ἃς ἐκ νήσων· ἔστιν, ἃς ἐξ ἀντιθέτων ἠπείρων, ἄντικρυς ἀλλήλαις τε καὶ τοῖς σοῖς ὀφθαλμοῖς καὶ τῇ πόλει· καὶ κάλλη κατὰ γῆς οὐράνια· καὶ καθάπερ ἀμέλει κάτοπτρον αὐτὴν οὖσαν, τῆδε τὴν θάλασσαν οὐρανοῦ· κάτωθεν ἀποματτομένην, ὑποδέχεσθαι, τὴν ἐκείνου μορφὴν καὶ ἀντιλαμβάνεσθαι, τῆς ἐκεῖθεν αἴγλης· ἀστράπτειν τὲ ἐντεῦθεν, καὶ ἀνατείνειν καὶ καθιστορεῖν ἐφ' ἑαυτῆς καὶ ἀναδεικνῦναι, κατ' ἀντανάκλασιν τὴν ἄνω πανήγυριν τῆς ἁπάσης λαμπρότητος· καὶ τῶν ἀστέρων ἕδρας καὶ διαστάσεις, καὶ πάντα φαιδρὰ· μίμημα γιγνομένην ἀτεχνῶς, αὐτῆς τῆς κατ' οὐρανὸν, εὐγενείας

10 Ὑπερβοραίων V[2]: Ὑπερβορέων V **27,9** κάλλη V[1] in ras. **14** ἁπάσης V[2]: πάσης V

21 Ael. Arist., Or. 44, 13 (p. 350, 16) **27,6** cf. Ael. Arist., Or. 17, 13 (p. 5, 7–11) **10** cf. Plat., Resp. 402d et 596d **15** cf. Claud. Ptol., Synt. Math. (p. 12, 5) **16** cf. Phil. Iud., De spec. leg. 1, 94 (p. 19, 27)

καὶ ὥρας· καὶ θέαμα γαληνὸν μὲν, καὶ ἄλυπον κατ’ ἐκεῖνον· ἀλλὰ κεκραμένον ὄγκῳ· καὶ ἥδιστον μὲν, ὀφθαλμοῖς ὁρᾶν καὶ τερπνότατον, ἀλλὰ τὸ αὐτὸ, καὶ θάμβος ἐμποιοῦν, ὡς τὸν ἐπόπτην νοῦν εὖ μάλα συνάγειν, αὐτῷ προσέχειν μετὰ τῆς τῶν ὀφθαλμῶν ἑορτῆς. καὶ ὅλως τὸ χάριεν οὐκ ἔξω θαύματος· ἢ μᾶλλον ἀξιώματος πλείστου. τὸν μέν γε στίχον, τῶν ἄστρων· καὶ τὸν χορὸν· καὶ τὰ μέτρα τῶν σταθμῶν, καὶ τὴν εὐρυθμίαν, ἃ δὴ ταῦτα τὴν ἄνω περιιοῦσαν ὄψιν ξενίζει προσηνῶς ὡς ἥδιστα, δόξαις ἂν, ἀντανισοῦν διὰ πάντων, ἴσως εἰκάζων ταῖς κατ’ αὐτὴν δὴ νήσοις, ἃς ἐν μέσῳ σὺν ἁρμονίᾳ κατὰ διαστάσεις, ἀνίσχει καὶ σκηνοποιεῖ τοῖς ὀφθαλμοῖς, περιουσίᾳ χάριτος.

28. Καὶ τοῦτο μὲν οὕτω. ἀτὰρ εἰ μικρόν γ’ ἐπὶ θάτερα πρὸ τῆς πόλεως αὖθις αὐτῆς, ἔξω τῶν τῆς πόλεως ἀσφαλισμάτων, τῶν τοῦ Βοσπόρου λέγω προέλθοις στενῶν καὶ πυλῶν, ὡς εἰπεῖν καὶ τοῖς Εὐξείνου θαύμασι δοίης, σαυτὸν ἀναγόμενος, θάμβος τὸ πᾶν ἐνταῦθα· καὶ δέος· καὶ χρῆμα τι τοῦτ’ ἐνταῦθα, ἀμίμητον· ἢ μᾶλλον εἰπεῖν, ἀμύθητον | καὶ ἀπέραντον· ὡς ὅρῳ χρῆσθαι καὶ f. 247v τελευτᾶν ὁπηοῦν· καὶ τοὺς ὀφθαλμοὺς ἐπὶ λιμένος ἱστᾶν, καὶ οὐκ ἔστι περιιόντα, διὰ τῆς ἐποπτείας εἰρήνην ἄγειν· καὶ καταπαύειν ἀμηγέπη καὶ τυγχάνειν φιλανθρωπίας, πάντη χρώμενον καὶ στρεφόμενον· ἀλλὰ τὸ ξύμπαν ἄγριον καὶ κατάπληξιν εἶναι, καὶ σεισμὸν ὀφθαλμοῖς ἀπαντᾶν. καὶ τὸν νοῦν οὐκ ἔστι λοιπὸν, οἶμαι ῥᾷστα χωρεῖν· ἀλλὰ πολὺς ἴλιγγος· καὶ πάντοθεν ζάλη· καὶ σωφροσύνης καὶ βουλῆς· καὶ εὐλαβείας ἀνάγκη· καὶ πόθος ἀναχωρεῖν. καὶ τίς ἂν, λόγος ἐφίκοιτο, ὡς οὐδὲν μᾶλλον οὐδέσιν ἀκίνδυνα, τἀνθάδε τοῖς χρωμένοις πᾶσιν, οὐδ’ ὥστε καὶ περιγενέσθαι· καὶ τοῦ σκοποῦ καθάπαξ ἀδεῶς τυχεῖν· οὐ τοῖς πλέουσιν· οὐ τοῖς ἐφορῶσιν, οὐ τοῖς καθιστοροῦσιν ἐν λόγοις;

29. Πλήν γε τοσοῦτον νῦν ἐνταῦθα, λέγειν ἔχομεν εἰς τὴν πρόθεσιν, ὡς πάντα περὶ τὴν πόλιν εἰσὶ καὶ τῆς πόλεως, καὶ χάριτες· καὶ θάμβη· καὶ φοβερὰ· καὶ ἥδιστα· καὶ πάντα χρήματα·

24 περιιοῦσαν V^{2}: περιοῦσαν V **28,6** ἀπέραντον V e corr.

19 cf. Synes. Cyren., Epist. 105 (p. 188, 9) **22–23** cf. Nic. Greg., Hist. Rom. (I, p. 5, 3–5); cf. Lucian. De salt. 7 (III, p. 30, 1–4)

εἰ δὲ βούλει, θαύματα· καὶ οὐδὲν ὅ,τι οὐ· τῶν πλέον τοῦ προχείρου, ξυνιδεῖν καὶ ὅλως τῶν ὄντων ἐν κόσμῳ· ὃ μὴ κατ’ αὐτήν τε καὶ περὶ αὐτὴν· καὶ ὡς εἰπεῖν ἐξ ἄρα πάντων εἰδῶν αὕτη κάλλιστον· ἓν ὁτιοῦν χρῆμα κέκραται, ἠπίων τὲ καὶ μὴ, βριαρῶν τε καὶ τῶν ἐναντίων, καὶ πάντων μάλιστα τῶν ἐναντίων, εὖ μάλα ξυνιόντων αὐτῇ πρὸς ἑνὸς, τοῦ τελεωτάτου κατασκευὴν· ἀτεχνῶς μίμημα· τοῦ παντὸς κόσμου. καὶ φθάνω πρότερον λέγων ὡς ἄρα αὐτὸς ἐκ πάντων ὁμοῦ καὶ τῶν ἐναντίων, ὁμοῦ παμπλῆρες ἔργον, ἵσταται καὶ δημιούργημα τέλειον, καὶ αὕτη παραπλησίως, ἐκ θαλάττης οὕτω καὶ τῶν ἐνταῦθα τεραστίων τὲ καὶ χαρίτων, ἐκ γῆς αὖθις καὶ τῶν τῆς γῆς ἐφαμίλλων ἁπάντων, ἀλλήλοις τὲ καὶ τοῖς ἐκ θαλάττης. οὔτε γὰρ ἅπασα χάρις ἐνταῦθα, οὔθ’ ἅπασα | χρεία, καθόλου f. 248 γε εἰπεῖν ἄπεστιν· ἢ τοὔλαττον, ἢ καὶ ὁπηοῦν ἔχει τῇ πόλει. πεδία τὲ γὰρ πλεῖστα· καὶ ὄρη πλεῖστα· καὶ ἀμφότερα, κάλλιστά τε καὶ ὀνησιμώτατα· αὐτὰ τὲ ἐφ’ ἑαυτῶν σκοπουμένῳ· καὶ ὡς ἄρα ἀλλήλοις ἐπιμέμικται καὶ κέκραται.

30. Καὶ τοίνυν ἐντεῦθεν ἐκ παντὸς τοῦ τρόπου κατ’ ἀνάγκην ξυμβαίνει, εὖ τε κάλλους· καὶ παντοίων κόσμων εἶναι τὴν πόλιν· εὖ τε φορᾶς ἁπάσης καὶ βίου χρήσεως· ὧν ἁπάντων ἀνθρώποις οὖσι δεῖ· εὖ τε μάλιστ’ ἐντεῦθεν ἀέρων κράσεως· οὗ καὶ μάλιστα πρὸς ζωῆς εὐμάρειαν δεῖ· καὶ ὡς ἔπος εἰπεῖν παντὸς εὖ τοῦ τελεσφόρου πρὸς εὐδαιμονίαν, καὶ οὐκ ἔστιν οὐχ ὅτου τινὸς ἂν εἴποι τις οὒ, τῶν ἁπάντων χρησίμων. τῆς γάρ τοι Θράκης ἡ χώρ’ αὕτη καθ’ ἡμᾶς ἧς τὸ καιριώτατον ἅπασαν ἀρετὴν, πόλει προσήκουσαν, ἀποτέτμηται τῇ δοτῇ πόλει, πεδίοις μὲν, οὐκ οἶδ’ ὡς εἴ τις ἄλλη, πάνυ τοι πλείστοις, εὐρύνεταί τε καὶ πελαγίζει· καὶ κατακέχυται· ὄρεσι δ’ αὖ ὅλη συχνοῖς τε, καὶ συνεχέσι κατατέτμηται, μᾶλλον δ’ εἰπεῖν συνέστραπται διὰ πάντων, καὶ συνδέδεται· καὶ καθάπερ σῶμα τί βριαρὸν, ὀστέοις ἠρρένωται· καὶ κραταιῶς ἑστάναι φύσιν, ἔχει· καὶ οὐ μαλακῶς, οὐδ’ εὐλύτως. καὶ τὸ σαρκῶδες αὐτῇ καὶ πῖον τῆς διασκευῆς, καὶ κατὰ τὴν τάξιν τῆς φύσεως

29,8 καὶ πάντων μάλιστα τῶν ἐναντίων V in marg. (manu Metochitae?) **30,9** τῇ δοτῇ: an τῇδε τῇ?

29,6–8 cf. e.g. Plat., Tim. 32a–33a et Soph. 242 cd; cf. etiam Phil. Iud., De plant. 6 (p. 126, 15) **10–12** cf. Plat., Tim. 30bd

καὶ τοὺς μερισμοὺς, ἐρρᾳστωνευμένην, ἔχεσθαί τε καὶ πυκνοῦσθαι δοκεῖ, τοῖς τῶν ὀρῶν ὀστώδεσι δεσμοῖς· καὶ τοῖς στερροτέροις αὐτοῖς τῆς ὅλης συνεχείας καὶ πλάσεως· ὡς εἶναι καὶ τὴν ὥραν μὲν ἐκ τῶν πεδίων, ἡδίστην οἵαν ἐκτόπως· καὶ τὴν ὠφέλειαν δὲ, οὐχήκιστα, εἶναι δὲ καθάπερ ταῖς καταφράκτοις τάξεσι καὶ στρατιαῖς, πάντοθεν καὶ πολὺ τὸ ἀσφαλὲς τοῖς ὁπλίζουσιν ὄρεσι, καὶ βέβαιον· καὶ οὐκ εὐρίπιστον ῥᾳδίως· οὐδὲ κοῦφον· οὐδ’ εὐκίνητον· καὶ πολὺς μὲν ὁ κόσμος· πολὺ δὲ τὸ κράτος· καὶ | f. 248v πολλὴ μὲν ἡ χάρις· πολὺ δὲ τὸ χρήσιμον. οὐ γὰρ ἔρρωται μὲν, ἐκ τῶν πεδίων, εἰς ἅπασαν γονὴν καὶ φορὰν, καὶ φύσει· καὶ πάσῃ τέχνῃ· καὶ τῶν οἰκούντων ἐπιμελείᾳ τὲ καὶ ἀσκήσει· οὐκ οἶδ’ ὡς εἴ τις ἄλλη παραπλησίως, ἐν τούτοις τῶν δοκίμων καὶ ὀνομαστῶν, πάλαι τὲ καὶ νῦν, οὐκ ἔρρωται δ’ ἀμέλει, καὶ τουτονὶ τὸν τρόπον, ὑπὸ τῆς τῶν ὀρῶν συμπλοκῆς· ὡς ἔφην καὶ τῶν ἐντεῦθεν φυσικῶν συνδέσμων εἰς τὸ καρτερὸν αὐτὸ καὶ ἀκμαστικὸν, ἀλλ’ ἄνετος ἥπλωται· καὶ ῥᾶστ’ εὐεπιχείρητος ἐπιβουλῇ τινι τύχης καὶ κακουργίᾳ, διὰ τὸ τῆς φύσεως ὡς εἰπεῖν ἄτονον καὶ θηλυπρεπές τε καὶ ὕπτιον. ἢ μάλιστ’ ἔξεστιν· οἶμαι, νῦν ἐρεῖν, ὡς ἄρα ἐρρωμένη κομιδῇ, πρὸς ἅπασαν εὐφορίαν τῶν ὀνησίμων καρπῶν, καὶ πάσης γονῆς ἐν τοῖς κατ’ αὐτὴν πεδίοις, εὖ μάλα βρύουσα, οὐδὲν ἧττον κἀν τοῖς αὐτῆς ὄρεσιν, ἁπάσης γονῆς εὖ μάλα βρύει· καὶ χρήσιμός ἐστι καὶ ὡς ἔνι μάλιστ’ ἔρρωται. καὶ ἃ φέρουσιν ἄλλοις μόνα· κατὰ φύσιν τὰ πεδία, μόνοις ἡμῖν καὶ τὰ ὄρη ταῦτα πορίζεται· καὶ δημιουργεῖ· καὶ δαψιλῶς φέρει. καὶ τὰ μὲν, αὐτῶν, ἀνεῖται τῇ πόλει· καὶ ἃ μάλιστ’ αὐτῆς ἔγγιστα τῆς ἁπάσης χώρας, πρὸς τὴν τῆς ὕλης ἀδάπανον μετουσίαν καὶ χορηγίαν, ἣν τῶν ὀρῶν ἐστι καρποῦσθαι νόμος φύσεως, ἀρχαῖος ἀνθρώποις· οὕτω πάνυ τοι πλεῖστα καὶ μήκιστα σχεδὸν ἐξ αὐτῆς αὐτίκα τῆς πόλεως ἵσταται· ῥᾴδιον μὲν καὶ ἀπραγμάτευτον· ἀλλὰ καὶ παμπλῆρες ταμιεῖον τῆς χρείας· ἧς ἐξ αὐτῶν δεῖ τῇ πόλει· τὰ δὲ, γυμνὰ λείπεται τοῖς ἀροῦσι· καὶ πρὸς ὑποδοχὴν ἁπάντων σπερμάτων, κεῖται χρήσιμα·

21 καὶ πολὺ τὸ ἀσφαλὲς V^2 in ras. **23–24** πολλὴ μὲν ἡ V^1: πολὺ μὲν V **43** τῆς πόλεως ἵσταται αὐτίκα primum scripsit, deinde litteris βγα suprascriptis ordinem invertit V

30,17 Menand. Rhet., De orat. 1, 345, 31–33 (p. 30) **24–25** Ael. Arist., Or. 13 (p. 165, 19) **34** cf. Ps.-Plat., Axioch. 371c **35** cf. Herodot., Hist. 1, 185 **38–39** cf. Liban., Or. 11, 22 (p. 444, 6–7) **46** Ibid. 23 (p. 444, 10)

καὶ καθάπαξ ἀνύσιμά τε καὶ ἀζήμια, τοῖς καταβάλλουσι καὶ χρωμένοις.

31. Καὶ τοίνυν ὁρᾶν ἔστι διὰ πάντων ἰόντα τῆς χώρας, ὑπτίων f. 249 τὲ καὶ τῶν ἀνεχόντων ἠρμένων καὶ ὀρεινῶν (καὶ τὰ πολλά γε | τοιαύτη κατὰ φύσιν ἐστὶ καὶ εἴρηται), διὰ πάντων τοίνυν ὁρᾶν ἔστιν αὐτὴν, εὐτοκοῦσαν τὲ καὶ γονίμην· καὶ οὐ τὰ μὲν, οὕτω φιλάνθρωπον καὶ χρησίμην, τά δ' οὒ, ἀλλ' ἀκαρποῦσαν καθάπαξ καὶ στειρεύουσαν· οὐδὲ τὰ μὲν, ἐργατικὴν εὖ μάλα καὶ συντελῆ, τὰ δὲ, παντάπασιν ἀργήν τε καὶ νοσοῦσαν καὶ δυσξύμβλητον χρῆσθαι, ὡς ἄρα τῶν μερῶν αὐτῆς παρέλκειν ἔνια δυστυχῆ, καθάπερ ἐπὶ τῶν ἀμβλωμάτων, ἃ παντελεῖ κατέκρινεν ἡ φύσις, ἀχρηστίᾳ· οὐδὲ τοῖς μὲν, τῶν οἰκούντων εὐετηρίας ἀφορμὴν ἀεὶ, τοῖς δὲ, τοὐναντίον ἅπαν, ἄδικόν τινα καὶ τὴν νομὴν ἄνισον καὶ τὴν χρείαν· ὡς τὸν ἀεὶ χρόνον σφᾶς συγκεκληρῶσθαι, πονηρᾷ καὶ δυσέργῳ τύχῃ· καὶ οὐχ' οἷον τ' εἶναι πράττειν εὖ· ἀλλὰ πᾶσαν ὁμοῦ· καὶ ὁμοῦ πᾶσι τοῖς ἐποίκοις, εὐεκτοῦσαν καὶ χορηγὸν εὐδαιμονίας καὶ εὐζωίας, καὶ βίου ῥᾳστώνης· ὡς ἐξεῖναι μὲν αὐτῇ φέρειν τὰ πεδία· ἐξεῖναι δὲ τὰ ὄρη φέρειν παραπλησίως· ἐξεῖναι δ' αὐτὴν πάντως δι' ὡντινωνοῦν, φέρειν ἀεὶ· καὶ μήποτ' ἀπολείπειν, μὴ δ' ἀτευκτεῖν· μὴ δ' ἐπ' ἐνίων μὲν τῶν ξυντυχόντων χρόνων, εὐγενῆ δείκνυσθαι καὶ κάλλιστα· ἐπ' ἐνίων δ' ἀμέλει συμφορᾷ, χρῆσθαι καὶ κάμνειν. οὐδ' ἔστιν ἡμῖν μόνοις, τῇ μὲν, εὐκαιρεῖν, τῇ δὲ, μὴ· ἀλλὰ νοσεῖν ὅλως ἡμῖν γε οὐκ ἔξεστι, τὴν ἀπὸ γῆς φορὰν· οὐδὲ παλαίειν, ἡτινιοῦν ἀωρίᾳ· καὶ ἀηδεῖ καὶ ἀήθει, τύχῃ· τὸν ἅπαντα δὲ χρόνον, κἂν ὅστις ᾖ, νῦν γε εἶναι· κἂν ἑκάστοτε παντοῖος, ἡμῖν ἔστιν εὖ χρῆσθαι· καὶ πράττειν ἀνεκτῶς. καὶ γεωργοῦσι μὲν ἡμῖν, ὑετοὶ κλύζοντες καὶ χειμῶνες καταλιμνάζοντες τῶν πεδίων, ἀπὸ θατέρου μέρους λέγω τῶν ὀρῶν· γεωργοῦσι δὲ τοὐναντίον, ἀπὸ τῶν πεδίων, ἔπειτ' αὖθις ἀνομβρίαι τὲ κατὰ τῶν ὀρῶν καὶ αὐχμοὶ, f. 249v ἢ βοηθοῦντες ὀλίγον, | ὑετοὶ διὰ τὸ φύσει πρόχειρον τῆς γῆς· καὶ ῥέον εἰς εὐτοκίαν· πάντως δὲ γεωργοῦσι πάντες καιροί. καὶ οὔποτε

31,6 ἐργατικὴν V^1 partim in ras. **9** ἃ παντελεῖ V^1: οἷς παντελῆ V **10** ἀχρηστίᾳ V^1: ἀχρηστίαν V **19** ἀμέλει correximus: ἀμελεῖ V **23** ᾖν V a. corr.

31,1–2 cf. Ael. Arist., Or. 13 (p. 162, 7–8)

κάμνομεν ὡς οἱ πολλοὶ ποθοῦντες ἀναγκαστῶς, ἀλλοτρίαν συντέλειαν, ὡς ἀποθέσθαι καὶ διοικήσασθαι τὴν ξυλλαχοῦσαν ἴσως ἐπήρειαν καὶ ζημίαν ἐνίοτε τοῦ καιροῦ· ἀλλ᾽ ἡμῖν ἔοικεν ἡ γείτων αὕτη καὶ συστοιχοῦσα, κατὰ θεῖον θάλαττα, τοῦτο μόνον λυσιτελὴς· καὶ τοῦτο βοηθεῖ· καὶ ὄχημα τῆς ἐλευθερίας καὶ μεγαλοψυχίας γίγνεται, ῥᾷστα διακονεῖσθαι καὶ φέρειν ἀδάπανον ἅπασιν, ἑκάστοτε τῆς ἐνθένδε παγκαρπίας φιλανθρωπίαν· καὶ νομὴν βίου· καὶ ζωῆς ἀφορμὴν καὶ χρῆσιν. καὶ τοῖς ἄλλοις ἀνθρώποις ἀμφότερα δυναμένη, καὶ δυσὶν ὡς ὁ λόγος, χερσὶ ξυμμαχοῦσα κατάγειν τὲ καὶ ἀνάγειν τὴν τῶν ἐπιτηδείων, ὥσπερ ἐν ἐράνῳ συντέλειαν, καὶ παραμέρος ἀντίδοσιν, τῇ καθ᾽ ἡμᾶς εἰς τοῦτο μόνον εὐγενείᾳ καὶ μεγαλοψυχίᾳ πονεῖται· καὶ πλεῖστον ὅσον, ὡς ἀληθῶς· ἐπὶ παντὸς ἔτους φέρει ἄλλοτ᾽ ἄλλοις, ὧν ἡ παρ᾽ ἡμῖν εὔγαιως, ἀγαθῶν ἀεὶ βρύει καὶ διαπαντὸς τοῖς ἐπιχρείοις, αὕτη πηγάζει. καὶ πάνυ τοι πλείστοις ἔστιν ὅτε τεμνομένη καὶ μεριζομένη, κατὰ ταυτὸν διαρρεῖ· καὶ πηγάζει, καὶ ἀεὶ· πάντῃ, νῦν μὲν τῇδε· νῦν δ᾽ ἐκεῖ· καὶ ἄλλοτ᾽ ἄλλῃ, βιώσεως εὐφορίαν· ἀκάματος ἀκαμάτου, χορηγίας ἔπειτα καὶ ἀηττήτου μεγαλοφυίας, ὑπηρέτις καὶ συνεργὸς· καὶ ὡς ἀληθῶς κατὰ τὴν παροιμίαν, ἀγαθῶν θάλασσα· πᾶσι διαρκὴς καὶ πορίζουσα· ἑκάστοθ᾽ ὧν ἄρα δέοι, ἂν, οἱστισινοῦν καὶ ἅττα βούλοιντ᾽ ἂν, τὰ μὲν, εἰς τὴν ἀναγκαστὴν καὶ ἄφυκτον χρείαν· τὰ δὲ, καὶ ἡδονῆς περιουσίαν, ἐκ τῆς ἐνθένδε λοιπὸν ἀστειότητος· εἰς τὴν φορὰν καὶ γονῆς εὐγενοῦς, καὶ τῷ ὄντι γ᾽ ἐμοὶ δοκεῖν αἱ παρ᾽ ἡμῶν αὖραι ζωοφόροι, πᾶσιν ἀνθρώποις ἐπαντλοῦσι καὶ ἀναχέουσι βίοτον· καὶ φύσεως ἱκάνωσιν· καὶ ἀγωγὴν | εὐφόρητον καὶ ἄπονον· καὶ πᾶσιν ὡς ἔπος εἰπεῖν τοῖς f. 250
κάμνουσι, πνεῦμα γίγνονται, τελεσφόρον· οὐσίας τὲ καὶ μονῆς εὖ ἔχειν καὶ ἵστασθαι· καὶ θαρρεῖν ἑαυτοῖς, ὡς ἄρα πολὺ τὸ κράτος ἐνταῦθα.

32. Καὶ οὐδὲν ἄλλο τῇδε, ἢ τῆς ὅλης οἰκουμένης οἶμαι καρδία, καὶ πηγὴ ζωῆς· καὶ κοινὸν τῆς ἀνθρωπίνης φύσεως, ταμεῖον βιοῦν ἐν ῥαστώνῃ, μάλ᾽ ἐπαρκοῦν ἑκάστοις ἑκάστοτε· καὶ μάλιστ᾽

38 ὁ V^{1} s.l. **39** τὴν V^{2}: τῇ V | ὥσπερ ἐν ἐράνῳ V^{1}: ὥσπερ ἐράνῳ V **41** πονεῖται V^{1}: πονεῖ τε V **44–45** κατὰ ταυτὸν V^{2}: κατ᾽ αὐτὸν V

48 cf. CPG II, 2, 13 **32,1** cf. Ioh. Chrys., In epist. Ad Rom., PG 60, 679, 47

ἐπαρκέσον ἔστ' ἄν, Θεὸς μένειν τὸ πᾶν βούληται· ὡς ἐνταῦθα γε οὖσαν ἅπασι, μᾶλλον δ' ἐντεῦθεν τὴν ἀσφάλειαν ἀμέλει, καὶ τὰς χρηστὰς ἐλπίδας τοῦ βίου· καὶ ὅπερ ταῖς ἄλλαις πόλεσι τὰ πρυτανεῖα δύνανται, τοῦτο τὴν καθ' ἡμᾶς πόλιν μεγίστην ταύτην καὶ χώραν, αὐτοῖς πᾶσιν ἀνθρώποις δυναμένην, καὶ πάσαις πόλεσι· νέμειν, ἑκάστοις τὸ γιγνόμενον· καὶ μὴ διαλείπειν εὖ ποιοῦσαν· μὴ δ' ἀμελεῖν τῆς χορηγίας· μὴ δὲ τῆς χρείας ἅπασιν· ἀλλὰ καὶ βούλεσθαί τε καὶ δύνασθαι, τὰς εὐεργεσίας πᾶσιν ἀνθρώποις· καὶ νόμιμον ἀσάλευτον τοῦτ' ἔχειν κατὰ παντὸς τοῦ χρόνου· καὶ προστασίαν πολυαρκεστάτην τῆς ἁπάσης οἰκουμένης, ὑπὸ τῆς ἄνωθεν θείας προνοίας λαβοῦσαν, ἄτρεπτον τὴν ψῆφον. καὶ τοίνυν μυρία μὲν ἡ τῆς μεγίστης ταύτης καὶ πάντα θαυμαστῆς, πόλεως πανταχοῦ δόξα· καὶ τὰ κλέα πομπεύει κατὰ πάντων ἀνθρώπων ἐκ παντὸς τοῦ τρόπου. τίς δ' ἄν, ταῦτα πάντα, κατὰ θνητῶν ἀνθρώπων μυθήσαιτο· ἢ τίνες ἂν ἢ πόσαι γλῶτται, τοσοῦτο πρᾶγμα, πάντοθεν ἀνέφικτον πειρᾶσθαι; πλείστη δ' οὖν ὅμως· καὶ παρὰ πλείστοις καὶ σφόδρα κρατοῦσα, τῆς μεγαλοδοξίας ἀφορμὴ καὶ πάντας ἀνθρώπους ἐπιστρέφουσα, τῇ πόλει νοῦν ἔχειν, ὡς ἄλλο τί ποτ' ὄν, ἐνταῦθα, ἢ κατ' ἄλλ' ἅπαντα πράγματα· καὶ ἡ τῆς σιτοπομπίας, αὕτη χορηγία· διὰ πάντων ἐθνῶν καὶ χωρῶν καὶ πόλεων, καὶ τὸ μέγα τῆς πόλεως ὄνομα ξυμπαραπέμπουσα, μετ' f. 250v | εὐφημίας, ὅσα εἰκὸς τοῖς τε πραττομένοις ἑκάστοτε τὴν χρείαν, καὶ τῇ προτιθείσῃ πᾶσι τοὺς θησαυροὺς ἑτοίμους, τῆς χρείας· καὶ ἀεννάους ἑκάστοις, πλεῖν ἢ καὶ κατὰ τὴν χρείαν οἶμαι. οὐ γάρ ἐστι πάντως ἀγνοεῖν ὅθεν ἡ παρέχουσα πηγὴ καὶ τὰ νάματα, τῆς φιλανθρωπίας, οὐχ ἧττον ἢ νήπια, τὴν μητέρα τὲ καὶ τροφὸν ὧν ἑκάστοτε ποθεῖ, πρὸς τὸ τῆς διαδόσεως ἔθος οὐδ' ἔστι μὴ ἀγνοοῦντα, μὴ λοιπὸν ἔπειτα κομιδῇ, θαυμάζειν τοῦ τοσούτου πλούτου καὶ τῆς ἀφθονίας. ἀλλ' ἡ χρῆσις ἕλκει πρὸς τὴν χορηγίαν αὐτίκα· ἀλλ' ἡ χορηγία αὖθις, πρὸς τὸ θαῦμα τῆς ἀδαπάνου· καὶ προχείρου νομῆς, καὶ τοὺς εὐεργέτας, πᾶσα ἀνάγκη πάντες εἰδότες, πάντες ὅσοι δίκαιοι καὶ σωφρονοῦντες, μάλιστα τιμῶσι· προνοοῦντες· καὶ τὸ μέλλον ἴσως, ὡς ταύτῃ γε συνοῖσον· ἣν καὶ

32,21–22 an ἄλλο τίποτ' οὖν? **30** οὐδ' V² e corr. **34** εὐεργέτας V² e corr.

6–8 Ael. Arist., Or. 13 (p. 293, 10) **17–18** Hom., Od. 3, 113–114; Il. 2, 489; Od. 21, 193

αὖθις δέοι ἄν, εἰ δὲ μή, κλάοιεν ἄν, κακοὶ κακῶς· ἀμαθεῖς τοῦ βελτίστου σφίσι· καὶ οὐκ ἔστιν ἰᾶσθαι τὴν νόσον, ἔπειθ' ἑξῆς· ἣν ἄρα κάμνοιεν, παραπλήσια. οὕτως, οὔτ' ἀγνοεῖν· οὔτε μὴ θαυμάζειν, οὔτε μὴ ποθεῖν οἷόν τέ ἐστι τὴν τοσαῦτα δυναμένην, καὶ τοσαῦτα ἀρκοῦσαν μεγαλοψύχως.

33. Καὶ ὁρῶμεν ὡς ἀληθῶς ἅπαντας ἀνθρώπους ὅσοι δυστυχεῖς ἐπ' οἴκου, πρὸς τὴν ἀπαραίτητον ἑκάστοτε μετουσίαν, ὡς ἔπος εἰπεῖν τῆς ζωῆς· καὶ οὐκ ἔστι κατὰ χώραν σφίσι χρῆσθαι, τάχιστ' ἔπειτα καὶ ῥᾷστα τῇδε, προστρέχοντας, εὖ μάλ' ἡμῖν· ὡς ἄρα γε δοκοῦν ἑκάστοις, τὴν πικρὰν ὑπαλλάξαι τύχην ἐξεῖναι· τῆς ἐντεῦθεν εὐφορίας ἀεὶ μόνης, καὶ τὴν ἐπήρειαν τῶν καιρῶν εὖ θέσθαι. καὶ οὐ δοκοῦν μόνον οὕτως· ἀλλὰ καὶ ξυμβαῖνον ἔπειτα, τοῖς ἔργοις αὐτίκα, ὅστις τῆς ἐνταῦθα εὐγαιω πειρῷτο σαφῶς· καὶ στενοῦται μὲν ἡ θάλαττα σχεδὸν ὡς εἰπεῖν· τοῖς τοσούτοις φορταγωγοῖς καταστόλοις Ἰταλικοῖς· καὶ τοῖς ἄλλοις ἅπασιν· οἳ τὸν ἅπαντα [...]

| 34. οἷς ὅτι περὶ τῶν ἅπασι δήλων· προύργου δ' οὐδέν, οἷς f. 251
ὅτι κἂν πάνυ τοι πλεῖστα λέγοιντο, πάνυ τοι πλεῖον, τοῦ τῷ πράγματι προσήκοντος, λείποιντ' ἄν, καὶ πάνυ τοι πλεῖστον· καὶ τὸ περὶ τούτων ἔοικε τρίβεσθαι, ξυμβαίνει μὲν μηδὲν εἶναι πρᾶγμα πείθειν· μὴ δ' ἐργῶδες· ξυμβαίνει δ' εἶναι, διὰ τὸ μὴ τυχεῖν ἐξεῖναι, τῶν δικαίων, κομιδῇ σπουδάζοντα, πάντων ἐργωδέστατον. ὥσθ' ἅμα μέν, ἄκαιρον· ἧπερ ἔφην· καὶ ἅμα ἀδύνατον· καὶ ἅμα μάλιστ' ἀνόνητον. καὶ ὅστις σωφρόνως ἐνθάδ' οἶμαι, δρῴη ἄν, ἐῴη ἄν, καὶ ὅστις μετὰ λογισμῶν ἐπιχειρεῖν παντὶ βούλοιτ' ἄν, φεύγειν τὸ μῆκος, αἱροῖτ' ἄν· εἰ δὲ μή, μάταια πονεῖν ἐλέγχοιτ' ἄν.

35. Καὶ τοίνυν εὖ μάλα κἀγώ γε ξυνιείς, ἐνταῦθα καὶ παριείς, ἐκεῖνο φημὶ (καὶ τοῦτο γὰρ ἦν ἡ πρόθεσις), ὡς εἰ τὰ τῆς Ἀλεξάνδρου πόλεως καὶ τιμᾶται καὶ θαυμάζεται (καὐτὸς ἐγώ φημι, μάλισθ' ὡς ἄρα δικαίως καὶ τιμᾶται· καὶ θαυμάζεται), καὶ διὰ τὴν φύσιν αὐτὴν καὶ τὸ τοῦ πράγματος δίκαιον, καὶ δι' Ἀλέξανδρον,

33,11 post ἅπαντα folium cecidit in V **34,8** ἀνόνητον V[2]: ἀνόητον V
35,3–4 καὐτὸς – θαυμάζεται V[1] in marg.

ἀλλὰ καὶ τοῦτ' αὖθις, ὡς καὶ αὐτὸς Ἀλέξανδρος τῶν αὐτῶν διὰ τὴν πόλιν, τυγχάνει (καὶ δικαίως κἀνταῦθα φῆμ' ἔγωγε), τοσούτου πράγματος εἰς τὸν βίον γενόμενος ἐπιτυχής, ἐννοῆσαι τὲ κατὰ σκοπὸν καὶ ἀνῦσαι, τί ἄν τις ἐνταῦθα λέγειν ἔχοι, περὶ Κωνσταντίνου τοῦ πάνυ· καὶ βασιλέων ἐκείνου θειοτάτου, τοῦ πολιστοῦ καὶ προστάτου· καὶ πάντων ἡμῖν ἡγεμόνος τῶν καλλίστων, καὶ ἅμα μὲν τί ἄν τις περὶ αὐτοῦ διὰ τὴν καθ' ἡμᾶς ταύτην, βασιλικὴν ὄντως ἐπ' ἐκείνου κληθεῖσαν πόλιν· καὶ τὴν τοσαύτην ἐκείνου καθάπερ ἐν μεγάλῳ τινὶ θεάτρῳ τῷ παντὶ κόσμῳ θαυμαστὴν ταύτην φορὰν· καὶ μεγαλοπρεπείας καὶ μεγαλουργίας ἐπίδειξιν; ἅμα δὲ τί ἄν τις περὶ αὐτῆς, καὶ διὰ τὴν φύσιν ὡς ἐκεῖ καὶ τὸ τοῦ πράγματος δίκαιον· καὶ δι' αὐτὸν Κωνσταντῖνον τὸν πάντα μέγιστον, καὶ περὶ οὗ, πάντά τις, καὶ τὰ πάντων μέγιστα λέγων, f. 251v | οὐδὲν ἂν ὅλως ἐρεῖ· οὔκουν γε προσῆκον καὶ τυγχάνον αὐτοῦ· ἀλλ' ὡς ἄν, μάλισθ' ἅπασιν ὀφλειν γέλωτα, καθάπερ σώματι γενναίῳ τινὶ καὶ ἡρωϊκῷ, μικράν τινα καὶ νηπιώδη πανοπλίαν, ἐπιτιθεὶς, ὡς ὄντως γε ἀλλήλων εἰσὶν ἄξιοι· ἡ πόλις τὲ τοῦ τοσούτου, καὶ τῆς τοσαύτης αὐτὸς πόλεως, καὶ περὶ αὐτῶν οὐκ ἔστιν ἀξίως ὁτῳοῦν λέγειν; καὶ χωροῦντες αὐτοὶ τὴν ἀλλήλων μεγαλοφυίαν τὲ καὶ μεγαλοδοξίαν, καὶ ἀλλήλων ταύτην ἀντιλαμβάνοντες καὶ ἀντιτιμώμενοι· καὶ ἀλλήλων ἔκπλεω καὶ ἱκανοὶ γιγνόμενοι, καὶ τοῦτο μάλιστα κοινὸν καὶ ἀλλήλων ἔχουσιν ἄξιον, πᾶσιν ἀόριστοι παντάπασιν εἰσὶ συλλαβεῖν τε νῷ τὰ κατ' αὐτοὺς, μεγέθη καὶ θαύματα· καὶ λόγῳ διεξιέναι, καὶ ἀνύτειν ὁτιοῦν.

36. Ἀλλὰ τοίνυν ὅμως ἐπεὶ περὶ τῆς πόλεως, διεξιόντα μὴ κἀκείνου μεμνῆσθαι· καὶ τὰς ἐντεῦθεν μεγίστας τῶν ἐγκωμίων συνεισφέρειν ἀφορμὰς ὥσπερ εὐγενέσιν ἀπογόνοις, πατέρων ἀνδραγαθήματα, παντάπασιν ἠλίθιον ἄν, εἴη· καὶ μὴ πάνυ τοι ξυνιέντος τὰ βέλτιστα· καὶ ἃ μάλιστα καιρὸν ἔχει περὶ ὧν σπουδάζει, φέρε δὴ τὰς ἀρχὰς ὡς ἔφην καθάπερ ἐν θεμελίοις ἤδη, τῆς πόλεως ὑποτιθέμενοι, λέγομεν περὶ τῶν ἐκείνου· τοῦτο προειπόν-

13 cave corrigas ἐπ' in ἀπ' (cf. 11, 53, 5) **19** οὐδὲν ἂν V²: οὐδὲν V **22** ἄξιοι V¹: ἄξια V | τοῦ V² s.l. **25** καὶ² V¹ s.l. **36,7** λέγομεν V: cave corrigas λέγωμεν

35,14 cf. Greg. Naz., Or. 19, 5, PG 35, 1049, 12

τες ὅτι τὸ μὲν παραδραμεῖν, οὐκ ἀμαθίας μόνης τῆς ἐσχάτης, ὡς ἔλεγον καὶ πάντων ἀβελτερώτατον, ἀλλ' ἔμβραχυ γ' ἐρεῖν καὶ παντὸς μᾶλλον ἀδύνατον· τὸ δὲ μεμνῆσθαι καθάπαξ ἀναγκαῖον, οὐκ οἶδ' ὡς εἴ τι καὶ ἄλλο· ὅτε δὴ τὴν παροῦσαν ὑπόθεσιν ἐνεστησάμεθα. ἀναγκαῖον δὲ μάλιστ' ὄν, τὴν συγγνώμην ἔχει λαμπρὰν αὐτίκα· εἴ τις περὶ τὰ δίκαια μέν, ἀδύνατα δὲ τυχεῖν· ἀδύνατα δ' ὅμως παρελθεῖν· ἔπειθ' ἑαυτὸν δίδωσι. τὸ μὲν γὰρ μὴ τυχεῖν ἐξεῖναι· λέγοντά τε καὶ πάντα δὴ μᾶλλον πράττοντα πάλαι πρότερον εἴρηταί τε καὶ προείληπται· καὶ οὐδεὶς ἐνταῦθα θρασύς, κατὰ τῶν ἀδυνάτων αἰτιᾶσθαι καὶ [...] | f. 252

37. καὶ ταῦτα πάντα τάχιστα κατὰ Θεὸν περαίνοντα, καὶ μεθ' ὅτι πλείστης τῆς ῥᾳστώνης, καὶ ὅσης οὐχ οἷόν τ' ἦν ὑπολογίσασθαι πρίν. τίνος τὰ τοσαῦτα τρόπαια· καὶ οὕτω περιφανῆ πλεῖν ἢ πρότερον ἀεὶ τῶν μεγαλοδόξων, ὁτῳοῦν ἐκείνων ἐξαρχῆς πάλαι κατ' ἐχθρῶν ἁπάντων· οὐκ αὐτοῦ μᾶλλον, ἢ καὶ τοῦ Θεοῦ καὶ τῆς πίστεως ὡς ἄρα καὶ ταῦτα μᾶλλον ἐκίνει τὸν ἄνδρα· καὶ ὁ περὶ τῶν καλλίστων αὐτῷ ζῆλος τὴν καρδίαν ἔφλεγε; τίνος αἱ θεοσημίαι καὶ τὰ κατ' οὐρανὸν θαύματα· καὶ ὁ φοβερὸς ἐκεῖθεν ὁπλισμός, καὶ ἡ ἀήττητος ἄνωθεν παρασκευή, καὶ πομπεύουσα συμμαχία καὶ προπέμπουσα· ἢ μᾶλλον εἰπεῖν τὰ περιφανῆ καὶ κάλλιστα προγράμματα τῆς νίκης ἐν ἀπόπτῳ μάλιστα τοῦ μεγίστου θεάτρου, τοῦ κόσμου παντὸς ἄνω κατ' οὐρανὸν λάμποντα· καὶ κηρύγμαθ' ὡς ἀληθῶς ὑψηλὰ καὶ μέγιστα τῆς νίκης ἀπ' οὐρανοῦ πρὸς ἅπαντας ἀνθρώπους, βροντῶντα (ὢ τοῦ θαύματος), καὶ πρὸ τῆς νίκης αὐτῆς (ὢ τοῦ θαύματος), καὶ πρὸ τῶν ἀγώνων αὐτῶν; ὢ κάλλιστος μὲν ἐκεῖνος, ἡγουμένῃ τοιαύτῃ στρατηγίᾳ θαρρῶν ἑπόμενος· καὶ τὴν χεῖρα διδοὺς ὑπηρέτιν· σοφώτατος δὲ περὶ τῶν βελτίστων καὶ συνοισόντων· θαυμαστὸς δὲ καὶ τίμιος ὑπερβαλλόντως, ἢ κινούμενος ὑπὸ Θεοῦ καὶ στρατηγούμενος ἀπραγμόνως, ἢ Θεῷ πειθόμενος εὖ μάλα ταχὺς καὶ ῥᾷστα· καὶ σφόδρα εὔελπις περὶ τῶν ἀδήλων, μᾶλλον δ' ὡς

9 post ἔλεγον quattuor litterae erasae in V **10** καθάπαξ V² partim in ras. **17** post καὶ folia duo ceciderunt in V **37,18** σοφώτατος V² e corr.

37,7–8 cf. Sozomen., Hist. eccl., 1, 3, 1 (p. 11, 8–10) **11–13** cf. Phil. Iud., De opif. mund. 78 (p. 21, 16–17)

ἀληθῶς δυσελπίστων καὶ ἀλογίστων τέως ἀνῦσαι. ὢ θαυμαστῆς μάλιστα καὶ φιλανθρώπου, καὶ τῆς αὐτῶν ἀγούσης προνοίας, οὕτω τιμώσης μόνον ἐκεῖνον ἐκλόγιμον τῶν ἄλλων ἁπάντων κατ' ἐκεῖνο τοῦ καιροῦ· μᾶλλον δὲ καὶ κατὰ πᾶν ὁμοῦ τοῦ καιροῦ, καὶ πρότερόν τε καὶ ὕστερον μόνον τῶν ἁπάντων ἐκεῖνον λειτουργῆσαι τῇ παρρησίᾳ τῆς πίστεως· τὸν μόνον ὡς ἔοικεν ἱκανὸν εἰς τοὖργον· f. 252v καὶ τὴν ἀποστολικὴν προθυμίαν, ἐπὶ τοῦ βασιλικοῦ πλάτους | καὶ κράτους διαρκῶς· καὶ κατὰ λόγον ἀξίως μέλλοντα δοῦναι· καὶ τῷ δόγματι τῆς ἀληθείας· αὐτοκρατορικὴν τηνικαῦτα μάλιστα δοῦναι κατὰ τῆς οἰκουμένης τὴν πῆξιν, καὶ σοφὸν μὲν τὸν λογισμὸν τοῦτον προστησάμενον· καὶ ὡς δοκεῖν ἐπὶ τῆς ἀρχῆς ἀνύσιμον· ἐπικινδυνώτατον δὲ μάλιστα ὅστις τοσοῦτον ἤλπισε πρᾶγμα, μεταθέσθαι πάντων ἀνθρώπων προλήψεις εἰς τὸ δοκοῦν· καὶ σαλεῦσαι δόγμαθ' ἑστῶτα· καὶ νόμιμα χρόνια βέβαια καὶ πίστιν ἡλικιῶτιν τῆς ἀρχῆς· μᾶλλον δ' ὡς εἰπεῖν τῆς ἀνθρωπίνης φύσεως. καὶ τοσοῦτ' ἔργον ἐλπίσας οὐκ ἄπρακτον, ἀλλ' ἀνύσιμον (ὢ θαυμαστοῦ τοῦ φρονήματος), αὐτίκα μάλ' ἐπιβαλόμενος, ἔπειτ' ἤνυσεν εὖ ῥᾷστα. τοῦθ' ὑπὲρ πᾶσαν ἐν πράξεσι καρτερίαν· τοῦθ' ὑπὲρ πᾶσαν ἄλλην αὐτοῦ τόλμαν ἐν τοῖς φοβεροῖς πολέμοις τὲ καὶ κινδύνοις· τοῦθ' ὑπὲρ ἅπαντ' ἐκεῖνα, θαυμαστὰ τρόπαια καὶ ἀριστείας· τοῦθ' ὑπὲρ ἅπαντας ἐκείνους· Μαξεντίους τὲ καὶ Μαξιμίνους καὶ Λικινίους· ἀλιτηρίους τῆς ἀρχῆς καὶ τοῦ Θεοῦ καὶ τῆς πίστεως, περιφανῶς τὲ καὶ κατακράτος πίπτοντας. οὓς ἀπόνοια μὲν καὶ ἀσέβεια· καὶ ὕβρις καὶ θράσος, ἀλόγιστον μετὰ δαιμόνων ἐκίνει· καὶ ἡ κατὰ τοῦ καλοῦ καὶ τῆς χριστιανικῆς ἡμῶν θεοσεβείας ὥπλιζεν ἀναίδεια καὶ ἀνίστη τὰς ὁρμὰς ἀσχέτους καὶ ἀηττήτους τέως δοκοῦντας· ἡ δ' ἐκείνου περὶ τὸν Χριστὸν ὁλοσχερὴς, νεῦσις· καὶ πίστις ἄσειστος, μεθ' ἧς τὸ πᾶν ἐτόλμα· καὶ τοῖς μεγίστοις ἐκείνοις κινδύνοις, ἑαυτὸν ἑκὼν ἐδίδου πρόθυμος, καὶ τὸ τοῦ σταυροῦ κράτος, κακοὺς κακῶς ἐκείνους ἐξώλεις τὲ καὶ προώλεις κατερρήγνυε· καὶ παρεδίδου ταῖς ἐσχάταις καταφθοραῖς. μᾶλλον δὲ τοῦτ' ἦν ἔοικεν, ὃ καὶ τούτοις ἐπιβάλλειν τὸν ἄνδρ' ἐκεῖνον· καὶ μεγαλοψύχως συμπλέκεσθαι· καὶ πρὸς τοὺς κινδύνους

38 ἐπιβαλλόμενος V a. corr. **42** τὲ V[1] s.l. **51** ἐκείνους V[1]: ἐκεῖνους V

35 cf. Phil. Iud., De migr. 22 (p. 263, 20–21) **42–43** cf. Niceph. Xanth., Hist. eccles. 1, 1, PG 145, 613A

ἀποδύεσθαι· καὶ κατορθοῦν εὖ μάλα καθίστη, καὶ περαίνειν ἅπαντα ῥᾷστα, καὶ ὡς ἄρα καθ’ αἵρεσιν ἢ κατ’ εὐχὴν μάλιστα | f. 253 προυτίθετο. εἰ δὲ μή, τίνος ἄλλου τῶν ἁπάντων τοσαῦτα καὶ παραπλήσια· ἢ τούτων ἔγγιστα μετ’ ἄλλης παρασκευῆς ἁπάσης, καὶ κατὰ χεῖρα· καὶ κατὰ γνώμην· καὶ τὴν καινότητα πάντως ἐκείνων τῶν πραγμάτων· ἐπισημαίνεσθαι δεῖν εἶναι· τὰ μὲν, τῶν περὶ Θεοῦ καὶ τῶν θείων λογισμῶν καὶ τῆς αἱρέσεως, μεθ’ ἧς ἐτόλμα τὰς πράξεις· τὰ δὲ, τῶν τοσούτων ἀριστευμάτων καὶ τῆς περιφανείας τῶν ἔργων· ὡς ἄρα ἐκεῖθεν αὐτοῖς τὰ λαμπρὰ τέλη· καὶ τὰ μέγιστα τέως, καὶ ἀήθη τῶν κατὰ γνώμην ἐγχειρημάτων· τῶν οὕτως ἀήθως τὲ καὶ μεγίστων αὐτῶν ἀποτελευτήσεων, ἐν τοῖς πράγμασι, καὶ ἅμα τοσούτων, αἰτιᾶσθαι δίκαιον ἂν, εἴη· καὶ τἀνύσιμον οὕτω ῥᾳδίως ἐκεῖθεν ἀσφαλῶς τεκμηριοῦσθαι, ὡς τῆς ἀρχῆς ἀμέλει τὰς ἀποβάσεις ἀξίας οὔσας· καὶ οὐδὲν ἄλλ’ ἢ ταῦτ’ ἀκολουθεῖν· ἀναγκαῖον ὂν· εἴ τις προσέχων εὖ μάλα τὸν νοῦν λογίζοιτο· καὶ ταῦτα πράγματ’ ἐκείνων ὤνια· καὶ τῶν πόνων οἱ καρποὶ· καὶ τῶν καταβληθέντων σπερμάτων ἀμητοὶ; καὶ ἡ παροιμία γὰρ πιστὴ· ἃ τίθης φησὶ φέρεις· καὶ αὖ οἷς ἀνέμοις θαρρεῖ τις, πλέειν δίδωσιν, ὡς ἄρ’ ἐκ τῶν φορῶν ἀνέμων, τὴν εὔπλοιαν ἑπομένην· καὶ τοὺς ἀκινδύνους λιμένας. καὶ δὴ κἀνταῦθα λογίζεσθαί τις, οὕτω δικαίως ἂν, ἀξιοίη· καὶ τῶν καλλίστων ἐκείνων περὶ τῆς εἰς Θεὸν εὐσεβείας θέσεων· εἴτουν ὑποθέσεων, καὶ τῆς ἀρχῆς εἶναι τὰς καλλίστας, ἐκείνας ἔπειθ’ ὕστερον φορὰς· καὶ τῶν δραστικῶν ἀνέμων ἐκείνων καὶ ὄντως ἐργατικῶν· μεθ’ ὧν ὡς ἀληθῶς μεγάλων ἐκεῖνος πελαγῶν κατετόλμα, τῶν ὑπερφυῶν ἐκείνων ὡς εἰπεῖν πράξεων· καὶ θερμὸν ἔπνει κατὰ τῶν ἀντιπάλων, ἑαυτοῦ· μᾶλλον δὲ τοῦ καλοῦ· τὸ κάλλιστ’ εὐπλοῆσαι καὶ τυχεῖν τοῦ παντὸς σκοποῦ· καὶ τέλους τῶν ἐγχειρήσεων, πάντων ἀπαθῆ χειμώνων· καὶ παντὸς, | f. 253^{v} ἄσειστον κλύδωνος, τῶν ἀσφαλεστάτων λιμένων λαβόμενον· καὶ τοῦ λοιποῦ πάντων ἔξω πραγμάτων ἑστῶτα· καὶ τὴν ἀρχὴν αὐτὴν πηγνύμενον· κάλλιστα μὲν τῇ πάσῃ σπουδῇ καὶ προθέσει· κάλλιστα δ’ αὐτῷ καὶ κοσμίως· κάλλιστα δὲ καὶ κοσμίως τοῖς ἀρχομένοις.

56 μάλιστ’ ἢ κατ’ εὐχὴν primum scripsit, deinde litteris βα suprascriptis ordinem invertit V **63** αὐτοῖς V^{2}: αὐτῆς V

70 cf. Plut. Mor. 326D **71–73** proverbia non invenimus

38. Καίτοι τί λέγω; εἰ μὲν γὰρ τῆς ἐκείνου μόνης χειρὸς καὶ τῆς μεγαλονοίας καὶ τοῦ φρονήματος ἀξιοίη τις τοσοῦτον ἀμέλει βάρος πραγμάτων ῥᾷστα λογισμοῖς ἄρασθαι· καὶ τολμῆσαι καρτερώτατα· καὶ καθάπαξ ἀτρέπτως ἐλπίσαι· καὶ λοιπὸν ἔπειτ' ἀνύσαι, τοῖς ἔργοις ἐπιβαλόμενον· αὐτίκα μάλα μεγαλουργικῶς οὕτω καὶ θαυμασίως· καὶ κρεῖττον ἢ κατ' ἐλπίδας εὖ θέσθαι καὶ μεταχειρίσαι καὶ καταπράξασθαι· καὶ χειρώσασθαι μὲν τοσούτους τοὺς ἀντιπάλους, ἐπὶ τῆς ἀρχῆς κραταιότατα δοκοῦντας ἑστάναι· καὶ χρόνῳ· καὶ κλήρῳ· καὶ ψήφοις ἁπάσαις· καὶ πᾶσι τρόποις· καὶ τῇ δικαιώσει πάσῃ τῆς τύχης καὶ μάλιστα ταῖς ἀπ' αὐτοῦ οἴκοθεν παρασκευαῖς· ἀξίως τῆς τοσαύτης τύχης· καὶ ὅλως τηλικαύτην ἡγεμονίαν πάντοθεν συγκατασκευάσαι καὶ χρόνοις παμπόλλοις ἄσειστον κρατύνασθαι· καὶ παραπέμψαι πρὸς ἀπογόνους· ὡς ἄρα τι τῶν εὐώνων κτημάτων· καὶ ῥᾳδίων καὶ μηδὲν ὁτιοῦν ἐργῶδες ἐχόντων, καὶ κατὰ βούλησιν ἅπασαν διαθέσθαι πάντων κατεπτηχότων· καὶ πᾶσαν ἀπραγμοσύνην εἰς ταῦτα σφίσιν ἀξιούντων προσήκειν, οὐ τῶν ἔξωθεν μᾶλλον ἢ καὶ τῶν ἔσωθεν, δυσνοϊκῶν καὶ κακούργων ἐφέδρων ἑκάστοτε καὶ τῶν χρόνων ἀεὶ θηρευτῶν, καὶ τῆς ἀπίστου τύχης, οἷα δὴ φιλεῖ τούτοις ὡς τὰ πολλὰ γίγνεσθαι, πῶς οὐ πάντων ἕνεκα θαυμάζειν, ἐκεῖνος ἄξιος καὶ τῆς τύχης καὶ τῆς χειρὸς· καὶ τῆς γνώμης· καὶ μᾶλλον τῆς χειρὸς, ἢ τῆς τύχης, καὶ μᾶλλον τῆς γνώμης ἢ τῆς χειρὸς, καὶ τῆς εὐστόχου ψήφου· καὶ τῆς ἀρχαιρεσίας τῶν λογισμῶν, ἀφ' ἧς εἰς τοὺς f. 254 ἀγῶνας ὥρμητο· τἀσφαλέστατον, | ὡς ἔοικεν αὐτὸ δόγμα καὶ πρὸς τὰς πράξεις ἐκείνας ἀνυσιμώτατον, ὡς παντί που δῆλον, ἐκ τοῦ τέλους καὶ τῶν ἔργων, τοῦ τέλους τῶν ἔργων ἀξίως προστησάμενος, ὥσπερ ἂν εἴ τι σύνθημα καιριώτατον τῆς παρασκευῆς; ὁποῖα γὰρ ἂν ᾖ τὰ φρονήματα φησὶ Δημοσθένης, τοιαῦτα καὶ τὰ πράγματα γίνεται· καὶ πρὸς τὰς ἀρχὰς ἃς ἐκεῖνος ὑπέθετο καὶ τοὺς γεννικοὺς λογισμοὺς, ἀπήντησαν αἱ τελευτήσεις τῶν πράξεων. εἰ δὲ καὶ τοῦτο μὲν ἀλλὰ πολλῷ μᾶλλον, τῆς καλλίστης

38,5 ἐπιβαλόμενον V[2]: ἐπιβαλλόμενον V **8** κραταιότατα V[1]:: κραταιώτατα V **10** αὐτοῦ V[2]: αὐτῶν V **12** παμπόλλοις V[2]: παμπόλοις V **15** post ἐχόντων ras. fere decem litterarum in V **24** τὸ ante δόγμα erasum in V

38,2–3 cf. Plut., Mor. 337E **20–21** cf. Ibid. 340B **28–29** Demosth., Olynth. 3, 32

ἐκείνης δοκιμασίας περὶ Θεοῦ καὶ τῶν θείων· καὶ τῆς καθ’ ἡμᾶς εὐσεβείας τοῦ Χριστοῦ ψηφίζοιτό τις καὶ τιθείη λογισμῷ σώφρονι μετ’ ἀληθείας ἁπάσης· ἐμοὶ δοκεῖν καὶ πάνυ τοι, προσέχων εὐφυῶς τὸν νοῦν τοῖς πράγμασι, τὸν δρόμον ἐκεῖνον τῶν μεγίστων ἔργων καὶ τὴν εὐκολίαν, καὶ τὴν τοσαύτην ἐκείνην εὐπραγίαν, τὴν ἀσφαλεστάτην ἅμα τὲ καὶ παμμήκη, καὶ ὧν οὐκ ἔστιν ἰδεῖν ἑτεράττα, παραπλήσια χρόνῳ πάλαι πρότερον καὶ μεθύστερον· οὔπω καὶ νῦν, πῶς οὐ πάντα διὰ πάντων, ἔτι θαυμαστὸς ἐκεῖνος καὶ σοφὸς, οὐκ οἶδ’ ὡς εἴ τις καὶ ἄλλος τὰ δέοντ’ ἐν καιρῷ· καὶ ὄντως ὑπερφυής τε καὶ ἀπαράμιλλος, καὶ ὡς ἔπος εἰπεῖν ἔνθους τὲ ὅλος καὶ θεῖος, καὶ τὰ θεῖα τὲ καὶ τἀνθρώπινα πράγματα· πρῶτος καὶ μόνος ἐπόπτης παντέλειος; καὶ μάλισθ’ ὃ πλέον ἔτι θαυμάζειν ἄξιος· ὅτι καὶ ἄμφω ταῦθ’ ὁμοῦ καὶ γνώμων ἔπειτα δραστικώτατος ἢ μᾶλλον εἰπεῖν, ὡς ἄρα τι σκεῦος Θεῷ προσῆκον καὶ θεῖον ὄργανον· ὑπὸ Θεοῦ πάντα κινούμενος καὶ διοικούμενος, καὶ ὄντως ἐκ τούτων ζηλωτὸς ὑπὲρ πάντας, καὶ τίμιος. καὶ ὃ Πύθων ἐκεῖνος ὁ Μακεδὼν ἔφη τὸν Θρᾶκα τύραννον κατεργασάμενος, ὡς ἄρα Θεὸς τὸ πᾶν ἔδρασε, τὴν ἐκείνου χεῖρα δανεισάμενος, τοῦτο καὶ αὐτὸς ὁ πάντα Θεῷ ταπεινούμενος, καὶ ἡμεῖς ἂν, περὶ αὐτοῦ λέγειν ἔχοιμεν· ὡς ἄρα τὰ πάντ’ ἐκεῖνα τοῦ ἀνδρὸς μεγαλουρ|γήματα, f. 254v Θεὸς μὲν ἀληθῶς αὐτουργὸς ἦν· αὐτὸς δὲ Θεῷ τὴν χεῖρα πρὸς τὰς πράξεις ἔχρησεν, ἢ μᾶλλον ἐρεῖν, Θεοῦ χεὶρ αὐτὸς διάκονος γίγνεται, πρὸς τὰ μέγιστα· καὶ κάλλιστα· καὶ θαυμασιώτατα· τῶν κατὰ τὸν βίον τηνικαῦτα δὴ τῆς προνοίας ἔργων.

39. Ἀλλ’ ἵνα μὴ πλεῖστον ἔτι τρίβων μηκύνω· καὶ ἴσως μὲν ἄκαιρα· ἴσως δ’ οὐ παντάπασιν, οὐδ’ ἔξω τοῦ καιροῦ καὶ τῆς χρείας, ἐκεῖνος τοίνυν ὁ τοσοῦτος μὲν ἐκ τῶν ἔργων· τοσοῦτος δὲ τὴν μεγίστην ἐκείνην ἡγεμονίαν· καὶ τὴν τύχην· καὶ τὴν ἀξίαν· τοιοῦτος δὲ μάλιστα τὴν ἅπασαν ἀρετὴν καὶ γνώμην· καὶ πάνθ’ ὡς εἰπεῖν θαυμάζειν ἄξιος καὶ κάλλιστός τε καὶ μέγιστος· καὶ πάντα μεγίστοις πρέπων, ἔργον ὅτι μάλισθ’ ὡς ἔοικε τῶν ἄρα τοσούτων εἰρημένων ἁπάντων, καὶ τῆς αὐτοῦ λαμπρότητος, καὶ ὅλως ἄξιον ἑαυτοῦ καταλιπεῖν ἔπειθ’ ὕστερον ἑλόμενος, καὶ πάνυ

39,1 πλεῖον ἔτι τρίβων V^1 e corr.

47–49 Plut., Mor. 816E

τοι πλεῖστον ἐν τούτῳ σπουδάσας, ὡς ἄν, ἱκανὸν ἐσόμενον τῆς αὐτοῦ μεγαλοφυίας, οὑτωσί πως εἰπεῖν ἀνδριάντα, τὴν πόλιν, ἀνίστησι ταύτην· τῆς ἀρχῆς ἐν ἀκμῇ καὶ τῶν ὅλων κατ' αὐτὸν πραγμάτων. ἔξεστι δ' οἶμαι σκοπεῖν, οὑτωσὶ διελόμενον κατ' ἀμφότερα. ἢ γὰρ μόνης ἐπιδείξεως, ἔργον τοῦτ' ἄν, εἶναι τίς ἀξιοίη, καὶ βασιλικῆς λαμπρότητος ἐπιμέλειαν, ὡς ἄρα καὶ πολλοί, τῶν ἄλλων φιλοτίμων καὶ περιφανῶν βασιλέων· καὶ δὴ συλλογίσαιτ' ἄν τις ὅση τίς ἄν, τῷ τοσούτῳ προσήκοι· καὶ τῆς ἐπ' αὐτοῦ κλήσεως ἥτις ἀξία, κἀκ τούτου μόνον λογισμοῖς ὄψεται τοὖργον, ἢ χρείας ἡστινοσοῦν πρὸς τὴν τοσαύτην ἡγεμονίαν· καὶ γνώμης τοῦ βελτίστου πᾶν τὸ γιγνόμενον, τοῖς τῆς ἀρχῆς πράγμασι πάντοθεν ἀποδιδούσης καὶ διοικουμένης· ἢ καὶ ἀμφότερ' ἴσως, ὁμοῦ, καὶ χάριτος πρὸς ἐπίδειξιν, ἅμα τῇ χρείᾳ καὶ χρείας ἀμέλει, δι' ἐπιδείξεως τοσαύτης καὶ λαμπρότητος πρὸς τὸν
f. 255 σκοπὸν περαινούσης. ᾧ καὶ μάλιστ' ἔγωγε, τίθεμαι, | καὶ οἶμαι πᾶς ὅστις εὖ φρονῶν προσέχει τὸν νοῦν εὖ μάλ' ἐνταῦθα· καὶ τοῖς λόγοις ἔχοιμεν ἄν, τὰ φαινόμενα συμβαλεῖν. τὸ γὰρ ἔργον οἷον, πάσης ἄλλης ἐπιμελείας ἄλλων ἁπάντων διαφερόντως ἀνώτερον· ὅσοι τὲ πρότερον· καὶ ὅσοι μετ' αὐτὴν ὕστερον, προύθεντο φιλοτιμίας τινὸς σπουδάσματα. οὔκουν γέ ἐστιν, οὔτ' αὐτὸ πρέπον, ἄλλης τινὸς φιλοκαλίας τὲ καὶ μεγαλουργίας, ἢ τῆς ἐκείνου, οὐδ' ἄλλου τυχεῖν, ἢ 'κείνου δημιουργοῦ· οὔτ' ἐκεῖνος ἀλλοῖον τί καὶ μὴ κατ' αὐτὸ δίκαιος ἄν, εἰς τὸν βίον, προενεγκεῖν φορὰν ἀξιόλογον.

40. Καὶ τοίνυν ξυμβαίνει καὶ κάλλισθ' ἁρμόζειν ἀλλήλοις ὁ χρόνος ἔπραξεν. ἀλλ' ὅπερ ἔλεγον· τὸ μὲν ἔργον τοσοῦτον· μέγιστόν τε καὶ πάσης ἀρετῆς καὶ κάλλους ὡς εὐθὺς μόνον ἰδεῖν· μηδὲν ἔτι πολυπραγμονοῦντα περαιτέρω τοῦ μόνον ἰδεῖν· ἀλλ' ἔχει γέ τοι τοσοῦτο μάλιστ' ἐπικαίρως, εἰς αὐτὴν τὴν ἡγεμονίαν, ὃ δὴ καὶ πρότερον φθάσαν εἴρηται, καὶ τοσοῦτο γε τὸ ἀπ' αὐτοῦ χρήσιμον τοῖς ὅλοις πράγμασι τῆς ἀρχῆς, ὡς μόνης γε τῆς ἐκείνου μεγαλονοίας εἶναι· καὶ βασιλικῆς ἐπιστήμης· καὶ λογίσασθαι τοὖργον καὶ καταπράξασθαι· καὶ μεγάλου καὶ νοῦ καὶ γλώττης δεῖν· ἅμα μὲν συνιδεῖν, ὡς ἔχει καθάπαξ καὶ κατοπτεῦσαι·

31 'κείνου scripsimus : κείνου V **40,1** ξυμβαίνει V: an ξυμβαίνειν?

40,8–9 cf. Ael. Arist., Or. 46 (p. 203, 24)

ἅμα δὲ διεξελθεῖν καὶ τρανῶσαι τὸ πᾶν, περὶ αὐτοῦ λέγοντα· μὴ παντάπασιν ἔξω λόγου μὴ δ’ ἀναξίως. φέρε δ’ εἴπωμεν ὡς οἷόν τε, καὶ ὅσα γε πρὸς ἡμῶν ὡς ἔοικεν· ἀλλ’ οὐ πρὸς αὐτοῦ. καὶ τοῦτο γὰρ ἦν ἐξαρχῆς ὁ λόγος, ὡς ἄρ’ οὐχ ἡμῶν μόνον, οὐκ ἔστιν· ἀλλ’ οὐδένων τυχεῖν τῆς ἀξίας· καὶ μετ’ αὐτῆς ἄρα τῆς θέσεως, ἐπεβάλομεν φέροντες ἅττα δὴ ταῦτα.

41. Ὅτι μὲν οὖν ἐν τῷ καλλίστῳ τῆς οἰκουμένης καὶ γῆς ἅμα καὶ θαλάττης, ὁ πολὺς ἐκεῖνος καὶ πάντα σοφὸς ἐκλέξας τὴν πόλιν ἵστησιν, ὀφθαλμοῖς τε δῆλα καὶ πεῖρα διδάσκει σαφῶς· ἤδη τὲ πρότερον εἴρηται καὶ πλείω λέγειν, | οὔτ’ ἔχοιμεν ἂν, ἴσως, οὔτ’ f. 255[v] εἰ πάνυ πλείω καὶ λέγειν ἔχοιμεν ἀν, ἴσως, τῶν εἰκότων τύχοιμεν ἀν, καὶ τοῦ πράγματος ἀξίων. μάλιστα δ’ ἔξεστιν ὁρᾶν καὶ λογίζεσθαι, ὅτι καθάπερ ταῖς πόλεσιν αἱ ἀκροπόλεις ἔχουσιν, ἐν τῷ πάνυ τοι χρησίμῳ θαρρεῖν παρέχουσαι, καὶ πίστιν ἀσφαλείας, τοῦθ’ ἥδε λαμπρῶς ἡ πόλις τῇ πάσῃ τῶν Ῥωμαίων ἐξαρχῆς ἡγεμονίᾳ, καὶ πρὸς τοῦτ’ ἦν, ὁ σκοπὸς ὡς εἰπεῖν τῷ δημιουργοῦντι· τῷ παντὶ καθόλου τῆς ἀρχῆς ἕδραν τιν’ ἢ καὶ κορυφὴν ἀσφαλείας ἐν παντὶ καιρῷ τῆς τύχης καταστήσασθαι· ἅμα τὲ τὸ καιριώτατον ἐπισκεψαμένῳ τοῦ τόπου· καὶ ἅμα πάσῃ σπουδῇ, προσχρησαμένῳ· ἐπιμελείᾳ τὲ καὶ συντονίᾳ πᾶν ἄρα τὸ δίκαιον, περὶ τουτονὶ τὸν λογισμὸν ἀποδόντι, πάντα τρόπον πάντοθεν εὖ ἔχειν τοὖργον· καὶ πρὸς τὸν σκοπὸν ἀνυσίμως. καὶ πάρεστι τοιγαροῦν ὁρᾶν, ὅπως ἡ πόλις ἀμέλει· πρὸς ἅπαντ’ ἔχει τὰ μέρη τῆς ἀρχῆς, καθ’ ἕω τὲ καὶ δυσμὰς ἡλίου· καὶ τἆλλ’ ἑκατέρωθεν, κατὰ δὴ ταυτηνὶ τὴν πρόθεσιν ἱκανῶς, καὶ ὡς οὐκ ἦν ἀλλαχοῦ τῆς γῆς παραπλησίως ἔχειν· οὐδ’ ἄλλου τινὸς εἶναι μεγέθους· οὐδ’ ἄλλης ἐπιτεχνήσεως, καὶ κατασκευῆς πρὸς τὸν σκοπὸν ἐκεῖνον· πεφυκέναι τὲ καὶ λόγον ἔχειν· ἢ τοῦ τοσούτου κατὰ τήνδε τὴν πόλιν μεγέθους· καὶ τῆς τοσαύτης ἐπιτηδεύσεως, καὶ φιλοτεχνίας· εἰς τὸ καρτερὸν καὶ μάλα ἐρρωμένον.

15–16 ἐπεβάλομεν V²: ἐπεβάλλομεν V **41,4** post λέγειν trium litterarum ras. in V (an ἦν erasum?)

41,1 cf. Id., Or. 44, 3 (p. 347, 18–19); Or. 39, 4 (p. 320, 21)

42. Διαλαβὼν γὰρ τῆς γῆς οὐκ ὀλίγον ἐκεῖνος· τειχίζει τὲ κομιδῇ κραταιῶς ὅσον οἷόν τ’ ἦν ἀσκήσας· καὶ φροντίδα πᾶσαν τέχνης, προστιθεὶς, καὶ καθίστησι τὴν μεγαλόπολιν ταύτην· ἀδαμαντίνην ὡς εἰπεῖν οὕτω· καὶ ὥσπερ ἀσάλευτον ἕρμα, μεγάλης νεὼς τῆς ἀρχῆς ὑποτίθησι· βεβαίως δι’ αὐτὴν εἶναι καὶ πάντα δεξιῶς, ᾗ πέφυκεν ἁρμόσας· καὶ ὡς ἐνῆν κάλλιστα. καὶ τὸ ῥωμαλέον αὐτῇ μετὰ τοῦ καλοῦ κοσμίως, ὅπως διαπρέπει, ὥστε
f. 256 θαυμάζειν μὲν αὐτὴν τοῦ μεγαλοφυοῦς· | θαυμάζειν δὲ τὸν κατανενοηκότα καὶ σοφισάμενον, εἴ τις καλῶς προσέχει τὸν νοῦν· ὥσπερ ἐπὶ παρατάξεως στρατοπέδου τὸ καιριώτατον προλαβόντα, ἢ μᾶλλον ὥσπερ ἐπὶ παρατάξεως στρατοπέδου, ταύτην δὴ τὴν πόλιν, ἐν μέσῳ τὸ κράτιστον καὶ εὐοπλότατον, ἀποδείξαντα· καὶ τὴν τῆς ἀσφαλείας ἔοικε πῆξιν, τῇ πάσῃ παρασκευῇ· καθάπερ ἐπὶ τῶν πολεμικῶν ἔχει νομίμων. καὶ καρδίαν γε εἴ τις ἐρεῖ ταύτην· ὥσπερ ἑνὸς ζῴου, τῆς ὅλης τῶν Ῥωμαίων ἡγεμονίας, ἧς ἅπαντ’ ἔχεται μέρη· καὶ ἧς ἅπαντ’ ἤρτηται, καὶ πέφυκεν εἶναι καὶ ζῆν, οὐκ ἂν, ἔμοιγε δοκεῖν ἔξω τοῦ καιροῦ χρήσαιτ’ ἂν, εἰκονίζων· ὡς ἐντεῦθεν γε ὂν, τῷ τε παντὶ τῆς ἀρχῆς ἄριστ’ ἔχειν καὶ ὅλως ἵστασθαι· καὶ τὴν πόλιν οὖσαν τὴν μεγίστην· καὶ πρώτην ἀφορμὴν καὶ τὸν θεμέλιον αὐτῇ τῆς οὐσίας τὲ καὶ μονῆς εἰς τὸν βίον.

43. Καὶ τοίνυν θαυμάσαι μὲν ἄν τις τὴν πόλιν, τό τε μέγεθος οἷον, ὡς ἄρα τοσοῦτο παμμηκέστατον ἐστὶ· καὶ ὑπὲρ ἁπάσας ἄλλας ἔμβραχυ γ’ ἐρεῖν, πάλαι καὶ νῦν, καὶ ὄντως ἀξιόλογόν τε καὶ ξύμμετρον· πρὸς τὸν ὅλον σκοπὸν καὶ τὴν ἡγεμονίαν· καὶ καθάπερ ἑκάστης χώρας τὸ κατ’ αὐτὴν ἔχει λοιπὸν, καὶ πρὸ αὐτῆς ἄστυ, ὡς ἂν, δὴ· ξυμμετρεῖσθαι πρὸς αὐτὴν καὶ ἰσοῦσθαι· καὶ οὕτω διδόναι θαρρεῖν ἐφ’ ἑαυτῷ, ἅμα μὲν πρὸς χάριν ὥστε καλλωπίζεσθαι, καὶ κοσμεῖσθαι δι’ αὐτὸ· ἅμα δὲ καὶ πρὸς τὴν νόμιμον, ἐν τούτοις ἅπασαν χρείαν, ὥστε κοινὸν αὐτὸ σύνδεσμον εἶναι τῆς

42,3 καὶ V[1] s.l. **7** διαπρέπει V: an διαπρέπῃ vel διαπρέπειν sine distinctione post κάλλιστα? **10–11** τὸ καιριώτατον – στρατοπέδου V[1] in marg. **43,5** καὶ πρὸ V[2] s.l.: πρὸς V **6** δὴ V[2]: δεῖ V

42,1–3 cf. Philostr., Hist. eccl. 2, 9a (p. 20, 26–31) **15** cf. Plut., Mor. 602E **43,9–10** cf. Ael. Arist., Or. 29 (p. 566, 17–18)

χώρας, καὶ βιώσεως εὐκολίαν καὶ καρτερίας, καὶ θάρρους ἀφορμὴν ἐν παντὶ τῷ παραστάντι τοῦ καιροῦ δυσκόλῳ, καὶ οὐδενὸς ὅτου δεῆσαν οὐκ ἀτευκτῆσαι, τοῦτο τὴν πόλιν εἶναι πρὸς τὴν τοσαύτην ἡγεμονίαν, ἰσομέτρητον ὥσπερ χώρας ἄστυ· μέγιστον μεγίστης· καὶ καλλίστης κάλλιστον· καὶ πάντα πεφυκὸς ἡρμόσθαι. καὶ οὐ τὴν ἡγεμονίαν αὐτὴν μόνην ἐστὶν ἐρεῖν, ἐνταῦθα· ἀλλ' ὡς ἀληθῶς, καὶ τὴν ὅλην αὐτὴν οἰκουμένην, | ὡς ἀμέλει ξύμμετρος ἡ πόλις f. 256v αὐτῇ, ὡς ἄν, ἑκάσταις χώραις, τὰ κατ' αὐτὰς πολίσματα· καὶ τῆς οἰκουμένης ἡ πόλις· καὶ περὶ τὴν πόλιν ὡς αὕτη γε ἡτισοῦν χώρα· περὶ ταύτην γε πόλιν ἡντιναοῦν, ἡ πᾶσα γε οἰκουμένη. καὶ ξυμβέβηκε γὰρ τηνικαῦτα σχεδὸν, τὴν ἡγεμονίαν παραμετρεῖσθαι καὶ παραβάλλεσθαι, πρὸς τὴν ὅλην οἰκουμένην· καὶ τὸν λόγον οὐκ ἔξω παντάπασι τἀληθοῦς φέρειν, ἡμῖν· ὡς τὸν τῆς πόλεως δημιουργὸν ἐκεῖνον, μεγαλοπρεπῶς τότε δὴ πρὸς τοῦθ' ὁρῶντα, καὶ μετὰ τοῦδε τοῦ σκοποῦ ταύτην ἱστῶντα.

44. Καὶ τοίνυν ὅπερ ἔλεγον, θαυμάσαι μὲν ἄν τις, τὴν πόλιν, οὐ τὸ μέγεθος μόνον τοσοῦτο, καὶ πρὸς τὸν σκοπὸν ἀνάλογον, ἀλλὰ καὶ τὴν ὅλην φύσιν, καὶ δύναμιν, οἵαν τῷ παντὶ τῆς ἀρχῆς παρέχεται· κομιδῇ μεθ' ὅτι καλλίστης τῆς ἁρμονίας· καὶ μουσικῆς ἀναλογίας· εἰ δὲ βούλεταί τις γεωμετρικῆς, πᾶν τὸ εἰκὸς ἀποδιδούσης. μακαρίσαι δ' ἄν τις αὐτὴν τοιούτῳ, ξυλλαχοῦσαν οἰκιστῇ τε καὶ γνώμονι· γνώμονι μὲν οὖν περὶ τῶν ἀρίστων εὐγενῶς κατασκοποῦντι τὲ καὶ ψηφιζομένῳ, οὗ καὶ μόνον τὸ κλέος καὶ ἡ παμμήκης εὐδοξία, τὸ μέγιστον ὡς ἀληθῶς εἰς κλέος καὶ δόξαν αὐτῇ, μακαρίσαι δ' ἄν τις καὶ αὐτὸν οἶμαι, τὸν οἰκιστήν τε καὶ γνώμονα, τῆς ψήφου ταύτης, καὶ τῆς δημιουργίας· ὡς ἄρα τοσούτου πράγματος ἐπιτυχῇ· καὶ κοινωφελεστάτην τῷ παντὶ κόσμῳ, τὴν φορὰν ταύτην καὶ τὸν ἔρανον, ὥσπερ ἄλλος ἄλλό τι, πρὸς τὸν βίον εἰσενεγκόντα. καὶ θαυμάσαι μὲν οὖν τις, τὸν αὐτὸν τῆς σοφίας· καὶ τῆς ἀρχιτεκτονικῆς ἐπιστήμης ὡς οὕτως ἐρεῖν· κἀκ τούτου μόνον κατίδοι τις ἂν, ἴσως, τὸ τοῦ ἀνδρὸς διάφορον καὶ

18 ἡτισοῦν V[2] s.l. **19** πόλιν ἡντιναοῦν V[2] in ras. | γε[2] V[2] s.l. **44,7** γνώμονι[2]: ἀγνώμονι V a. corr.

19–20 Id., Or. 13 (p. 158, 6–7 et p. 159, 13–15); Or. 26, 61 (p. 108, 13) **44,4–5** cf. Iambl., In Nicom. arithm. intr. (p. 119, 14–15)

ὑπερφυὲς· ἢ κατὰ τοὺς ἄλλους καὶ τέλειον, κἂν εἰ μηδὲν ἄλλο μᾶλλον δὲ, κἂν εἰ μὴ τοσαῦτα μεγαλουργήματα, γνώριμον αὐτὸν ἐποίει καὶ πᾶσι μεγαλώνυμον· τοσοῦτο πρᾶγμα καὶ βαλόμενον εἰς νοῦν καὶ κατευστοχήσαντα τῆς γνώμης ἄριστα καὶ τελεώτατα· καὶ f. 257 κατα | πραξάμενον ῥᾷστα.

45. Φασί γέ τοι πλείστας μὲν ὅσας τῶν πόλεων, εἰς τὴν αἵρεσιν προβληθῆναι τἀνδρὶ, καὶ τὰς ψήφους ἅτε περὶ τοσούτου τοῦ σκοποῦ καὶ τοῦ πράγματος, καὶ τὸν μέγαν ἐκείνῳ αὐτῷ λογισμὸν καὶ τὴν πρόθεσιν, εἰς ἁπάσας γε δὴ τὰς ὅπῃ ποτ᾽ ἂν, καὶ πάντ᾽ ἀρίστας αὐτὸν κινῆσαι, τὸν περὶ μεγίστων τὴν σκέψιν προθέμενον· τῆς δ᾽ ἐκλογῆς τὴν ψῆφον· καὶ τῆς κατὰ πασῶν ἐκείνων νίκης, ἐκ πολλοῦ τοῦ περιόντος, ταύτην δὴ λαβεῖν τὴν πόλιν· καὶ μόνην αὐτὴν ἐκεῖνον ἐξαίρετον τῆς οἰκουμένης, ἀνειπεῖν τε καὶ προβαλέσθαι, πρὸς τὴν ἄρα τοσαύτην τῶν λογισμῶν καὶ τῶν φροντίδων ὑπόθεσιν. καὶ τοῦτο γε οὐχ ἁπλῶς, οὑτωσὶ· οὐδὲ τῆς αὐτοῦ μόνης μεγαλονοίας τὲ καὶ σοφίας, τὸ πᾶν εἶναι, πρὸς τὴν ἀξίωσιν, καὶ τὴν δοκιμασίαν ταύτην, οὐδ᾽ ὅσον ἐκ μόνων σκεμμάτων καὶ κρίσεων τοῦ μεγαλόφρονος ἐκείνου· ἀλλ᾽ ὅσον καὶ Θεὸν αὐτὸν ἄνωθεν προσεπιψηφίζεσθαι, καὶ τὴν αἵρεσιν κυροῦν φασὶ· κινοῦντα σημείοις, οἷστισιν ἄρα· παντάπασιν ἐκφανέσι τὲ καὶ δήλοις τὸν ὑπ᾽ αὐτοῦ πάντα κινούμενον· καὶ πάντα κάλλιστα· καὶ τῶν προτεθειμένων σπουδασμάτων ἀξίως· καὶ τοῖς φθάσασιν ἤδη καὶ προλαβοῦσι τὸ πιστὸν, τῇδε νῦν ἀναμφήριστον εἵπετο. καὶ τὰς ἀρχαιρεσίας θείας· καὶ Θεοῦ βουλὴν· καὶ Θεοῦ τεράστια, τοὺς θεμελίους ὑποθεῖναι τῇ πόλει, εἰσὶν οἵ φασι· καὶ οὐδὲν ἔξω φασὶ τῶν εἰκότων· οὐδ᾽ ἀλλότριον τῆς περὶ τῶν μεγίστων πραγμάτων τοῦ Θεοῦ προνοίας· οὐδὲ μὴν τῆς τοῦ ἀνδρὸς ἐκείνου προνοίας καὶ τιμῆς ἧς ἐξαρχῆς ἐτίμα τὲ καὶ προυνοεῖτο, μεγαλύνων αὐτὸν Θεὸς, εἰς ὅσον οἷόν τ᾽ ἦν θαύμασιν.

45,7 δὴ V[2]: δεῖ V **9** προβαλέσθαι V[2]: προβαλλέσθαι V **11** μεγαλονοίας V e corr. **23–24** μεγαλύνων V[2]: μεγάλων V

45,1–15 cf. Sozomen., Hist. eccles. 2, 3, 3 (p. 51,19–53,9) **8** cf. Nic. Lamp., Enc. in Andr. (p. 32, 29–30)

46. Ἦν μέν γε τὸ μέγιστον αὐτῷ τηνικαῦτα τῶν ἔργων· ἡ σκέψις, τὸ προκείμενον. ἦν μέν γε, οὐ περί τινος ὀλίγου· οὐδ' ἀπ' ὀλίγων τινῶν τὸ βούλευμα καὶ ἡ κρίσις· ἀλλ' ὅσον ἐκ Βρεττανίας ἐκεῖθεν τῆς πρώτης, καὶ μεγίστης νήσου, τὸ πᾶν τῆς Εὐρώπης· κἀκεῖθεν αὖθις κἀκ τῶν | στενῶν Γαδείρων, ὅσον τῆς Λιβύης τὸ f. 257v πᾶν, καὶ τῆς λοιπῆς καὶ τρίτης τῶν ἠπείρων Ἀσίας αὐτῆς, ὑπὲρ Εὐφράτην καὶ τὴν εὐδαιμονίαν Ἀρράβων (τοῦτο γ' ἦν τῆς ἀρχῆς τότε τὸ μέγεθος· καὶ τῆς σκέψεως ἦν τότε τὸ μέγεθος), οἵαν προσήκει νικᾶν· καὶ ὅποί ποτ' ἂν, δέοι τὴν πόλιν οἰκίζειν, τῶν ἐπὶ τοσούτου τοσούτων· καὶ ὅποί ποτ' ἂν, εἴη τὸ καιριώτατον, ἐκ τῆς ἀρχῆς μᾶλλον, ἢ τῆς γῆς, ἀνύτειν λοιπόν· πρὸς τὴν μεγίστην ἐκείνην καὶ θαυμαστὴν, καὶ ἀξιολογωτάτην πρόθεσιν, καὶ τοῦ τοσούτου μήκους τὴν πόλιν ἀνιστᾶν, ἐξ ἀπόπτου πρὸς πάντας ἀνθρώπους. καὶ τοσοῦτο παμμήκης ἦν ὁ δρόμος, πρὸς τὸν δίαυλον ἐκείνων τῶν βουλευμάτων, καὶ σκοπός.

47. Ἀπὸ τοσούτου λοιπὸν ἐπέραινεν ἡ πόλις· ἢ μᾶλλον ὥσπερ ἐπὶ μεγίστου τοῦδε τοῦ θεάτρου προκειμένων τῶν ἄθλων ἀπὸ πολλῶν τῶν ἀνταγωνιστῶν, αὕτη περιφανῶς ἐνίκα· καὶ ἀνηγορεύετο τῶν πρωτείων τὰς ψήφους. καὶ Βυζάντιον μὲν ἦν ἐξαρχῆς περιφανὴς ἡ πόλις· καὶ πολλοῦ τινος ὀνόματος καὶ παλαιοῦ τοῖς Ἕλλησι καὶ μεγίστου· μείζονος δὲ τηνικαῦτα τῆς τύχης ἀξία κρίνεται λανθάνουσα τέως· ἡνίκα τῶν καιρῶν ἔτυχε. μᾶλλον δ' ὥσπερ ἐπὶ τῶν σωμάτων καὶ πάντων ἔχει τῶν ζῴων, καὶ τῶν φυτῶν ἐκ μικροῦ τινος τὴν ἀρχὴν, τοῦ μέτρου καὶ τοῦ μήκους εἰς αὐτὸ τελευτᾶν, τὸ σφίσιν ἑκάστοις δίκαιον, οὕτω δὴ καὶ ἡ πόλις ἔοικεν αὕτη προελθεῖν, κατὰ τὴν τάξιν καὶ τὴν προχώρησιν τῆς φύσεως, ἐκ μικροῦ τινος τὴν ἀρχὴν εἰς τὸ μέγιστον· κἀκ τοῦ προσήκοντος τῇ ἀρχῇ, πρὸς τὸ προσῆκον τῷ τέλει· καὶ τὸ γιγνόμενον τῆς φύσεως καὶ τῆς τύχης ὡς εἰπεῖν. καὶ ὥσπερ τἆλλα ὅσον ἑκάστῳ καθ' αὐτὸ τῶν ὄντων, οὕτω καὶ αὕτη λοιπὸν τὴν δικαίωσιν, τῆς οὐσίας ἀπολαμβάνει, μετ' αὐτῶν τῶν νομίμων χρόνων. καὶ οὐ μένει κάτω· τοῖς ὑψηλοῖς καὶ μεγίστοις καὶ ὑπεράνω

47,5 περιφανὴς V[2]: περιφανῶς V

46,1 cf. Thuc. 1, 23 **47,7–16** cf. Arist., Metaph. 1021b21–23; cf. etiam Ael. Arist., Or. 17, 4 (p. 2, 4–7)

f. 258 πάντων προσήκουσα· καθ' ὁδὸν | ἰοῦσα· καὶ μετασκευαζομένη πρὸς τὸ βέλτιον· καὶ καθάπερ ἐφ' ἑορτῆς τινος, τῷ παντὶ βίῳ χρωμένη· καὶ φαιδρυνομένη, καὶ πανηγυρίζουσα, τῶν προσόντων· καὶ τῇ φορᾷ διδοῦσα τῆς τύχης· καὶ τοῦ κάλλους ἐπιδεικνυμένη καθ' ὅσον οἷόν τ' ἦν, μέχρις οὗ τυχοῦσα τοῦ τέλους, ἔπειτα καλλίστη τὲ καὶ μεγίστη, καταπαύει λοιπὸν πρὸς ἄκραν φησὶν ἡ παροιμία κορυφὴν, ἅτ' οὐκέτ' ὂν, περαιτέρω.

48. Παλαιὸν μὲν οὖν ἔφην ἡ πόλις ὄνομα, καὶ πόρρω τῶν χρόνων, ἄνωθεν ἧκον, εἰ δή τις καὶ ἄλλη· καὶ οὐκ ἔστιν ὅτε μὴ πολλοῦ τινος λόγου καὶ σπουδῆς ἀξιούμενον, ἐπὶ τῶν Ἑλληνικῶν, Βυζάντιοι, τἀρχαῖα Δωριεῖς, γένος, τοῦ παντὸς Ἑλληνικοῦ τὸ ἀρεϊκώτερον. ἄλλου μὲν γὰρ ἄλλό τι τῶν Ἑλληνικῶν ἐθνῶν· Δωριεῖς δ' ἐδόκουν τὸ ἐξαρχῆς ἠρρενῶσθαι, παρ' οὑστινασοῦν. καὶ τοῦτο μὲν Δωριέων ὁπλιτικὸν, τῶν πάντων Ἑλλήνων τὸ ἀκμαιότερον· τοῦτο δὲ μέλη τὸν Δώρειον τρόπον, αὐστηρά τε καὶ σεμνότητος ἁπάσης μεστὰ, τοῦτο δ' ἔμβραχυ γ' ἐρεῖν ἀνδρῶν ἔργα, τὰ πάντα, Δωριέων ἔργα. καὶ Πελοποννήσου μὲν τὸ κράτιστόν τε καὶ πλεῖστον Δωριεῖς κατέσχον περιφανῶς ὑπὲρ τοὺς ἄλλους ἀκούοντες, ταύτῃ πάντας· καθ' Ἑλλήσποντον τὲ οὐχήκιστα· καὶ τῆς Ἀσίας ὅποι ποτ' ᾤκουν. καὶ πόλεων γε μὴν Ἑλληνίδων τὰ κράτιστα, τοῦ Δωρικοῦ καὶ αὗται· τὰ μὲν κατὰ γῆν Λακεδαιμόνιοί τε καὶ Σπάρτη· τῶν ἁπάντων ἡγεμόνες καὶ πρωτεύοντες ἐν ταῖς μάχαις· καὶ διάσημοι τῶν ὁποιωνοῦν ξυντυχόντων ἐκλόγιμοι· ὡς ταυτὸν δύνασθαι Σπαρτιάτην ἄνδρα Δωριέα, ὅπη ποτ' ἂν, ἕνα ξυλλαχόντα, παρασκευαῖς Ἑλληνικαῖς, ὅσον καὶ στρατηγὸν (καὶ τοῦτο παλαιὸς λόγος), τὰ δὲ καὶ μάλ' αὖθις, κατὰ θάλατταν Βυζάντιοί τε καὶ Ῥόδιοι πλεῖστον κρατοῦντες, ἐν θαλάττῃ τῶν πλείστων Ἑλλήνων.

48,8 τὸν V[2]: τὸ V

19 cf. Phil. Iud., De spec. leg. 2, 46 (p. 83, 29–30) et Plut., Mor. 477C **23–24** cf. Plat., Leg. 964e **48,1** cf. Synes. Cyren., De regn. 3, 1 (p. 87) **6–7** cf. Menand. Rhet., De orat. 1, 354, 9–14 (p. 48) **18–19** locum non invenimus

49. Εἶχον μέν γε ἐν προβόλων ἀεὶ μοίρᾳ, καὶ σκοπῶν τάξιν, ἐν προμάχοις τοῦ παντὸς Ἑλληνικοῦ, Βυζάντιοι· καὶ μέγα ἦν ὅστις ἄρα φθάσοι κατασχὼν, | εἰς τὰς καθ' Ἑλλήνων ἐπιχειρήσεις, f. 258v
τουτὶ τὸ πόλισμα. καὶ τὰ μὲν ἄλλ' ἐῶ· τεκμήριον δὲ τοῦθ' ἓν μέγιστον. καὶ Πέρσαι μὲν γὰρ κατεπαναστάντες πάσαις παρασκευαῖς, τῆς Ἑλλάδος· καὶ κινήσει μεγίστῃ, ᾗ καθ' ἃς ἀπάσας ἴσμεν, ἐντεῦθεν ἄρχονται· καὶ στρατήγημα μέγιστον σφίσι καὶ σπούδασμα πρὸς τὸν σκοπὸν ἀνυσιμώτατον, φθάσαι προλαβόντες Βυζάντιον, ἔπειτα καθίστασθαι τοιγαροῦν ἐντεῦθεν· καὶ περαίνειν ἔχειν, πρὸς τὴν ἐξαρχῆς πρόθεσιν· ὡς ἐντεῦθεν εὐεπιχειρητότερα ἐσόμενα, μᾶλλον, ἢ πάντοθεν ἄλλοθεν. καὶ μὴν ἀμέλει κακῶς πράξαντες, τελευτῶντες, τῆς ἐπιχειρήσεως καὶ τῆς Ἑλλάδος· καὶ τῶν ἐλπίδων ἀτευκτήσαντες καὶ ἀποκρουσθέντες, καὶ χαλεπῶς ἀπαλλάξαντες, οἵ δ' ἄρα καὶ οὕτω δὴ τῆς μεγίστης, ἀξιοῦσι φροντίδος σφίσι, Βυζάντιον αὐτοῖς ἔχεσθαι· καὶ κρατύνασθαί γε μὴν, μάλιστ' ἐφ' ὅσον οἷόν τ' ἦν· ὡς πολὺ φέρον, τοῦτ' εἰς τὰς τοῦ μέλλοντος, ἔπειτ' αὖθις ἐλπίδας· καὶ κράτιστον ἐχέγγυον τῶν πρώτων ὁρμῶν καὶ τοῦ πόθου τῆς Ἑλλάδος· καὶ μεγίστην ἀφορμὴν ἐσόμενον, ἣν οἷοι τε γένοιντο· καὶ δέοι ἂν, αὖθις πειρᾶσθαι καὶ κατεπιχειρεῖν, τῶν Ἑλληνικῶν πραγμάτων ἐντεῦθεν. καὶ οὐχ οἱ μὲν, οὕτω· τοῖς δ' ἐναντίοις ἄλλως ἐδόκει· ἀλλ' Ἕλληνες καὶ αὐτοὶ μετὰ τῶν αὐτῶν ἔοικε λογισμῶν τοῦ παντὸς ἀγώνισμα μέγιστον καὶ ἀναγκαιότατον τίθενται, Πέρσας ἐξῶσαι Βυζαντίου· καὶ τῇ συνεχείᾳ τῆς Ἑλλάδος ἄστυ τόδ' ἐπανασώσασθαι.

50. Φίλιππος δὲ χρόνοις ὕστερον τῆς τῶν Ἑλλήνων ἀρχῆς, ἐν ἔρωτι σφοδρῷ γενόμενος· καὶ πάντα κινήσας ἐπὶ τούτῳ πράγματα, τὸν πλεῖστον χρόνον σφόδρα πονῶν εἶχε, περὶ Βυζάντιον τὴν πόλιν ὑφ' ἑαυτῷ θέσθαι, παντὶ τῷ δυνατῷ τρόπῳ καὶ πάσαις μηχαναῖς, ὡς τὸ καιριώτατόν γε, τοῦτό οἱ μάλιστ' ὂν, εἰς τὸν ἐκκάοντα πόθον ἐκεῖνον καὶ τὸν ἄτρεπτον λογισμὸν, κἀν ταῖς ἄλλαις ἑξῆς ἡγεμονίαις· καὶ Ῥωμαίων καὶ ὡντινωνοῦν, πλεῖστος

49,7 σφίσι V² s.l. **8** προλαβόντες V²: προλαβόντας V **10** εὐεπιχειρητότερα V²: εὐεπιχειρότερα V **50,7** ὡντινωνοῦν V²: ὡντινοῦν V

49,1–2 cf. Ael. Arist., Or. 13 (p. 155, 6) **6–7** cf. Thucyd., Hist. 1, 1 **23–24** cf. Ibid. 1, 94 **50,1–8** Diod. Sic. 16, 77, 2

f. 259 ἦν γ' ὁ | λόγος ἀσφαλῶς ἔχειν σφίσι· καὶ ἔχεσθαι Βυζάντιον. ἔδειξε δ' ἡ πρὸς τὸν αὐτοκράτορα Σεβῆρον ἀπόστασις τῆς πόλεως καὶ ἀντίστασις τοσαύτη καὶ πάλη μέχρι πολλοῦ· καὶ ταῦτα τὸ κράτος τῆς ὅλης τῶν Ῥωμαίων ἡγεμονίας, ἀναμφήριστον ἔχοντ' ἤδη. καὶ πάντες γὰρ ὑποπεπτώκεσαν καὶ ἠξίουν πείθεσθαι· παρορῶντες εἴ τι καὶ δίκαιον ἄλλο πρότερον· καὶ τοῦ καιροῦ γιγνόμενοι καὶ οὐδεὶς ὅστις οὔ. οἵ δ' οὐκ ἠξίουν οὐκ ἀδικεῖν· οὐδ' ἀνομεῖν τὰ δόξαντα· οὐδ' ἀποχωρεῖν τῆς προτέρας γνώμης· οὐδ' ἀλογεῖν τῶν ὀφειλομένων πίστεως ἑκόντες ὄντες· οὐδὲ προδιδόναι τὰ κοινὰ τῶν ἀνθρώπων νόμιμα ῥᾷστα, ἀλλ' ἀντίσχειν γεννικῶς καὶ διακαρτερεῖν ἐπιπλεῖστον, ὅσον οἷόν τ' ἦν μᾶλλον δὲ καὶ ἐφόσον, οὐχ οἷόν τ' ἦν, τῶν ἀγαθῶν, εἰς τέλος ἐχόμενοι λογισμῶν· οὐ μόνον ὡς ἔοικεν εὐγενείᾳ πεποιθότες, καὶ φρονήματι τῷ κατὰ σφᾶς, ἀλλὰ καὶ τῷ καιρίῳ τῆς χώρας, ἐμοὶ δοκεῖν καὶ τῇ παρὰ τῆς φύσεως συμμαχίᾳ, τοῦ τόπου· πρὸς τοσαύτην τόλμαν ἀτρέπτως.

51. Καὶ τί ἄν, ἔχοιμεν, ἔτι μηκύνειν ἐν τούτοις καὶ καταριθμεῖσθαι, παραπλήσια συγγραφῆς μᾶλλον ἔργα· μέγιστα μὲν· ἀλλ' ἡμῖν ἀδύνατα συνελεῖν ἐνταῦθα καὶ προσθεῖναι, πάνθ' ἑξῆς, καὶ τῶν νῦν καιρῶν ἴσως ἔξω; ἀλλ' ὅπερ ἐξαρχῆς ἐβουλόμην, ἐπὶ ταύτης δὴ τῆς καλλίστης ἐπιλέξας, οὐκ ἐπ' ἐρήμης· ἀλλὰ τῆς πάλαι πρότερον δοκιμασθείσης, καὶ συνεξετασθείσης τοῖς πράγμασι, τὴν μεγίστην ἀνίστησι ταύτην, καὶ βασιλίδα πόλιν· ὁ πολὺς ἐκεῖνος καὶ πάντα σοφὸς, καὶ τῶν καλῶν ἁπάντων τεχνίτης· καὶ πάντα Θεῷ κινούμενος. καὶ μὲν δὴ καὶ φασὶ πάντες λόγοι καὶ πάντες ἄνθρωποι, τοῦτ' ἄριστ' ἔχειν, καὶ τὸ πρᾶγμα πάνυ τοι κατὰ λόγον, εἶναι· καὶ λυσιτελεῖν ἐπὶ τῶν κοινῶν, τοὺς ἐν ἥττοσι βελτίστους τὲ καὶ διαπρεπεῖς· καὶ μάλιστ' ἐπιδεδειγμένους καὶ
f. 259v τετυχηκότας, | ὧν ἄν, δέοι, τοῖς μείζοσι προσήκειν· καὶ προήκειν εὖ μάλα δικαίως ἐξ ἐκείνων εἰς ταῦτα, ἐξ ἀριστεύσαντος λοχαγοῦ ταξιαρχεῖν· κἀκ τούτου βελτίστου στρατηγὸς δείκνυσθαι, τὴν τάξιν βελτίστην εἶναι· καὶ πολὺ τὸ δίκαιον ἀμφοτέρωθεν· τοῖς τε

13 εἴ τι V[2] e corr. | ἄλλο V[2]: ἄλλῳ V **21** καὶ τῷ V[1] s.l. **51,3** προσθεῖναι V: an προθεῖναι? **15** στρατηγὸς V: an στρατηγὸν?

9–10 cf. Ps.-Hesych., Patr. 36 (p. 15, 6–12); Zosim., Hist. nov. 1, 9 (p. 8, 9–10) **19** cf. Plut., Fab. Max. 19, 3 (p. 71, 18) **51,15** cf. Arist., Polit. 1277b11–12

πράγμασιν αὐτοῖς, προσήκειν τοὺς ἐπ' αὐτοῖς· καὶ σφίσιν αὖθις προσήκειν τὰ πράγματ' αὐτὰ, καὶ τὰς ἐπιτηδεύσεις· καὶ τὸ πεφυκὸς τῆς ἁρμονίας ἑκατέρωθεν ἀπαντᾶν, οὕτω καὶ συμβαίνειν εὖ. εἰ δὲ μὴ, ἡ μὲν παροιμία φησὶν, ἄλλο μὲν ἡ λύρα ἀπήτει· ἄλλο δ' ὁ τεχνίτης ἐφθέγγετο, καὶ ὑπήχει· μᾶλλον δ' ἀπήχει, καὶ τὸ πρᾶγμα παγγέλοιον εἶναι, νυνί δ' ἐν τούτοις, πολλὴ μὲν ὡς ἀληθῶς ἡ αἰσχύνη· ἀτὰρ πολὺ πλείων, μάλισθ' ἡ ζημία καὶ ὁ κίνδυνος, ἐπὶ τῶν πραγμάτων αὐτῶν. τούτων μέν γε τῶν ἐγκλημάτων, καὶ τῆς εὐθύνης ἢ τῆς αἰσχύνης, ἢ τῆς ἐπὶ τῶν πραγμάτων ζημίας ἀνώτερος καὶ ὁ πολιστής· καὶ ἡ πόλις ἐνταῦθα· ἡ μὲν, τῇ μεγάλῃ πρέπουσα ταύτῃ ψήφῳ, καὶ τὰ δίκαια· καὶ κατὰ φύσιν λαμβάνουσα· μᾶλλον δ' εἰπεῖν ἀπολαμβάνουσα, καὶ τὸ εἰκὸς ἅπαν· ὁ δὲ, τῶν βελτίστων ἀκριβὴς καὶ τέλειος ἐπιγνώμων· καὶ ἅμα μὲν ἐπιλεγόμενος καὶ δοκιμάζων ἄριστα, καὶ ὡς οὐκ ἄρ' ἦν βέλτιον· ἅμα δὲ καθιστῶν καὶ περαίνων, εὖ μάλα ταχὺς τὰ δόξαντα· καὶ τῆς γνώμης ἐντελὴς αὐτουργὸς ἅπαν τὸ γιγνόμενον· καὶ οὐκ ἀτευκτῶν, ἔπειτα γέλωτα ὄφλων, μὴ τοῖς προσήκουσιν ἄρα καὶ μὴ κατ' αὐτὸν, ἀμαθῶς ἐπιβαλλόμενος. τοιγαροῦν ἀνιστᾷ μὲν οὕτω· γνώμῃ κάλλιστ' ἐπιτυχεῖ καὶ προθυμίᾳ τάχιστα· καὶ χειρὶ πάσῃ ῥᾷστα· τὰ μέγιστα καὶ κάλλιστα καὶ βουλόμενος καὶ δυνάμενος, τὴν πάντα καὶ μεγίστην τε, καὶ καλλίστην ταύτην πόλιν· οὐκ ἄλλο μὲν οὖν σκοπούμενος· ἀλλ' ἐφ' ᾧ βασιλεύειν, καὶ τῆς τοσαύτης ἀρχῆς αὐτὴν προϊστασθαι. καὶ ἡ πόλις λοιπὸν, ἀλλάττει μὲν τὴν πρώτην ταπεινὴν τύχην· καὶ μεταλαμβάνει καὶ πρόεισιν οὐκ ἐξ ἀτίμων τέως ἐπίπαν, | ἀλλὰ καὶ αὐτῶν βελτίστων, τὴν ἀμείνω πολλῷ καὶ βελτίω, μὴ μόνον ἑαυτῆς, ἀλλὰ καὶ πασῶν ἄλλων ὁμοῦ, μᾶλλον δὲ γεννᾶται νέα· καὶ πρόεισι θαυμαστή τε καὶ ὑπερφυὴς σχεδὸν· τελευτήσασα μὲν τὰ πρῶτα καὶ παλαιὰ μετὰ τῶν εἰκότων ὡς ἔοικε χρόνων· γενομένη δὲ τὰ νέα καὶ μέγιστα, μετὰ τῶν εἰκότων αὖθις χρόνων· περιφανὴς αὐτίκα καὶ τελεία. f. 260

52. Καὶ προοίμια μὲν καὶ γένεσις, οὕτω δὴ θαυμαστὴ καὶ βασιλικὴ τῇ πόλει· καὶ σεμνὴ σεμνῶς ἐκ βασιλέως οὕτω μεγίστου,

23 πλείων V[1]: πλεῖον V **41** πρόεισιν οὐκ V[2]: πρόεισιν V

20–22 cf. Luc. Dial. mar. 1, 4 (IV, p. 232, 6)

καὶ πάντων ὀνομαστοτάτου· καὶ διὰ πάντων τῶν μεγίστων καὶ τιμίων, ἐπιφανοῦς καὶ γνωρίμου, γενέθλια δ᾽ αὐτῇ καὶ κηρύγματα λαμπρά· καὶ κάλλιστ᾽ ἐξ αὐτῆς παραχρῆμα, ἐπὶ τῆς οἰκουμένης ἀτεχνῶς ἁπάσης, βασιλεύειν ἀντὶ πασῶν αὐτὴ τῶν πρώτων ἄλλων τῶν τέως ὠνομασμένων καὶ περιβλέπτων· καὶ τοῦ κράτους ἀξιουμένων ἐκ πολλοῦ τοῦ περιόντος, καὶ πολλῶν τῶν ἰσχυόντων δικαίων πρὶν αὐτὴν ὅμως γενέσθαι. τοῦ λοιποῦ γὰρ τῶν κρειττόνων αἰδώς· καὶ τὰ δεύτερα μεταλαγχάνειν φύσεως νόμος· ἀλλὰ καὶ ταῦτα δὴ μεταλαγχάνειν ἐκείναις ταύτης, ἑξῆς αὐτίκα, καὶ τοῦτο κομιδῇ ποθεινὸν καὶ σπουδῆς ἔργον. τῇ γε μὴν πόλει, ὁμοῦ μὲν ἡ γένεσις, ὁμοῦ δὲ τὸ βασιλεύειν· μᾶλλον δὲ διὰ τὸ βασιλεύειν ἡ γένεσις. οὐ γὰρ ἄλλως ἔφην, ἢ βασιλεύειν δημιουργεῖται· καὶ τὰς ψήφους τῆς ἀρχῆς πρὶν γενέσθαι λαβοῦσα, γενομένη λοιπὸν ἔπειτα δείκνυται τῶν ψήφων ἀξίως. οὐ γὰρ ταπεινῶς πρότερον πράττουσα, κατὰ πολλὰς ἑτέρας, ἢ τύχης ἡστινοσοῦν, ἢ πόνων πολλῶν ἔπειτα τὴν ἀρχὴν ἐκτήσατο· ἐξ ἰδιωτῶν, εἰς αὐτοκρατορίαν ἀλλάξασα, κατὰ τὰς ἄλλας· ἢ δικαίως μὲν ἴσως, ἐρημίᾳ τῶν ἐπικλήρων· ἢ καὶ τύχης ἄλλως ἀκαιρίᾳ καὶ φορᾷ, ξυμβαῖνον, οὑτωσὶ πολλάκις· οὐδὲ κλῆρον αὖθις οὕτω μέγιστον λαβοῦσα καὶ μεγίστοις πρέποντα, ἔπειτ᾽ αἴσχιστ᾽ ἀπήντησεν εἰς αὐτόν· οὔθ᾽ ὥστε μὴ πρέπειν δοκεῖν ἐχρήσατο· ἀλλὰ καὶ τῆς τύχης ὤφθη, καὶ τῶν κλήρων ἀξία, καὶ πρὶν ἢ γενέσθαι· τὴν
f. 260v ἀρχήν, κληροῦται κατ᾽ ἀξίαν ἔχειν· | καὶ βασιλεύει γεννηθεῖσα δικαίως αὐτίκα καὶ ἀπραγμόνως, αἱρέσει τὲ τοῦ βελτίστου, πρὶν ἢ γενέσθαι· καὶ ψήφῳ θείᾳ μάλιστ᾽ ἔοικε. δηλοῖ γάρ, ὅτι τῇ παρρησίᾳ καὶ τῷ κράτει Χριστοῦ, καὶ τῇ βασιλείᾳ τῆς θεοσεβείας καὶ δυναστείᾳ, συμπροῆλθε καὶ τὰ τῆς πόλεως· καὶ οὐ πρὶν ἄλλως, εἰς γένεσιν ἥκει καὶ βασιλεύει, πρὶν τοὺς ἐπ᾽ αὐτῇ βασιλεῖς Ῥωμαίων, βασιλεύειν μετὰ Χριστοῦ. καὶ πρῶτος αὐτῆς καὶ πολιστὴς καὶ αὐτοκράτωρ, ὁ πρῶτος αὐτοκράτωρ μετὰ τῆς Χριστοῦ πίστεως· καὶ πρῶτος ἀπὸ τῆς Χριστοῦ κλήσεως, τῶν βασιλέων τιμώμενος· καὶ ὁ μόνος αὐτὸς ἐκ βασιλέων ἀριθμούμενος, ἐν ἁγίοις τοῦ πάντων βασιλέως Χριστοῦ σωτῆρος, καὶ τὸ μεῖζον ἔτι τοῖς αὐτοῦ κήρυξιν ἀποστόλοις, συναριθμούμενός τε καὶ συντιμώμενος.

52,6 αὐτὴ V: an αὐτὴν? **20** an ἐρημίᾳ ⟨δὲ⟩? **28** τῇ V^2 s.l.

53. Ὦ τῆς τοσαύτης εὐκλείας, ὢ τῆς τοσαύτης τοῦ ἀνδρὸς μεγάλης ἐπωνυμίας καὶ λαμπρότητος, οἰκιστὴς αὐτῇ καὶ δομήτωρ. καὶ μὴν ἐκείνου μὲν ἡ κλῆσις· καὶ ἐπ' ἐκείνου, ἡ ἀπὸ Χριστοῦ φημὶ κλῆσις· καὶ τὸ μέγα καὶ περιφανὲς ὄνομα καὶ ὑπὲρ πᾶν ὄνομα· ἐπ' ἐκείνου δὲ τῇ πόλει· καὶ ἀπ' ἐκείνου τὸ μέγιστον ὄνομα. αὐτοῦ γὰρ αὕτη Κωνσταντίνου, περιφανῶς ἀκούει· καὶ αὐτοῦ Χριστοῦ διὰ Κωνσταντῖνον. καὶ γεννᾶται μὲν ἐκεῖνος διὰ Χριστοῦ· καὶ καλεῖται περιδόξως, δι' αὐτοῦ· γίγνεται δ' ἡ πόλις διὰ Κωνσταντίνου· καὶ πρόεισιν εἰς τὸν βίον λαμπρὰ λαμπρῶς· καὶ δι' αὐτοῦ τοῦ πάντα καὶ ἀνθρώπινα καὶ θεῖα μεγαλωνύμου, καλεῖταί τε καὶ κλεΐζεται πλεῖν, ἢ κατὰ πάσας τὰς ἀπ' ἄλλας ἄλλων. ὢ θαυμαστῶν αὐτῇ τῶν ὀνομαστηρίων τὲ καὶ γενεθλίων. ὢ τῶν καλλίστων αὐτῇ τειχῶν ὡς ἀληθῶς, ἐπ' αὐτῶν χειρῶν ἐζωγραφημένων τῶν θείων. ὢ τοῦ κρατίστου θεμελίου σφίσι, παρ' ὃν οὐκ ἔστι βαλεῖν ἕτερον, αὐτὸν δὴ φημὶ μετὰ τῆς μεγάλης τοῦ Παύλου φωνῆς, τὸν μόνον κραταιὸν καὶ μόνον δυνάστην Κύριον. ὢ τῶν περιφανῶν προοιμίων τῇ πόλει, καὶ τῆς εἰς τὸν βίον προόδου καὶ | φανερώσεως, μετὰ τῆς πρώτης εἰς τὸν βίον προόδου f. 261 καὶ φανερώσεως, τῆς πίστεως.

54. Ὦ πάντ' ἐκεῖνα ταύτῃ θαυμαστὰ καὶ κάλλιστα, ἅμα γεννᾶται καὶ βασιλεύει· μᾶλλον δ' ἐφῷ βασιλεύειν γεννᾶται. καὶ βασιλεύειν αὐτίκ' ἄρχεται μετὰ τοῦ κράτους τοῦ Χριστοῦ, καὶ τῆς βασιλείας τοῦ τὸν κόσμον νικήσαντος· καὶ ἡλικιῶτις ἐστὶν ἡ πόλις, τῇ βασιλείᾳ τῆς πίστεως. καὶ ἅμα μὲν ἡ πρώτη πῆξις τῆς εὐσεβείας· ἅμα δ' ἡ πῆξις αὐτῇ καὶ γένεσις, παρὰ τοῦ πρώτου βασιλέως παρρησιασαμένου τὴν πίστιν ἐπὶ τῆς ἀρχῆς· καὶ μετ' αὐτῆς οὐκ ἄλλως ἀξιοῦντος ἄρχειν, καὶ ὅλως εἶναι καὶ ζῆν. καὶ ὁμοῦ μὲν ἡ πόλις ἱδρύετο δι' αὐτοῦ, ὁμοῦ δ' ἐπ' αὐτῆς αὐτίκα νεῴ, καὶ ἱερὰ Χριστοῦ· καὶ τελεταὶ καὶ μυστήρια θεῖα· καὶ σπονδαὶ τῆς ἀναιμάκτου θυσίας. τοῦτο τῆς ἀνωτάτω καὶ πρώτης εὐπραγίας ἀφορμὴ τῇ πόλει· τοῦτο μέγιστον τῶν καλλίστων αὐτῇ καὶ τῆς

53,1 εὐκλείας V[1] e corr. **8** περιδόξως V: an παραδόξως? **10** τοῦ V[2]: τὰ V **13** ἐπ' V: an ὑπ'? **15** μεγάλης V e corr.

53,3 Phil. 2, 9 **9** cf. Ael. Arist., Or. 25, 6 (p. 73, 22–23) **13–14** Is. 49, 16 **16** I Cor. 3, 11; I Tim. 6, 15 **54,4** Io. 16, 33

ἄκρας εὐδαιμονίας αἴσιον σύμβολον· τοῦθ' ὅλον αὐτὴν κτῆμα θεοσεβείας δείκνυσι· τοῦθ' ἱερὸν ὥσπερ ἄσυλον, Θεοῦ καὶ τῆς πίστεως· τοῦθ' ὅλον ἀνειμένον· ἐξ αὐτῆς αὐτίκα τῆς γενέσεως, τῇ θείᾳ δεσποτείᾳ μόνῃ. καὶ εἰ μέγα καὶ πάντων ὡς ἀληθῶς, εἰς δόξαν τῇ πόλει μέγιστον (ἢ πῶς γὰρ οὔ;), τὸ κατ' αὐτὴν ἀνθῆσαι· καὶ προελθεῖν εἰς τὸν βίον τὴν ἀκμὴν τῶν πραγμάτων· καὶ τῆς ὅλης τῶν Ῥωμαίων ἡγεμονίας, καὶ ἡνίκα τῶν χρόνων μάλιστ' ἐκράτει, ἢ πρότερον ἀεὶ, πολλῷ δὴ μεῖζον ὄντως, καὶ μεγαλοδοξότερον, ἐπ' αὐτῆς ἄρα τῆς ἀναδείξεως· καὶ προόδου καὶ δυναστείας τῆς ἀληθείας, τοῦ δόγματος τοῦ Χριστοῦ, καὶ ταύτην συμπροελθεῖν καὶ καταστῆναι, οὐ μόνον ὡς ἔοικε βασίλεια τῆς ἀρχῆς καινὰ καινιζομένης, ἀλλὰ καὶ τῆς θεοσεβείας αὐτῆς ἐντελῆ πρὸς τὴν χρείαν· καὶ κατὰ λόγον εὖ μάλ' ἡρμοσμένα τῆς σπουδῆς ἄξια.

55. Καὶ γὰρ δὴ καθόλου δοκεῖ γε καὶ ὁρῶμεν ἑκάστοτ' ἐπὶ f. 261ᵛ πάντων ἀνθρώπων· ἐπὶ πάντων πραγμάτων, ἱκανῶς καὶ πρὸς | λόγον ἐπὶ ταῖς ἀγαθαῖς τύχαις, ἅπαντας παραβάλλεσθαι· καὶ λαμπρότερον ἐσκευάσθαι· καὶ μετασκευάζειν ἑαυτοὺς καὶ χρῆσθαι βέλτιον ἢ τέως κατ' ἔθος, πρὸς τὴν ἐπιπεσοῦσαν εὐκαιρίαν, καὶ τῇ τύχῃ λοιπὸν εὐγενῶς ἀπαντᾶν· καὶ τοῦτο μὲν οἰκίας ἀνιστάνειν ἐκ νέου, πρὸς ὑποδοχὴν ὡς εἰπεῖν τῆς ἀγαθῆς ταυτησὶ τύχης· καὶ ὄντως ἑαυτῶν τε καὶ ταύτης ἀξίας· τοῦτο δὲ πᾶσι κόσμοις, ἐναλλάττειν· τοῦτο δὲ πᾶσι τρόποις ἁβρότερον· καὶ δείκνυσθαι τῶν ὄντων διαρκῶς ἅμα μὲν ἡδομένους· ἅμα δ' εὐγνωμονοῦντας τῇ νομῇ τῆς προνοίας· καὶ τὸ πρᾶγμα δὴ τηνικαῦτα παραπλησίως ἔχειν· καὶ πρὸς τὴν μεγίστην ἐκείνην τῶν πραγμάτων τῆς ἀρχῆς καὶ τῆς εὐσεβείας, εὐετηρίαν τῷ πάντ' ἐκείνῳ θαυμαστῷ βασιλεῖ· καὶ τῆς εὐσεβείας τοῦ Χριστοῦ τὴν ἐπίδειξιν, ἐλλαμπρύνεσθαί οἱ πλεῖν, ἢ κατὰ πᾶν ἔθος, πρότερον· καὶ καταπάντας ἄλλων ἄλλους κόσμους ἁμιλλωμένους, ὡς οἷόν τ' ἦν, πρὸς τὴν ἑκάστοτε τῆς τύχης φοράν. καὶ δεινὸν γὰρ εἶναι τοῖς φθάσασι παραπλησίως χρῆσθαι, καὶ πολλῆς ἀμαθίας τῶν ὁμοίων ἔχεσθαι βέλτιον, πράττοντας· καὶ ἀποχρῆναι τοῖς αὐτοῖς ἀξιοῦν.

56. Δοκεῖ δὲ καὶ τοῖς θαυμαστοῖς ἄρα καὶ ξένοις τῶν πραγμάτων, καὶ πάνθ' ἑξῆς ἕπεσθαι· θαυμαστὰ καὶ νέα· καὶ τοῖς

55,1 δοκεῖ γε καθόλου primum scripsit, deinde ordinem invertit litteris βα V

μεγίστοις ἀεὶ μέγιστα, συμμεγεθύνεσθαι· καὶ ὥσπερ ἑνὸς ἀτόπου, φασὶ δοθέντος πλεῖστα παρέπεσθαι τῆς αὐτῆς φορᾶς· καὶ τῶν καλλίστων οἶμαι καὶ μεγαλοφυῶν, ἑξῆς αὐτίκα παρακολουθεῖν πολλὰ παραπλήσια θαύματα· καὶ ἡδονῆς ἄξια, καὶ τοῦτο γε εἶναι καὶ τὴν τῆς πόλεως, ταύτης εἰς τὸν βίον εὕρεσιν, τηνικαῦτα καὶ πάροδον ὑπερφυῆ καὶ καθάπαξ ἀπαράμιλλον, ᾗ κατὰ τὰς ἄλλας, καὶ ἀδόκητον, ὡς ὑπερφυῆ, βασίλεια καὶ τῆς εὐσεβείας ὡς ἔφην, καὶ τῆς μεγίστης καὶ νέας ἀρχῆς, τότε μέγιστα· καὶ νέα· καὶ προσήκοντα· καὶ τὴν χρείαν ἱστορῆσαι τοὖργον· καὶ προενεγκεῖν | f. 262 εὔλογον αὐτόθεν· μετὰ παντὸς τοῦ γιγνομένου.

57. Καὶ ὁ μὲν σκοπὸς ἅπας δημιουργουμένῃ τῇ πόλει, τοιοῦτος· καὶ ἡ κινοῦσα πρόνοια, περὶ μεγάλων οὕτω. δείκνυσι δ᾽ ἑξῆς, ὡς ἄρ᾽ ἀγαθῇ τύχῃ μάλ᾽ ἐν καιρῷ καὶ τοσοῦτος ὁ χρόνος, ἐξ ἐκείνου προύστη συνεχῶς αὕτη· τῆς μεγίστης ταύτης ἀρχῆς, καὶ τοῦ τοσούτου τῆς οἰκουμένης λάχους· καὶ τῆς πίστεώς γε μὴν αὕτη προύστη· καὶ τῶν καθ᾽ ἡμᾶς ἡγεῖται δογμάτων τὸν ἀεὶ χρόνον, ἐξ οὗ καὶ γίγνεται. καὶ θεμιστεύει λοιπὸν αὕτη· καὶ νομίζει περὶ Θεοῦ καὶ τῶν θείων· πάσαις πόλεσιν ἄλλαις· καὶ πάσαις ἐκκλησίαις ἄλλαις, ἐν ἄλλαις πόλεσι. καὶ ὁρᾶν ἔξεστιν ἐντεῦθεν, τὴν τῆς θεοσεβείας ἀλήθειαν πηγάζουσαν ἀνθρώποις ἅπασιν· ἐν παντὶ τῷ παραστάντι τοῦ καιροῦ· καὶ τὴν πόλιν ἐπαρκοῦσαν ἑκάστοις· ὧν ἄρα δέοι ἂν, περὶ τῆς πίστεως συνθημάτων καὶ νομίμων· εὖ βιοῦν τὰ θεῖα· καὶ παντάπασιν ἀζημίως· τῶν ὀρθῶν ἐπίπαν ἐχόμενους· καὶ τῆς τῶν καλῶν ἀσφαλίσεως· τὰ μὲν, ἐν τοῖς ὅροις καὶ ταῖς ἁπάσαις δόξαις· αἷς ὁ καθ᾽ ἡμᾶς ἔχεται λόγος· τά δ᾽ ἐν τοῖς πρακτέοις, τῆς χριστιανικῆς συντάξεως ὡς κοσμιώτατα συναρμόζεται, μηδὲν ὑπηχοῦσα κίβδηλον· μηδὲν νοσοῦν φέρουσα, πρὸς τὴν ὅλην ἑαυτῆς συντέλειαν καὶ συνέχειαν. κἀνταῦθα ἐστὶν ἡ τῆς ἀληθείας ἑστία· καὶ τὸ πρυτανεῖον τῆς εὐσεβείας τοῦ Χριστοῦ· καὶ ὃ βούλεταί τις, λαμβάνει· καὶ ᾧ προσήκει δίδοται τοὐπιβάλλον τῆς νομῆς· οὐδὲν οὐδενὶ πλέον· οὐδὲν ἧττον οὐδενί. καὶ οὐδὲν ἄρα δεῖ πονεῖν· οὐδὲ κάμνειν ἀσύνοπτα καὶ ἀόριστα· καὶ πολυπραγμονεῖν, ὁτουοῦν δεῆσαν ὁτῳοῦν· οὐδὲ περιιέναι δολιχὸν κατά τινα ζήτησιν, περὶ τῶν θείων νομίμων, καὶ τῆς πίστεως. ἀλλὰ τοῦτο παντὸς μᾶλλον ῥᾴδιον, καὶ

56,3 cf. Herodot. 7, 203 **3–4** cf. Arist., Phys. 185a11–12

παντὶ πρόχειρον, ἔξεστι μάλ' ἐνταῦθ' ὁρᾶν ἐπὶ τῆς χρείας ἑκάστης αὐτίκα. καὶ μόνος ἅλιος, ἐν οὐρανῷ φησὶ Σιμωνίδης· καὶ ἴσως ἡ πόλις τοῦτ' ἐπὶ τῆς οἰκουμένης ἁπάσης· καὶ οὐκ ἔστιν ἀτυχῆσαι f. 262v ταύτης | ὥσπερ ἑνὸς σκοποῦ μόνου τοῖς πᾶσιν ἐπιδηλοτάτου προκειμένου· οὐδ' ἔστιν ὅστις οὕτω δυστυχὴς οἶμαι οὐδ' ἀμαθέστατος. ἐνταῦθα τὰ κοινὰ πᾶσι, καὶ πάνυ τοι ῥᾷστα. καὶ τοῦτο γε ἔστιν οἶμαι καὶ τοῦτο λέγεται, ταύτην ἄρα δὴ τὴν πόλιν· καὶ τὸν ἐπὶ ταύτης ἡγούμενον, τὰ θεῖα, τὴν οἰκουμενικὴν ἔχειν ἐπιστασίαν· ὥσπέρ τινα χοροῦ κορυφαῖον τοῦ μέλους καὶ ταμίαν, ἐναρχόμενον τῆς συμφωνίας τῷ συστήματι· καὶ νομέα τῆς ἰσότητος· ἢ καθάπέρ τινα κυβερνήτην, τοῦ μεγάλου τοῦδε σκάφους τῆς οἰκουμένης, οἰακοστροφοῦντα, πρὸς τὸ δοκοῦν βέλτιον ἑκάστοτε· πάντων εἰς αὐτὸν ἀνεχόντων, ἐπὶ τοῦ κοινοῦ πλοῦ· ἢ μᾶλλον ἐρεῖν ὥσπερ αὐτοκράτορα τῆς εὐσεβείας ἐπίλεκτον, τοῖς μὲν, τὰ· τοῖς δὲ, τὰ, πᾶσι δ' οὖν τὰ καθήκοντα· καὶ τὸ γιγνόμενον ἅπαν ἐπιτέλλοντα. καὶ οὐκ ἔστιν ἄλλως σωφρόνως βιοῦν· ἢ ὅστις γ' εὖ μάλα πείθεται, προσέχων τὸν νοῦν.

58. Ἀλλὰ ταῦτα μὲν ἴσως προέδραμεν ὁ λόγος, νῦν εἶναι πόρρω τοῦ καιροῦ καὶ παρήσομεν λοιπόν. ὅπερ δὲ ἐλέγομεν, ὡς ὁ μὲν ὅλος σκοπὸς, ὃν ἔφην δημιουργουμένῃ τῇ πόλει, μέγιστος οὕτω. ἐπεί δε τῆς γῆς οὐκ ὀλίγον ἀποτέτμηται· καὶ ἴσως μετὰ τῶν εἰκότων λογισμῶν εἰς τὴν πρόθεσιν, καὶ ἀποτέτμηταί γε τῆς γῆς ἐπικαιρότατα· καὶ τῆς θαλάττης αὐτῆς· ὡς ἄρ' οὐκ ἐξῆν ἄλλῃ πῃ βέλτιον (καὶ περὶ τούτων ὡς ἐξῆν εἰρηκότες φθάνομεν), συνοικίζεται μὲν εὐθὺς Ἕλλησί τε, τοῖς πρώτοις· καὶ τῇ Ῥωμαίων εὐγενείᾳ, τηνικαῦτα πάντων κρατούσῃ· καὶ δυοῖν οὕτω τῶν ἀρίστων ἐθνῶν γνώμῃ τὲ καὶ χειρί· καὶ πάντων ἐπιτηδεύσει τῶν καλλίστων· τὰ μὲν, κατ' ἔθος· τὰ δὲ, κατὰ φύσιν. ἐκ δὴ τούτων, ἄρα τῶν ἐθνῶν, ἡ πρώτη σύμπηξις αὐτὴ γεννικὴ καὶ μεγαλοφυὴς δημιουργεῖται καὶ συντίθεται· καθάπερ οἱ φυσικοὶ φασὶν· ὡς ἄν, ἐξ εἴδους τινὸς καὶ ὕλης τὰ γιγνόμενα πάντα· τῆς μὲν Ῥωμαϊκῆς

57,41 γ' V[2] add. **58,8** τε V[2] s.l. **12** αὐτὴ V: an αὐτῇ?

57,27–28 Simon. fr. 605 (p. 307) **34–35** Ael. Arist., Or. 26, 29 (p. 100, 21–24) **36–37** cf. Plat., Polit. 272e–273e

αὐτῆς τύχης, τὴν εἰδοποιὸν ὑποβαλλούσης ἀρχήν· ὥσπερ ἐν τῇ πάντων γενέσει, τῶν ἀρρένων ἔχει τὰ σπέρ|ματα, τῆς δ' Ἑλλάδος f. 263 αὐτόθεν χώρας, μετὰ τὴν πρώτην ὑποδοχὴν πάντα παρεχομένης, τῆς κατὰ φύσιν ὕλης τὰ ῥεύματα, κάλλιστά τε καὶ ἄφθονα· μᾶλλον δ' ὡς εἰπεῖν ἄφθορά τε καὶ καθαρά, πρὸς τὴν εὐγενῆ ταύτην τοῦ παντὸς κράσιν καὶ οἷα τῆς πρώτης εἶναι, τῶν ὄντων συνθέσεως, εὖ δὴ μάλιστα πεφυκότα πρὸς ἄλληλά τε καὶ τὴν τοῦ παντὸς ἀπόδοσιν ἐντελῆ· καὶ κατασκευὴν ἔμμουσον, πάνυ τοι καὶ ἡρμοσμένην.

59. Ταῦτ' ἄρα καὶ συσκευάζεται, πάντα πάντοθεν, τῷ μεγίστῳ καὶ περισπουδάστῳ, τῷδ' ἑξῆς ἔργῳ· κατὰ χρείαν τὲ καὶ πάντα κόσμον (καὶ τί ἂν, εἴπῃ τις ὅσῃ τῇ σπουδῇ;), καὶ πάνυ τοι ῥᾷστα· καθάπέρ τινα τῶν εὐπορίστων, ἐξ ὑπογυίου τὰ μήκιστα καὶ δυσποριστότατα· καὶ φέρειν ἐργωδέστατα· ὥσπερ ἀγώγιμα ἄττα τῶν ἔγγιστα Κυζίκου τὲ καὶ Προικονήσου λατομιῶν. καὶ οὐδὲν ὅ,τι μὴ μετασκευάζεται, τῇδε λοιπὸν παντὶ πόνῳ καὶ τρόπῳ· κἂν ὅτι μάλιστ' ἐκ γειτόνων· κἂν ὅτι μάλιστα πόρρωθεν, τῆς μεγάλης περὶ τοσούτου σκοποῦ, καὶ πράγματος φιλοτιμίας, πᾶν ἄρα δὴ καὶ τὸ τέως ἀλόγιστον, παντάπασι καὶ ἀδόκητον πραττούσης ἀνύσιμον, εὖ μάλα· μᾶλλον δὲ πραττομένης ἀτρέπτως, ἀπαραίτητόν τινα, φορᾶς ὀφειλήν. καὶ περίβολος μὲν ἀνίσταται τοσοῦτος· ἔργον οὐ μόνον ἀνέλπιστον καταπράξασθαι, ἀλλὰ καὶ σχεδὸν ἰδεῖν μόνον ὡς ἐπίπαν· καὶ πρὶν ἰδεῖν ὡς ἀληθῶς μὴ πιστεῦσαι, μὴ δὲ λογίσασθαι χώραν ἔχον. οὐ γὰρ ἦν ὡς ἔγγιστα παραβάλλειν ὁτῳοῦν τῶν φθασάντων· οὐδ' ἐκ παραδείγματος συλλογίσασθαι τέως καὶ θαρρῆσαι (ἢ πῶς γὰρ οὔ;), πρᾶγμα καὶ γεγονὸς ἔπειτ' αὖθις, ἀμίμητον τουλοιποῦ. κάλλη δὲ καὶ κόσμον, τῆς ὅλης κατασκευῆς· καὶ τέχνης ὥραν· καὶ κράτους ἀκμήν· καὶ πάντα πορισμὸν ἐρυμνότητος, διὰ πάσης ἐπιμελείας συνιόντα καὶ κιρνάμενον· κἀπὶ τοῖς τείχεσι δεύτερα· κἀπὶ τοῖς τείχεσι τάφρους· καὶ διωρυγάς, οὐκ ἀγχιβαθεῖς· | κἀπὶ τούτοις τέχνας αὖθις καὶ f. 263v κατασκευὰς καὶ δημιουργήματα, τί τις ἂν, ἔχοι λέγειν (ἃ μόνης ἱστορίας ἔργον προθέμενός τις, οὐκ ἂν, ἔπειτα ῥᾳδίως ἀπαλλάτ-

20 κράσιν sic V: servavimus **22** ἐντελῆ V in marg. (manu Metochitae?): εὐγενῆ V

58,15–18 cf. Arist., De gener. anim. 765b11–12 **20** cf. Plat., Leg. 896a

τοιτο· καὶ συχνοῦ δέοι ἄν, ἡμῖν λόγου τρίβειν, ἐνταῦθα), πλὴν ὅτι τὰ πάντων τῇδε κράτιστα· συνελόντ' εἰπεῖν· καὶ τὰ πάντων κάλλιστα, καὶ οἷς οὐκ ἔστι παραβάλλειν ἑτεράττα, τῶν πάντῃ θαυμαζομένων· οὐ καθ' ἕτερον τῶν εἰρημένων, ἢ κράτος ἢ κάλλος· οὐδὲ μὴν μάλιστα κατ' ἀμφότερα συνιόντα;

60. Καὶ ὅστις ἄρ' ἐκμανθάνειν βούλεται, χρηστέον τοῖς ὀφθαλμοῖς, εἰ καὶ τοῦτο δοίημεν, πλήν γε ὅτι τοσοῦτο λέγειν ἔχομεν, ὡς ἃ μὴ πέφυκεν ὅλως, ἱκανώσασθαι διὰ πάντων, ὡς εἶναι τοσοῦτο μέγεθος ἅμα τοσούτῳ κράτει· καὶ τοσοῦτο κράτος· ἢ μᾶλλον καὶ ἄμφω λοιπὸν, καὶ μέγεθος καὶ κράτος ἅμα τοσούτῳ τῷ κάλλει (καὶ ὁρῶμεν γὰρ ἀδύνατα ξυνελθεῖν ὁμοῦ πάντα, καὶ πεῖρα καὶ χρόνος ἀεὶ πρότερον τοῦτ' ἐλέγχει· μᾶλλον δὲ τὸ πιστὸν ἡμῖν τῷ λόγῳ δίδωσι), ταύτῃ δὴ ταὔθ' ὁμοῦ πάντα καλῶς γε ποιῶν, δίδωσιν ὁ χρόνος εἰς ἀνείκαστον θαῦμα. καὶ ὃς ἄρα πάντα πεπαίνει φασὶ καὶ παραρρεῖν βιάζεται, καὶ κατὰ φύσιν ἀπανθεῖν καὶ κατ' ὀλίγον ἀλλάττειν (πῶς ἄν, εἴποιμι;), τὴν φύσιν, ἐνταῦθα μόνον ἀλλάττει· καὶ καινοποιὸς ὢν ἀεὶ μέγιστον, ἐνταῦθα τοῦτο δείκνυσι· καὶ ἄηθες καθάπαξ αὐτῷ τοσοῦτον ἔργον, ἀνθοῦν τε· καὶ διαπαντὸς ἀκμάζον, αὐτὸς ἔπειτα παριὼν οὑτωσί. καὶ μὴν ἔτι προστίθεται μάλιστ' ἀεὶ τῶν κόσμων καὶ τοῦ κάλλους· καὶ οὐκ ἔστιν ὅτε μὴ, λοιπὸν ἐπὶ τοῖς πρώτοις· καὶ ὃ μὴ πρότερον ἦν, ἀστεῖα νῦν γε εἶναι· καὶ πρόδηλος ἡ προσθήκη· καὶ χθὲς ἤδη καὶ πρὸ τρίτης ἐπὶ τοῖς φθάσασιν ἀνίσταται. καὶ ὃ μήπω καὶ νῦν πρότερον εὕρηται· μὴ δ' εἰς νοῦν ἧκε· μὴ δ' ὀφθαλμοῖς ἔδωκε χάριν θέαμα ἐπιτερπὲς, σοφὸς ὁ χρόνος ἀεὶ καινὸν ἀναδείκνυται καὶ χαρίζεται, τοῖς ὁρῶσι καὶ τῇ πόλει· καὶ λαμπρύνεται μὲν αὕτη τὰ παλαιά· λαμπρύνεται δ' ἑκάστοτε τὰ νέα.

f. 264 **61.** Καὶ τοῦτο μὲν | ὁ τοσοῦτος αὐτῇ περίβολος, οὕτως ἔρχεται πάντα τὸν αἰῶνα· τοῦτο δ' ὅσα καὶ οἷα περιέχει φέρων ἐντὸς θαύματα· καὶ κάλλη· ταμεῖον ὥσπερ ἄσυλον ἐγκλείων, καὶ πολυωρῶν οὕτω μέγιστον ἀσφαλὴς θησαυρὸν· ἢ κατὰ τὰ περιφανῆ

59,28 καθ' ἕτερον V: an καθ' ἑκάτερον? **60,11** ἀλλάττειν scripsimus: ἀλάττειν V

60,9–10 cf. Plut., Mor. 102A **20** Stob., Anth. 1, 8, 14 (I, p. 95, 14)

θέατρα, πάσης ἐντὸς εὐγενείας εἰς ἄκρον ἠσκημένα· πάνυ τοι πλείστοις· πάνυ τοι καλλίστοις θεάμασιν ἀστράπτων διόλου τοῖς ἐπόπταις· καὶ ἁπαντῶν ἡδὺς σὺν θάμβει· ἢ κατὰ τὰς πληθούσας ἀγορὰς μιμούμενος· αἳ πάντων μεμέστωνται κειμηλίων· καὶ πάντων τῶν χρησίμων, εὖ μάλ' εἰσὶ πλέω διαπαντός. καὶ οὐ δέος ἔπειτ' οὐδὲν μήποτ' ἐπιλείψει, τὰ πολυζήτητ' ὤνια τοῖς ὀφθαλμοῖς προκείμενα· μὴ δ' ὁ χρόνος φθάσει τὰ πάντ' ἀποδόμενος, καὶ δαπανήσας διαρρέειν κατὰ φύσιν ἀεὶ πείθων, ἀλλ'αὖθις φέρει· καὶ προΐησιν αὖθις καὶ μάλ' αὖθις καὶ ἀεί, νέα· καὶ βελτίω καὶ παραπλήσια· καὶ παλαιῶν ἀείποτ' ἐστὶ λοιπά· καὶ νέων ἐπιδείξεις καὶ χάριτες. καὶ ὥσπερ ἐπὶ τῶν ἀειφόρων φυτῶν καὶ ἐπιφορωτάτων τοῦ καρποῦ, τὰ μὲν ὁρῶμεν, νέον ἀνθοῦντα· καὶ προήκοντα καὶ καθιστάμενα, τὴν γιγνομένην ἀρετήν· τά δ' ἰόντα καθ' ὁδὸν εἰς τὸν σκοπὸν καὶ τὸ πέρας τῆς φύσεως· ὡς αὐτῇ νόμιμα ἐπὶ ῥητοῖς· ἀτελῆ δ' οὖν ἔτι· τά δ' ἀρτιουργὰ προσηωρημένα· τὰ δὲ πεπαίνοντα τὸν χρόνον· τοῦτό ἐστιν ἐπὶ τῆς πάντα θαυμαστῆς τῆσδε πόλεως, καὶ πολυφόρου καὶ ἀειθαλοῦς, ἀεὶ πληθούσης ταῖς λαμπρότησιν ἁπάσαις, καὶ τῶν κατασκευῶν ταῖς φοραῖς, παλαιαῖς τε καὶ νέαις ἱσταμέναις πόρρωθεν τῶν χρόνων· καὶ τὸν ἀεὶ γιγνομέναις χρόνον. εἰ δὲ καὶ ἀπογινόμεν' ἔστιν ὅτε· καὶ οὖ, ἀλλὰ μάλιστα μὲν οὐ παντάπασιν· ἄλλως τε καὶ ὡς ἔπειτ' ἄρα βέλτιον εἶναι, τοῖς ἀνιοῦσιν ἀεὶ νέοις· καὶ τὴν ζημίαν οὐ χαλεπήν, οὐδ' ἐργώδη παρεπομένην, τῇ τοσαύτῃ τῶν ἀεὶ βελτίστων ἐπιφορᾷ, νῦν ἑκάστοτε καινῶν τε καὶ ἀκμαζόντων, καθάπερ ἐπὶ τῶν ἀποβαλλομένων ὀρνέων τὰ πτίλα· | τακτοῖς ὅροις τῆς φύσεως καὶ f. 264v
καιροῖς, τὰ μέν γε λείπεται τῶν προτέρων· τὰ δέ, φύεται· τὰ δέ, ἐπιφύεται· καὶ ἔστιν ἄρα τοῦθ' ὕστερον σφίσι βέλτιον, ἢ πρότερον· καὶ κάλλους καὶ ἀρετῆς προσθήκη τὴν ἐπαινετὴν χρείαν· καὶ οὐκ ἄν, ἀλλάξαιτό τις τῶν μὴ τοιούτων τὰ τοιαῦτα· οὐδὲ πολλοῦ γε καὶ δεῖ.

62. Καὶ τοίνυν τὰ μὲν τῇ πόλει τῶν παλαιῶν ἀσφαλῆ· καὶ τῶν πολλῶν ἀζήμια χρόνων· καὶ οὐδεμία παρ' αὐτῶν ἀδικία σφίσι· τά

61,31 post καὶ ras. fere trium litterarum in V

61,19–20 cf. supra, 60, 9–10

δ’ ἀνέστη καινά· τά δ’ ἀνίσταται· καὶ προστίθησιν ἀεὶ τοῦ κάλλους· καὶ προστίθησι τῆς ἀκμῆς χωρὶς ἄρα καὶ τῆς παρὰ τῶν ἐρειπίων, αὐτῶν καὶ τῶν παλαιῶν λειψάνων αἴγλης· ἵν’ οὕτως εἴποιμι, καὶ λαμπρότητος ἀμυθήτου καὶ καλλονῆς, εὖ μάλα τῷ παντὶ πρεπούσης. οἷον γὰρ εἰς κόσμου περιουσίαν κοινωνεῖ, καὶ συνυφαίνεται τῇ νέᾳ φορᾷ καὶ τῇ πόλει· καὶ τοῖς κατ’ αὐτὴν νεουργοῖς τὰ τῶν παλαιῶν ἐλλείμματα, μεγαλουργημάτων· μνημεῖα, τῆς ἐκ μακροῦ δόξης λοιπὸν ἑστῶτα· ὥσπερ ἐν τοῖς τάφοις αἱ στῆλαι, καὶ τἀπιγράμματα μάρτυρες εὐκλείας λείπονται τοῖς κειμένοις. οὐκοῦν πολλοῖς ἄλλοις ἀρκεῖ τὰ τοιαῦτα, καὶ παραπλήσια, φιλοτιμία καὶ μεγάλης ἐπιδείξεως ἀφορμή· καὶ οὐκ ἄπο λόγου καθάπαξ· οὐδ’ ὡς ἄν, οἶμαι δικαίως νεμεσήσαι τις ἢ καταγνοίη. ἢ τίς γὰρ οὕτω δυστυχὴς, καὶ περὶ τῶν καλλίστων ἀμαθὴς· ἢ κομιδῇ βάσκανος· ὃς οὐκ ἄν, ἀξιοίη, περὶ τῶν ἀνθρωπίνων πραγμάτων βέλτισθ’ αἱρούμενος καὶ κρίνων· εἴ τις τὰ παρόντα μὴ πράττων εὖ, ἐπὶ τὰ παλαιὰ καταφεύγει· καὶ τῇ μακρᾷ τοῦ χρόνου μνήμῃ φέρων, ἔπειθ’ ἑαυτὸν δίδωσι· καί τινά οἱ παλαιοδοξίαν, ἐξ ἄρα τοιούτων τινῶν καὶ ἀρχαιοπλουτίαν κειμένην· ὥσπερ ἐκ σκευῶν τινων χρυσέων καὶ κειμηλίων τῷ χρόνῳ κατεσκαμμένων τὲ καὶ καταθραυσθέντων, εἰς ἀχρηστίαν ἴσως,
f. 265 πρόθυμος ἐπιμαρτύρεται· καὶ ἀντισταθμίζει τοῖς νεοπλούτοις, | καὶ ἀντανισοῖ τὴν ἤδη φθάσασαν αὐτῷ· μᾶλλον δὲ παραρρεύσασαν εὐδαιμονίαν, τοῖς τῶν ἄλλων ἀρτιπαγέσι καὶ νεαροῖς ἑστῶσιν, εὐπραγήμασιν; ἀλλὰ τοῖς μὲν, οὕτω τὴν τεθνηκυῖαν ἀνακαλεῖσθαι καὶ φέρειν, ἀμηγέπη πρὸς κλεϊσμὸν εὐζωΐαν τὲ καὶ εὐγένειαν, οὐδὲν καινόν· οὐδ’ ἀσύγγνωστον ἐπὶ τῶν ἀνθρωπίνων ὡς ἔφην πραγμάτων, ἡμῖν δὲ οὐχ οὕτως ὁ θησαυρὸς ἔχει· οὐδ’ ἄνθρακες αὐτὸς ἡμῖν κατὰ τὴν παροιμίαν, ἄλλον τρόπον ἐρεῖν· λαμπροὶ μὲν πρότερον· ἀλλ’ ὅμως γε νῦν ἐσβεσμένοι· οὐδ’ ἀναχωροῦμεν· οὐδ’ ἀνατρέχομεν ἐπὶ τὰ παλαιὰ μόνα καὶ πρῶτα· καὶ φέρομεν ἐκεῖθεν ἑαυτοῖς ὡς οἱ πολλοὶ μακρόθεν, τινὰ καὶ γηράσασαν, ἢ καὶ τεθνηκυῖαν, ὡς ἔφην, εὐγένειαν· καὶ ἱστορίας μόνον καὶ λόγους· καὶ χρόνιά τινα μακάρια διηγήματα· καὶ δι’ ἀδήλων, τἀπίδηλα κακῶς πράττοντες ὡς ἄν, οἷοι τ’ εἶεν, παραμυθοῦνται καὶ σοφίζον-

62,3 ἀεὶ post προστίθησι erasum in V

62,29 CPG II, 9, 3

ται, μὴ ἔχοντες ὡς ἔοικεν ἄλλως ἑαυτοῖς, καὶ τοῖς παροῦσι χρῆσθαι. ἀλλ' ἡμῖν γε οὐχ οὕτως ἔφην, ἔχει τὰ πράγματα, ἀλλ' ἀπόχρη τὰ παρόντα μόνον, καὶ φαινόμενα κάλλιστα ἐπὶ καλλίστοις· κἀπὶ μεγίστοις, μέγιστα· καὶ πάντων ὁμοῦ μείζω τὲ καὶ καλλίω· καὶ οὐκ ἄν, ἄλλως τις ἐρεῖ σωφρονῶν καὶ φεύγων αὐτόθεν, αὐτίκα μελαγχολίας ἔλεγχον. οἷς γὰρ οὕτω λαμπρὰ καὶ περιφανῆ χρῆσθαι, τὰ κατὰ σφᾶς αὐτοὺς· καὶ κομιδῇ γε τῆς παρούσης εὐεξίας καὶ ἀστειότητος, ἐπιδείξαιντ' ἄν, χειρούμενοι τοὺς ὁρῶντας παραχρῆμα, πρᾶγμ' οὐδὲν ἴσως· οὐδ' ἡτισοῦν ἀνάγκη φέρειν, εἰς τὰ πάλαι πρότερον· καὶ κατάγειν ἐξ ἀρχαιογονίας τὴν εὐδαιμονίαν. ἀλλ' ἔξεστί γε ὅμως, καὶ τοῖς παλαιοῖς καὶ πόρρω τῶν χρόνων (πῶς ἂν εἴποι τις;), ἡμῖν χρῆσθαι, πλεῖν ἢ πᾶσιν ἄλλοις ἐν τοῖς κατ' αὐτοὺς ἄλλοις, κἂν ὅτι πλεῖστα καὶ μέγιστα δύναιντο.

63. Καὶ μὴν ὅπου γε καὶ εἰ ταῦτα δεικνῦναι· καὶ λέγειν εἶχον καὶ φέρειν εἰς μέσους παράλληλα, ἀλλ' ἡμῖν τοῦθ' ὡς ἀληθῶς ἀμφοτέρωθεν ἀπαντᾷ· | καὶ κοινωνεῖ σφόδρα λαμπρῶς, καὶ ὡς f. 265v
θαυμάζειν μάλιστα τὴν ξυντυχίαν· καὶ πιστοῦσθαι μὲν τοῖς νέοις καὶ περιδόξοις, τὰ παλαιὰ κλέα· τιμᾶσθαι δὲ τὰ νέα τοῖς παλαιοῖς· καὶ ἀντιτιμᾶσθαι τοῖς νέοις τὰ παλαιὰ· καὶ ἀλλήλων ἀπολαύειν εἰς καλλονὴν πάντοθεν τελείαν· καὶ ἀλλήλοις ἀντιδιδόναι, τὸν εἰκότ' ἔρανον. καὶ ὄντως ἡμῖν ἡ παροιμία δοκεῖ φέρειν τὰς μακρὰς οὐσίας καὶ τὸν πλοῦτον βαθὺν· καὶ πάρεστιν ἀκούειν καὶ τοῖς παλαιοῖς χρῆσθαι σώμασι· καὶ πάρεστιν ὀφθαλμοῖς ἀμέλει χρῆσθαι, πρὸς τὴν ἐκ πολλοῦ κατιοῦσαν ἡμῖν μεγαλοδοξίαν· καὶ τοῖς καταλειφθεῖσιν ἀναλώτοις, ἐπίπαν τοῦ χρόνου καλλίστοις θεάμασιν. καὶ τροπαίων δίκην ἵσταται ταυτὶ· καὶ μένει· ταῖς πρώταις ἐκείναις μεγαλουργίαις· καὶ κηρύγματα, πομπεύονθ' ὡς εἰπεῖν κατὰ παντὸς ἄτρεπτα τοῦ χρόνου, καὶ ἄσειστα, τὴν θαυμαστὴν εὔκλειαν ἐκείνην καὶ τοῦ βίου, περιφάνειαν ἡμῖν ἐξαρχῆς.

64. Οὐκοῦν ὁράτω τις δημοσίας κατασκευὰς, τοσαύτας, καὶ μεγαλοπρεπεῖς οὕτω· καὶ ἰδιωτικὰς ἐφαμίλλους. καὶ ἃ μὲν ἐπίπαν

45 φέρειν V[2]: φέρει V **63,14** πομπεύονθ' V e corr. (fort. πομπεύων θ' a. corr.)

63,8–9 cf. Phil. Iud., De praem. 168 (p. 305, 18) **13–15** cf. Ael. Arist., Or. 46 (p. 273, 6)

ἄσυλα τῆς πανωλείας, τῶν τοσούτων ἑστῶτα χρόνων· καὶ μετὰ τῆς ἀκμῆς ἀκλονήτου· καθάπερ εἰ χθὲς, ἀνίσταιτ' ἂν καὶ πρὸ τρίτης πάσης ἐπηρείας ἀθῷα· θαῦμα τοσούτῳ μέγιστον, ὅσῳ μέγιστα καὶ κατ' οὐδὲν ὁτιοῦν, εἴκει τὸν ἅπαντα αἰῶνα, καὶ ῥεῖ κατὰ φύσιν, ἢ διὰ μέγεθος, ἢ δι' ὕψος ἐκτεταμένα τοσοῦτον ἔπειτα δι' αὐτὰ, ταῦθ' ἃ καὶ θαυμάζεται λοιπὸν, ἀτονήσαντα, ἢ διὰ ποικίλματα ἄττα καὶ στροφὰς καὶ τέχνας πανσόφους μὲν, ἀλλ' ὅμως ἐξ ἀνάγκης οὐκ ἀντεχούσας παντάπασι τῇ δυναστείᾳ τῶν χρόνων· καὶ ἀντιτεχνήσει· ἔστι δ' ἃ καὶ κατὰ φύσιν τραπέντα τὲ, καὶ ὑπερρυηκότα κατ' ὀλίγον ὑπὸ τοῦ μακροῦ γήρως καὶ τῆς ἡλικίας καὶ τῶν χρόνων, ἀτὰρ λειψάνοις οἱστισινοῦν θαυμαζόμενα· ὥσπερ κἀκ τῶν ὀνύχων τοὺς λέοντας, ἡ παροιμία θαυμάζειν δίδωσι· καὶ κρασπέδοις τεκμηριοῦσθαι, θοιμάτιον· καὶ καλλονὴν, ὑφασμάτων· καὶ ὅλως διὰ τεμμάχη τὸ πᾶν ἔξεστι λογίζεσθαι· καὶ

f. 266 συμμετρεῖσθαι. | καὶ μὴν ἔστιν αὖθις, παρὰ τοσοῦτο κἀνταῦθα καταπλήττεσθαι, τὸ κρατερὸν αὐτὸ τῶν ἐλλειμμάτων καὶ τῶν μερῶν, ὥστ' ἀπορεῖν πάνυ τοι καὶ θαυμάζειν, ὅπως ἄρα καὶ τὰ λοιπὰ καὶ παρελθόντ' οἴχεται. ὥστε κατ' ἀμφότερα τοιγαροῦν θαυμάζειν ἐξεῖναι· τοῦτο μὲν, ἐπὶ τῶν μενόντων τὸ κράτος τῆς δημιουργίας καὶ τῆς τέχνης, ὅπως εἰς τοσοῦτον ἀκμάζει καὶ πᾶσιν ἀντέχει πράγμασι· τοῦτο δὲ τὸ μάλιστ' ἀσφαλὲς καὶ ἄνοσον τῶν λειφθέντων, ἐκ πολλῆς τῆς συνεχείας ἀταπείνωτον, οἷον· καὶ οὐχ οἷον φύσιν ἔχειν ἡττᾶσθαι καὶ ὁπηοῦν καὶ καταδαπανᾶσθαι καὶ φθίνειν, ὅπως ἀμέλει ξυνεχώρησε τὰ ναυαγήσαντα τῇ συμφορᾷ καὶ τῷ κλύδωνι· καὶ τὸ συγγενὲς τῆς ὅλης οὐσίας, προύδωκεν· ἢ τινὶ καὶ τρόπῳ· καὶ φύσεως ὀφλήματι· καὶ κράτει τῆς τοῦ χρόνου τυραννίδος, τὸ εἰκὸς ἀπέδωκε καὶ ἀφήρηται· εἰ μὴ ἄρ' ἔοικεν οὐ κατὰ φύσιν· ἀλλ' ἐπίτηδες ἐχθρῶν ἴσως καὶ κακίστων ἀσκήσει, κατεσπουδασμένῃ· καὶ κακουργίᾳ καὶ βασκανίᾳ τινῶν ἐπιβούλων· καὶ ἀποστατῶν τῶν ὄντων, καὶ τῆς φύσεως καὶ τῶν καλλίστων τῆς φύσεως· καὶ τοῦ παντὸς κόσμου· καθάπερ ἔνια τῶν ζῴων ὁρῶμεν φθοροποιὰ, καὶ φύσιν ἔχει μόνον ὀλλῦναι· καὶ μάχην

64,4 ἀνίσταιτ' V[2]: ἀνίστατ' V **24** πολλῆς scripsimus: πολῆς V

64,14–15 cf. Ael. Arist., Or. 47 (p. 416, 12–13) **32** Plat., Parm. 144b; Plot., Enn. 4, 4, 43, 12 (p. 44)

ἄσπονδον ἀνήρηται δι᾽ ὅλου κατὰ τῆς οὐσίας δι᾽ οὐδεμίαν αἰτίαν· δι᾽ οὐδὲν ἴσως κέρδος· ἢ τροφὴν· ἢ χρῆσιν αὐτοῖς.

65. Ἔστι γὰρ ἀποβλέπονθ᾽ ὡς ἔφην, πρὸς τὰ λειφθέντα τοιαῦτα, τοιαῦτα δὴ λογίζεσθαι, καὶ ἀπορεῖν καὶ θαυμάζειν. οὕτω γὰρ ὀχυρῶς ἔχει καὶ ῥωμαλέως τῆς φύσεως, καὶ συνέστραπται καὶ καθήδρασται, ὡς ἂν ἔργον μέγ᾽ εἶναι, καὶ φιλονεικίας ὑπερβαλλούσης σπούδασμα, καὶ ὡς εἰπεῖν θαῦμα, ὅστις ἄν, ἐπιμελῶς κατ᾽ αὐτῶν, ἐπαναστὰς καὶ χεῖρα πᾶσαν ἀντάρας, ἔπειτα περιγένοιτο. καὶ πολλοὶ κατ᾽ ἀνάγκην ἡντιναοῦν καὶ χρείαν καὶ συνοῖσον ἢ κοινόν, ἢ καὶ ἴσως ἴδιον κατ᾽ αὐτῶν ἐπιχειρήσαντες, ἐν δέοντι χρήσασθαι, τοῖς ἀνονήτοις, καὶ κατηργημένοις τούτοις, πολλὰ λοιπὸν ἀεθλεύσαντες, | κατ᾽ αὐτῶν ἐπικενῆς εἰς οὐδὲν ἱκνούμενον, f. 266v ὡς οὐδὲν ἰσχύοντες, καὶ τἀκίνητα κινεῖν ἔπειτ᾽ ἔγνωσαν, ἔπειθ᾽ ἑκόντες γε ὄντες, ἐδραπέτευσαν τὴν ἐπιχείρησιν καὶ τὴν μάχην καὶ ἀπεχώρησαν τῆς ἀνονήτου· καὶ μηδὲν ὅλως πέρας ἐχούσης σπουδῆς.

66. Καὶ τὰ μέν γε οὕτως. καὶ θησαυρίζει τοιγαροῦν ὡς ἔοικε καὶ ταῦθ᾽ ἡ πόλις, προσθήκην, οὕτω δὴ κάλλους καὶ θαύματος ἀφορμὴν, καὶ πολλοὶ πολλῶν χρημάτων εἰ οἷον τ᾽ ἦν, πρίαιντ᾽ ἄν, σφίσι προσεῖναι, καὶ τὰ τῆς πόλεως ἐρείπια ταῦτα καὶ νεκρὰ τῶν σωμάτων. περὶ δὲ τῶν ἑστώτων, τοῦτο μὲν παλαιῶν· τοῦτο δὲ νεαρῶν, τούτων· ὡσπερεὶ προβόλων ἀκλονήτων τὲ καὶ ἀτρέπτων κατὰ τοῦ χρόνου· εἰ δὲ βούλεταί τις κἀνταῦθα, κατ᾽ αὐτοῦ τροπαίων ὡσανεὶ τῆς τέχνης οὐ τῆς εὐκλείας μόνον τῆς ἀηττήτου τῇ πόλει, κατὰ τὸν ἄνω λόγον, τί τίς ἄν, ἐρεῖ πρῶτον· ἢ τί μᾶλλον ἐν σπουδῇ θεῖτο, περὶ πραγμάτων οὕτω πάντοθεν θαυμαστῶν τε καὶ παραλλήλων· καὶ ἃ μήποτ᾽ ἐστὶ λόγων ἀξίων τυχεῖν, οὐδ᾽ ἄν, ὅστις ἐπιχειροίη, οὐδ᾽ ἄν, ὅσον μάλιστ᾽ ἐπείγοιτο;

67. Καίτοι τί λέγω; ὅπου γε καὶ εἰ περὶ ἕν, ὁτιοῦν ἕλοιτ᾽ ἄν τις ἑαυτῷ· καὶ τοῖς λόγοις χρήσασθαι, σχολῇ γ᾽ ἄν, τοῦ πράγματος ἱκανῶς, διαγένοιτο· καὶ ὡς ἄν, ἀξιώσειεν ἀποχρῆναι, ἢ καὶ εἰ

66,7 τοῦ V² s.l.

65,11 CPG II, 15, 25 **67,3** cf. Plat., Menex. 239c

μόνον ἕλοιτ' ἄν, ἅπαντ' ἀριθμεῖσθαι ψιλῷ τῷ λόγῳ· προβαίνων οὑτωσὶ καὶ τιθεὶς ἐπ' ὀνομάτων μόνον, οὐκ ἄν, τύχοι· οὔκουν γε ὡς ἂν καὶ μηδενὸς ὁτουοῦν ἐλλείπειν. ἃ καὶ μόνον ἐποπτεῦσαι τις, καὶ τοῖς ὀφθαλμοῖς ἐπελθεῖν ἅπαντα, παγχάλεπον ἔργον· οὔκουν γε ὡς ἄν, φαίη τις εὖ μάλ' ἐξεῖναι· ἀλλ' ὥσπερ εἰς λαβυρίνθους τινὰς ἐμπεσὼν, ἰλιγγιῴη ἄν, καὶ οὐκ ἔχοι χρῆσθαι, ὅταν γε δὴ καὶ δοκοίη καὶ δῆτ' ἀνύσιμά οἱ λοιπὸν εἶναι, καὶ τελευτᾶν τοῦ πράγματος· καὶ διεκπίπτειν ἤδη, ἐν προθύροις αὖθις, αἰσθανόμενος, ξυλλαγχάνων· καὶ κόπτων εἰκῇ· καὶ ὥσπερ ἐξαρχῆς πειρώμενος, καὶ ἀεὶ τοῦτο καὶ περαίνων οὐδέν. οἷα γὰρ πάντοθεν, ἀμύθη-
f. 267 τος | ἀριθμὸς ἀπαντᾷ θεάματα καὶ συνέλκει· καὶ τοὺς ὀφθαλμοὺς καὶ τοὺς λόγους ἑκάστοτε, νῦν γε εἶναι σεμνὰ σεμνῶς ἕκαστα, καὶ κάλλιστα· καὶ μέγιστα· καὶ πάνυ τοι πλεῖστα· οἷον αὐτίκα δὴ νεῴ τε, διὰ πάσης τῆς πόλεως, ἀστράπτοντες παντὶ κάλλει· καὶ πάσαις χάρισιν· οἷον ἀστέρες ὡς ἐν οὐρανῷ τῇ πόλει διαφανεῖς τῷ παντὶ σώματι· ἅμα μὲν κόσμων ὁ μέγιστος καὶ πρῶτος· καὶ ἅμα πάσης ἀσφαλείας κοινοὶ σύνδεσμοι· καὶ ὡς ἄν, φαίη τις ἐφ' ἱερῶν ἀγκυρῶν, τὴν πόλιν ἐπὶ τούτων ὡς ἀληθῶς, ἡδράσθαι καὶ θαρρεῖν ἄσειστα βιοῦσαν, τὸν ἅπαντα αἰῶνα· τοῦτο μὲν ὅσοι τὴν κοινὴν ἡμῖν τοῦ λαοῦ, συνάγουσιν ἐπιμέλειαν τῶν θείων· καὶ τὰ νόμιμα· καὶ ἀπαραλόγιστα· καὶ ζωοφόρα πᾶσιν ἀνθρώποις, τῆς εὐαγοῦς θρησκείας ἡμῶν ὀφλήματα· καὶ πρυτανεύουσι· καὶ ταμιουχοῦσι τὴν πίστιν· κοινοὶ θεοσεβείας ἡμῖν θησαυροί· καὶ ἀπραγμάτευτος ἀπόλαυσις εὐζωίας, καὶ μετουσία· μᾶλλον δ' ἀναγκαία καὶ ἀπαραίτητος, καθάπαξ· ὥσπερ οὐρανοῦ καὶ ἀέρος καὶ ὕδατος· καὶ τῶν ὅσα τῆς σωματικῆς χρείας· εἰ δὲ βούλεταί τις, ἀπαραιτήτου φορᾶς, ἐράνου καὶ συντελείας, τῆς κοινῆς ἡμῶν πίστεως, δοχεῖα· ἢ λιμένες ἅπασιν ἑστῶτες κοινότατοι, εὐπλοίας τὲ καὶ τοὐναντίον, σάλου παντὸς καὶ κλύδωνος· ἔνθ' ἄρα, δέοι, περαίνειν· καὶ ὁντιναοῦν θαλαττεύοντα τῷ βίῳ ἑτοιμότατα· καὶ ῥᾷστα κἂν ὅπώς ποτ' ἄρα εἴτ' εὐδρομοῦντ' ἴσως, τοῦ πλοῦ, εἴτε καὶ ναυαγοῦντα· καὶ θεῖα μὲν οὖν καὶ ἀνθρώπινα· τοῦτο δ' ὅσοι γε καὶ ἀνεῖνται τοῖς

67,5 τιθεὶς V[2]: τυθεὶς V **7** ἐπελθεῖν V[2]: ὑπελθεῖν V

8–9 cf. Id. Euthyd. 291b **9** cf. Id., Gorg. 486ab **13–15** cf. Ael. Arist., Or. 17, 10 (p. 4, 6–9) **19–20** cf. Greg. Naz., Or. 42, 26, 9–11 (pp. 108–110) **21** cf. Ael. Arist., Or. 47 (p. 258, 10–11)

ἐξηρημένοις, ἑαυτοὺς καὶ βιοῦντας, τοῦ βίου· καὶ ζῶντας, αὐτῆς τῆς ζωῆς· καὶ δραπετεύσασι τὰ πράγματα, μόνῳ τῷ Θεῷ· καὶ ἀνεῖνται γε σφίσι τοῦ σάλου τῶν παρόντων τῶνδε· καὶ τῆς τοῦ κόσμου περιφανοῦς καὶ προδήλου ταύτης φυγῆς· καὶ μεγαλοψυχίας· καταπαύσεις τὲ καὶ καταφυγαὶ καὶ ὡς ἀληθῶς ἱερῶν ἀσυλία· πάσης ἐπηρείας τοῦ βίου καὶ τυρα|ννίδος· καὶ ὥσπερ ἀκροπόλεις, f. 267v τῆς ἐνθένδε μάχης ἀνεπιχείρητοι· καὶ ἀρχεῖα τοῦ μεγάλου δεσπότου πάσης ἄψαυστα κακονοίας· καὶ θράσους· καὶ κακουργίας, ᾧ φέροντες ἑαυτοὺς, ἐνεχείρισαν.

68. Ἀλλ' ὅπερ ἔλεγον, τὸ μὲν τῶν νεῶν ἄρα τουτὶ χρῆμα, οἷον· αἱ δ' ἄλλαι κατασκευαὶ καὶ δημοσίᾳ τὲ καὶ ἰδίᾳ, τί τις ἂν, ἐρεῖ; στοαὶ παμμήκεις, καὶ τοσαῦται· πᾶσι μέρεσι τῆς πόλεως· οὐ δυστυχούντων μόνον ἀπραγμάτευτος παραμυθία, ἀλλὰ καὶ καμνόντων ἄλλων ὁπῃοῦν ἐν ὁδοῖς, ἢ θέρους ὑπερβολὰς, ἢ ψύχους ναυάγια καὶ χειμῶνας, καὶ γυμνάσια· καὶ δρόμοι· καὶ θέατρα· καὶ ὑδάτων ταμεῖα· καὶ κρῆναι· καὶ θησαυροὶ, μέγιστοι καὶ παντοῖοι· καὶ πανταχοῦ τῆς πόλεως· καὶ πάντοθεν· αὐτόθεν τὲ ναόντων, ἀφθόνων καὶ ἡδίστων, οὐκ οἶδ' ὡς εἴ πῃ ἄλλῃ· κἀκ μακροῦ φερόντων εἰς τὴν πόλιν, οὐκ ὀλίγῃ δυναστείᾳ καὶ βίᾳ τῆς φύσεως· ἀνάγκῃ δ' ὅμως ἄτρεπτος δουλεύειν, ὅπως ἄρα τῇ βασιλίδι πόλει, πᾶσι τρόποις καὶ μηχαναῖς πάσαις, τὰ μὲν, ἀδήλοις, τὰ δὲ, καὶ ὡς ἂν, εἶναι προὖπτον, οἷ' ὁρῶμεν καὶ θαυμάζομεν, μετὰ ῥᾳστώνης ὅσης καὶ χάριτος μετάρσια πομπεύοντα κατὰ πάσης τῆς πόλεως· ῥεύματα καὶ ποταμοὺς ἀεροδρομοῦντας. ἔτι γε μὴν βαλανείων ἀπολαύσεις πλεῖσται, καὶ καλλίστων τὲ καὶ μεγίστων· καὶ παντοῖ' ἐν τούτοις σοφίσματα· καὶ ὡς οὐκ ἔστιν ἐρεῖν, ἢ μόνον χρῆσθαι προτρέπειν· ἢ ὅλως γε ὀφθαλμοῖς εἰς αὐτὰ χρῆσθαι. πρὸς δὲ τούτοις τῶν ἁπάσαις νόσοις πονήρως ἐχόντων· καὶ μακρὰ καὶ ποικίλα καμνόντων τῇ πολυειδεῖ τοῦ σώματος τοῦδε κακοδαιμονίᾳ· καταπαύσεων οἰκοδομήματα πλεῖστα καὶ μέγιστα, κατ' ὀλίγα διαστήματα τῆς πόλεως· καὶ καταφυγαὶ σωτηρίας· καὶ ταμεῖα ζωῆς· καὶ τῆς φιλανθρώπου τέχνης· καὶ τῆς κατὰ τὴν

68,2 τὲ V[1] in marg. **3** παμμήκεις V[2] e corr. **17** ὡς οὐκ V e corr. **23–24** κατὰ τὴν τέχνην V[2]: κατὰ τέχνην V

68,15 cf. Greg. Naz., Or. 33, 6, 15–16 (p. 170) **23** cf. Id., Or. 7, 10, 6 (p. 204)

τέχνην ἁπάσης, χρείας ἑτοιμότης· καὶ καθάπαξ εὐπόριστος παρασκευή· καὶ παραμυθία τῆς δυστυχίας· ἐξ ὑπογυίου προσδραμεῖν· f. 268 καὶ τὸν τοῦ σώματος, | ἐλλιμενίσαι κλύδωνα· καὶ τεχνιτεῦσαι τοὺς χειμῶνας καὶ τὸ ναυάγιον· καὶ διοικῆσαι τὴν συμφορὰν· καὶ τὴν ἐξ ἡμῶν αὐτῶν οἴκοθεν, ἐπανάστασιν ἢ στάσιν τῶν ἀφορμῶν, τῆς φύσεως εὖ θέσθαι.

69. Καὶ πῶς ἄν τις, περὶ τῶν οὕτως ἐρεῖ θαυμασίων τρέχων, οὑτωσὶ τοῦ λόγου; οἷαι δὲ καὶ στηλῶν, καὶ ἀνδριάντων ἀναδρομαὶ, καὶ κίονες δόξης τῶν περιδόξων, ἐπὶ τῆς βασιλικῆς τῆσδε πόλεως· καὶ κηρύγμαθ᾽ ὥσπερ ἐξ ὑπερτέρων, ἄνω πολὺ τοῦ ἀέρος, βοῶντα τῶν πάλαι θαυμαζομένων εὐκλείας· καὶ τύχης ὕψωσιν. καὶ τοίνυν ἀγαλματοποιοῖς πρὸς γραφικοὺς ἅμιλλα· καὶ χαλκοτύποις πρὸς ἀμφοτέρους· καὶ πάντων σοφίσματα καὶ συμμετρίαι· καὶ τέχναι πολυστρόφου τομῆς· μετὰ ῥᾳστώνης κατὰ τῶν ἐρυμνοτάτων· καὶ χαλκῶν καὶ λίθων ὥσπερ ἂν, εἴ τις, τῶν εὐτήκτων καὶ μαλθακωτάτων, ὁτιοῦν ὡς ἂν, βούλοιτο, καὶ καθ᾽ αἵρεσιν δημιουργοίη· καὶ πλάττοι τε καὶ μεταποιοίη παντοῖα σχήματα· καὶ μέτρα· καὶ τέχνας εὐδρομώτατα καὶ ῥᾷστα· καὶ πάντα ταῦτα τῶν ἄλλῃ πῃ, καὶ τῶν ἐκ τοῦ παντὸς μάλιστα αἰῶνος, τὰ τῇδε καὶ πλείω καὶ βελτίω πλέον, ἢ πλείω. καὶ παλαιὸς μὲν λόγος ἀγαλματοποιοῖς καὶ γραφεῦσι, καὶ χαλκοτύποις φησὶ· καὶ πᾶσιν ὅλως ὅσοις περὶ τἀνδρείκελα, καὶ τὰς μιμήσεις ἡ σοφία, τὰς ἐργασίας ἀθῴους, ἀνεῖσθαι· καὶ τὰς τέχνας ἀνεῖσθαι σφίσι μόνοις ἀνευθύνους· ὡς ἄρα νέμεσιν οὐδ᾽ ἡντιναοῦν ἑπομένην ἂν, δικαίως· κἂν εἰ παντάπασιν ἀφειδῶς τῆς ἀληθείας, ἐκτείνωσι τοὺς μιμητικοὺς κόσμους· καὶ χαρίζοινθ᾽ ὅσα βούλοιντο τοῖς ὠνουμένοις τὴν τέχνην. οὐ μὴν, ἀλλ᾽ ἐνταῦθα δὴ, καὶ τοῦτο τε· καὶ πάντων ἴσως δικαιότερον χαρίζεσθαι, τῇ πάντα καλλίστῃ τὲ καὶ ὑπερφυεῖ ταύτῃ πόλει, καὶ τὰ οἰκεῖ᾽ αὐτῶν, κάλλιστ᾽ αὐτοὶ πάντες οὗτοι δημιουργοὶ· καὶ τοὺς f. 268v κατὰ φύσιν ὅρους ὡς ἔφαμεν, ὑπερβαίνειν, | χρώμενοι τῇ τῆς τέχνης ἀδείᾳ, καὶ ἅμα τὴν τῆς ἐργασίας ἀκρίβειαν, σφίσιν ἔξεστιν ὁρᾶν τοῦ ἄκρου τυγχάνουσαν· καὶ καθάπαξ ἀκαταιτίατον· καταμηδὲν ἐλλείπουσαν τοῦ γιγνομένου· μὴ δ᾽ ἔχουσαν μὴ δ᾽

27 τὸ ναυάγιον V² s.l.: τὴν ναυαγίαν V

69,14 quis nescimus

ἐῶσαν ὁτιοῦν· καὶ προσθεῖναι καὶ πλέον εὑρεῖν, εἰς τὴν τῆς τέχνης συντέλειαν· οὐδ' οἵαν ἀμέλει καὶ παράλληλα τινὰ τιθέναι, τοῖς ἁπάντων ἄλλοις, πανταχοῦ πᾶσιν ἔργοις· ὧν ἴσως καὶ ὁτιοῦν ἐστι μέμφεσθαι.

70. Καὶ τί ἂν τις ἀπέραντα περὶ τούτων ἐνταῦθα σπουδάζοι μηδὲν ἀνύτων, πρὸς τὸ δίκαιον ὅτι μὴ τρίβων ἀνόνητα; καὶ ἅπανθ' ὅμως, τῶν πραγμάτων αὐτῶν, πολλῷ δεύτερα· κἄν, εἰ πάνυ τοι πλεῖστα φέροι, καὶ πλεῖστα δύναιτο. καὶ τοῖς μὲν ἄνω νῦν εἰρημένοις, περὶ τὰς μιμήσεις τεχνίταις, ἐλευθέραν εἶναι τὴν ἐργασίαν φαμὲν, τὸν τρόπον ὃν εἴρηται· κἂν εἰ πλεῖστον τῆς ἀληθείας, καὶ τῶν ὄντων ὀλιγωρῶσιν, ἔξω τῆς φύσεως δραματοποιοῦντες. ἀλλὰ τοῖς ἐπὶ τῶν λόγων ὡς ἀληθῶς, ἅπασιν οὐκ ἔστιν ἀκαταιτίατον, ἐνταῦθα τὴν σπουδὴν εἶναι, κἂν εἰ πλεῖστα πράγματ' ἔχοιεν, καὶ κατεπείγοιντο φιλονεικοῦντες καὶ πάνθ' ὡς οἷόν τε περιεργάζοιντο, συνεξετάζοντες εἰς τὴν παροῦσαν ὑπόθεσιν, ἀεὶ τοῦ παντὸς ἀτευκτοῦντες ἐξ ἀνάγκης, καὶ τῶν προσηκόντων ἐλλείποντες. καὶ τῇ μὲν τοῦ πράγματος δικαιώσει, μέμψεως ἂν, ἄξιοι πάντως ὑστεροῦντες ὧν ἐχρῆν· ἂν δ' ἄρα συνειδότες ἑαυτοῖς οὕτως ἀγωνιζομένοις, ἔπειτα πρῶτοι τὰς καθ' ἑαυτῶν ἐκφέρωσι καὶ κηρύττωσι, ψήφους τῆς ἥττης, συγγνώμης ἴσως οὐκ ἀλλότριοι. ἢ τί γὰρ ἂν ἔχοιεν, πρὸς τὸ τῆς ἐργασίας, ἀδύνατον, ὅλως κατὰ φύσιν τυχεῖν;

71. Ἀλλ' ὅπερ ἔλεγον, χορηγία μὲν οὕτως, ἐπιεικῶς, ἄφθονος τῇ πόλει· καὶ πάνυ τοι πλείστη τὲ καὶ βελτίστη κατὰ πᾶν τὸ ἱκνούμενον ἁπάσης ἐπιτηδεύσεως καὶ τέχνης· καὶ σπουδὴ πᾶσα πάντων καὶ | ἅμιλλα πρὸς ἀλλήλους, ὅστις ὑπερβάλλοιτ' ἂν, f. 269
καθάπερ ἐν τοῖς πεντάθλοις· καὶ ὅσοι τῶν ἐπιταττόντων μεγαλοψυχίᾳ τὰ κάλλιστα, καὶ ὅσοι τῶν διακονουμένων ταῖς φιλοτίμοις αὐτῶν κινήσεσι καὶ γνώμαις· καὶ μετὰ τοσαύτης ἀμέλει τῆς ῥᾳστώνης ὁπόσης ἀτεχνῶς, ἐπὶ τῶν λογισμῶν ἑτοιμότατ' ἔστιν, ὁτιοῦν καὶ τῶν ἐργωδεστάτων πραγματεύεσθαι καὶ μεταχειρίζειν, ὕλη δὲ πᾶσα πρὸς τὴν χρείαν οὕτω σφίσιν ἀπήντα, καὶ ἀμφοτέροις

70,17 ἂν V^2 s.l. **71,9** πραγματεύεσθαι V^2: πραγματεύσασθαι V

71,3–4 Ael. Arist., Or. 20, 16 (p. 21, 3–4)

εὖ μάλα δαψιλὴς καὶ ὑπὲρ τὴν χρείαν, ἡ τέως ἐπὶ τῶν λογισμῶν δυσπόριστος ὑπερβαλλόντως δοκοῦσα· καὶ ὡς εἰπεῖν ἀνεπιχείρητος καὶ λογισμῶν, οὔκουν γε σωφρόνων οὐδὲ μετρίων, ἀπὸ πάσης τῆς οἰκουμένης, καὶ πάντων αὐτῆς μερῶν ἐπίσης τῶν τ' ἔγγιστα, καὶ τῶν πορρωτάτω, ἐφ' ὧν ἑκάστων, ἕκαστα χώραν ἔχει καὶ φύεται, οὐδὲν ἧττον καὶ τοῦτο παραπλησίως ἐρεῖν, ἢ λογίσασθαι ῥᾷστα. κἀνταῦθα ἡ τῆς πόλεως πλεονεξία σφόδρα ἢ κατὰ τὰς ἄλλας, καὶ ἡ τῆς θαλάττης εὐκαιρία· καὶ τὸ πρὸς ἅπασαν τὴν ἔνδειαν, ἢ τὴν βούλησιν ἐντεῦθεν χρήσιμον· ἡ τῶν ἀγωγίμων εὐκολία· καὶ πεζῇ· καὶ θαλαττίοις ὀχήμασιν, ὁπότερον ἄν τις βούλοιτο ἢ καθὼς ἂν, ἀπαιτοίη, τὸ τῆς φορᾶς ἀναγκάζον· ὥσθ' ὅταν τις καὶ πρὸς τοὺς τοσούτους ἀπίδοι, τῆς φιλοκαλίας καὶ μεγαλοπρεπείας ὄγκους· καὶ φόρους· μάλιστ' εἶναι θαυμάζειν, οὐ τὴν περιουσίαν μόνον καὶ τὴν εὕρεσιν· ἀλλὰ καὶ τὴν ἰσχὺν ἑκάστων τῆς ἀγωγῆς καὶ τὴν τέχνην· οὕτω δὴ προσλιπαρῆ καὶ τοῦ σκοποῦ τυγχάνουσαν, ὥσπερ ἂν, εἴ τι τῶν οἴκοι καὶ ῥᾴστων ὡς βούλοιτό τις διοικοίη καὶ χρῷτο καθάπαξ, ἀνυσίμως· ὡς οὐδὲν ὂν πρᾶγμα, τῇδε φέρειν καὶ μεταφέρειν, οὕτω δὴ καὶ μεταποιεῖν τόδέ τι, τὸ νῦν ἄλλο τί ποτ' ὄν, ἀπὸ τοῦδέ τινος ἄλλού ποτ' ὄντος, πρὶν καὶ μετατιθέναι, καὶ ὅλως ἀπολαύειν, τῆς χρείας, καθ'
f. 269v αἵρεσιν ἡντιναοῦν | ἐπιοῦσαν.

72. Αἴγυπτος ἐνθάδ' ἡμῶν τῇ πόλει φέρει· καὶ Σικελικαὶ καὶ Ἰταλικαὶ λατομίαι· καὶ Λιβύης ἀεὶ καινὰ καὶ τεράστια· καὶ Ἰνδικῆς ἐκφύσεις· καὶ γαιωρυχίαι· καὶ μεταλλεύματα καὶ Ἀρραβίας· καὶ Ἀσσυρίας· καὶ Βαβυλωνίας, καλλοποιοὶ λαμπρότητες· καὶ πάσης ἄλλης ἐπίχρειος ἡτισοῦν γῆς φορὰ, φορὰ τῇ πόλει· καὶ πᾶσα συντελὴς ἡ οἰκουμένη, πρὸς τὸν μέγιστον τόνδε καὶ κάλλιστον τῆς πόλεως ἔρανον, ὁτιοῦν χρήσιμον· ἢ τοῖς κατ' ἀνάγκην αὐτῇ, ἢ τοῖς κατ' ἐπίδειξιν. καὶ οὐδὲν ἀνόνητον οὐδ' ἀνεννόητον, οὐδ' ἀζήτητον αὐτῇ· οὔκουν γε οὐδὲ δυσφόρητον· ἢ πάντα τρόπον δυσάγκαλον μεταχειρίσαι, καὶ ὑποποιήσασθαι· ἀλλ' ἅπαντα

72,3 μεταλλεύματα V^2: ματαλλεύματα V **4** Ἀσσυρίας V^2: Ἀσυρίας V **6** συντελὴς ἡ V^2 e corr. **8** ἀνόνητον V^2: ἀνόητον V | ἀνεννόητον V^2: ἀνενόητον V

22–23 Id., Or. 25, 55 (p. 87, 23–24) **72,1–11** cf. Id., Or. 26, 12 (p. 95, 5–12)

πάντοθεν ἥκει· καὶ πληροῖ ταύτην δὴ τὴν κοινὴν ἑστίαν· ὥσπερ ἂν, οἱ ἐκ τῆς χώρας, καὶ τῶν ἀγρῶν ἀμητοὶ· τοῖς ἑκάστοις προσοίκοις, καὶ ἡγεμονικοῖς πολίσμασι. καὶ θαυμάζειν μέν ἐστιν ἐφ' ἑκάστοις τὴν ἑκάστων γένεσιν· ἴσως σπανιωτάτην καὶ μονοειδῆ καὶ πρόοδον τῆς φύσεως· ταύτην μὲν, ἐκείνῃ, τὴν δὲ, ἐκείνῃ· καὶ ἴσως γ' ἔστιν ἐφ' ὧν καὶ τὴν αὐτὴν, ἐξ ἀλλοδαπῆς ἢ βελτίω γε μὴν, ἢ ἥττω· θαυμάζειν δὲ τὴν τῇδε φορὰν ἑκάστου καταμέρος· καὶ μάλισθ' ὁμοῦ κοινὴν σύνοδον ἁπάντων, ἐπὶ τῆς αὐτῆς, πάντα καὶ λογισαμένης καὶ ζητησάσης· καὶ ποιησαμένης οἰκεῖα, τὰ τοῖς ἄλλοις τὸ μέρος οἰκεῖα· καὶ πάντων παμπλήρους γενομένης ἐξ ἄλλοτ' ἄλλων, καὶ πάντων ἀνενδεοῦς ὡς ἄρα καταμηδὲν ὁτιοῦν ἐλλείπειν· ἀλλ' οὐδέ γε μὴν ἐλλείπειν οὐδὲ στενοῦσθαι, πρὸς τὴν τῶν τοσούτων ὑποδοχὴν· ἀλλ' εὐμεγέθη χώραν ὁρᾶσθαι· καὶ ἱκανὴν παντελείως εὖ μάλα χωρητικὴν, ἐπίπαν τῆς ἑκάστων εὐδαιμονίας.

73. Καὶ ἔγωγε, λοιπὸν ἀπορῶ καὶ θαυμάζω, καί μοι λογισμὸς οὗτος ἄληπτος εἰπεῖν, οὐχ ὅπως μόνον αὕτη τῶν τοσούτων ἅλις ἔχει, καὶ κατὰ τὴν χρείαν ἢ ὑπὲρ τὴν χρείαν, εἰς ὅτι πλείστην τὴν ἐπίδειξιν, ἀλλ' ὅτι καὶ ἅλις αὕτη, πρὸς αὐτὰ τοσαῦτ' ἔχει· καὶ πέφυκε διαρκῶς· καὶ οἵα τέ ἐστιν ἔχειν, ἐφ' ἑαυτῆς | καὶ φέρειν· f. 270 καὶ οὐχ ὡς εἰπεῖν ἔπειτ' ἐπαχθίζεσθαι· καὶ κάμνειν, τοσοῦτον ἐπωμαδὸν, οὐκ εὐάγκαλον· οὐδ' εὐκίνητον· ἀλλ' ὑπερμεγέθη καὶ ὑπερφυῆ τὸν φόρτον ἀτεχνῶς ἀναθεμένη· καὶ τοσαύτη μέν ἐστιν, οἵα πάνυ τοι θαυμάζειν τὸ μέγεθος· τοσαῦτα δ' ἐπ' αὐτῆς ἀνέχει κάλλη καὶ οἰκοδομήματα· καὶ σοφίσματα· καὶ τέχνας· καὶ ποικίλματα· καὶ θεαμάτων παντοίων ἄχθη· καὶ θαυμάτων καὶ τεραστίων, ὡς ἔτι μάλιστα θαυμάζειν, ὅπως ἄρα τοῖς τοιούτοις ἀρκεῖ. καὶ γῆ μὲν ὅσην, ὁ τῆς πόλεως ἐντὸς εἴργει περίβολος, οὐκ ὀλίγον· οὐδ' εὐόριστον τοῦτο τὸ τῆς ὅλης γῆς τέμενος ἀληθῶς· καὶ οἷον οὐκ ἄλλης εἴρηται πόλεως τοσοῦτο παράλληλα θεῖναι, ἢ ὅτι ἔγγιστα. τοσαύτη δ' ἐπ' αὐτῆς ἡ δημιουργία τῶν ἐπιθέτων· καὶ ἡ συνέχεια· καὶ ἡ πυκνότης οὐ μόνον τῆς ἐπιφανείας, ἐπιλαμβά-

73,4 an πρὸς αὖ τὰ τοσαῦτ'? **13** γῆ V[2]: γῆν V

11 Id., Or. 13 (p. 158, 18) **15** Stob., Anth. 2, 31, 122 (II, p. 234, 2) **73,14** Ael. Arist., Or. 22, 2 (p. 28, 10)

νουσα τὸ πᾶν, ἀλλὰ καὶ πρὸς ὕψος ἄνω πάνυ τοι πλεῖστον· καὶ πρὸς βάθος, ἐξ ἐναντίας κάτω δὴ παραπλησίως, πάνυ τοι πλεῖστον χωροῦσα, οὐ τῆς χρείας ἕνεκα μόνον, ἀλλὰ καὶ τῆς ἐπανθούσης ὥρας· καὶ τῶν ἀνεχόντων κόσμων τὲ καὶ καλλωπισμάτων· ὥσπερ ἐπὶ παγκάλου σώματος, ὁρῶμεν ἐνίοτε κάλλη πλεῖστα ἄττα· λιπαρῶς ἐπικείμενα· κορυφαῖα· προμετωπίδια· ἐνώτια· περιδέρραια· ὁρμίσκους· προστερνίδια· δακτυλίους· περιζώματα· περὶ τὰς χεῖρας ἄττα· περὶ τοὺς πόδας ἄττα· μᾶλλον δ’ ὥσπερ ἐπὶ βριαροῦ καὶ γεννικοῦ τοῦ σώματος, παντοίους ὁπλισμοὺς καὶ καταφράγματ’ οὐ μόνον ἐπίχρεια τὸν εἰωθότα τρόπον, ἀλλὰ καὶ πρὸς ἁβρότητα παντοίαν καὶ καλλονὴν ἠσκημένα, τοσαύτη δ’ οὖν, ἡ ἐπ’ αὐτῇ, πανήγυρις, σκηνοποιεῖται τῶν ἀναγκαίων τε καὶ τῶν εἰς χάριν, ἅπασαν, ὥστ’ ἐξαπορεῖσθαί τινα δικαίως ὁρῶντα, πῶς ἐπὶ τῆς τοσαύτης, καίτοιγε τοσαύτης οὔσης, τὰ τοσαῦτα δράματα, καταρτίζεται· καὶ χωρεῖ καὶ εἰσοικίζεται. καὶ φέρει μὲν αὕτη ταῦτ’ ἐπ’ αὐτῆς ἱκανά τε καὶ ἀζήμια· μένει δ’ f. 270v αὖθις αὕτη, κάλλιστ’ ἀνεπαχθὴς καὶ ἀζήμιος | ὑπ’ αὐτὰ, οὔτ’ οὐδὲν ἐλλείποντ’ αὐτὰ, οὔτ’ οὐδὲν ἐλλείπουσ’ αὐτὴ· ἀλλ’ ὡς ἂν, κοσμιώτατα καὶ σῷα καὶ ἀμφότερ’ εἶναι, καὶ ὡς ἂν, παρ’ ἀλλήλων ἀμφοτέροις ἔχειν, κοσμιώτατα καὶ πρέπειν ἀλλήλοις, καὶ προσήκειν ἐντελέστατα· καὶ μηδὲν εἶναι τἀηδὲς μὴ δ’ ἀνοίκειον· μὴ δ’ ἀνάρμοστον οὐθετέροις, καθάπερ ἐπὶ τῶν ἄνωθεν νῦν εἰρημένων ὑποδειγμάτων, μεγίστη μὲν ἡ ἀπειροκαλία· πλείστη δὲ ἡ ἀηδία, ἣν ἄρα τίς τῶν ἱκανῶν καὶ ξυμμέτρων, ἐπιφορτίζοιτο πλείω· ἢ τῶν εἰς κάλλος· ἢ τῶν εἰς φυλακὴν· ὥς γε κατ’ ἀμφότερ’ εἴρηται· καὶ πολλὴ μὲν ἡ ζημία, πολλὴ δ’ ἡ ἀκαιρία καὶ τὸ αἶσχος εἰς προῦπτον.

74. Καθόλου δ’ ἐρεῖν ἂν, ἔχοιμεν, ὡς οὔτ’ οὐδεὶς ἀνθρώπων ὅσοι, τῶν ἐκ τοῦ παντὸς αἰῶνος· οὔτ’ ὄψεσιν εἶδεν, οὔτ’ ἰδεῖν ἐφαντάσθη πώποτ’ ἔτι· οὔτ’ ἐλογίσατο, οὔτε φύσιν ἔχει λογίσασθαι, πρὶν ἰδεῖν, οὔτε τοσαῦτ’ ἄρα, μέγιστ’ ἔργα καὶ θαύματα· οὔθ’ ὕλης τοσούτους πορισμοὺς καὶ περιουσίαν, οὔθ’ ἁπάσης τέχνης ἀκρίβειαν, ἐπίδειξιν· περιεργίαν, εἰς τὰ κατὰ πρόθεσιν

25 ἄττα ... ἄττα V^2: ἅττα ... ἅττα V **28** παντοίαν scripsimus: παντοῖαν V **29** αὐτῇ V^2: αὐτῆς V **35** οὔτ’ οὐδὲν ἐλλείποντ’ αὐτὰ add. in marg. superiore V (manu Metochitae?)

ἕκαστ’ ἔργα, ταῦθ’ ὁμοῦ γενόμενα πάντα· καὶ μίαν σύνοδον, ἐφ’ οὑτινοσοῦν χώρου, κἂν ὁ μέγιστος, ὡς ὅδ’ ὁ μέγιστός ἐστιν, ἐφ’ ἑνὸς δ’ οὖν ὅμως οὐδενὸς· μᾶλλον δέ (τί λέγω;), οὐδ’ ἐπὶ πλείστων ἀληθῶς καὶ πάνυ τοι πλείστων· οὐδ’ ἔχει φύσιν ὅποι ποτ’ οὖν, ἢ τῇδε μόνον ἐδείχθη τουτί. προνοίας ὡς ἔοικεν ὅλον ἔργον· καὶ μόνον ἄνωθεν ἐκ Θεοῦ· πρὸς ἐπίδειξιν κράτους παντουργοῦ καὶ πανσόφου τῶν βελτίστων καὶ μονοειδὲς ἓν, ἐπὶ γῆς τόδε δημιούργημα, ὡς ὁ ξύμπας οὑτοσὶ κόσμος, αὐτὸς μόνος καὶ Θεοῦ μόνου· καὶ οὐρανὸς αὐτὸς μόνος καὶ Θεοῦ μόνου· καὶ γῆ τὸν αὐτὸν ἀμέλει τρόπον· καὶ ἡλίου κάλλος καὶ κράτος ἐν τοῖς κατ’ οὐρανὸν· καὶ πολλῶν οὐκ ἔχει φύσιν ὁμοῦ, τὰ τῆς πόλεως εἶναι· ὡς ἔστιν ἔκ θ’ ὧν ὁρῶμεν, ἔκ θ’ ὧν λογιζόμεθα σωφρονοῦντας, ὡς ἔπος εἰπεῖν ἡμᾶς, συλλογίσασθαι· ξυμμετρησαμένους τά τε ὄντα, καὶ τὰ δίκαια τῆς φύσεως.

75. Καὶ μὴν τοσοῦτ’ ἄρα δὴ τὸ θαῦμα, τῆς παμπληθοῦς καὶ παγκάλου τῶν | {τῶν} εἰρημένων συνόδου· τῇ πόλει καὶ ἀδοκή- f. 271
του, τοιγαροῦν καὶ ὑπερφυοῦς, ὡς ἅλις ἄν, εἶναι, ταύτῃ καὶ ὅτι μάλιστα· καὶ ὡς ἄν, αὖθις τὰ πρῶθ’ ὅμως ἁπασῶν, ἀναμφηρίστως φέρεσθαι, κἂν εἴ τινα τῶν ταύτῃ προσόντων ἀπῆν· καὶ πλείστων ἐμοὶ δοκεῖ τῶν νῦν ἐπ’ αὐτῆς ἐνέδει· καὶ ἦν αὐτῶν ἐρημία τῇ πόλει· καὶ πολλαῖς ἄν, ἀρκεῖν τὰ λειφθέντα· καὶ πολλαῖς ἄν, ἀρκεῖν, εἰς τὰς πρώτας φιλοτιμίας· καὶ τὰς πρὸς ἀλλήλας ἔριδας, ἀεὶ τῶν πρωτείων· καὶ πολλαῖς ἄν, ἀρκεῖν, τὰ προσόντα ταύτῃ κατ’ ὀλίγα, μερισαμέναις, ἔπειτ’ ἀγάλλεσθαι καὶ δείκνυσθαι, καὶ δοκεῖν ἁβρότατ’ εἶναι παμπληθὲς αὗται· καὶ σεμναὶ σεμνῶς· καὶ κάλλιστ’ ἔχειν ὅτι μάλιστα. καὶ πολλαὶ πρίαιντ’ ἄν, εἰ οἷόν τ’ ἦν, καί τινα τῶν αὐτῆς, ἀφορμὴν αὐταῖς ἐπιδείξεως πλείστης· καὶ τῶν προσόντων, ἀλλάξαιντ’ ἄν, ἡδέως εὖ μάλα. καὶ οὐ λέγω τῶν ἁπλῶς οὑτωσὶ πόλεων· ἀλλὰ τῶν πάνυ· καὶ ὧν ὀλίγα λογίζεσθαι μὲν, ἀλλὰ μεγάλα τὰ ὀνόματα· καὶ πάνυ τοι κατ’ οὐρανοῦ καὶ γῆς, εὐαρίθμητα. καὶ μὴν οἶμαι γε ἂν ἀποχρώντως εἶχεν, ἀπολαβούσαις ταῦτα δὴ κατ’ ὀλίγα, ἔπειτ’ αἵρεσθαι· καὶ μέγα φρονεῖν.

75,2 τῶν^{2} delevimus **10** ἀγάλλεσθαι V^{2} e corr. **17–18** ἀπολαβούσαις V^{2}: ἀπολαυούσαις V

74,13 cf. Plat., Phaed. 78d et Symp. 211b

καὶ οὐ λέγω τὰ πάντων ὅσα βέλτιστα· οὐδ’ ὅτι πλεῖστα· πολλοστὰ μὲν οὖν, καὶ ὅσα καταλογίσαιτ’ ἄν τις ῥᾳδίως. καὶ ταῦθ’ ὁμοῦ κοινῇ μόνη κάλλιστ’ ἐπιλεξαμένη, πάνθ’ ἡ πόλις ἡμῖν, ἔπειτ’ οὐκ ἀρκεῖσθαι, δοκεῖ· οὐδ’ ἔχειν ἠρέμα λοιπὸν· οὔτ’ οὐδὲν ἀπραγμόνως, ἀλλ’ ἔτι καὶ περαιτέρω, διαπαντὸς, ἐπείγεται, καὶ πειρᾶται· καὶ προστίθησι τὸν ἀεὶ χρόνον, ἐφ’ ὅσον οἷόν τέ ἐστι, τῶν μεγίστων· καὶ προστίθησι τῶν καλλωπισμάτων· καὶ μόνης ἐστὶ καὶ τοῦτ’ αὐτῆς οἵαν τ’ εἶναι προστιθέναι· καὶ μόνοις τοῖς αὐτῆς χρῆσθαι· ἅτ’ οὐδὲν ἐξὸν ἔτ’ ἀλλοτρίοις ἔξωθεν, οὔτ’ οὐδὲν ἀπολειφθὲν ὡς εἰπεῖν αὐτῆς ἔξω· ἀλλὰ τοῦτο μόνον λοιπὸν ἀμέλει· τοῖς αὐτῆς χρῆσθαι λειψάνοις· καὶ μεταποιεῖν ὁπῃοῦν ἄρα βέλτιον καὶ
f. 271v ἀντανιστᾶν | τοῖς ἤδη καταγηράσασιν, ἢ μάλιστα· τοῖς ἤδη νεκροῖς καὶ κειμένοις, νεανθῆ καὶ κάλλιστα. καὶ ἀεὶ κατεπείγεται, ταῖς δημιουργίαις καὶ ταῖς κατασκευαῖς, καὶ προσπονεῖ νέα· καὶ φιλοτιμεῖται· καὶ οὐκ ἀπέκαμεν, ἔτι πω καὶ νῦν· τοσαῦτα ἤδη τοῦ παντὸς αἰῶνος ἔτη· οὐδ’ ὑφήκατο τῆς φιλοτιμίας· οὔτε μὴν τῆς χορηγίας οἴκοθεν· καὶ φθίνουσα κατὰ φύσιν ὡς τἆλλ’ ἅπαντα, ἡ δὲ, καινότερον, ἢ κατὰ τἆλλ’ ἅπαντα καὶ σχεδὸν ὑπὲρ φύσιν, οὐχ ἡττᾶται λοιπὸν ἔπειτα· καὶ ὀψὲ τῶν χρόνων, οὐδὲ δίδωσιν ὅλως τῇ φύσει· ἀλλ’ ἀνθεῖ διόλου, ταῖς φοραῖς καὶ ταῖς νεουργίαις. καὶ ὅπερ ἐπὶ τοῦ παντὸς τοῦδε τοῖς φυσικοῖς λόγος, ὡς ἡ τοῦ παντὸς αὐτοῦ φθορὰ συνεχὴς καθ’ ἕκαστον κατὰ μέρη δηλαδὴ, τοῦ παντὸς ἐστὶν ἀεὶ, καὶ συνεχὴς οὐσία καὶ γένεσις· καὶ ἄπαυστος φυλακὴ· καὶ μονὴ κατὰ μέρη δηλαδὴ, καὶ τοῦτο, καὶ τὰ μέρη φθίνοντα, τά δ’ ἕκαστ’ ἐπάλληλα, τὰ μέρη λοιπὸν, προΐησιν αὖθις εἰς τὸν βίον· καὶ παρασκευάζει καὶ γεννᾷ νέα· τάδ’ ἕκαστ’ ἐπάλληλα, μᾶλλον δὲ ὑπάλληλα, τοῦτο δὴ καὶ τὴν πόλιν ὁρῶμεν, κατὰ τὸ ὑπόδειγμα· φθίνουσαν ἑκάστοτε, καὶ νέαν ἀεὶ· καὶ τῷ χρόνῳ παλαιουμένην ἀργοῦσαν ἀεὶ, καὶ οὕτως ἐνεργῇ τῷ χρόνῳ· καὶ τῆς τῶν θνῃσκόντων ὕλης καὶ παρασκευῆς· καὶ τῶν νεκρῶν θησαυρῶν, κατὰ τὸ ὑπόδειγμα, ἀεὶ καινὰ ζωοφοροῦσαν, καὶ ὥσπερ ἐπὶ

26 καὶ τοῦτ’ αὐτῆς V^2 e corr. **27** ἅτ’ V^2: ἅττ’ V **28** αὐτῆς V^2: αὐτοῖς V **38** φοραῖς V: an φθοραῖς? **40** συνεχὴς καθ’ ἕκαστον V^2: συνεχῶς καθ’ ἑκάστην V **47** ἀργοῦσαν V: an ἐνεργοῦσαν?

75,35 cf. e.g. Arist., Meteor. 351a29–30 **39–45** cf. Arist., De gener. animal. 741b20–23; De gener. et corrupt. 336a24–35 **46–47** cf. Ael. Arist., Or. 20, 19 (p. 21, 26)

σκηνῆς ἑκάστοτε δράματα νεοπαγῆ προφαίνουσαν· ἀτεχνῶς κατ' αὐτὸ τὸ τοῦ παντὸς, ὡς ἄρ' ἔφην, εἴκασμα· ἢ μᾶλλον εἰπεῖν ἀτεχνῶς μεγίστης ἰδέας, μεγίστην γιγνομένην εἰκόνα· εἰ δὲ βούλεταί τις κατὰ Πλάτωνα, μεγίστης ἰδέας, μέγιστον ἔργον τόδε καὶ ποίημα· καὶ καλλίστης κάλλιστον· εὖ μάλα ξυμβαῖνον· εὖ μάλ' ἀναλογοῦν. καὶ οὔποτε παύει, κατασκευαζομένη· οὔτ' ἐλλείπει τῆς ὕλης, οὔτ' ἐνδίδωσι τοῦ φιλοτίμου· καὶ ὑποχωρεῖ τοιγαροῦν ἀμηγέπη· οὔτ' ἀποχωρεῖν, οὔτ' ἀποχρῆναι, καὶ ὁπηοῦν ἀμέλει τῆς ἐργασίας ἀξιοῖ· καὶ χρῆναι | πεπαῦσθαι· ἡ δὲ, διόλου, f. 272 σπουδάζει τῶν τοσούτων ἐτῶν· ὥσπερ ἂν, εἰ νέον καὶ χθὲς, ἤδη καὶ προτρίτης ἠργμένη.

76. Καὶ τό γε δὴ κάλλιστον· καὶ ὃ μάλιστ' ἄν τις θαυμάσαι, τῆς μεγαλοψυχίας, ὡς αὕτη γε οὐδ' ἀρκεῖται τοῖς ἐντὸς καὶ κατ' αὐτὴν μόνοις, δημιουργήμασί τε καὶ θαύμασιν· ἐπὶ τοσούτου καὶ ταῦτα τοῦ θεάτρου κατ' αὐτὴν, καὶ τοῦ μεγέθους· ἀλλ' ἄρ' ἥδε, καὶ τοῦ περιβόλου πρόεισιν ἔξω· καὶ ἀπαντᾷ τοῖς εἰσαφικνουμένοις, προαστράπτουσα· καὶ προδεικνῦσα, τὰ τῆς ἔσω λαμπρότητος· καὶ οὐκ ἐν προθύροις μόνον ὡς εἰπεῖν εὐτυχέσι, τῷ τῶν ἁπάντων ἀγαθῷ θαλάμῳ, χρυσέας προΐσταται κίονας, οὐδ' ἐν ἀρχαῖς τοῦ παντὸς ἔργου τὰ πρόσωπα· τίθεται τηλαυγῆ καὶ φαιδρύνεται συνεχῶς, ἔγγισθ' οὑτωσὶ, προήκει δὲ λοιπὸν ἔτι καὶ περαιτέρω πλεῖστον, οὐκ ἐπὶ τῆς ἠπείρου μόνον τῆς τε συνεχοῦς ἑξῆς· καὶ τῆς ἀντιπέραν ἐξ ὑπογυίου καθ' ἕω, ἀλλ' ἄρα καὶ τῆς συνημμένης καὶ γείτονος θαλάττης, αὐτῆς· καὶ ὧν ἄνω πρότερον εἴρηται νησιδίων ἐγκατεσπαρμένων προΐσχεται, τῇ πρὸς αὐτῆς ἔγγιστα θαλάττῃ, καθάπερ ἐν προαυλίοις αὐτὴ κόσμον οἷον σὺν ὥρᾳ πλείστῃ.

77. Καὶ πρός γε μὴν ἔτι (πῶς ἄν τις ἐρεῖ;), καὶ προσθείην νῦν εἶναι, καὶ ὅσα πλεῖσθ' ὁ στενὸς οὑτοσὶ καὶ ὀλίγος ἀνάπλους, τὸ τοῦ παντὸς ἥδιστον κόσμου θαῦμα, δείκνυσιν, ἀνεστῶτ' ἐφ' ἑαυτοῦ, καὶ κατῳκοδομημένα καλλωπίσματα· νεώς τε καὶ

76,15 αὐτὴ V: an αὐτῇ? | κόσμον οἷον V[2]: κόσμων οἵων V **77,1** προσθείην scripsimus: προσθείη V

53 cf. Plat., Tim. 92c **54** Ibid. 29a–30a **76,7–9** Pind., Olymp. 6, 1–3; cf. etiam Or. 5, 20, 2–3

μοναστῶν συνοικίας· καὶ περιβόλους καὶ παντοίας ἄλλας κατασκευάς· δημοσίας τὲ καὶ ἰδιωτικάς, τῶν εὐδαιμόνων ἐποίκων τῆς πόλεως· καὶ ταῦτ' ἐπὶ τῶν ἠιόνων ἥδιστα, ἐπικρεμάμενα τοῦ πορθμοῦ· καὶ καθάπερ ἐπὶ τῶν ὑγρῶν ἑστῶτα καὶ ἡδρασμένα (πῶς ἂν εἴποι τις;), τοὺς παραπλέοντας, ἑκάστοτ' ἀεὶ τερπνότατα παραπέμποντα, καὶ πρὸ τῶν ἠιόνων μικρὸν ἐφ' ἑκάτερα τοῦ πορθμοῦ, κύκλῳ πάντῃ, ἀτεχνῶς σχῆμα χοροῦ· τρυφὴ πρὸ τῆς f. 272ᵛ πόλεως προσορᾶν· καὶ | παράδεισος, πρὸ αὐτῆς ἀναφύων, ταῦτα δὴ καὶ προανίσχων τὰ πολυφορώτατα φυτά· καὶ καρποὺς εὐανθεῖς καὶ θάλλοντας ἀεὶ· καὶ τερπνοτάτους καὶ ἡδίστους προσβλέπειν τὲ καὶ χρῆσθαι. καὶ ταῦθ' ἅπαντα, πολλή τε γλυκυθυμία· καὶ σφόδρα πάρεστι θαυμάζειν τοῖς θεωμένοις· ταῦτα μὲν, ὡς μεγέθει μέγιστα· ταῦτα δὲ, ὡς κάλλει κάλλιστα· ταῦτα δὲ ὡς ἀμφότερα. καὶ μὴν εἴ τις δῆτ' ἐρεῖ, κἀνταῦθα τὰ τῶν παλαιῶν ἐκεῖνα, ἥδιστά τε καὶ κάλλιστ' εἰρημένα, ὡς ἀστέρες ταῦτα καθάπερ σελήνην τὴν πόλιν, οὐκ ἐγκλείοντες μὴν, ἀλλ' ἔξωθεν κόσμῳ κυκλοῦντες· καὶ καλλονὴν ἀμύθητον, τοῖς ὁρῶσι προπέμποντες· ὡς ἀκτῖνες αὖ τοῦθ' ἕτερον προανίσχουσαι τῆς πόλεως· αἷς ταύτην ὥσπερ τὸν ἥλιον ἔξεστι τεκμαίρεσθαι· καὶ εἴ τι παραπλήσιον, μάλιστ' ἂν μοι δοκῇ, κατὰ καιρὸν ἐρεῖν ἐνταῦθα, πλεῖν ἢ κατ' ἄλλην ἡντιναοῦν χρείαν ταῦτα δή· καὶ ὡς ἂν αὐτοὺς δὴ τοὺς ὁρῶντας ἐπιμαρτύραιτο.

78. Καὶ μὴν ὥσπερ, οἶμαι, τοῖς φιλοτίμοις τῶν ἁβρῶν καὶ πλουσίων, οὐκ αὐτοῖς μόνοις ἐστὶν ὁ πλοῦτος κόσμος· οὐδ' ἀγάλλονται μόνοι καθ' αὑτοὺς· ἐλλαμπρύνεσθαι τῇ περιουσίᾳ, καὶ ταῖς μακραῖς οὐσίαις, ἀλλ' ἥκει σφίσιν ἄρα, καὶ πρὸς ἄλλους εὐγενῶς τὸ τῆς οὐσίας κράτος· καὶ μεγίστην ἐπίδειξιν τῆς εὐδαιμονίας ἀξιοῦσιν· ἢ μᾶλλον εἰπεῖν ἀπόδειξιν, ἣν ὅτι πλείστους εὖ ποιεῖν τῶν προσόντων δύναιντ' ἄν· καὶ οὐκ ἄλλως ἕλοιντ' ἄν, πλουτεῖν, οὐδ' ὡς ἀρκεῖν μόνοις σφίσιν οὐδὲν τοῦθ' ἥγηνται μέγα, τὸν αὐτὸν ἀμέλει τρόπον ὁρᾶν ἔξεστι, καὶ τὴν πόλιν αὐτὴν χρωμένην. καὶ τὰ μέγιστα γὰρ δυναμένη· καὶ τὰ μέγιστα κοσμηθεῖσα, ταῖς παντοί-

6 κατακατασκευὰς V a. corr. **24** πλεῖν V²: πλὴν V

77,18–21 Ael. Arist., Or. 13 (p. 156, 4) **21–23** Synes. Cyren., De regn. 16, 6 (p. 116) **78,1–8** cf. Arist., Ethic. Nicom. 1123a6–35

αις ἐπιτηδεύσεσι, καὶ κατασκευαῖς· καὶ ὡς οὐκ ἄν τις λογίσαιτο· οὐδ' ἔστιν ὅλως φύσις τοσοῦτο πρᾶγμα λογίσασθαι, πρὶν ἰδεῖν· μᾶλλον δ' ὡς ἔστιν εὖ μάλα θαυμάζειν, ἰδόντα καὶ ἀπορεῖν· καὶ περὶ τῆς τέχνης ἁπάσης· καὶ περὶ τῆς παντοίας ὕλης τοσαύτης· οἵας ἀμυθήτου ὅθεν ἐπορίσθη τῇδε, καὶ | ἀμφότερα, καὶ εἰ f. 273 δύναται τὰ τοιαῦτα, τέχνη μὲν ἀσκεῖσθαι· καὶ καταδημιουργεῖν καὶ χρῆσθαι τῇ σοφίᾳ· ἡ δ' οἰκουμένη πᾶσα δοῦναι τὴν τοσαύτην τῆς ὕλης φορὰν καὶ χορηγίαν, καὶ μὴν αὖθις ὁ χρόνος ὅπως ἀμφότερα, καὶ ἤνεγκεν εἰς τὸν βίον· καὶ ἤρκεσεν ἐνεγκεῖν ὅλως, καὶ ὁμοῦ ταῦτα, οὕτω δ' οὖν ἡ πόλις ἔχουσα κράτους· οὕτω κάλλους· οὕτω δὴ καθόλου τῶν προσόντων, οὕτω πάντοθεν ὁρωμένη, μεγίστας ἀφορμὰς πράττουσα θαυμάζειν· καὶ τοῦθ' ὡς οὐκ ἄν, δύναιτό τις ἀξίως, ἡ δὲ, καὶ πᾶσιν ἄλλοις ἔξω τὴν χρείαν μεταδίδωσιν ἀφθονώτατα· καὶ ῥᾷστ' οἴκοθεν τῶν προσόντων καὶ τῆς οὐσίας, καὶ πλουτεῖν σφίσι μεταδίδωσιν· οὐκ εἰς τὴν ἀναγκαίαν, μόνον χρῆσιν, ἀλλ' ὅστις καὶ περαιτέρω πρὸς ἐπίδειξιν ἐπιμελὴς· καὶ χρῆσθαι πάνυ τοι, μετὰ ῥᾳστώνης καὶ δαψιλείας· ἧς ἄν, ὁστισοῦν αἱροῖτ' ἀποχρώντως, τοῖς αὐτῆς ἐλλείμμασι· καὶ τοῖς αὐτῆς τῷ χρόνῳ κατηργημένοις, καὶ γηράσασι καλλίστοις· ὡς οὐκ ἔστιν ὁθενοῦν, ἄλλοθεν νεαροῖς· οὔθ' ὅλως, εἰπεῖν ἐστιν ἄλλοθεν.

79. Μεταδίδωσι μέν γε, λαμπρὰ λαμπρῶς καὶ μεγαλοψύχως· καὶ ὧν ἀμφοτέρων εἴρηται· καὶ τέχνης ἁπάσης· καὶ ὕλης παντοίας· καὶ ὡς ἔπος εἰπεῖν, ὅτου δεῖ. καὶ ὥσπερ οἱ βασιλεῖς ἀπὸ πάσης τῆς ὑπηκόου τοὺς φόρους, καὶ αὕτη πάντων τὰ προσήκονθ' ἑκάστοις ἀρχικῶς πραττομένη, καὶ πάντα πάντοθεν ἐπιμελῶς κομισαμένη· καὶ εἰς ἕν, ἐνθάδ' ἀγαγοῦσα (καὶ τοῦτο φθάσαντες εἴπομεν), ἔπειτα λοιπὸν καὶ πλουτίζει καὶ νέμει, καὶ μεταδίδωσι τοῖς ἄλλοις εὐδαίμονος βίου· καὶ τοῦτο βασιλικῶς ὡς ἄρ' εἰώθασιν· οἱ ἐπὶ ταῖς ἀρχαῖς ἐλευθερίως τὲ καὶ γεννικῶς χρώμενοι· καὶ παρέχοντες τοῖς ὑπὸ χεῖρας, πάσης ἀφορμὰς εὐπραγίας. τοιγαροῦν ἥκει πάντα τοῖς ἄλλοις ἐντεῦθεν· καὶ οἱ φιλόκαλοι πάντα πράγματα καὶ πάσης δημιουργίας, περὶ πάντας χώρους καὶ

78,12 ὅλως V² in marg. **28** αἱροῖτ' V¹ e corr. **79,7** εἴπομεν V²: εἴπωμεν V

79,1 cf. Ael. Arist., Or. 25, 6 (p. 73, 22) **9–10** cf. Arist., Ethic. Nicom. 1120b4–24

f. 273v πόλεις ἐν|τεῦθεν, θαρροῦντες πειρῶνται, τῶν κατὰ σκοπὸν ὁτουοῦν· καὶ φέρονται πᾶσαν ἐντεῦθεν τὴν χρείαν, ἢ τέχνην· ἢ ὕλην· ἢ καὶ ἄμφω μάλιστα. καὶ λατομίαι πᾶσαι μὲν ἐπέλιπον, αἱ πανταχοῦ κενωθεῖσαι τῇ πόλει· καὶ πάντες ὡς ἔπος εἰπεῖν ἄνθρωποι πορισταὶ· καὶ χῶροι τῆς παντοίας χρήσεως, τὸν αὐτὸν ἐπέλιπον τρόπον· καὶ διὰ τὴν αὐτὴν, αἰτίαν τῆς πόλεως· ἡ πόλις δ' ἐπαρκεῖ πᾶσιν οἷς ἄρα δεῖ· ὧν ἄρα δεῖ· ὧν ἁπάντων πάντοθεν ἐκομίσατο. καὶ πάντα πάντων μεταλαβοῦσα καὶ θησαυρίσασα· πάντα πᾶσι μεταλαμβάνειν αὐτῆς δίδωσι· καὶ χρῆσθαι τοῖς αὐτῆς καὶ τῇ καλῇ παρασκευῇ· καὶ τῶν αὐτῆς οἴκοι θησαυρῶν δίδωσιν ἀπολαύειν. οὔκουν γέ ἐστιν ἐνδεῖν ὁτῳοῦν ὁτὲ τῶν χρόνων· μᾶλλον δὲ τῶν χρόνων ἀεὶ τῆς ἐντεῦθεν χορηγίας τῇ πόλει· οὐδὲ τῶν πόθων ἐλλείπειν ᾡντινωνοῦν· καὶ τῆς σπουδῆς καὶ τῆς προθέσεως· οὐδ' αὐτῇ γε τῇ πόλει, πρὸς ἅπασαν ἐνδεῖν ἁπάντων αἴτησιν, τῆς ἐξ αὐτῆς χορηγίας· ἀλλ' ἄφθονα πᾶσιν ἐντεῦθεν ῥέει τῆς χρείας· καὶ ἡ πόλις πλήρης ἀεὶ· καθάπερ ἡ θάλαττα, τοῖς ἀεὶ χορηγοῦσιν αὐτῇ ποταμοῖς· καὶ παντοίαις ἐπιρροίαις καὶ ἐπαντλήσεσιν, οὔτ' οὐδὲν αὔξει τῶν προσηκόντων ὁρισμάτων ἐπιτυχοῦσα, οὔτ' οὐδὲν ἐλλείπει, πάντοθεν πάντων ἐξαντλουμένων· καὶ καταβιαζομένη τοὺς ἀπαραιτήτους τῆς φύσεως δασμοὺς ἄνωθεν· καὶ τὸν ἀεὶ χρόνον, ἄφθονος ἀποδιδοῦσα.

80. Ἐνεθυμήθην δὲ ἔγωγ' ἐνταῦθα νῦν εἶναι, ὃ πρότερον εἴρηται, περὶ τῆς τοῦ παντὸς φύσεως ὑπόδειγμα. καὶ γὰρ δὴ καθάπερ ἐπὶ τῆς κυκλικῆς τοῦδε τοῦ παντὸς περιφορᾶς ἔχει καὶ κινήσεως, ὡς ἄπαυστον ἡ φύσις κάματον αὐτουργίας ἔχει· πᾶσαν μὲν ἐκ τῶν κάτωθεν ἀνέλκειν ὑγρότητα· καὶ πλεῖστα τὸν ἀεὶ χρόνον, περὶ τοῦτο πονοῦσα καὶ τυραννουμένη· μᾶλλον δὲ τυραννοῦσα· καὶ βιαζομένη καὶ φέρουσα, πάλιν αὖθις ἀποδίδωσι τοῖς f. 274 κάτω τὴν αὐτὴν, καὶ οὐκ ἀλλοτρίαν φορὰν· καὶ | ἀντιδίδωσι τὰ ῥεύματα· καὶ ποταμοὺς ἄνωθεν ἐκ τῶν πηγῶν τούτων πέμπει, καὶ ἃ πράττεται μετ' ἰσχύος ἀπολαμβάνουσα, πραττομένη λοιπὸν ἑκοῦσα· καὶ ἄκουσα νόμοις ἀλύτοις ἀποδίδωσι, καὶ κυκλοῖ τὸν ἅπαντα αἰῶνα· καὶ περίεισι καὶ χορεύει, τὴν ἄληκτον ταύτην καὶ

15 ἐπέλιπον V[2]: ἀπέλιπον V

80,4–30 cf. Arist., Meteor. 347a2–12 et 349b2–7

ἄλυτον· καὶ ἀπαίτησιν· ἀλλὰ καὶ ἀποποίησιν· καὶ ἀπόρροιαν· καὶ ἀπόδοσιν· καὶ τὰς περιστροφὰς ταύτας, ἢ καὶ ἀντιστροφὰς τῶν ἐράνων· τυραννοῦσα τὸ μέρος ὡς ἔφην, καὶ τυραννουμένη· καὶ νομίζουσα φόρους λαμβάνειν τῆς φύσεως, ἀλλὰ καὶ διδόναι καὶ χάριτας ἑτοιμότατα, καὶ γεννικῶς ὑποδεχομένη, καὶ μεγαλοψύχως ἀντιδιδοῦσα, καὶ ἀντιπέμπουσα, καθάπερ ταὐτὸ τοῦτο· καὶ κάτω γιγνόμενον, ἔξεστι καθορᾶν, ἕλκει μὲν εἰς βάθος ἡ γῆ, τὰς πάντοθεν ἔγγιστ' ἰκμάδας· καὶ τῆς ὑγρᾶς οὐσίας τὰς ἀφορμὰς, ὅπη ἂν, ἄρα δόξῃ, τῶν αὐτῆς ἐπικαίρων, εἰς ὑποδοχὴν τόπων· καὶ ἀπορρήτων ταμείων κάτω, λαβοῦσα δὲ καὶ ὑποδεξαμένη καὶ ταμειουχήσασα, τοὺς θησαυροὺς τῶν ῥευμάτων, ἐν τοῖς ἐπιλέκτοις τῶν ἀγγείων τὲ καὶ τῶν χώρων, ἥ δ' ἀτεχνῶς αὐτίκα παραχρῆμα δείκνυσιν, ὡς ὁ λόγος, αὐτῇ ῥέοντα τὰ πράγματα, καὶ τὸν πολὺν πόνον τοῦτον καὶ πλοῦτον, καὶ κατασχεῖν οὐκ ἔστιν· οὐδὲ περιγενέσθαι τῆς φρουρᾶς, ἀλλὰ διαρρήγνυται πολλαχῇ· καὶ τὰς πηγὰς ἀνασχισαμένη, τοὺς τῶν ποταμῶν ἐκθέοντας ἀκαμάτους δρόμους, ἀπωθεῖται τῶν αὐτῆς καὶ ἀπαντλεῖται, κατὰ τὸ μυθῶδες εἰπεῖν, τῶν τετρυπημένων πίθων ὑπόδειγμα, ταῦτα δὴ ταῦτα, κατὰ τοὺς τῆς φύσεως ἀσαλεύτους ὅρους· καὶ πόνους καὶ δρόμους· καὶ τὴν λυσιτελῆ τοῦ κόσμου παντὸς αὐτουργίαν καὶ διοίκησιν καὶ λειτουργίαν ἄπαυστον ἀεὶ· καὶ ἀκμάζουσαν ἀεὶ, καὶ ἡ πόλις ἔοικε μιμησαμένη, τὴν τοῦ παντὸς οὐσίαν, δείκνυσιν ἐφ' ἑαυτῆς, ἀρχετύπου τὲ καλλίστου καὶ μεγίστου, κάλλιστον | αὐτὴ καὶ f. 274v μέγιστον ἐκτύπωμα· καὶ κάτοπτρον τῆς ἀριστουργίας τῶν ὄντων· καὶ τῆς τοῦ πρώτου καὶ μόνου δεσπότου καὶ δημιουργοῦ, ποικιλίας καὶ σοφίας, περὶ τὴν τῶν ὄντων γένεσιν καὶ ἀγωγὴν ἀεὶ καὶ μονὴν, ὡς ἄρά οἱ ἔδοξεν, ἄρισθ' ἡρμόσθαι· καὶ κάλλιστ' ἔχειν· καὶ ἀσφαλέστατα· καὶ πράττειν εὖ· λαμβάνουσα μὲν αὐτὴ, πάντα πάντων· ῥέουσα δ' αὐτὴ πᾶσι πάνθ' ὧν ἂν, χρὴ καὶ βούλοιντ' ἂν, ἀδαπάνητος· καὶ ἀεὶ φέρουσα πάνθ' ὅμως, πάντ' ἀεὶ διδοῦσα, καὶ ἀεὶ διδοῦσα τὲ, καὶ κενοῦσα, ἀτὰρ πάντων ὅμως ἀεὶ πλήρης οὖσα, τῶν καλλίστων τὲ καὶ ὑπερφυῶν καὶ θαυμάζειν ἀξίων. καὶ οὐκ ἐπίπαν ἀπορεῖ· οὐδ' ἐκλείπει διόλου, χορηγοῦσα· καὶ μὴν, οὔθ'

80,27 φρουρᾶς ex φορᾶς correctum in V, ut videtur

15–17 cf. Phil. Iud., De Abr. 237 (p. 44, 4–5) **35** cf. supra, 75, 53–54 **36** cf. Plat., Tim. 50d

ὅλως ἐπιλείπει· οὔτ' ἔλαττον ἔχει τῶν αὑτῆς, ἢ πρότερον· οὐ τῶν παλαιῶν· οὐ τῶν νέων· ἀλλὰ τοῖς τε προτέροις ἀκμάζει συνεχῶς αἰεὶ· καὶ τὰ νέα προστίθεται αἰεί. καὶ κόσμοι μὲν κόσμους ἔστιν ὅτε· καὶ οὓς ἐκδέχονται· καὶ φθειρομένοις ἐπεγείρονται νέοι· τῇ δὲ, τὸ κλέος τὲ καὶ τὸ κάλλος ἄσειστον· καὶ ἀνθεῖ διαπαντὸς, ἄφθαρτον, οἷον ἀλώβητον· καὶ μένει μὲν τοῖς παλαιοῖς, ἄσυλος· κρατύνεται δὲ, τοῖς ἀεὶ νεοδμήτοις ἥκουσι· καὶ τούτων τοῖς ἱεροῖς μάλιστα· καὶ Θεῷ καὶ τοῖς θείοις προσήκουσιν, εὖ ἡδράσθαι μοι δοκεῖ μᾶλλον.

81. Καὶ τὰ μὲν ἄλλα, παραδραμεῖν μοι δοκῶ (ἢ τί γὰρ ἄν τις χρήσαιτο πρὸς τοσαῦτα;), ἀλλ' ὅλη τίς ἐστιν ἡ πόλις, ἀποτεμένισμα θεῖον· ἐκ πάσης τῆς γῆς· καὶ ὡς εἰπεῖν ἱερά τις ἀπαρχὴ· καὶ ἀνάθημα τῆς οἰκουμένης· καὶ διὰ πάντων μερῶν ἥγνισται· καὶ Θεῷ προσανέχει. νεῴ τε γὰρ αὐτὴν, πανταχοῦ διειλήφασιν· καὶ ἱερῶν οἴκων ἀριθμοὶ· τόσοι καὶ τόσοι· καὶ οὐ ῥᾴδιοι λογίσασθαι. καὶ ὃν τρόπον οἱ φρουροὶ ταῖς ἄλλαις ἔχουσι πόλεσιν ἐγκατεσπαρμένοι, τοῦθ' ἡ πόλις ἀτεχνῶς προΐσχει τοὺς νεὼς τούσδε· καὶ τὴν τῶν ἱερῶν, ἐπιμέλειαν ἀντ' ἀριθμοῦ φρουρούντων· κατ' ἄλλους ἄλλα μέρη κατεσπαρμένους, ὡς ἂν, πρὸς τὸ μέγεθος αὑτῆς f. 275 ἀποχρώντως. | καὶ μὴν ἔστι φρούραρχος, ἄνωθεν, ἐξαρχῆς ἔνθ' ἄρα προσήρτηται· τῆς πόλεως, ἡ πᾶσ' ἐπισκοπὴ, τὸν ἀεὶ χρόνον συνεχὴς εὖ μάλα, συνέχουσα τὰ κατ' αὐτὴν, καὶ ὡς ἔνι μάλιστ' ἀσφαλέστατα, κρατύνουσα, καὶ τούτου δὴ τοῦ φρουράρχου διάδοχός τις, οὔτε γέγονεν ἐξεκείνου, οὔτε μήποτε γένοιτο, φρούραρχος δ' οὖν οὗτος· καὶ πολιοῦχος αὐτῆς, ἀκάμας καὶ ἀήττητος· καὶ πάσης προνοίας τῶν βελτίστων ἐπιμελητὴς· προσέχων ἀνεπίστροφος παντάπασι· καὶ διὰ πάντων τῷ λάχει τῷδε, τῇ τῆς πόλεως ἐπιστασίᾳ· καὶ ᾧ διὰ πάντων πραγμάτων ἡ πόλις, ὧν εὖ τε καὶ ὡς ἑτέρως πειρᾶται, προσέχει τὲ καὶ προσήκει καὶ δίδωσιν ἑαυτὴν ἄγειν ἀπραγμόνως, ὡς ἂν, δοκιμάζῃ βέλτιστα.

81,2–3 Ael. Arist., Or. 13 (p. 163, 11–12) **7–8** cf. Greg. Naz., Or. 42, 26, 9–10 (p. 108); cf. etiam Metoch., Carm. 2, 280 (p. 62)

82. Οὔκουν γέ ἐστιν ἀφεκτέον οὔτε τοῦ φρουράρχου τῇ πόλει· οὔτε δὴ τῷ κρατίστῳ φρουράρχῳ τῆς πόλεως. τίς γε μὴν οὗτος; αὐτή γε δῆτα ἡ δεσπότις πάντων· τῶν ἐν τῷ βίῳ· ἅτε δὴ τοῦ δεσπότου καὶ δημιουργοῦ τοῦ παντὸς τοῦδε κόσμου, καὶ αὐτῆς γε μὴν ἀμέλει, τὸ ἀνθρώπινον μήτηρ· ἡ τῆς ἀνθρωπίνης φύσεως ἐπίλεκτος ἀπὸ πασῶν καὶ πάντων, προελθοῦσα· διὰ τῆς ἄνωθεν προνοίας θείας, ἐφῷ τῆς ἀνθρωπίνης προΐστασθαι φύσεως, καὶ τὰ εἰς Θεὸν ἡγεῖσθαι· ἐφῷ χώραν ἔχειν καὶ τάξιν, μεσίτου Θεῷ καὶ τῇ φύσει· καὶ διαλλάττειν ἀνθρώπους· Θεοῦ, καὶ τῶν θείων νόμων ἀποπίπτοντας καὶ κακοὺς κακῶς, ἀλλοτριοπραγοῦντας· τοὺς μὲν, ἄγουσα δούλους αὐτῇ καὶ μερίτας τῆς φύσεως· τῷ δὲ, προσάγουσα πιστεύειν ἔχουσ' αὐτὴ· καὶ θαρρεῖν υἱεῖ καὶ δεσπότῃ· τοὺς κατὰ τὸ εἰκὸς αὐτῶν, ἔστιν ὅτε· καὶ οὓς, ἀναξίους οὐκ αὐτοῦ μόνου, ἀλλὰ καὶ αὐτῆς, καὶ ἀξίους ἐλέου, κατ' οὐδέν' ἄλλον τρόπον, ἢ διὰ μόνον, τὸ φίλοικτον ἑτοιμότατον, κατὰ φύσιν αὐτοῦ τε καὶ αὐτῆς, ἐφῷ τὰ κατ' ἀνθρώπους ἅπαντα διαφέρειν· καὶ προνοεῖν ἐν παντὶ τῷ προσπεσόντι καιρῷ, διὰ τὴν κοινὴν συμπαθοῦσα φύσιν· καὶ καμπτομένη τῇ κοινωνίᾳ.

83. Αὕτη τῆς πόλεως ἡ προστάτις· | ἡ κοινὴ προστάτις, τῆς ὅλης φύσεως. αὕτη πᾶσαν αὐτῇ δυσχέρειαν, καὶ πάντα πράγματα σωτηρία· καὶ πάντα κίνδυνον ἀλεξίκακος· καὶ οὐκ ἔστιν οὗ τῶν δεινῶν δεῆσαν· οὐδ' οὗ τῆς ἁπάσης δυσκολίας καὶ πονηρᾶς ἐπιφορᾶς, οὐ τοῦτο. καὶ δείκνυσι τοῦτο τὰ τοσαῦτα τεράστια καὶ θαύματ' ἐξαρχῆς· πάντας τοὺς τῆς χρείας καιρούς, πάλαι τὲ καὶ μέχρι νῦν δείκνυσι· καὶ κατὰ πάντας τοὺς χρόνους· καὶ δείκνυσιν ἡ πάντων ἀναμφήριστος ταύτῃ ῥοπὴ· καὶ νεῦσις περὶ ὁτουοῦν χαλεποῦ καμνόντων τὲ καὶ φροντίδ' ἐχόντων. καὶ οὐ ῥοπὴ μόνον τῇδε κατεσπουδασμένη, καὶ παρ' αὐτὰ τῆς ἀκμῆς τοῦ παντὸς κινδύνου· ἀλλὰ καὶ κάλλιστ' ἐπίτευξις τῶν χρησίμων ὅτι τάχιστα· καὶ παρ' αὐτὰ τῆς ἀκμῆς, τοῦ παντὸς κινδύνου καὶ τῆς ἐπικλήσεως. καὶ δεικνύουσιν αἱ τοσαῦται τῶν παλαιῶν ἱστορίαι θαυμασίων· πάνυ τοι πλεῖσται· πάνυ τοι πλείστων ἄλλαι κατ' ἄλλα πονοῦσαι· καὶ οὐχ ὁμοῦ πᾶσαι· οὐδ' οἷον τέ ἐστι· καὶ πᾶσαι τῶν f. 275v

82,1 οὔτε correximus: ὅτε V

82,15 cf. Metoch., Carm. 1, 1277 (p. 50)

πραγμάτων ὅμως καὶ τῶν δικαίων, ἥττους πολλῷ· καὶ κομιδῇ λειπόμεναι. καὶ δεικνύουσιν οὐ συντάξεις μόνον οὐκ εὐαρίθμητοι τοσαῦται θεοσεβούντων, ὡς ἔφην οὕτω τῶν πολλῶν, τὴν τῶν φιλανθρώπων ἔργων καὶ μεγίστων εὐγνωμοσύνην· καὶ τῶν μὲν, τὰ, τῶν δὲ, τὰ, καταριθμούντων· ὡς ἕκαστος γνώμης ἔχει καὶ ἴσως ἀρκεῖ, ἀλλὰ καὶ νῦν ἑκάστοτε πεῖραι πάντων πᾶσαι· περὶ τῶν ἐπειγόντων ἑκάστων σφᾶς· κοιναί τε καὶ ἴδιαι· καὶ ὡς ἅμα τέ τι τῶν ἐμπιπτόντων ἐργῶδες· καὶ ἅμα πρὸς τὸ παραστὰν αὐτίκα τοῦ καιροῦ· ταχὺς ὁ δρόμος· καὶ παντὶ πρόχειρος, ἐπὶ τὸν τοῦ παντὸς τοῦ κλύδωνος κυβερνήτην· καὶ τῆς ἱερᾶς ὄντως ἀγκύρας, τὴν ἀντίληψιν· καὶ ἅμα τἀνιῶντα πάντα φροῦδα· καὶ πάσης ὀχλήσεως ἄδεια, καθάπαξ καὶ ῥαστώνη καὶ ἀσυλία· καὶ πάντων δὴ τῶν καταν̣ισταμένων καὶ κατεπιχειρούντων, καὶ ἀνδρῶν· καὶ
f. 276 πραγμάτων ἐν τῷ παραχρῆμα πανώλεια. |

84. Καὶ τὸ μὲν τὰ τοιαῦτα πάντ᾽ εἰ οἷόν τ᾽ ἦν, σπουδῇ πάσῃ, προφέρειν καὶ προστιθέναι, ἔστι μὲν ὡς ἂν, εἶναι τοῦ παντὸς ἔργον ὄντως ἀναγκαιότατον καὶ δικαιότατον καὶ πρὸς τῆς πόλεως, καὶ μάλα τίμιον αὐτῇ· καὶ μάλιστ᾽ αὐτῇ προσῆκον· καὶ μάλιστα τῷ παρόντι λόγῳ· καὶ μᾶλλον ἢ οὐκ οἶδ᾽ ὡς εἴ τι ἄλλο· καὶ οἶμαι γε πάντων τοῦθ᾽ ἓν, ἀλλάξαιτ᾽ ἄν. ἀλλ᾽ ἴσως ἔστιν ὡς ἂν, καὶ μαινομένου τινὸς ἔργον, δόξαι περὶ τοσούτου πράγματος ἐπιχειρεῖν, καὶ παντάπασιν, ἀνεφίκτων ἅπτεσθαι· καὶ τἀκίχητα κατὰ τὸν λόγον διώκειν· καὶ μεταλλᾶν ἄμμους· καὶ ἀστέρας ἀριθμεῖσθαι, καὶ πρὸς πάντ᾽ ἀνόνητ᾽ ἐπιβάλλειν πράγματα· καὶ ὧν οὐκ ἔστιν ἐπίπαν τυχεῖν· ἀλλ᾽ ἤ, μόνον σαφῆ γέλωτ᾽ ὀφλισκάνειν ἔπειτα καὶ μόνον ἀρχόμενον ἐνταῦθα· καὶ προτιθέμενον. καὶ δοκῶ μοι περὶ τούτων, πεπαῦσθαι· καὶ καταλιπεῖν αὐτόθεν, εἰς τὰς περὶ τούτων φιλοθέους συγγραφὰς παραπέμπων τὸν βουλόμενον ἐκμανθάνειν καὶ πολυπραγμονεῖν· εἰ καὶ τούτου καθάπαξ τυχεῖν ἀδύνατον, διὰ τὸ τοῦ πράγματος ἀδύνατον. ἐδόκουν δ᾽ ἂν πάντων ἀνθρώπων ἀβελτερώτατος τίς εἶναι καὶ ἠλιθιώτατος καὶ ἀμαθέστατος, τῶν

84,2 προστιθέναι V[1]: προτιθέναι V | ἔργον ὄντως V[2] s.l.: ἔργον V **10** ἀνόνητ᾽ V: an ἀνήνυτ᾽?

84,9 cf. Agath., Hist. 2, 29 (p. 78, 17–19); Hom., Il. 17, 75 et Gen. 15,5 **16–17** cf. Demosth., Philipp. 3, 14

κατ᾽ ἐμὲ προσηκόντων, ἐν μέρει τινὶ, τῆς παρούσης προθέσεως περὶ τῶν τοσούτων τὲ καὶ τηλικούτων, ἐπιτρέχειν πειρώμενος· ὧν οὐκ ἔστιν ὅλως ἱκανῶς ἅπτεσθαι· κἂν ὅτι δύναιτό τις μέγιστα· περὶ τούτων, ἰδίαν μόνην σπουδὴν προθεὶς καὶ μεταχειρίζων.

85. Ἀλλ᾽ ὅθεν ὁ λόγος ὥρμητο ὡς πάσας ἡ τοῦ Θεοῦ μήτηρ τῇ πόλει, τὰς προσηγορίας, ἐφ᾽ ἑαυτῆς χαρίζεται· καὶ πάντων ἔστι τῶν καλλίστων ἐπώνυμος αὐτῇ· βασιλὶς αὐτὴ καὶ στρατηγὸς· καὶ κυβερνήτης· καὶ πρὸς πᾶν καθόλου γ᾽ ἐρεῖν ἐπιστάτις, ὅτι βέλτιστον καὶ χορηγὸς· καὶ ὡς ἂν, κατ᾽ ἄλλο μέρος, αὖθις ἅπαντ᾽ ἀντίπαλον· καὶ χαλεπὸν χρήσασθαι καὶ δυσνοϊκὸν, αὐτὴ διοικήσασθαι πρὸς τὸ συνοῖσον, εὖ τε θέσθαι καὶ ὅλως καθ᾽ ὅσον ἂν εἴη φύσις ἀνύσιμον εἶναι. ἔγωγέ τοι δοκῶ μοι, καθάπερ ἀκρόπολιν τινὰ τῶν ὅλων ἡ βασιλὶς, προκαταλαβοῦσα τὴν πόλιν ταύτην· καὶ | παντάπασιν ἰδιοποιησαμένη τὲ καὶ κρατύνασα, καὶ τάξιν f. 276v ὡσανεὶ βασιλείων αὐτῆς ἀποδεδειγμένη, ταύτην, καλλίστων τὲ καὶ τιμίων καὶ περιβλέπτων, κατὰ παντὸς ἄρα τοῦ κόσμου, ἐντεῦθεν ἔπειτα, λοιπὸν τὴν ἅπασαν οἰκουμένην, ἄγειν· καὶ προνοεῖν· καὶ διοικεῖσθαι, καὶ πᾶσιν ἀνθρώποις ἐντεῦθεν ἀναπηγάζειν εὐπραγίαν, καὶ βίοτον ἡρμοσμένον ἅπαν, τὸ σφίσιν ἑκάστοις ἱκνούμενον. οὕτω πάντα διὰ πάντων ἡ πόλις, αὐτῆς ἐστι· καὶ ὅλως αὐτῆς ἔχεται· καὶ καθάπαξ αὐτῇ συνέφυ· καὶ οὐκ ἀποχωρεῖ πρὸς βραχὺ ταύτης καὶ ὁπηοῦν πᾶσι καιροῖς· πᾶσι πράγμασι· καὶ ἴδιον αὐτῆς ἐστι κτῆμα· καὶ θρόνος αὐτῇ βασίλειος, ἧπερ ἔφην· καὶ ὄχημα τίμιον πρὸ πάντων ὁμοῦ, τῶν ἄλλων τιμώμενον· καὶ οἶκος αὐτῇ καταπαύσεως· καὶ πρυτανεῖον εὐδαιμονίας· καὶ τῶν μεγάλων εἰς τὸν βίον αὐτῆς θησαυρῶν· ὅθεν, ἅπασιν ἀνθρώποις εὐζωίαν χορηγεῖ καὶ καθάπερ τινὸς θεωρικοῦ διάδοσιν· ἑκάστῳ τὰ καθήκοντα νέμει· καὶ θέατρον ἐπιδείξεως αὐτῇ τὸν ἅπαντα χρόνον ἀποχρώντως ἔχον· καὶ μόνης αὐτῆς εὖ ἠσκημένον· καὶ μέγιστον· καὶ κάλλιστον· καὶ ἠσφαλισμένον αὐτῇ παντὶ τρόπῳ· καὶ πᾶσιν ἀστράπτον κάλλεσι. καὶ ὅλως ταύτης ἐστὶν, ἱερὰ· καὶ ἀνεῖται

85,5–6 an ἅπαν τἀντίπαλον? **17** αὐτῇ scripsimus: αὐτὴ V **19** βασίλειος ἧπερ V^2: βασιλεῖ εἴπερ V **27** ἀνεῖται V^2 e corr.

85,1 cf. Greg. Naz., Or. 42, 4, 1 (p. 58) **20–21** Is. 66, 1 **23** Ael. Arist., Or. 13 (p. 167, 17)

ταύτῃ· καὶ προσήκει ταύτῃ, τῆς γῆς ἀπὸ πάσης καὶ διὰ πάσης ἑαυτῆς αὐτὴ κατατεμμαχίζεται· καὶ κατατεμενίζεται· καὶ ἱεροποιεῖται, καὶ τῆς πόλεως οὐκ ἔστιν ὁτιοῦν μέρος, ὃ μὴ τῇ τοῦ Θεοῦ μητρὶ, παρθενικοὺς ἔχει θαλάμους· καὶ νεὼς πανσέμνους, κοσμίους τὲ καὶ ἀσύλους· καὶ πάσης αἰδοῦς ἀξίους.

86. Καὶ τὰ μὲν μέγιστα κάλλη τῇ πόλει πλεῖν, ἢ κατὰ τἆλλ' ἅπαντα· κατ' αὐτὴν, προσθείην δὲ καὶ τὰ πλεῖστα· καὶ ἅττα δὴ καθάπέρ τινος, εὐδαιμονίας αὐτῇ στῆλαι· διὰ πάσης αὐτῆς ἀνέχουσιν, οἱ νεῴ· καὶ οἱ τῆς θεοσεβείας οἶκοι· καὶ τὰ καθηγνισμένα σεμνεῖα. ὧν οὐκ ἄρα δὴ μόνον οὐδ' ἐφ' ἡστινοσοῦν ἄλλης τῶν πόλεων πάλαι τὲ καὶ νῦν, οὐκ ἔστιν ὅλως εὑρεῖν παραπλήσια· καὶ τὸ παραβάλλειν ὅλως, μανία σαφής· καὶ μέγιστος ἀμαθίας
f. 277 ἔλεγχος· ἀλλ' οὐδ' ἐφ' ὅλης αὐτῆς | τῆς οἰκουμένης, ἐφ' ἧς τὰ τοιαῦτα τιμᾶται, ἔστιν ὅλως εὑρεῖν τοιαῦτα· καὶ παραπλήσι' ἅττα, καὶ ἔτι γε μὴν τὸ μεῖζον, οὐδ' ἔστι τοσαῦτα δή. καὶ ὅστις πολυπραγμονεῖν βούλεται· οὐ πολὺς ὁ πόνος· ἀλλὰ ῥᾷστα γνώσεται· καὶ ὀφθαλμοῖς ξυγχωροῦμεν χρῆσθαι. τούτων γε μὴν αὐτῶν· τὰ πλεῖσθ' ἡ πόλις ἀνατίθησι φέρουσα τῇ μητρὶ τοῦ Θεοῦ· καὶ προδείκνυσιν ἅπασιν ἀνθρώποις, εἰς τόνδε τὸν βίον, τὴν καλλίστην ἐπίδειξιν· καὶ λειτουργίαν ἐξαίρετον ἀπὸ πασῶν αὐτῇ, σεμνὰ σεμνῶς τε καὶ καθάπαξ εὐαγέστατα· ὥστ' οὐ μόνον ἄρα λοιπὸν, ἱερά τις ἐστὶν ὅλη καθὰ μικρῷ πρότερον εἴρηται· καὶ προσήκουσα τοῖς θείοις ἐπίπαν, ἀλλὰ καὶ ἱεροπομπὸς ἔοικεν, ἐπὶ πάσης τῆς οἰκουμένης· καὶ προΐσχεται τὰ πάντων κάλλιστα καὶ θειότατα· καὶ πομπεύει πρὸς ἅπαντας ἀνθρώπους ἐντεῦθεν ἐξ ὑπερτέρων· καὶ τελεῖται τὰ θεῖα δι' ὅλης αὐτῆς τὸν ἀεὶ χρόνον· καὶ πάσης τελετῆς ἔστι πλέως, καὶ πάσης τελετῆς κάτοχος· καὶ τελεταρχεῖ τὰ θεῖα· κάλλιστ' ἐπὶ πάσης γῆς καὶ πάντων ἀνθρώπων· καὶ τῶν τῆς εὐσεβείας ἡμῖν μυστηρίων καὶ ἱερῶν καὶ ἀπορρήτων, ἑστία δείκνυται. καὶ ὥσπερ τῶν νεῶν ἕκαστος τὰ ἀγάλματα· καὶ πᾶσαν τὴν ἱερὰν σύνταξιν οἴκοι φέρουσι· καὶ θησαυροφυλακοῦσιν ἔξω τῆς

29 κατατεμμαχίζεται: sic V, servavimus **86,9** ἅττα scripsimus: ἄττα V **24** καὶ² V¹ s.l. **26** θησαυροφυλακοῦσιν V e corr.

86,7 cf. Ael. Arist., Or. 54 (p. 667, 9) **25–26** cf. Phil. Iud., De spec. leg. 1, 23 (p. 5, 13)

τῶν πολλῶν ἐντυχίας αὐτοῖς ἀποκλείοντες, οὕτω δὴ καὶ ἡ πόλις, ἀπὸ πάσης αὕτη τῆς γῆς, τοῖς ναοῖς, μεμέστωται· καὶ παμπλήρης τῶν γε τοιούτων ἐστὶν, οἶκοι διὰ πάσης ἑαυτῆς, ἱερὸς καθόλου περίβολος τῶν κειμηλίων τῶνδε, καὶ τῶν θησαυρῶν τῶνδε· καὶ τῆς πίστεως.

87. Ἠβουλόμην ἱκανῶς περὶ τούτων ἔγωγ' ἔχειν, καὶ διεξιέναι περὶ τούτων, ὡς ἂν, ἐντελέστατα· καὶ οἷόν τ' εἶναι ὡς ἂν, ἠβουλόμην, καὶ τὸν καιρὸν ἀμέλει τόδε συγχωρεῖν. ἐπεὶ δὲ τοῦτο, παντὸς μᾶλλον ἀδύνατον καὶ παντί· καὶ ὁ λόγος οὑτοσὶ προῆλθεν ἀφειδὴς παντάπασι καὶ ἀφύλακτος, καὶ πολλὴ πάντως ἡ ἄνοια τἀδύνατα τῇ φύσει ποθεῖν· καὶ οὐ λέγω βούλεσθαι μόνον· ἀλλὰ καὶ ὅλως εὔχεσθαι· καὶ ἅμα κομιδῇ τοῦ καιροῦ γίγνοιτ' ἂν | ἔξω κατὰ f. 277v μέρος ἐπεξιέναι· καὶ μεμνῆσθαι πάντων γε τῶν ἄρα τοιούτων· εἴπερ οἷόν τ' ἦν, τίς ἂν γενοίμην τοιγαροῦν ἐνταῦθα ἢ τί χρήσομαι· ἢ πῶς ἄν, καὶ παρέλθοιμι· καὶ εἰ πάντα τἆλλα παρέλθοιμι παντελεῖ σιγῇ τε καὶ ἀμνηστίᾳ, τὸ τοσοῦτο χρῆμα· καὶ μέγιστον ὡς ἀληθῶς τοῦ βίου θαῦμα· καὶ οὐκ ἐπὶ τῆσδε μόνον τῆς πόλεως, ἀλλὰ καὶ πάσης ἄλλης πόλεως· καὶ τῆς ὅλης οἰκουμένης· καὶ ὅλως ἀλόγιστον τέως καὶ ἀνυπονόητον, πρὶν ἢ καὶ γενέσθαι· τὸν ἀνέχοντα διὰ τῆς πόλεως, τῆς τοῦ Θεοῦ Σοφίας τουτονὶ νεών; ὃ καὶ μόνης τῆς τοῦ Θεοῦ σοφίας, καὶ προνοίας· καὶ παντουργοῦ χειρὸς ἔργον· καὶ οὐκ ἄλλης ὄντως σοφίας, ἢ τέχνης· ἢ φύσεως, ἡστινοσοῦν· οὔτ' ἐννοῆσαι τοσοῦτο πρᾶγμα, οὔτε μὴν ὅλως διαπράξασθαι. τὸ μὲν γὰρ ἐσχάτῃ δὴ σιγῇ περὶ τούτου χρήσασθαι, ἔστι μὲν ὡς ἀδικώτατον· ἐπιδηλότατα καὶ παντὶ ξυνιδεῖν· καὶ ἀμαθέστατον τῶν τιμιωτέρων καὶ βελτίστων τῇ πόλει· ἔστι δ' ὡς ἄμεινον, διὰ τὸ παντάπασιν ἀνέφικτον· καὶ ὁτιοῦν τῶν προσηκόντων ἐρεῖν· καὶ ἅμα εἴ τις καταλογίζοιτ' ἄν, τὸ μῆκος τῶν λόγων· ὧν εἴρηταί τε καὶ ὧν εἰρήσεται, πᾶσα ἀνάγκη, καὶ οὐκ ἔχω τίς ἄν, ὡς ἔφην γενοίμην, ἐνταῦθα γενόμενος. βέλτιον δ' ἄν, ἴσως εἴη, τὴν μέσην ἑλέσθαι. τὴν μὲν οὖν ὅλην τοῦ τοσούτου πράγματος εὕρεσιν· καὶ κατασκευὴν· καὶ τὴν τῆς τέχνης σοφίαν· καὶ τοὺς πορισμοὺς· καὶ τὴν περίνοιαν· καὶ τὰς μηχανὰς· καὶ τὴν ἐφ' ἑκάστοις ἀκρίβειαν ἀμήχανον οἵαν ὡς ἔπος εἰπεῖν, καὶ τὸ κάλλος· καὶ τὴν τῆς ὕλης τοσαύτης εὐπορίαν τὲ καὶ περιουσίαν,

87,5 παντάπασι V^{2} e corr. **15** τουτονὶ scripsimus: τοῦτονὶ V

ἀσυλλόγιστον ἐλπίσαι τέως, τίς ἄν, οἷος τ' εἴη ταῦτα διεξιέναι· καὶ τῶν πάντα δὴ καὶ πάντων τὰ μέγιστα, σοφῶν τε καὶ ῥᾳδίως περαινόντων; ἀλλ' ἴσως γε μὴν, ἀκαιρία τίς ἄν, εἴη, περὶ τούτων ἐπιχειρεῖν· καταμέρος καὶ τρίβειν ἃ μόνης ἱστορίας, καὶ περὶ τούτων ἰδίας μόνης· οὐ τῆς παρούσης σπουδῆς ὑπόθεσις οἰκεία τίς ἄν, ἦν. μάλιστα δ' ἄν, καὶ μελαγχολᾶν προδήλως ἄν, εἴη, καὶ
f. 278 ὅλως ἐνταῦθα πειρᾶσθαι, | καὶ κατεπιχειρεῖν ἔργου φύσιν, ὅλως οὐκ ἔχοντος τυχεῖν· καὶ κατὰ σκοπὸν ὁπῃοῦν εὖ θέσθαι.

88. Καίτοι τί λέγω; ἦν μέν γε μανία τις πρὶν ὡς ἀληθῶς, πρὶν αὐτὸ γενέσθαι, γενέσθαι δόξαι. ἦν μέν γε καὶ ὅλως εἰς νοῦν θέσθαι· καὶ ὡς εἰπεῖν ἔξω λογισμῶν τοσοῦτο λογίσασθαι· κἄπειτα συσκευάζεσθαι λοιπὸν εἰς αὐτὸ, καὶ τῆς ἐργασίας ἅπτεσθαι, εἰ μὴ καὶ ἀμφότερα κατὰ θεῖον ὡς ἔφην· καὶ Θεοῦ πρόνοια καὶ Θεοῦ χεὶρ τὸ πᾶν ἐκίνησέ τε, καὶ τὸ πέρας ἐξίκετο· τέρας, οὐκ οἶδ' ὡς εἴ τι καὶ ἄλλο τῶν ἐκ τοῦ παντὸς αἰῶνος· καὶ φύσεως ἔξω καὶ τέχνης· καὶ ὃ μὴ δὲ θαυμάζειν ἐστὶν ἀξίως· μὴ δ' ὁρᾶν γε ἐστὶν ἀξίως, μετ' ἀληθείας ἐρεῖν. οὕτω μέγιστον· οὕτως ὕψιστον· οὕτως εὐρύτατον· οὕτω δὴ ποικιλοτάτης καὶ πολυειδοῦς· καὶ πολυστρόφου τῆς διοικήσεως· φαίης ἄν, καὶ δῆτ' ἔγωγε πολλάκις ἔδοξ' οὑτωσί πως, οὐκ ἐπιτηδεύσεως· οὐδ' ἀσκήσεως, ἡστινοσοῦν· οὔθ' ὅλως τεχνικῶν λογισμῶν τοὔργον· ἀλλ' ἄρα κατὰ φύσιν ἀνεπιτήδευτον· καὶ ἀτεχνούργητον οὑτωσὶ προελθεῖν, ὡς εἴ τι καὶ ἄλλο τῶν αὐτῆς θαυμάτων· οἷα δῆτ' αὐτὴ, νεανιεύεται καὶ παλαμᾶται· καὶ ῥᾳστωνεύεται· καὶ τελεσιουργεῖ μεγάλα μεγαλωστὶ· καὶ ὡσπερεί τινα ὄρους ἀποσπάδα τοσαύτην ἀνέχειν, ταύτην ἀμέλει κατὰ μέσην τὴν πόλιν· συνεχῆ κατὰ φύσιν τῷ παντί.

89. Ἢ πόθεν ἆρ' ἦν ἵνα μὴ λέγω τῆς τέχνης, τοσαύτης ὅμως τυχεῖν τῆς ὕλης, καὶ παντοίας καλλονῆς, ἧς μόνης· ἀναπλάττει νοῦς· ἢ πόθεν ἢ πῶς ἐνεγκεῖν ὁμοῦ τὴν τοσαύτην παρασκευὴν τοῦ πράγματος, καὶ τῆς τέχνης· ἧς οὐδὲ τὴν ὅλην γῆν, ᾠήθη τις ἂν ἴσως ἱκανὸν εἶναι ποριστήν; ποῖαι λατομίαι τῆς τοσαύτης λίθου, μαρμάρου χορηγοὶ· καὶ τῶν τοσούτων καὶ οὕτω παντοίων ἀνθῶν

88,1 πρὶν[1] V[2] s.l. **9** εὐρύτατον V[2] e corr.

88,16 cf. Hom., Il. 16, 776 **18** cf. Chrysipp., Fragm. 885 (p. 238, 32–33)

τε καὶ βαφῶν, αὐτῆς λειμῶνες· ποῦ γῆς νῦν ὁρώμεναι, κενωθεῖσαι τε οὕτως· ποῦ γῆς ὅλως ὁρωμέναι; ποῖαι σοφίαι· χεῖρες ὅσαι· ποία γῆς εὐφορία καὶ χρήμαθ' ὅσα· ὅσοι πλοῦτοι τὴν κομιδὴν ἔπραξαν; ποῖος ἁπάσης περινοίας σοφιστὴς χρόνος, ἢ πρότερον· ἢ μετέπειθ' ὕστερον, ἀνέδειξε τέχνης παραπλήσιον ἔργον καὶ κράτος· ἢ ὅτι ἔγγιστα; ποῖον τῶν πάλαι θεαμάτων καὶ θαυμάτων· | ὠνομασμέ- f. 278v νων· δίδωσιν ἐνταῦθα παραβάλλειν ἐξεῖναι· καὶ ὁπηοῦν μὴ οὐ σὺν γέλωτι· καὶ τῆς ἐσχάτης ἀνοίας καὶ ἀβελτηρίας ἐλέγχῳ; ποῖα Βαβυλώνεια τείχη· ποίας πυραμίδας Αἰγυπτίας· ποίους Μαυσώλου Καρικοὺς τάφους νεκρά τιν' ὡς ἀληθῶς ἔργα καὶ πολλὴν ἀηδίαν, καὶ πολλὴν ἀκαιρίαν· καὶ λῆρον πολὺν, ποίους μετεώρους λειμῶνας· ἀερίους· ἀνυποστάτους· ὡς ἀληθῶς· καὶ εὐρίπιστον· καὶ ματαίαν· καὶ ἀνόνητον σπουδὴν· εὐκίνητόν τε δὴ ῥᾷστα καὶ εὔσειστον· καὶ συμπεσοῦσαν οὐχὶ τῶν χρόνων ὀψέ;

90. Καὶ τὰ πλείω παραλείπειν εἰκὸς· ὡς ἂν, μὴ ταυτὰ δὴ μάταια, πονεῖν ἑλέσθαι δοκῶμεν· καὶ μάλιστ' ἐφ' ὕβρει, τοῦ τοσούτου πράγματος καὶ ἡμῶν γ' αὐτῶν· μοναδικὸν τοσοῦτο μέγιστον ἔργον· καὶ κάλλιστον οἷον ἐπὶ πάσης τῆς οἰκουμένης καταριθμοῦντες ὅλως καὶ οἱστισινοῦν. τοσοῦτο δ' ἐρεῖν ἔχομεν ἐνταῦθα νῦν εἶναι καθόλου καὶ συλλογίσασθαι, ὡς ἄρα ἐφ' ὅλην μὲν αὐτὴν τὴν γῆν καὶ πάντας ἀνθρώπους, τὸ πάντων καὶ μόνον ἐξαίρετόν τε καὶ κράτιστον· καὶ μεγέθει· καὶ ὥρᾳ· καὶ χρείᾳ τοῦ βελτίστου, πρὸς τὸν βίον καὶ τἀνθρώπινα πράγματα προέχον, παντί που δῆλον· ἡ πόλις, κἀπὶ ταύτης τοσαῦτα, κάλλη καὶ θαύματα παντοίων ἔργων, ὁμοῦ, ὁποῖα καὶ οἷα, μὴ δ' ἐπὶ πάσης τῆς οἰκουμένης ὁμοῦ· τούτων δ' ἁπάντων αὖθις ὁμοῦ κορυφὴ· καὶ τὸ διὰ πάντων μόνον ἐπίλεκτον, τὰ πρῶτα φέρεσθαι· καὶ τἆλλ' ὡς ἀληθῶς, ἐῶν κάτω τῆς αὐτοῦ λαμπρότητος, καὶ κράτους· καὶ μεγέθους· καὶ κάλλους· καὶ πάντων, ὅσ' ἄξια θαυμάζειν, αὐτὸς ὁ νεὼς οὑτοσὶ· οὐράνιον ἐπὶ γῆς κάλλος· μυρίαν χάριν ἀστράπτον· οὐράνιον ἐπὶ γῆς εἴκασμα· καὶ Θεοῦ σκηνὴ· καὶ φωτὸς οἶκος· καὶ

89,7–8 ποῦ γῆς – ποία V^1 e corr. **13** οὐ V^1 e corr. **15** τείχη V^2: τύχη V **17** πολλὴν V^2: πολὴν V **19** ἀνόνητον scripsimus: ἀνώνητον V **90,2** μάταιαν V a. corr. **7** τὴν scripsimus: τὴν τὴν V | καὶ^2 V^1 s.l. **11** ἐπὶ πάσης V e corr.

89,15 Greg. Naz., Or. 43, 63, 9–12 (p. 262) **90,17** Ex. 33, 7

δόξης ὄχημα Θεοῦ· καὶ μεγίστου τοῦδε καὶ καλλίστου, σώματος τῆς πόλεως ἐμοὶ δοκεῖν, ὥσπερ τις καρδία τὸ καιριώτατον, αὐτοῦ μέρος καὶ πρῶτον· καὶ ζωῆς ἀφορμὴ· καὶ πρώτη πηγὴ· τῷ τε παντὶ καὶ τοῖς ἄλλοις ἅπασι μέρεσιν· εὖ πεφυκυῖα· καὶ προσήκουσα λαμπρῶς· | f. 279 μᾶλλον δὲ ψυχὴ ζωῆς συμπεφυκυῖα τῇ πόλει· καὶ πνεύματος χορηγὸς· καὶ οὐσίας· καὶ ζωῆς τελειότης.

91. Ἀλλὰ μὴν αὐτὰ δὴ ταῦθ' ἡ πόλις, τῇ πάσῃ γῇ· καὶ ἅπερ ἡ πόλις τῇ πάσῃ γῇ, ταῦθ' ὁ ναὸς τῇ πόλει· ψυχὴ ψυχῆς· εἴτουν νοῦς· τὸ θειότερον καὶ πρῶτον αὐτῆς· καὶ κάλλιστον· καὶ τιμιώτερον· καὶ παραβάλλειν τἆλλ' οὐκ ἔστι καὶ ξυμμετρεῖσθαι λοιπὸν, ἔγγιστα. καὶ τοῦ ὀφθαλμοῦ τῆς οἰκουμένης, ὀφθαλμὸς ὅδε, κόρης ὡς εἰπεῖν ἐν τύπῳ· καὶ καθόλου γε εἰπεῖν, ἅπανθ' ὧν ἡ ἐρημία τοῦ παντός ἐστιν ἡ μεγίστη ζημία· καὶ τῆς ὅλης καλλονῆς καὶ φύσεως λύσις, ᾗ καλῶς ἔχεται· καὶ πέφυκε μένειν· καὶ οὐκ ἔστιν, ὃ μὴ τῶν καλλίστων· ὃ μὴ τῶν τιμιωτάτων· ὃ μὴ τῶν ἰσχυόντων μάλιστα καὶ χρησιμωτάτων, ἐπὶ πάνυ τοι πλείστοις ἄλλοις τοῖς οἰκειοτάτοις καὶ συγγενέσιν ἅττα δῆτα καὶ αὐτὰ μάλιστα πρὸς αὐτὸν λόγον ἔχει· καὶ τῷ παντὶ καὶ ἀλλήλοις ἐστὶ καὶ αὐτῷ, καθάπαξ γνήσια· καὶ ὥσπερ ἐν λύρᾳ πάντοθεν ἠχεῖ σύμφωνον· καὶ κομιδῇ τέρπει τοὺς ὁρῶντας καὶ χρωμένους. οὔκουν γέ ἐστιν οὐδὲν, ὁτιοῦν ὃ μὴ σφόδρα τῇδε καιρὸν ἔχει· ἢ κάλλος· ἢ μέγεθος· ἢ πᾶσαν ἀκρίβειαν ἢ χρείαν, ἢ ὁμοῦ πάντα· ἢ τούτων γε ἅττα· καὶ πάντων ἐστὶν ἥδεσθαι πάνυ τοι· καὶ πάντων θαυμάζειν ὡσαύτως· καὶ οὐδὲν ἂν, παρίδοι τις· οὐδὲ παραδράμοι, νοῦν ἐπιστάτην ἔχων οὑτωσί πως ῥᾷστα· καὶ ὡς εἴ τι τῶν εἰωθότων· ἀλλ' ἢ μεθ' ἡδονῆς τινος, ἐφιστάνων οἵας ἀμυθήτου· ἀλλ' ἢ μετὰ θαύματος ὅσου δή.

92. Καὶ μὴν ἔστιν ἅπαντ' ἐπιόντα· καὶ τὸν νοῦν εὖ μάλα προσέχονθ' ἑκάστοτε· νεὼς· στοὰς· γυμνάσια· δρόμους· ὑπαίθρους καὶ καταστέγους· στήλας ἐκ μαρμάρου καὶ λίθου πάσης· ἀνδριάν-

91,12 ἀλλήλοις V^{2}: ἄλλοις V **20** ἐφιστάνων V^{2} in marg. **92,3–4** ἀνδριάντας V^{2}: ἀδριάντας V

20 cf. Plot., Enn. 6, 9, 9, 1 (p. 322) **23** cf. Ibid., 6, 2, 7, 2–4 (p. 64) **91,1–4** Ael. Arist., Or. 13 (p. 159, 11–16) **2** cf. Phil. Iud., Quis rer. div. heres 55 (III, p. 11, 7–9); cf. etiam Plot., Enn. 5, 9, 13, 2–3 (p. 426); Plot., Enn. 5, 1, 3, 12–20 (p. 266) **13–14** cf. Ael. Arist., Or. 17, 20 (p. 10, 6–11)

τας· γραφὰς· ἀγάλματα· ἑρμογλυφικὰς λατομίας· ὡντινωνοῦν ἑστώτων, ἀσκητῶν σωμάτων· ἢ μονοφυῶν· ἢ συνθέτων· πάνθ' ἁπλῶς καὶ ὅσα δημόσια δημιουργήματα, καὶ ὅσα καθ' ἕκαστα· πάντα δ' οὖν ἔξεστιν ἐπιόνθ' ὡς ἔφην, συλλογίζεσθαι· | καὶ κέρδος f. 279v ἔχειν, εἰς γνώμην καὶ σύνεσιν τινὰ· καὶ μνήμην τῶν παλαιῶν καὶ φέρειν νοῦν ἐντεῦθεν. καὶ πάντα σοι πορίζει· συντέλειαν λογισμῶν· καὶ σοφίας· τὰ μὲν, καὶ δι' ἐπιγραμμάτων χειραγωγίας ἐπιδήλου καὶ προόδου σαφοῦς· τὰ δὲ, καὶ νύττοντα τὴν διάνοιαν, αὐτόθεν αὐτίκα· τῶν μὴ μόνον αἰσθήσει καὶ τοῖς φαινομένοις ζώντων· καὶ γυμνάζοντα· καὶ κινοῦντα χρῆσθαι καὶ πλέον ἔτι· καὶ περαίνειν ὁτιοῦν ἐκ τῶν ὁρωμένων, ἔπειθ' ὕστερον· καὶ πολλή σοι πάντοθεν αὐτῶν ἡ διδασκαλία τὸν νοῦν ὡς ἔφην, εὖ μάλα προσέχοντι· καὶ θησαυροὶ γνώσεως οὗτοι· τοῖς μὲν, ἐκκείμενοι, μετὰ ῥᾳστώνης ὀνίνασθαι· τοῖς δὲ, καὶ ἐν ἀπορρήτοις συντηροῦντες κειμήλια σοφίας· ὅσοι διαβαίνειν ἄρα· καὶ χωρεῖν ἰσχύουσιν εἴσω· καὶ περαιτέρω χρῆσθαι λοιπὸν, ἢ καὶ ὁρῶσι, καὶ πονεῖν ἐπὶ κέρδει.

93. Πλάτων μὲν οὖν τὰς πρώτας τῶν ἐπιστημῶν· καὶ τῆς ὅλης σοφίας ζητῶν ἀρχὰς, τὸν πρῶτον καὶ μέγιστον ἡμῖν διδάσκαλον, καὶ χορηγόν τε καὶ ἀρχηγὸν τούτων, τὸν οὐρανὸν εὑρίσκει καὶ δείκνυσιν, εἴ τις δύναιτο καταλογίζεσθαι τὰς κατ' αὐτὸν ἁρμονίας καὶ ἀριθμοὺς· καὶ τὴν ὅλην αὐτοῦ τῆς διοικήσεως, ἄπαυστον μὲν· εὔτακτον δὲ καὶ καθάπαξ ἄλυτον χορείαν καὶ μουσικήν. ἀτὰρ καλῶς ἀμέλει τοῦτ' ἐκεῖνος, οἷα δὴ καὶ τἆλλα τῆς αὐτοῦ μεγαλονοίας καὶ περινοίας· καὶ ὡς ἔπος εἰπεῖν ἀξίως ἑαυτοῦ. ἀλλ' ὅπερ ἄρα περὶ οὐρανοῦ καινότερον εὕρηται τουτὶ τἀνδρὶ καὶ εἴρηται, τοῦτο δὴ κἀπὶ τῆς πόλεως ὁρῶμεν ὡς ἀληθῶς, παραπλησίως, τοῖς κατ' αὐτὴν ἔργοις καὶ μέρεσι καὶ λόγοις· καὶ μέτροις· καὶ οἷς ὅλως ὑποδείκνυσι, τῇ τῶν πολλῶν ἐπιμελεῖ καὶ ἐργατικῇ καὶ ἀνυσίμῳ, καὶ διὰ νοῦ καὶ δι' ὀφθαλμῶν ἐποπτείᾳ, χορηγοῦσαν σοφίας τὴν ἀφορμὴν καὶ παρασκευὴν λογισμῶν εὖ μάλα, χρῆσθαι καὶ νοῦ

8 συγγνώμην V a. corr. **10** καὶ[1] V[2] s.l. **93,13** χορηγοῦσαν V[2]: χορηγοῦσα V | τὴν V[2] s.l.: τὰς V **14** ἀφορμὴν correximus: ἀφορμὰς V, quod corrigere neglexit V[2], ut videtur

92,11–14 cf. supra, Or. 10, 8, 5–17 **12** cf. Plut., Fragm. 193, 50 (p. 356); cf. etiam Metoch., Misc. 266 **93,1–4** Ps.-Plat., Epin. 978d et 991e **5–14** cf. Phil. Iud., De spec. leg. 3, 187 (p. 169, 5–10)

περιουσίαν· καὶ θέατρον, ὑφαπλοῦσαν τὲ καὶ ὑπανοίγουσαν· πάσης ἐπιστήμης καὶ χώραν μνήμης. καὶ γεωργεῖν ἐστιν ἐντεῦθεν εὐφορώτατα· πάντα καιρὸν καὶ πάντα τρόπον, ὅστις ἄν, βούλοιτό f. 280 τε, καὶ δύναιτο, νοῦ καὶ γνώμης καρποὺς καὶ τροφὰς, | καὶ κομίζειν ἐντὸς οἴκοι· καὶ πράττειν εὖ ἐν ἀφθόνοις· καὶ τοῦτο μέν γε νῦν ἐπελθὸν, οὕτω δοκεῖν ἔμοιγ’ οὐ παντὸς, ἔξω καιροῦ καὶ λόγου εἴρηται. καθόλου γε μὴν ἐρεῖν ποῦ γῆς ἄλλῃ νῦν· ἢ τῇδε μόνον αἱ τῆς σοφίας ἁπάσης, ἀναχεόμεναι πολύρρυτοι πηγαὶ, καὶ πρὸς πάντας ἀνθρώπους· ἐνταῦθα πάντοθεν ἕλκουσαι· ποῦ παραπλησίως πρὸς μετουσίαν ἄφθονοι· ποῦ καθαραί τε καὶ πότιμοι· ποῦ παντοίας ἡδονῆς, ποῦ παντοίας ἀρετῆς παμπλήρεις ῥέουσαι; ποῦ τοσαῦτα φιλοσοφίας σεμνεῖα καὶ τελεταὶ καὶ μυστήρια· καὶ θεωρίας τῶν ὄντων καὶ δογμάτων παντοίων, μετουσία τὲ καὶ βακχεία καὶ θειασμός; ποῦ ῥητορείας χάριτες καὶ λειμῶνες τοσοῦτοι καὶ λαμπρότητες· καὶ ἀγορὰ πλήθουσα καὶ πανήγυρις· καὶ ὥρα λόγων τοσαύτη καὶ οὕτως εὔωνος; ποῦ θέατρα καὶ κρότοι πρὸς ἐπίδειξιν καὶ γυμνάσια, καὶ ἅμιλλαι κράτους· καὶ πίστεως· καὶ ἀσκήσεις· καὶ δίαυλοι καὶ δρόμοι διαρκεῖς εὐστομίας· καὶ γλώττης θηγάνη σφόδρα τομὸς, καὶ παρασκευὴ φωνῆς τοσαύτης· καὶ πνεῦμα λεῖον· καὶ δαψιλὲς χορηγοῦν εἰς εὐφωνίαν παντοίαν; ποῦ πάντες Μουσῶν χοροί; πάντ’ ἐκεῖνα τὰ πρότερον ἔσβεσται, κἀκείνη λαμπρότης ἐπὶ τούτοις οἴχεται. καὶ τὸ μέγα πάλαι τῶν Ἀθηνῶν ὄνομα, καὶ τῆς ἄλλης Ἑλλάδος, ἀπήνθησε τῷ χρόνῳ καὶ γηράσαν ἤδη καὶ διερρυηκὸς παρῆλθε. καὶ τὰ κατὰ τὴν Παλαιστίνην ἄνθη τῆς γλώττης· καὶ κάλλη· καὶ ἡ πᾶσα τῆς ἑρμηνείας ἐπιμέλεια· καὶ τῆς εὐφωνίας ἐτράπη. καὶ ἡ κατ’ Αἴγυπτον Ἀλεξάνδρου μεγαλόπολις, βαρβάροις δέδοται· καὶ οὐδ’ εἴ ποτε περὶ ταῦτ’ εἶχον, ὅλως ἐστὶ λογίζεσθαι πρὸς τῶν ὁρωμένων, εἰ μή τινες ἄρα παλαιάν τινα μνήμην, καὶ συγγραφὰς· καὶ συντάξεις καὶ βίβλους λοιπὸν, ἕλοιντ’ ἄν, τούτοις ἐπιμαρτύρεσθαι. μόνη δ’ ἡ πόλις ἔοικεν ἀπὸ πασῶν αὕτη μουσεῖον, τῶν λόγων ἁπάντων λείπεται· καὶ παιδείας ἑστία· καὶ ταμεῖον σοφίας ἁπάσης· εἰ καὶ μόνον, ἀλλὰ καὶ πᾶσιν ἐπαρκοῦν καὶ πρυτανεῦον ὅσοι βούλοιντ’

21 ἐρεῖν – ἄλλῃ V e corr. **33** θηγάνη scripsimus: θιγάνη V **41** δέδοται V[2] in marg.

36–37 cf. Thucyd., Hist. 7, 64 **46** cf. Plat., Phaedr. 267b62–63

ἂν, τὸ γιγνόμενον· | καὶ χώρ᾽ αὕτη σφόδρα τις εὔγαιως, τῆς f. 280v ἁπάσης παιδείας· καὶ κάλλιστ᾽ ἀροσίμη, πάντα φέρειν· καὶ πᾶσι φέρειν· καὶ ὡς μάλιστα διαρκής. οὔκουν γ᾽ ἐπιλείψειεν ἄν, ὁτῳοῦν τῶν ἐν χρείᾳ· καὶ οὐδεὶς ἄρα οὐ μήποτ᾽ ἀτευκτήσαι, κάμνων τῇδε καρποῦσθαι· καὶ ποριστὴς εὖ γε ἀπαλλάττειν φορᾶς τῆσδε· καὶ πόλεως τῆσδε· παντοίους ἀμητοὺς τῶν λόγων ὠνούμενος· ἀλλ᾽ ἀεὶ πάσης εὐφορώτατα, τῆς σοφίας εὐτοκεῖ· ἀλλ᾽ ἀεὶ πᾶσιν αὐτόχθοσί τε, καὶ τοῖς αὐτῆς, πάνυ τοι πλείστοις· καὶ τοῖς ἄλλοθεν καὶ πάντοθεν ἐπιδήμοις, πάνυ τοι πλείστοις ἀρκεῖ· καὶ ἀνθεῖ τοῦ καλλίστου τῶν λόγων ἔαρος ἀεὶ· καὶ ἀκμάζει τὸν ἅπαντα χρόνον, ἐξοῦ καὶ γέγονε· καὶ οὐ πώποτε πέπαυται κατὰ φύσιν· οὔτε μὴν πεπαύσεται χορηγοῦσα. καὶ τὸ μέλλον ὁ πολὺς παρήκων χρόνος, ἀσφαλίζεται· καὶ μάρτυς πάνυ τοι πιστὸς ἐγγυᾶται, τῆς ἄνωθεν οἰκονομίας περὶ τἀνθρώπινα, καὶ τὴν τῶν βελτίστων πρόνοιαν, ἔστ᾽ ἄν, ἀνθρώπους γῆ τρέφῃ, καὶ σοφία τρέφῃ· μάλιστα τοὺς λόγους τούτους· καὶ τὴν δόξαν ταύτην, ἑστῶτα εἶναι, καὶ μένειν ἀσάλευτα πειθούσης· καὶ τὴν πόλιν γέ τοι παραπλησίως ἀσάλευτον, ἐπὶ ταῖς θείαις ἀεὶ χερσὶν ἑστήξειν, καὶ μένειν πειθούσης τὸ κοινὸν ὄφελος, καὶ τὸν κοινὸν τῆς ἀνθρωπίνης ἁπάσης ζωῆς καὶ χρείας λιμένα· καὶ τὴν τῆς οἰκουμένης ἣ δὴ καὶ πρότερον εἴρηται, πάσης καρδίαν καὶ ψυχήν γε μὴν εἴρηται, καὶ καλῶς γ᾽ ἐμοὶ δοκεῖ· καὶ οὐχ ὡς ἄν τις εὖ φρονῶν, νεμεσήσαι.

94. Καὶ οὐ περὶ τῆς σοφίας ἔγωγε φημὶ μόνον, περὶ ἧς νῦν ὁ λόγος, καλλίστου τοῦδε τοῦ κτήματος, τελεσιουργόν τε καὶ ἀρχηγέτην, ἀλλὰ καὶ περὶ πάσης ἁπλῶς, τῆς ζωῆς καὶ τῆς οὐσίας, εὖ τε εἶναι καὶ μένειν κατὰ χώραν ἐν ἀσφαλεῖ καὶ ἡδράσθαι. ἢ τί γὰρ οὐκ ἐνταῦθα· ἢ τί γὰρ οὐκ ἐντεῦθεν ἅπασιν ἀνθρώποις πηγάζει; τὰ μέν γε οἴκοθεν αὐτῆς τῆς χώρας· καὶ τῆς πόλεως αὐτῆς, καὶ τὰ πλείω μάλιστα, εἰ δέ τι καὶ ὁτιοῦν ἄλλῃ φέρει, ἀλλὰ καὶ τοῦτο τῇδε φέρει· καὶ πάντοθεν ἥκει | σπουδῇ τῇ πόλει· καθάπερ εἴς f. 281

51 ἀτευκτῆσαι V a. corr. **62** τρέφῃ … τρέφῃ scripsimus: τρέφει … τρέφει V **68** ψυχὴν V: an ψυχὴ (cum distinctione post καρδίαν)? **69** νεμεσῆσαι V a. corr.

61–62 Hom., Od. 11, 365; cf. Metoch., Carm. 14, 66 (p. 251) **94,1–2** cf. Phil. Iud., De ebr. 112 (II, p. 182, 4)

τινα κοινὸν ὅλῃ ῥύμῃ· κατὰ φύσιν τόπον· ὡς ἄρα καὶ ὁρῶμεν ἕκαστον, τῶν ὄντων φύσιν ἔχειν, εὖ μάλ’ ἐπείγεσθαι καὶ ζητεῖν τὴν οἰκείαν αὐτοῦ χώραν καὶ τόπον τὸν κατὰ φύσιν. ἀχρεῖον μέντ’ ἄν, εἴη· καὶ ὁποιονοῦν τῶν καλλίστων τὲ καὶ τιμίων, κατὰ χώραν οἴκοι μένον, οὐδὲν ἧττον ἀλλ’ ἢ καθάπερ ὁρῶμεν ἀτεχνῶς· αὐτὰ τὰ πάρεργα τῆς φύσεως· καὶ τἀμβλώματά γε τῆς φύσεως· καὶ τὰς ἀνονήτους παντάπασιν ἀτυχίας, ἂν μὴ τῇδε κάλλισθ’ ἥκοι σπουδῇ πάσῃ· καὶ δρόμῳ παντὶ καὶ τρόπῳ παντί· καὶ τῆς κοινῆς ἁπάντων ὡς εἰπεῖν κατὰ φύσιν χώρας ἐπιτυχῶς· ταυτησὶ λάβηται· ἐφ’ ἧς εὖ τ’ εἶναι μόνης· καὶ μένειν ἔχει καὶ δείκνυσθαι· καὶ ὁπῃοῦν εἶναι χρήσιμα. οὐκοῦν ἅπαντ’ ἐρανίζεται καὶ συλλέγεται τῇ πόλει· καὶ τάχιστα· καὶ ῥᾷστα πάντοθεν· ὁσάττα πάντων ἐστὶν, ἀπόλεκτά τε καὶ ἴδια· ταῦτα μὲν τούτων· ταῦτα δ’ ἐκείνων. πάντα δ’ οὖν γίγνεται τελευτῶντα κοινὰ τῇ πόλει· καὶ δι’ αὐτῆς ἅπασιν ἀνθρώποις. οὔκουν γε ἐστὶν ὁτουοῦν τῶν ὄντων ἐπὶ τῆς γῆς, ἀμηγέπῃ καὶ σπανιωτάτων ἀτευκτεῖν, οὔτε τῇ πόλει· οὔτε μὴν παρὰ τῆς πόλεως, ἅπασιν ἐπιχρείοις ἀνθρώποις· ἀλλ’ αὕτη τὸ κοινὸν ταμεῖον ἁπάσης τῆς οἰκουμένης· καὶ ὧν ἡ γῆ καθόλου πάντων δίδωσι· καθάπερ ἀμέλει τὰ παρ’ ἑκάστοις ἴδια καὶ οἴκοι· τῶν παρ’ ἑκάστοις ἰδίων καρπῶν καὶ φόρων. κἀνταῦθα λοιπὸν κοινὴ κομιδὴ πάντων, ἐξ ἄρα πάντων· κἀντεῦθεν ἡ κοινὴ φορὰ τῶν ἁπάντων ἅπασιν οἷς ἄρα δεῖ· καὶ ὧν ἄρα δεῖ· κἀντεῦθεν πᾶν ὁτιοῦν ὃ ποθεῖ τις καὶ προσδοκᾷ ταχὺς αὐτίκα· καὶ ζητεῖ καὶ λαμβάνει· καὶ οὐδὲν ὅ,τι οὔ· τῶν ὄντων· οὐδ’ ὅστις οὔ· καὶ ὅσοι τῶν ἐπιφανεστάτων τὲ καὶ μεγάλῃ συζώντων τύχῃ καὶ ὅσοι τοὐναντίον. κἂν εἴ τις ἁπάντων ἀμαθέστατος, ἡ χρεία γε τὸν νοῦν τῆς εὑρέσεως τῇδε πορίζει· καὶ τὸ μέγα τῆς πόλεως ὄνομα.

f. 281v **95.** Καὶ λιμένες οὗτοι τοιγαροῦν οὓς ἄρα πάνυ τοι, πλείστους | ἡ πόλις κύκλῳ, περὶ αὐτὴν ἔχει· μᾶλλον δ’ εἰπεῖν αὕτη κύκλῳ συνέχει· καὶ μάλιστ’ ἔσω κατ’ αὐτὴν εἰσοικίζεται· καὶ οὓς ἄρα

94,10 ἔχειν V[2]: ἔχει V **15** ἀνονήτους V[2]: ἀνοήτους V **18** ἀποδείκνυσθαι V a. corr. **28** φορῶν V a. corr. | κομιδὴ V[1]: κομιδῇ V

11 Arist., Probl. 915b24–25 **26** cf. Ael. Arist., Or. 23, 24 (p. 37, 28–29) **95,2** Ael. Arist., Or. 13 (p. 155, 18–19) **3–5** cf. Menand. Rhet., De orat. 1, 351, 31–32 (p. 42)

τοσούτους ὑπὸ φιλανθρωπίας οἶμαι τοῖς καταίρουσι προΐσχεται καθάπερ ἐκ χειρῶν ἀντιλαμβανομένη πλείστων, λιμένες γοῦν οὗτοι, πάντων ἀσφαλέστατοι· καὶ πάντων μάλιστ’ ἄσειστοι καὶ ἀζήμιοι, οἱ δέ, τοσούτοις ἀμέλει κατάπλοις· ὡς εἰπεῖν στενοῦνται, καὶ ἀεὶ πλέῳ πάσης ναυτιλίας καὶ θαλαττουργούντων, ἐπὶ κομιδῇ καὶ φορᾷ, πάσης χρείας δείκνυνται· καὶ οὐ κάμνουσιν ὥσπερ ἐπαχθιζόμενοι, τοσαῦτα δὴ πλεῖστα. οὐδ’ ἔστιν ὅτε καὶ ἀπωθεῖται, τοὺς ἐνδεεῖς, τῶν αὐτῆς ἡ μεγαλοψυχία τῆς πόλεως· ἀλλ’ ἀφθόνως ἔχουσ’ ἐπαρκεῖν, ἐλευθερίως τὸν ἀεὶ χρόνον, ἅπασι νέμει. καὶ καθὼς αἱ φιλόστοργοι μητέρες τοῖς τέκνοις, ἅπασιν ἀνθρώποις πάντοθεν ἐπιδήμοις, κατὰ δή τινα τὴν χρείαν, τὰς ἀγκάλας αὐτῆς ὑπανοίγουσα τῶν λιμένων, ὧν ὡς ἔφην ἐν σπλάγχνοις εἴσω φορεῖ, χορηγεῖ πᾶσι καὶ διοικεῖται τὴν χρῆσιν, ἅπασαν ἑκάστοις· οὔτε φιλανθρωπίας· οὔτε νομῆς ἐλλείπουσα πώποτε· οὔθ’ ὑποδοχῆς, καὶ χώρας ἅπασιν· ὥστε προσδοκᾶν ἐπ’ ἀσφαλοῦς, ὥστε ῥᾷστα χρῆσθαι· καὶ πιστεύοντας ἥκειν τῇ τῆς πόλεως μεγαλοψυχίᾳ, κατ’ ἀμφότερα· καὶ χώραν ὑποδοχῆς ἄλυπον· καὶ τύχην τῆς χρείας ἑτοίμην· καὶ πάνυ τοι, μετὰ ῥαστώνης λοιπὸν, ἥκοντας πράττειν κατ’ ἐλπίδας· καὶ ἀνύτειν ὡς ἂν, γνώμη σφίσι καὶ βούλησις προύκειτο· ὡς ἄρα γε καὶ λιμὴν ἡ πόλις ὄντως, ἐμοὶ δοκεῖν κοινὸς ἅπασιν ἀνθρώποις ὁρᾶται πάσης ἀπορίας· εὖ καταστῆναι καὶ ὁρμίσασθαι, τόν τινα τοῦ βίου κλύδωνα καὶ τῆς τύχης· καὶ φάρμακα τῆς πόλεως λαβεῖν, ἁπάσης κακοπραγίας· καὶ τὴν ἐνοχλοῦσαν ἑκάστοτε συμφορὰν, ἰάσασθαι· καὶ μεταθέσθαι. καὶ λιμένες μὲν ἄλλοι τινὲς, ἄλλη χορηγίας ἔρημοι· καὶ διατοῦτ’ ἄρα καὶ τῶν καταιρόντων ἔρημοι· κομίζειν τὲ καὶ φέρειν ἄττα δή· καὶ καλὸν ὡς εἰπεῖν ἀνόνητον· καὶ ἄλογος φιλανθρωπία βιούντων τὲ | f. 282 καὶ χρωμένων, ἀνθρώπων ἀπουσίᾳ, δι’ ἄλλήν τιν’ ὡς ἔοικεν ἀχρηστίαν· ἢ φύσεως· ἢ τύχης. χῶραι δ’ ἄλλαι καὶ πόλεις ἀλλαχοῦ τῆς γῆς, εὐφοροῦσαι· καὶ καλῶς πράττουσαι τὰ οἴκοι· καὶ καλῶς πράττειν ἐς κοινωνίαν ἀνθρώπων, οἷαι τ’ ἂν, οὖσαι, δυστυχοῦσι τὴν ἀκαιρίαν τῶν τόπων· καὶ τὸ τῶν πολλῶν ἀκοινώνητον· καὶ ἄμουσον· καὶ ἀγριωπὸν, καὶ διὰ λιμένων στείρωσιν, ἀποτειχισθεῖσαι πρὸς πάντας ἀνθρώπους, καὶ πάντων ἀπέλαστοι κατάπλων

95,17 ὑποδοχῆς V[2]: ὑποδοχὴν V **34** ἐς κοινωνίαν V e corr.

11 cf. Ael. Arist., Or. 13 (p. 195, 6–7) **24–28** cf. supra, Or. 10, 28, 20–24

ὀρφανισθεῖσαι, κατάκλειστοί τε· καὶ ἄμικτοι καὶ ἀσυντυχεῖς· κἀντεῦθεν ἄρα καὶ ἀσυντελεῖς τῇ κοινῇ φύσει καὶ ἀφιλάνθρωποι, οὐκ ἔχουσιν οὔθ’ ἑαυταῖς ὅ,τι χρήσαιντο λοιπὸν, οὔτ’ ἄλλοις· ἀλλ’ ἀηδῆ καὶ ἀνόνητον καρποῦνται τὴν εὐδαιμονίαν, ἣν ἄρα δὴ· καὶ παραπλησίως τοῖς ὄναρ πλουτοῦσιν· οὐκ ἐπ’ ἀνθρώπων ἐμφανῶς ἔχουσιν εὐπραγεῖν· καὶ δείκνυσθαι τῆς τύχης διαρκῶς.

96. Ἀλλ’ ἡ πόλις ἁπάντων ἐπιτυχὴς ὁμοῦ· καὶ κατ’ οὐδὲν ὁτιοῦν ἧττον ἔχει καὶ χηρεύει τῶν βελτίστων, ἑαυτῇ τε καὶ παντὶ τῷ βίῳ· καὶ πᾶσιν ἀνθρώποις· καὶ τὰ οἴκοι μάλιστ’ εὐδαιμονοῦσα· κατὰ πάντας τρόπους εὐζωίας, ἡ δὲ, καὶ κοινόν ἐστιν ἀμέλει πάντων ἀγαθὸν· καὶ σύνδεσμος βίου· καὶ πολιτείας κοινῆς ἀνθρώπων ἀνάγκη· καὶ ἀνθρωπίνης εὐδαιμονίας ὑπόθεσις καὶ ἀφορμὴ· καὶ συνεχείας ἑνὸς κόσμου· μᾶλλον δὲ τοῦ παντὸς κόσμου μονῆς ἀφορμὴ, δι’ ὧν ἔλαχε καὶ ἰσχύει, πρὸς τὸ κοινὸν ἀνθρώπων, καὶ Θεοῦ προνοίας ἐνέχυρον, μέχρις ὅτου περίεστι καὶ βιοῖ καὶ δείκνυται, καὶ τὸ πᾶν ἀσφαλῶς καθόλου γ’ ὡς ἔπος εἰπεῖν, μένειν καὶ θαρρούντως ἵστασθαι. καὶ κοινὸν γὰρ χρήσιμον ἁπάντων· καὶ πάντες τἀνύσιμον τοῦ βίου καὶ τὰ λυσιτελῆ τῆς ζωῆς ἐντεῦθεν πορίζονται· κἀνταῦθα τὰ πάντων ἀνθρώπων πράγματα· κἀντεῦθεν τὰς ἀρχὰς ἔχει· καὶ ἀεὶ κοινὰ πρὸς ἅπαντας ἀνθρώπους αὐτῇ· καὶ ἀεὶ πάντων ἀνθρώπων ἐνταῦθα ἀγορά· καὶ τὰ καθήκοντα σφίσιν ἑκάστοις τῇδ’ ἀλλάγματα καὶ προφάσεις ἐπιμιξίας, f. 282v ἀλλήλοις ἐνταῦθ’ ἅπασι | καὶ πάντες τοῖς ἑαυτῶν· καὶ τοῖς ἀλλήλων τῇδ’ ἔχουσι μάλιστα χρῆσθαι. καὶ τοίνυν ὅπερ δὴ τὰ συσσίτια τῶν πόλεων ἐνίαις εἶχε πάλαι καὶ τόπος τις αὐτοῖς εἰς τοῦθ’ ὥριστο, τοῦθ’ ἡ πόλις δοκεῖ μοι νῦν ἀτεχνῶς, τῶν ἀπὸ πάσης τῆς οἰκουμένης ἀνθρώπων, καθάπέρ τις οἶκος εἶναι καὶ τόπος κοινὸς συσσιτίων· καὶ ὥσπερ παντοίας ἀγέλης, θρεμμάτων τῶν τῆς γῆς ἁπάντων· ἀνθρωπίνων θρεμμάτων εὐφυέστατα· καὶ ἐπικαιρότατα κοινὰ συννόμια· καὶ πάντων ἀνθρώπων καὶ ἐθνῶν

38 ἄμικτοι V^2 e corr. **43** ἔχουσιν V^2: ἔχοντες V **96,16** ἀλλάγματα V e corr. **21** καὶ V^2 s.l.

42 cf. Plat., Theaet. 208b **96,5** cf. Ael. Arist., Or. 45 (p. 64, 14) **11–22** cf. Them., Or. 48bc (pp. 226–228) **21** cf. Ael. Arist., Or. 26, 102 (p. 121, 24–25) et Or. 23, 24 (p. 37, 28–29)

φύσεις· καὶ πάντων ἀνθρώπων γλώττης ἰδιότης· καὶ ἄλλων ἄλλ' ἔθη παντοῖα, κοινωνεῖν πως ἐνταῦθ' ἔχει τῇ πόλει, τὰ σφέτερα αὐτῶν ἕκαστα· καὶ πολιτεύειν· καὶ ἀνύτειν ὁτιοῦν χρήσιμον οἴκοι. καὶ οὐκ ἔστιν οὐδ' ὡντινωνοῦν ἀνθρώπων· οὐδ' ὁτὲ τῶν καιρῶν τὴν πόλιν, οὐχ ὁρᾶν ἔρημον· ἀλλ' ἀεὶ καὶ πάντων, ἔποικον· καὶ πάντων παμπλήρη.

97. Καὶ μὴν ἕκαστοι μὲν ἔχουσιν ἐν τοῖς σφετέροις οἴκοι, πατρίδα τινὰ καὶ τροφὸν καὶ νόμους οὕστινας, πρὸς ἀλλήλους κοινοὺς· καὶ κοινὰ δόγματα· καὶ βουλεύματα· καὶ πολιτεύματα ἅττα καὶ ἀλλάγματα· καὶ διαφορὰς ἐθνῶν προσηκούσας ἄλλοις ἄλλας· κατὰ βίοτον ὁντιναοῦν πάλαι τῶν χρόνων ἡρμοσμένον. ἔχουσι δ' ἕκαστοι καὶ κοινὴν ὥσπερ ὁμοῦ πατρίδα καὶ τροφὸν τὴν πόλιν τήνδε· καὶ πράττειν ἐπὶ ταύτης ἅττα καθ' αἵρεσιν, καὶ νόμιμον ὡσανεὶ ξυντυχίαν ἔχουσι· καὶ πράττειν ἅμα μὲν πρὸς ἀλλήλους, οἱ ἀπὸ τῆς αὐτῆς τὰ εἰωθότα· ἅμα δὲ πρὸς ἀλλήλους ἅπαντας ἕκαστοι κάλλιστ' ἐπὶ τῆσδε τῆς πόλεως· καὶ τοῦτ' αὖθις κατ' ἔθος καὶ νόμιμον ἀκίνητον, τῆσδε τῆς πόλεως ἐκ μακρῶν τῶν χρόνων. καί τις ἔοικεν εἶναι τρόπον τινὰ τοῦτον, καινότερον ἐνταῦθα κοινοπολιτεία πάντων ἀνθρώπων· τελεσφόρος εἰρήνης, εἰς τὸν κοινὸν βίον ἀνθρώποις ἅπασι· καὶ πάντ' ἀλλήλων οἴκοι τὲ καὶ ἄλλη πη κατὰ φύσιν ἄμικτα· καθάπαξ ἅττα ἔθνη, τῇδε κοινωνεῖ τῇ πόλει· | καὶ μέσῃ διαλλάττεται· καὶ ξυμβαίνει πως ἐπὶ ῥητοῖς f. 283 ἐμπρόθεσμα ταύτῃ δὴ· καὶ τακτοῖς ὅροις ἀνάγκην ἀσάλευτον ἔχει πείθεσθαι· καὶ βιοῦν ἔνσπονδα· καὶ βιοῦν ἀνθρωπίνως, μετ' ἀλλήλων· μᾶλλον δὲ, μετὰ τῆς κοινῆς φύσεως· οὐ κατὰ τὰ τῶν ἀλόγων ἔνια δηλαδὴ ζῴων· καὶ θηρίων τὰ μάχην ἄπαυστον ἀνῃρημένα πρὸς ἅπαντα, καὶ ἀκατάλλακτον τὸν ἅπαντα αἰῶνα. καὶ συναγελάζεται, τά γε τέως ἀλλήλοις ἰταμῶς ἔχοντα· καὶ ἀτίθασσα· τῆς πόλεως ἐγγυωμένης, ἢ μᾶλλον τὰς ἐγγύας αὐτὰ τῆς καταπαύσεως, τοῦ πρὸς ἀλλήλους πολέμου, καταθέμενα· καὶ

97,4 ἅττα scripsimus: ἄττα V **5** ὁντινανοῦν V a. corr. **15** ἄλλῃ V[1]: ἄλλοι V **17** ἐμπρόσθεσμα V a. corr. **19** τὰ τῶν V[1]: τῶν V **23** ἀτίθασσα: sic V, servavimus **24** πολέμους V a. corr.

97,6 cf. Id., Or. 13 (p. 176, 18–19); Ibid. (p. 163, 10) **13** cf. Metoch., Misc. 71, 8, 12 (p. 230)

σαφῶς ἀποδόντα, τῇ πόλει· οὐχ ὥσπέρ τινι κοινῷ μόνον καθ’ αἵρεσιν διαλλακτῇ, ἀλλὰ καὶ ὥσπερ ἄρα κοινῷ τινι κατὰ φύσιν δεσπότῃ· καὶ κρατεῖν ἔχοντι καὶ προστησαμένῳ τὸν κοινὸν ἀνθρώποις Φίλιον.

98. Οὐκοῦν ὅστις ἄν, βούλοιτο τὰ πάντων ἀνθρώπων εἰδέναι· καὶ μορφὰς φύσεως ἑτεροίας· ὡς ἄλλοις ἄλλα παντοῖα ἰδεῶν χαράττει κόμματα, καὶ τρόπους· καὶ θεσμούς· καὶ τροφάς, καὶ ὅλως πολιτείας ἑκάστοις ἀγωγήν, καὶ βίου χρῆσιν· ἢ πάντῃ περιοδεύειν ἀνάγκην ἄν, ἔχοι τῆς ἐκμαθήσεως ταύτης ἕνεκα καὶ γνώμης· καὶ πείρας· καὶ πονεῖν ὡς ἀληθῶς ἀπέραντα καὶ ἀνήνυτα, ἢ μᾶλλον οὐδεμίαν εἰς τοῦτο τὴν ἀνάγκην τῶν πόνων ἔχει· ἀλλ’ ἔξεστιν αὐτῇ μόνῃ, τῇ πόλει χρῆσθαι· περὶ τὸ σπουδαζόμενον· καὶ μίαν εἶναί οἱ τὴν ἀνάγκην ταύτην μόνην, πρὸς τὴν πᾶσαν εὖ μάλ’ ἀνύτειν ἔχουσαν τἀνδρὶ βούλησιν, ἐνταῦθα τῇ πόλει γίγνεσθαι· ὥσπερ ἐν ἀπόπτῳ τινὶ καὶ περιόπτῳ πάντων ἀνθρώπων ἑνὶ χώρῳ καὶ ξυμφανεῖ πάντοθεν· καὶ διδασκαλείῳ κοινῷ τῆς γῆς· καὶ τάχιστα καὶ ῥᾷσθ’ οὕτω δὴ περὶ πάντων ἐφορᾶσθαι· καὶ ῥᾷστ’ ἐκμανθάνειν ἅπαντα δὴ κατ’ αὐτούς· καὶ ἅλις εἶναί οἱ κατὰ τὴν πόλιν τοῦ πόθου· καὶ τουλοιποῦ πράγματ’ οὐκ ἔχειν, ἣν ἄρα
f. 283v σωφρονεῖν βούλοιτο· πολυμαθέστατος ὢν ἐρᾷ τῆς πόλεως | αὐτίκα γενόμενος· καὶ βέλτιον ἴσως, ἢ καὶ εἰ παρ’ ἑκάστοις ἔθνεσιν ἐπόνει· καὶ πλάνον ἐφορεῖτο παμμήκη τινὰ καὶ πολύστροφον.

99. Καὶ μὴν ἐνίων ἤκουσα λεγόντων, καὶ αὐτὸς ἔγωγ’ ἔδοξα πολλάκις, ἄμεινον εἶναι πολλῷ κατ’ ὀλίγα πάνυ τοι βιοῦν ἔτη πλείστοις ὅσον οἷόν τ’ ἄν, εἴη ξυνόντα· καὶ συνανακοινούμενον, ἀνθρώποις καὶ πράγμασιν, ἢ κατὰ πλείω μάλιστα μετ’ ὀλίγων αὐτὸν συνεξεταζόμενον· καὶ τὸν τρόπον δὴ τοῦτον ἀπαντλοῦντα βίοτον μακραίωνα· καὶ τοῦτ’ ἄν, εἴη κέρδος μάλιστα τοῦ βίου, καὶ πολὺ κέρδιον, τό τ’ ἐπὶ μείοσι τοῖς χρόνοις, τὸν βίον οὕτως ἄρ’ ἀνύτοντ’ ἐκμετρῆσαι· καὶ ξυμπεράναι τάχιον πολλοῖς ξυντετυχη-

27 τὸν V^2: τὸ V **98,8** ἔχειν V a. corr. **10** ἀνύττειν V a. corr. **99,5** αὐτὸν V^2: αὐτῶν V **7** τὸ V^2: τοῦ V

98,1–15 cf. supra, Or. 10, 38, 1–18 **99,5–6** Plat., Resp. 407d **7** Hom., Il. 3, 41

κότα πράγμασι· πολλὰ μάλ' ἰδόντα· πολλῶν ἀμέλει, πεπειραμένον καὶ κοινωνήσαντα, ἢ μακρά τις ζωῆς ἐρημία· καὶ πολὺς ἐτῶν ἀριθμὸς, μετ' ὀλίγης ἔργων τὲ καὶ πραγμάτων τῆς τύχης ἐκτήκων καὶ δαπανώμενος· καὶ τῶν καλλίστων οἶμαι θεαμάτων χηρεύων· ὥσπερ ἀηδεῖ σκότῳ τινὶ καὶ νυκτὶ πολυμήκει ξυλλαχόντα τινὰ καὶ κατατεινόμενον τὴν ζωὴν· ἢ κατάκλειστον ὑπὸ γῆς καταστενούμενον· καὶ κατάκριτον οὐκ οἶδ' ὅπως, ἐρεῖν ἀβίωτον· καὶ ὡς ἀληθῶς ἄχαριν τὸν βίον ἕλκοντα· καὶ πονήρως ἔχοντα· καὶ τυφλώττοντα τῶν βελτίστων τῆς ἐποπτείας καὶ ξυντυχίας· καὶ πάσης εὐκολίας βιωτικῆς καὶ χρήσεως, ἐρρᾳστωνευμένης δυστυχοῦντα· καὶ ὀλιγοπνοοῦντα μακρὸν δρόμον· καὶ ὥσπερ ἐν νεκροῖς βιοῦντα καὶ πολιτευόμενον.

100. Ἀλλ' εἰ τοῦτ' ἄρα, καὶ πᾶς ἂν, οὕτως οἶμαι συνετῶς ἐπιστατῶν τε καὶ κρίνων δόξαι, μακροβιώτατοι τῶν ἄλλων ἂν, εἶεν οἱ τῇδε συζῶντες, τῇ πόλει τόν γε τρόπον τοῦτον, ὄντως, καὶ πολυολβώτατοι τῆς ζωῆς, ὑπὲρ ἑκάστους ἑκάστης καὶ χώρας καὶ πόλεως. καὶ παραβάλλειν οὐκ ἔστιν, ἅττα δὴ τῶν ἄλλων, τῇ περιουσίᾳ τῇδε· καὶ τῷ πλούτῳ τῷδε τοῦ βίου· καὶ τοῖς ἐγχωρίοις καὶ ξένοις ἐπιδήμοις τῇ πόλει | πράγμασι καὶ ἀνθρώποις· καὶ τῇ f. 284
πάντοθεν ἐνταῦθα εὐποριστῳ ξυμβιώσει· καὶ παμπληθεῖ κοινωνίᾳ καὶ ξυντυχίᾳ· καὶ κοινῇ τῶν τῆς οἰκουμένης, καὶ ἀνθρώπων τὲ καὶ πραγμάτων, ἐνθάδ' ἀγορᾷ, πληθούσῃ τὸν ἀεὶ χρόνον ὡς εἴρηται· οὐ νῦν μὲν ἴσως· νῦν δ' οὔ· ἀλλ' ἐπίσης ἀεὶ. καὶ τοῦτο πρὸς τοῖς ἄλλοις, μάλιστ' ἂν, εἴη τῆς πόλεως ἡμῖν κέρδος, ὡς πλεῖσθ' οὕτω λοιπὸν βιῶσαι· καὶ ὡς κάλλιστα μὲν οὖν καὶ ὡς ἄν τις εὔξαιτο. καὶ λόγος οὐδεὶς πρὸς τὴν παρ' ἡμῖν μακαρίαν, καὶ οἷστισινοῦν ἀνθρώπων εὐδαιμόνων, εὖ μάλα δοκοῦσι τιμίοις πράγμασι. καὶ πολλῷ βελτίους ἂν, εἶεν οἱ τῇδε ζῶντες, ἀνύτοντες εὐαριθμήτους περιόδους ἐτῶν, ἢ καὶ ἄλλῃ πῃ διπλασίας ἢ καὶ πολλαπλασίας· καὶ κομιδῇ τις ἡδέως ἀλλάξαιτ' ἂν, καὶ ὀλίγον ἐνταῦθα βίον τῶν παρ' ἄλλοις μακρῶν ἐτῶν· καὶ τοῦ πολλοῦ τῶν ἡμερῶν ἀριθμοῦ

9 πολλὰ scripsimus: πολὰ V **14** γῆς V[2]: γῆν V **18** βιωτικῆς V[1]: βιοτικῆς V
100,7 ἐπιδήμοις τῇ πόλει V e corr. **17** πολλαπλασίας V[2]: πολαπλασίας V

10 cf. Plot., Enn. 3, 2, 15, 29–33 (I, p. 290) **14–15** cf. Plat., Resp. 514a
16–20 cf. supra, Or. 10, 7, 14–34

καὶ τῆς συλλογῆς πρὸς τὴν τῆς εὐζωίας αὐτὴν ἕξιν καὶ περιουσίαν· ἀληθεύουσαν ὄντως καὶ τοῦ πράγματος, ἐπώνυμον ὡς εἰκὸς καταμετρούμενος. καὶ εἰ τὸ ζῆν αἰσχρῶς, αἰσχρὸν ὡς ὁ λόγος, καὶ τοῦδ' ἄμεινον τὸ θανεῖν, ἦ που πολλῷ γε ἄμεινον, ὥστε καὶ παραβάλλειν, ἀντὶ πολλῶν ἀτίμων ἐτῶν, ὀλιγόχρονος μὲν, ἀλλὰ πλήθουσα εὐδαιμονία· καὶ τύχης ἀκμὴ καὶ εὐετηρίας. καὶ τὸ μὲν κατθανεῖν φησὶν ὀφείλεται, κἂν εἰ πλεῖστα τίς βιώσαι καὶ οὐδὲν μᾶλλον, ἢ εἴ τις ἐλάχιστα· καὶ τὴν τῆς ζωῆς μοῖραν, οὐκ ἔστιν ὑπεκφυγεῖν· ἀλλὰ τὸ τέλος τοῦ βίου, πᾶσιν ἴσον μένει· καὶ ἴσον γε δοκεῖ πρὸς τοῖς ἐσχάτοις ὡς ἀληθῶς καὶ ὅσοι τῆς ζωῆς, ἐπὶ μήκιστον ἔδοξαν ἀπολαῦσαι· καὶ ὅσοι τοὐναντίον. τὸ δ' ἐνευπραγῆσαι τῇ ζωῇ, καὶ ὁποσονοῦν τῶν χρόνων καὶ κάλλιστα τυχεῖν ταύτην ἐκμετρήσαντα βέλτιστα χρησάμενον οἷς ξυνέλαχεν ἔτεσι, τοῦτο τοῦ βίου τὸ κέρδος· καὶ πᾶσι μᾶλλον εὐκταῖον τὲ καὶ πολυέραστον, ἢ πολλὰ ἔτη πονήρως, οὐδενὸς ἀπολαύοντα, τῶν ἀγαθῶν
f. 284[v] τὲ καὶ ποθεινῶν καὶ | χρησίμων.

101. Πλάτων μὲν οὖν, Ἡρόδικον τὸν ἐκ Σηλυβρίας· αἰτιᾶται πονηρῷ ξυλλαχόντα σώματι, τῶν πολλῶν ἐκείνων καμάτων καὶ γυμνασμάτων, καὶ τῆς τοῦ ζῆν ἐπιμελείας ὡς ἄρα μακρὸν ἑαυτῷ τὸν θάνατον, παντὶ τρόπῳ πράξαντα· καὶ πολλὴν εἰς τοῦτο πρόνοιαν, φροντίσαντα καὶ παρασκευὴν· κακῶς πάνυ τοι καὶ ἀμαθῶς· ἐξὸν πάλαι μετὰ τοῦ ζῆν πολλῶν ἀπηλλάχθαι πραγμάτων, καὶ πόνων. ὅτε δὲ τοῦθ' οὕτως ἔδοξεν, ἦ που δῆλον καὶ παντὶ, ὡς ἐκεῖνος κάλλιστον, ἂν ᾤετο καὶ ἀσπαστὸν, καὶ οἶμαι γε τοῦ παντὸς τιμώμενον, ὀλίγαττα ἔτη μετ' εὐπραγίας, καὶ τῆς κατὰ τὸ ζῆν εὐκολίας· καὶ ὄντως τοῦτ' εἶναι τὴν πολυζωίαν· ἐν ἕξει καὶ περιουσίᾳ βιοῦν τῶν βελτίστων· εἰ δὲ μὴ, καθ' ὅσον οἷόν τ' ἂν, εἴη σπουδῇ πάσῃ, φεύγειν αὐτὸν ἑκόντά τινα ἑαυτὸν καὶ τὸν βίον· καὶ τὴν ἐν τῷ ζῆν ἀχρηστίαν ἑαυτοῦ· ἅτε μηδὲν ὄντα· μήθ' ἑαυτοῦ· μήτε τοῦ βίου, τόν γε τοιοῦτον ὄφελος· καὶ τὸ περὶ τὴν τοιαύτην ζωὴν λίχνον, μικρογνωμοσύνης μεγάλην ἀπόδειξιν οὖσαν. καὶ γὰρ δὴ καὶ βέλτιον εἶναι τῷ παντὶ τὴν τύχην ἐνταῦθα αἰτιᾶσθαι, ἢ γνώμης ἑαυτῷ, καταδίκην καὶ ψῆφον οὐδενείας καὶ φαυλότητος, καθ' ἑαυτοῦ παρασκευάζειν αὐτόν τινα καὶ κελεύειν, οὕτω τοὺς

100,22 Soph., El. 989 **26** Eurip., Alc. 419 **101,1–6** Plat., Resp. 406a

πολλοὺς περὶ ἑαυτοῦ δοκεῖν. ὅ γε μὴν Σίφνιος πολίτης, παραίτησιν ἱκανήν τε καὶ ἀξιόλογον, πρὸς Θεμιστοκλέα τῆς ἀπραξίας· καὶ ἀτιμίας ἑαυτοῦ, τὴν ὀλιγότητα, τῆς πατρίδος ἀπέφαινε καὶ προύφερε παρρησίᾳ· καὶ τὴν μικρὰν τύχην ὡς ἀμέλει μὴ παρέχουσαν ἀφορμὰς εὐδαιμονίας καὶ περιφανείας εἰς τὰ πράγματα· καὶ τὸν βίον· καὶ οἱ τόπων περιόπτων ἐν τῷ θεάτρῳ τῆς ζωῆς ταυτησὶ λαχόντες, χώρας ἐπ' ἀληθείας ἱκανῶς ἔχουσιν· εἰ καλῶς ἔχουσιν ἐφ' ἑαυτῶν δείκνυσθαι καὶ τοὺς τῶν πολλῶν ὀφθαλμοὺς καὶ λόγους, εἰς ἑαυτοὺς ἕλκειν· καὶ μέγιστον, εἰς τιμὴν συνεκλάμπειν τοῖς ἔχουσι τόποις, καὶ ταῖς πατρίσι. |

102. Καὶ τοίνυν τοῖς ἐκ τῆς πόλεως ἡμῖν τῆσδε· τῆς πάνθ' f. 285
ὑπερφυοῦς καὶ μεγίστης, πλεῖσται δῆθ' ὅσαι πρὸς εὐδοξίαν, ἀφορμαὶ· καὶ οἷαι μή τινος ἄλλης ἄλλοις. καὶ ὁρώμεθα πάντῃ περιιόντες· περιφανεῖς καὶ κομιδῇ λαμπροὶ λαμπρῶς· καὶ ἀκούομεν πᾶσι τοιοῦτοι· διὰ τὸ τῆς πόλεως ἀξίωμα καὶ τὴν τύχην· οἷς ἡμᾶς ᾠκείωσεν ἡ φύσις ὅσοι καὶ γεγόναμεν, τοῦ τοσούτου πράγματος ἐπιτυχεῖς· καὶ τὸ πολίτην, εἶναι τῆς τοιαύτης πόλεως, τὸ μέγιστον αὐτίκα κλέος ἔρχεται καὶ περιφανέστατον· κἀκ μόνης αὐτῆς ἀκοῆς· καὶ τῶν τοσούτων πλεονεκτημάτων τῆς πατρίδος, συμπομπεύει γε ἡμῖν πάντῃ καὶ ὁρωμένοις τὲ καὶ ὁρῶσι· καὶ ἀκουομένοις γε μὴν, ὁ κάλλιστος αὐτόθεν θρίαμβος. καὶ ὥσπερ οἱ μακρὰς κληρονομοῦντες οὐσίας καὶ πατέρων διαδοχὰς, ἐπισήμους· κἂν εἰ μηδὲν ἔχοιμεν ἡμῶν αὐτῶν οἴκοθεν αὐτουργικὸν χρήσιμον, ἀπολαύειν ἔχομεν, τῆς πάλαι προτέρας περιλάμπρου παρασκευῆς· καὶ τοῖς πολλοῖς μακάριοι δοκοῦμεν καὶ ζηλωτοὶ τῆς ξυντυχίας ταύτης, ἐκ τῶν προγόνων καὶ τῆς πατρίδος· καὶ νομίζεται θεία τις ἡμῖν μοῖρα, τὰ τῆς πόλεως ἀγαθὰ, τοσαῦτα· καὶ ἡ λαμπρότης τῶν ἔργων, τῶν ἐκ τοῦ παντὸς χρόνου καὶ τῆς τύχης, ἐν τῷ παντὶ χρόνῳ. καὶ τὴν τύχην γὰρ ταύτην παλαιαὶ πρότερον ἐξ ἀρχῆς ἀνδραγαθίαι, παρεσκεύασαν τῇ πόλει καὶ ἡμῖν· καὶ προήγαγον, καὶ μέγισται καὶ πολυώνυμοι, τῶν ἁπασῶν ἄλλων ὁμοῦ πράξεις καὶ συντέλειαι· τῶν οἰκησάντων εἰς τοσοῦτο δὴ διεδέξαντο πάντοθεν· καὶ συνεσκεύασαν καὶ κατεστήσαντο· καὶ μακρὸς ἐκεῖθεν ὁ

19–24 Ibid. 329e **102,4** cf. Ael. Arist., Or. 30, 10 (p. 205, 2) **7** cf. Luc., Herm. 23 (p. 35, 1–2)

ποριστὴς, τοῦ κλέους τῇ πόλει χρόνος· καὶ συνεχὴς περὶ τὰ κάλλιστα.

103. Καὶ ἔγωγ' ἐσκοπούμην, καὶ οἷος τ' ἦν τῶν λόγων f. 285[v] ἀρχόμενος, εἰς τὴν παροῦσαν ὑπόθεσιν, καὶ περὶ τῶν μεγάλων | καὶ θαυμαστῶν ἐκείνων πράξεων, ἃς οἱ τήνδε τὴν πόλιν ἐξαρχῆς οἰκήσαντες Ῥωμαῖοι τὲ καὶ Ἕλληνες, εἰς τὸν βίον, ἐπεδείξαντο· λαμπροὶ λαμπρῶς τε καὶ γεννικῶς· καὶ τῆς πάντα μεγίστης τῆσδε πόλεως ἀξίως, μάλισθ' ὅσον οἷόν τ' ἦν, προσέχων εὖ μάλα τὸν νοῦν διαλαβεῖν. καὶ γὰρ δὴ καὶ μάλιστα τουτὶ καιρὸν ἔχειν, ἐνθάδε τῇ πόλει πρὸς τὸν ὅλον σκοπὸν, ἐξαρχῆς τῶν λόγων ἐφορῶντι καὶ πρὸ τῶν ἄλλων ἴσως ἁπάντων, καὶ τῶν ἄλλων ἴσως ἁπάντων ὡς ἄν τῳ δόξαι, τοῦθ' ἱκανὸν εἶναι καὶ ἀντίρροπον· καὶ ἀντιτιμώμενον δικαίως ἄν. ἐπεὶ δὲ τοὖργον τόδε παντὸς ἄλλου μᾶλλον δυσχερέστατον· καὶ ὡς εἰπεῖν ἐπίπαν ἀνέφικτον πειρᾶσθαι καὶ μεγάλων ἀγώνισμα· καὶ πρόθεσις ἂν, εἴη κατεσπουδασμένη συντάξεων καὶ ἱστοριῶν καὶ βίβλων· ὡς ἄρα δὴ καὶ πολλοῖς, τὰ τοιαῦτ' ἐπονήθη συγγράμματα, τοῖς μὲν, τά· τοῖς δὲ, τὰ, πάντως δὲ ἄλλοις ἄλλα τὸ μέρος καὶ οὐ πᾶσιν ἅπαντα· ὅτι μὴ δ' οἷον τε· καὶ ἅμα τοσοῦτο μῆκος ἤδη· τῶν παρόντων ἐξήκει λόγων· καὶ δέοι ἂν, ἴσως, τουλοιποῦ φείδεσθαι, πολυπραγμονεῖν ἀμέλει τὰ τοιαῦτα καὶ τρίβειν· καὶ τῶν χρόνων ἐξαρχῆς ἄνωθεν ἐπιχειρεῖν, ἐμοὶ δοκεῖν, οὐκ ἔξω λόγου παντάπασιν ἀφέμενος, τοσοῦτο μοι δοκῶ νῦν γε εἶναι, περὶ τούτων ἐνταῦθα προσθεῖναι· καὶ καθ' ὅσον ἔξεστιν ἔμβραχυ γ' ἐρεῖν· ὅτι δῆτ' ἄρα τὴν πόλιν ταύτην συνῴκησαν, τὸ ἀρχαῖον εἰς δεῦρο νῦν ἐκεῖνοι Ῥωμαῖοι τὲ καὶ Ἕλληνες, ὡς ἔφην, οἱ καταστησάμενοι σφίσιν ὑπὸ χεῖρα πᾶσαν, ὅσην οἰκεῖν ἔλαχον ἀτεχνῶς ἄνθρωποι· καὶ ταύτης εἰσὶν ἐπώνυμοι καὶ πολῖται τῆς πόλεως, οἱ τῆς οἰκουμένης ἐπώνυμοί τε καὶ ἄρχοντες καὶ κτῆμα κύκλῳ πᾶσαν παραστησάμενοι τὴν γῆν, ὡς ἄλλοις ἄλλων ὡντινωνοῦν, πόλεων τροφίμοις ἔχει τὰ περίοικα σφίσιν ἔγγιστα, ἄστη τὲ καὶ χώρα.

103,26–29 cf. Ael. Arist., Or. 26, 61 (p. 108, 13–14)

104. Καὶ μὴν ὅστις ἄν, οὐ ξυλλογίζοιτο λοιπὸν | ἐνταῦθα τὸ f. 286 τοσοῦτον ὅπως ἄρ᾽ ἐκεῖνοι κατεπράξαντ᾽ ἔργον· οὐ πώποτ᾽ ἀμέλει καὶ νῦν πρότερον γεγονὸς· τοσοῦτο δὴ, μὴ δ᾽ ἔχον ὅλως παράδειγμα, καὶ μεθ᾽ ὅσων τῶν ἀγώνων τὲ καὶ τῶν πόνων καὶ τῆς σπουδῆς· καὶ τῆς φιλοτίμου προθέσεως καὶ παρασκευῆς, καὶ τῶν γε κινδύνων ἑκάστοθ᾽ ὅσων συνεσκευάσθη πρᾶγμα τοσοῦτο, καὶ τοσαύτη τις ὑπόθεσις, εἰς τὸν βίον καὶ πραγματεία, καὶ δι᾽ ὅσων ἤρθη τῶν ἀπὸ πάντων ἐθνῶν, καὶ πάσης καθόλου τῆς γῆς τροπαίων τοσοῦτο φρόνημα τῇ πόλει καὶ μέγεθος ἀρχῆς, καὶ ὄγκος, ὅστις ἄν, οὖν ἄρα ταῦτα· μὴ καλῶς ἔπειτα συλλογίζοιθ᾽ ὡς ἔφην· καὶ κατὰ νοῦν περαίνοι, βλέπων εἰς τὸ πρᾶγμα, ἀπορῶ σαφῶς ἔγωγε, λοιπὸν· καὶ κομιδῇ θαυμάσαιμ᾽ ἄν, τίς οὕτω δυστυχὴς ἄν, εἴη καὶ πόρρω τῶν εἰκότων αὐτῶν τῆς φύσεως, καὶ πόρρω τῶν ὄντων. ἐκεῖνοι τὴν πόλιν ᾤκησαν ταύτην· καὶ συνῴκισαν ἐκ μικρᾶς μεγίστην· καὶ προῆγον ἑξῆς ἀεί, εἰς ὅσον ἔτ᾽ ἦν μῆκος πλέον· οὐ χωροῦσαν ἔοικε τοσοῦτο μέγεθος εὐδαιμονίας, οἱ τῇ μεγάλῃ χρησάμενοι τύχῃ· καὶ τῷ ταύτης κράτει κατὰ πάντων ἀνθρώπων καὶ τῆς γῆς ἁπάσης· ὑπερσχεῖν τε καὶ ὑποποιήσασθαι. ἐκεῖνοι, οἱ πᾶσαν τὴν οἰκουμένην, ὥσπερ ἓν θέατρον τοῖς ὀφθαλμοῖς ὑποθέμενοι καὶ τοὺς ἐπ᾽ αὐτῆς ἅπαντας ἀνθρώπους, κατ᾽ ἔθνη τὲ καὶ γένη πάντα· καὶ καθ᾽ ἑκάστους τὲ καὶ καθ᾽ ὁμοῦ, πλείστους ἔστιν οὗ, καθαπερεί τινας συνάθλους, καὶ ἀνταγωνιστὰς ἐπὶ τοῦδε τοῦ θεάτρου σφίσιν ἀνεστηκότας· καὶ πρὸς τοὺς ἄθλους ἀποδυομένους, καὶ τὴν ἀπὸ πάντων αὐτοὶ νίκην ἀραμένοι, καὶ τὰ κατὰ πάντων κηρύγματα· καὶ θεσμοθέτης, ὁ τοσοῦτος χρόνος ἀεί, τὰς αὐτὰς φέρων ψήφους· καὶ τῶν ἄθλων αὐτοῖς νομεὺς καὶ τῶν συμβόλων τῆς νίκης Ἑλλανοδίκης συμπεραίνων καὶ συγκαταδημιουργῶν σφίσιν ἔργ᾽ ἀμίμητα. καὶ οὐδὲν ἴσχυσαν ἐνταῦθα· οὐ Κελτῶν | καὶ Κελτιβήρων· καὶ Γαλατῶν ὁπλισμοὶ· καὶ φρονή- f. 286v ματα μέγιστα· καὶ πολλῆς ἰταμότητος καὶ ἀγερωχίας· οὐ Σκυθῶν τάχος· οὐκ Αἰγυπτίων σοφία· οὐχ Ἑλλήνων χρόνοις μακροῖς ἔθιμος ἐλευθερία· οὐ τῶν ἄλλων οὐδὲν ἐπὶ τῶν ἄλλων ἁπάντων,

104,1 ἂν οὐ V e corr. **7** τοσαύτη τις V[2]: τοσαύτις V

104,9–10 cf. Plut., Fab. Max. 4, 3 (p. 51, 26) **19** cf. Greg. Naz., 23, 6, 12–13 (p. 292) **30–31** cf. Niceph. Greg., Hist. Rom. (I, p. 99, 18)

ἐφορώμενον. ἐκείνων ἐστὶν ὁ τῆς μεγάλης ἐκείνης ἡγεμονίας καὶ ἀρχῆς περίβολος· καὶ τὸ μέγα στρατόπεδον ἀπὸ τῆσδε τῆς πόλεως· ἅπασιν ἀνθρώποις ὑποσημαίνων τὰ τῶν πρακτέων συνθήματα. ἐκείνων αἱ Βρεττανικαὶ νῆσοι τὰ πρῶτα τῆς Εὐρώπης αὐτίκα· καὶ πᾶσα λοιπὸν ἑξῆς Εὐρώπη συνεχὴς εἰς αὐτὸν Εὔξεινον· καὶ τὰ κατ' αὐτὸν τὸν Πόντον θαύματα· καὶ Μαιῶτις καὶ Τάναϊς ἄνω πρὸς βορρᾶν· καὶ Καυκάσου περίοδοι· καὶ Βακτρίων ὅροι καὶ Μήδων· καὶ Ἄρραβες εἰς νότον· καὶ κλέος ἀρχαῖον Αἰγύπτου· καὶ γῆς ἀρετὴ καὶ πολυφορία· ἴσα καὶ ταῖς ἄλλαις πόλεσιν οἱ πρόσοικοι ἀγροὶ τῇδε προσήκουσα τῇ πόλει· καὶ Λιβύης ἔπειθ' ἑξῆς, ὅσον ἥμερον ἀνθρώποις καὶ χρήσιμον· εἰς αὐτοὺς Γαδείρων πορθμούς, καὶ θάλασσα λοιπὸν ἐν μέσῳ τῆς ὅλης, καὶ γῆς καὶ ἀρχῆς, ὥσπερ καὶ ἄλλός τις ποταμὸς διὰ μέσου ῥέων· χώρας ἡστινοσοῦν· κἀκείνῃ προσήκων.

105. Καὶ τί ἄν, ἔτι πράγματ' ἔχοιμι· κάμνων ἀπέρανθ' ὡς ἀληθῶς· καὶ ἃ φυγεῖν προυθέμην καὶ παρελθεῖν, ἑκών· ἔπειτ' αὖθις ἢ καὶ ἄκων ὑπ' ἀνάγκης, ὡς ἔοικέ τινος τρίβων περὶ ταῦτα· καὶ μηδὲν ἀνύτων, οὔκουν γε καὶ ὁτιοῦν πρὸς τὸ τῶν πραγμάτων δίκαιον; καί μοι δοκῶ, καταπαύειν τοιγαροῦν περὶ τούτων. ἐκεῖνο δὲ καθόλου λέγειν ἔχομεν, ὡς ἄρα τὰ μὲν τῆς κοσμικῆς τῇ πόλει λαμπρότητος, τοιαῦτα· οὔκουν γέ ἐστιν ἐρεῖν, οὔθ' ὅσα ταῦτα δὴ πάντα, οὔθ' ὅλως οἷα παντάπασιν· οἶμαι μὲν οὖν οὐδ' ὁπωσοῦν ἀξίως λόγου· πλὴν ὅτι τὰ πάντων τῶν ἄλλων μέγιστα, καὶ πολλῷ
f. 287 γε προφέροντα· καὶ παραβάλλειν ἀμηγέπῃ, | τἆλλ' οὐ λείπεται προδήλως, εἰ μή τις μαίνοιτο. ἃ δὲ τῆς ἄλλης ἀμέλει μοίρας, ὅσα θειότερα· καὶ τὴν ἀπὸ Θεοῦ· καὶ τῆς κατ' αὐτὸν εὐσεβείας αὐτῇ φέρει δόξαν, οἷα δὴ κάλλιστ' αὐτῇ, καὶ ταῦτα· καὶ πρῶτα· καὶ πολλῷ γε μὴν εἰς λαμπρότητα ταῦτα μείζω τῶν εἰρημένων. δοκεῖ γὰρ δὴ συγκεκληρῶσθαι, τῇ κατὰ Χριστὸν ἡ πόλις εὐσεβείᾳ· τὸ ἐξαρχῆς εἰς νῦν πάντα διὰ πάντων· καὶ ὅλως αὕτη γ' ἐκεῖθεν, ἤρτηται· καὶ ὡς εἰπεῖν οὐσίωται, καὶ φθάνει πρότερον εἰρηκὼς ὁ

35 ὑποσημαίνων V: an ὑποσημαῖνον? **39** βορρᾶν scripsimus: βορρὰν V **46** προσήκων V^2: προσῆκον V

33–34 cf. Ael. Arist., Or. 26, 61 (pp. 100,28–101,1) **36–44** cf. Herodot., Hist. 3, 30 **105,17** cf. Plot., Enn. 3, 1, 1, 10 (p. 255)

λόγος, ὡς ἄρα καὶ τοῖς ἄλλοις, αὕτη νῦν γε πηγάζει νόμιμα πίστεως· καὶ δογμάτων θεοσεβείας συνθήματα· καὶ πρόγραμμα τῆς πίστεως, ἐξ ὑψηλῶν ἄνωθεν ὑπέρκειται, πάσης τῆς οἰκουμένης· ὡς ἄν, ταύτῃ γε, ὁρᾶν καὶ προσέχειν εὖ μάλα· καὶ τυποῦσθαι λοιπὸν ἐντεῦθεν τὴν ἀλήθειαν τῆς εὐσεβείας· καὶ τὴν ἀκρίβειαν. καὶ τὸ παρεγγράφειν καὶ παραχαράττειν, ὁτιοῦν ἢ χαράττεσθαι ὁπηοῦν, ἔξω τῶν κατ' αὐτὴν ὅρων καὶ μέτρων, κάκιστ' ἄνισόν τε καὶ νοσῶδες· καὶ ὁ μέγιστος αὐτίκα, κίνδυνος· χρῆναι δ' ἀκλινῶς παντάπασιν ἕπεσθαι· καὶ προσομοιοῦσθαι καθάπερ αἱ σκιαί, τοῖς ἀνδριάσιν ἔχουσι· καὶ ταῖς ἀνεχούσαις ἐπὶ γῆς στήλαις. καὶ μόνη γὰρ τοὺς τῶν πάντων καλῶν ἔχει κατὰ φύσιν ἄνωθεν ἀεὶ κανόνας ἑστῶτας· καὶ μένοντας· καὶ ἀτρέπτους· καὶ ἀποιήτους ἀεί· καὶ μόνη τοὺς τῆς πίστεως ἐξαρχῆς αὐτὴ σπόρους, ἀνοθεύτους τὲ καὶ καθαροὺς καὶ ὑγιαίνοντας, δεξαμένη, καὶ παμφόρους μὲν οὖν καὶ πολυφόρους, γεωργεῖ πᾶσι τροφὴν ἑτοίμην τε καὶ χρησίμην. καὶ μόνη τὰ κειμήλια τῆς θεοσεβείας, παρακαταθήκην τὴν ἀρχὴν λαβοῦσα· καὶ τὰς ἐντολὰς τῆς ἀσφαλείας αὐτῶν ὑποδεξαμένη καὶ ταμιεύουσα, πιστὴ ταῦτ' ἀζήμια κομιδῇ συντηρεῖ· καὶ οὐ συντηρεῖ μόνον· ἀλλὰ καὶ μεταδιδοῦσα | ῥᾷστα καὶ φιλανθρώπως τὲ καὶ f. 287^v μεγαλοψύχως· τοῖς ἑκάστοτ' ἐν χρείᾳ, ἡ δὲ, πᾶσι πάντοτ' ἀρκεῖ καὶ μάλ' ἀδάπανος· καὶ μάλ' ἐκφέρουσα· καὶ προτιθεῖσα πᾶσι τοὺς θησαυρούς, καὶ ὅλως ἀκένωτός ἐστιν εἰς τοῦτο χάρις αὕτη παντὶ τῷ βίῳ καὶ φιλανθρωπία· τὸν ἅπαντα χρόνον βρύουσα κατὰ φύσιν· καὶ ὡς ἔνι μάλιστα καλλίστη καὶ εἱλικρινὴς· καὶ ἀμείωτος τὸν ἅπαντα χρόνον. καὶ γὰρ δὴ καὶ οὐσίωται τοῦθ' ὡς ἔφην καὶ συγκεκλήρωται· τοεξαρχῆς τῇ κατὰ Χριστὸν πίστει. καὶ ὅρα γάρ, ὅτι διδάσκαλος μὲν καὶ ἀρχηγὸς αὐτῇ τῶν προτέρων δογμάτων τῆς τοῦ Χριστοῦ πίστεως· ὁ πρῶτος τῶν Χριστοῦ μαθητῶν τε καὶ ἀποστόλων, ἀκροατὴς τοῦ Χριστοῦ· καὶ πρῶτος κληθεὶς ἐπόπτης τὲ καὶ ἐπιγνώμων τῆς αὐτοῦ θεότητος, Ἀνδρέας ἐκεῖνος, οὗ τὰ μέγιστα θαύματα καὶ διδάγματα· καὶ αἱ πολλαὶ καὶ πολλαχοῦ

105,32 ἑτοίμην V^2: ἕτοιμον V **35** ταμιεύουσα scripsimus: ταμειεύουσα V **39** post θησαυροὺς ras. fere quinque litterarum in V **41** εἱλικρινὴς (sic accentus more byzantino)V^1: εἱλικρινῶς V **45** τῶν V^2: τοῦ V

27–28 cf. Greg. Naz., Or. 43, 77, 11 (p. 296) **45–56** cf. Niceph. Xanth., Hist. eccl. 2, 39 (PG 145, 860CD) **47–48** Io. 1, 41–42

τῆς οἰκουμένης περίοδοι, τῆς πόλεως ἐντεῦθεν ἀρξάμεναι· καὶ οὐ κατὰ τῆς Ἑλληνικῆς μόνον εὐγενείας, ἀλλ' ἄρα καὶ κατὰ βαρβαρικῆς ἀλογίας τὲ καὶ θηριώδους· ἐθίμου πρότερον ἀεὶ βιοτῆς πλείστων ἰταμωτάτων ἐθνῶν· χορηγήσασαι τὰ χρήσιμα· καὶ καταβαλοῦσαι τὰ θεῖα τῆς πίστεως, τοῦ Χριστοῦ σπέρματα· καὶ πολλὴν αὐτῷ πανσπερμίαν, ἀνθρώπων εὐφορώτατα γεωργήσασαι. καὶ διδάσκαλος μὲν οὗτος ἐνταῦθα· καὶ πρῶτος τῆς εὐσεβείας νομεὺς· δημιουργὸς δὲ πάλιν καὶ γεννήτωρ τοῦ μεγάλου τῆς πόλεως τοῦδε σώματος, καὶ ὀνόματος καὶ πράγματος, ἐν τῷ βίῳ καὶ πρῶτος εὑρετής τε καὶ πολιστὴς· καὶ οἰκονόμος καὶ χορηγὸς τῆς κατ' αὐτὴν, μεγαλοδοξίας τὲ καὶ ἀξίας, ὁ πρῶτος ἐκ βασιλέων Χριστιανὸς· καὶ τῆς εὐσεβείας τρόφιμος· καὶ ταύτῃ συναυξηθεὶς· καὶ τὴν ὅλην βασιλεῖ σπουδῇ πάσῃ καὶ ἐπιμελείᾳ γε πάσῃ· καὶ παντὶ τρόπῳ, φέρων αὐτὸς ἑκών γε εἶναι, καθυποτάξας καὶ ὑποθέμενος τῷ Χριστῷ· καὶ δουλώσας ἐν πράγμασι πᾶσι· καὶ προγράμμασι πᾶσι καὶ λόγοις· καὶ τὸ βασιλεύειν τῷ τοῦ Χριστοῦ
f. 288 κλήρῳ, πάσῃ γνώμῃ καὶ μηχανῇ· | καὶ χειρὶ μὲν οὖν, παρασχὼν ἐπὶ τῆς πόλεως τῆσδε· καὶ διὰ τῆσδε τῆς πόλεως· ἐπὶ τῆς οἰκουμένης ἁπάσης· καὶ τὴν μεγίστην καὶ πρώτην παρρησίαν· καὶ τὸ κράτος παντὶ τῷ γιγνομένῳ, πράξας εὖ μάλα μεγαλοψύχως, καὶ ἀνδρικῶς τῷδε τῷ συστήματι. καὶ μὴν μόνος αὐτὸς, ἅγιος ἐκρίθη, τῶν πάντων βασιλέων· καὶ τῆς μεγάλης καὶ ὄντως μεγίστης, ἔλαχεν ἀξίας ταυτησὶ, οὗ πόλις ἥδ' ἐπώνυμος· καὶ μόνος εἷς οὐκ ἐκ βασιλέων μόνον ἐνταῦθα· προσθεῖναι λοιπὸν τοῦτ' ἐστὶν, ἀλλὰ καὶ πάντων αὐτῶν ἁγίων, ἀποστόλοις ἀριθμεῖται, αὐτὸς οὑτοσὶ καὶ βασιλεὺς καὶ ἅγιος· καὶ τοῖς πρώτοις τοῖσδε καταλόγοις, μᾶλλον δ' ἐπιλέκτοις ὀλίγοις τὴν ἡγεμονίαν, τῆς εὐσεβείας ἀνῃρημένοις, καὶ ὡς ἂν, οὑτωσί γ' ἐρεῖν τοῖς ἐν τέλει, τοῦ μεγάλου βασιλέως, καὶ πάντων δεσπότου, κατατάττεται Χριστοῦ. καὶ τὸ μέγα τοῦτ' εὐδαιμονεῖ μόνος, καὶ κηρύττεται καὶ ὄνομα καὶ πρᾶγμα· καὶ τἆλλα πρὸς ταύτην δὴ τὴν ἀξίαν παραβάλλειν, ὁμοῦ τὰ μέγιστα πάντα· παντάπασι φαῦλα· καὶ τοῦ μηδενὸς ἄξια· κἀκεῖθεν ἄρ' ἄτρεπτα τὰ Χριστοῦ τὸν ἅπαντα αἰῶνα κρατεῖ καὶ τιμᾶται τῇ βασιλικῇ ταύτῃ πόλει· καὶ τὴν πόλιν τιμᾷ μάλιστ' ἐξ οὗ καὶ γέγονεν.

61 βασιλεῖ V[2] e corr.; fortasse βασιλείαν scribendum

106. Οὔκουν γέ ἐστιν ὅτε καὶ θρησκείαν τιν’ ἑτέραν ἀντὶ Χριστοῦ· καὶ σέβας ἀλλότριον ἠλλάξατο· οὐδ’ ἄλλην ἀντίτεχνον ἠμείψατο πίστιν ὡς ἄρα καὶ ἄλλαι πλείους τῶν ἐν τῶν παντὶ τῷδε κόσμῳ· μεγίστων τὲ καὶ ὠνομασμένων· καὶ ὠνομασμένων γε μὴν ἐξαρχῆς ἐπὶ τῇ Χριστοῦ πίστει· ἀλλ’ ἵσταταί οἱ καὶ μένει βέβαια τὰ θεμέλια, τῆς πρώτης αὐτῇ πήξεως, μετὰ Χριστοῦ καὶ συστάσεως· καὶ ἥδρασται καλῶς γε ἄσειστα καὶ ἀζήμια, τὸν αἰῶνα πάντα, πάσης τῶν ἄλλων δυσσεβείας ἐπικρατούσης. καὶ μόνος Ἰουλιανὸς, ἐπ’ αὐτῆς ἐκεῖνος βασιλεὺς· καὶ τῆς βασιλείας· καὶ τῆς πίστεως ἀλιτήριος· τῆς τοῦ Χριστοῦ βασιλείας | ἀποστάτης, f. 288v αὐτίκα κακὸς κακῶς ἀπαλλάττει, τάχισθ’ ὑπὲρ ἅπαντας ὡς εἰπεῖν, πρότερόν τε καὶ ὅσοι μετ’ αὐτὸν· ὠστρακισμένος ἐπιμήκιστον ἐν Πέρσαις, δοῦναι τὴν δίκην τῆς τόλμης καὶ τοῦ θράσους κατὰ τῆς πίστεως, ἀξίαν· καὶ τὴν ἀθλίαν καὶ ἄτιμον, ἀποδοῦναι τελευτὴν τοῦ βίου· περιφανὴς τὴν ἀσέβειαν· καὶ τὴν κακίαν μόνος ἐκ βασιλέων· καὶ περιφανὴς μόνος ἐκ βασιλέων τὴν αἰσχίστην ταυτηνὶ, καὶ ἀσχήμονα τῆς ζωῆς κατάλυσιν· καὶ κάκιστα συμπεράνας τὸ δράμα τῆς ἀσεβείας· καὶ τὴν ἐπ’ ὀλίγου τοῦ χρόνου σκηνήν. οὐ γὰρ ἠνέσχεθ’ ἡ πόλις, ἐφ’ ἑαυτῆς χρόνιον· τὸν αὐτῆς ἀλλότριον καὶ ἀνάξιον. καὶ ἔοικεν ἀτεχνῶς μέγιστον ὥσπερ καὶ τοῦτο θεοσεβείας αὐτῇ σύμβολον· καὶ ὧν ἐρᾷ μάλιστα· καὶ οἷς ἐρᾷ ξυνεῖναι καὶ τρίβειν ἐπιπλεῖστον· καὶ ὧν εἶναί τε καὶ καλεῖσθαι καὶ ἀρχὴ καὶ πόλις ἀξιοῖ· καὶ οἷς οὐ πέφυκε κοινωνεῖν τε καὶ ξυλλαγχάνειν· οὐδ’ ἔστιν αὐτῇ κατὰ φύσιν· πρὸς αὐτοὺς ἐπ’ ὀλίγον καὶ ὁτιοῦν συγγενὲς· ἡ κακίστη τυραννὶς αὕτη καὶ αὐτῆς καὶ τῆς κατ’ αὐτὴν εὐσεβείας ταχίστη λυομένη· καὶ πρὶν ἢ, καὶ σημῆναι σχεδὸν καὶ ὅτι πορρωτάτω γε αὐτῆς· καὶ κάκιστ’ ἀπαλλάττουσα· καὶ πάντων αἴσχιστα.

107. Οὕτω δὴ τά τε πρῶτα καὶ τάξ αὐτῆς, ἀμέλει πλεῖσθ’ ὅσα δὴ λοιπὸν ἔτη συνεχῆς, ἡ πόλις ἀκμάζει· καὶ σύνεστι καὶ συμπέφυκε τῇ πίστει Χριστοῦ. αἵ δ’ ἄρ’ ἐκεῖναι πλεῖσται περιφανεῖς ἄλλαι, καὶ τὰ θεῖα καὶ τἀνθρώπινα πράγματα, ἠλλάξαντό γε μὴν

106,10 ἀλιτήριος: sic V, servavimus **18** δράμα: sic V, servavimus

106,5–10 cf. Sozomen., Hist. eccl. 2, 3, 7 (pp. 52,27–53,2) **18** cf. Greg. Naz., Or. 4, 82, 8 (p. 208)

αὗται, τῆς τύχης· οὐ μόνον τὸ κράτος, ἀλλὰ καὶ τῆς ἀληθείας τοῦ Χριστοῦ· καί τινι μεταξὺ συνεκληρώθησαν δαίμονι πονηρῷ, αἱ μὲν, ὅσον καὶ τραπῆναι γε τὰ βελτίω· χρόνοις ὕστερον αὖθις· καὶ τέως ἀμείψασαι τὴν εὐπραγίαν τῆς πίστεως· εἶτ' ἐπανελθεῖν ὅμως, μετὰ τὴν δυστυχίαν τῆς εὐσεβείας αὐτῇ· αἱ δὲ καὶ διόλου f. 289 τοῖς κακίστοις νοσοῦσαι καὶ προσταλαιπωροῦσαι | καὶ κατακεχωσμέναι καὶ χρώμεναι, κάκιστα σὺν αἰσχύνῃ μεγίστῃ· καὶ ἀηδίᾳ· καὶ ὕβρει μεγίστῃ· καὶ αὖθις αἱ μὲν, καὶ πρότερον, ἢ τὰ Χριστοῦ κατὰ γῆς ἀναλάμψαι κράτη τοῖς φαύλοις ἀνθοῦσαι καὶ πόρρω τοι τῶν χρόνων προανθήσασαι· οὐχ ὥσπερ ἡ πόλις, τῇ κατὰ Χριστὸν εὐθὺς παρρησίᾳ, συμπροελθοῦσα καὶ συνεκλάμψασα· αἱ δὲ, κἂν μὴ πρότερον, τοῦθ' ὅσον εἴρηται, μετὰ τὴν τέως εὐγένειαν τοῦ βίου, κατὰ τὴν τοῦ Χριστοῦ πίστιν καὶ πρόοδον· καὶ πολιτείας ἀκμὴν ἐν τοῖς ἀρίστοις, ἔπειτα πονηρᾷ χρησάμεναι ξυντυχίᾳ· καὶ τροπῇ τῶν βελτίστων· οὐχ ὥσπερ ἡ πόλις, διαπαντὸς θριαμβεύουσα μετὰ τῆς ἀληθοῦς θεοσεβείας τοῦ Χριστοῦ· λαμπρὰ λαμπρῶς· καὶ περιφανέστατα κατὰ παντὸς ἀεὶ τοῦ βίου, καὶ κατὰ παντὸς ἀεὶ τοῦ χρόνου. οὔκουν μετέλαβεν ὅλως, βωμοὺς δαιμόνων, ἀντὶ τῶν θυσιαστηρίων Χριστοῦ· καὶ τῆς πανάγνου θυσίας· καὶ τοῦ παντίμου, καλλιερήματος· οὐδ' ἐναγεῖς τραπέζας καὶ θηριωδίαν, εἰς αἱμάτων ἑτοιμότητα καὶ σφαγῶν· καὶ κατὰ τῆς ζωῆς καὶ τῆς φύσεως· καὶ τῶν τῆς φύσεως ἐπανάστασιν ἀνήρηται· καὶ μάχην ἀντὶ τῆς ἱερᾶς καὶ φιλανθρώπου τραπέζης, καὶ τρυφῆς ἀρρήτου καὶ πολυεράστου τοῖς γε πεπειραμένοις, κάλλιστ' ἐν συναισθήσει. οὐδὲ πῦρ ἀνήμερον ἔσβεσε, τὴν πάνσεμνον αὐτῇ καὶ γαληνὴν δᾳδουχίαν, καὶ λαμπρότητα· οὐδὲ νέα καὶ μυσαρὰ· καὶ ἀλλόκοτα θρησκεύματα· καὶ περιτομαὶ νέαι, πάλαι καλῶς ἐπὶ καιρῶν· καὶ κατηργημέναι πάλαι καλῶς, κατέτεμον, τὴν ἀσφαλῆ τε καὶ καθωπλισμένην καὶ κατάφρακτον πάντοθεν, ἀπόρθητον αὐτῇ τῆς εὐσεβείας ἕξιν· καὶ τῆς ἀσείστου καὶ ἀκλονήτου κατεκράτησαν αὐτῆς πίστεως, ἀλλ' ἀντέχει κάλλιστα γεννικῶς τὸν ἀεὶ χρόνον· ἀλλ' ἀντέχει μετὰ τῆς εὐσεβείας ζῶσα πρὸς πᾶσαν ἐπήρειαν.

107,22 οὔκουν V[2]: οὐκοῦν V

107,22–23 cf. Sozomen., Hist. eccl. 2, 3, 7 (pp. 52, 27–53, 2)

108. Πέντε μέν γε καθ᾽ ἁπάσης ἄρα τῆς οἰκουμένης πόλεις, | f. 289v ἡγεμονικαὶ καὶ τῆς πάσης τοῦ Χριστοῦ συντάξεως· καὶ τοῦ παγκοσμίου κράτους τἀρχαῖον τετάχαται· ἃς οἱ πάλαι πρότερον ἐνόμισαν· ἐκεῖνοι παρὰ Χριστοῦ θεσμοθέται τοῦ κηρύγματος εὐθὺς ἀρχομένου· καὶ προεστήσαντο, οἱ μεγάλοι καὶ πάντ᾽ ἄριστοι τῆς ὅλης αὐτοῦ θεοσεβείας· καὶ τῆς ὅλης ἐκκλησιαστικῆς αὐτοῦ συμπήξεως δημιουργοὶ, μᾶλλον δ᾽ ἀρχιτέκτονες ἐξαίρετοι τῶν ἁπάντων καὶ βουλευταὶ, κορυφαῖοι τηνικαῦτα δὴ· καὶ νομοθετήσαντες, καθ᾽ ἕκαστα τὴν εὐσέβειαν ἐπὶ τῆς γῆς· καὶ τὰ ταύτης εἰς πάντας ἀνθρώπους πολιτεύματα, καὶ δοκοῦσι γε μὴν ἐκεῖνοι καὶ πάνυ τοι σοφῶς, τουτὶ προνοῆσαι τὲ καὶ πορίσαι, καὶ κατιδεῖν, τὸ καθεστὼς πάντῃ καὶ βεβηκὸς καὶ τεταγμένον, εἰς τὸ καθάπαξ εὐόριστον οὑτωσὶ τὴν τοῦ παντὸς συντάγματος, ἀνάγοντες ἁρμονίαν· καὶ καλλίστην καὶ μουσικὴν ἀλληλουχίαν· καὶ διοικησάμενοι πάντα τρόπον τακτοῖς ὅροις τὴν νομὴν, σὺν ἄρα παντὶ τῷ δυνατῷ τῆς ἀσφαλείας· καὶ ὥσπερ οὐκ ἀρκούσης τοσούτῳ σώματι, μιᾶς τινος ῥίζης ἢ κορυφῆς, οἱ δὲ, καὶ πλείους σὺν λόγῳ τῷ παντὶ ταύτας εὑράμενοι· καὶ ἀποδόμενοι· καὶ ταύτας γε μὴν· εἰς ὀλίγον καθ᾽ ὅσον οἷον τ᾽ ἦν ἀνατεμόντες τὸν ἀριθμὸν, πάνθ᾽ ὡς ἔφην τρόπον, τἀσφαλὲς προνοοῦντες καὶ τεταγμένον. καὶ ἦσαν γε λοιπὸν αὗται πόλεις, ἐξ ἐκείνου ταξιαρχοῦσαι τὴν ἡγεμονίαν, ἅπασαν τῆς πίστεως ἀνθρώποις ἅπασι· καὶ ταῖς καταμέρος ἑκάσταις, ἑκάστων ἐκκλησίαις· καὶ δεσμός τις αὖθις εἷς οὗτος πάντοθεν· ἄρρηκτός τε καὶ ἄσειστος ἐπίπαν καὶ ἀπόρθητος, πάσης ἐπιθέσεως καὶ κακουργίας καὶ προσβολῆς· καὶ κάλλισθ᾽ οὕτω δὴ ταυτὶ, νόμιμα· καὶ θεσμὸς οὗτος τῆς ἀγωγῆς. καὶ ἦσαν γε μὴν ἐκεῖναι λοιπὸν, τὸν ἀεὶ πρότερον χρόνον, εἰ μὲν βούλεταί τις μητροπόλεις τῆς ὅλης πίστεως· καὶ βασιλείας τοῦ Χριστοῦ· διανειμάμεναι τὴν διοίκησιν τακτοῖς ὅροις ὡς ἔφην καὶ μέτροις· αὕτη μὲν ἐκεῖνα μέρη τῆς | ἐπιστασίας· αὕτη δ᾽ ἐκεῖνα καὶ ἄλλ᾽ f. 290 ἄλλη· τὰ δὲ πάνθ᾽ αἱ πᾶσαι κλείουσαι, καὶ οὐδὲν τῶν ὅρων ἑκάστων ἐκτὸς ἐλείφθη· εἰ δὲ βούλεταί τις ἀκροπόλεις ὡσανεὶ τῆς πάσης εὐσεβείας· τῶν ἀνθρώπων καὶ τῆς πάσης ἡγεμονίας· τὰ ξυλλαχόντα μέρη κατακοσμοῦσαί τε, καὶ κατασφαλιζόμεναι, πρὸς τὸ καλοῦν ἑκάστοτε τοῦ καιροῦ καὶ τὴν χρείαν, ἢ πρυτανεῖα τῆς πίστεως, τῆς νομῆς καὶ τῆς χορηγίας, καταλογιζομένης ἐντεῦθεν, ὡς κατὰ φύσιν ἑκάστοις ἦν διαφέρον τοῖς ὑπὸ χεῖρα· ἢ τῶν θησαυρῶν ταμεῖα καὶ τῶν δογμάτων τῆς ἀληθείας φυλακὴ· καὶ χειμώ-

νων πρόβολοι πάντων, μᾶλλον δὲ πλοῦ παντὸς, τοῖς κατ' αὐτὰς σκάφεσιν ἐκ πρυμνῶν, ἐντεῦθεν οἰάκων ἐπιστασία· ὡς ἄρα δέοι, κατιθύνειν τὴν εὔπλοιαν· καὶ ἅμα μὲν διοικεῖν οὖρον, ἅμα δ' ἀντίπνοιαν· καὶ ναυαγίαν ἔστιν οὗ· καὶ ὅτε δή.

109. Αὗται μέν γε πόλεις αἱ τὰς ἡγεμονίας καὶ τοὺς οἴακας ἀνῃρημέναι, τῶν ἄλλων ἐπίλεκτοι, καὶ πρωτεύουσαι πασῶν, ἐπὶ καιρῶν δή τινων· ὥσπερ ἐπὶ ῥητοῖς εὐπλοήσασαι, μέσῳ λοιπὸν ἔπειτ' αὐτῷ πλῷ, κακῶς ἀπήλλαξαν καὶ κατεναυάγησαν· οὐ τὴν τύχην μόνον· καὶ τὸ τοσοῦτο κράτος, ἀλλὰ καὶ τὴν πίστιν αὐτήν· καὶ κατέστρεψαν ἐλεεινῶς κομιδῇ καὶ ὡς ἂν, δακρύων ἀξίως· οὐ τὰ θεῖα μόνον, ἀλλὰ καὶ τἀνθρώπινα πράγματα σχεδὸν, αἱ πᾶσαι· αἱ μὲν, καὶ μετὰ τὴν τυραννίδα καὶ τὸ κράτος τῆς ἀσεβείας, τοσοῦτο μόνον διαρκοῦσαι, ὅσῳ καὶ τὸ ζῆν αὐτὸ δυστυχεῖν· καὶ λειφθῆναι πράττειν ἀθλίως· καὶ τυραννεῖα τῆς ἀσεβείας, ἀντὶ τῶν προτέρων κόσμων· καὶ τῆς περιλάμπρου θεοσεβείας ἀλλάξασαι· καὶ μυσαρῶν καὶ ἀλλοκότων δογμάτων τρόπαιον ἐφ' ἑαυταῖς· καὶ νίκης κατὰ τῆς εὐσεβείας πομπὴν, αἱ δὲ, καὶ παντάπασιν ἐκλιποῦσαι αὐταῖς ἡγεμονικαῖς ἀξίαις, τῆς πίστεως, αὐταῖς κοσμικαῖς αἷς f. 290v ξυνέλαχον λαμπρότησιν· ἐρειπίοις μόνοις· καὶ σαθροῖς ἐφο|ρωμένοις λειψάνοις· καὶ παλαιᾷ μνήμῃ· καὶ βίβλοις, τὴν παλαιὰν εὐετηρίαν· τοὺς πολλοὺς πείθουσαι.

110. Ἀλλ' ἥ γε καθ' ἡμᾶς αὕτη δὴ μεγαλόπολις (σὺν Θεῷ δ' ὁ λόγος, καὶ φθόνος ἐρρέτω, πᾶς τῶν καλῶν ἀλιτήριος καὶ παλαμναῖος δαίμων), αὕτη γε μὴν ἐπαρκεῖ τὸν ἀεὶ χρόνον, τῷ παντὶ βίῳ, λαμπρὰ λαμπρῶς· καὶ πρὸς πᾶσαν ἐπήρειαν καὶ μηχανὴν καὶ κακόνοιαν καὶ κατεπιχείρησιν, τοῦ κράτους αὐτῆς κατ' ἀμφότερα καὶ ἀνθρώπινα· καὶ θεῖα μάλιστα πράγματα, κρατίστη· καὶ πάντων ἀθῷος τὲ καὶ ἄνοσος, ἀρκεῖ τε καὶ ἀνθεῖ καὶ ἀκμάζει· καὶ τῆς οἰκουμένης νῦν μόνη, τῆς εὐσεβείας αὐτὴ μητρόπολις λείπεται. καὶ πάντες εἴκουσιν, εὖ μάλ' ἑκόντες· καὶ προσέχουσιν ὅσοις τοι καὶ νοῦς ὑγιής. καὶ πηγὴ μόνη πᾶσιν, αὕτη λοιπὸν ῥέει· καὶ

109,16 παλαιᾷ V[1]: παλαιὰ V

109,4 cf. Or. 10, 69, 1–4 **110,2–3** cf. Plut., Mor. 297A **10–11** cf. Plot., Enn. 6, 6, 9, 38 (p. 189)

ῥίζα μόνη πᾶσιν αὕτη, τροφὴν καὶ μονὴν θεοσεβείας· καὶ καθόλου γ' ἐρεῖν ζωὴν διαδίδωσι· χωρὶς τοῦ καὶ τὰ παλαιὰ καὶ πρῶτ' ἐκεῖνα, καὶ τὴν τέως ἄνοσον τότε τῆς χριστιανικῆς ἀγωγῆς, εὐεξίαν προτέραν, αὐτὴν μάλιστ' ἔχειν, τὰ πρωτεῖ' ἐξαρχῆς· καὶ τῶν ἄλλων ὀφθαλμὸν εἶναι· καὶ καλλιστεῖον, ἀπὸ πάντων ἐξαίρετον· καὶ τῷ παντὶ διαλάμπον· καὶ προέχον ἀναμφηρίστως συστήματι. οὕτω δὴ τά τε παλαιὰ πρότερον, ἐκεῖνα τῆς εὐσεβείας τῇ πόλει· οὕτω δὴ καὶ τὰ νέα ἔτι.

111. Ἀλλὰ μὴν ἑπτὰ μὲν γεννικαὶ καὶ μεγάλαι συντάξεις καὶ ὁπλισμοὶ καὶ συνασπισμοὶ τῆς πίστεως καὶ παρατάξεις ὡς εἰπεῖν, μυριάριθμοι τῆς οἰκουμένης, ἀπὸ πάσης συνῆλθον· ἐν ἄλλοτ' ἄλλοις τοῖς καιροῖς· κατὰ τῶν ἀποστατῶν τῆς κοινῆς ἡμῶν ἐκκλησίας καὶ θεοσεβείας τοῦ Χριστοῦ· καὶ προύστησαν ταύτης, εὖ μάλα στερροί, στερρῶς· καὶ τὸν κοινὸν αὐτῆς θεσμὸν περιεποιήσαντο· καὶ ἤμυναν ἀπόρθητον, παντάπασι καὶ ἄνοσον τηρήσαντες· καὶ κατεκρατύνατο. καὶ τἀντίπαλον ἅπαν, καὶ δυσνοϊκὸν κακοὺς κακῶς εἰργάσαντο· προώλεις τὲ | καὶ πανώλεις· ἐκ μέσου ποιησάμενοι· καὶ ῥᾷστα δὴ καθάπαξ, συγκαταφθείραντες τοὺς ἀλάστορας τῆς πίστεως καὶ ἀλιτηρίους, ἐκείνους καὶ τοῦ Θεοῦ· πλὴν ἢ ὅσοις τοι καὶ περιεποιήσαντο νοῦν, σωφρονικόν τε καὶ μεταμέλειαν καὶ μετάνοιαν, ἔπειθ' ὕστερον τῶν βελτίστων ἐπιμηθείᾳ τυχοῦσιν ὧν ἐχρῆν καὶ προϊδέσθαι, καὶ καθάπαξ ἀτρέπτως ἔχεσθαι· κἆθ' οὕτω λοιπὸν περιεποιήσαντο, σφᾶς ταπεινούς· εὐγνώμονάς τε· καὶ τῶν συνοισόντων ἐπιγνώμονας προσχωρήσαντας, κάλλισθ' ὑπὸ χεῖρας, τῷ κοινῷ τῆς ἐκκλησίας, ἀριθμήσαντες· καὶ συντάξαντες τοῖς αὐτῆς πληρώμασιν, ἀνόσους τουλοιποῦ· καὶ ἴσους καὶ συμφυεῖς. f. 291

112. Τούτων μέν γε τῶν εἰρημένων ἑπτὰ παρατάξεων, καὶ καθόλου γεννικῶν συνόδων· καὶ τῆς κοινῆς πανστρατιᾶς τῆς πίστεως, ἄλλοτε μὲν ἄλλαι, πόλεις ἔνιαι τῶν μεγίστων, καταμέρος διενείμαντο· τοὺς κατὰ τῶν ἐχθρῶν ἀγῶνας ὡσπερεὶ στρατόπεδα τῆς ἐνστάσεως· καὶ τῶν λογισμῶν τῶνδ' ἀξιόλογά τε καὶ

111,1 γεννικαὶ scripsimus: γενικαὶ V **112,3** ἄλλαις V a. corr. | ἔνιαι V[2]: ἐνίαις V

111,1–5 cf. Ael. Arist., Or. 13 (p. 309, 8–9)

διαρκῆ καταστᾶσαι· καὶ τοῦ πολέμου τοῦδ' ἐπικαίρως, ἀξιόμαχα καὶ τοῦ σκοποῦ· καὶ τὴν ὅλην τῆς μάχης ἀκμὴν καὶ τῶν τροπαίων, αὗται τὴν λαμπρότητ' ἔπειθ' ὕστερον, ἐδέξαντο· κατ' ἐπιλογὴν πολλῶν, ἀπὸ πασῶν τἀξίωμα τοῦτο, κάλλιστ' ἀνῃρημέναι· ἡ δ' ἄρα μεγαλόπολις αὕτη καὶ μεγαλουργὸς, ἀεὶ καὶ πολυαρκεστάτη καὶ διὰ πάντων γε δὴ τῶν μεγίστων· καὶ διὰ πάντων γε τῶν καλλίστων πρέπουσ' ἐπιτυχὴς, ὥσπερ ἐν ἅπασι τοῖς ἄλλοις, πλεονεκτεῖ καὶ περιουσιάζει· καὶ τὰ πλεῖστα καὶ τὰ κράτιστα μόνη φέρεται πασῶν, κἀνταῦθα δείκνυσι τὴν φύσιν· καὶ τὸ μέγεθος· καὶ τὴν ἀξίαν· καὶ τὸ παρὰ πάντων ξυγκεχωρηκὸς· καὶ τὸ διαρκὲς ὑπερφυὲς οἷον, ἢ κατὰ τὰς ἄλλας ἐν πᾶσι πράγμασι· καὶ τὰς τρεῖς τῶν ἑπτὰ, μόνη δῆτ' αὐτὴ κληροῦται· πάντα δὴ καὶ διὰ πάντων, ὡς ἔοικε τῆς δεσποτικῆς· καὶ θεϊκῆς
f. 291v Τριάδος, χωρίον ἐξαίρετον ἀποδεδειγμένη· | καὶ κτῆμα τιμώμενον, πᾶσι τρόποις· καὶ τιμᾶσθαι σπουδάζον ὑπ' αὐτῆς, ἀμέλει τῆς δεσποτικῆς φιλανθρωπίας. οὔκουν γε ἄλλη τις καὶ ἡτισοῦν, παρ' ἐκείνοις ἀμέλει τοῖς χρόνοις, ταῖς μεγίσταις ταύταις, ἀρχαιρεσίαις καὶ νομαῖς· τοσούτων λαγχάνει τῶν ψήφων· οὐδὲ τῶν ἴσων ἀξιοῦται· ἀλλ' αὕτη δὴ μόνη τῶν εἰρημένων τοσούτων, τὰς τρεῖς ἀπολαβοῦσα τοῦ παντὸς ἀριθμοῦ, σχεδὸν ἥμισυ παραβραχὺ, τὰς λοιπὰς ἔπειτ' ἀπολείπει καὶ ξυγχωρεῖ, ταῖς ἀπὸ πάσης τῆς οἰκουμένης συμψήφοις· καὶ συνεπιλέκτοις πάντως καλλίσταις τὲ· καὶ τοῦ τοσούτου πράγματος ἱκαναῖς.

113. Καὶ μὴν ἔξεστί γε ἐρεῖν ἐνταῦθα μετ' ἀληθείας, ἁπάσης καὶ προσθεῖναι, ὡς ἄρα καὶ ταύταις, τῆς πόλεως ἐντεῦθεν· καὶ τοῦ κατ' αὐτὴν κράτους, καὶ τῆς ἐξουσίας ἐν πᾶσι πράγμασι θείοις τε, καὶ ὅσ' ἀνθρώπινα, τῆς ἐπιλογῆς ταύτης, καὶ δοκιμασίας ἡ προηγορία· μᾶλλον μὲν οὖν καὶ τὸ κῦρος αὐτὸ καὶ τὸ πᾶν τῆς αἱρέσεως δόγμα, τῆς ἀξίας αὐτῆς καὶ τῆς ἐπιτιμίας τυχεῖν πρὸ τῶν ἄλλων· καὶ δέξασθαι τὰς περιφανεῖς ἐκείνας συνελεύσεις, τῶν λογάδων ἐκείνων ἀνδρῶν ἀπὸ πάσης τῆς γῆς καὶ συναυλίας· ὑπὲρ τοῦ καλοῦ καὶ τῶν ὀρθῶν νομίμων τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ πίστεως, καὶ ὥστε καταβαλεῖν τἀλλότριον ἅπαν αὐτὰς, καὶ νόθον· καὶ κακουργικὸν· καὶ ἐπίβουλον, καθάπερ ἀντὶ τροπαίου τῆς

6 καταστᾶσαι scripsimus: καταστάσαι V **8** λαμπρότητ' V^2 e corr. **113,5** τὸ^2 V^2 s.l.

νίκης· καὶ τῶν ὀρθῶν δογμάτων ἔοικεν ἐπὶ πάσης ἀνακηρυττομένας, τῆς οἰκουμένης καὶ σφόδρ' ἐπιφανῶς, ὡς εἰπεῖν δεικνυμένας, ἢ προδεικνύσας αὐτὰς, ὥσπέρ τινας ἐπιφανεῖς· καὶ ἀπόπτους· καὶ περιόπτους, στήλας κατὰ πάσης τῆς γῆς, καὶ κατὰ τοῦ χρόνου, παντὸς, ἀνάγραπτα πᾶσι τὰ συνθήματα τῆς εὐσεβείας· καὶ οἷς δέοι ἂν, ἕπεσθαι καὶ προσέχειν, ἅπαντας καὶ χρῆσθαι, τοὺς τῆς χριστιανικῆς γνώμης, καὶ πίστεως τροφίμους προγράμμασιν εὐνομίας παντελείοις τοῦ καλοῦ.

114. Καὶ μὴν ἔτι γε | προσθεῖναι τούτοις ἔξεστιν, ὡς καὶ f. 292 ταύτας ἄρα τὰς πόλεις, εἰς τὴν λειτουργίαν ταύτην, αὐτὸ μάλιστα, τὸ τῆς πόλεως ταύτης, ἐξήρηται κράτος· καὶ ἡ νομίζουσα τὰ πάντ' ἐξουσία, προϊδομένη σαφῶς καὶ προνοήσασα, τῶν ἄλλων κατὰ τὴν ἅπασαν οἰκουμένην· τὰς ἔγγιστ' αὐτῆς ὡς οἷον τ' ἦν, ὡς ἂν δὴ καὶ ταύταις ἐμπνέοι, λοιπὸν ἐξ ὑπογυίου τελεσφόρον τὲ τῶν βελτίστων, καὶ συνεκτικὸν κράτος· καὶ χεῖρα διδοίη προχειροτάτην ὡς εἰπεῖν καὶ ταχίστην· καὶ χειραγωγοίη μὲν, ἐνισχύοι δὲ πρὸς τὴν εὕρεσιν καὶ κατάστασιν ἄσειστον· τῆς ἀληθείας τῶν δογμάτων τῆς πίστεως. τοιγαροῦν αὕτη τῶν χρησίμων ἁπάντων, τῆς τ' ἐκκλησίας καθόλου καὶ τῆς εὐσεβείας, τὰς ἀφορμὰς φέρει· νῦν τε δὴ, καὶ ἀεὶ πάλαι πρότερον. ταύτης τὰ πάντ' ἤρτηται· καὶ ταύτης ἔστι τε καὶ εἶναι γε σαφῶς, πᾶσι δοκεῖ καὶ σύνοδοί γε δοκοῦσιν ἐκεῖναι, καὶ τὰ μεγάλ' αὐτῶν ἔργα· καὶ δόγματα· καὶ ψηφίσματα· καὶ συνόδων οἱ πρῶτοι συντελεῖς, καὶ τὰ τέλη γ' ὡς ἐρεῖν· καὶ τὰ κράτιστα τοῦ συστήματος. καὶ πάντων αὕτη χορηγός ἐστι· καὶ αὕτη γ' ἐπιστάτις· καὶ ταμίας διαρκὴς ἐπὶ τῆς ἑκάστοτε χρείας καλούσης· καὶ βραβευτὴς πᾶσιν αὕτη τὰς σιτομετρίας καὶ τὰ τρόφιμα τῆς πίστεως· εἰς ἑτοίμην αὐτόθεν καὶ ἄφθονον μετουσίαν τὲ καὶ χρῆσιν. καὶ τὴν φιλοπονίαν τῶν καλλίστων, αὕτη τῆς θεοσεβείας ἀνῄρηται· καὶ τὴν ἐπιμέλειαν καὶ τὴν αὐτουργίαν τελεσιουργὸν ἑκάστων καὶ ἀρτιόχρειον· καὶ καθόλου τὴν ὅλην τῆς φορᾶς διοίκησιν, ὡς ἂν καὶ κορυφαῖος αὕτη τῆς τῶν ὅλων μουσικῆς ἁρμονίας καὶ συμφωνίας, τὰς ἀρχὰς τοῦ μέλους, ἀνακρουόμενος· καὶ θεσπιῳδῶν ἄνωθεν, ἐξ ὑπερτέρων καὶ προκηρύττων· καὶ

114,8 χειραγωγοίη μὲν V[2]: χειραγωγοῖμεν V **22** ἀρτιόχρειον V[1] e corr.

114,23–26 cf. Ael. Arist., Or. 26, 20 (p. 100, 21–24)

συμπεραίνων ἔπειτ’ αὖθις αὐτός. καὶ πάντ’ ἐστὶ πράγματα κάλλιστα· καὶ κάλλιστ’ ὀνόματα πάντα· καὶ καλλίστων ἁπάντων, φερώνυμός ἐστιν αὕτη.

f. 292v **115.** Καὶ ὅσοι τῶν κατ’ αὐτῆς οἰάκων | ἐπιστάται· καὶ ταύτης ἐξαρχῆς ἐπώνυμοι τὴν ἡγεμονίαν καὶ τὴν ἐπιστασίαν, τὰ θεῖα νῦν ἔγωγε λέγω· καὶ τὴν χριστιανικὴν ἀγωγὴν τῆς εὐσεβείας καὶ τῆς ἐκκλησίας, τί τίς ἂν, ἐρεῖ, πῶς ἂν, ἀξίως τῆς τῶν ἀνδρῶν εὐγενείας, ποῦ δῆτ’ ἄλλη πλείους ἄλλοι· ποῦ δὴ τοσοῦτοι· καὶ τοιοῦτοι ποῦ· καὶ ποῦ παραπλησίως πάντ’ ἄριστοι; ἐκείνων αἱ μεγάλαι σοφίαι καὶ τὰ θεῖα καὶ τἀνθρώπινα. ἐκείνων οἱ θαυμαστοὶ λόγοι· καὶ τῶν δογμάτων ἡ τελειότης· καὶ τῶν διδαγμάτων οἱ ποταμοὶ τοσοῦτοι πολύχρουνοι· καὶ ἀέναοι τῷ χρόνῳ παντί· καὶ πᾶσι κατὰ τὴν ὅλην οἰκουμένην ἀρδεύοντες ἀεί. ἐκείνων οἱ περιφανεῖς βίοι· καὶ ἡ πᾶσα ζωὴ θαῦμα τοῖς ὁρῶσι· καὶ τῶν λόγων· καὶ τῆς ἀκραιφνοῦς καὶ τελείας· καὶ τελειοποιοῦ διδασκαλίας ἐκ τῶν ἔργων κατ’ αὐτοὺς καὶ τῆς βιοτῆς αἱ πίστεις. ἐκείνων τὰ μεγάλα καὶ περίδοξα κλέα· καὶ τὰ κάλλιστα κατὰ πάντων ἀνθρώπων ὀνόματα· οἱ Θεολόγοι φημὶ καὶ Χρυσορρήμονες· καὶ ἀμφοῖν ἄρα τῶν κλήσεων τὰς ἐργασίας τὲ καὶ τὰς πράξεις ἑκάτεροι φερώνυμοι δεικνύντες· καὶ ἀμφοῖν ἄρ’ ἄξιοι τῶν κλήσεων ἐπώνυμοι, δικαίως ἂν, ἑκάτεροι· καὶ φθόνος οὐδεὶς ἐν σφίσι, τοῖς παραπλησίοις τὴν σπουδήν· τῆς αὐτῆς ἀξίας, καὶ τῆς αὐτῆς ἐπικλήσεως. ἐκείνους καὶ ζῶντας ἐτίμα· καὶ προΐσταθ’ ἑαυτῆς ἡ πόλις· καὶ τελευτῶντας ὡσαύτως· καὶ τοὺς νεκροὺς τῶν σωμάτων, ἐγκόλπιον κόσμον φέρει· καὶ θησαυροὺς τοὺς τάφους· καὶ κειμηλίων ἐντὸς, δοχεῖα· καὶ χρῆμα μέγιστον· καὶ κάλλιστον οἷον. οὐ μόνον δὲ τὴν γνησίαν ἄρα ταυτηνὶ φορὰν, καὶ τοὺς ἐξ αὐτῆς οἴκοθεν οἴκαδε θησαυρίζει τηροῦσα, ἀλλὰ καὶ πάντοθεν ἄλλοθεν ἐπιδήμους, τοὺς τῶν ἄλλων, εἰς μέγιστον ὄντως κόσμον καὶ πλοῦτον· ἐκ παντὸς ἐπίσπαστον τρόπου.

f. 293 **116.** Καὶ ὥσπερ ἐν τοῖς ἄλλοις πλεονεκτεῖ πᾶσιν, οὕτω δὴ | κἀν τούτοις καὶ τῇ περὶ ταῦτα, θεοσεβείᾳ τὲ καὶ φιλοκαλίᾳ, καὶ

115,16 ἀμφοῖν scripsimus: ἄμφοῖν V

115,8–10 cf. Phot. Patr., Epist. 2, 31–34 (p. 41)

πᾶσιν ἀνίστησιν ἐφ’ ἑαυτῆς, νεὼς θαυμαστούς τε καὶ μεγίστους καὶ καλλίστους· τοὺς μὲν, καὶ ἰδίᾳ τισὶ, τοὺς δὲ, καὶ κοινῇ τισιν, ἢ πλείοσι· καὶ πᾶσιν ἀνίστησιν ἀγάλματα· καὶ γραφικῆς ἔργα. καὶ τἀναθήματα πλεῖστα· ξὺν ὥρᾳ μάλιστα· καὶ κόσμοις ἅπασι καὶ κάλλεσι· καὶ χρυσοῦ καὶ λίθων ἐνταῦθα χρῆσις ὄντως τιμία· καὶ κειμηλίων λαμπρότητες· καὶ πρόσεστιν ἡ τέχνη· καὶ ἡ τῆς ἐργασίας ἑκάστης ἀρετή. καὶ πᾶσιν ἀνοίγει θεάτρα παρὰ πάσης τῆς οἰκουμένης· καὶ τελετὰς· καὶ μυστήρια· καὶ πανηγύρεις· καὶ θεωροὺς ἑκάστων· καὶ ἱεροπομπίας ἕλκεται πανσέμνους, οἴκοθέν τε καὶ πάντοθεν ἕλκεται. καὶ βρύει μὲν, πάντων ἀγαθῶν καὶ ζωῆς ἀνθρώποις αἰτίων· βρύει δὲ νεκρῶν τῶνδε ζωηφόρων αὐτῇ τε καὶ πᾶσιν ἄλλοις ὅσοις συναίσθησις· καὶ πηγάζει θαύματα, τοῖς τε οἴκοι· καὶ πέμπουσ’ ἄλλοις ἐπὶ πάσης τῆς οἰκουμένης· ὅσους ἡ κατεπείγουσα χρεί’ ἑκάστους, δι’ εὐχῆς ἐν τῷ παραχρῆμα, τῆς ἐμπεσούσης αὐτοῖς ἐπηρείας, ἐνταῦθα φέρει· καὶ ἡ ῥᾴστη μετουσία τῇδε τῆς φιλανθρωπίας, καὶ καθάπαξ ἑτοίμη, καὶ κατὰ πάντων λοιπὸν πομπεύουσα, καὶ κροτοῦσα.

117. Οὔκουν γέ ἐστιν οὐδεὶς, οὕτω δυστυχὴς ὅστις ἀνήκοος τοσούτου πράγματος· καὶ ἀμαθὴς· οὔτ’ ἀδύνατος ἐς τοσοῦτο, καὶ ἀνίκανος πειρᾶσθαι, ὡς ἂν, μὴ δι’ εὐχῆς καὶ νοῦ προσδραμεῖν· καὶ τὰ μὲν, εὐκταίοις τισὶν ἀναθήμασι· τὰ δὲ, καὶ προσλιπαρήσει λογισμῶν μόνον τυχεῖν, ὧν σπουδάζει· καὶ ἀπαλλάξαι κάλλιστα τοῦ πάθους ἐν ἀκμῇ· καὶ τῆς ἐλπίδος αὐτῆς αὐτίκα· καὶ τἀλέξημα τῆς ἁπάσης συμφορᾶς, τάχιστ’ ἐπιγνῶναι, καὶ τὸ καίριον τῆς ἐπικλήσεως· καὶ τὴν ἐπιτυχίαν (πῶς ἂν, εἴπης;), καὶ τὰς ἀγαθὰς ἐλπίδας φθάνουσαν. καὶ πάντων ἀγαθῶν ἡ πόλις ἄβυσσος· καὶ πάντων φιλανθρώπων πηγὴ· καὶ πάντων οἰκονόμος τῶν χρησίμων, τῶν εἰς τὸν κοινὸν τῶν ἀνθρώπων βίον· καὶ οὐχ ὁτιοῦν | f. 293v ἔπειτ’ ἐλλείπει οὔτ’ οὐδὲν τῶν βελτίστων ἄπεστιν ἐνταῦθα καὶ τῆς πόλεως ἀφήρηται ἄνωθεν εὐθὺς ἐξαρχῆς ἐφορῶντι φημὶ πάνθ’ ἑξῆς· καὶ ὅσα παλαιὰ καὶ πρῶτα, καὶ ὅσα νέα· καὶ προσθῆκαι δεύτεραι τύχης εὐνοίᾳ· καὶ χρόνου σοφίσματα συνεχῆ.

116,4 κοινῇ V^{2} e corr. **17** αὐτοῖς V^{2}: αὐτῆς V **18** ἑτοίμη V^{2} e corr. | κατὰ V^{2} in marg. **117,3** ἀνίκανος V e corr. **12** ἐνταῦθα V^{2} s.l.

116,5 cf. Phil. Iud., De Abr. 267 (p. 49, 14)

118. Καὶ τοσαῦτ᾽ ἄρα δὴ καὶ τοιαῦτα· καὶ πάνθ᾽ ὁμοῦ μάλιστα· οὔτε πώποτε καὶ νῦν ἡ φύσις ἔδειξεν, οὔτε μήποτε δείξῃ· οἷον δὴ λέγω θέσεως εὐκαιρίαν, καὶ τόπου· κατ᾽ οὐρανοῦ τε καὶ γῆς ἅμα· καὶ θαλάττης ἅμα· οἵαν ὑπὲρ ἄλλας ἁπανταχοῦ πάσας· καὶ ὑπὲρ ἁπάσας τῶν ἀπὸ τοῦ παντὸς αἰῶνος, παντέλειον τῶν καλῶν· καὶ διαρκεστάτην ἐπιτυχῆ, κατὰ φύσιν· καὶ πρώτην, καὶ μόνην εὑρημένην αὐτὴν· καὶ δευτέραν ἄλλην, οἵαν δὴ παραπλησίαν· οὔκουν γε δίδωσιν ἡ φύσις, πρός τε ὥραν ὑπερβαλλόντως καὶ χρείαν ἅπασαν καὶ πρόνοιαν, τοῦ συνοίσοντος· ὅση τὲ πρὸς τὴν ἀρχὴν αὐτὴν τὴν μεγίστην, ἧς ἡ πόλις σκοπὸς· καὶ τὸ κοινὸν ὡς εἰπεῖν τῶν ἀνθρώπων· καὶ ὅση πρὸς τὴν εὐμάρειαν τῆς ἀνθρωπίνης ζωῆς καὶ πολιτείας καὶ ἀγωγῆς τῶν αὐτῆς ἐποίκων, καὶ τὸ καθεστὼς τοῦ βίου πάντοθεν, εὐδιοίκητον τῇ φύσει. καὶ ἀέρων ἐνταῦθα φιλανθρωπία καὶ ὡρῶν ξυμβάσεις· καὶ χορεῖαι καθάπαξ ἄλυποι καὶ μουσικαὶ· καὶ πολὺ τὸ ἐναρμόνιον· καὶ περίοδοι κάλλιστα μετ᾽ εἰρήνης ἁπάσης ἀπαντῶσαι καὶ τῆς χώρας ἀζήμιοι καὶ τῶν οἰκούντων, καὶ μάχης ἀπηλλαγμέναι πάσης· ὡς ἄρα δὴ μὴ δ᾽ ἀκολουθεῖν ἐντεῦθεν πᾶσα ἀνάγκη καθάπερ ἐπ᾽ ἐνίων ὁρῶμεν, τὴν ὑπ᾽ αὐτὰς καταπολιορκεῖσθαι, καὶ χώραν καὶ πόλιν ἔστιν ὅτε καὶ ἐφ᾽ ὧν ἡμερῶν, ἐν τῷ μέρει κατ᾽ ἔτος· καὶ κατὰ πᾶν ἔτος· καὶ πρὸς πόλεμον τῆς φύσεως τεταγμένον, ἄφυκτόν τε καὶ ἄλυτον, τόνδ᾽ ἐπὶ ῥητοῖς ὁπλίζεσθαι χρῆναι· καὶ καθ᾽ ὅσον οἷόν τ᾽ ἐστὶν, ἀπαντᾶν πεφραγμένως· καὶ διαφέρειν τὸν κίνδυνον· καὶ τὴν ὡραίαν ἀπαραίτητον, ἵν᾽ οὕτως εἴποιμι, συμφορὰν καὶ δυσπραγίαν ἀναγκαίαν.

f. 294 **119.** Καὶ μὴν ἑξῆς λέγομεν, γῆς εὐγένειαν· καὶ | κράτος εἰς φορὰν πᾶσαν· καὶ πλείστην ὅσην εὐτονίαν καὶ ἀκμὴν· εἰς εὐτοκίαν πᾶσαν· καὶ θάλατταν τῇδε φιλανθρωποτάτην τήνδε, ἣ κατὰ πάνθ᾽ ὡς ἀληθῶς αὐτῆς μέρη· καὶ ἄφθονα τὰ ᾽ξ αὐτῆς ἀγαθὰ τοσαῦτα· καὶ ἄπονα μὲν οὖν παντάπασιν ὡς εἰπεῖν, ἑκόντων τὲ καὶ ἀκόντων τῶν δεχομένων, ἀπραγματεύτως τὲ καὶ ἀποιήτως τέχνης ἁπάσης, ῥᾷστα πορίζειν καὶ πλουτεῖν τροφὴν· αὐτόματον μὲν ὅμως· ἀλλ᾽ ἄτρεπτόν τε καὶ ἄπαυστον ἤκουσαν· καὶ ἀνυπονόητον μὲν οἵαν·

118,15–16 κάλλιστα V: an κάλλισται? **16** καὶ[1] V[1] s.l. **119,7** ἀλλ᾽ V[2] s.l.

118,14–15 cf. Ael. Arist., Or. 13 (p. 160, 5)

ἀλλὰ καὶ τεταγμένην ἄλυτον ἐπιλογὴν· καὶ πρόσοδον χρήσεως καθάπαξ· καὶ καρποὺς αἰφνιδίους θαλαττίους ῥέοντας· ἀλλ' ἐπὶ καιροῦ βρύοντας· ὥσπερ ἐν ἔαρος ἔχει τὰ ἄνθη· καὶ τεράστιον ἔθιμον φορᾶς· καὶ γονὴν ἀθρόαν ἄπονον· ἀδύνατον δ' ἄλλως, ἢ οὕτω παρελθεῖν· καὶ δασμοὺς ἐπετείους τῆς θαλάττης, ἀπαραλογίστους τὲ καὶ ἀφύκτους τῇ πόλει· καὶ νόμιμα συντελείας, κατὰ παντὸς ἑστῶτ' ἀσάλευτα, τοῦ χρόνου· καὶ βοσκήμαθ' ὑπὸ χεῖρας θαλάττια, κατ' ἀγέλας· καὶ πομπὴν τῇ πόλει· καὶ στόλον κατὰ καιρὸν ἐπιόντα· καὶ κυβερνήτου δίχα, ναυτιλλόμενον καὶ ἀγορὰν ὠνίων ἀτελῶν· καὶ κομιδὴν παμπληθῆ θαλαττίαν, τῆς χρείας φορταγωγῶν ἄνευ· καὶ θαύματ' αὐτῆς τῆς θαλάττης· καὶ θαύματ' αὐτοῦ τοῦ βίου· καὶ δράμα κάλλιστον· οἷον ἐπαληθεῦον, ὅμως τοῖς ἔργοις ἀψευδέστατον· καὶ ἅττα μὴ παρ' ἄλλοις ὁρῶμεν ἁπανταχοῦ καὶ γῆς καὶ θαλάττης· καὶ μὴν ἔτι πελάγη θαυμάσι' ἑκατέρωθεν· καὶ τὰ πάντων ἄλλων ἀξιολογώτερα· καὶ ὀνόματος μεγίστου· καὶ φήμης, περιφόβου· καὶ μόνον ἀκούειν, εὐστομοῦντα μάλιστα τῇ πόλει· καὶ σύνδεσμος αὐτοῖν ἐκ τῆς πόλεως. καὶ γαλήνης ἐνταῦθα χώρα· καὶ λιμὴν ὥσπερ· καὶ κοινὰ· καὶ διαλλαγαὶ· καὶ κατ' αὐχένα τινὰ τόνδε τῆς πόλεως, ταύτης περιπλοκαὶ· καὶ φιλίαι πρὸς αὐτὴν· καὶ πρὸς ἄλληλ' ὡς ὁρᾶν κάλλιστα· χωρὶς δὲ | f. 294v τούτων, ποριστὴν ἐντεῦθεν τῇ πόλει βίον τῶν βελτίστων ἁπάντων· καὶ ὧν ἂν, δέοι καὶ χεῖρας αὐτῆς εὐποιίας παντοίας πρὸς ἅπαντας ἀνθρώπους· εὖ μάλ' ἱκνουμένας ἐντεῦθεν· καὶ χεῖρας πάντων ἄλλων, εὖ μάλ' αὐτῇ πάντοθεν· καὶ χορηγίαν τῆς οἰκουμένης, ὡς ἔχουσι τοῖς δεσπόταις αἱ λειτουργίαι τῶν ὑπηκόων· καὶ τῆς ἑκάστης χώρας, αἱ πόλεων ταμειουχίαι τῆς ἀφ' ἑκάστης χώρας ἀμέλει φορᾶς.

120. Τὸ πλῆθος δὲ τῶν λιμένων πάντοθεν τῆς χώρας· καὶ τῶν τῆς πόλεως μερῶν, τὸ δ' ἄσειστον πάσης ἐπηρείας· τὸ διαρκὲς δὲ πρὸς τοσαύτην πάντοθεν ὑποδοχὴν· οἱ ναυτικοὶ δὲ καὶ θαλαττουργοὶ θεσμοὶ πάντες· καὶ παλαιοὶ νόμιμοι· καὶ νέ' εὑρήμαθ' ἑκάστοτε (καὶ τἆλλα παρεὶς ἔγωγε τῶν ἔξω), τίς τοσοῦτ' ἄρα φημὶ μέγεθος εἶδε, πόλεως, ἢ πρὶν ἰδεῖν ἐλογίσατ' ἰδεῖν· ἢ νῦν ἢ πρότερον ὅτέ ποτ' ἄρα; τίς τοσαύτης περιτειχισμὸν χώρας καὶ

18 θαλαττίαν V[1]: θαλάττιον V **20** δράμα: sic V, servavimus **21** ἅττα scripsimus: ἄττα V

περίοδον οἰκοδομίας, οὕτως ἀσφαλεστάτην ἐκ παντὸς τρόπου· οὕτω καλλίστην ὡσαύτως ἐκ παντὸς τρόπου; τίς οὐ μόνον μῆκος πόλεως εὐσωματοῦν οὕτως, ἀλλὰ καὶ πατρῷ’ ἀγαθὰ πρός γ’ ἔτι φθάνοντ’ αὐτῇ· καὶ κλῆρον δόξης τοσοῦτον ἥκοντα πατρόθεν, τῆς τοῦ μεγάλου πολιστοῦ τύχης, καὶ παντοίας ἀρετῆς· καὶ ἀξιώσεως· καὶ μεγάλην ταύτην τἀνδρὸς, εἰς τὸν κοινὸν ἀνθρώπων βίον καὶ τὴν ἀρχὴν φορὰν, εὖ μάλ’ ἐπιτυχῆ τοῦ σκοποῦ· καὶ τῶν μεγάλων λογισμῶν, ὡς ἔργοις ἔδειξεν ὕστερον; τίς ὁμοῦ τοσαῦτ’ ἐν ταὐτῷ κάλλη, καὶ θαύματ’ ἔσω συνιόντα, καὶ φύσεως συντέλειαν, τῆς ὕλης τοσαύτης πάντοθεν, τῆς οἰκουμένης· καὶ τέχνης ἅμιλλαν εἰς φιλοκαλίαν· καὶ τοσαύτας κατασκευὰς οἰκοδομημάτων· δημοσίων τὲ καὶ ὅσα καθ’ ἑκάστους τῶν ἰδιωτῶν; τίς ἀνυπονόητα τέως νεῶν μεγέθη καὶ κάλλη πανταχῇ μὲν ἐκ φήμης περικροτοῦντ’ ἀνθρώπους ἅπαντας, καὶ θαύματ’ ἀκούοντα τῶν κατὰ γῆν ἔργων,
f. 295 παντάπασι δ’ ἀπιστούμενα | πρὶν ὅμως ἐντυχεῖν, τίς γραφάς· τίς ἀγάλματα· τίς ἀνδριάντας, τοσαῦτα μεγέθη καὶ τεχνικῆς σοφίας, ἐν τούτοις ἐπίδειξιν; τίς τέχνης εὕρεσιν τοσαύτην· τίς ἀκρίβειαν· καὶ πάνθ’ ὁμοῦ ταῦτα κατὰ πάσης τῆς πόλεως σύμφωνα· καὶ πολὺ τὸ κατὰ λόγον ἴσον· καὶ πολλὴν ἐπανθοῦσαν τὴν ὥραν· καὶ οὐδὲν τῇδε μᾶλλον, ἢ τῇδε· ὥσπερ ἐφ’ ἑνὸς ὁτουοῦν εὐγενοῦς σώματος τὰ μέρη ξυμπέφυκεν, εὖ πρὸς ἄλληλα· καὶ τὸ πᾶν· καὶ δὴ κἀνταῦθ’ ὡς ἀληθῶς ἓν σῶμα, τὴν ἅπασαν πόλιν οὖσαν· χώραν, ἀμέλει τοσαύτην πάντοθεν, συμφυές τε καὶ ὅμοιον ἐφορῶντι· καὶ κατ’ οὐδὲν ἀλλοτριούμενα τὰ μέλη· μήθ’ ἑαυτῶν ἀλλήλων, μήτε τοῦ κοινοῦ κάλλους;

121. Καὶ ἔτι γε μὴν πρὸς τούτοις· τὰς τῶν ξένων ἐπιδημίας ἐν τῇ πόλει καὶ συναυλίας· τί τίς ἄν, ἐρεῖ· καὶ τὸ κοινὸν τῆς οἰκουμένης ὡς εἰπεῖν, ἐνταῦθα πολίτευμα· καὶ τὴν καθόλου διοίκησιν τοῦ βίου, καὶ τῶν ἐν βίῳ· καὶ θησαυρὸν τῇδε πάντων ἀνθρώπων τῆς γῆς ἀπὸ πάντων ἄρα τῶν μερῶν· καὶ πεῖραν ἀλλήλων καὶ χρῆσιν· καὶ τῶν κατὰ πάντας ἐκμάθησιν ἐν ὀλίγῳ τοῦ παντὸς μέρει· ἐν ὀλίγῳ κομιδῇ καὶ τοῦ διδάσκοντος χρόνου μέρει· καὶ τὰ μείζω δὴ

120,26 τὴν V^{1} in marg. **27** ὥσπερ V^{2}: ὡς V

120,16–17 cf. Ael. Arist., Or. 13 (p. 305, 10–11) **27–32** cf. Plut. Mor. 559A; Ael. Arist., Or. 17, 9 (p. 3, 22–23)

καὶ τελεώτερα καὶ θειότερα, τὴν συντέλειαν ἅπασαν ἐνθένδε τῆς εὐσεβείας· καὶ τὴν οἰκονομίαν· καὶ τὴν ἐργασίαν τῆς πίστεως πάνδημον· περὶ πάντας ἔχουσαν ἀνθρώπους· καὶ τὰς ἐξαρχῆς ἐπιστασίας, ἐνθένδε τῶν τῆς εὐσεβείας δογμάτων ὡς μόνην οὖσαν τὴν πόλιν, τὸ πρυτανεῖον τῆς ἀληθείας ἐπὶ πάσης τῆς γῆς· καὶ τῆς ἐκκλησίας κατ' αὐτὴν ἁπάσης· καὶ τὰς ἐνταῦθα χρηστὰς ἁπάντων ἀνθρώπων, ἐλπίδας τοῦ Χριστοῦ· καὶ τὸ χρήσιμον τῆς πίστεως· ἐξὸν μάλιστ' ἐντεῦθεν ἅπαν φέρειν· καὶ μὴ τοιοῦτον λοιπὸν ἐκμανθάνειν· καὶ δραπετεύειν καὶ φυλάττεσθαι· καὶ τὴν κατὰ τῶν ἐχθρῶν ἄμυναν· καὶ τοὺς γεννικοὺς ὁπλισμοὺς καὶ τὰ παλαιὰ πρότερον ἐκεῖνα, μέγιστα κλέα· καὶ τὴν τέχνην | f. 295v
καθιστῶσαν ἅπασαν τῆς εὐσεβείας· καὶ τὰ νέ' ὡσαύτως· καὶ τὴν τύχην ἐν τούτοις ἄτρεπτον τοῦ παντὸς χρόνου μόνης τῆς πόλεως· καὶ τὰς ἐνταῦθα καλλίστας τὲ καὶ βεβαίας ἁπάντων, ἐλπίδας ἐξ ἀρχῆς εἰς τήνδε μάλιστα, τοῦ καιροῦ τὴν αὐχμηρίαν· καὶ τὴν νῦν στένωσιν· καὶ τὴν ἐπιλείπουσαν πίστιν, καὶ τὴν ἀρδείαν τῆς εὐσεβείας, ἣν μὴ μόνα τὰ τῆσδε τῆς πόλεως· καθόλου γ' ἐρεῖν ἐλείπετο· καὶ τὰ τῆς κατ' αὐτὴν προστασίας πηγάζοντ' ἄκλειστα· πάντα τὸν αἰῶνα συνεχῆ· καὶ πλείστοις ἢ μᾶλλον πᾶσιν, ἀρκοῦντα· καὶ τοῦ χρόνου τῇδε μόνον, τὸ ξυγκεχωρηκὸς, ἄτρεπτον καὶ ἀσάλευτον; ἔνθα δὴ καὶ τῆς θεοσεβείας, ἡ πᾶσα τιμή· καὶ σπουδὴ παντοία· καὶ περιουσία καὶ χύσις, μετ' ἀγλαΐας ἀμυθήτου καὶ ὥρας· καὶ κάλλη νόμιμα πρότερον ἐξαρχῆς· καὶ ἀεὶ καινίζοντα· καὶ κόσμοι πάσης ἱεροτελεστίας, καὶ θειασμοῦ τῶν τῆς ἐκκλησίας ὀργίων. καὶ τίς ἂν, ταῦτα, δὴ, πάντ' ἐρεῖ συνελὼν· ὡς ἂν ἄρα καὶ παντὸς τοῦ προσήκοντος ἐπιτυχῶς ἀξιοῦν;

122. Καὶ μὴν ταῖς μὲν, τῶν πόλεων, ἐν βίβλοις ἡ εὐδαιμονία· καὶ τὰ παλαιὰ πρότερον, ἅττα δή, διὰ μνήμης φέρουσιν ἐν τῷ νῦν εἶναι κοσμεῖσθαι· καὶ φεύγουσι τὰ παρόντα· καὶ τὴν νῦν ἐρημίαν ἐγκαλύπτονται· ταῖς δὲ, παλαιᾶς μὲν εὐγενείας ὀρφανία· καὶ χθὲς ἤρξαντο· καὶ πρὸ τρίτης τῷ βίῳ δείκνυσθαι. αἷς δὲ καὶ ἀμφοτέρων μέτεστιν, ὀλίγον τὸ χρῆμα παραβάλλειν, ἐξεῖναι τῇ πόλει τῇδε, πάνθ' ὁμοῦ τὰ κάλλιστα· καὶ πάλαι καὶ νῦν εἶναι· καὶ οἷα μηδέσιν ἄλλοις, οὐδέτερα καὶ οἷ' ἀλλήλων ἄξια· καὶ προσήκειν ἀλλήλοις·

121,20 ἐν τούτοις V² in marg. **122,2** ἅττα scripsimus: ἄττα V **3** νῦν V² s.l.

καὶ ὧν ἔνια ταῖς μεγίσταις ἀρκεῖ· καὶ προεχούσαις τῶν ἄλλων, ἱκανὴ φιλοτιμία· καὶ μεγίστης ἀφορμὴ, δόξης· καὶ τὰ κατ' αὐτὴν μερισαμέναις, πάνυ τοι πλείσταις, πάνυ τοι πλείστους ἔχειν ἂν, ἣν ἐπιδείξεως καὶ τρόπους· καὶ πορισμούς. καὶ τὰ μὲν παλαιὰ ταύτῃ f. 296 τοῖς νέοις ἐφάμιλλα· καὶ τοῖς παλαιοῖς ὡσαύτως τὰ | νέ' ἐφάμιλλα· καὶ οὐκ ἔστιν ἐρεῖν οὐδὲ διελέσθαι, ποῖ τῶν κατ' αὐτὴν ἡ πόλις, ἑαυτῆς προέχει, πῇ δ' ἥττηται. τῶν δ' ἄλλων ἁπασῶν, καὶ παλαιῶν καὶ νέων, καὶ παλαιοῖς τοῖς, αὐτῆς καὶ νέοις προέχει. καὶ οὐ λέγω τῇ κοινωνίᾳ γε ἀμφοῖν ὁμοῦ καὶ τῇ μεγίστῃ ταύτῃ, περιουσίᾳ, ἀλλὰ καὶ τούτοιν θατέρῳ γε τῷ μέρει τὰ τῶν ἄλλων ὡντινωνοῦν, παραπλήσια δοκοῦντα· τῇ παλαιᾷ φημὶ μεγαλοδοξίᾳ, καὶ τῷ μεγάλῳ πατρόθεν ἐκ μακροῦ κλήρῳ, τὰ τῶν ἐπὶ τούτοις πάντων φρονούντων· καὶ τὰς παλαιὰς καὶ ἤδη νεκρωθείσας εὐετηρίας, προβαλλομένων εἰς μέσους ὥστε καὶ παραβάλλειν, καὶ τῇ νέᾳ διαπαντὸς φορᾷ καὶ περιφανείᾳ· τοῦ ζῶντος βίου, τὰ τῶν ἀμέλει νῦν ἀκμαζόντων· καὶ νεαρῶν τῆς τύχης· καὶ λαμπρυνομένων τὰ παρόντα, μόνα καὶ φαινόμενα. καὶ ὡς ἔπος εἰπεῖν, τὰ πάντων κάλλιστα τοῖς κατ' αὐτὴν ἅπασιν ἀπαραμίλλοις, παρέρχεται· καὶ πολλῷ τινι λείπει δεύτερα, βασιλικοῖς ὄντως ξυμμετρούμενα τοῖς πήχεσι. καὶ τὸ παραβάλλειν ὅλως ἴσως μὲν ἂν, εἴη μαινομένου τινός· πειθοίμεθα δ' ἂν, καὶ τοῖς ὅμως περὶ τούτων, οἶμαι, νόμοις· οὐκ ἀπεικότως, οὐδὲ τοῦτ' ἴσως.

123. Φέρε γὰρ ἐξεταστέον τὰς πρώτας ὡς εἰπεῖν, τῶν ἐκ τοῦ παντὸς αἰῶνος, πόλεων προελομένους· καὶ θεωρητέον ὅσα κατ' αὐτὰς πρὸς τὰ τῆσδ' ὡς οἷόν τε· καὶ ξυγχωρεῖ νῦν ὁ καιρὸς, καὶ τὸ μέτρον τῶν εἰρημένων. καθόλου μὲν οὖν οὑτοσὶ κανὼν, εἷς ἔστω σοι τῇ πόλει· καὶ γνώμων κοινὸς, τῆς κατὰ τῶν ἄλλων ἁπασῶν ἐπιδηλοτάτης ὑπεροχῆς (λέγω δ' ὧν ὁ πλεῖστος λόγος ἐστὶ, καὶ τὰ μεγάλ' ὀνόματα· καὶ τῆς τύχης ἐκεῖναι λαμπρότητες, περιφανεῖς μὲν πάλαι, πρότερον· πλὴν ἐσβεσμέναι· πολλά γε λοιπὸν ἔτη, καὶ νεκρὰ καὶ παραρρεύσανθ' ὅμως διηγήματα), τῆς θέσεως ταύτης ἡ εὐκαιρία· καὶ γῆς ἅμα καὶ θαλάττης κατ' οὐρανοῦ· καὶ

18 post τῷ ras. fere septem litterarum **20** τὰ V[2] s.l. **23** τὰ V[2] s.l. **123,1** ὡς V[2] s.l. **5** ἁπασῶν V[2]: πασῶν V

122,9 cf. Ael. Arist., Or. 13 (p. 305, 10–11) **9–10** cf. Id., Or. 25, 5 (p. 73, 14)

τὸ κατὰ φύσιν εὔχρηστον αὐτῇ τε | καὶ πρὸς τὸ κοινὸν ἔπειτ' ἄρα f. 296v τῶν ἀνθρώπων, τοσοῦτο δὴ πρᾶγμα· καὶ τῶν ἄλλων πᾶς τις ἀληθῶς ἂν, ἐρεῖ· τὸ καιριώτερον· καὶ πρῶτον κατ' ἀνάγκην τὲ καὶ ἅμα χάριν θαυμαστὴν καὶ ἄρρητον οἵαν· καὶ οὗ πάντα τις ἄλλα νοῦν ἔχων καὶ καλῶς ἐπιστατῶν τοῖς οὖσιν ἐμοὶ δοκεῖν ἀλλάξαιτ' ἂν, ἐφορώμενος ἀμέλει πρὸς τὸ γιγνόμενον, τῆς τῶν πόλεων ἀρετῆς εὖ μάλα· καὶ διαρκὲς καὶ τέλειον τῆς εὐεξίας. πλὴν γὰρ αὐτῆς δὴ ταύτης, τὸ τῆς οἰκουμένης ἀπὸ πάσης ἐπίλεκτον μόνον αὐτὸ, μόνης εὑρούσης τὲ καὶ προελομένης, ἑαυτῇ καὶ κατεχούσης τὸν ἀεὶ χρόνον, μετὰ ῥᾳστώνης καὶ κατὰ φύσιν, ἀλυπότατα, πᾶσαι λοιπὸν ὅπου ποτ' ἄρα, τῆς βελτίστης ἐξεκρούσθησαν μοίρας· καὶ τὴν εὐδαιμονίαν κατὰ σφᾶς ὅση συνέλαχον, ἐξετοπίσαντο δυστυχήσασαι, μὴ κατὰ καιρὸν, χρῆσθαι. καὶ καθάπερ ἐπὶ μεγάλου τινὸς καὶ καλλίστου τοῦδε θεάτρου τῆς γῆς ἁπάσης, ἁμαρτοῦσαι τῶν εὐγενῶν μάλιστα· καὶ χρησίμων τόπων τῆς ἐποπτείας· ὥστε δὴ κάλλισθ' ὁρᾶν ἔχειν καὶ ὁρᾶσθαι· καὶ τὴν σκηνὴν καὶ ἴσως γε λαμπροτέραν καὶ τὴν κατάπαυσιν, ὁπηοῦν οὐκ εὐφυῶς ἀνύσιμον, πρὸς τὴν χρείαν πηξάμεναι, αἵ δ' οὐκ ἀγαθῶς ἐπίπαν, ἔπειτ' ἐχρήσαντο τοῖς παροῦσι· καὶ φαύλως ἔπειτ' ἀπήλλαξαν, ἀνόνητοι τῶν βελτίστων ἴσως· καὶ ὧν ἄρ' ἦν ἡ πρόθεσις. καὶ ὥσπερ ἑνός τινος, ἐν μέσῳ κατ' ἀνάγκην τοῦ σκοποῦ κειμένου πᾶσιν, ἐφ' ᾧ κατευστοχῆσαι καὶ τυχεῖν ἀμέλει, φθάνει μὲν τοῦθ' ἡ πόλις ἥδε μόνη· καὶ τῶν ξυμμέτρων, οὐκ ἐκπίπτει· καὶ τῆς αὐτοῦ λοιπὸν, τύχης· αἵ γε μὴν ἄλλαι πᾶσαι, βάλλουσιν ἔξω τῶν εἰκότων τὲ καὶ τῶν μέτρων, οὐκ εὐστοχήσασαι. καὶ μακαρισταί τινες οὖσαι καὶ θαυμασταὶ, τὴν ἄλλην ἴσως ἕξιν, θαυμάζονται πολλῷ δὴ μάλιστα τῆς ἀκαιρίας ταύτης καὶ δυστυχίας, καὶ δυσχρηστίας, ὥσπερ ἂν, εἴ τις οἰκία περιφανὴς τἄλλα καὶ πολλῇ ξυλλαχοῦσ' ἁβρότητι, καὶ κόσμοις | παντοίοις· καὶ πλούτῳ τύχης, ἔπειθ' ὁρῷτο χώρας f. 297 ἀμοιροῦσα καὶ προνοίας· εἰς τὴν ἀταλαίπωρον διοίκησιν τῆς εὐδαιμονίας, ἵν' οὕτως εἴποιμι, δυσάντητός τις, καὶ δυσπρόσοδος τῶν χρησίμων· καὶ τὴν εὐπραγίαν, οὐκ εὔκρατον ἐντεῦθεν, ἀμέλει διαφέρουσα.

124. Καὶ μὴν ἔοικε λοιπὸν οὐδὲ διαρκῆ τὰ τοιαῦτ' ἐστὶν· οὐδ' ἄνοσα τῷ χρόνῳ, διαπαντὸς ἀντέχει. καὶ οἷς ἡ φύσις ἄρα τῆς

14 ἄλλα V^{2} s.l. **20** πᾶσαι V^{2}: πᾶσα V **124,1** διαρκῆ V^{1}: διαρκεῖ V

εὐεξίας, οὐκ ἴση πάντοθεν ἔρχεται, οὐδ' ἅπαντα κατ' αὐτὴν, εὖ μάλ' ἀλλήλοις ἀπαντᾷ καὶ κίρναται ξύμμετρα, ἀλλ' ἔστι μὲν, ἃ μετὰ ῥᾳστώνης φέρει, καὶ συμπληροῖ τὴν ὅλην αὐτῆς οὐσίαν εἰπεῖν καὶ κατάστασιν, ἔστι δ' ἃ καματηράν τινα καὶ λίαν ἐργώδη καὶ πονηρὰν συνερανίζεται· καὶ ἀποδίδωσι τῷ παντὶ συντέλειαν, τοῖς γε δὴ τοιούτοις, ἐπίνοσα κατὰ φύσιν ἐξ ἀνάγκης ὑπὸ τῆς τοιαύτης ἀνισότητος καὶ ἀνωμαλίας τὰ πράγματα. καὶ κομιδῇ πραγματειώδους ἀεὶ χρῄζοντα τῆς διοικήσεως· εὖ δῆλον ὡς οὐκ ἔχει φύσιν, ἀντέχειν ἄρα τῷ χρόνῳ, τρέπεται γε μὴν καὶ ἡττᾶται· καὶ εἰ μόγις μὲν ἴσως, τρέπεται δ' οὖν ὁτὲ τῶν χρόνων. καὶ τά τ' ἄλλα δηλοῖ καὶ τὰ κατὰ τὰς πόλεις αὐτάς· καὶ πλεῖστα δὲ τούτων ἔχομεν παραδείγματα.

125. Τῇ γε μὴν βασιλικῇ καθ' ἡμᾶς ταύτῃ πόλει, τόδε δὴ μάλιστα κατὰ φύσιν ἔχει· τῶν τόπων, ἡ εὐκαιρία· μόνη πασῶν ἐπὶ τῆς γῆς ὅλης ἐπίδηλος· καὶ τῆς ὅλης εὐδαιμονίας ἀξία καὶ σύμμετρος, κιρναμένη· καὶ διαρκὴς ὡς ἀληθῶς, εἰς τὴν πᾶσαν χρῆσιν τοῦ βίου· καὶ ὡς ἂν, ἅμα μὲν καθ' ἑαυτὴν, εὖ εἶναι· καὶ πράττειν ἀλύπως τὲ καὶ ἀνόσως· ἅμα δὲ καὶ πρὸς τὴν ἁπάντων ἀνθρώπων κοινωνίαν καὶ χρῆσιν· καὶ πρόδηλος ἔφην, εἷς οὑτοσὶ γνώμων καὶ κανὼν τῆς κατὰ πασῶν τῶν ἄλλων πόλεων, ὑπερβολῆς· καὶ πλεονεξίας τῶν καλλίστων, τὸ μόνης ἐξαίρετον ἐπὶ γῆς ἀναμφήριστον αὐτῇ λάχος· ἁπλοῦν ὂν αὐτὸ καὶ μόνον, τῆς ἐπικαίρου f. 297v θέσεως, ἀλλὰ μὴν καὶ μέγεθος οὕτω, κάλλιστον | καὶ καλλίστων ἁπάντων, παμπλῆρες, οὐδεμιᾶς ἄλλης τοσοῦτο παραβάλλειν ἔξεστι· κατὰ τήνδε τὴν πόλιν.

126. Κατὰ μέρος δ' ὡς ἐρεῖν ἔπειτα, καὶ προχειρίσασθαι, νῦν εἶναι τὰς τῶν ἄλλων πρώτας, ἐκ τοῦ παντὸς αἰῶνος πόλεων, Βαβυλὼν μὲν ἐκείνη, πρότερον ἤνθησεν ἐπὶ καιρῶν· καὶ τειχῶν αὐτῇ περίβολος, οὐκ ὀλίγον ἐπ' ἀληθείας τὸ χρῆμα· καὶ τὸ μῆκος μέγιστον, ὧν ἄλλων ἴσμεν ἁπάντων. πλὴν ὅμως τῆς τἆλλα πάντα τε· καὶ τόδε μὴν ἔτι θαυμαστῆς τῆσδε πόλεως· καὶ ἅμα τῆς τέχνης αὐτῷ μεγίστη καὶ τῆς κατασκευῆς ἐπιμέλεια, κατ' ἀμφότερα,

125,8 ἄλλων V^2 e corr.

126,3–5 cf. Id., Or. 26, 79 (p. 114, 5–6)

πολὺ μὲν τἀσφαλὲς· πολὺ δὲ τὸ κάλλος. καὶ ἀρχὴν μὲν ἐκείνη, πόλις οὐκ εὐκαταφρόνητον, ἀλλὰ καὶ λόγου γε ἀξίαν τῆς ἁπάσης Ἀσσυρίων, ἀρχὴν δὲ καί τινων ἄλλων ἐθνῶν, ὅσων ἄρα δή τινων, καὶ οἵων, προσπεριβάλλεται· καὶ χώρας καὶ γῆς εὐγένεια πρὸς τὴν φορὰν αὐτῇ· καὶ τεχνῶν σοφία παντοία· καὶ τἆλλα, ὡς ἄν, εὐδαίμονος πόλεως. ἀλλὰ τί ταῦτα πάντα· πρὸς ταῦτα δὴ πάντα τῆς πόλεως, καθ' ἡμᾶς ταύτης νῦν· τὰ τῆς ἀρχῆς, ἔξωθεν δὴ, πρὸς τὰ τῆς ἀρχῆς, τὰ τῆς οἴκοι λαμπρότητος, πρὸς τὰ κατὰ χώραν τῇδε θαύματα; ἁβρότης μέν γ' ἐκείνη βαρβαρικὴ καὶ δαπάνη· καὶ τρυφὴ· καὶ βλακεία, πομπεύουσα, τῇ τύχῃ· καὶ τῶν ὄντων σπαθῶσα, καὶ καθόλου γε περιουσία· καὶ πολυτέλεια, τί ταῦτ' ἂν, εἴη λοιπὸν, ὥστε καὶ παραβάλλειν, πρὸς τὴν ἐνθάδ' Ἑλληνικὴν τῆς πόλεως σωφροσύνην· ἐλευθερίαν τὲ καὶ τὸ μεγαλόψυχον ἅμα τῷ μέτρῳ· καὶ θεσμοὺς καὶ νόμιμα τῆς φύσεως καθεστῶτα· καὶ κοσμίαν καὶ μουσικὴν πάντα διὰ πάντων ἀγωγὴν· καὶ ὄντως κατ' ἀνθρώπους προσήκουσαν· εὐρυθμίαν τὲ καὶ συμμετρίαν πολιτευμάτων καὶ πάνθ' ἡρμοσμένον καθόλου βίοτον· χωρὶς τοῦ καὶ ταῦθ' ἅπερ ἐκείνοις εἴρηται, πάντων ἂν μᾶλλον ἄλλων ἀνθρώπων, τὴν πόλιν τήνδ' οἵαν τ' εἶναι κατορχεῖσθαι τοῦ βίου· καὶ τῆς ἐνθάδε περιουσίας τὲ καὶ πολυτελείας, τἀκείνης πολλῷ λείπεσθαι· καὶ ὥστε νηπίων ἐκεῖνα παίγνια δοκεῖν εἶναι | καὶ παίδων τιν' f. 298 ἀσχολίας ἀθύρματα πρὸς τὸ τῆσδε τῆς πόλεως μεθ' ὑπερβολῆς κράτος; ὃ καὶ καταλογίσασθαι· καὶ παράλληλα θέντας ἀποδεικνῦναι, πόσῳ δή τινι καὶ προφέρει, τίς ἄν, οἷος τε εἴη; μᾶλλον δὲ καὶ μαίνεσθαι τοῦτ' ἂν, εἴη καὶ μελαγχολᾶν λαμπρῶς· καὶ λόγος οὐδεὶς οὐκ ἔστιν τῇ τῶν ἀνδρῶν ἐκείνων· καὶ τῆς πόλεως ἐκείνης ἀβελτηρίᾳ καὶ ὕβρει· καὶ ἀπειροκαλίᾳ κατὰ τῶν προσόντων μάτην οὑτωσί πως ἐρεῖν, ὥστε καὶ παραμετρεῖσθαι πρὸς τἀνθάδε τῆς πόλεως ἀπαράμιλλα, καὶ ὥστε πρὸς τὸ μέγεθος αὐτὸ τῆς οὐσίας καὶ τὸν πλοῦτον, τῆς κτήσεως· καὶ ὥστε πρὸς τὴν χρῆσιν, αὐτὴν ἔγκαιρον.

126,17 βλακεία V[2]: βλακεῖα V | τῇ τύχῃ V[2]: τῆς τύχης V **31** δή τινι καὶ V e corr. **33** ἐκείνης V[2]: ἐκείνη V

28 cf. Greg. Naz., Or. 42, 22, 18 (p. 98)

127. Καὶ τὰ μὲν πλείω, παρήσειν μοι δοκῶ· ἀλλ' ἴσμεν γε ὡς ἐκείνοις, στενὰ κατὰ φύσιν πᾶσα ἀνάγκη, τὰ τῆς εὐδαιμονίας ἐν τούτοις καὶ τῆς εὐφορίας· καὶ τῷ τοῦ παντὸς ὡς εἰπεῖν ἡμίσει σαφῶς ἐνέλειπε. καὶ τὰκ τῆς θαλάσσης γὰρ ἀπῆν ἀγαθά· πρᾶγμα τοσοῦτο τῇδε τῇ πόλει· καὶ ἡ τῆς ἀλλοτρίας εὐπραγίας κομιδῇ πάντοθεν ἀνύσιμος εὐαγωγία καὶ κομιδὴ, καὶ ῥᾳστώνη φορᾶς τῶν τοσούτων κατάπλων τῆς οἰκουμένης εὖ περαινόντων εἰς λιμένα τόνδε τῇ πόλει κοινὸν ἁπάντων ἀνθρώπων. ἀλλ' ἐκείνοις ἄρα τοσαύτης δὴ τῆς προσθήκης, ὅσα γε πρὸς τὴν ἀφθονίαν τοῦ βίου καὶ τὴν ἐπίδειξιν τῶν ὄντων, ἐνέδει καὶ ἦν ἐρημία· καὶ ὀλίγοις ἦν, ὡς ἔοικεν ἀνθρώπων, αὐτῶν τε δὴ καὶ τῆς κατὰ σφᾶς αὐτοὺς εὐδαιμονίας, πεῖρα· καὶ συναίσθησις· καὶ χρῆσις, διὰ τὴν ἄμικτον ὡς ἄν τις εἴπῃ τῶν πλείστων ἀνθρώπων, ἀποχώρησιν κατὰ φύσιν τῆς χώρας· καὶ τὰκ τῆς θαλάσσης ἀκοινώνητα. καὶ ποταμὸς ἦν Εὐφράτης, ἐν μέσοις ῥέων, τὸ πέρας τῆς εὐεξίας· καὶ Τίγρης δεύτερος ἐκεῖνος αὖ παραρρέων ἔγγιστα· θάλαττα δ' ὡς εἰκάσαι, τοσαύτη τοῦ παντὸς· καὶ τῶν ὄντων ἀπόμοιρα, ἠγνοεῖτο σφίσιν ἂν εἴ τι γε τῶν ὄντων ἄρ' ἐστὶν ἐν τῷ βίῳ, ἢ διήγημά τι, τῶν ἀπίστων ἴσως ἂν, ἦν καὶ τεραστίων· καὶ ταῦτα παρ' ἧς ἐμοὶ δοκεῖν αἱ πλείους τῶν τεχνῶν, εἰς τὸν βίον ἐπορίσθησαν· καὶ ἡ πλείων
f. 298v τῆς ζωῆς χρῆσις, | καὶ τῆς οἰκουμένης αὐτῆς ὡς εἰπεῖν, κοινοπολιτεία.

128. Πρὸς γὰρ δὴ τοῖς εἰρημένοις, καὶ τοῦτ' ἐρεῖν ἔτ' ἐστὶ καὶ προσθεῖναι ὅτι καὶ τῆς ἀρχῆς ἄρ' αὐτῆς οὐ μόνον τὸ μέγεθος πολὺ, προήκει τῇ βασιλικῇ τῇδε πόλει καθ' ἡμᾶς, ἢ κατὰ τὴν Ἀσσυρίων ἐκείνην ἡγεμονίαν· καὶ τῷ τῶν ἐθνῶν ἀριθμῷ τοσούτῳ παμπληθὲς, τὰ καθ' ἡμᾶς Ῥωμαίων κράτη προφέρει, ἀλλὰ καὶ τῇ τῶν ἐθνῶν ὧν ἐπῆρξεν αὐτῶν εὐγενείᾳ· καὶ δόξῃ· καὶ φήμῃ μεγίστῃ· καὶ ἣν οὐκ ἔστι παραβαλεῖν, ἀντὶ τῆς βαρβαρικῆς ἐκείνης ἀβελτηρίας τὲ καὶ βλακείας, Ἑλληνικὴν σοφίαν, καὶ μεγαλοφροσύνην· καὶ ἀντὶ τῆς ἐκείνων δουλοπρεπείας καὶ μικρογνωμοσύνης ἐθίμου,

127,13 τῶν V² s.l. **128,3** προήκει V¹: προῆκον V

127,3 cf. Plat., Leg. 753e **6–7** cf. Ael. Arist., Or. 13 (p. 156, 13) **21–22** cf. Metoch., Misc. 22. 2, 4 (p. 196, 24) **128,8** cf. Plut., Mor. 992D **9–10** cf. Arist., Polit. 1285a19–22

τὴν αὐτῶν Ἑλλήνων ἐλευθερίαν καὶ μεγαλοψυχίαν· καὶ λῆμμα περιττὸν ἐν μνήμῃ παλαιᾷ· καὶ πείρ' ἀεὶ συνεχῶς τῶν χρόνων· καὶ ἀντὶ τῆς ἐκείνων, μανίας· καὶ ἀπαιδευσίας καὶ ὕβρεως· καὶ φλυαρίας, τὴν αὐτῶν δὴ τῶν εἰρημένων, ἐνθάδ' εὐαρμοστίαν· καὶ πολιτικὴν ὄντως καὶ μουσικὴν εὐχρηστίαν. καὶ τί ἄν τις προσθείη φέρων ἑξῆς, ἃ δὴ πάντ' ἐπαύξει, παντὶ τρόπῳ λοιπὸν τὴν εὐδαιμονίαν, ἐνταῦθα τῇ πόλει πᾶσαν, καὶ τοὺς τῆς ἀρχῆς καρποὺς· πλοῦτον· δόξαν· ἁβρότητα πᾶσαν· ἔργ' ἐπιδείξεως, ὡς δὴ καὶ προυλέγομεν· φρόνημα μάλιστα· πᾶν ἄλλ' ὁτιοῦν ἑπόμενον· ἵνα μὴ λέγω καθ' ἕκαστα; καὶ μὴν ὁ μὲν τραγικὸς φησὶν Εὐριπίδης, ὡς ἄρα πρὸς τὰς τύχας τὰς φρένας κεκτήμεθα· καὶ ὁρῶμεν ἀληθὲς τοῦτ' ἐπὶ τῶν πραγμάτων· καὶ οὐκ ἄν, ἐρεῖ τις ἄλλως. ἀλλὰ καὶ Δημοσθένης αὐτὸς, ἔπειθ' ὕστερον χρόνοις παραπλησίως, ὡς ἄρα καὶ πρότερον ἐν ἄλλοις ἡμῖν, εἴρηται, ὁποῖα ποτ' ἄν, ᾗ φησὶ τοῖς ἀνθρώποις τὰ πράγματα, τοιαῦτα καὶ τὰ φρονήματα γίγνεται· καὶ πάντα κάλλισθ' ἡμῖν, ἃ 'κείνου· καὶ πολὺ τὸ καίριον τοῖς λόγοις. ἔξεστι δ' οἶμαι νῦν, ἐπὶ τῆς Ῥωμαίων μεγάλης ἡγεμονίας ταυτησὶ, καὶ τοῦ τοσούτου πραγμάτων ὄγκου τῆς κατὰ τήνδε τὴν | πόλιν ἀρχῆς ἧς ξυνέλαχε, τὴν ἀρχὴν, οὐ μόνον λοιπὸν τάξίωμα f. 299
ἐντεῦθεν τοῦ φρονήματος αὐτῇ, καὶ τὸ βάρος τῆς μεγαλοπρεπείας τὲ καὶ μεγαλονοίας, καὶ περινοίας ἔπειτ' ἀκολουθοῦν ξυλλογίζεσθαι· παμμέγεθες ὡς εἰκὸς οἶον· κατὰ τοὺς σοφοὺς ἐκείνων τῶν ἀνδρῶν λόγους· μᾶλλον δ' ὡς ἄρα, κἀπὶ τῶν πραγμάτων ἔδειξαν· καὶ βοᾷ τὰ ἔργα σφίσιν, ἀλλ' ἄρα, καὶ τοῦτ' ἔξεστι μάλιστα λογίζεσθαι· ὡς ἄρ' ὁποία δὴ προπαρασκευὴ φρονήματος, καὶ γνώμης ἅμιλλα καὶ ὁπλισμὸς, τοσοῦτον δὴ καὶ τηλικοῦτον μέγεθος ἀρχῆς, ἐπῆρε καὶ κατεπράξατο γεννικῶς οὑτωσὶ· καὶ συγκατεσκεύασε καὶ κατεστήσατο καλλίσταις ἀγωγαῖς τε καὶ τέχναις εὐμαθέστατα καὶ νομιμώτατα, καὶ εὐαγέστατα· καὶ ὡς οὐκ ἔστιν ἕτερα παραπλήσι' ἄττα· ἢ ὡς ἄν, ἔγγιστά πως παρατιθέναι ταῖς ἐνταῦθα τῆς πόλεως ὑπερβολαῖς. καὶ οὐ λέγω νῦν ἔγωγε, Βαβυλωνίαν ἐπικράτειαν· ἥντιν' ἄρα δὴ καὶ βάρβαρον ἐκείνην· ἀκολασίαν· καὶ ἀμετρίαν· καὶ φθορὰν καὶ νόσον, ἑπομένην ὡς ταπολλὰ, ταῖς βαρβαρικαῖς ἀρχαῖς καὶ τύχαις, ἀλλὰ (φέρε

20 ἀληθὲς V[1]: ἀληθῶς V **28** ἧς V e corr. **34** ὁποία V[1]: ὁποίου V

20–21 Eurip., Hipp. 701 **22–24** cf. Or. 18, 11, 1–2

γὰρ), καὶ τῶν ἄλλων μεγίστων, ἐνίας· πάντως δὲ τὰς μείζους, ἐνταῦθα προχειρισόμεθα· καὶ ὀψόμεθα τὰ τῆς πόλεως παράλληλα τιθέντες εἴ πη παρείκοι· μᾶλλον δ' ὅσον γε ἥδε, προήκει πολλῷ δεύτερα τἀκείνων λείπουσ', ὀψόμεθα.

129. Ἀλεξάνδρου πόλις ἐπ' Αἰγύπτου· μέγιστον ὄνομα καὶ κλέος ἐν Ἕλλησι καὶ βαρβάροις· καὶ διὰ τὴν τύχην τοῦ πολιστοῦ· καὶ διὰ τὸ μέγεθος κατ' αὐτὴν· καὶ διὰ τὴν ὕστερον ἀκμὴν· καὶ διὰ τὸ τῆς χώρας καινίζον καὶ ξενοπρεπὲς· καὶ θαυμάσιον οἷον ἀξιόλογον. Αἰγύπτιοί τε γὰρ καὶ Νεῖλος, πολὺ κατὰ πάντας ἀνθρώπους θαῦμα· καὶ πολλοὶ τῶνδ' ἐξηγηταὶ· καὶ πολλοὶ τὰς ἱστορίας κατ' αὐτοὺς ἐπόνησαν. ἀλλὰ καὶ ἡ Σελεύκου μεγίστη πόλις, μητρόπολις ἁπάσης, Ἀντιόχεια Συρίας ἐκείνη· πολυδόξου· πολυδοξοτάτη τὲ καὶ καλλίστη, πλεῖστον ἤκμασεν ἐπὶ τῶν προτέ-
f. 299v ρων | χρόνων· οὐ μόνον ἀρετῇ πάσῃ καὶ χώρας καὶ πόλεως, καὶ κατὰ φύσιν· καὶ κατ' ἄσκησιν ἀμέλει πᾶσαν, καὶ τῶν οἰκούντων ἀστειότητα καὶ φιλοκαλίαν, ἀλλὰ καὶ τύχης εὐφορίᾳ· καὶ περιβολῇ δυναστείας ἀξίᾳ μνήμης τὸν αἰῶνα πάντα καὶ λόγου. καὶ παντοίοις γε μὴν οἰκοδομήμασι καὶ κατασκευαῖς, ἐλαμπρύναντο τὴν πόλιν Ἀντιοχεῖς ἐκεῖνοι· οὐκ οἶδ' ὡς εἴ τινες ἄλλοι πλεῖον, πλὴν ἄρα τῆσδε τῆς πόλεως. καὶ κατεκοσμήσατο, πόλις ἐκείνη περιττῶς· καὶ μάλιστ' ᾗ κατὰ τὰς ἄλλας τὴν οἴκοι κατὰ χώραν, τῆς φύσεως εὐκαιρίαν τῇ τῆς τύχης εὐνοίᾳ· καὶ τοῖς αὐτοῖς δώροις, καὶ ταῖς συναλλαγαῖς· καὶ σπουδῇ καὶ φιλοτιμίᾳ σφετέρ' αὐτῆς· καὶ τῶν αὐτὴν ἐποικησάντων. καὶ πολλὰ καὶ θαυμαστὰ, μέχρι νῦν, ἐκείνη πόλις ἀκούει, ἀλλὰ τοῦτ' εὐθὺς αὐτίκ' ἀκούει μόνον· ὁρᾶν δ' οὐκ ἔστιν ἔτι πω καὶ νῦν· ἀλλ' οἴχεται τὰ κλέα καθάπαξ, ὡς ἂν, εἰ καὶ μὴ γέγονεν ὅλως.

130. Ἀλλὰ μήπω τοῦτο· ἀλλ' ὅτι γε τέως ἤνθησε πάσης εὐπραγίας καὶ καλλονῆς πάσης, Ἕλληνές τε ἀμφοῖν τῶν πόλεων,

45 προχειρισόμεθα: cave corrigas προχειρισώμεθα **129,7** ἐπόνησαν V[2]: ἐπόθησαν V **8** ἁπάσης V[2]: ἀπᾶσης V **19** σπουδῇ scripsimus: σπουδὴ V

129,11 cf. Liban., Or. 11, 270 (p. 534, 14–15) **13** cf. Ibid. 84 (p. 464, 7–8) **14** cf. Ibid. 227 (p. 516, 3) **18** cf. Ibid. 259 (p. 529, 4) **130,2–3** cf. Ibid. 58 (p. 455, 7)

πολισταί· καὶ οἰκήτορες Ἕλληνες τὰ πρῶτα· καὶ Μακεδόνων ἀκμὴ τηνικαῦτα τῶν χρόνων· καὶ τύχης πομπὴ· καὶ κράτος ἐπὶ τῆς γῆς θριαμβεῦον, ἀρχαί, πατρῷαι καὶ θεμέλια τῶν πόλεων, τῶνδ' ἀμφοῖν ταῦτα· καὶ ταυτὰ δὴ καὶ παραπλήσια, κοινὰ τῆς ἀγαθῆς τύχης προοίμια· καὶ προγονικῆς εὐκληρίας δόξα. χωρὶς δὲ τούτων, ἔτ' ἔχομεν περὶ τῶνδε τῶν πόλεων λέγειν, ὡς κἀπὶ τῶν καιρῶν πρότερον ἐκείνων, μέγα ταῖς πόλεσιν ὄνομα ταύταις, κἀν τοῖς χριστιανικοῖς ἔπειτ' αὐτοῖς, τουτοισὶ χρόνοις μάλιστα· καὶ τἆλλ' ἅπαντα καθόλου πράγματα, καὶ χριστιανικὰ μὲν οὖν ὡς εἰπεῖν αὐτὰ πράγματα, σεμνύνει καὶ ἀμφοτέρας τὰς πόλεις, ἐν ὀλίγῳ τῶν ἐπὶ τῆς οἰκουμένης πόλεων ἀριθμῷ· ὥστ' ἀμέλει τὰ πρῶτα, καὶ αὐτὰς εἶναι τὲ καὶ ἀκούειν.

131. Ἀτὰρ δὴ ταῦτα πάνθ' ὅσα γε καὶ εἴρηται τῶν πόλεων τῶνδ' ἀμφοτέρων, πρὸς μὲν ἄλλας πόλεις | παραβάλλειν ἕκασθ' f. 302 ὡς ἀληθῶς, καὶ τὰς εἶναί τι, καὶ νῦν εἶναι, καὶ πρότερον δοκούσας, καιρὸν ἔχει· καὶ μάλιστ' ἔχειν φῆμ' ἔγωγε· καὶ μέγεθος πρὸς μέγεθος· καὶ κάλλος πρὸς κάλλος· καὶ χάριν ἅπασαν, πρὸς ἐκείνων ὡντινωνοῦν, ἡντιναοῦν ἅπασαν· καὶ κατασκευὰς· καὶ δημιουργίας· πρὸς πᾶσαν πάντων ἄλλων ἐπίδειξιν· καὶ ἄλλαττα πρὸς ἄλλων ἐκείνων ἕτερ' ὁμοίως ἔχοντα ἄττα· καὶ οὐδὲν ὅ,τι μὴ, τῇ δέ γε πόλει καθ' ἡμᾶς ταῦτα χώρα προσάγειν οὐκ ἔστιν· ὡς ἄν, ἀμηγέπη καὶ τολμᾶν ἁμιλλᾶσθαι· οὐ κατὰ πάνθ' ὁμοῦ, τοῖς αὐτῆς ὁμοῦ πᾶσιν· εἰ δὲ βούλεταί τις ἴσως καὶ τῶν πολλῶν προσόντων ἐνίοις, οὐ καθ' ἓν ὁτιοῦν ἕκαστον· ὃ μάλιστα ἄν, δόξαιεν κράτιστον αὗται πόλεις, ἐν τοῖς σφετέροις αὐτῶν ἔχειν· καὶ τῶν ἄλλων προέχειν αὐτῷ γε δή τινι· οὔκουν γε, οὐ κάλλος ὁτιοῦν· οὐ χρήσιμον ὁτιοῦν· οὐ φυσικὴν ἀρετὴν ἅπασαν· οὐ πάντα πράγματα· καὶ παλαιὰ πρότερον διηγήματα· καὶ μνήμην θαυμάτων τινῶν· καὶ νέα καὶ φαινόμενα· νῦν εἶναι χρῆσθαι. μέγεθος δὲ καὶ θέσεως εὐκαιρίαν· καὶ οἰκοδομημάτων λαμπρότητας, μανία τις ἄν, εἴη φημὶ, καὶ μεμνῆσθαι νῦν γε εἶναι τῇ πάντα θαυμαστῇ, τῇδε πόλει· καὶ κατὰ κόσμον ἔτ' εὐπραγίαν τῇδε τῷ βίῳ.

132. Καὶ μὲν δὴ καὶ πάνθ' ὅσα φημὶ, τῇ χριστιανικῇ καθ' ἡμᾶς διαπρέπει πίστει· καὶ μεγίστην ὄντως φέρει τὴν εὐδοξίαν. ἃ

130,5 τῆς V[2] s.l. **7** δόξα V[1]: δόξης V **131,14** προέχειν V[1]: προσέχειν V

πολλῷ δὴ τῶν ἐνθάδε καθ’ ἡμᾶς λείπεται· καὶ λόγος οὐδεὶς τοῖς ἐκείνων λείπεται, παραθεῖναι ταῦτα δή· καὶ ὅσα συγγραφαὶ φέρουσι καὶ θησαυρίζουσιν αὐταῖν ἀμφοῖν οἷς καὶ θαρρεῖν μάλιστ’ ἔχουσι· καὶ ὅσα δὲ τοῖς νῦν τουτοισὶ χρόνοις δυσκλεᾶ καὶ τλήμονα· καὶ μοχθηρὸν αὐταῖς βίοτον ἐπαντλεῖ· καὶ μακραίωνα ταύτην τύχης ἀλλοτριότητα καὶ δυσμένειαν· καὶ περιφανῆ διὰ τὴν παλαιὰν εὐκληρίαν ἐκείνην· καὶ οὐ λανθάνουσαν τοῖς νῦν τούτοις καιροῖς, ἐκ πολλῶν μὲν οὖν τῶν ἐτῶν κακοπραγίαν καὶ ἀνθ’ ἧς f. 302v ἠλλάξαντο θεοσεβείας, τυραννίδα· καὶ ὕβριν δυσσεβείας καὶ | θρησκευμάτων ἀτίμων βδελλυρίαν· καὶ βαρβαρικῆς δυναστείας, χρόνιον ἀκμήν· δι’ ἧς ἐπὶ πλείστων ἤδη τῶν καιρῶν παρέρχονται, διαεθλεύουσαι· καὶ ταλαιπωρούμεναι, καὶ καταπολιορκούμεναι, διόλου πονήρως τὴν ζωὴν· καὶ βίον αὗται γ’ ὡς ἀληθῶς, ἀβίωτον ἕλκουσαι· καὶ νοσοῦσαι μὲν τὰ θεῖα καὶ χριστιανικὰ πράγματα· μακρῶν ἤδη τῶν χρόνων· νεκρωθεῖσαι δὲ πάλαι, τὴν ἅπασαν ἀγαθὴν τοῦ παρόντος βίου τύχην· κατισχυούσης ἀεὶ τῆς πονηρᾶς καὶ παλαμναίας κατ’ αὐτῶν, χειρὶ πάσῃ· καὶ ῥώμῃ πάσῃ· καὶ ῥύμῃ καὶ φορᾷ τοσαύτῃ πολλῶν ὡς ἔφην ἐτῶν ἀσχέτῳ· καὶ τραπεῖσαι πᾶσαν τὴν Ἑλληνικήν τε καὶ Ῥωμαϊκὴν εὐγένειαν. καὶ τί ἄν, ἐν τοῖς κακίστοις τοῖσδε καὶ χρῆσθαι καὶ μνημονεύειν ἔτι τρίβοιμεν ἐπαντλοῦντες φιλανθρώποις ἀκοαῖς, δυστυχίαν λόγων τοσαύτην· καὶ προσεπιφοροῦντες, καὶ κόπτοντες ἐπεργαζόμενοι τῶν αἰσχίστων, ὡς μὴ ὄφελον, τῶνδε· καὶ ἀνιαρωτάτων· καὶ ἀηδεστάτων διηγημάτων;

133. Ἀλλ’ ἐπαναλάβωμεν ἔτι. μέγεθος μέν γε τῶν εἰρημένων φαμὲν· ἀμφοτέρων πόλεων· καὶ οἰκοδομημάτων λαμπρότητας, τί χρὴ καὶ παρατιθέναι καὶ μεμνῆσθαι; καὶ τοῦτ’ εὔδηλον ὡς οὐ ταῦτ’ ἔγωγε νῦν εἶναι τὰ παρόντα καὶ φαινόμενα λέγω· ἀλλ’ ὅσα καὶ παλαιὰ πρότερον διηγήματα· καὶ μνήμη θαυμάτών τινων ἐκείνων, ἐκ νῦν ἐρειπίων λειφθέντων τῶνδε· καὶ συγγραφικῶν ταμείων οἶμαι συλλογιζόμενα· καὶ τεκμαίρεσθαι χώραν ἔχοντα· καὶ συγκροτούμενα μᾶλλον, παρὰ τῆσδ’ ὡς ἔοικε τῆς ἐπιλείψεως, καὶ δυστυχίας· ὥστε καὶ ἴσως καταψεύδεσθαι λοιπὸν ἅττα δὴ μετ’ ἀδείας ἐντεῦθεν ἀνεξελέγκτου, τῶν ὄντων καὶ τῆς προτέρας ἐκείνης ἱστορίας τῶν ἐπιδείξεων. καὶ ταῦθ’ ὅστις ἄν, μὴ τῷ λόγῳ

132,11 ἠλλάξαντο V[2]: ἠλλάξατο V

πείθοιτο, τῇ παροιμίᾳ νέμομεν χώραν (καὶ ὀφθαλμοῖς γάρ φησι δῆλα), καὶ ξυγχωροῦμεν πειρᾶσθαι καὶ περαίνειν· ἐξ ὧν ἐστὶν f. 300 ὁρᾶν λειψάνων, τὰ πρώην ἐκεῖνα παντελῆ κάλλη καὶ δῶρα τύχης· καὶ φιλοπονίας ἐπιδεικτικῆς ἔργα βέλτισθ' οἷς αἵδε πόλεις ξυνέλαχον.

134. Καὶ τοῦτο μὲν δὴ τοσοῦτ' ἐχέτω νῦν. ἀλλὰ μὴν τὰς τῶν πόλεων τουτωνί γ' ἀμφοτέρων, ἐκείνας ἃς προέφημεν, ἐπὶ τῶν προτέρων ἀμέλει χρόνων ἀρχάς, ἐνταῦθα δὴ νῦν εἶναι προστιθέναι τὲ καὶ προφέρειν παραβάλλοντας, τοῖς τῆς βασιλίδος τοῖσδε πράγμασι, μὴ καὶ λῆρος αἴσχιστος εἴη· καὶ πολλὴ ἀηδία καὶ ἀωρία· καὶ γέλωτα μακρὸν ὀφλισκάνειν, μεταξὺ προϊόντα τῶν λόγων. χωρὶς γὰρ τιθεμένῳ τὴν ὀλιγότητα τῶν ἀρχῶν ἐκείνων· καὶ ὡς αἱ μὲν, ἐφ' ἑνὸς μόνου, τῶν τριῶν ἁπάσης οἰκουμένης μερῶν· καὶ τούτου γ' ἐπὶ μέρους ὁτουοῦν τοῦ ξυλλαχόντος· καὶ ἀμφότεραι πόλεις αἵδε, προσέσχον τὸν νοῦν καθάπαξ· καὶ Ἀσίᾳ μόνῃ, μᾶλλον δὲ, τῆς Ἀσίας αὐτῆς μέρος, καὶ τοῦτο γε οὐ μέγιστον, θέατρον αὐταῖς ἤνοιξεν ἀγώνων διαρκές, ἐφ' οὗ γε καὶ ἠθλοθέτησε ταῖς πόλεσι τοὺς πόνους τῶν ἐπιδείξεων, ἐφ' οὗ καὶ παρεσκευάσανθ' αὗται καὶ ἀπεδύσαντ' εὖ μάλα· καθ' ὅσον οἷόν τ' ἦν· καὶ καθ' ὅσον εἶχον φρονήματος· καὶ συνετάξαντο τὴν ὅλην σπουδὴν· καὶ κατεπράξαντο καὶ κατήνυσαν ἅττα δὴ, χωρὶς γοῦν, ὡς ἔφην, τιθεμένῳ ταῦτα πρὸς τὰ τόσα καὶ τόσα μεγέθη καὶ πλάτη, τῆς κατὰ τὴν βασιλικὴν πόλιν ἡγεμονίας ἐκείνης, τοῦτο μὲν, ἐπ' αὐτῆς τῆς Ἀσίας· τοῦτο δ' ἐπὶ τῶν λοιπῶν δυοῖν· αὐτῆς Εὐρώπης ἄρα καὶ τῆς Λιβύης ὅτι πορρωτάτω ὧν δὴ καὶ πάντα συνέσχε καὶ ὑπεποιήσατο τὰ κάλλιστα καὶ τῷ κοινῷ τῶν ἀνθρώπων, ἐξαρχῆς ἀξιολογώτερα· καὶ τῷ παντὶ βιωφελέστερα, χωρὶς γοῦν ὡς ἔφην, τιθεμένῳ ταῦτα δὴ, τί τίς ἂν, ἐρεῖ πρὸς τὸ τῆς ἀρχῆς ὀλιγόβιον, ἐκείναις· καὶ ὡς ἐπ' ὀλίγον ἀνθήσασαι, τῇ τύχῃ ταύτῃ πόλεις ἐκεῖναι· οὐκ οἶδ' ἥτινι καὶ ὅσῃ, καὶ τοῖς τῆς ἀρχῆς πράγμασιν· | οὐκ οἶδ' οἷστισι καὶ αὐτοῖς· οὐδ' ὅσοις, τάχιστ' f. 300v ἔπειτα κατέπαυσαν αὐτίκα, πρὶν ὡς εἰπεῖν ἢ καὶ γνωσθῆναι τῷ βίῳ καὶ τοῖς ἀνθρώποις· καὶ δειχθῆναί πως ἐξ ὑπερτέρων· καὶ ὅτι

134,3 προστιθέναι V: an προτιθέναι?

134,28–30 cf. Ael. Arist., Or. 26, 95 (p. 119, 24–26)

γ’ ἐν προσθήκης μέρει, τῇ τῆς μεγάλης τῆσδε πόλεως καθ’ ἡμᾶς ἡγεμονίᾳ· καὶ ἀμφότεραι λοιπὸν τῶν πόλεων ἀρχαὶ γενόμεναι, τοῦτο μὲν κάλλιστα ἀπήλλαξαν ὡς ἀληθῶς, πλήν γε ὅτι μεγάλη τις οὐκ ἦν οὐδ’ ἐπίδηλος ἡ προσθήκη λοιπὸν αὕτη· πρὸς τὸ πᾶν ἂν οἶμαί τις ἐφορῴη, παραμετρῶν καὶ λογιζόμενος;

135. Καὶ ἔγωγε πολλάκις ἐπισκοπούμενος ἕκαστα, καθάπερ ἐν δράματι τινὶ καὶ σκηνῇ τραγικῇ, τὰς πόλεις ἐκείνας ᾠήθην τῶν χρόνων ἐκείνων, ὡς ἄν, ἐπὶ ῥητοῖς τοῦτ’ αὐτὸ μόνον ὑποκρίνασθαι, τὰς ἡγεμονίας, ἃς εἶπον· καὶ ξυλλαχεῖν ὥσπερ ἐν τοῖς τοιούτοις ἐπίτηδες ξυμβαίνει· προσωπείοις τοῦ δράματος σεμνοτέροις· καὶ χρησαμένας κατακαιρὸν, ἔπειτ’ ἀπαλλάξαι τὴν ἐπίδειξιν καὶ τὴν σκηνὴν ταύτην· ὅροις δὴ τακτοῖς κατὰ τὰ νόμιμα τῆς διοικούσης προνοίας· καὶ σοφίας· καὶ τέχνης· καὶ τὴν ἀλήθειαν ἐπιγνῶναι τῶν πραγμάτων· μεθύστερον ἔπειτα καὶ στέργειν ἐφ’ οἷς εἰσὶ καὶ κατὰ φύσιν καὶ κατὰ τύχην. εἰ δέ τις ἄρ’ εὐλαβεῖται πρὸς τὸ τοῦ ὑποδείγματος καὶ τοῦ δράματος ἀφειδὲς τόδε, νικάτω βέλτιον ἄλλως ἔμοιγε δοκεῖν εἰκάζειν· καὶ νομίζων ὥσπερ προάγωνας τινὰς εἶναι, καὶ προεκδρόμους παρασκευὰς· καὶ προπέμπτους ὑποστρατήγων τινῶν, τῶν γε πόλεων τουτωνὶ, τὰς ἐπιδείξεις τῶν ἀγώνων ἐκείνων, καὶ τῆς ἡγεμονίας· καὶ τὰς ἀνδραγαθίας, καὶ τοὺς ἄθλους ἐπὶ τῶν καιρῶν, πρὸς τὴν ἔπειτα βασιλικὴν τῆσδε, καθ’ ἡμᾶς, τῆς πόλεως τοῦ κράτους ἀκμὴν, καὶ τὸ πᾶν αὐτὸ τῆς ἡγεμονικῆς ὑποθέσεως, καὶ τὸ κῦρος τῆς δυναστείας, καὶ ταῦτ’ ἐκεῖνα πάντα, τῇδε τε ἠρτῆσθαι καὶ περαίνειν ἔχειν, κατὰ φύσιν, ἴσως ἄν, κατὰ καιρὸν, ἐρεῖ· καὐτὸς ἔγωγε τίθεμαι· κἀνταῦθα τὸ f. 301 τῆς πόλεως | ἀξίωμα τῆσδ’ εὐλαβούμενος· καὶ σέβων ὥσπερ ἐκ παντὸς ἄλλου τρόπου κἀντεῦθεν, ὡς ἄρα καὶ προσήκει τῇδε τὰ τῶν πόλεων ἐκείνων καὶ οὐκ ἄν, ἐρεῖ τις ἄλλως, προσέχων εὖ μάλα τὸν νοῦν καὶ συνετῶς ἐν τούτοις σχολάζων.

136. Καὶ τὰ μὲν τῶν εἰρημένων Μακεδονικῶν μεγίστων πόλεων, ἐν τούτοις ἐχέτω μετρίως· ὡς ἄν, ἐκλεξαμένους ὀλίγα,

135,3 ῥητοῖς V^{2} in ras. **12** εἰκάζειν V: an εἰκάζων? **23** πόλεων ἐκείνων V^{2} in ras.

135,5–6 cf. Synes. Cyren., Aeg. 1, 13, 10 (p. 123)

τῶν πολλῶν ἐνταῦθα προσθεῖναι. Ῥώμη δ' ἐκείνη, προτέρα καὶ μεγαλώνυμος, ἥττηται μὲν καὶ αὕτη τοῦ τῆσδε μεγέθους τῆς πόλεως, ὡς καὶ πᾶσαι, ἥττηται δὲ τῆς κατὰ θέσιν εὐκαιρίας τοῦ τόπου, κατ' οὐρανοῦ· κατὰ γῆς· κατὰ θαλάττης· καὶ τοῦθ' ὡς αἱ πᾶσαι· μᾶλλον δὲ τοῦτο πλεῖν, ἢ καὶ κατ' ἐνίας ἥττηται. ποῦ δ' ἐκείνῃ τοσαῦτα λιμένων κάλλη ὥστε καὶ παραβάλλειν, τῇ τοσαύτῃ τῇδε φιλανθρωπίᾳ; ποῦ θαλάττης ἐκείνῃ καὶ γῆς πάντοθεν, ὡς νῦν ἐνθάδε κοινοὶ σύνδεσμοι; ποῦ κοινότης ἀνθρώπων· καὶ διαπόντι' ὀχήματα· καὶ τῆς ἀνθρωπίνης συναυλίας, πρόνοια καὶ διοίκησις· καὶ τέχνη τοσαύτη καὶ χρῆσις· ποῦ θαλαττίων δρόμων πάντων, πάντοθεν ὡς ἐνθάδε δίαυλοι· καὶ σκοπὸς εἷς περαίνων, ἥδ' ἡ πόλις· καὶ ξενὼν ἀνθρώπων, τῆς ὅλης οἰκουμένης, πολυχωρητότατος· καὶ τοσοῦτοι καθόλου τῆς φύσεως, ἐνθάδ' ἵμεροι· πάντας πάντοθεν ἕλκοντες; καὶ μαγνῆτις ἡ πόλις λίθος ἀνθρώπων ἀρρήκτοις τὲ καὶ ἀρρήτοις προσπαθείαις, καὶ δεσμοῖς ὑπὸ χεῖρα φέρουσα· καὶ κρατοῦσα τῆς κοινῆς ἀνθρώπων φύσεως. ποῦ παραφέρειν νῦν ἔστι τἀκείνης ἐνταῦθα· καὶ παρατιθέναι πρὸς τὸ κοινὸν ἀνθρώπων, μεθ' ὅσης ἄρα τῆς ῥᾳστώνης, τῆς γῆς καὶ τῆς οἰκουμένης θέατρον· πρὸς τὸ κοινὸν ἀνθρώπων ἐκ τοῦ προχείρου πολίτευμα, πρὸς τὴν κοινὴν τοῦ βίου πανήγυριν καὶ ἀγορὰν· πρὸς τὸ κοινὸν τῆς ἀνθρωπίνης χρείας ἀμέλει ταμεῖον· πρὸς τὸν ἄσυλον θησαυρὸν ἐνταῦθα τῶν ὄντων· οὗ δέοι ἂν, μετεῖναι πᾶσι· καὶ καθ' ὅσον ἂν, ἑκάστοις δέοι, πολλὴ | ἀφθονία· καὶ πηγὴ καὶ χρῆσις f. 301v τοῦδε τοῦ θησαυροῦ· καὶ φυλακὴ τοῦδ' ἀσφαλής τε καὶ καθάπαξ οὐκ ἔχουσα παῦλαν καὶ τῆς κοινῆς ἀνθρώπων ἐπαρκείας καὶ συντελείας· καὶ παμφορίας· ποριστὴς οὑτοσὶ χῶρος μόνος; ποῦ δὲ τοσαύτη πάντων ἀνθρώπων σπουδὴ· καὶ τῶν προσόντων ἅμιλλα· καὶ κοιναὶ τῶν ἀπὸ γῆς καὶ θαλάττης, ἁπάσης σύνοδοι, καὶ χρήσεις ἀλλήλων· καὶ τῶν κατὰ σφᾶς αὐτοὺς ἑκάστους ἑκάστων;

137. Ἀλλὰ μὴν τάς γ' ἐντὸς, κατ' αὐτὴν ἢ καὶ περὶ αὐτὴν ἐκτὸς, κατασκευὰς καὶ λαμπρότητας οἰκοδομημάτων· καὶ δημοσίας τοσαύτας· καὶ τῶν καθ' ἑκάστους ἰδιωτικὰς τοσαύτας,

136,3 προσθεῖναι V: an προθεῖναι? **20** τῆς[3] V[2]: τῇ V

136,6–10 cf. Ael. Arist., Or. 27, 6 (p. 126, 14); Greg. Naz., Or. 42, 10, 9–10 (p. 72) **16–17** cf. Ael. Arist., Or. 17, 17 (p. 6, 23–25) **30** cf. Eurip., Iph. Taur. 392

σίας τοσαύτας· καὶ τῶν καθ' ἑκάστους ἰδιωτικὰς τοσαύτας, ὥσπερ ἑνὸς οἴκου συνέχειαν· καὶ χάριν ἀμύθητον οἵαν, τί τις ἄν, ἐρεῖ πρᾶγμα τοῦτ' ἀλόγιστον καὶ ἀνυπονόητον οἷον πρὶν ἐντυχεῖν· τίς δ' ὥστε καὶ παραβάλλειν ὅλως τἀκείνης ἐνθάδε, μαίνοιτ' ἄν, οὕτω, καὶ ὥστε τοσαύτης ἀνοίας γέλωτ' ὄφλειν; τίς ἄρα ἑκών γε εἶναι δύσερως, οὕτω καὶ δυστυχὴς ἄνθρωπος, καὶ βουλευτὴς· καὶ δικαστὴς ἀγνώμων· καὶ ὀφθαλμοῖς ἄτοπος χρῆσθαι, καὶ ἀμαθέστατος καὶ καθάπαξ αἰσθήσεως ἔκτοπος καὶ τῶν ἀξυμμέτρων Ἑλλανοδίκης· καὶ βραβευτὴς παντάπασιν, οὐκ οἶδ' ὁπότερον ἀβελτερώτατος εἴποιμ' ἄν, ἢ βδελυρώτατος; ποῦ γὰρ ἐκεῖ τις ἄν, ἔχοι λέγειν τὲ καὶ δεικνῦναι, νεὼς τοσούτους· μεγέθει μεγίστους· καὶ κάλλει καλλίστους· καὶ πάσης ὥρας ἀστράπτοντας· στοῶν δὲ τόσων, καὶ τόσων ἀλληλουχίαν διὰ πάσης τῆς πόλεως, τίς; τίς δ' οἴκους φιλανθρωπίας καὶ ξένων, ὑποδοχὰς· τίς γυμνάσια· θέατρα· βαλανεῖα· πᾶσαν ἁβρότητα· πάντ' ἄλλα πράγμαθ' ὁμοῦ τίς; ὁπότ' καὶ ἅττ' ἐκείνῃ τοιαῦτα καὶ παραπλήσια πρόσεστιν, ἀναμφηρίστως προσήκει τῇ πόλει, καθ' ἡμᾶς τῇδε καθάπερ εὐγενεῖς τινὲς, πατρικοὶ κλῆροι φιλτάτοις. καὶ τὰ πατρῷα γὰρ ἔνδοξα· καὶ πᾶσ' ἐκεῖθεν λαμπρότης, προσθήκη τοῖς ἐκγόνοις γίγνεται· ἐφ' οἷς ἔχουσι κάλλιστ' οἴκοθεν δείκνυσθαι· καὶ γνησία τις ἐκεῖθεν ἥκει τῆς οὐσίας, καὶ τῶν ὄντων διαδοχὴ τῇ πόλει | [...]

137,7 Τίς V[2]: τί V **12** βδελλυρώτατος V a. corr. **23** post πόλει folia quaedam ceciderunt, itaque finis orationis desideratur in V

12

Εἰς τὸν νέον μάρτυρα Μιχαήλ

1. Ἐθαύμασα πολλάκις ἔγωγε κατ᾽ ἐμαυτὸν συννοούμενος· καὶ τὸν νοῦν προσέχων τοῖς καθ᾽ ἡμᾶς τούτοις δὴ πράγμασιν, ἐθαύμασα πάνυ τοι, ὅπως ἄρα πάσης εὐδαιμονίας, ὁ χρόνος φορὰν ἡμῖν ἀφθόνως ἔδωκεν, ἐπὶ τῆσδε νῦν τῆς τοῦ πάντα χρηστοῦ καὶ θαυμαστοῦ μοι βασιλέως ἡγεμονίας. σὺ γὰρ ἔοικας ὄντως αὐτοκρατόρων ἄριστε πάντων ἀγαθῶν ἄνωθεν ἥκειν τῷ βίῳ καὶ ἡμῖν, ἀφορμή· καὶ σοὶ παρέσχεν ὁ Θεὸς καὶ διὰ σοῦ γε ἡμῖν, ἢ διὰ σὲ μάλιστα, πάντ᾽ ἔχειν εὖ· καὶ ὡς ἄν, εὔξαιτό τις· καὶ ἴσως ἐννοήσειε μόνον, λογισμῶν ἐλευθερίᾳ, πάντ᾽ ἀναπλάττων βέλτιστα· καὶ ἃ μὴ καθάπαξ ἐστὶν ἀνύσιμα· μὴ δ᾽ ἐν πράγμασιν ἔχει περαίνειν. καὶ οὐ λέγω νῦν ἔγωγε ὧν ἐξαρχῆς καὶ ἀεὶ συνεχῶς ἑξῆς παμπλείστων τὲ καὶ παντοίων ὠνάμεθά σου κατὰ τὸν παρόντα βίοτον, ἀνθρωπίνων ὡς εἰπεῖν χρηστῶν (καὶ ταῦτα μὲν γὰρ εἰ δή ποτε καὶ ἄλλοίς τισι τῶν ἀπὸ τοῦ παντὸς αἰῶνος, καὶ ἡμῖν πάνθ᾽ ὁμοῦ μάλιστα· καὶ περίβλεπτοί γε ἡμεῖς ἐντεῦθεν, τῶν ἄλλων ἁπάντων ἀνθρώπων· καὶ μακαριζόμενοι σφόδρα, τῆς σῆς ἀρχῆς· καὶ πάντα διὰ πάντων εὐδιοικήτου· καὶ πανσόφου· καὶ γαληνοτάτης ἐπιστασίας, πᾶσαν εὐπραγίαν χορηγούσης ἡμῖν), ἀλλὰ περὶ τῶν θειοτέρων νῦν ὁ λόγος ἐμοί· καὶ ὅπως ἁπάσης σὺ θεοσεβείας ἀρχηγέτης ἡμῖν· καὶ τῶν περὶ Θεοῦ· καὶ παρὰ Θεοῦ νομίμων καὶ πανσέπτων καλῶν, αὐτὸς ἄρα καὶ διδάσκαλος· καὶ νομεὺς· καὶ πιστὸς· καὶ φρόνιμος οἰκονόμος· καὶ πάνθ᾽ ὁμοῦ· καὶ πάντων μάλιστ᾽ αὐτὸς ἐπιτυχὴς ἐκ Θεοῦ· καὶ χορηγὸς ἡμῖν. καὶ δῆλον γε εἴ τις ἐξαρχῆς εὖ μάλα ξυνορᾶν ἀξιοίη. εὐθὺς γὰρ ὡς ἥψω τῶν πραγμάτων τῆς ἡγεμονίας, σπούδασμά σοι μάλιστα τοῦτ᾽ ἐκεῖθεν· καὶ πρὸ πάντων τῶν ἄλλων ἄλυτον πάντων πραγμάτων· καὶ κομιδῇ γε ποθεινόν τε καὶ ἥδιστον· | τὰ θειότερα κρατεῖν ἐπὶ τοῦ βίου καὶ τῶν ἀνθρώπων· καὶ Θεῷ φίλα· καὶ ἡ χριστιανικὴ διὰ πάντων ἐπίδειξις· καὶ προκοπὴ καὶ εὐετηρία, φροντίδος σοι f. 303v

tit. Εἰς τὸν – Μιχαὴλ V2: εἰς τὸν ἅγιον Μιχαὴλ τὸν νέον τὸν κατ᾽ Αἴγυπτον μαρτυρήσαντα ἐπὶ τοῖς χρόνοις τοῦ εὐσεβεστάτου βασιλέως Ῥωμαίων κυροῦ Ἀνδρονίκου τοῦ Παλαιολόγου V in marg. (altera manu, fortasse Nicephori Gregorae) | ιβ′ V2 in marg.

πρῶτον καὶ μέγιστον ἔργον· καὶ δόξα σοι ταῦτα καὶ τρυφή· καὶ καυχήσεως ὄντως στέφανος. ταῦτα σοι καὶ πόνος ἄπαυστος ἀεί· ταῦτα σοι καὶ ῥαστώνης ἀφορμὴ πλέον, ἢ κατὰ τἄλλ᾽ ἅπαντα· τούτοις αὐτὸς τὲ χαίρεις ὡς μάλιστα (πῶς ἂν ἀξίως εἴποιμι;), καὶ μεταδίδως ἡμῖν τούτοις, εὖ ἔχειν ὑπὸ σοὶ τελετάρχῃ καὶ ἥδεσθαι. καὶ μὴν εὐπορεῖς ἐν τούτοις κατ᾽ ἐλπίδας ἀεί· καὶ πλεῖν ἢ κατ᾽ ἐλπίδας, ἴσως τάς τε αὐτὸς αὑτοῦ καὶ ἡμῶν γε πάντων ὁρώντων τὲ καὶ χρωμένων. οὔκουν γε οὐκ ἐπιλείπουσί σε τὸν ἀεὶ τῆς ζωῆς χρόνον (καὶ εἴη γε μήκιστος οὗτος ἡμῖν), οὔτε σπουδαὶ καὶ θυμηδίαι περὶ τὰ τοιαῦτα, οὔθ᾽ ἡμῖν διὰ σοῦ καὶ τῇ ἐκκλησίᾳ Χριστοῦ· ἀλλ᾽ ἀεί σοι καινῶν ἐν τούτοις θησαυρῶν χορηγὸς καὶ πλουτοποιὸς, ὁ σὲ διὰ πάντων καὶ κινῶν καὶ κλεΐζων Χριστός· τὸν πρὸς αὐτόν σου πλεῖστον καὶ ἄπληστον ἀναφλέγων ἔρωτα.

2. Οἷον δή σοι καὶ τόδε μάλιστ᾽ ἐφετὸν ἐκ πολλοῦ, καὶ πολυπόθητον ἀπήντησε νέον, ὁ νέος οὗτος ἀναδειχθεὶς μέγας ὑπὲρ Χριστοῦ· καὶ τῆς αὐτοῦ θεοσεβείας ἀγωνιστής τε καὶ μάρτυς. ὃν δὴ πέμπουσί σοι νῦν (καὶ γὰρ οὕτως αὐτὸς εἰκάζεις καὶ παρρησίᾳ πολλάκις ἠξίωσας ἐρεῖν), οἱ πρῶτοι τοῦ Χριστοῦ περιφανεῖς ἀθληταὶ καὶ στεφανῖται· τὰ παλαιὰ θαύματ᾽ ἐκεῖνα καὶ λόγοις καὶ μνήμαις, πιστά τε καὶ σεπτὰ καὶ τίμια· ἐπίδειξιν οἶμαι καὶ ἅμα πίστωσιν τῶν σφετέρων ἀγώνων καὶ τοῦ κράτους καὶ τῆς νίκης· καὶ σοί γ᾽ ἐπιδείξεως τοῦ περὶ τὰ θεῖα ζήλου· καὶ παρρησίας ἕρμαιον κατὰ πάντων ἀνθρώπων οἰκείων τὲ καὶ ἀλλοτρίων· καὶ ἀντιτέχνων τῆς χριστιανικῆς θεοσεβείας καὶ πίστεως. καὶ τοίνυν οὐκ ἄρα τρυφᾷς σὺ μόνον καθ᾽ αὐτὸν καὶ καλλωπίζῃ τῇ νέᾳ σου ταύτῃ φορᾷ καὶ καλλίστῃ, καὶ τοῖς κατὰ τῆς πλάνης ἀγῶσιν ὑπὲρ Χριστοῦ, καὶ τῷ κράτει τοῦ θαυμαστοῦ τοῦδε μάρτυρος καὶ προμάχου τῆς ἐκκλησίας, καὶ γενναίῳ φρονήματι συγκαταλέξαν-
f. 304 τος ἑαυτὸν, εἰς παρεμβολὴν | Θεοῦ ζῶντος, τὴν ὄντως κραταιὰν καὶ ἀήττητον, ἀλλὰ καὶ πάντας εἰς θαῦμα καὶ ἡδονὴν ἐπὶ τούτοις αἵρεις· καὶ τοὺς οἴκοθεν τέως οὐκ εὐκινήτους οὐδ᾽ εὐγενεῖς, πρὸς τὴν τῶν βελτίστων συναίσθησιν καὶ σπουδήν· καὶ κροτεῖς μάλιστ᾽

1,30 καὶ[4] V[1] s.l. **37** σε V[1]: σοι V De **42** ἄπληστον corr. De: ἀεὶ πλεῖστον V
2,4 σοι V[2] s.l.

1,31 Prov. 16, 31; Ezech. 16, 12 et 23, 42; I Thess. 2, 19 **2,16** Gen. 32, 2

ἐπὶ πάσης ἀκοῆς· καὶ πάντων ἀνθρώπων τὸ μέγιστον τόδε τῆς ἐκκλησίας Χριστοῦ καλλώπισμα καὶ κλέος, ἀντὶ κήρυκος ἀνιστάμενος αὐτὸς ἐν μέσοις· καὶ κλεΐζειν πάντας καὶ ἀνακηρύττειν ὡσαύτως ἀξιοῖς· ὡς ἄρα καὶ τοὺς πρὸ αὐτοῦ καὶ κατ᾽ αὐτὸν ὁπλίτας νικητὰς ἐκείνους· καὶ τὸν πλεῖστον δὴ καὶ θαυμαστῶς οὕτω τετιμηκότα τὰ Χριστοῦ· καὶ τὴν αὐτοῦ ἐκκλησίαν, ἀντιτιμᾶν μάλιστα· καὶ πᾶσαν ἀντεκτίνειν ἐπάθλων ἔθιμον αὐτῷ χάριν· καὶ γεραίρειν αὐταῖς ἱεραῖς ψήφοις, ἃ νομίζεται. καὶ πείθεις μὲν μάλιστα σαυτὸν εἰς τοῦτο καὶ πρώτως· πείθεις δ᾽ ἑξῆς ἅπαντας, ὡς ἄρα δὴ πολὺ τὸ τοῦ πράγματος εὔλογον, καὶ ἅμα βέλτιστον, τοῦτο μὲν εἰς ἀρετῆς τε καὶ ἀριστείας, οὕτω προδήλου καὶ περιφανοῦς ὀφειλομένην ἀμοιβὴν, τοῦτο δ᾽ εἰς ἄλλων ζῆλον καὶ ἅμιλλαν ἐν τοῖς αὐτοῖς καιροῖς καὶ τῇ χρείᾳ, παραπλησίως ἀνδρείως ἵστασθαι. καὶ πάντες γὰρ οἱ καιροὶ χώραν παρέχουσιν ἀνδραγαθίας· καὶ τῶν ἐθίμων ἐπάθλων πᾶσα ἀνάγκη ταῖς νίκαις· καὶ οὐχ᾽ οἱ μὲν, οἵ δ᾽ οὔ· οὐδ᾽ ἔστιν ἀμέλει καταψηφίζεσθαι, τῶν νῦν καθ᾽ ἡμᾶς τούτων χρόνων ἀρετῆς ἀχρηστίαν· ἢ χρῆσιν μὲν, ἀλλ᾽ ἀνόνητον τῆς ὀφειλομένης χάριτος. καί σοι πρόθυμος καὶ αὐτὸς ἔγωγ᾽ ἤδη, νῦν ἐνθάδ᾽ ἐξ ἐπιτάγματος τοὺς λόγους οὓς ἀξιοῖς φέρων, οὕστινας ἄρα τούσδε· πλήν γε ὡς ἂν δυναίμην πάντως συντελῶν κατ᾽ ἐμαυτὸν τῷ ζήλῳ τῆς θεοσεβείας τῆς σῆς. καὶ εἴη γε δὴ λοιπὸν ὦ μαρτύρων σὺ κάλλιστον ἀγλάισμα Μιχαὴλ (ἐπιβοῶμαι γὰρ ἤδη σε καὶ τὴν ἀπὸ σοῦ χάριν, εἰς τήνδε τὴν πρόθεσιν, καί μοι παρείης ὁ τοῦ Χριστοῦ θεράπων καὶ τῆς αὐτοῦ φιλανθρωπίας ἐραστής τε καὶ μιμητής), καὶ εἴη γε δή μοι, μὴ παντάπασιν ἀπολειφθῆναι τῶν σῶν· καὶ μάτην ἢ καὶ σὺν αἰσχύνῃ μάλιστα καὶ γέλωτι, τῶν περὶ τῆς σῆς ἀριστείας ἐγκωμίων ἅψασθαι.

3. Σοὶ μὲν οὖν ὦ θαυμάσιε τοῦ βίου σκοπὸς· καὶ τῆς ζωῆς ὄντως | κἀνταῦθα πρόθεσις, ἃ νῦν ἄνω πολιτεύῃ περὶ τὸν πάντων ἡγεμόνα· καὶ ὑμῶν γε μάλιστα τῶν μεταθεμένων ὁλοσχερῶς ἐκεῖ τὸ πολίτευμα· καὶ συγκατείλεξαι τοῖς ἀριστεῦσιν αὐτοῦ καὶ ἀριθμητοῖς ἐν υἱοῖς Ἰσραὴλ καὶ συνηρίθμησαι· καὶ πατρίδα τὴν

f. 304v

25 οὕτω V: οὕτως De **33–34** ἀνδραγαθίας V p. corr.: ἀνδραγαθίαις V a. corr. De

3,3–4 Phil. 3, 20 **5** cf. Gen. 32, 33 **5–10** Hebr. 12, 22–23

ποθουμένην ἐν οὐρανοῖς ἀντιλαβὼν Ἱερουσαλήμ, τὴν ἐν ταῖς θείαις χερσὶν ἐστηλωμένην καὶ ἡδρασμένην, συναγάλλῃ τοῖς ἐκεῖ συστήμασι καὶ συντάγμασιν· οἷς σε πράξεις καὶ πόνοι παραπλήσιοι καὶ γυμνάσματα συντάττουσι· καὶ χορείαις μέσος συγγίνῃ· καὶ πανηγύρει τῶν ἀπογεγραμμένων πρωτοτόκων ἐν οὐρανοῖς· καὶ ἤχοις ἑορταζόντων, καὶ αὐτὸς συντελεῖς· καὶ τελῇ τὰ περὶ Θεοῦ καὶ θεῖα μυσταγωγούμενος· πάσης ἀνώτερος ὕλης· καὶ πάντων ἡγνισμένος μολυσμάτων, τοῖς ὑπὲρ Χριστοῦ σοῖς αἵμασι καὶ παθήμασιν· εὐδαίμων ὄντως ὧν ἠλλάξω· καὶ σφόδρα τιμᾶσθαι τὲ καὶ θαυμάζεσθαι, λοιπὸν ἐκ τούτων ἄξιος. ἐκ γὰρ ἀνωμάλων τῶν τῇδε καὶ ἄλλοτ᾿ ἄλλως ἐχόντων, ἀσφαλεῖς ἤδη σοι λιμένες καὶ ἄσειστοι· καὶ ἄλυτος ἀγαθῶν βίος· καὶ μεταβολῆς ἁπάσης καὶ κινδύνων ἀζήμιος. ἀλλὰ τέως γε μὴν ἐνταῦθα προελθὼν εἰς βίον αὐτίκα τῶν πραγμάτων κατὰ τὴν αὐτῶν φύσιν, οὐδὲν ὑγιὲς καὶ βέβαιον ἐχόντων, πεπείρασαι· καὶ συνηνέχθης κινδύνων ἀωρίᾳ κατ᾿ ἄμφω, ψυχήν τε καὶ σῶμα προδοθείς, ἐπηρείᾳ καιροῦ καὶ γνώμης ἀτελείᾳ· καὶ ἡλικίας· ᾗ μὴ κρίνειν ἔτ᾿ εἶχεν ἐρρωμένως τὰ βέλτιστα. καὶ συναρπάζῃ μικρὸν ἐκ βρέφους πρόσω ἥκων· καὶ μήπω κατηρτισμένος τοὺς πόδας· μὴ δὲ γυμνάσας σοῦ τὰ διαβήματα κατὰ Θεὸν στηρίζειν ἐπὶ τὴν ἄσειστον πέτραν· τὸν ἐκ πατέρων σοι καὶ προγόνων Κύριον καὶ δεσπότην Χριστὸν· μὴ δ᾿ ἐπενδυσάμενος ἔτι πω τότε μὴ δ᾿ ὁπλισθεὶς ὡς ἄρ᾿ ἔδειξας ἤδη μεθύστερον ὅπλοις δικαιοσύνης καὶ τῷ τῆς πίστεως θώρακι καὶ τῇ περικεφαλαίᾳ τῆς χάριτος· καὶ τῇ μαχαίρᾳ τοῦ Πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ, κατὰ πάσης ἐπιτιθεμένης ἀπάτης, τομόν τε καὶ δυσαντίβλεπτον καὶ
f. 305 ἀήττητον, συναρπάζῃ γοῦν, οὕτως | ἔτ᾿ ἔχων αἰχμάλωτος ὑπὸ βαρβαρικῆς ἐπιθέσεως· καὶ δυσσεβείας τῆς τε πατρίδος αὐτῆς· καὶ τῶν οἰκείων πατρῴων κλήρων· καὶ θησαυρῶν τῆς χριστιανικῆς θεοσεβείας καὶ πίστεως. καὶ μή τις μοι μικρογνώμων ἐνταῦθα, μὴ δὲ τοῖς πρώτοις τοῦ ἀνδρὸς αἰσχυνέσθω· μὴ δὲ τῷ λόγῳ νῦν ὅσα γε τῇ μνήμῃ τῶν ἀηδῶν. πολὺ γὰρ τὸ κλέος ἐκ τῶν ὑστέρων ἐπικαλύπτον καθάπαξ καὶ ἀφανίζον τὴν πρὶν ἀδοξίαν. καίτοι τί

3,17 ἄλυτος VDe: an ἄλυπος? **22** ἐρρωμένως primum iteravit, deinde delevit V **32** δυσσεβείας V[2]De: δυσεβείας V

10–11 Ps. 41, 5 **24** Ps. 17, 34 **24–25** Ps. 39, 3 **25–26** I Cor. 10, 4 **28–31** II Cor. 6, 7; Eph. 6, 16–17

λέγω; μᾶλλον μὲν οὖν καὶ ὕλη ταῦτα· καὶ παρὰ τῶν καιρῶν ἀφορμαὶ, πρὸς τὰ τοῦ γενναίου μεταταῦτα κατορθώματα καὶ τὰς ἀριστείας. μὴ γεγονότων μέν γε μὴ δὲ φθασάντων τῶν εἰρημένων, ἀλλ᾽ ἐν ἀκυμάντῳ γαλήνῃ τὴν ζωὴν ἕλκοντος· καὶ τοῖς κατὰ τὸν βίον τόνδε καὶ τοῖς κατὰ τὴν πίστιν πράγμασιν, οὐκ ἔσχεν ἂν ὅλως καιρὸν τῷ θαυμαστῷ καὶ χώραν, ἐπιδείξεως καὶ ἀνδραγαθίας, τὸ μέγιστον φρόνημα· καὶ ἡ τῆς γνώμης ἀκμὴ καὶ τὸ κράτος· ἀλλ᾽ ἧκεν ἂν ἴσως ἐν πέρατι τοῦ βίου καὶ τὸν δρόμον ἐτελεύτησε τῆς ζωῆς, ἴσα καὶ ὁστισοῦν τῶν ἀκερδῶς τῇ τῆς ζωῆς καὶ τῇ τῆς εὐσεβοῦς πίστεως ἀγωγῇ, χρησαμένων ἀγαθῇ τύχῃ, ἀκινδύνως μὲν, ἀλλὰ καὶ ἀκλεῶς· καὶ σφόδρα γε αὐτὸς ἀνόνητος· καὶ μετὰ ζημίας τῆς μεγίστης· καὶ τοσαύτης εὐδοκιμήσεως καὶ τῶν ἀριστευμάτων· ἃ πᾶσαν εὐδαιμονίαν ὡς ἀληθῶς ὑπεραίρει· καὶ πάντα νοῦν καὶ λόγον θαυμάζειν ἐγχειροῦντα καὶ ἐπαινεῖν.

4. Ἀλλ᾽ ὅπερ ἐλέγετο, μετανίσταται μὲν αἰχμάλωτος Ἰωνίας ἐκεῖνος (πατρὶς γὰρ ἡ περὶ τὴν πόλιν Σμύρναν αὐτῷ χώρα), μετανίσταται τοίνυν ἐκεῖθεν ἐκ διαδοχῆς, διὰ τῶν ἐν μέσῳ πλείστων καὶ τόπων καὶ γενῶν, εἰς Αἴγυπτον· καὶ ζημιοῦται τηνικαῦτα δὴ παρὰ τὸ τῆς ἡλικίας ἁπαλὸν ὡς ἔφην, καὶ αὐτὴν τὴν πατρῴαν εὐσέβειαν, καὶ τὴν ψυχῆς μάλιστ᾽ εὐγένειαν, ἐκ πίστεως ἀληθοῦς τὲ καὶ ἀπλανοῦς, αἰχμαλωτίζεταί τε καὶ ναυαγεῖ· καὶ καταβαπτίζεται τοῖς ἐκεῖσε κρατοῦσι τοῦ Μωάμεδ· μυσαροῖς τελεσμοῖς καὶ θρησκεύμασι καὶ παμβεβήλοις λήροις· καὶ ὧν οὐ μᾶλλον ἐστὶ τὴν ἀσέβειαν βδελύττεσθαί τε καὶ φεύγειν, ἢ τὴν ἀλογίαν αὐτὴν, καὶ ματαιολογίαν· καὶ τερατείαν· καὶ | φλυαρίαν, f. 305v
ἀσυλλόγιστον καθάπαξ καταμωκᾶσθαι καὶ καταγελᾶν· ὅστις καὶ ὁπωσοῦν ἐπαΐειν ἔχει, σὺν νῷ καὶ λογισμοῖς ὅλως ἀνθρωπίνοις χρῆσθαι· ἀλλὰ μὴ βοσκηματώδη τὸν βίον ἕλκει καὶ παντάπασιν οἶμαι, καὶ πάντων ἀμαθῆ καὶ ἀσύνετον. ἣν ἄρα δὴ ματαιότητα· καὶ πλάνην· καὶ δυσσέβειαν μάλιστα κρατοῦσαν ὁρῶμεν ἐκεῖσε καὶ πομπεύουσαν ἄσεμνα σὺν θράσει· ἤπερ καὶ ἄλλοθί που τῶν τῆς γῆς μερῶν· ἐν οἷς ἂν, παρεισεφθάρη τὸ ἀλλόκοτον αὐτὸ καὶ ἀλογώτατον· καὶ βδελλυρώτατον δόγμα. καί σοι τοιαῦτα νῦν Αἴγυπτε πάσης αἰσχύνης καὶ ἀμαθέστατα σπουδάσματα καὶ νόμιμα, ἀντὶ τῆς πρὶν σοφίας περιφανοῦς ἐκείνης· καὶ τοῦ κλέους

40 γε VDe: an γὰρ? **4,19** βδελλυρώτατον V, servavimus: βδελυρώτατον De

τοσούτου κατὰ πάσης τῆς οἰκουμένης· ἧς ὅλως παιδείας ἔρως ἥψατο καὶ πεῖρα φιλοσοφίας· μᾶλλον δ᾿ ἀντὶ τῶν πρίν σοι πανσέπτων καὶ πανσέμνων δογμάτων τῆς εὐσεβείας· καὶ ἱερῶν εὐαγῶν· καὶ περιλάμπρων κόσμων, τῆς χριστιανικῆς ἀγωγῆς καὶ πίστεως· καὶ τῶν πᾶσαν ἀρετὴν καὶ καλλίστην, ἐν θείοις καὶ πράγμασι καὶ νοήμασιν ἄσκησιν, μεγαλωνύμων ἀνδρῶν ἐκείνων, οὓς ἀνεδίδους· καὶ ἔτρεφες ἑκάστοτε πάνυ τοι πλείστους, φορὰν ὄντως τῷ Χριστῷ, δεκτήν τε καὶ πλήρη· καὶ σφόδρα ἐπέραστον· καὶ θύματα εὐώδη καὶ τέλεια καὶ ἀκίβδηλα. τοιαῦτα σου τὰ πρῶτα θαυμαστὰ καὶ πάντιμα πάντῃ περιβοώμενα· καὶ τοιαῦτα τὰ νῦν ἀντίρροπα καθάπαξ· σοί τε κακῶς οὕτω χρῆσθαι καὶ ὡς μήποτ᾿ ὤφελες καὶ πᾶσιν ἄλλοις ἀκούειν· καὶ διαβέβλησαι φαύλη φαύλως· καὶ τοιαῦτ᾿ ἠλλάξω τῆς πρὶν εὐγενείας καὶ εὐκληρίας· ἀποτρόπαιον ὡς ἀληθῶς ὅραμα γενομένη καὶ ἄκουσμα.

5. Ἀλλ᾿ εἶχε μὲν οὕτω τὸ τοῦ Χριστοῦ πρόβατον, ὁ νῦν μέγας οὑτοσὶ κῆρυξ· καὶ μάρτυς· καὶ θῦμα τῆς θεοσεβείας αὐτοῦ, ἀποπλανηθὲν τέως τῆς αὐτοῦ μάνδρας· ἅρπαγμα τοῦ ἀρχεκάκου ληστοῦ, καὶ πρώτου καὶ μεγίστου, τῶν ἀγαθῶν ἁπάντων ἐχθροῦ· καὶ κακίστοις συνῆν. ἐδόκει δ᾿ οὖν κἀνταῦθα τούτοις δὴ συνεξετα-
f. 306 ζόμενος, εἶναί τις ὅμως τὰ φαινόμενα δόκιμος· | εἰ δή τις καὶ ἄλλος. καὶ κάλλιστος γὰρ ἦν· καὶ ὥρας δὴ καὶ ῥώμης, εὖ ἔχων· καὶ στρατιωτικοῖς ἀμέλει καταλόγοις συντεταγμένος, εὖ μάλ᾿ ἐμπρέπων· καὶ τῶν ὁμοταγῶν ἐκεῖνος γε πολὺ προέχων· καὶ πολυέραστος ἐντεῦθεν τοῖς ἔχουσι· καὶ τιμῆς πλεῖν ἀξιούμενος, ἢ κατὰ ἔπηλυν· καὶ μάλισθ᾿ ὅν γε καὶ πρίαιτό τις ἂν ὑπὸ δούλειον τύχην, ὀβολῶν ἴσως ὀλίγων. πλήν γε ὅμως εἶχεν οὕτω, πονηρᾷ συντυχίᾳ χρησάμενος· καὶ τρίβων χρόνος ἐξότου πολὺς, καὶ ἀπεσχοίνιστο τὸ τοῦ Χριστοῦ θρέμμα· καὶ ἠλᾶτο διορφανισθὲν, ἐπ᾿ ἐρημίας τῶν οἰκείων συννομίων· καὶ τῶν δεσποτικῶν ἐπαύλεων, ἐπίχαρμα γεγονὸς τῷ παλαμναίῳ· καὶ κάκιστ᾿ ἐγγελώμενος, ὡς ἄρα γε τέως ἐδόκει· καὶ κακὸς κακῶς φρονῶν ἐκεῖνος καὶ μεγαλαυχῶν ὡς εἰπεῖν ᾤετο. ἀλλ᾿ ἠγνόει σὺν αἰσχύνῃ μετουπολὺ καὶ

5,1 εἶχεν V a. corr. **16** ἐγγελώμενος VDe: an ἐγγελώμενον? **17** κακὸς V e corr. De: κακῶς V a. corr.

4,28–29 Phil. 4, 18; Rom. 12, 1 **5,1–3** Mt.18, 12

γέλωτι, μάλιστ᾽ αὐτὸς τἀλλότριον ἀφαιρησόμενος, καταθριαμβευθεὶς τῷ τοῦ δεσπότου κράτει, τὸ οἰκεῖον εὐγενῶς ἀνακαλουμένου καὶ ἀνασῴζοντος. ὁ γὰρ τὸ ἀπολωλὸς ἀναζητῶν τὲ καὶ ἀνευρίσκων καὶ πλανώμενον ἐπιστρέφων· καὶ μὴ συγχωρῶν ἀλλοτρίους ἀμᾶν αὐτῷ προσήκοντα θέρη· καὶ γινώσκων τὰ οἰκεῖα· καὶ γνῶσιν ἑαυτοῦ φωτίζων αὐτοῖς· καὶ καλῶν αὐτὰ καὶ ἐξάγων εἰς οἰκείας καὶ ἀζημίους νομάς· ὁ τοὺς κατερραγμένους ἀνορθούμενος· καὶ δύναμιν εἰς παράταξιν διδούς, τῷ δούλῳ αὐτοῦ, συναίσθησιν μὲν ἑαυτοῦ τὰ πρῶτα χορηγεῖ, τῷ κακῶς πράττοντι καὶ κακίστοις φαύλοις φαύλως καὶ ἀναξίοις αὐτοῦ πράγμασιν, ὑπὸ τοῦ πονηροῦ πολεμίου συναρπαγέντι· καὶ νοῦν σωφρονικὸν ἐνίησιν αὐτῷ τοῦ τοσούτου κινδύνου· καὶ φρόνημα καὶ ῥώμην ψυχῆς ἐπὶ τῇ κρίσει, διασχεῖν τοὺς δεσμούς· καὶ διαδράναι τὸν ἔσχατον ὄντως τῆς ψυχῆς ὄλεθρον· καὶ προσδραμεῖν αὐτῷ τὸν ἐγχωροῦντα τρόπον, ἀεὶ προσκαλουμένῳ τοὺς ἐκπεσόντας καὶ δεξιὰν προτείνοντι· καὶ οὐκ ἔστιν ὅτε μή· οὐδ᾽ ἐν τοῖς ἐσχάτοις αὐτοῖς καιροῖς· καὶ κακοῖς ἀπογνώσεως. τοιγαροῦν κατεγίνωσκε μὲν ἁπάσαις ψήφοις, | καὶ f. 306v
λογισμοῖς εὐγενέσιν ὁ γενναῖος ἐκεῖνος, τῆς μοχθηρᾶς ἀγωγῆς καὶ δυσσεβείας· ᾗ συνῆν ὑπ᾽ ἀνάγκης ἐν ἀφύκτοις· καὶ ἤρα μὲν χρόνον οὐκ ὀλίγον, ἐν νῷ στρέφων καὶ λογισμοῖς παλαίων, ὅπως ἂν αὐτῷ γένοιτο τοῦ ψυχικοῦ κινδύνου, φυγὴ καὶ ἀποχώρησις εἰ μὲν οἷόν τε, κλέψαντι σοφῶς ἑαυτὸν ἀζημίως· καὶ αὐτοῦ τοῦ σώματος, κατὰ τὴν εἰς τοῦτο δεσποτικὴν ἐντολήν· εἰ δὲ μή, καταπροεμένῳ πάσα ἀνάγκη καὶ τὸ σῶμα τοῖς ἐχθροῖς, τῆς ψυχικῆς σωτηρίας τὲ καὶ ἐλευθερίας ἄλλαγμα. καὶ γὰρ εἶναι τὴν μέν, πλείονος λόγου καὶ σπουδῆς ἀξίαν, τό δ᾽ ἐν δευτέροις· καὶ δεῆσαν ὀλιγωρεῖσθαι τοῖς εὐγενέσιν ἐν ταῖς περὶ Θεοῦ κρίσεσιν, οὐ πολλοῦ τιμώμενον. ἤρα μὲν οὕτως ὁ ἀνήρ· καὶ προσεῖχε τὸν νοῦν ἐκ πολλοῦ μάλα κατατεινόμενος, ταῖς περὶ τούτων φροντίσιν· ἔστιν ὅτε καὶ ἀπογυμνῶν τἀπόρρητον τοῦ σκοποῦ τοῖς ἐκεῖσε τῶν Χριστιανῶν ἐλλογίμοις, ἔστιν οἷς· καὶ μάλιστ᾽ αὐτῷ δὴ τῷ τυραν-

22 ἐπιστρέφων tacite corr. De: ἐπιστρέφον V **24** αὐτοῖς V[2]De: αὐτούς V **28** αὐτοῦ V e corr. **38** ἐν V[2] e corr. στρέφων V[2]De: στρέφον V **41** εἰς τοῦτο V in marg. (altera manu) **47** πολλοῦ V[2]De: πολλῷ V

21–22 Mt. 18, 12–13; Luc. 15, 4–6 **22–23** cf. Aristoph., Equit. 392 **23** Io. 10, 14 **24** Os. 10, 12 | Io. 10, 3 **25–26** Ps. 144, 14 et 145, 8 **25–26** cf. Iudith 5, 23 **33–34** cf. II Mach. 14, 33 **39–41** Mt. 10, 23

νουμένῳ, τὴν αὐτῶν πνευματικὴν ἡγεμονίαν ἐκεῖσε· καὶ διακαρτεροῦντι μετ᾽ ἐρώτων θείων καὶ μαρτυρικῶν ὄντως ἑκάστοτε θαυμαστῷ ποιμένι· συνδιασκεπτόμενος περὶ τῆς αὐτοῦ γνώμης· καὶ πῶς ἂν, καὶ τίν᾽ ἄρα τρόπον ἐξέσταί οἱ τυχεῖν, ὧν ἐρᾷ καὶ προύθετο μάλιστ᾽ ἀτρέπτως.

6. Εἶχε μὲν οὖν ἐν τούτοις ὁ γενναῖος καὶ τὴν καρδίαν ἐφλέγετο· καὶ ἀεὶ τοιαύταις, ἡμέρας ἁπάσας· νύκτας ἁπάσας, συνῆν φροντίσι· καὶ οὐκ ἔστιν ὅτε γαλήνην εἶχε τῶν λογισμῶν. ὁ δὲ, λοιπὸν ὡς ἔπειτ᾽ ἀρχὴν λαμβάνει· καὶ ὕλην ἀνδραγαθίας· καὶ τυγχάνει κατὰ σκοπὸν ἧπερ ἤρα. πρέσβεις ἀφικνοῦνται τοὐμοῦ βασιλέως, εἰς τὸν τῆς γῆς ἐκείνης δεσπότην κατ᾽ ἔθος. ἔθος δ᾽ εἰς τοῦτ᾽ ἀμέλει τοῦ βασιλέως· καὶ φίλια συχνὰ πρεσβεύματα, τῷ δυσσεβῶς ἄρχοντι· καὶ πάμπαν ἐχθίστῳ καὶ ἀλλοτριωτάτῳ, διὰ τὴν πίστιν αὐτήν· οὐ κατ᾽ ἀνάγκην τινὰ καὶ χρείαν ἄλλην· οὐδὲ περὶ τῶν ἐν τοῖς ὁρίοις τῆς ἀρχῆς ἑκατέρῳ προσηκόντων· καὶ κοινωνίας συναλλαγμάτων, οἷα τὰ τοῖς ἐκ γειτόνων ἄρχουσιν· ἐπεὶ καὶ θάλαττα· καὶ γῆ πάνυ τοι πλείστη ταῖς ἀμφοτέρων
f. 307 ἀρχαῖς· καὶ ἀλλοτρίων τὲ ἀρχῶν καὶ ἐθνῶν | ἐν μέσοις οἰκήσεις· καὶ οὐδὲν ὅ,τί ποτε κοινὸν καὶ τὰς πρεσβείας αὐτοῖς, πᾶσα ἀνάγκη πράττεται· οὐδ᾽ ὅτου δέοι ἄν, οἰκονομεῖν πρὸς τὸ συνοῖσον τοῖς τῆς ἀρχῆς πράγμασιν. ἀλλ᾽ ἄρ᾽ ὁ πάντα χρηστὸς βασιλεὺς καὶ πάντα πράττων· καὶ πάντα πονῶν καὶ φρονῶν ὑπὲρ τῆς χριστιανικῆς εὐετηρίας· καὶ τὸν ἀεὶ τῆς ζωῆς πάντα χρόνον ἐν τούτοις σπουδάζων μάλιστα· καὶ οὐδὲν ὅ,τι μὴ κατοκνῶν ἐν παντὶ τῷ παραστάντι· μήθ᾽ ὅλως ὑπερτιθέμενος τῶν εἰς ὄνησιν ἥντινα δήποτ᾽ ἄρα φερόντων Χριστιανοῖς, καὶ τὰ θεῖα λέγω καὶ τἀνθρώπινα πράγματα, καὶ οὐ μόνον οἴκοι καὶ τῷ κατ᾽ αὐτὸν τῷδε λάχει τῆς εὐδαίμονος ταύτης ἀγωγῆς· ἧς ἡμεῖς ἐπὶ πάντων ἀνθρώπων εὖ μάλ᾽ ὄντως μακάριοι καὶ περίβλεπτοι, δι᾽ αὐτὸν, ἀλλὰ καὶ εἴ τι ποτ᾽ ἂν ἄλλῃ· καὶ εἰ πάνυ τοι πόρρω τῶν οἰκείων χριστιανικῆς εὐσεβείας λέλειπται ζώπυρον· καὶ ἀριθμὸς ἀνθρώπων ὀλίγος, Θεῷ λατρεύων· καθαρῶς καὶ γνησίως· καὶ τῇ θείᾳ κλήσει τοῦ σωτῆρος Χριστοῦ σεμνυνόμενος, ἀλλ᾽ ἄρ᾽ ὡς ἔφην ὁ τοῦ βασιλέως μέγας οὗτος ἔρως· καὶ ἡ φιλόχριστος αὕτη σπουδὴ, κἀκεῖ φέρει πάνυ τοι πόρρω· καὶ πάντα τρόπον οἰκονομεῖ τὸν ἐνόντα, καὶ τοῖς ἐν

6,25 ἄλλῃ scripsimus: ἄλλη VDe

ἐκείνοις τοῖς τόποις θεοσεβέσι τἀσφαλὲς· καὶ ἀλώβητον· καὶ ἀτυράννητον τῆς πίστεως· καὶ τοῖς ἐν μέσῳ τοσούτων ζιζανίων συμπνιγομένοις χριστιανικοῖς σπέρμασι ῥᾳστώνην ἥντινα δὴ· καὶ βίοτον ὁπωσοῦν ἄλυπον· καὶ τοῦτο οἱ βούλονται· καὶ τοῦτ᾽ ἐστὶν ὁ σκοπὸς· αἱ συχναὶ πρὸς τὸν ἄρχοντα τῆς χώρας πρεσβεῖαι· καὶ τἀνθάδε πρὸς τὴν ἐκείνου χρείαν ἀπαντῶντα φιλίως· καὶ μάλ᾽ εὐγενῶς, τοῦ βασιλέως πρὸς οὐδὲν ὀλιγωροῦντος, ὧν ἐκείνῳ μέλοι ἄν. καὶ τοίνυν γε εἰσὶ κἀν ταῖς χώραις ἐκείναις, ἐν αἷς ὕβρις ἅπασα τῆς εὐσεβείας κατακαυχᾶται· καὶ θριαμβεύει τὸ κράτος τοῦ διαβόλου τῆς ἀνθρωπίνης φύσεως, διὰ τὴν τοὐμοῦ βασιλέως ταύτην φιλόθεον ἐπιμέλειαν καὶ τὸν ζῆλον· καὶ πόνον ἐν τούτοις ἀκάματον ἀεὶ καὶ ἄτρεπτον πάντων πραγμάτων, εὐαγὴς ὅμως Χριστιανῶν ἀνθρώπων πολιτεία καὶ θεῖα σπουδάσματα· καὶ τελεταὶ· καὶ ἱερατεία· καὶ ἡγεμόνες ἐκ διαδοχῆς, τῆς εὐδαίμονος καὶ παλαιᾶς | f. 307v
ἐκείνης εὐετηρίας, τελεταρχοῦντες τὰ Χριστοῦ μυστήρια· καὶ τῶν καθ᾽ ἡμᾶς τῆς εὐσεβείας θεσπεσίων, ἐξηγηταὶ καὶ προστάται· καὶ λατρεία Θεοῦ παρρησίᾳ· καὶ θείων οἴκων ἀνεγέρσεις τὲ καὶ διακοσμήσεις· καὶ σεμνεῖα· καὶ συντάγματα μοναστῶν· καὶ πᾶσα δὴ τῶν τῆς χριστιανικῆς θεοσεβείας νομίμων, πάλαι κρατοῦσα κάλλιστ᾽ ἀγωγή.

7. Ἀλλ᾽ ὅπερ ὁ λόγος ἠβούλετο, πρέσβεις ἀφικνοῦνται τότε δὴ κατὰ θεῖον τοῦ βασιλέως τῷ τῆς χώρας ἄρχοντι, κατ᾽ ἔθος ᾗπερ εἴρηται. τούτοις δὴ μετὰ τὸ τέλος τῆς πρεσβείας ἤδη γε ἐπανιοῦσι, τὸν σκοπὸν ὁ θαυμαστὸς ἀνὴρ κοινοῦται· καὶ παρασκευαζομένοις νηὸς ἐπιβῆναι· καὶ ἀπ᾽ Ἀλεξανδρείας εἰς τὰ ἡμέτερα ἀνάγεσθαι, πειρᾶται λαθὼν, συναπᾶραι. καὶ δὴ παρ᾽ αὐτοῖς γίνεται, μεταβαλὼν τὸ σχῆμα· καὶ μεταμφιασάμενος, ἀντὶ τῆς πρὶν εὐστολίας, μοναχικὰ τρίχινα. καὶ ἦν μὲν αὐτῷ τὴν ἀρχὴν ὁ σκοπὸς, κλέπτειν ἑαυτὸν, ἐν τούτοις καὶ τεχνάζεσθαι, τὸ μὴ δῆλος εἶναι τοῖς ἀήθεσιν· ᾗ πρὶν ἐκοσμεῖτο ῥακίοις αὐτοῖς καὶ ἐσθήμασιν. ὁ δὲ, πάσχει τί καὶ θαυμάσιον αὐτίκα καὶ γνώμην ἐπ᾽ αὐτοῖς μεταβα-

36 ἀπαντῶντα V²De: ἀπατῶντα V **37** μέλοι corr. De: μέλλοι V **39** εὐσεβείας V² e corr. **7,8** κλέπτειν V² e corr. De: κλέπτην V

6,32–33 Mt. 13, 24

λὼν γεννικήν, ὅλως αὐτόθεν τῆς μοναχικῆς βιοτῆς γίνεται· καὶ τὸν σκοπὸν ἐπαληθεύοντα μετατίθεται τῶν μοναδικῶν ἐνδυμάτων· καὶ πρὸς αὐτοῦ καθάπαξ ποιεῖται τὸ συγκύρημα τόδε· καὶ τύχης ἀγαθῆς ἀρχήν· καὶ οἷος τε ἦν, ὡς εἰ περισωθείη τῇ ζωῇ καὶ τῷ κόσμῳ, δι᾽ αὐτῆς μὲν οὖν τῆς μεταμφιάσεως, ἀπορραγῆναι τελείως τοῦ κόσμου· καὶ βίου βίον ἀλλάξασθαι, τοῦ τὰ παρόντα καὶ πρόσκαιρα πολιτευομένου, τὸν τὰ μέλλοντα καὶ ἀσφαλῆ τὲ καὶ ἄληκτα ποθοῦντα· κἀντεῦθεν προμνώμενον. καὶ ἦν μὲν ὁ σκοπὸς αὐτῷ τοιοῦτος· καὶ μαρτυρόμεθα τῶν λόγων τοὺς πρέσβεις· καὶ ὅσοι σὺν αὐτοῖς ἄλλοι τηνικαῦτα· πρὸς οὓς παρρησίᾳ τὴν αὐτοῦ γνώμην καὶ τὴν ὅλην αὐτοῦ τοῦ βίου πρόθεσιν, ὁ γενναῖος ἐκεῖνος ἄνθρωπος· καὶ πάντ᾽ ἀληθέστατος ἐκφέρει. κἂν, ἔδειξεν ὄντως τοῖς ἔργοις τοὺς λόγους ἀσείστους πάντων πραγμάτων, εἰ μὴ κρείττων ἐπίδειξις ἄλλη περὶ αὐτὸν αὐτίκα καὶ χρῆσις τῶν μαρτυρικῶν
f. 308 ἄθλων· καὶ πολλῷ γε μᾶλλον ἀξία θαυμάζειν, | ἐκκρούει μὲν τοὺς φθάσαντας ὅρους, καὶ τὰς κατ᾽ αὐτὸν τοιαύτας συνθήκας ἀτελεῖς· πολύ δ᾽ ὅμως αὐτοῖς τὸ πιστὸν ἔοικε μάλισθ᾽ αὕτη παρέχεσθαι.

8. Ἀλλὰ τέως γε ὅπερ ἔφην, περιβάλλει μὲν τὸ σῶμα τὰ τρίχινα, ὡς θυρεόν τινα τῆς πίστεως ἀποστολικόν· καὶ περικαλύπτει τὴν κεφαλὴν ὡς περικεφαλαίᾳ τοῦ Πνεύματος, σκέπῃ δὴ ταύτῃ κατὰ μοναχούς, ᾗπερ εἴθισται· καὶ τὸν σταυρὸν αἴρει τὲ τοῦ Χριστοῦ πρὸς τοὺς ἐπιόντας ἀγῶνας τὲ καὶ κινδύνους, ὅπλον ἄμαχον. καὶ παρασκευάζεται γεννικῶς μὲν οὕτως, ὡς ἂν, εἰ δεήσειεν αὐτῷ συμπλακῆναι καὶ ἀντιστῆναι πρὸς πᾶσαν, κατὰ τῆς αὐτοῦ θεοσεβείας ἐπιχείρησιν· πειρᾶται δ᾽ ὅμως λαθεῖν καὶ οὐκ αὐτομολεῖ τῇ μάχῃ κατὰ τοὺς δεσποτικοὺς καὶ τοῦθ᾽ ὡς εἴρηται νόμους. ἀλλ᾽ ἀνοίγει θέατρον αὐτῷ καὶ ἆθλον· καὶ νίκης· καὶ τροπαίων ἐπίδειξιν, καὶ δόξαν ὄντως ἄρρητον οἵαν αὐτῷ τὲ καὶ δι᾽ αὐτοῦ τῇ ἐκκλησίᾳ· καὶ κόσμον ἐπὶ τοῖς προλαβοῦσιν, ὁ τῶν καλλίστων ἀγωνισμάτων, ἀθλοθέτης Χριστός· καὶ τῶν τιμίων ἐπάθλων καὶ τῶν στεφάνων ἐπὶ ταῖς νίκαις, ἑτοιμότατός τε· καὶ μάλ᾽ εὔπορος νομεύς. προδίδοται γὰρ καὶ συλλαμβάνεται τοῖς ἀσεβέσιν, αὐτῷ μὲν κατ᾽ ἔφεσιν ὡς ἀληθῶς ὁ γενναῖος· καὶ οὐκ

12 ὅλως V: ὅλος coni. De

8,2–3 Eph. 6, 16–17 **4** Luc. 9, 23 **8–10** cf. supra, 5, 39–41 **10** cf. Or. 4, 5, 4

ἔστιν ἐρεῖν ὅπως ὡς ἡδέως εὖ μάλιστα· προδίδοται δ᾽ οὖν κακίστων ἀνδρῶν καὶ ὑπηρετῶν ὄντως τοῦ μισοκάλου· καὶ πρώτου καὶ ἀφανοῦς ἐχθροῦ. καὶ ὢ τίς ἂν ἀξία δίκη γένοιτο, τοῖς τολμηροῖς ἐκείνοις καὶ παμμιάροις, τῆς τοσαύτης κακονοίας· καὶ ἀπονοίας· καὶ ἀπιστίας μάλιστα· καὶ τὴν κακίαν ἰσοταλάντοις ὡς εἰπεῖν ἀντίστροφον, τῇ τοσαύτῃ τοῦ ἀνδρὸς ὑπὲρ εὐσεβείας, καρτερίᾳ· καὶ νίκῃ· καὶ δόξῃ; συλλαμβάνεται δ᾽ ὅμως, ὁ τέως ἐμπαράσκευος ἀγωνιστὴς τοῦ Χριστοῦ· καὶ δέσμιος ἄγεται, προστησάμενος τὴν ἄσειστον ἑαυτοῦ γνώμην εἰς τὰ δόξαντά οἱ· καὶ ὄντως ὄντα βέλτιστα· καὶ τὰς ἀγαθὰς ἐλπίδας ἐκ Θεοῦ παντοκράτορος· ὑπὲρ οὗ καὶ δι᾽ ὅν, εἰς τὸ τῆς ἀγωνίας ταύτης ἀπεδύετο στάδιον. ὢ μεθ᾽ οἵου τοῦ φρονήματος ᾔει· ὅλος θεόληπτος· ὅλος θεοειδής, | αἴγλῃ f. 308v πάσῃ καὶ χάριτι πρέπων· καὶ σεμνότητι· καὶ κάλλιστος ἰδεῖν τὲ καὶ κόσμιος· καὶ ταπεινῷ μὲν τῷ σχήματι· μάλιστα δ᾽ ἀπτόητος καὶ θάρρους πλήρης· καὶ παντὶ δῆλος γε ὢν ἐκεῖνος ὡς οὐδένα τῶν προσδοκωμένων χαλεπῶν λόγον ποιεῖται· ἔρωτι θείῳ πυρπολούμενος· καὶ ταῖς ἄνωθεν καταπνεόμενος αὔραις· καὶ μάλ᾽ ἐξάπτων καὶ ἐνακμάζων· καὶ πνεύματι σοφίας καὶ δυνάμεως κατάφρακτος καὶ διακαρτερεῖν πρὸς ἅπασαν προσβολὴν ὡπλισμένος· λαβὼν τὲ παρὰ τοῦ ἐπαγγειλαμένου διδόναι Χριστοῦ τοῖς τοιούτοις καιροῖς καὶ ταῖς χρείαις, καὶ λόγων εὐπορίαν· καὶ σοφίαν ἅμα τῷ ῥωμαλέῳ πρὸς ἀντίστασιν, δυσαντίβλεπτον, κατὰ πάντων τῶν ἀντιπάλων· οὐ μόνον δὲ, ἀλλὰ καὶ πρὸς τοὺς περὶ αὐτὸν ὁμοπίστους καὶ δεδιότας περὶ αὐτῷ καὶ παρακαλοῦντας εἰς τὸ τῆς ῥώμης ἄτρεπτον, τὰ θαυμαστὰ τῶν ἀποστολικῶν ἐκείνων ῥημάτων, εἰς εὐελπιστίαν ἀμέλει καὶ προσδοκίαν ἀνύποπτον παντὸς ἀβουλήτου καὶ ἀπευκταίου προφέρων, ὡς οὐδὲν αὐτὸν οὐ μήποτε χωρίσῃ τῆς τοῦ δεσπότου καὶ σωτῆρος ἀγάπης Χριστοῦ, οὐ πῦρ· οὐ ξίφος· οὐ μάχαιρα· οὐ πᾶν ἄλλο τῶν δεινῶν καὶ κατισχυόντων τοῦ σώματος. καὶ ταῦτα, οὐ λόγος ἄλλως· ἀλλὰ καὶ παρόντων αὐτοὶ καὶ μαρτυρούντων· οὐχ ὀλίγοι δὲ καὶ πάντες σύμφωνοι, οἱ τότε· καὶ θαρρύνειν αὐτὸν εἰς τοὺς κινδύνους προθυμούμενοι· καὶ ταῦτα τῆς

8,18 an ⟨ὑπὸ⟩ κακίστων? **36** ἐπαγγειλαμένου V²De: ἐπηγγειλαμένου V **39** αὐτὸν corr. De: αὐτῶν V **40** αὐτῷ VDe: an αὐτοῦ? **43** αὐτὸν V² e corr.

33 cf. Phil. Iud., De spec. leg. 3, 5 (p. 130, 9) **34** cf. Ex. 31, 3; Is. 11, 2; Eph. 1, 17 **36** Mt. 10, 19 **43–45** Rom. 8, 35–39

εὐγενοῦς ἐκείνης γλώττης παρρησίᾳ βοώσης, ἀκούοντες. ὢ ψυχῆς ἐκείνης ἀσχέτου καθάπαξ τῶν τῇδε καὶ ὁρωμένων· καὶ μεγαλοφυοῦς· καὶ ὑπερηρμένης τῶν σωματικῶν δεσμῶν τῶνδε· καὶ τῆς ἀρρήκτου ταύτης συζυγίας ἀνεπιστρόφου, ταῖς τοῦ λυσιτελοῦντος αὐτῇ κρίσεσιν. ὢ τοῦ γεννικοῦ σώματος ἐκείνου διακαρτερεῖν ἔχοντος, οἷς ἄν, ἐκείνη νομίζοι· καὶ τοσοῦτον ἄρα τῆς συζυγίας κερδαίνειν λαχόντος, ὥστε καὶ καθυπουργεῖν, ἐν τοῖς βελτίστοις δόγμασιν.

9. Ἀλλ᾽ ἐπειδή γε καὶ ἤχθη τοῖς προστάταις ἐκεῖσε τῆς ἀσεβείας ὁ γενναῖος, ἐκεῖνος, οὕτως ἔχων θάρρους καὶ λογισμῶν, καὶ παρρησίᾳ δῆλον ἑαυτὸν ποιεῖται Χριστιανὸν ὄντα· καὶ μὴ δ᾽ f. 309 ἂν εἴ τι περὶ αὐτὸν γίγνοιτο, | τὴν κρατήσασαν ταύτην γνώμην μεταθήσοντα καὶ τραπησόμενον· οἱ δὲ, καὶ ὅμως ἔτι πειρῶνται· τοῦτο μὲν λόγοις τισὶ θωπευτικοῖς καὶ μαγγανείαις· καὶ δωρεῶν ὑπερβολαῖς τόσαις καὶ τόσαις· τοῦτο δὲ καὶ ἀπειλαῖς, βασάνου πάσης χαλεπωτάτης καὶ πείρας, τὸ γενναῖον μεταβαλεῖν τοῦ ἀνδρὸς, καὶ ταπεινῶσαι τὸ φρόνημα. τῆς ἀπονοίας, ὦ μάταιοι φεῦ ὑμεῖς καὶ λῆροι. πῶς ὅλως ᾠήθητε τῆς τοσαύτης ἀνδρίας ἐκείνου κατεπιχειρῆσαι· πῶς τὴν κρατήσασαν οὕτως ἐπ᾽ αὐτοῦ τῆς ἀληθείας ἐπίγνωσιν μεταπεῖσαι, καὶ τὸν τοσοῦτον ὑπὲρ τοῦ καλοῦ καὶ τῆς πίστεως φλέγοντα ζῆλον, ὥστε προσθέσθαι τῇ καθ᾽ ὑμᾶς αἰσχύνῃ καὶ τερατείᾳ καὶ μυσαρᾷ καὶ ὄντως καταγελάστῳ παντὶ νοῦν ἔχοντι λέσχῃ; πῶς τοὺς οὕτω καλλίστους αὐτῷ λογισμοὺς καὶ τὴν γνώμην ἣν εὐγενῶς προυστήσατο καταπροδοῦναι καὶ προλιπεῖν ἐδόξατε· τοιαῦτά {τινά} τινα νηπίων ὡσπερεὶ θέλγητρά τε καὶ φόβητρα προτείνοντες· καὶ τὸν ἀκλόνητον αὐτοῦ τῆς θεοσεβείας πύργον, τὸν ἐπὶ τῇ πέτρᾳ κραταιῶς ἐρηρεισμένον καὶ τεθεμελιωμένον· καὶ τῷ ἀκρογωνιαίῳ λίθῳ, Χριστῷ κατασεῖσαι καὶ καταστρέψασθαι τοιούτοις δή τισιν ἠλιθίοις ἐπιχειρήμασι· καὶ καλαμίνοις ὡς εἰπεῖν κοντοῖς, ἢ χειρῶν ὠθήσεσι καὶ σπαράγμασι· καὶ ἃ μαινομένων ἀνθρώπων ἐστὶν, διανοήματα καὶ κινήματα; πῶς ὑμῖν εἰς νοῦν ἧκε· πῶς ἐν ἐλπίσι τὸν ὑπὸ τῆς ἄνωθεν χάριτος

9,10 ἀνδρίας V, servavimus: ἀνδρείας De **17** τινα iteratum in V **21** καὶ^{2} om. De

9,19–20 Mt. 7, 24–25; Luc. 6, 48 **19–20** Is. 28, 16; I Petr. 2, 6

ἐλλαμφθέντα καὶ ἐμπνευσθέντα· καὶ ὅλως γευσάμενον καλὸν Θεοῦ ῥῆμα· καὶ πεῖραν τῆς ἀποκεκρυμμένης σχόντα Θεοῦ σοφίας καὶ γνώσεως, καὶ μυστηρίων, τὰ ὑμέτερ᾿ αὖθις ἀλλάξασθαι· καὶ ἀνθελέσθαι μάταια καὶ μυθώδη πλάσματα· καὶ πολὺν λῆρον· καὶ πλάνην παντάπασιν ἀλόγιστον καὶ οὐδὲν ὑγιὲς· οὔθ᾿ ὅλως ἀκούειν ἀνεκτῶς ἀνθρώποις σωφρονικοῖς ἔχουσαν· καὶ ὁπωσοῦν καὶ πάνυ τοι μέτριον ἐπαΐουσι; πῶς αὐτὸν προελέσθαι τὰ ὑμέτερα βδελλύγματα· καὶ τὴν τῆς ἀκολασίας καὶ ἀσωτίας πομπὴν καὶ τὸν θρίαμβον τῶν ἀσελγῶν πράξεων τοῦ προστάτου καὶ καθη|γεμόνος, τῆς ἀπάτης ὑμῖν· καὶ τὰ τῆς αὐτοῦ βιοτῆς· καὶ τῶν νομοθετουμένων ὑμῖν ἐξ αὐτοῦ συνθημάτων ἄσεμνα δράματα (ἃ κἂν εἰ ἐν βοσκήμασί τις νομίζοι, γέλως ἄν, εἴη πλατὺς· καὶ λέγειν καὶ ἀκούειν αἰσχύνη· καὶ ἀηδία μάλιστα· καὶ οὐκ οἶδ᾿ ὡς εἴ τι γε τῶν ἄλλων ἁπάντων, μίασμά τε καὶ ἀποτρόπαιον), πῶς ταῦθ᾿ ὅπερ ἔφην αὐτὸν ἐλογίσασθε προελέσθαι ἀντὶ τῶν πανσόφων καὶ πανσέμνων παλαιῶν ἐκείνων νόμων· καὶ τῆς ἐπ᾿ ὄρους ἔγγισθ᾿ ὑμῖν αὐτοῦ θεοδιδάκτου παραδόσεως· καὶ ἱερᾶς ἁγιστείας, εἰς ἀγωγὴν ἀνθρώποις· πολὺ τὸ κόσμιον καὶ σεμνὸν ἔχουσαν καὶ σκιαγραφοῦσαν γε μὴν καὶ χαράττουσαν καὶ ὑποδεικνῦσαν ἔτι τελεώτερα καὶ θειότερα, ὡς ἄρ᾿ ἔδειξεν ἐπίδηλον χρόνοις ὕστερον, ἀντὶ τούτων αὐτῶν καὶ τῆς τῶν προηγορευμένων καὶ προκεκηρυγμένων ἐκβάσεως, καὶ τῆς ἐν γῇ θεοφανείας τοῦ σωτῆρος Χριστοῦ, πολὺ τὸ πιστὸν καὶ μάλ᾿ εὐπαράδεκτον ἐχούσης· ὅστις ὁρᾶν ἔχει· ἀπὸ τῶν λόγων· ἀπὸ τῶν ἔργων· ἀπὸ τῆς διὰ τῶν θαυμάτων αὐτῶν ἀποδείξεως, οὐ τοῦ δεσπότου τηνικαῦτα μόνον, ἀλλὰ καὶ τῶν ἀκολούθων ἑξῆς αὐτοῦ· καὶ διαδεξαμένων καὶ πεπιστευμένων τὴν διδασκαλίαν αὐτοῦ καὶ τὸ κήρυγμα (τοὺς ἀσόφους ἐκείνους καὶ πανσόφους φημί· τοὺς εὐτελεῖς τὸ φαινόμενον καὶ πένητας καὶ ἀόπλους· καὶ διὰ πάσης τῆς οἰκουμένης ἰσχύσαντας τῷ τῆς ἀληθείας κράτει· οὐ τῷ τῶν δογμάτων ἐπαγωγῷ καὶ κατὰ κόσμον ἡδύνοντι· καὶ τοῖς ὑπερφυέσι θαυμαστοῖς ἔργοις, κατὰ νόσων κατὰ δαιμόνων· κατὰ πάσης πλάνης· ὧν καὶ μόνον σκιαὶ· ὧν καὶ μόνον

f. 309v

30 σωφρονικοῖς ἔχουσαν VDe: an σωφρονικῶς ἔχουσιν? **31–32** βδελλύγματα V, servavimus: βδελύγματα De **34** αὐτοῦ corr. De: αὐτῆς V **54** οὐ V: καὶ coni. De

25–26 Hebr. 6, 5 **26** I Cor. 2, 7 **55–56** Act. 5, 15

ἐπικλήσεις τὰ μέγιστα δύνανται πρὸς ὄνησιν ἡντιναοῦν, ἀνθρωπίνην ἐκείνην μέχρι καὶ δεῦρο), ταῦτ᾽ ἐκεῖνον ἐν δευτέρῳ θέσθαι τῆς ὑμετέρας βδελλυρίας καὶ ἀμαθίας· καὶ τερατείας ᾠήθητε, τὰ θαυμαστὰ καὶ βοώμενα· καὶ ἃ μεθύστερον αὖθις ἔπειτα καὶ πάνσοφοι πλεῖστοι τὴν ἀνθρωπίνην ἄνδρες σοφίαν, ἀντὶ πάσης ἄλλης παιδεύσεως καὶ γνώσεως εἵλοντο· καὶ συντάγμασι καὶ φιλοπονίᾳ f. 310 λόγων ἐκόσμησαν, ὅλους ἑαυτοὺς ὑποτάξαντες αὐτῷ | τῷ τῶν λόγων κράτει· αὐτῇ τῇ τῆς σοφίας σεμνότητι, τοῖς τῶν ἀμαθῶν ἐκείνων διδάγμασι; καὶ μὴν δι᾽ ἀγώνων ἔτ᾽ αὖθις ἕτεροι πάνυ τοι πλεῖστοι, καὶ μαρτυρικῶν καμάτων παντοίων καὶ πάντων χαλεπωτάτων τοῖς σώμασι φέρειν διακαρτεροῦντες ἐβεβαίωσαν τἀληθές, τῆς χριστιανικῆς θεοσεβείας αὐτῆς, ὑπὲρ ἧς ἐκινδύνευον· καὶ προΐεντο διδόντες, ἑκόντες ὄντες ἑαυτοὺς τῷ θανάτῳ· ῥᾷστα τὲ καὶ ἥδιστα· καὶ τῇ τῶν οἰκείων σωμάτων ὀλιγωρίᾳ· καὶ τῷ τῆς καρτερίας κράτει· καὶ ἐν οἷς ἐνήργουν ἄλλοις παραδόξοις ἔργοις καὶ τεραστίοις, αὐτοὶ τὲ κατέπειθον, εὖ μάλ᾽ ἑαυτούς· καὶ τοὺς ἄλλους ὁρῶντας, ἔπειθον περὶ τῆς ὀρθότητος· καὶ ἀληθείας· καὶ ἀσφαλείας τῆς πίστεως.

10. Ἀλλ᾽ ἄρ᾽ ἐκεῖνοι μηδὲν τῶν τοιούτων ἐν νῷ θέμενοι, κακοὶ κακῶς τὴν ἀρχὴν ὡς ἔφην καὶ ἀμαθῶς, πεῖράν τινα ταύτην διὰ λόγων, λαβεῖν ἠξίουν τῆς τοῦ ἀνδρὸς ἐνστάσεως· καὶ λαμβάνουσί γε καὶ κατελέγχονται, ματαίοις καὶ ἀνηνύτοις ἐγχειροῦντες· ὥσπερ ἄν, εἰ πῦρ τις ὁπῃοῦν καταψύχειν πειρῷτο. μετὰ δὲ τὴν πεῖραν αὐτήν, ὡς τελευτῶντες οὖν ἀπεῖπον, πλεῖστον ὅσον φιλονεικήσαντες καὶ λόγοις ἁμιλλησάμενοι, οἱ μανιώδεις ἐκεῖνοι καὶ βέβηλοι καὶ παμμίαροι, ὡς δ᾽ οὖν ἀπεῖπον, τότε δὴ τότε λοιπὸν ἔπειτα δεσμοὺς βαρυτάτους· καὶ πικροτάτην εἱρκτήν, ὁ γενναῖος ἀθλητὴς καὶ ἀήττητος τοῦ Χριστοῦ κατακρίνεται. καὶ εἴσεισιν εὔελπις πάνυ τοι καὶ ἀπτόητος, ὁ πάσης τῆς ὕλης ἀνάλωτος· καὶ τῶν ὁρωμένων πάντων ἄσχετος· καὶ καθάπαξ ἐλεύθερος, ὁ τὴν γῆν πᾶσαν καὶ τὸν ἅπαντα κόσμον, καὶ αὐτὸ μὲν οὖν ὑπεραρθεὶς τὸ οἰκεῖον σῶμα· ὁ τὸν νοῦν ὅλον εἰς οὐρανοὺς ἔκδημον πτερώ-

59 βδελλυρίας V, servavimus: βδελυρίας De **69** ὄντες del. De

60–61 cf. Metoch., Carm. 6, 290–310 (p. 125) **10,4** cf. e.g. Ioh. Chrys., In Mt., PG 57, 75, 54 **14–15** cf. supra, 3, 3–4

σας καὶ μεταθέμενος, ἐκεῖσε τὴν πολιτείαν καὶ οὐ τὰ παρόντα βιοτεύων καὶ ζῶν· εἰ καὶ μετὰ δεσμῶν ἦν ἔτι πω τοῦ σώματος· ἀλλὰ τοῖς ὑψηλοῖς ἐκείνοις καὶ θείοις ἄνω συγκαταλέξας ἑαυτὸν συστήμασι καὶ συντάγμασιν.

11. Ἀλλὰ τρίψας γε μὴν ἡμερῶν οὐκ ὀλίγων ἀριθμὸν ἐπὶ τῆς εἱρκτῆς ἄσιτος· ἔπειτ᾽ ἐξάγεται τοῖς βδελλυροῖς αὖθις ἐξετασταῖς καὶ κριταῖς. πάλιν τῶν ἀνόμων οἱ μάταιοι πόνοι· πάλιν | παρα- f. 310v πλήσια δράματα· πάλιν τοῦ ἀνδρὸς ἐκεῖνοι πειρῶνται καὶ πρὸς τὴν μεταβολὴν τέως ἐκκαλοῦνται, τῆς γνώμης ταῖς αὐταῖς αἷς πρότερον· ἢ καὶ ἴσως πλείοσιν ἐπαγγελίαις καὶ ἀπειλαῖς· πάλιν ὡσαύτως ὡς ἤδη καὶ πρότερον ἀποκρούονται καὶ ἀποχωροῦσι, τῆς ἀνονήτου ταύτης πείρας· καὶ τοῖς δεσμοῖς αὖθις καὶ τῇ εἱρκτῇ παραπέμπουσι τὸν γεννάδαν· καὶ τοῦτ᾽ αὖθις μετὰ τὰς ἴσας ὡς καὶ πρώην ἡμέρας, ἀσίτου διακαρτεροῦντος αὐτοῦ· καὶ τοῦτο μάλ᾽ αὖθις, εἰς τρίτην ὡσαύτως ἔτι· καὶ ἦν οὐδὲν αὐτοῖς ἀεὶ πλέον, ἢ καὶ τὴν ἀρχὴν ἤδη πρότερον ἦν. βάσανοι λοιπὸν ἔπειτα καθάπαξ ἀπειπαμένων· καὶ πληγαὶ· καὶ ὕβρις κατὰ τοῦ προσώπου πᾶσα· καὶ κατὰ κόρρης παίεται· καὶ συστρέφεται· καὶ ὠθεῖται· καὶ πάντα φέρει θαυμαστὸς ἐκεῖνος ἀνὴρ· καὶ ἅμα τῷ ῥωμαλέῳ, καὶ σχήματι ταπεινῷ καὶ χαρίεντι διαπρέπων· καὶ οὐδὲν ὅ,τί ποτε μὴ μεταβαλὼν· μὴ τῆς γνώμης· μὴ τῶν γεννικῶν λόγων· μὴ τῆς κοσμιότητος· μὴ τῆς παρρησίας· μὴ τῆς ἀνδρικῆς ἀκμῆς. καὶ πάντα πάσχων καὶ κατατεινόμενος, τῷ δεσπότῃ καὶ σωτῆρι τὸν νοῦν ὅλος προσεῖχε καὶ προσελιπάρει· καθικετεύων ἐπιρρωννύειν ἐμπνέοντα δύναμιν· καὶ χάριν ἄτρεπτον εἰς τοὺς ἀγῶνας· καὶ τοὺς αὐτοῦ πόνους· καὶ τὰς πληγὰς· καὶ τοὺς μώλωπας, ὡς δῶρα δεκτὰ· καὶ θύματα· καὶ καρποφορίαν· εὐγενῶς προσφερομένην αὐτῷ προσίεσθαι· τῷ δόντι λύτρον ὑπὲρ ἡμῶν, τὸ οἰκεῖον αἷμα· καὶ τῆς τοῦ διαβόλου τυραννίδος ἡμᾶς καὶ τῆς πλάνης· καὶ τοῦ σκότους ἐλευθερώσαντι.

12. Ἀλλ᾽ ἐπειδὴ καὶ τὴν τελευταίαν, σφαγὴν ἐκεῖνος καταδικάζεται, ταχυνόντων ἐμοὶ δοκεῖν, ὡς οἷόν τ᾽ ἦν εὖ μάλα τῶν ἀνόμων

11,2 βδελλυροῖς V, servavimus: βδελυροῖς De **20** ὅλος VDe: an ὅλως?

11,23–26 Phil. 4, 18; Rom. 12, 1

δικαστῶν τὸ πέρας τῆς τοῦ ἀνδρὸς ἀριστείας, ὡς μὴ φερόντων ἴσως, τὸ διὰ πλειόνων ἀήττητον αὐτοῦ, καὶ τὴν ἀκάματον ἐς τοὺς κινδύνους ἔφεσιν καὶ παρασκευὴν, ὢ τίς ἂν γενοίμην ἐνταῦθα· ἢ πῶς ἂν χρησαίμην τῷ λόγῳ; ἐνταῦθα γὰρ τῷ γενναίῳ τοῦ δρόμου
f. 311 τῶν ἀγώνων, ὁ πᾶς ἄρα σκοπὸς· καὶ τῷ λόγῳ δὴ τούτῳ νῦν· | καὶ τὸ πέρας τῆς μεγάλης αὐτῆς προθέσεως. καὶ συνορᾷ μὲν ἴσως ὁ νοῦς καὶ εἰ μὴ τελείως, συνορᾷ δ' ὅμως, ὅ,τί ποτ' ἄρα καὶ συνίησιν, οἷον δὴ τηνικαῦτ' ἐπὶ γῆς, μέγιστον ἔργον ἐτελεῖτο· ἥδιστον μὲν οὐκ οἶδ' ὡς εἴ τι γ' ἄλλο, τῷ τῶν ἁπάντων ἄνωθεν ὁρῶντι δεσπότῃ· καὶ πρὸς τὴν ἄθλησιν τὸν αὐτοῦ μαχητὴν φιλανθρώπως, εὖ μάλα καὶ κραταιῶς ἐπαλείφοντι, τὸν εἰς αὐτὸν μόνον ὁρῶντα· τὸν εἰς αὐτὸν μόνον ἀνατεινόμενον· καὶ σπεύδοντα· καὶ πάντων ἀνεπίστροφον, ὑπερορῶντα τῶν περὶ αὐτὸν πραγμάτων· ἥδιστον δὲ ἅμα καὶ ὄντως πανθαύμαστον ταῖς ἀγγελικαῖς καὶ νοεραῖς, αὐταῖς οὐσίαις ἐφορωμέναις· καὶ μὴν ἔτι κάλλιστον ἁπάντων λογισμοῖς ἀνθρωπίνοις καὶ ξένον ἢ κατ' ἔθος, συννοεῖσθαι τοσούτου φρονήματος ἀκμὴν, τοσοῦτον ἄτρεπτον συναρπάσαντα καὶ κατασχόντα θεῖον ἔρωτα τελεσιουργὸν ἀνύτοντα καὶ τῶν καλλίστων ἐπιτυχῆ· καὶ τοσαύτην ἀφανῶν ἐχθρῶν μάλιστα καὶ φανερῶν τοῦ κακοῦ προστατῶν καὶ ἀξίων ἐκείνοις ὑπηρετῶν, ἀντίπραξιν πᾶσαν· πᾶσαν ἡττωμένην· καὶ ἀτευκτοῦσαν καὶ γέλωτα ὄφλουσαν· συνορᾷ μὲν οὖν ταῦθ' ἧπερ ἔφην ὁτιοῦν ὁ νοῦς· καὶ ἅμα ἥδεται· καὶ φρίττειν ἔχει· ἀτονεῖ δ' ἡ γλῶττα· καὶ οὐ λέγω νῦν ἔγωγε τῶν πραγμάτων ἀξίως· ἀλλ' ἄρα καὶ ὧν αὐτὸς μετρίως συνίησι, προφέρειν ὅ,τί ποτ' ἄρα· καὶ ἱκανῶς ὁπῃοῦν χρῆσθαι. ἀλλὰ δεῦρο δή μοι νῦν ὦ στεφανῖτα Χριστοῦ· καὶ πλουσίας πάντως τὰς ἀμοιβὰς καὶ μεγίστην καὶ ἄρρητον τὴν χάριν εἰληφὼς παρ' αὐτοῦ, δεῦρο δή μοι καί τινα παράσχου τῷ λόγῳ νῦν, συναιρόμενος δύναμιν· καί τι χάριτος σῆς καὶ κράτους, πνεῦσον αὐτῷ καὶ τόνου, πρὸς τὸν δρόμον τόνδε καὶ τὴν σπουδὴν, μὴ παντάπασι κατόπιν ἐλθεῖν· μὴ δὲ πλεῖστον ὅσον ἀπολειφθῆναι, τῶν σῶν ἀριστευμάτων τὲ καὶ τροπαίων· καὶ καταισχῦναι μὲν ταῦτα μᾶλλον τοῖς ἐγκωμίοις, οὐκ ἂν, τοῦτο φαίην ἔγωγε· καταισχῦναι δ' ἴσως ἑαυτὸν, καὶ κατελέγξαι μᾶλλον ἠλίθιον· καὶ τῶν μὴ προσηκόντων ἀντιποιούμενον, καὶ κρείττοσιν ἢ κατ' αὐτὸν ἐγκεχειρηκότα.

12,8 αὐτῆς V: αὐτοῦ vel ταύτης coni. De

13. Οἷον γὰρ δὴ τόθ' ὡς ἀληθῶς | ὦ παρόντες καὶ τῶν λόγων νῦν τούτων ἐπακροώμενοι (καί μοι ὥσπερ ἐκεῖσε παρόντες ἐποπτεύετε καὶ τῷ λόγῳ συνεκδημεῖτε· καὶ τῷ νῷ τὸ θέατρον ὑφαπλοῦτε καὶ ὑπανοίγετε, τὸν ἀγωνιστὴν ἐν μέσοις ἱστῶντες, καὶ τὰ τούτου παλαίσματα καθορῶντες καὶ συνδιασκεπτόμενοι), οἷον μέντοιγε θαῦμα τότε τοῦ βίου· καὶ ἥδιστον θέαμα, νεανίας κάλλιστος ἰδεῖν καὶ γενναῖος, ἐν ὥρας ἄνθει καὶ ῥώμης ἀκμῇ, τοὺς ὑπὲρ Χριστοῦ δεσμοὺς, καὶ τὴν ἄτιμον ὥς γ' ἐδόκει τοῖς φονευταῖς καταδίκην ἐκείνην καὶ πομπὴν καὶ τοὺς ἐμπαιγμοὺς· καὶ τὰς πληγὰς καὶ τὰς μάστιγας, ὡς εἴ τι τῶν κομιδῇ ποθεινῶν καὶ τιμίων (πῶς ἂν εἴπῃ τις;), προσιέμενος καὶ φέρων καὶ χαίρων εὖ μάλα, τὴν ἐπὶ σφαγὴν ἀγόμενος, στερρῶς στερρὸς, καὶ ἥδιστος ὁρᾶν καὶ ὁρᾶσθαι· καὶ ἀκατάπληκτος, καὶ πάσης βρύων ἱλαρότητός τε καὶ χάριτος· καὶ τὴν ἔσω τῆς ψυχῆς καὶ τῶν λογισμῶν ἑορτὴν, διὰ τῆς κατὰ τοῦ προσώπου γαλήνης καὶ τῶν εὐγενῶν παρρησίᾳ λόγων δεικνύς. ἐκείνην ὄντως τὴν ἀγωνίαν· ἐκείνην τὴν θέαν· ἐκεῖνον τὸν τοῦ μαχητοῦ καὶ νικητοῦ θρίαμβον, ἄνωθεν μὲν ὁ φιλάγαθος δεσπότης ἐπεκρότει· καὶ κατεκόσμει στεφάνοις· ἄγγελοι δ' ὁρῶντες, ἐθαύμαζον καὶ συνήδοντο· ἠγάλλοντο δ' ἐκεῖθεν συναιρόμενοι τοῖς τοῦ ἀνδρὸς ἄθλοις· καὶ οἱ πρότερον ἐκεῖνοι μέγιστοι καὶ μεγαλώνυμοι, τῶν αὐτῶν ἀγώνων συναθληταὶ καὶ τροπαιοῦχοι· καὶ τὰ οἰκεῖα νῦν ἐπεγίνωσκον καὶ χάριν εἶχον τῷ συναγωνιστῇ τοῖς ἑαυτοῦ, τὸ πιστὸν πάνυ τοι παρέχοντι τοῖς αὐτῶν· καὶ καινίζοντι καὶ καλλύνοντι τὰς αὐτῶν ἀριστείας, ταῖς τῶν ἀνθρώπων ψυχαῖς· καὶ προθύμως εἰς αὐτοὺς τρέχοντι, γνησίως ἀπήντων· καὶ ᾠκειοῦντο· καὶ μέσον αὐτῶν ἐλάμβανον. f. 311v

14. Ἀλλὰ τέως γε μὴν μετὰ τὴν τοῦ θανάτου καταδίκην ἐκείνην, καὶ ψῆφον ὁ γεννάδας, εὐθαρσὴς ἐχώρει πρὸς τὴν σφαγὴν· ἀνεκήρυττε μεγαλοφώνῳ γλώττῃ, τὴν μακαρίαν ὁμολογίαν· πλήττων ὡς ἀληθῶς καιρίως αὐτὸς, τοὺς ἀλιτηρίους ἐκείνους· καὶ βασκάνους· καὶ φονευτὰς· ἀνεβοᾶτο τὴν τοῦ Χριστοῦ πίστιν, ὑπὲρ ἧς | τοὺς κινδύνους ᾑρεῖτο· ἐπεβοᾶτο, τὴν αὐτοῦ τοῦ δεσπότου κλῆσιν, κατ' αὐτῶν τῶν κινδύνων, καὶ τῆς ὅλης ἀγωνίας, διὰ πάσης ἰὼν τῆς ὁδοῦ καὶ παντὸς τοῦ θεάτρου, ἐν αὐτοῖς τοῖς ἐσχάτοις, ἐν αὐτῇ τῇ σφαγῇ. λέγεται γέ τοι (καὶ τοῦτο f. 312

13,12 Is. 53, 7

τῶν παρόντων αὐτῶν τηνικαῦτα· καὶ αὐτῶν ὁρώντων· καὶ αὐτῶν ἀκουόντων, ἀκούομεν), λέγεταί γέ τοι, ὡς ἄρα καὶ μετὰ τὴν τελευταίαν πληγὴν· καὶ τὴν τομὴν αὐτὴν· καὶ τὸν χωρισμὸν τῆς ἱερᾶς κεφαλῆς, τοῦ παντὸς ἄλλου σώματος, τὸ θεοκίνητον ὡς ἀληθῶς ἐκεῖνο τοῦ ἀνδρὸς στόμα, τὸν Χριστὸν εἶχε· καὶ αὖθις ἐλεεῖν ἐπεκαλεῖτο. καὶ ξένον οὐδὲν, οὐδ' ἄηθες τοῦτο, τῶν τοῦ Χριστοῦ τοσούτων θαυμασίων καὶ παραδόξων πάλαι καὶ ἀεὶ νῦν, καὶ τῆς ἀρρήτου καὶ ὑπερβαινούσης αὐτοῦ πάντα καὶ νοῦν καὶ λόγον, καὶ τὴν φύσιν μὲν οὖν αὐτὴν, παντουργοῦ δυνάμεως.

15. Ἑξῆς μέν γε ἀγὼν μέγιστος· καὶ σπουδὴ καὶ φιλοτιμία, καὶ φιλονεικία μεγίστη τοῖς τότε γίνεται παροῦσι καὶ θεωμένοις, τὴν παρρησίαν καὶ καρτερίαν ἐπὶ τοῖς κινδύνοις καὶ ἀριστείαν· καὶ νίκην τοῦ ἀνδρὸς· καὶ τὴν μὲν ψυχὴν ἄληπτον παντάπασι περιγινομένην, καὶ ἀποχωροῦσαν· αὐτὸ δὲ τὸ καλῶς αὐτῇ δουλεῦσαν ἱερὸν σῶμα λειφθὲν, κάτω· καὶ προκείμενον μόνον ἐπ' ἐξουσίας, ὥστε καθυλακτεῖν καὶ λυττᾶν κατ' αὐτοῦ, τοὺς παμμιάρους ἐκείνους φονεῖς, μηδὲν ἐπὶ τῆς ἀηττήτου ψυχῆς κατισχύσαντας. γίνεται δ' οὖν ἔρως ἅπασι καὶ ἅμιλλα τοῖς παροῦσιν, ὅστις ἂν, ἐκείνου τί μέρος, ἢ μικρὸν ἢ μέγα, τοῦ παντίμου σώματος καὶ ἠγνισμένου, ταῖς ὑπὲρ Χριστοῦ βασάνοις· καὶ τοῖς οἰκείοις αἵμασιν, ἁρπάσας φθάσῃ· καὶ θησαυρίσῃ κάλλιστον ἑαυτῷ καὶ βιωφελέστατον κειμήλιον· ἢ τοῖς πανάγνοις ἐκείνου καὶ σεπτοῖς αἵμασιν, ἑαυτὸν καταχρίσῃ· καὶ κατὰ τῶν ἐσθημάτων ὧν περιέκειτο, ῥανίδας τινὰς ἐκεῖθεν δέξηται τοῦ βίου καὶ τῆς ζωῆς αὐτῷ περιβολὴν ἀσφαλείας καὶ ὁπλισμόν. καὶ πολλοί γε καὶ μέχρις αἱμάτων καὶ πληγῶν εἰς τοῦθ' ὡρμήθησαν, πρόθυμοι κοινωνοὶ τῶν ἀγώνων ἐκείνῳ καὶ συναθληταὶ· τῇ προθέσει πάντως καὶ τῷ
f. 312v ζήλῳ τῆς ψυχῆς· καὶ μερῖται τῆς | {τῆς} ὑπὲρ Χριστοῦ σφαγῆς τῷ μάρτυρι. παρῆσαν δὲ τηνικαῦτα καὶ παρέτυχον πάνυ τοι πλεῖστοι· καὶ τοῦτο γε οὐ μόνον διὰ τὸ τῆς πόλεως Ἀλεξανδρείας, ἐφ' ἧς οἱ ἀγῶνες τῷ μάρτυρι, ὡς πάντες ἴσμεν, ἀεὶ πολυπληθὲς ἀνθρώπων καὶ δι' ἐμπορίας· καὶ δι' ἄλλους πάντας ἄλλους, ἄλλοις προσήκοντας τρόπους· καὶ τὴν ἐπιδημίαν ἐκεῖσε ποιοῦντας ἐπίχρειον, ἀλλὰ πολλῷ γε μᾶλλον ἔτι συνήθροιζε πάντας ἡ φήμη

14,10 τῶν παρόντων V: ὡς τῶν παρόντων corr. De **15,19** τῆς[2] iteratum in V, del. De

τοῦ ἀνδρός· καὶ τὸ μέγα καὶ θαυμαστὸν ἔργον, τῆς ἀγωνίας καὶ ἀριστείας αὐτοῦ. καὶ οὐχ᾽ οἷόν τ᾽ ἦν πάντως οὐδένας τῶν ἐκεῖσε, τηνικαῦτ᾽ ἀνθρώπων ἔχειν ἠρέμα πρὸς τοσοῦτο θαῦμα τοῦ βίου καὶ πρᾶγμα γινόμενον ἄηθες· ἀλλ᾽ ἠπείγοντο πάντες, πρὸς τὴν καινὴν καὶ θαυμαστὴν θέαν· καὶ παντὸς γένους ἄνθρωποι· Ῥωμαῖοι τῶν διὰ τὴν πρεσβείαν ἧπερ εἴρηται· καὶ δι᾽ ἐμπορίαν παρατυχόντων τῇ πόλει· Ἰταλοὶ (καὶ τούτων γε πλήρης διὰ τὰς ἐμπορίας ἡ πόλις ἀεὶ), Ῥὼς ὡσαύτως ἐθάδες ἐκείνῃ· Ἄρραβες· Σύροι· αὐτόθεν τὲ, καὶ ἄλλοθεν ἐπίδημοι· καὶ Τριβαλλοὶ παρῆσαν, καὶ αὐτοὶ κατὰ χρείαν πρεσβείας, εἰς τὸν τῆς χώρας ἄρχοντα. καὶ τί ἂν, ἀπαριθμοίη τις, πάντας; καὶ πάντες γε ὅμως οὗτοι, παρῆσαν ὁμοῦ μετὰ σπουδῆς τοῦ θαυμαστοῦ πράγματος ἐκείνου· καὶ τῆς πάντας κατασχούσης φήμης, οὐ θεαταὶ μόνον, ἀλλὰ καὶ ἐρασταί· καὶ πάντες ἡμιλλῶνθ᾽ ὡς ἔφην, ὑπὲρ τοῦ φθάσας ἐκεῖθεν ἕκαστος λαβεῖν ὁτιοῦν, μέγιστον ὄντως πλούτου παρεμπόρευμα.

16. Ἀλλ᾽ ἐφθόνουν οὐ μόνον τῷ ἀριστεῖ καὶ στεφανίτῃ νεκρῷ καὶ τῆς τοιαύτης εὐδοξίας· καὶ περιφανείας, οἱ δυσσεβεῖς καὶ βάσκανοι φονευταί, ἀλλὰ καὶ τοῖς περὶ αὐτὸν οὕτω σπουδάζουσι· καὶ πληγαῖς παντοίαις ἀπωθοῦνται· καὶ τὰς ἐλπίδας αὐτοῖς καὶ τὸν ἔρωτα τῶν θαυμαστῶν ἐκεῖθεν κειμηλίων, αὐτίκα τέμνουσι· πυρὶ παραδόντες τὸ πάντιμον ἐκεῖνο σῶμα· καὶ τὸν χοῦν ἀποδόντες τῷ πρώτῳ χοΐ· καὶ τὴν γῆν τῇ γῇ, κατὰ τὴν ἀρχαίαν δεσποτικὴν ἀπόφασιν, ἧς τῷ δεσπότῃ τοῦ παντὸς, ὀλίγος ὁ λόγος, εἰ μὴ κατὰ τῆς | γενναίας ἐκείνης καὶ ἀηττήτου ψυχῆς κράτος ὁτιοῦν f. 313 λαβόντες· ἧς ὁ πᾶς λόγος τῷ δεσπότῃ, καὶ τῷ αὐτοῦ καὶ ὑπὲρ αὐτοῦ μαχητῇ τὲ καὶ νικητῇ. ᾗ δὴ καὶ τῶν τῇδε μεταστὰς ἐκεῖνος εἰς οὐρανοὺς, τοῖς ὁμοτίμοις συγκαταλέγεται, καὶ πάλαι πρότερον συνάθλοις· τῆς μακαρίας ἐπειλημμένος καὶ ἀνόσου καὶ ἀνωλέθρου, ζωῆς καὶ πολιτείας, περὶ τὴν θείαν Τριάδα· καὶ συναγάλλεται τούτοις καὶ συγχορεύει· καὶ συναπολαύει τῆς ἐφετῆς θεωρίας· καὶ τελεῖται τὰ θεῖα μυστήρια· φθάσας προεισενεγκὼν εἰς τὸ οὐράνιον

28 an πρὸς ⟨τὸ⟩ τοσοῦτο? **33** Ἄρραβες V, servavimus: Ἄραβες De **36** ἀπαριθμοίη corr. De: ἀπαριθμείη V **16,2** καὶ[1] V[1] s.l. **8** εἰ V[2] in ras.; an οἱ? **15** συγχορεύει V e corr. | post τῆς ras. unae litterae in V

15,28 cf. Or. 10, 44, 15–19 **16,6–7** Gen. 3, 19

ἄνω θυσιαστήριον, δεκτοὺς καρποὺς καὶ θύματα τέλεια· καὶ ποθεινὰ τῷ σωτῆρι καλλιερήματα· τοὺς οἰκείους καμάτους· τὰ οἰκεῖα αἵματα, καὶ τὴν πρόθυμον ὑπὲρ αὐτοῦ σφαγὴν, καὶ τῆς αὐτοῦ θεοσεβείας καὶ πίστεως.

17. Ἐκεῖσε δὴ λοιπὸν ἔπειτα νῦν τοῖς ἐκ τοῦ παντὸς αἰῶνος περιβοήτοις καὶ θαυμασίοις, ἐκείνοις ἀνδράσι· καὶ τῷ πατριάρχῃ σύνεστιν Ἀβραάμ· εἴτουν ἐν τοῖς κόλποις ἔστιν αὐτοῦ, ὡς τὰ ἱερά φασι λόγια· πλὴν ὅτι ὁ μὲν, τὸν υἱὸν θῦμα προσήνεγκε καὶ πρόθυμος ἦν, τῷ Θεῷ καλοῦντι· ὅ δ' ἑαυτὸν ἑκών γε εἶναι, τῷ Θεῷ, καὶ μάλ' αὐθόρμητος ἐθύετο. μετὰ τοῦ Δανιὴλ εἵρχθη· καὶ μετὰ τῶν θαυμαστῶν ἐκείνων τριῶν παίδων, τοῖς κινδύνοις εὐθαρσὴς ἔρριψεν ἑαυτόν, μετὰ τῆς αὐτῆς εὐελπιστίας εἰς Θεὸν καὶ πίστεως. ἀλλ' οἱ μέν γε καὶ αὐτόθεν ἀντελάμβανον αὐτίκα, τῆς καλλίστης προθέσεως καὶ ἀνδραγαθίας, τὴν ἀπαλλαγὴν τῶν χαλεπῶν· καὶ ζῶντες αὖθις, ἐδόξαζόν τε καὶ ἀνύμνουν τὸν ῥύστην· ὅ δ' εἰς τέλος ἐνεκαρτέρει τοῖς δεινοῖς καὶ συνεπέρανε τὴν ἀγωνίαν αὐτῇ τῇ ζωῇ· καὶ ὥσπερ ζῶν, καὶ θανὼν ὅμως, ἀνύμνει καὶ τὸν δεσπότην ἐπεκαλεῖτο. ἀλλὰ καὶ πᾶσιν ἄλλοις, ὅσοι πρὸς τῆς τοῦ Χριστοῦ σωτηριώδους οἰκονομίας ἐν ἄλλοτ' ἄλλοις καὶ διαφόροις καιροῖς τε καὶ πείραις, μέχρι θανάτου, τὴν ὑπὲρ τοῦ καλοῦ καὶ τῆς ἀληθείας ἔνστασιν ἐπαρρησιάσαντο· καὶ αὐτῷ τῷ τοῦ Χριστοῦ βαπτιστῇ καὶ προδρόμῳ κήρυκι τῆς ἐπιδημίας αὐτοῦ, συνήθλησε τῇ πίστει· f. 313v καὶ τὸ σῶμα | παραπλησίως ἐπέδωκεν ἐρρωμένως τῷ θανάτῳ καὶ τῇ σφαγῇ. συνεκήρυξε τοῖς θείοις τοῦ Χριστοῦ μαθηταῖς καὶ ἀποστόλοις, ἐν μέσῳ ἐθνῶν καὶ συναγωγῇ λαοῦ πολλοῦ καὶ βαρέος, τὸ δόγμα τοῦ Χριστοῦ· καὶ ὡς πρόβατον ἐν μέσῳ λύκων κατασχεθεὶς καὶ ἀγόμενος, πάντ' ἔφερε γενναίως πάθη, χαίρων ἐπὶ τοῖς ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ στίγμασι. θέατρον ὄντως καὶ αὐτὸς κατ' ἐκείνοις ἐγένετο, μεγάλου θαύματος· καὶ καινότατον καὶ ἄηθες ἤδη, πολλῶν τῶν ἐτῶν· ἀγγέλοις τὲ συνηδομένοις

17,19 ἐπέδωκεν scripsimus: ἐπέδωκε VDe **19–20** τῷ θανάτῳ καὶ τῇ σφαγῇ ἐρρωμένως primum scripsit, deinde litteris βα suprascriptis ordinem invertit V

17,2–4 Luc. 16, 23 **3** Luc. 16, 22 **4–5** Gen. 22, 1–19 **6–11** Dan. 3, 1–30; 12, 23–42 **17–20** Marc. 1, 1–8; Luc. 1, 5–80 et 3, 1–20 **21** Deut. 29, 15; Is. 24, 13; Ezech. 5, 5 | Ps. 61, 19; Ier. 33, 17 **22** Mt. 10, 16 **24** Gal. 6, 17

καὶ συναιρομένοις τῇ αὐτοῦ παρρησίᾳ καὶ πάλῃ· καὶ ἀνθρώποις, τοῖς γε νοῦν ἔχουσιν, ἡδομένοις ὡσαύτως καὶ βελτιουμένοις, τῷ τῆς αὐτοῦ θεοσεβείας ζήλῳ· καὶ τῇ γεννικῇ καρτερίᾳ· καὶ ἀριστείᾳ· καὶ νίκῃ. συνημιλλήθη τοῖς θαυμαστοῖς ἐκείνοις καὶ μεγαλωνύμοις μάρτυσι τοῦ Χριστοῦ· καὶ ἀγωνισταῖς· καὶ μετὰ τῆς αὐτῆς ὁρμῆς καὶ προθέσεως, τὴν ὑπὲρ τοῦ δεσπότου παρρησίαν ἀναλαβόμενος· καὶ τὸν θυρεὸν τῆς πίστεως περιβαλόμενος, ἐναντίον φονευτῶν καὶ τυράννων, τῆς μαρτυρίας, εὖ μάλα τὸ στάδιον εἰσέδυ· καὶ διήνυσεν εἰς τέλος, ἄτρεπτος καὶ ἀνάλωτος, διακαρτερήσας τοῖς δεινοῖς· καὶ πρὸς πᾶσαν ἐργώδη καὶ χαλεπὴν πεῖραν καὶ προσβολήν, καὶ αὐτὸς κατ᾿ ἐκείνους ὡσαύτως ἐσκευασμένος, γεννικῷ φρονήματι εἰ καί τινες ἐκείνων πρὸς πλείους βασάνους ἐπενεχθείσας, οὕτω δὴ συμβάν, εὐτύχησαν ἐπιδείξασθαι τὸ κράτος τῆς γνώμης· καὶ τὴν ἀήττητον ἀριστείαν· πλήν γε ὅτι κἀνταῦθα λέγειν ἔχομεν, τῷ νέῳ τούτῳ μαχητῇ καὶ στεφανίτῃ καὶ μετ᾿ ἀληθείας ἀποδεικνύειν, τοῖς εὐγνώμοσι θεαταῖς καὶ κριταῖς τῶν ἀγώνων, ὡς ἄρα καὶ αὐτὸς μετὰ τῆς αὐτῆς οἴκοθεν τῶν λογισμῶν παρασκευῆς, φέρων ἔδωκεν ἑαυτόν, εἰς πᾶσαν δὴ χαλεπῶν πεῖραν· καὶ τῶν κατεπιχειρούντων τῆς αὐτοῦ πίστεως βάσανον, εἰ καὶ τοῦ τέλους καὶ τῆς νίκης, λαγχάνει τάχιον· καὶ πρὸς αὐτοὺς μεθίσταται· καὶ τὴν ἐπηγγελμένην καὶ αὐτῷ, σὺν αὐτοῖς λαμβάνει κληρονομίαν· καὶ συναπολαύει νῦν αὐτοῖς ὄντως, ἐν τοῖς ἀγαθοῖς τοῦ Πατρός. ἐπιγινώσκει γὰρ | τοὺς αὐτῷ γνησί- f. 314
ους, ὁ πάντων δημιουργὸς καὶ δεσπότης· καὶ ὧν ἐν ταῖς καρδίαις τὸ Πνεῦμα γνωρίζει τὲ καὶ κράζει, τὸ τῆς αὐτοῦ πατρότητος ὄνομα, ὡς δ᾿ υἱούς, λοιπὸν ὄντας αὐτοῦ, τῇ μεγαλοδωρεᾷ τε καὶ χάριτι κατὰ τὸν ἀποστολικὸν ἀληθῆ καὶ θεῖον λόγον, καὶ κληρονόμους ποιεῖται καὶ συγκληρονόμους Χριστοῦ· καὶ προσλαμβάνει γε αὐτοὺς μετόχους, τῶν ἀσείστων καὶ ἀνεννοήτων παντάπασιν ἀγαθῶν· ἃ πάλαι γε, αὐτοῖς ἡτοιμάσατο. καὶ προσλαμβάνει γε, οὓς καὶ προλαβὼν φθάσας προέγνω, καὶ οὓς ἐδικαίωσε καὶ προώρισεν· ὥσπερ δὴ καὶ τοὐναντίον αὖθις ἐπιγινώσκει καὶ ἀπωθεῖται τοὺς ἀλλοτρίους καὶ νόθους· καὶ ἀναξίους αὐτοῦ τῆς λαμπρότητος· καὶ παραπέμπει πρὸς τὸ ἡτοιμασμένον σκότος τῷ διαβόλῳ καὶ τοῖς αὐτῷ προσήκουσιν· οἵ, καὶ υἱοὺς αὐτῷ· τῷ τῆς κακίας

33 Eph. 6, 16 **49–54** Io. 10, 14–15; Gal. 4, 6; Rom. 8, 17 **57–58** Rom. 8, 29 **60–61** Mt. 25, 41

ἀρχηγῷ καὶ πατρί, σφᾶς αὐτούς, κακοὶ κακῶς· ἑκόντες γε ὄντες εἰσεποιήσαντο.

18. Ἀλλ' ὅπερ ἐλέγετο, τοὺς οἰκείους ἐπιγινώσκει, ὁ σοφὸς καὶ χρηστὸς δεσπότης· καὶ τοῖς εὐγνώμοσιν αὐτοῦ δούλοις καὶ πιστοῖς ἐπ' ὀλίγων ἀναφανεῖσι, καὶ τὰ μέγιστα καὶ πλεῖστα πιστεύει καὶ τελεώτατα· καὶ εἰς τὴν ἀνέκφραστον αὐτοῦ χαρὰν, εἰσάγει καὶ εἰσοικίζεται, ὡς ἄρα καὶ νῦν εἶναι τοῖς καθ' ἡμᾶς τοῖσδε χρόνοις, καὶ τόν γε δὴ νέον αὐτοῦ θεράποντα προσλαμβάνει καὶ οἰκειοῦται καὶ καθίστησιν ἐπὶ πολλῶν καὶ πιστὸν ἀναδείκνυσιν ἐν τῷ οἴκῳ αὐτοῦ· καὶ συντάττει τοῖς αὐτοῦ λογάσι τὲ καὶ γνησίοις. ὢ μακάριος ὄντως ἐκεῖνος ἄνθρωπος, καὶ πλειστάκις τοῦτ' ἀκούειν ἄξιος, καὶ οὐ τοῦτο μόνον, οὐδὲ τοῦτο μᾶλλον, ἢ καὶ σφόδρα θαυμάζειν ἄξιος, τῆς συνέσεως καὶ τῆς ἀσφαλοῦς οἰκονομίας· ὃς ἐν ὀλίγῳ χρόνῳ καὶ βραχείᾳ τῆς βιοτῆς ἀκμῇ, πόνοις αὐθαιρέτοις πρόθυμος, πάντων ὑπερφρονήσας τῶν τῇδε, τάχιστ' ἀλλάττεται, τοσαύτην εὐκληρίαν καὶ μόνιμον, κατὰ παντὸς αἰῶνος ῥᾳστώνην· καὶ πλοῦτον καὶ βασιλείαν ἀσάλευτον. ὢ τῆς καλῆς ἐμπορίας. ὢ τῶν καλλίστων κερδῶν καὶ συναλλαγμάτων. ὢ τῆς ἐλευθερίου καὶ εὐγενοῦς, πάντων τῶν ὄντων, καὶ αὐτοῦ γε τοῦ σώματος ἀφειδοῦς
f. 314v μὲν | ἐπιδόσεως· ἀλλά γε δὴ καὶ τῆς τῶν ἀρρήτων ἐκείνων καὶ ἀφθάρτων αὐτίκα αὐτόθεν ἀντιλήψεως, πάντα λογισμὸν ὑπερβαινούσης καὶ μήποτε δή· μὴ δ' οἷστισι μέτροις ὁριζομένης. ὢ τῆς ἐπιτυχίας τοῦ καιροῦ τῶν γενναίων ἐκείνων ἄθλων· καὶ τοῦ καλλίστου τῶν ἀγώνων, ὃν ἠγώνισται· καὶ τετήρηκε τὴν πίστιν ἀζήμιον· καὶ τὸν δρόμον καὶ τὴν ὁρμὴν κατὰ σκοπὸν, εἰς τέλος διήνυσε καὶ τὴν νίκην ἤρατο· καὶ νῦν εὑρίσκει τοὺς λαμπροὺς στεφάνους καὶ ἀκηράτους τοὺς ἀποκειμένους τοῖς ἀριστεύσασιν, οὕτως ὑπὸ τοῦ φιλοτίμου καὶ δικαίου κριτοῦ.

19. Ἀλλ' ὦ θαυμαστὲ καὶ καλλίνικε μαχητὰ καὶ στεφανῖτα Χριστοῦ· σὺ μὲν δὴ κάλλισθ' ὧν ἕνεκεν ἠγώνισαι καὶ ἠρίστευσας, τετύχηκας πάντως καὶ ἀπολαύεις νῦν ἄνω περὶ τὸν δεσπότην ἐν οὐρανοῖς· καὶ πόθῳ θερμοτάτῳ τῆς ἀληθοῦς πίστεως· καὶ λογισμῶν κράτει καὶ γνώμῃ μεγαλόφρονι πάντα παριδὼν τὰ τῇδε· καὶ πάντα παραδραμὼν καὶ τάχιστ' ἀπαλλάξας· καὶ αὐτοὺς

18,2–7 Mt. 25, 21; Luc. 19, 17 **6–8** Num. 12, 7 **22–25** II Ti. 4, 7

τοὺς δεσμοὺς ὑπεραρθεὶς τοῦ σώματος ὑπερφυῶς, ἀνάλωτος περιγενόμενος, τῆς μακαρίας καὶ ἀνωλέθρου λήξεως ἐπελάβου· καὶ πολιτείας ὡς ἐπόθησας. τὸν δέ γε τὰ σὰ μάλιστα ποθήσαντα τόνδ᾽ ἐμὸν πάντα θαυμαστὸν βασιλέα· καὶ τὴν σὴν μεγίστην ταύτην ἀνδραγαθίαν διαφερόντως θαυμάσαντα καὶ ὅσαι ὧραι θριαμβεύοντα καὶ καλλυνόμενον ταύτῃ· καὶ τρίβοντ᾽ ἀεὶ καὶ τρυφῶντα (πῶς ἂν εἴπῃ τις;), ὑπερβαλλόντως, ἐπὶ πάσης ἀκοῆς καὶ ὄψεως· τὸν ὄντως τῶν σῶν κατορθωμάτων καὶ τῆς σῆς νίκης συνετὸν ἐπιγνώμονα· καὶ ἐπαινέτην καὶ ἐραστὴν ἀξιόχρεων· καὶ τῆς σῆς σπουδαστὴν εὐδοξίας οὐκ οἶδ᾽ ὡς εἴ τινος καὶ ἄλλου παντὸς πράγματος· ἢ ὡς εἴ τις καὶ ἄλλος ὁτουοῦν ἄλλου, τῶν ἁπάντων (ἐπειδὴ καὶ λίαν ἐτιμήθησαν ὄντως αὐτῷ, οἱ κατὰ σὲ τοῦ Θεοῦ φίλοι· καὶ ὅλως αὐτῶν ἤρτηται· καὶ ζῆν· καὶ πνεῖν αὐτοῖς ὅλως ἔχει), τὸν καὶ πάντας ἀνθρώπους εἰς τὸ περὶ σὲ θαῦμα τὸν νοῦν, ὡς οἷόν τε προσέχειν ἐξάπτοντα· καὶ μὴ συγχωροῦνθ᾽ ὅλως ἔχειν ἠρέμα, τοῦτον ἄρα δὴ καὶ | ἄνωθεν, ὅμως ἐποπτεύοις· καὶ f. 315 πρόθυμος αὐτῷ γίνοιο· καὶ εἴης ἐν πᾶσι παραστάτης καὶ πρόμαχος· καὶ παρείης ἀεὶ κοινωνὸς αὐτῷ, πάντων ἔργων καὶ βουλευμάτων ἀνύτειν εὖ, καὶ κατὰ σκοπὸν αὐτῷ καὶ βούλησιν. βούλησις δ᾽ αὐτῷ (καὶ πάντες ἴσασι ὅσοις τοι νοῦς σωφρονικὸς καὶ μὴ τῆς ἀληθείας δύσνους καὶ βάσκανος), ὡς ἄρα βέλτιστον ἄν, εἴη, πάντα τρόπον τῇ ἀρχῇ· καὶ πάντ᾽ εὖ πράττειν, τοὺς ὑπηκόους ἡμᾶς· καὶ ὅλως γε πάντας, τοὺς ἐπωνύμους πανταχοῦ τοῦ Χριστοῦ. καὶ ἀντιδιδοίης αὐτῷ, τῆς περὶ σὲ τοσαύτης προθυμίας αὐτοῦ καὶ σπουδῆς, τὴν σὴν ὑπὲρ αὐτοῦ πρὸς Θεόν, ᾧ νῦν παρρησίᾳ παρίστασαι, σπουδήν· κἀντεῦθεν ἵλεων αὐτῷ τὸν κοινὸν δεσπότην, καὶ πάσης εὐπραγίας· καὶ πάσης εὐκλείας, εἴης αὐτῷ βοηθὸς, εἰς Θεὸν καὶ μεσίτης, οὗ ζηλωτὴς σύ· καὶ μιμητὴς πάντως, εἰς δύναμιν ὡς ἔργοις ἔδειξας· ὃς ἀντιδοξάζει τοὺς αὐτὸν δοξάζοντας, καὶ πλουσίως ἀμείβεται. εἰ δέ σοι καὶ τὸ παρὸν τόδε καθ᾽ ἡμᾶς τοῦ λόγου δῶρον, λόγου τινὸς ἄξιον, καὶ φορά τις δεκτὴ, συμμετρουμένῳ πάντως τὴν δύναμιν, ἢ μᾶλλον τὴν εἰς τὸ καλὸν τῆς ψυχῆς πρόθεσιν, καὶ τοῦτο γὰρ δὴ πάντως σὸν ἂν εἴη καὶ ὄντως κατὰ Θεοῦ μίμησιν, καὶ τοῦτο τοὐμοῦ βασιλέως ἂν εἴη προτρεψαμένου. καὶ νομίζομεν γὰρ πρὸς πάντά οἱ παρακαλοῦντι κατ᾽ ὀφειλὴν πείθεσθαι· τοσοῦτον εὖ εἰδότες καὶ ἀεὶ συλλογιζόμενοι, τοῖς

19,18–19 Ps. 138, 17 **22** cf. Greg. Naz., Or. 43, 82, 7 (p. 304) **35** I Reg. 2, 30

πράγμασιν αὐτοῖς, ὡς ἄρα πάνθ᾽ ἡμῖν ἐξ αὐτοῦ χρηστὰ καὶ τῶν βελτίστων ἡμῖν ἁπάντων καὶ πάντα τρόπον ἡγεμών ἐστι· καὶ οὐδενὸς ὅτου μὴ τοιούτου τυγχάνειν ἔχομεν· εὖ μάλ᾽ ἑπόμενοι τοῖς αὐτοῦ νόμοις καὶ λόγοις· καὶ τοῖς κατ᾽ αὐτὸν μάλισθ᾽ ὑποδείγμασι· καὶ οὐκ αὐτοῦ μᾶλλον χάριν, αἱ πρὸς πάντα παρακλήσεις αὐτοῦ· ἢ ἡμῶν γε αὐτῶν μᾶλλον, ὅπως ἂν ἐν καλλίστοις εἴημεν· καὶ ἀεὶ βέλτιον πράττοιμεν, καὶ τὰ θεῖα καὶ τἀνθρώπινα πράγματα· καὶ τοῦθ᾽ ἡμῖν εἴη χρόνοις ὅτι πλείστοις· τοῦ πάντων ἀγαθῶν ἀνθρώποις αἰτίου Θεοῦ, διδόντος διὰ σοῦ βραβευτοῦ.

44 cf. Metoch., Carm. 1, 754 (p. 31)

13

Ἔλεγχος κατὰ τῶν ἀπαιδεύτως χρωμένων τοῖς λόγοις f. 315[v]

1. Ἔνιοί μοι δοκοῦσι πάνυ τοι δοξοσοφοῦντες· καὶ ἃ μὴ δύνανται μὴ δ' ἔχουσιν ἑαυτῶν ποιούμενοι· καὶ τοὺς ἄλλους πειρώμενοι πείθειν καὶ σοφίζεσθαι περὶ ἑαυτῶν ὡς ἄρα τῶν πολλῶν εἰσιν ὑπέρτεροι· καὶ γίγαντες τὴν σοφίαν καὶ βαθύπλουτοι τῶν αὐτῆς ἱερῶν τε καὶ κειμηλίων, κακῶς ἔπειτ' ἀπαλλάττειν· καὶ μὴ δὲ τοσοῦτο μόνον ἑαυτοῖς γίνεσθαι χρήσιμοι, ὥστε λανθάνειν οἰκονομεῖν· ἀλλὰ μεγάλῳ θάρσει καθάπαξ ἐκτρεπόμενοι καὶ ὑβρίζοντες ἀπρονόητοι τῆς κατ' αὐτοὺς ἀμαθίας, γέλωτα μὲν μάλιστ' ὄφλουσι πλατὺν τοῖς νοῦν ἔχουσι· βιάζονται δ' ὅμως καὶ κινοῦσι καὶ τοὺς ἐλέγχους ἐφ' ἑαυτούς. κἂν μέν γε ἦν ὁπηοῦν χώρα φιλανθρωπίας πρὸς αὐτοὺς καὶ παρεῖχον ὦτα τοῖς βουλομένοις βοηθεῖν, σωφρονικῶς ἂν ἐχρῶντο· καὶ τάχα τινὲς τῶν σπουδαίων ἀνθρώπους ἄνθρωποι τῆς ἀμαθίας οἰκτείροντες, μεταπείθειν ἠξίουν αὐτοὺς τὰ βέλτιστα· καὶ ὥστε τῶν μὴ προσηκόντων αὐτοῖς ἀπέχεσθαι. νυνί δ' οὐκ ἔστι πρὸς αὐτοὺς ὁτιοῦν φιλάνθρωπον ἐπιχειρεῖν, ὡς ἄρα μέχρι παντὸς χρῶνται. καὶ τοίνυν ἐξ ἀνάγκης λείπεται κατελέγχειν τῆς αὐθαδείας τοὺς ἄνδρας· ἀκαίρῳ τοιαύτῃ δὴ ῥύμῃ φερομένους, περὶ τὰ σοφίας πράγματα. τάχ' ἄν, ταῖς ἐπιπλήξεσιν, ἑαυτῶν ὁπηοῦν γενόμενοι, ἀμείνους εἶεν τουλοιποῦ· κἂν εἰ μηδὲν ἄλλο πλέον κτήσαιντο, τοσοῦτο δὴ ξυνορῶντες, ὡς οὐκ ἀγνοοῦνται τὰ μὴ ὄντα προσποιούμενοι· καὶ πειρώμενοι μὲν ἀπατᾶν τοὺς πολλούς· μάλιστα δ' ἑαυτοὺς πρώτους ἀπατῶντες.

2. Πόθεν γὰρ ὑμῖν ἐπῆλθε φαίη τις ἄν, ἀδίδακτον ἢ αὐτοδίδακτον ὑμῶν αὐτῶν, ἐπιδείκνυσθαι τοσαύτην σοφίαν; οὐ γὰρ ἴσμεν γε, μήτε μεμαθηκότας ὁτουοῦν τῶν παιδεύειν δυναμένων· μήτε πλεῖστον δὴ πονοῦντας, ἢ πονήσαντας, ἐπὶ τῇ κτήσει τῆς σοφίας. οὐκ ἔστι δὲ κτήσασθαι μὴ πονήσαντας· μὴ δὲ προστυχόντας

tit. Ἔλεγχος – λόγοις V[2] | ιγ´ V[2] in marg. **2,5** δὲ V: δὴ Se

tit. Niceph. Choumn., Ad malevol. (p. 381, 18–19) **2,2** cf. Phil. Iud., De sacr. 79 (I, p. 221, 18–21) **2–3** Niceph. Choumn., Ad malevol. (p. 367, 15–23) **2–11** Ibid. (p. 378, 12–17)

παιδευταῖς· μὴ δὲ μαθεῖν φθάσαντας, ὀτὲ, τῶν καιρῶν ἑλομένους. ἀλλ’ ὑμεῖς γε μόνον ὡρμηκότες, καὶ πλησθέντες αὐτόθεν πνεύματος· καὶ πεφυσσημένοι θράσους ἀσχέτου, τῆς ὑμετέρας ἀμαθίας οὐκ ἐπιστρέφεσθε, ἀλλ’ αὐτοσχεδιάζετε, ὅσα καὶ ἐκ χρηστηρίων ἀναδιδόντες καὶ ὀργιάζοντες, ἃ μήποτ’ ἄλλως ἔστιν, ὅτι μὴ πόνου καὶ ἀσκήσεως ἐπιμελοῦς ἔργα.

3. Τοιγαροῦν βραχέαττα ῥησείδια τῶν Ἀριστοτέλους· ἢ Πλάτωνος ἁρπάσαντες περὶ τῶν ὄντων· ἢ περὶ φύσεως· ἢ ὕλης· ἢ κινήσεως, αὐτόθεν ἐπανίστασθαι τοῖς σοφοῖς ἐκείνοις, ἀκαιρίᾳ f. 316 πάσῃ· καὶ ἰταμῶς, ἀξιοῦτε· καὶ | πάντα κρεῖττον· ἢ κατ’ ἐκείνους εἰδέναι, τά τ’ ἐόντα· τά τ’ ἐσόμενα· πρό τ’ ἐόντα· καὶ πομπεύετε κατὰ τῆς ἀγνοίας· καὶ ἀβελτηρίας ἐνίων οὐκ οἶδ’ ὥντινων· οὐδ’ ὅσων· τοῖς πλείστοις ἀμέλει· καὶ ὧν ὁτιοῦν ὄφελος ἐγγελώμενοι· οἷς ὅτι μέτρι’ ὡς ἔφην δὴ ῥημάτια τῶν σοφῶν ἐκείνων ἀνδρῶν ἀποσυλήσαντες· καὶ μὴ δὲ ταῦτ’ ἐν τῷ καθεστῶτι τῆς διανοίας πήξαντες· ἀλλ’ ὥσπερ ἐν ἀγγείῳ δή τινι κενῷ περιδινούμενα φέροντες καὶ πλανώμενα παντάπασιν ἀνιδρύτως, ἔπειτα τὸ πᾶν ἔχειν τῆς κατὰ τῶν ὄντων γνώσεως, ἑαυτοὺς τὲ πείθετε· καὶ τοὺς ἄλλους πείθειν πειρᾶσθε. καὶ τὰ ἐκείνων τῶν ἀνδρῶν λαμβάνοντες καὶ λαμπρυνόμενοι τοῖς ἐκείνων ἃ καταθλᾶτε καὶ σπαράττετε· ἢ μᾶλλον ἐρεῖν ἄλλ’ ἄλλοις συγκολλᾶτε φαύλως ἀκαιρίᾳ πάσῃ, παλαίειν λοιπὸν κατ’ αὐτῶν ἐπιχειρεῖτε· καὶ τὴν νικῶσαν ἑαυτοῖς ψηφίζεσθε· ἀγνοοῦντες τοῖς ἀκροωμένοις καταμωκώμενοι· καὶ ἀσελγαίνοντες ὑπ’ ἐσχάτης ἀμαθίας, ἥδιστα ὑμῖν αὐτοῖς· καὶ διὰ τὴν ἀσχήμονα βακχείαν, πάσης ἀηδίας τοὺς προστυγχάνοντας πληροῦντες. καὶ μέγα ὄντως ὅστις ὁρῶν καὶ ἀκούων αὐτόθεν οὐ ναυτιᾷ.

4. Ἀλλ’ ἡμεῖς γε ὦ βέλτιστοι καὶ ἄνδρες ἥρωες ὑμεῖς, ὀλίγους ὥς γε φαίητ’ ἄν, ἡμᾶς αὐτοὺς εἰδότες, καὶ σωφρονεῖν δυνάμενοι, μέγα τιθέμεθα τὰ περὶ τὴν φιλοσοφίαν σπουδάσματα τῶν ἀνδρῶν

6 ὀτὲ V: ὀψὲ coni. Se **8** πεφυσσημένοι V, servavimus: πεφυσημένοι Se
3,5 πρό τ’ V^2Se: πρῶτ’ V **8** post ὅτι lacunam statuit Se

3,1–4 Ibid. (p. 376, 6–11) **4–5** Hom., Il. 1, 70 **13–15** cf. supra, Or. 10, 36, 21–24

ἐκείνων, εἰς τὸ ἀκριβέστατον ἀσκῆσαι· αὐτοί τε ἀκροαταὶ περὶ αὐτῶν διδασκόντων ἄλλων γενόμενοι καὶ αὐτοὶ πλεῖστον δὴ φιλοπονήσαντες τῇ πρὸς αὐτὰ μελέτῃ, ὥστε καὶ θαρρεῖν ἀμέλει βοηθεῖν οἷοι τ' εἶναι πρὸς τὴν αὐτῶν κατάληψιν ἄλλοις τῶν ἐλλογίμων· καὶ περὶ φιλοσοφίαν σπουδαζόντων· τὴν μὲν περίνοιαν τῶν σοφῶν ἐκείνων ἀνδρῶν ἐν τῇ τῶν ὄντων θεωρίᾳ καὶ ζητήσει καὶ βασάνῳ τῆς φύσεως καὶ τῶν τῆς φύσεως εὖ μάλ' ἀξιοῦντες θαυμάζειν· οὐκ ὀλίγα δὲ τῶν δογμάτων εὐεκτούσῃ προλήψει τῆς καθ' ἡμᾶς χριστιανικῆς θεοσεβείας ἀποτρεπόμενοι καὶ μυσαττόμενοι ταῖς ἀληθείαις ἐναντίως ἔχοντα. οὐκ ὠθοῦμεν δ' αὐτοὺς ἀσχημόνως· οὐδ' ἐπὶ κόρρης ῥαπίζομεν· οὐδὲ περιφέρομεν ὡς Ἀρχιλόχου πιθήκους κατὰ τὸν λόγον· ὡς ἄρ' ὑμεῖς οἱ πάντα γενναῖοι· καὶ πάντων τῶν ἀπ' αἰῶνος ὑπέρτεροι τῇ πλάνῃ τῆς ἀμαθίας. οἵ γε τοσούτῳ δὴ πόρρω τοῦ κατεπιχειρεῖν ἐκείνων ἐστὲ ὥστε καὶ πολλοῦ γε ὑμῖν δεῖ, πρὸς τὸ πάντα τὰ ἐκείνων εἰδέναι. καὶ ὡς τοῦθ' οὕτως ἔχει· καὶ ἀκριβῶς εἰδότες φαμὲν ὃ φαμὲν, εὖ μάλ' ὑμῖν συντιθέμεθα· καὶ παρρησί' ἐν πολλοῖς ἐπόπταις καὶ μάρτυσιν, ὡς εἰ ἄρ' ἀκριβῶς εἰδότας ὑμᾶς αὐτοὺς ἀποδείξετε· τὸν ἀριθμὸν αὐτὸν μόνον, τῶν συνταγμάτων, ἃ τοῖς σοφοῖς ἐκείνοις ἀνδράσιν ἐπενοήθη· καὶ ἥτις ἑκάστῳ πρόθεσις· καὶ τί βούλεται· καὶ τί περαίνει (καὶ τί λέγω πλέον;), εἰ ἄρ' ὑμῖν ἐξέσται τὰ τῆς λογικῆς Ἀριστοτέλους βιβλία· κατ' ὄνομα διελθεῖν αὐτόθεν πυνθανομένοις· καὶ τἀπιγράμματ' αὐτῶν μόνα διερμηνεῦσαι τί δηλοῦν ἔχει, ἕτοιμοι πάσης ἡμεῖς αὐτίκα αὐτόθεν ὑμῖν | ἐξίστασθαι σοφίας· καὶ πάντα μόνους κρίνειν ὑμᾶς εἰδέναι· καὶ οὐ τῶν νῦν μόνων σπουδαίων, ἀλλὰ καὶ εἴ τις τὸν ἀεὶ χρόνον κατὰ σοφίαν ἐκλόγιμος ἀνὴρ, ἁπάντων ὑμᾶς ἀγορεύειν ταπρῶτα φέρεσθαι. f. 316v

5. Οὕτω δὴ πάνυ τοι περὶ τῆς ὑμῶν ἀμαθίας, ἀκριβῶς εἰδέναι πεπείσμεθα· κἂν εἰ ἔξαρνοι γίγνοισθε· καὶ δεικνύητε ψευδομένους ἡμᾶς ἔργοις ἐρευνώμενοι, μάλ' ἕτοιμοι δίκας ὑπέχειν ἡμεῖς· καὶ συκοφάνται κατὰ πάντων ἀνθρώπων κηρύττεσθαι. ἀλλ' οὐκ ἄν, εἴη τοῦτο (πολλοῦ γε δεῖ), καὶ πολλοῖς πειρωμένοις, ἔσται δῆλον·

4,12 χριστιανικῆς V²Se: χριανικῆς V **27** ἡμεῖς Se: ὑμεῖς V

4,15 cf. Ael. Arist., Or. 46 (p. 398, 9–10) **24–28** Niceph. Choumn., Ad malevol. (p. 375, 14–18)

καὶ ὑμῖν αὐτοῖς ἐν ὑμῖν κριταῖς εὖ οἶδα, πολλῷ μάλιστα δῆλον. εἰ δὲ μή, χαλεπώτερον ἂν ὑμῖν νοσεῖν εἴη, τῷ μὴ δὲ συναισθάνεσθαι τῆς ὑμετέρας ἀμαθίας καὶ νόσου· μὴ δ' ἐπαΐειν ὅλως ὅτι νοσεῖτε· παραπλήσιον ὥσπερ τοὺς μελαγχολῶντας ὁρῶμεν, μέγιστα νοσοῦντας αὐτοὺς μάλιστα· καὶ μὴ κατὰ τοὺς ἄλλως νοσοῦντας· συλλογιζομένους περὶ τῆς αὐτῶν νόσου· καὶ ζητοῦντας πάντως ῥᾷον ἐντεῦθεν γενέσθαι· καὶ ποθοῦντας ἀπαλλαγήν. τῷ ὄντι γὰρ καὶ ἰατρῶν φασι παῖδες, βαρύτερα καὶ παντάπασιν ἐργώδη μεταχειρίζειν νοσήματα, ὅταν οἱ νοσοῦντες οὐδ' ἐπαΐωσιν ὅτι νοσοῦσιν. ἀλλ' ὑμῖν γε οὐ καθάπαξ ἡμεῖς ἐπαχθεῖς· ἀλλὰ ξυγχωροῦμεν μὴ ἀγνοεῖν, ὅτι ἀμαθῶς ὧν ἔφημεν ἔχετε· ὧν καὶ ἀνήκοοι παντάπασιν ἐστὲ, εἰ καὶ προσποιεῖσθε κράτει φύσεως πάντ' εἰδέναι· κἀκ μικρῶν τῶν ἀφορμῶν τῆς γνωστικῆς πάσης καταλήψεως ἱκανῶς ἔχειν· ὥστε καὶ κατολιγωρεῖν ὧν μὴ ἴστε· ὡς ἄρ' εἰδότες εὖ μάλα καὶ δυνάμενοι διὰ βλακείαν καὶ τὸ μὴ πεφυκέναι πονεῖν, ἐπιτιμᾶν τοῖς φιλοπονοῦσιν ἐπὶ τῇ πείρᾳ καὶ κτήσει· καὶ συλλογῇ τῆς σοφίας ἁπάσης καὶ κάμνουσιν· ὑπ' ἀγροικίας οὐκ οἶδ' ἥστινος ἢ λιχνείας· καὶ φιλοπλουτίας περὶ τὰ κάλλιστα· καὶ πολλῶν τῶν πόνων δεόμενα, τῶν παλαιῶν καὶ μεγαλωνύμων ἐκείνων ἀνδρῶν σπουδάσματα· τυραννικοί τινες ὄντες αὐτοὶ· καὶ μάλα κραταιοὶ· καὶ δεσπόται καὶ αὐτοκράτορες, τῆς σοφίας καὶ πάντ' ἐξ ἐπιτάγματος καὶ βουλήσεως καὶ ἀναιδείας ἔχοντες· καὶ ἃ μὴ ἔχετε, παρορᾶν ὡς εὐτελῆ διὰ φθόνον τῶν ἐχόντων, πείθειν πειρώμενοι.

6. Καὶ παυσαίμεθ' ἂν, ⟨...⟩ οὕστινας ἂν, σκαιοὺς οὕτω καὶ ἠλιθίους· καὶ ἀμαθεῖς. ἤδη γάρ τινες ὑμῶν καὶ νεανικώτερον ἔτι τῆς τόλμης καὶ τοῦ θράσους γιγνόμενοι, καὶ κατὰ τῆς μαθηματικῆς ἐπιστήμης· καὶ τῆς τῶν οὐρανίων θεωρίας, ὡς ἀνονήτου πόνου κατεπείγονται καὶ κατατρέχουσι· βασκανίας ἀσυγγνώστου καθάπαξ κέντροις βαλλόμενοι, κατὰ τῶν εὐδοκιμούντων ἐν τοῖς

5,7 μὴ δὲ V[1]Se: μὴ V **25** τυραννικοί V[2]Se: τυραννικο V **6,1** post ἂν[1] lacunam statuit Se, nota V in marg. (σ οἶμαι λείπει ἐνταῦθα, fort. manu Metochitae) monitus

5,9–15 cf. supra, Or. 10, 99, 6–10 **16–22** Niceph. Choumn., Ad malevol. (p. 378, 12–17) **6,2–28** Ibid. (pp. 380, 4–14 et 380, 23–381, 2)

τοιούτοις· καὶ πονούντων εὖ μάλα καιρίως περὶ τὰ τῆς σοφίας ἐξαίρετα· καὶ τυγχανόντων ἀνεμεσήτως ἐρεῖν, ἑτοιμότητι· καὶ κράτει καὶ τάχει φύσεως. | οἳ μὴ δυνάμενοι συγκαλύπτειν τὴν f. 317 περὶ τὸ μαθηματικὸν τῆς φιλοσοφίας δυστυχίαν αὐτῶν· καὶ τὸ πρόδηλον τῆς ἀμαθίας, ὥσπερ τοῦτο πειρῶνται καὶ δοκοῦσιν ἀνύτειν, περὶ τἄλλα τῆς σοφίας εἴδη, καὶ μὴ φέροντες θαυμαζομένων ἄλλων ἐν τούτῳ παρὰ πάντων· καὶ πρὸ πάντων τοῦ θαυμαστοῦ καὶ θειοτάτου βασιλέως ἡμῶν· καὶ πάντων τῶν καλῶν καὶ πρὸς τοῖς ἄλλοις πᾶσι καὶ τῶν τῆς σοφίας καλῶν ἀκριβοῦς τε καὶ ἀρρεποῦς γνώμονος, ἐπανίστανται θρασεῖς καὶ ἔμπληκτοι· καταγέλαστοι μὲν τῆς ἀκαιρίας· καὶ ἀναιδείας καὶ τόλμης· καὶ τοῦ κινοῦντος φθόνου, ἐπανίστανται δ’ οὖν, κατὰ τῆς μεγάλης ταύτης σοφίας· καὶ τῶν ἀπὸ τοῦ παντὸς αἰῶνος ἐξαιρέτων ἐκείνων ἀνδρῶν τῆς σοφίας, ὧν εἶναι φασὶ ζηλωταὶ· μάλιστα τιμώντων καὶ πρὸ τῶν ἄλλων ἁπάντων τὴν ἐν τούτῳ τῷ μέρει τῆς παιδείας σπουδήν. καὶ κατελέγχουσιν ὡς ἄν, ἀμέλει μάταιον πόνον, ἐνταῦθα τρίψαντας· καὶ λῆρον μακρὸν καὶ ἀνόνητον· καὶ δαπανήσαντας ἀκαιρίᾳ τὴν σχολήν (ὦ πάνθ’ ὁρῶν ἥλιε τοὺς τίνας· οἱ τίνες;), καὶ κατὰ τῶν οὐρανίων αὐθάδεις ἅλλονται· καὶ τὰς κεφαλὰς ἀράσσουσι· καὶ οὐ φείδονται προσορᾶν τὸν οὐρανὸν· καὶ τὸν ἥλιον· καὶ τἄλλα τὰ κατ’ αὐτὸν θαύματα· τὴν περὶ αὐτῶν θεωρίαν εὐπεριφρόνητον κρίνοντες· καὶ πολὺ δευτέραν τῆς περὶ τῶν ἐν τῇ γῇ φυομένων καὶ ζώντων, τὴν πολὺ τὸ τίμιον· καὶ βέβαιον καὶ πεπηγὸς· καὶ μονοειδὲς καὶ ἀστασίαστον ἔχουσαν τῷ τεχνίτῃ λόγῳ· καὶ τὸν ταύτης ἐπόπτην καὶ θεωρὸν νοῦν, εὖ μάλα κραταιὸν, ἐν ἀκυμάντῳ γαλήνῃ· καὶ ἄσειστον ἱστῶσαν τῆς τῶν ἐν ῥοῇ καὶ ἀεὶ γιγνομένων κατευστοχήσεως· καὶ περὶ ὧν αἱ μέγισται στάσεις· καὶ ἀντιλογίαι· καὶ πλάναι· καὶ κατὰ μέρη πλεῖστα συστήματα· καὶ αἱρεσιῶται· καὶ οὐδὲν ἀκλόνητον· καὶ ὧν γε οὐδ’ αὐτῶν τῆς ἐπιστήμης, οὐδ’ ὁτιοῦν αὐτοῖς δὴ τοῖς γενναίοις καὶ

9 οἳ V: οἱ Se **10** δυστυχίαν αὐτῶν τῆς φιλοσοφίας primum scripsit, deinde litteris βα suprascriptis ordinem invertit V **14** ἡμῶν Se: ὑμῶν V **15** πᾶσι V[1]Se: ἅπασι V **16** ἀρρεποῦς Se: ἀρεποῦς V | θρασεῖς V[2]Se: θαρσεῖς V **17** καὶ[2] V e corr. **24–25** οἱ τίνες V: οἵτινες Se

25 Hom., Il. 3, 277 **25–26** cf. Synes. Cyren., Epist. 79 (p. 139, 2–3) **30** cf. Max. Conf., Cap. de carit. 4, 9, PG 90, 1049B **30–31** cf. Greg. Naz., Or. 7, 24, 21 (p. 242) **32–38** cf. Metoch., Carm. 10, 160–172 (pp. 181–182)

ὑβρισταῖς μέτεστιν· οὔκουν γε οὐδ’ ὅσον εὖ ἀκριβώσασθαι τὰ κρατήσαντα πλέον τῶν ἄλλων ἐν αὐτοῖς δόγματα. ἀλλ’ ὥσπερ ἐν σκότῳ τινὶ βαθεῖ τε καὶ πυκνῷ τῆς ἐνταῦθα ἀοριστίας καὶ αὐτοὶ χωρήσαντες καὶ συγκαλυπτόμενοι, χώραν ἔπειτ’ ἄλλως ἔχουσι πλανᾶσθαι· καὶ κατατείνειν ὅπως ἄρα τὰς τῶν οὐρανίων θαυμάτων λαμπάδας· καὶ τὴν αὐγὴν τῆς κατ’ ἐκεῖνα θεωρίας δραπετεύοντες· ὡς ἐνταῦθα κατὰ τὸ φῶς τοὺς τῆς ἀμαθίας ἐλέγχους ἀποφυγεῖν, μὴ ῥᾴδιον ὂν· μὴ δὲ διαδράναι κἂν εἰ πάντα σοφίζοιντο τοὺς τῆς ἀληθείας ἐρευνητάς. ἧς ἄρ’ ἐν αὐτοῖς δὴ μάλιστα τοῖς μαθηματικοῖς μονοειδοῦς οὔσης καὶ τηλαυγοῦς ἐν τῷ ὕψει τῆς ἁπλότητος, οὐκ ἔχουσιν οἱ σοφισταὶ καὶ λωποδῦται τῶν ἀλλοτρίων, ἰσχύν τινα καὶ μηχανὰς διολισθαίνειν· οὐδ’ ἀποφυγὰς εὑρεῖν τοῦ λανθάνειν καὶ κρύπτεσθαι.

7. Τοιγαροῦν τούτου δὴ μόνου κατὰ πᾶσαν ἀνάγκην ξυναίσθησιν ἔχοντες, ἀναιδέστερον ἐξάγονται κατατολμᾶν τῶν τιμίων· ἵνα μὴ δῆλοι γε ὦσι δυστυχεῖς ἄνθρωποι· καὶ πένητες, πλουτούντων ἄλλων. καὶ ᾧ μόνῳ δύνανται καὶ παρ’ αὐτοῖς ἐστιν, ἀφειδοῦσι τῆς
f. 317v γλώττης· καὶ βλασφημοῦσι | κατὰ τῶν αἰδοῦς πάσης ἀξίων. καὶ ὡς ἀδικίαν μὲν εἰς τὸ ὕψος λαλοῦσιν, εὐλαβούμενος ἄν τις ἴσως οὐ χρήσαιτο τοῖς ἐκ τῆς γραφῆς ῥήμασιν. ἀλλ’ ἄρ’ οἵ γε δὴ μετὰ παρρησίας εἰς οὐρανὸν ἄνω πέμπουσι βέλη· καὶ κατατοξάζονται μάταια τῶν ἀστέρων κατὰ τοὺς ἐκ τοῦ Πηλίου Θετταλοὺς νεανίσκους· οὓς ἐκ τῶν τῆς ποιητικῆς μύθων ἔχομεν. καὶ τί ἄν τις αὐτοῖς λοιπὸν χρήσαιτο; καὶ κενὸς ἂν εἴη πόνος πάνυ τοι κατελέγχειν οἶμαι τοὺς ἄνδρας πειρᾶσθαι τὰ πάντῃ δῆλα· καὶ περὶ ὧν οὐ δεῖ λόγων πολλῶν. ἀμείνους μέντ’ ἂν εἴημεν καὶ σωφρονικῶς ἔχειν δοκοῦντες, σιγᾶν περὶ τούτων μᾶλλον, ἢ πλείω λέγειν ἐπιχειροῦντες· ὥσπερ ἂν εἴ τις καὶ ἥλιον τὴν γῆν καταλάμποντα καθαρὸν ἐν μεσημβρίᾳ, πειρῷτο λόγῳ δεικνύειν. ὃς γὰρ ἄν, καὶ τῶν λόγων ἄνευ μὴ θαυμάζων ὁρῴη, δυστυχὴς ἄνθρωπος καὶ τυφλώττων, μᾶλλον, ἢ διδασκαλίας ἐπιδεής.

7,6–7 Ps. 72, 8; cf. etiam Niceph. Choumn., Ad malevol. (p. 381, 8–11) **7–8** Karathanasis 157; cf. etiam Niceph. Choumn., Ad malevol. (pp. 381, 21–382, 3) **8–10** Hom., Od. 11, 307–320

8. Τοσοῦτο δὲ νῦν μόνον προστιθέαμεν τῷ λόγῳ, ὅτιπερ, ἀλλ' ἡμῖν γε μέλει πλεῖστον, τῆς μεγάλης ταύτης σοφίας· καὶ μελήσει γε πάνυ τοι, τὸν λοιπὸν τῆς ζωῆς χρόνον ὅσος ἐστὶ· κἂν εἰ βραχύτατος· καὶ οὐ μεμφόμεθ' ἡμῖν αὐτοῖς· καὶ τοῖς περὶ τούτου πόνοις ἡμῶν· ἀλλὰ καὶ ἡδόμεθα μάλα τοι· καὶ κλεΐζομεν ἑαυτοὺς ὀλιγωροῦντες τῶν βασκάνων ὑμῶν, ὡς μέγα τι καὶ δυσμεταχείριστον ἔργον κατηνυκότες· καὶ πολλῶν τῶν ἐτῶν ἐκλελοιπὸς, αὐτοὶ καινίσαντες· καὶ συνεισενεγκόντες ἀγαθῇ τύχῃ τοῦ πάντα θαυμαστοῦ βασιλέως, τῷ βίῳ καὶ τοῖς ἀνθρώποις. καὶ ἃ περὶ τούτων βιβλία πολυτάλαντα συνεταξάμεθα· καὶ πολλῶν ὄντως χρημάτων τοῖς καλῶς κρίνουσι σταθμώμενα, οὐ μάτην πονῆσαι κρίνομεν· οὐδ' ἄχθος ἀνθρώποις ἐπιφορτίσασθαι· ἀλλ' ἐπαχθῆ γε ὄντως· καὶ ἀνιαρώτατον φόρτον τοῖς βασκάνοις, καρδίας ἐκπιέζοντα.

9. Ταῦτ' ἄρα καὶ ἃ μὴ τούτων ἔχουσιν αὐτοὶ ξυνιέναι, οὐχ ἡμῖν αὐτοῖς· ἀλλ' ἑαυτοῖς ἐπιτιμᾶν καὶ μέμφεσθαι δίκαιοι· τοσούτου πράγματος καὶ οὕτως ὑψηλοῦ τε καὶ ὡς ἀληθῶς οὐρανίου καὶ φύσιν ἔχοντος ὥσπερ δὴ καὶ τἄλλ' ἅπαντα τὰ μέγιστά τε καὶ τίμια τοὺς πολλοὺς φεύγειν, ἀποτυγχάνοντες ὑπ' ἀμαθίας καὶ φθόνου· ἐπεὶ καὶ τἄλλ' ὡς ἔφην ὅσα δὴ σεμνὰ καὶ θαυμάζεται, οὐ τῶν πολλῶν ἐστιν· οὐδ' ἔκκειται τῷ βουλομένῳ ῥᾷστα· καθάπερ ἄρα τὰ τῶν βρωμάτων εὔωνα ταῖς καπηλίσιν ἐπὶ τῶν τριόδων προτίθεται. εἰ δὲ καὶ περιβολῇ τῆς ἑρμηνείας τὰ λεγόμενα τινὲς ἐξαίρειν τῆς τῶν πολλῶν ἐντυχίας σπουδάζουσιν, ἀρχαῖος τῶν Ἑλλήνων τρόπος· καὶ τῆς εὐγενοῦς τῶν ἀνδρῶν ἐκείνων εὐστομίας. πρὸς οὓς ἡμεῖς | οἱ τῶν χρόνων ὀψὲ νῦν ἥκοντες, ὥσπερ καὶ f. 318 ἐν ἄλλοις ἔγωγ' εἰρηκὼς μέμνημαι, ὡς πρὸς πίνακας ἀρχετύπους ἀναφέρομεν· καὶ προσέχειν ἀξιοῦμεν, κατ' ἐκείνους ἀναπλάττοντες ἑαυτοὺς καὶ καθιστοροῦντες. μάλιστα μὲν οὖν ὦ βέλτιστοι τοῖς ἐπισταμένοις, ἀλλ' οὐχ' ὡς ἔτυχε φερομένοις, ὑπ' ἀμαθίας ἕκαστα καιρὸν ἔχει· νῦν μὲν σαφῶς ἀγγέλλειν· νῦν δὲ περιβάλλειν ἀξιώματι· καὶ τῶν πολλῶν ἀνυψοῦν, τέχνης ἐπικοσμήσεσι. καὶ ἡμῖν γε ταῦτ' ἤσκηται κατὰ λόγον εὖ (παρρησίᾳ λέγομεν· ἐρρέτω

8,7–11 cf. Metoch., Carm. 1, 635–640 (p. 27) **10** cf. Niceph. Choumn., Ad malevol. (p. 388, 5–7) **13** cf. infra, Or. 18, 17, 12 **9,6–9** Niceph. Choumn., Ad malevol. (pp. 372, 13–18 et 374, 28–375, 1)

δ᾽ Ἀδράστεια), κἂν εἰ μυριάκις ὑμεῖς διαρραγείητε, μὴ πεφυκότες εὖ κρίνειν· μὴ δὲ τοὺς τῆς τέχνης ὅρους καὶ νόμους ἀκριβώσαντες, περὶ τῶν τῆς φωνῆς χρωμάτων. πόθεν; οἵ γε μὴ δὲ τοσοῦτο λέγειν ἔχετε· μὴ δὲ καταριθμεῖσθαι οἷα τε καὶ ὅσα· καὶ τίνα τὰ τῆς ἑρμηνείας εἴδη, τῇ τέχνῃ τῶν λόγων νενόμισται. εἰ δὲ μὴ, εἴπερ ἄρα φαίητ᾽ ἐρωτώμενοι, πᾶσαν δίκην ὑπέχειν ἔγωγ᾽ ἕτοιμος. κάλλους δ᾽ ἀντιποιούμενοι καὶ ἤθους ᾗ φατὲ· καὶ περὶ τούτων ὑπὸ βασκανίας· ἢ οὐκ οἶδ᾽ ἥστινος φιλανθρωπίας ὡς φατὲ τοὺς ἀνθρώπους ἀναδιδάσκοντες, τὴν ἀρχὴν οὐδ᾽ ἐπαΐοντες ὁρᾶσθε· τί δήποτε τὸ ἦθος· ἡ τέχνη· καὶ τὸ κάλλος ὁρίζεται. οὐδὲ γὰρ ὅλως ἐγκύψαντες τῇ περὶ τούτων τεχνικῇ διαιρέσει τοῦ διδάσκοντος δῆλοι γ᾽ ἐστὲ· ἀλλ᾽ οἴκοθεν φρονηματισθέντες ὑπὸ μεγάλης ἐξουσίας τῶν λόγων, φύσεως ἀκρότητι, τὰ δοκοῦνθ᾽ ὑμῖν ὡς τέχνης νόμιμα τίθεσθε. ἀλλ᾽ αὐτόθεν κατασχόντες ὑμᾶς αὐτοὺς βραχὺ καὶ προσσχόντες, τοῖς τῆς τέχνης δόγμασι, νοῦν ἴσως λήψεσθε γνόντες, ἄλλα δὴ νομοθετοῦσαν τὴν τέχνην περὶ κάλλους τὲ· καὶ ἤθους· καὶ τῶν ἄλλων ἰδεῶν τοῦ λόγου, ἢ ὡς ὑμεῖς βούλεσθε καὶ ὁρίζεσθε· καὶ μηδὲν ἧττον ὅτι μὴ καὶ μᾶλλον ἐπιμελῶς φροντίζουσαν, περὶ τῆς ἐν τῷ λέγειν δεινότητος. ἧς δὴ καὶ πλεῖστον ὅσον μέλειν φησὶν ὑπὲρ πᾶν ἄλλο τῆς ἑρμηνείας εἶδος, τῷ ῥήτορι· καὶ χαρακτηρίζει ταύτῃ μᾶλλον, ἢ τοῖς ἄλλοις ἅπασι τὸν πολιτικὸν λόγον· εἴτουν Δημοσθενικόν (ταὐτὸν γὰρ εἶναι ταῦτ᾽ ἄμφω καὶ ἀντιστρέφειν ἀλλήλοις φησὶ), καὶ ταῖς περιοδικαῖς συστροφαῖς μᾶλλον, ἢ πάσαις ἄλλαις χρήσεσιν εὖ μάλα χρῆσθαι· καὶ πλέον ἢ ἄλλός τις τῶν εὐδοκίμων, τὸν καὶ πάντων τῶν ἄλλων κρατοῦντα τῇ τέχνῃ, αὐτὸν Δημοσθένην δείκνυσιν.

10. Ἀλλ᾽ ὑμεῖς γε οὐδ᾽ ὅ,τί ποτ᾽ ἐστὶ περίοδος, δοκεῖτε μοὶ ξυνιέναι· οὐδ᾽ ὅσοις ἄρα διαιρεῖται τῷ ῥήτορι τοῖς τρόποις· ἀλλ᾽ ἢ τὸ σαφὲς μόνον ἐκ παντὸς ζητεῖτε τρόπου· καὶ προδιδάσκετε τοὺς πολλοὺς ὑπ᾽ εὐνοίας ἀγόμενοι· καὶ ταῦτα μάλιστ᾽ ἐκπίπτοντες

9,28 ὁρᾶσθε V[2]Se: ὁρᾶσθαι V **34** προσσχόντες V[2]Se: προσχόντες V

20 cf. Ael. Arist., Or. 54 (p. 679, 19) **36** cf. Hermog., De id. 1, 12 (p. 296, 5–7) **40–41** Niceph. Choumn., Ad malevol. (p. 373, 14–17) **42** Ibid. (p. 371, 12–16) **10,2–5** Ibid. (pp. 359, 12–18, 360, 22–30, 361, 4–5 et 363, 4–8)

αὐτοὶ τοῦ σαφοῦς. ἀλλὰ καὶ ἡμῖν γε | ὦ βέλτιστοι, πολλοῦ τὸ σαφὲς ἀξιοῦται λόγου, τῇ ἑρμηνείᾳ κατὰ καιρόν· καὶ χρήσιμον ὡς ἀληθῶς δοκεῖ κομιδῇ, χώρας τυγχάνον οἰκείας· καὶ κατὰ τοὺς περὶ τούτων τεχνικοὺς λόγους, ἵν' ἔτι μᾶλλον τὰ τῆς τέχνης ἀγνοοῦντες μυστήρια, θαυμάζοιτε τῷ φθόνῳ ῥηγνύμενοι, καὶ δεινότητος ἔστιν οὗ χρείαν, διοικεῖν τὸ σαφὲς τῆς ἑρμηνείας ξυνορῶμεν κατ' ἴχνος ἑπόμενοι ταῖς τεχνικαῖς ἐπισκέψεσι καὶ κρίσεσιν· ἀλλ' οὐ πάντα ἐκ πάντων, σαφῶς ἐργαστέον· ὅτι μὴ δ' ἡ τέχνη τοῦτο βούλεται· καὶ μάρτυρες πάντες οἱ τῆς σοφίας καὶ τῆς ῥητορικῆς ἐργασίας τὰ πρῶτα φερόμενοι· οἷς ἐχρήσαντο καὶ καταλελοίπασιν ὑποδείγματα τῆς γλώττης ἡμῖν. f. 318v

11. Εἰ δ' ἄρ' ὑμᾶς γε τοῦ μάλιστα σαφοῦς καὶ δημοτικοῦ καὶ συνήθους τοῖς πολλοῖς ἔρως ἔχει, οὐκ ἄν, φθάνοιτε περὶ τὰς πολυανθρώπους ἀγορὰς καὶ τὰς ἐν ταῖς τριόδοις συναυλίας ὅτι μάλιστα σπεύδοντες, ὡς ἐνταῦθα πλεῖστον ἐντευξόμενοι, τῇ ποθουμένῃ τῆς φωνῆς χρήσει· καὶ ἀκαμάτῳ καθάπαξ νοεῖν. Θουκυδίδης δ' ὑμῖν ἐς κόρακας ἐρρίφθω· βλοσσυρὸς ἀνὴρ καὶ δυσέντευκτος τὴν ὁμιλίαν· καὶ ζοφώδης ἀνθρώποις συνεῖναι καὶ χρῆσθαι. Δημοσθένης δ' ὁ πάνυ· καὶ οὗ γε ὑμεῖς ἐρασταί, διὰ σπουδῆς ὅτι πλείστης, ἐποιεῖτο τἀκείνου· καὶ οὕτω δὴ πάνυ προσεῖχε σφίσι τὸν νοῦν καὶ περὶ ταῦτα μελετῶν ἐπόνει, ὥστε καὶ εἰσὶ οἳ φασὶν ὅτι χερσὶν οἰκείαις ἑπτάκις, οἱ δὲ καὶ πρὸς ἔτι τὰ συντάγματα τοῦ ἀνδρὸς ἐπόνησε γράφων. οὕτω κέρδος, περὶ τὰς ῥητορικὰς τέχνας καὶ τὴν τοῦ λέγειν δύναμιν, ἑαυτῷ τε καὶ πᾶσιν ἄλλοις ὅσοι περὶ τὰ βέλτιστα φιλοπονοῦσιν, ᾤετο τἀκείνου. ὧν ὑμεῖς οὐδενὸς ἀξιοῦντες λόγου τὴν χρῆσιν, ὡς ἄν, παντάπασιν ἀσαφῶς καὶ βαρβαρικῶς τῆς φωνῆς ἐχόντων, ᾧ δὴ μόνῳ κανόνι τῆς τοῦ λέγειν εὖ, ὑμεῖς ἕξεως χρῆσθε, πλέον, ἢ κατὰ Δημοσθένην ἐοίκατε κατανενοηκόσι καὶ νομοθετεῖν ἔχουσι περὶ τῆς κατὰ φύσιν ἐπαινετῆς ἕξεως.

10,5 ἡμῖν corr. Se: ὑμῖν V **11,5** ἀκαμάτῳ V^2Se: ἀκαμάντῳ V **6** βλοσσυρὸς V, servavimus: βλοσυρὸς Se **15** ἀξιοῦντες λόγου V^2 in ras. **18** κατανενοηκόσι … ἔχουσι V^2: κατανενοηκότες … ἔχοντες VSe

11,6–7 Ibid. (p. 373, 9–11) **8–11** cf. Luc., Adv. indoct. 4 (p. 122, 20–21)

12. Ἀλλ' ἡμεῖς γ' εὖ μάλα πειθόμεθα Δημοσθένει· καὶ οἷς ἔδοξε περὶ Θουκυδίδου, συζῶντες ὡς ὑμεῖς κρίνετε, βαρβαρικῆς γλώττης, ἀμαθίᾳ καὶ ἀγροικίᾳ· καὶ τηροῦμεν τὰ τοῦ ἀνδρὸς βιβλία, τῷ χρόνῳ παραπεμφθέντα πρὸς ἡμᾶς τῆς σοφίας κειμήλια. κἂν οἷοι τε γενοίμεθα κατὰ τοὺς ἐκείνου τύπους, δεικνύειν ἡμᾶς αὐτοὺς ἐνεργούς, ἐπιμελὲς ποιούμεθα· καὶ πριαίμεθ' ἄν, εἰ πέφυκε χρημάτων τοῦτο πολλῶν. Ἑκαταίου δὲ καὶ Ἑλλανίκου ὧν ὑμᾶς γε οἶμαι μὴ δ' εἰδέναι τὰ ὀνόματα ἀξιώματι τῆς μεγάλης σοφίας, εἴτουν ἀμαθίᾳ τῶν παλαιῶν, τούτων γε μὴν τῶν ἀνδρῶν, f. 319 τὴν ἐν τοῖς ἱστορικοῖς συντάγμασι, πολλὴν ἄρα σαφήνειαν | εἴτουν εὐτέλειαν, ὡς Ἑρμογένης καὶ οἱ παλαιοὶ σοφοὶ κρίνουσιν, ἐν δευτέρῳ τιθέμεθα τῆς τοῦ Θουκυδίδου δυσχρηστίας, ἢ ῥώμης· ἢ εὐτονίας περὶ τὸν τῆς γλώττης δρόμον· καὶ τοῦ βάρους· καὶ τοῦ ἀγριωποῦ τῆς ἐντεύξεως. καὶ γὰρ δὴ καὶ ὁ χρόνος ἡμᾶς εἰς τοῦτο ξυμπείθει· τὰ μὲν Θουκυδίδου, φυλάξας εὖ μάλα τίμια καὶ παραπέμψας εἰς ἡμᾶς· καὶ παραπέμψων εὖ οἶδα τοῖς ἑξῆς, κἂν ὑμεῖς μὴ βούλοισθε· τὰ δ' Ἑκαταίου καὶ Ἑλλανίκου ξυγχωρήσας ἀτημέλητα τῇ λήθῃ, ὡς μηδὲν ἀμέλει τοῖς σπουδαίοις βιωφελέστατα.

13. Ἀλλὰ τί δεῖ πλειόνων καὶ μακρῶν ἔτι τῶν λόγων· καὶ κόπτειν ἀηδίᾳ· καὶ τρίβειν ἄκαιρα, πρὸς ἄνδρας, ἐκ μακροῦ ῥᾳστώνῃ χαίροντας· καὶ βίον εἰθισμένους καμάτων ἐλεύθερον· καὶ πόνοις ἀπηχθημένους κράτει μεγάλης φύσεως, τυγχανούσης ῥᾷστ' ἀνυσίμως αὐτῇ μόνῃ θελήσει καὶ ῥοπῇ πάντων ὧν ἄν, ἅψωνται· καὶ οἷς οὐ μόνον ἐργῶδες ἀλλότρια πολυπραγμονεῖν πονήματα· καὶ διαυλοδρομεῖν μήκιστα· καὶ μάλιστά γε δάκνοντα δόξης τινὶ τύχῃ καὶ φθόνον ὑποτύφοντα, ἀλλὰ καθάπαξ κἀν τοῖς οἰκείοις αὐτῶν ἔργοις καὶ τῇ φορᾷ τῶν λόγων, τὸ βραχὺ ποθεῖται καὶ μέτροις ὀλίγοις οἱ λόγοι τοῦ λέγειν ὁρίζονται· καὶ ὡς ἀληθῶς, τοῦτο γε δὴ χρησίμως ἑαυτοῖς· ἐπεὶ καὶ δεδίασιν ἢν ἐκτείνοιντο

12,1 ἡμεῖς corr. Se: ὑμεῖς V **6** an ποιοίμεθα? **17** ξυγχωρήσας V: συγχωρήσας Se **13,5** θελήσει V: θελέσει Se **10** post λόγοι ras. circa trium litterarum linea horizontali expleta in V

12,7–18 Hermog., De id. 2, 12 (pp. 409, 24–410, 10); Dion. Halicarn., De Thucyd. 5 (p. 331, 11–15); cf. Niceph. Choumn., Ad malevol. (p. 374, 17–26) **13,1** cf. Demosth., Contra Spud. 25, 4 **1–4** Niceph. Choumn., Ad malevol. (p. 378, 12–17) **7–13** Ibid. (p. 371, 23–25)

πόρρω πάνυ τοι κρημνοὺς ἄγχιστα καὶ σκῶλα, τῆς πικρᾶς καὶ πολυβασάνου γραμματικῆς; καὶ τὸ μὴ μακρὰν ἰέναι προτίθεσθαι προὔργου σφίσιν ἐστὶ· καὶ κινδύνων ἀνύποπτον· καὶ μάλιστα τῶν φθασάντων ἰχνῶν ἐχομένοις· καὶ ἀνερευνήτῳ προλήψει χρήσεως κατειθισμένης ὀνόμασί τε καὶ ῥήμασι· καὶ συνθήκῃ λόγων· ὡς ἄν, ἀμέλει τὸ παρεξιέναι μετρίως· καὶ οἴκοθεν ἀμηγέπη χρῆσθαι, ἠμὲν ἐπὶ δεξιὰ· ἠδ' ἐπ' ἀριστερά φασιν, ἐπικίνδυνον ὂν καὶ ὀλισθηρὸν· καὶ ἴσως ἐνίοτε χρησάμενοι κακῶς ἀπήλλαξαν· ἐμπεσόντες παγίσι δυσαντήτοις τῆς ἐπιβούλου· καὶ κακοσχόλου· καὶ κακοπράγμονος· καὶ παγχαλέπου τέχνης γραμματικῆς· κἂν εἰ πάνυ περὶ τούτου φροντίζωσιν ὑπὸ παιδαγωγοῖς καὶ τηρηταῖς· καὶ ἐπισκόποις τῶν λόγων κινούμενοι καὶ λαξευταῖς τῶν ὀνομάτων καὶ τῶν λέξεων φίλοις θαρροῦντες καὶ χρώμενοι, οὐκ ἀναιτιάτως ὅμως συντάττοντες, ἃ συντάττουσιν· ἀλλ' ἄρα καί τινα τῶν χλεύης καὶ ἐπι|τιμήσεως ἀξίων προφέροντες κἀν τοῖς ὀλίγοις f. 319v αὐτῶν βιβλίοις, διαφυγόντα τὴν αὐτῶν ἐπιμέλειαν· καὶ τὴν τῶν ἐπιτηρούντων φίλων ἀνδρῶν πίστιν. κἂν εἰ ἄρα μὴ φεύγειν ἠξιοῦμεν ἀπειροκαλίας τινὸς ἴσως καὶ μικρολογίας ἔγκλημα, καὶ λέγειν ἄν, ἦν· καὶ προστιθέναι νῦν ἄττα δὴ· καὶ βουλομένων γε ἄν, προσθείημεν· εἰ δὲ μὴ, ζητούντων αὐτοὶ τὰ οἰκεῖα· καὶ τέχνῃ βασανιζόντων· καὶ οὐχ ἡμῖν, ἀλλ' ἑαυτοῖς γε πάντως ὡς ἀπρονοήτως χρησαμένοις μέμψονται.

14. Ταῦτ' ἄρ' ὡς ἔφην τοῦ ἀσφαλοῦς προμηθείᾳ καὶ ἀκινδύνου σφίσι· καὶ ἅμα γε μὴ δ' ἔχοντες ὡς ἀληθῶς· κἂν εἰ πανδέξιοι τινες ὁρῶνται καὶ πάνσοφοι πρὸς πλεῖστον ἱκνεῖσθαι, φεύγουσι τὰ μήκη τῶν λόγων· καὶ νομίζουσιν ὀλίγοις τοῖς πόνοις χρῆσθαι· καὶ τοῦτ' ἐπαινετὸν τίθενται. Κικέρων δ' ὁ Ῥωμαίων ῥήτωρ ἱστορεῖται περὶ τῶν Δημοσθένους λόγων ἐρωτηθεὶς, «τίς ἄρ' αὐτῶν βελτίων», «ὁ μείζων» φάναι. καὶ ὡς ἀληθῶς τὸ διὰ μήκους καλὸν, θαυμάζειν μᾶλλον ἄξιον, ἢ τὸ ἐν ὄγκῳ βραχεῖ καλόν. καὶ ὃς ἄν, οἷος τ' εἴη μέγιστα δημιουργεῖν ἐπαίνων ἄξια, μὴ φειδέσθω κατολιγωρῶν τῷ

16 κατειθισμένης V[1]Se: κατειθισμένοις V **14,1** προμηθείᾳ V: προμήθεια coni. Se

18 Hom., Il. 7, 238 **14,3–4** Niceph. Choumn., Ad malevol. (p. 371, 23–25) **5–7** Plut., Cicer. 24, 6 (p. 338, 3–4)

περὶ ἑαυτοῦ θαρρεῖν, τῶν βασκάνων τῶνδε καὶ δύσνων· ὡς ὄφελον γε καὶ ἡμεῖς ἄν, εἴημεν οὕτω κἂν εἰ μὴ βούλωνταί τινες· πρὸς οὓς ταῦτ' εἴρηται μέτριάττα, εἰ καὶ πρὸς μεγίστην ὅμως φλόγα βασκανίας, τὰς ἑαυτῶν καταπιμπρῶσαν καρδίας. ἴσως δ' ἣν αὖθις βουλομένοις αὐτοῖς εἴη, καὶ πλείω γ' εἰρήσεται· καὶ ἣν πολλάκις γε αἱροῖντο, καὶ πολλάκις γε τὸν αὐτὸν τρόπον χρησαίμεθα. μακρολογεῖν γὰρ ἔχομεν ὡς οἴονται· καὶ εἴτ' ἀκαίρως εἴτε μή, ἡ κρίσις ἄλλοις καὶ τῷ μέλλοντι λείπεται· πλὴν γε ὅτι ξυνορᾶν αὐτοὺς ἔδει, κατεπιχειροῦντας ἡμῶν λάθρᾳ· καὶ προνοεῖν λυσιτελούντως ἑαυτοῖς, ὡς ἄρα δὴ λέγειν ἔχομεν ἐκ τῶν ποιητικῶν λόγων, ἐντί γ' ἡμῖν βίη· ἐντὶ δὲ χεὶρ· ἐντὶ δὲ φρὴν ἠδ' ἔργματα· καὶ τὸν ξύοντ' ἀντιξύειν καὶ ἡ παροιμία δίδωσι. καὶ ἔδει γε αὐτοὺς μὴ πράγματ' ἄλλοις παρέχειν ἑλομένους, πράγματα κινεῖν ἐφ' ἑαυτούς· καὶ τὸν ἐκ τῆς παροιμίας ἀνάγυρον· ἀλλ' ἀτρεμοῦντας πρὸς ἄνδρας ἀτρεμοῦντας καὶ ξυγχωροῦντας σφίσι σιγῇ βασκαίνειν, μὴ κινεῖν σφηκιὰς καθ' ἑαυτῶν· ὡς εἰ καὶ μέχρι νῦν ἠρεμεῖν f. 320 ἐκρί|νομεν δεῖν, ἀλλ' οὐ παυσαίμεθά γε τουλοιποῦ μέχρις ἄν, ⟨ἐν⟩ τοῖς ζῶσιν εἴημεν τοὺς ἡμῖν σκιαμαχοῦντας παρρησίᾳ, λόγοις πολλοῖς καὶ βιβλίοις πολλοῖς δυνάμενοί γε ὡς φασὶν ἀμυνόμενοι. κἂν εἴ τις αὐτοῖς φίλος ἦν καὶ τἀγαθὰ βουλόμενος, εἶχεν ἄν, ἐκ ποιητικῆς καὶ αὐτὸς χρησάμενος, ἐπέχειν, ὃς ἄν, ἐγχειροίη θρασύς, ὡς δειλανδροῦντος ἐμοῦ καθάπαξ, τόδε προφέρων κατακαιρὸν ἴσως τὸ ἔπος· «φίλος· σὺ δ' ἤτοι μή τοι τόνδ' ἐρεθιζέμεν, σχέτλιον ἄνδρα· δαίμων νύ τις ἐστὶ κοτήεις· καὶ εἰ βάλλων φεύξεσθαι οἴει κατὰ τὸν λόγον, ἀπατᾷ· καὶ τὰ μέγιστ' ἀγνοεῖς κατὰ σοῦ. ἀπαντήσει γὰρ καὶ τὸ ἑξῆς τοῦ λόγου· καὶ ἀπαντήσει γε καὶ σοῦ βολή, πρὸς ὑπερτάτην ἄτην· καὶ ἀπαλλάξεις αἴσχιον, ἢ ποτ' ἄν, ᾠήθης».

11 βούλωνταί V[2]Se: βούλωταί V **18** κατεπιχειροῦντας V: κετεπιχειροῦντας corr. Se **25** σφηκιὰς Se: σφηκίας V **26** ἐν add. Se **30** ἐγχειροίη V: ἐγχεροίη Se

16 Niceph. Choumn., Ad malevol. (pp. 358, 20–27 et 361, 19–24) **21** CPG I, 315, 1 **23** Karathanasis 214 **25** cf. CPG I, 69, 15 **27** Niceph. Choumn., Ad malevol. (p. 380, 5–7) **32–33** Hom., Il. 5, 191 **35** CPG II, 9, 15–16

14

Ἔλεγχος δεύτερος πρὸς τοὺς αὐτούς

1. Ὤιμην ἔγωγε κόρον ὀψὲ λαβεῖν σε τοῦ βασκαίνειν· ἢ μᾶλλον ἐρεῖν, καμεῖν ἄρα μόλις ταῖς κατ’ ἀνθρώπων κακηγορίαις καὶ λοιδορίαις· καὶ τῷ πρὸς πάντας, πράγματ’ ἔχειν καὶ διαπληκτίζεσθαι, τὸν ἀεὶ χρόνον ἐννεάσαντα τοῖς τοιούτοις καὶ ἤδη λοιπὸν ἐγγηράσαντα. καὶ γὰρ δὴ καὶ πάντων εἶναι φασὶ τῷ χρόνῳ κόρον· καὶ ἥ γε τοιαύτη κατ’ ἀνθρώπων σπουδὴ καὶ τοῦ βίου πρόθεσις καὶ ἅμιλλα, τῷ ὄντι, καματηρὸν πάνυ τοι καὶ πολύμοχθον. ἐπεὶ δ’ ἔοικας τὸν παλαιὸν ἡμῖν ἀποδεικνύειν ἀληθῆ λόγον, ὡς ἄρα οὔποθ’ ὁ φθόνος γηράσκει, ἀλλ’ αὔξει μᾶλλον γε μὴν τῇ ἡλικίᾳ καὶ συμπρόεισι· καὶ συντάττειν ἔτι σοι βιβλία καθ’ ἡμῶν ὡς εἴθισταί σοι κατὰ πολλῶν ἐκ μακροῦ, βέλτιστον δοκεῖ· καὶ οὐκ ἂν ἡμᾶς ἀπεικὸς εἴη, δευτέρους ἐπιόντας ἀμύνεσθαι, κἂν εἰ παρὰ φύσιν καὶ παρ’ ἔθος τοὖθ’ ἡμῖν καὶ ὡς οὔποτ’ ἐχρησάμεθα, καὶ ῥᾴδιον καθορᾶν εἰ ἀληθὴς ὁ λόγος· διὰ πολλῶν ὧν συνεταξάμεθα σὺν Θεῷ βιβλίων. νῦν δῆθ’ ἡμᾶς ἐκβιάζῃ κραταιὸς ἀνὴρ, καὶ μεγάλα κατ’ ἀνθρώπων βουλόμενος· ὡς δ’ ἀμέλει δοκεῖς, καὶ δυνάμενος ἔξω τῶν ἡμῖν εἰωθότων πειρᾶσθαι. ἄτοποι μέντ’ ἄν, εἴημεν καὶ παντάπασι βραδεῖς καὶ ψυχροί τινες τὴν γνώμην, εἰ σοῦ μὴ τῷ χρόνῳ καμόντος ἐν | [f. 320v] τοῖς τοιούτοις, ἀλλ’ ἀεὶ θερμότερον ἐξάπτοντος καὶ φιλοπονοῦντος τῷ κατ’ ἀνθρώπων φθόνῳ, καὶ τῶν γε τοιούτων ἐναρχομένου, ἡμεῖς ἔτι πω νεώτεροι τὴν ἡλικίαν ὄντες καὶ δικαιότεροι πρὸς τὸ μάχεσθαι κατὰ τὸν Ὁμήρου λόγον, ὡς ἄρα γενεῆφι νεώτεροι ἢ κατὰ σὲ, μὴ δὲ τοσοῦτο γοῦν ἡμέτερον αὐτῶν ποιησαίμεθα, ὥστ’ ἐπὶ τοὺς βάλλοντας ἀνίστασθαι δεύτεροι, καὶ πρὸς τοὺς κατεπιχειρεῖν ἐναρχομένους ἀμύνεσθαι· καὶ ἄλλως δ’ ἡμᾶς ἀναγκαῖον ταῖς ὑποσχέσεσιν ἀληθεῖς ἀπαντᾶν. καὶ φθάσαντες γὰρ ἐπηγγειλάμεθα ὡς εἰ καὶ αὖθις ἐπιχειρήσεις καθ’ ἡμῶν συντάττειν, καὶ ἡμεῖς δὶς αὖθις ἀντεπιχειρήσομεν· καὶ εἰ πολλάκις ἔθ’ ἑξῆς, καὶ ἡμεῖς πολλάκις ἔθ’ ἑξῆς· καὶ οὐ κατολιγω-

tit. Ἔλεγχος – αὐτοὺς V^2 | λόγος ιδ´ V^2 in marg. **1,5** ἐγγηράσαντα V^2Se: συγγηράσαντα V **15** δῆθ’ ἡμᾶς V^2 e corr. **27** εἰ V^1 s.l.

1,5 Hom., Il. 13, 636 **23** Ibid. 8, 112

ρήσομεν δικαιότερον ἐπιόντες δεύτεροι, δυνάμενοι πολλὰ λέγειν, καὶ αὐτός γε οὕτω λέγεις, κινούμενος τῷ φθόνῳ καὶ σκώπτων.

2. Οὐκοῦν ἐροῦμεν καθὼς οἷον τ' ἐστὶν ὡς ἐπηγγειλάμεθα. σκιαμαχεῖν μὲν οὖν ἀτεχνῶς ἡμῖν συμβαίνει, μὴ κατιδοῦσιν ἀκριβῶς ἅττα σοι τῷ δευτέρῳ βιβλίῳ τὸ θράσος σὺν ἀκαιρίᾳ καὶ ὁ φθόνος κατερεῖν ἐχορήγησεν, ἀλλ' ἢ, ὅσον ἐξεγένεθ' ἡμῖν τῶν ξυντυχόντων τῷ βιβλίῳ καταμαθεῖν· ἐροῦμεν δ' ὅμως ἅττα δή· καὶ αὖθις γ' ὡς ἔφημεν, εἴ σοι βουλομένῳ γ' ἐστὶν ἐροῦμεν. θαυμάζω τοίνυν ἔγωγε πῶς εἰς τοσοῦτον ἀναιδείας χωρῇ· καὶ οὕτως ἡμᾶς εὐήθεις καὶ πρότερον ᾠήθης διδάσκων καθ' ἡμῶν περὶ λογογραφίας, καὶ ὕστερον ἀπολογούμενος, ὥστε κλέψειν ὑπέλαβες, καὶ λήσεσθαι καθ' ἡμῶν σοφιζόμενος. καὶ τὸ γενναῖον σοι τοῦτο δράμα τοῦ λόγου καὶ πρόσχημα, μάταιον ὄντως ἐσκευώρηται, ὡς ἄρα δὴ σὺ καθόλου διδάσκαλον ἀνθρώπων περὶ σοφίας ἑαυτὸν ἐδοκίμασας τῷ βίῳ παρέχειν· καὶ περὶ ῥητορείας εὐεργέτην τοῖς περὶ λόγους σπουδάζουσι, καὶ κατήγορον τοῦτο δή σοι κατ' ἔθος ὂν τῷ ὄντι τῶν ἀσαφῆ καὶ δύσληπτα προφερόντων εἰς ἀνθρώπους βιβλία. καὶ τί γε περὶ τούτων ἡμῖν ἔμελε· τί δὲ δικαίως ἐντεῦθεν ἦν ἡμῖν δυσχεραίνειν, εἰ μὴ συνῄδειμεν ἑαυτοῖς οὕτω χρωμένοις· ὥσπερ ἄν, εἰ καὶ κατὰ μεθυόντων ἢ πόρνων ἢ κλεπτῶν ἢ ἄλλων ὡντινωνοῦν φαύλων, αὐτὸς μὲν ἐφιλοσόφεις προδιδάσκων ἀρετὴν ἀνθρώποις, βαρύ δ' ᾤοντο τοῦτο τινὲς, οἳ συνῄδεσαν ἑαυτοῖς ἐνεχομένοις τῇ κατηγορίᾳ;

3. Περὶ μὲν οὖν ὧν συνεταξάμεθα· καὶ ἀεὶ σὺν Θεῷ συντάττομεν βιβλίων ὦ βέλτιστε, | (f. 321) κἂν εἰ σοί γε παντάπασιν ἀνιαρῶς, καὶ μέσην πλήττομέν σοι τὴν καρδίαν ἐκ τούτων· καὶ ξυμπίπτειν αἴτιοί σοι γιγνόμεθα, πλεῖστ' ἄχθη βιβλίων ὅσαι ἡμέραι σχεδὸν ἐπιφορτίζοντές σοι κατωμαδὸν, οὓς ἐξ ἀνθρώπων προώλεις τὲ καὶ

2,4 κατερεῖν corr. Se: κατερεν V **17** χρωμένοις V[2]: χρωμένους VSe **3,1** ὧν V[1] s.l.

30–31 Niceph. Choumn., De orat. jud. (p. 358, 20–27); Id., Ad malevol. (pp. 371, 26–372, 1) **2,7** cf. Demosth., In Neair. 72 **11–13** Niceph. Choumn., Ad malevol. (pp. 366, 22–367, 6) **13–14** Ibid. (p. 367, 6–7) **14–16** Ibid. (pp. 359, 12–360, 30) **16–21** Ibid. (pp. 365, 16–366, 8) **3,4–5** Ibid. (p. 388, 8–10)

ἐξώλεις γενέσθαι· καὶ πάσης ἀλλοτρίους δόξης, ἐφετὸν τοῦτο πάλαι σοι· καὶ πάντα τρόπον εἰς τοῦτ' ἐπόνησας, καὶ ἀεὶ πονεῖς καὶ πειρᾷ, περὶ τοίνυν τῶν ἡμετέρων τούτων βιβλίων, εἴτε σαφηνείας αὐτοῖς ἐν καιρῷ μέλει· εἴτε καὶ ἀσαφείας ὡς αὐτὸς λέγεις· εἴτουν ὄγκου καὶ δεινότητος πρεπούσης Ἑλληνικῇ καὶ Ἀττικῇ γλώττῃ, ἄλλοις πιστεύειν ἔχομεν τὴν κρίσιν, τοῖς βέλτιον ἢ κατὰ σὲ κρίνειν δυναμένοις· καὶ ἀπαθέστερον· καὶ ἀποχρώντως ἐξ αὐτῶν ἔχομεν, καὶ στέργομεν οἷς ψηφίζονται (ἐρρέτω δ' Ἀδράστεια), καὶ σοί γ' εἰ βούλει ῥήγνυσθαι συγχωροῦμεν. πιστεύειν δέ σοι τὴν περὶ τούτων κρίσιν καὶ τῇ τῆς σῆς ἀβλεψίᾳ βασκανίας, οὐ πρὸς ἡμῶν αὐτῶν ποιούμεθα. καὶ αὐτὸς σύ, σοί γ' αὐτῷ ἦν ἄρ' ὁπηοῦν σωφρονῇς, οὐκ ἄν, πιστεύοις τὴν περὶ ἡμῶν καὶ τῶν ἡμετέρων συνταγμάτων κρίσιν, πάλαι καθ' ἡμῶν μεμηνὼς καὶ τοῦτ' αὐτὸς σεαυτῷ κάλλιστα συνειδώς, εἰ καὶ ὁπῃοῦν ἀναφέροις καὶ κρίνειν ἔχοις.

4. Ὅτι δ' οὐκ ἐφ' ἡμᾶς, ἡ παρασκευή σοι καὶ τοῦ πρώτου βιβλίου καὶ ὁ σκοπὸς ἦν ἐν σκότῳ βάλλων, εὔηθες ἄν, εἴη σοι κομιδῇ πειρᾶσθαι πείθειν καὶ κλέπτειν καὶ σοφίζεσθαι, καὶ μάτην ἐπόνεις καὶ πονεῖς, τῇ δεινότητι ταύτῃ καὶ μετὰ βασκανίας ἀπάτῃ καθ' ἡμῶν. σὺ γὰρ εἶ ὁ πολλάκις ἀναιδεῖ καὶ πλατεῖ στόματι κατατρέχων ἡμῶν ὀνομαστὶ· καὶ μὴ κρύπτων· μὴ δὲ συσκιαζόμενος ἐπὶ πολλῶν μαρτύρων· οἳ παραχρῆμα τῶν σῶν λόγων καὶ τῆς σῆς βασκανίας καὶ ὕβρεως ἡμῖν αὐτάγγελοι γίγνονται, καὶ μάλιστ' ἐπ' αὐτοῦ γε· οὗ παντάπασιν ἡ κρίσις ἀπαθὴς καὶ ἀδέκαστος, καὶ οὗ φειδὼ πάντως μεμνῆσθαι· καθ' ἡμῶν ἐνεδρεύων· καὶ αὐτόθεν μὲν οὖν δῆλος γιγνόμενος ἐνεδρεύων· καὶ γέλωτ' ὄφλων· ὅτι δὴ μὴ ταὐτά σοι κατὰ τὸν λόγον, βουκολοῦμεν γραϊδίοις· καὶ τοῖς ἐξ ἀγορᾶς εὐσύνοπτα· καὶ ἁλώσιμα καὶ συνήθη. σύ γε ὁ καὶ ἡμῶν ἐνίοτε παρόντων ταῦτα σκευωρούμενος· καὶ νύττων ἐξ ἀφανοῦς εἰ καὶ μὴ λανθάνεις τῷ τοῦ φθόνου κέντρῳ κεντούμενος λέγων· καὶ ἡμεῖς γ' ὅμως καὶ μὴ ἀγνοοῦντες, ταῦτ' ἐν δευτέρῳ τίθεσθαι καὶ φέρειν παρορῶντες δεῖν κρίνομεν.

16 σοί V[1]Se: σὺ V **20** ἔχοις V[1]Se: ἔχεις V **4,12** ταυτά V[1]Se: ταῦτα V

8–12 Id., De orat. iud. (p. 359, 12–18) **4,1–3** Id., Ad malevol. (pp. 366, 22–367, 6) **11–12** Aristoph., Vesp. 10

5. Ἀλλ’ ἐπειδή σε μάλιστ’ ἀναιδέστερον καθ’ ἡμῶν χωροῦντα (f. 321v) καὶ συγγραφαῖς | καὶ βιβλίοις βάλλοντ’ ἔγνωμεν· καὶ καθ’ ἡμῶν καὶ δι’ ἡμᾶς τοὺς φιλολόγους διδάσκοντα· καὶ φιλάνθρωπον γιγνόμενον τοῖς πολλοῖς καὶ εὐεργέτην ἐπὶ τῇ τέχνῃ τῶν λόγων ὑπὸ βασκανίας τῆς καθ’ ἡμῶν βαλλόμενον, ὅτι μάλιστα τοῖς ἔγγιστα πόνοις ἡμῶν, καὶ ἀεὶ συχνοῖς καὶ ἀπόνως· καὶ ἀκαμάτως ἰοῦσιν (εἰρήσεται γὰρ κἂν εἰ μυριάκις διαρραγείῃς), κἀντεῦθεν ἄσχετον ἤδη φερόμενον, καὶ τοιαῦθ’ ὡς ἔφην ἐφ’ ἡμᾶς ἐν συγγραφαῖς σκευωρούμενον, οὐκ ἀνεκτὸν ἡμῖν ἔδοξε τουλοιποῦ φέρειν· οὐδ’ ὥσπερ ἀγνοούμενον, ἀπρόσκοπόν σε κατὰ βούλησιν ἐνεργεῖν καθ’ ἡμῶν συγχωρεῖν, ἵνα δὴ μὴ κἀντεῦθεν ὑβρίζῃς μάλιστα· καὶ περιττόν τι φρονῇς ὡς νικῶν καθ’ ἡμῶν καὶ περιγινόμενος· καὶ βάλλων ἐξ ἀφανοῦς καὶ περιιὼν ἐφ’ ἡμᾶς, δοκῇς ἀγνοεῖσθαι τὲ καὶ λανθάνειν.

6. Ἀλλ’ οὐ σύ γε ὦ βέλτιστε, οὐχ οὕτω δεινὸς εἶ τὴν σοφίαν καὶ ἄληπτος οὐδὲ λανθάνεις βασκαίνων· οὐδὲ λανθάνεις ἐντεῦθεν ἀκρατὴς ὢν σεαυτοῦ· οὐδὲ κατὰ μεθυόντων φιλοσοφῶν ὡς αὐτὸς λέγεις, ἀνιᾶσθαι ποιεῖς τοὺς ἐπιγινώσκοντας ἐν ἑαυτοῖς τὸ πάθος καὶ ἐνεχομένους τῇ μέθῃ· ἢ καὶ κατ’ ἄλλων αἰσχρῶν ἀγωνιζόμενος, καθάπαξ, ταὐτὸ τοῦτο λυπεῖς, τοὺς αὐτοῖς τοῖς αἰσχροῖς ἐγκλήμασι συμβιοῦντας· ἀλλ’ αὐτός γε μεθύων πολλάκις καθ’ ἡμῶν καὶ ἀκολασταίνων, δῆλος γε ὢν καὶ νῦν εἶναι, πλεῖστον ἀκρατισθεὶς τῷ πάθει τοῦ φθόνου καὶ παραπαίων, αὐτόθεν ἁλώσιμος εἶ. καὶ οὐ πολλῶν ἐλέγχων δέῃ μεθύων· καὶ πολλὴν ἡμῶν τὴν ἑωλοκρασίαν τῆς παροιμίας καταχεόμενος· καὶ τὸ δὴ γελοιότατον, αὐτὸς μάλιστ’ ἐνεχόμενος οἷς καταμέμφῃ· καὶ ἐπιτιμᾷς, τῷ μὴ σαφῶς λέγειν, ὑπ’ ἀμαθίας νὴ τοὺς λόγους· καὶ ἀτέχνου καὶ ἀδιοικήτου τῆς χρήσεως.

7. Εἰπὲ γὰρ ὑμῖν ἵνα τἄλλα παρεὶς ἑνὸς μνησθείην τῶν σῶν, τί βούλεταί σοι ὁ θαυμαστὸς λόγος ὁ Ἀνεπίγραφος ἐν τῷ πυκτίῳ τῶν σῶν γραμμάτων· τίνα τὴν πρόθεσιν ἔχει· τί δὲ περαίνει· τίσι δῆλα

5,5 τῆς V^2Se: τοῖς V **13** δοκῇς V^1Se: δοκεῖς V

6,3–7 Niceph. Choumn., Ad malevol. (pp. 365, 16–366, 8) **7,2** Id., Anepigr. (pp. 297–313) **3–4** Id., De orat. iud. (p. 359, 12–18)

φθέγγεται· βαρβάροις ἢ Ἕλλησι· τίσιν ἐλλογίμοις ἢ ἀγροίκοις, πρὸς οὓς λέγεις ὡς χρὴ τὰ πολλὰ φθέγγεσθαι; πλήν γε ὅτι μετ' ἀληθείας ἐρεῖν, ἔνιοί γε δοκοῦσι τὸν λόγον σοι τοῦτον, κατὰ τοῦ θαυμαστοῦ ποιμένος ἐκείνου Φιλαδελφείας σπουδάζειν· ὡς ἀδικήσαντός σε· καὶ ἀμαθοῦς τὰς θείας ἐντολὰς καὶ τὴν ἀρετήν· περὶ ὧν δὴ μεγάλην ἀνὴρ μάλιστ' ἐκεῖνος δόξαν εἶχε· καὶ σπουδάζειν ὡς εἴωθας κακηγορίαις χαίρειν καὶ λοιδορίαις ἀνθρώπων· αἰδού|μενον [f. 322] δέ σε τὸ τοσοῦτο τῆς ἀρετῆς τοῦ ἀνδρὸς κλέος· καὶ δεδιότα μάλιστα τὰς ἀγαθὰς περὶ αὐτοῦ προλήψεις ἐν ταῖς ἁπάντων ψυχαῖς, ἅπτεσθαι σὺν φόβῳ τοῦ πράγματος· καὶ συσκιάζειν ὡς ἄν, οἷος τ' εἴης, κἀντεῦθεν ἄδηλα πᾶσι καὶ αἰνίγματα φθέγγεσθαι· καὶ Δηλίου κατὰ τὸν λόγον κολυμβητοῦ δεόμενα· ὃς ἄν, οἷος τ' εἴη τοῖς τοιούτοις ἐντυχὼν καὶ πρόθυμος εἰσδύς, ἔπειτα διελθεῖν ἀμηγέπη καὶ ἀνασχεῖν. εἶτ' αὐτὸς αἰτιᾷ καὶ ἐπιτιμᾷς ὡς ἀσαφῶς ἀγγέλλουσιν ἡμῖν, αὐτὸς τὰ γενναῖα ταῦτα καὶ πᾶσιν ἀγνοούμενα, τοῖς νῦν ἡμῖν ἐπὶ τῶν πραγμάτων αὐτῶν σοι συνοῦσι, συντάττων· καὶ παραπέμπων τοῖς ἑξῆς μεθ' ἡμᾶς; καὶ αὖθις γ' ἐπὶ τούτοις ἀναίνῃ μὴ ἐφ' ἡμᾶς σοι συντεθεῖσθαι, χθὲς ἤδη καὶ προτρίτης τὸ λοίδορον βιβλίον· καὶ τῆς ῥητορείας καὶ τῆς τέχνης τοῦ λέγειν παιδευτικόν· ἐπαρώμενος κατὰ σεαυτοῦ τὰ παλαμναιότατα, ἢν μὴ τοῦθ' οὕτως ἔχῃ, ὡς ἔνιοι τῶν ἐπιτηδείων σοι πρὸς ἡμᾶς ἔλεγον περὶ σοῦ (καὶ παρασχέσθαι σοι τοὺς ἄνδρας, ἔγωγ' ἕτοιμος), καὶ ὅτι καθόλου σοι περὶ ἀρετῆς λόγων, ὁ λόγος ἦν· ἀλλ' οὐχ ἡμῶν γ' ἕνεκεν.

8. Ἀλλ' ὅτι γε περὶ ἡμῶν σοι τὸ βάσκανον καὶ πικρίας ἁπάσης μεστὸν, ἐκ τῆς σῆς βρυούσης καρδίας προῆλθε βιβλίον, πόλλ' ἔτι λέγειν ἔχων καὶ προδεικνύειν τὴν σὴν ἐφ' ἡμᾶς κακόνοιαν καὶ κακόσχολον πρόθεσιν, ἀφίημι. ἓν δὲ δὴ τοῦτο μόνον, ἀποχρώντως ἂν ἔχοι πίστιν ἐμποιεῖν, ὡς ἄρ' οὕτως εἶχε τὸ βιβλίον, καὶ ἐφ' ἡμᾶς ἐπίτηδές σοι συντέθειται, ὅπερ ἤδη σοι νῦν καθ' ἡμῶν τῷ

7,15 δεόμενα V^{2}Se: δεόμεθα V **22** τὸ primum iteravit, deinde linea exstinxit V **24** ἔχῃ V^{1}Se: ἔχει V **8,3** post προδεικνύειν ras. circa trium litterarum in V

15 CPG II, 364, 15 et n. 100 **21–22** Niceph. Choumn., Ad malevol. (p. 366, 20–22) **23–24** Ibid. (p. 367, 6–9) **23–24** cf. Synes. Cyren., Epist. 66 (p. 106, 18) **8,6–8** ἤδη…καί^2 Niceph. Choumn., Ad malevol. (pp. 369, 18–370, 7)

δευτέρῳ βιβλίῳ ἀνέδην εἴρηται. λέγει γὰρ αὐτὰ δὴ ταῦτα τρανῶς καθ' ἡμῶν, ὡς ἄρα γε ἀσαφῆ σοι καὶ ἄληπτα γράφομεν· καὶ ὅτι δὴ τὰ πάντων πάντα σὺ, τῶν θαυμαστῶν ἐκείνων καὶ μεγάλων καὶ πανσόφων ἀνδρῶν εὖ μάλα κατανοῶν καὶ συνιεὶς ὡς ἔχει, μόνα δὴ τὰ ἡμέτερα· καὶ ἃ συντάττων αὐτὸς ἑκάστοθ' ὁρῶμαι, οὐχ οἷος τ' εἶ μανθάνειν, οὐδὲ κατανοεῖν ὅλως· καὶ πολύς γ' ἐνταῦθα γίγνῃ σὺν εἰρωνείᾳ πάσῃ χρώμενος· καὶ χαρίεις· καὶ ἤθους μεστός. οὐκοῦν τίς ἂν, εἴη πίστις καὶ ἀπόδειξις τούτου μᾶλλον αὐτόθεν σαφὴς, ὅτι σοι περὶ ἡμῶν τε καὶ καθ' ἡμῶν τὸ λοίδορον ἐκεῖνο βιβλίον ἐμηχανᾶτο σοφιζόμενον τὴν καθόλου περὶ ῥητορείας καὶ τέχνης τοῦ λέγειν εἰς τοὺς ἀνθρώπους διδασκαλίαν τὲ καὶ νομοθεσίαν· καὶ ὡς ἄρ' ἔνιοι τῶν λεγόντων, φαῦλοί τινές
f. 322v εἰσι· καὶ πάσης κακηγορίας | καὶ μέμψεως ἄξιοι, ἀσαφῆ βιβλία συντάττοντες, καὶ τῶν σῶν νόμων καὶ δογμάτων καὶ τῆς βασάνου καὶ κριτικῆς Λυδίας περὶ εὐγλωττίας· καὶ ὡς ἔστιν εὖ τὲ λέγειν καὶ μὴ, ἀλλότρια; ὁ γὰρ ἀεὶ πρότερον (καὶ τούτου γ' ὡς ἔφημεν πολλοὶ μάρτυρες· καὶ οὓς οὐκ ἔστι σοι παραγράψασθαι), καθ' ἡμῶν ἀνέδην· καὶ πλατεῖ στόματι καὶ ἀφειδῶς παντάπασι κηρύττων καὶ αἰτιώμενος, ὡς ἄρα ἀσαφῆ γραφόντων καὶ πᾶσιν ἀσύνετα, καὶ νῦν ὑπὲρ τοῦ παιδευτικοῦ σοι νεογνοῦ βιβλίου περὶ εὐφωνίας καὶ τῆς τοῦ λέγειν ἀσκήσεως ἀπολογούμενος, ὡς οὐκ ἐφ' ἡμᾶς ἐσκαιουργήθη· καὶ τῷ καθόλου προσχήματι, τὴν καθ' ἡμῶν μάχην καὶ βασκανίαν καὶ σπουδὴν ἐπειρᾶτο κλέπτειν, εἶτ' αὐτόθεν αὐτὰ δὴ ταῦτα καθ' ἡμῶν, καθαρῶς καὶ ἀπερικαλύπτως αὖθις λογογραφῶν, καὶ κατειρωνευόμενος ὡς μόνα τὰ ἡμέτερα, καὶ πάνθ' ὅμως τὰ πάνσοφα καὶ θαυμαστὰ τῶν παλαιῶν κατανοῶν, οὐκ ἔχων κατανοεῖν οὐδ' ὁπωσοῦν συνιέναι, εὖ γε δῆλος ἐστὶν ὡς ἄρα τὸ προολίγου βιβλίον καθ' ἡμῶν ἐσκευωρεῖτο· καὶ φθόνου κέντρῳ βαλλόμενος καὶ ἐξοιστρῶν, εἶτ' ἔκλεπτεν ὥς γ' ἐδόκει τὴν καθ' ἡμῶν ἐπιχείρησιν, εὐεργεσίᾳ τῇ πρὸς ἀνθρώπους, νόμους ὑποτιθεὶς καὶ κανόνας τῇ γλώττῃ· καὶ ὅπως ἐστὶν εὖ

12 πολύς V²Se: πολὺς V **15** σοι V² s.l.

9–12 Ibid. (p. 374, 1–7) **21** CPG I, 357, 17 **26–27** Niceph. Choumn., Ad malevol. (p. 367, 6–9) **27–29** Ibid. (pp. 366, 22–367, 6) **32–33** Ibid. (p. 371, 1–3)

χρῆσθαι κριτικὴν Λυδίαν, ἐν ᾗ προστριβομένους ἐστὶ δήλους ὁρᾶσθαι, τοὺς εὖ τε λεγόντας, καὶ τοὐναντίον αὖ φαύλως.

9. Εὖ γε σοι τῆς εὐποιίας ταύτης ὦ ’γαθέ, καὶ ἀναιδείας· καὶ τόλμης, ὡς ὀψὲ τῶν χρόνων ἀνθρώποις ἐπιδεδήμηκας εὐεργέτης τῆς τοῦ λέγειν τέχνης καὶ δυστυχεῖς ἐκεῖνοι καὶ πάντων ἀθλιώτατοι· καὶ τὰ μέγιστα ζημιωθέντες, οἱ ἀπ’ αἰῶνος ἐς ἡμᾶς ἄνθρωποι, μὴ τοὺς νόμους τῆς εὐφωνίας καὶ τὴν βάσανον καὶ τὰ δόγματα· καὶ τὴν κριτικὴν καὶ διαγνωστικὴν σου Λυδίαν πλουτήσαντες, ὥστε χρῆσθαι καλῶς τῇ φωνῇ καὶ τρέχειν εὐγενῶς τοῖς λόγοις· ἢ μᾶλλον ὡς ἀπὸ δυοῖν κατὰ τὴν παροιμίαν ἀγκυρῶν τῆς σῆς ἀναιδείας καὶ βασκανίας, εὖ μάλα καὶ ἀσείστως ἡδρᾶσθαι τῇ τοῦ λέγειν ἕξει καὶ χρήσει. εἶτα οὐκ αἰσχύνῃ τοὺς ἀπ’ αἰῶνος ἐκείνους σοφοὺς καὶ τεχνίτας; εἶτα οὐκ ἐντρέπῃ τοῦ θράσους καὶ τῆς τοσαύτης τόλμης, ἀλλ’ εἰς τοσοῦτον ἀπερυθριᾷς καὶ καταναιδεύῃ τῶν ἐκ μακροῦ τοσούτων καὶ τοιούτων ἡγεμόνων τῆς τοῦ λέγειν τέχνης καὶ ὅσοι κατ’ αὐτοὺς ἐχρήσαντο καὶ θαυμάζονται | τῆς εὐστομίας, f. 323 καὶ τῆς περὶ τὸ λέγειν δεινότητος καὶ δυνάμεως· τιμῆς ἀξιούμενοι πάσης, ὡς ἄρα δή τινες κανόνες καὶ τύποι καὶ πίνακες τοῦ λέγειν ἀρχέτυποι τοῖς περὶ λόγους σπουδάζουσιν· ἀλλ’ ἀνιστᾷς σεαυτὸν νομοθέτην σὺ τῆς σοφίας τελεώτερον ἢ κατ’ ἐκείνους· καὶ τελειοποιὸν τῆς κατὰ τὴν φωνὴν ἀσκήσεως (ὁ τίς, ὁπόθεν μαθών;), καὶ ἀναβακχεύεις ἀναιδείᾳ τοσαύτῃ καὶ τόλμῃ· καὶ ὀργιάζεις ὥσπερ ἐκ χρηστηρίων, τὰ καὶ τά, διατάττων καὶ τυπούμενος τὰ τῆς τέχνης νόμιμα τοῖς μηδὲν δεομένοις· τοῖς μάλιστα πλατὺ γελῶσιν, ἐπὶ τοῖς σοῖς νόμοις καὶ δόγμασι· καὶ ἀμαθίᾳ· καὶ ἀλογίστῳ φορᾷ;

10. Ἀλλ’ ὡς ἔοικεν ἀπορριφήσονται τουλοιποῦ τοῖς μειρακίοις, καὶ ὅσοι παιδευταὶ τῶν λόγων αὐτοῖς, ὑπὸ τῆς νέας ταύτης νομοθεσίας καὶ διδασκαλίας· καὶ τέχνης· καὶ ἀναιδείας· καὶ παροραθήσονται ὡς ἄν, ἀμέλει σκεύη τινὰ πρὸς τὴν χρῆσιν ἀνόνητα καὶ

9,1 ὦ’γαθὲ V: ὠγαθὲ Se **10** λέγειν V^2 in ras. **19** ὁπόθεν VSe: an ὁ πόθεν legendum?

9,8–9 CPG II, 412, 1; Karathanasis 148 **16–17** cf. Greg. Naz., Or. 43, 1, 8 (p. 116)

καταγηράσαντα· καὶ κατατεθραυσμένα τῷ χρόνῳ, οἱ παλαιοὶ διδάσκαλοι καὶ νομοθέται κρατήσαντες ἐν τοῖς παιδευτηρίοις ἐκεῖνοι, Ἑρμογένεις· καὶ Σώπατροι· καὶ Μένανδροι· Ἀλέξανδροι· καὶ Μινουκιανοί· καὶ Διονύσιοι· καὶ εἰ μὲν βούλει λέγε τὸν Θρᾷκα· εἰ δὲ βούλει λέγε τὸν ἐξ Ἁλικαρνασσοῦ. μᾶλλον δ' οὐδέτερον οἶμαι σε εἰδέναι. οὐ γὰρ ἐπιμελές σοι τὰ τῶν παλαιῶν εἰδέναι, οὔτ' ὀνόματα, οὔτε τέχνας· ἀλλ' αὐτοσχεδιάζεις τῇ σοφίᾳ· καὶ πολλὴν ἠλιθιότητα καὶ καμάτων ἀκαιρίαν καταψηφίζῃ τῶν περὶ ταῦτα πονούντων· μόνον δ' ἐπαινετόν σοι τὸ τοῦ ποιητοῦ Πινδάρου καὶ θαυμαστῶς ἐκεῖνος ἐπὶ σοὶ τοῦτο προείρηκε, «σοφὸς ὁ πολλὰ εἰδὼς φυᾷ». τοιοῦτος γὰρ ἡμῖν νῦν εἶναι, θαυμαστὸς ἀναπέφηνας σύ, ἀκρότητι φύσεως, αὐτόθεν ἀναδιδούς· μηδὲν προμογήσας· μὴ δὲ προμαθών, πάνθ' ἕκαστα τὰ τῆς σοφίας χρήσιμα· καὶ κατ' ἀνθρώπους ἐξαίρετα σπουδάσματα· καὶ πόνοις πολλοῖς ἡμῖν τοῖς ἀσθενέσι καὶ ὀλίγοις τὴν φύσιν κτώμενα. σύ δ' ἔχεις τὰ πάντα μόνος· καὶ τὰ πάντων αὐτόθεν, μόνον ὁρμήσας τὲ καὶ θελήσας· καὶ πάντα παρορᾷς· καὶ πάντ' ἐν δευτέρῳ σοι· καὶ πάντ' ἀνατρέπεις· καὶ μόνῳ σαυτῷ πιστεύεις, ὡς πάντ' ἔχοντι· καὶ πάντ' εἰδότι. πλὴν γε τὰ ἡμέτερα μόνα λέγεις, ὡς οὐχ οἷος τ' εἶ ξυνιέναι· ὡς δὴ τοῦτο γε τῷ ὄντι σὺ μόνον, ἀληθῶς εἴρηκας. ἀβλεπεῖς γὰρ ὑπὸ
f. 323v βασκανίας· καὶ νοσεῖς ἡμῖν· καὶ τὰ ὄντα ξυνορᾶν | οὐκ ἔχεις. ὥσπερ δὴ καὶ τοῖς χολώδους πεπλησμένοις χυμοῦ καὶ ἰκτεριῶσιν, οὐκ ἔστιν ἀπλανὴς τὲ καὶ ἀληθής, ἡ αἰσθητικὴ κρίσις ἀντίληψις τῶν γευστῶν, καὶ τὰ μὴ ὄντα δοκοῦσι· καὶ τῶν πυρεττόντων ἔνιοι τῶν λεγόντων οὐκ ἐπαΐουσι, καὶ παράτροπα μάλιστα φθέγγονται· καὶ σέ γε ἡμῖν οὐ ξυγχωρεῖ τοῦ φθόνου τὸ χολῶδες νόσημα καὶ τοῦ ἤθους ἡ πικρία, κρίνειν τἀληθῆ καὶ ὄντα· οὐδὲ μὲν οὖν ξυνιέναι. οἷς γὰρ οὐ χαίρεις, ἀλλ' ἀλγεῖς μάλιστα· καὶ πλήττῃ μέσην αὐτὴν τὴν καρδίαν, τούτων ἀμέλει καὶ τὴν κατάληψιν φεύγεις· καὶ ἀσύνετος εἶναι περὶ ταῦθ' αἱρῇ, καὶ μύεις ἑκών γε εἶναι τὼ τῆς διανοίας ὀφθαλμὼ· μᾶλλον δὲ ἄκων ὥς γ' ἐρεῖν μετ'

10,7 Μένανδροι V[2] in ras. **9** Ἁλικαρνασσοῦ Se: Ἀλικαρνασοῦ V (fort. servandum) **13** ἐπαινετόν V[2]Se: ἐπαιτόν V **27** κρίσις ⟨καὶ⟩ ἀντίληψις coni. Se

10,14–15 Pind., Olymp. 2, 94; Niceph. Choumn., Ad malevol. (pp. 379, 26–380, 1) **23** Niceph. Choumn., Ad malevol. (p. 374, 1–7) **26** cf. Galen., De sympt. causis (VII, p. 105, 16–19)

ἀληθείας τῷ πάθει. καὶ συγγνώμη σοι τυχὸν ἴσως ἐντεῦθεν· καὶ οἶκτος ἂν εἴη τῆς νόσου, ὅτι δὴ καὶ πάντες, τὰ σφίσιν ἀνιαρὰ κατὰ φύσιν ἐκτρέπονται.

11. Σὺ δὲ καὶ πολὺ μάλισθ' οὕτω πεφυκὼς δῆλος εἶ· καί τινες ἤδη κἀμοῦ τε καὶ σοῦ βελτίους, τοῦτ' ἐπὶ σοῦ κατανενοήκασιν εὖ μάλα· ὡς ἃ μέν σοι κατὰ βούλησιν λέγεται, καὶ ἥδιστα ἀκούεις· καὶ προσέχεις εὖ μάλα σφίσι τὸν νοῦν· ἃ δὲ μὴ οὕτω, οὐδὲ προσορᾶν ἀξιοῖς· οὐδ' ἐπαΐειν ὅλως δύνῃ· καὶ ὃς μὲν ἐπαινεῖ τὰ σὰ καὶ θαυμάζειν οἷός τέ ἐστι· καὶ τρυφῶν σου τῆς εὐκολίας καὶ φιλαυτίας ἀκράτου· καὶ πᾶν μέτρον ὑπερβαλλούσης οἰήσεως· καὶ ὀφρύος· καὶ ὄγκου, πάντ' ἄριστος οὗτος ἀνὴρ· καὶ σοφὸς συνεῖναι· ὃς δ' ἂν μὴ οὕτω δρῴη, μὴ δὲ συνακολασταίνῃ ταῖς σαῖς ἀλογίστοις ἐλπίσι καὶ δόξαις (μέτριος ἔοικεν ὁπῃοῦν καὶ σωφρονικὸς ἄνθρωπος), σκαιὸς οὗτος καὶ ἀγροῖκος· καὶ ἀμαθέστατος, τὴν σκάφην σκάφην λέγων κατὰ τὴν παροιμίαν· καὶ τῆς σῆς μεγαλειότητος καθάπαξ ἀσύνετος. οὕτω δὴ καὶ τὰ σὰ θαυμαστῶς νοσεῖς καὶ τὰ ἀλλότρια, καὶ μάλισθ' ὧν φθόνος, αἱρεῖ σε. οὐκοῦν οὔτε θαυμάζομεν, οὔτ' ἀγνοοῦμεν, ὅπως τὰ παρ' ἡμῶν οὐκ ἔχεις καθορᾶν οὔτε ξυνιέναι· μὴ δὲ σύ γ' ὦ βέλτιστε περὶ τούτων ἀπόρει· μὴ δ' ἐκ τούτου καθ' ἡμῶν μέμψιν, ἀλλὰ σοῦ γε μᾶλλον προφέρων ἀγνόει. ἀλλ' εὖ γε μάλιστ' ἴσθι ὡς τοῖς ἄλλοις καὶ ὅσοι μὴ κατὰ σὲ βασκαίνουσιν, εὐσύνοπτα φθεγγόμεθα. καὶ ὡς ἄρα περὶ ἃ φθεγγόμεθα διατίθενται, πυνθάνου τῶν ἐντυγχανόντων· καὶ ἴσως ἄν γε μᾶλλον τὴν καρδίαν πεπλήξῃ· καὶ καταγνώσῃ σαυτοῦ· καὶ ὅπως ἄρα τὴν καθ' ἡμῶν καὶ τῶν ἡμετέρων συνταγμάτων ταύτην σὴν ἄγνοιαν, εἰς ἔλεγχον | οὐχ ἡμῶν μᾶλλον ἢ σαυτοῦ προφέρεις. εἰ μὲν γὰρ πάνυ f. 324 τοι τῶν καθ' ἡμᾶς νῦν σοφῶν ἀνδρῶν καὶ δοκίμων περὶ τοὺς λόγους πάντων ὑπερφέροντα πλεῖστον ὅσον κρίνεις σαυτόν, οἷς τὰ ταπεινὰ καὶ παντάπασιν εὐτελῆ σοι καὶ ἐπονείδιστα συντάγμαθ' ἡμῶν εὐμαθῆ καὶ δοκεῖ γε ἄττα δὴ καὶ δοκοίη, θαυμάζω τίς ἡ μεγάλη σοι καθ' ἡμῶν αὕτη, μᾶλλον δὲ κατὰ πάντων ἀνθρώπων ὁμοῦ σοφία, τῆς τῶν ἡμετέρων ἀγνοίας· καὶ εὐδαιμονοίης οὕτω τὰ καθ' ἡμᾶς, ἀμαθὴς ὤν, ἄριστε. εἰ δ' ἄρα πάντων λέγεις ἥττονα

11,9 συνακολασταίνῃ V[1]Se: συνακολασταίνει V

11,11 Karathanasis 147 **14–15** Niceph. Choumn., Ad malevol. (p. 374, 1–7)

τὴν σοφίαν σαυτὸν, ὥσθ’ ἃ συνορῶσιν ἅπαντες αὐτὸς ἀγνοεῖν μόνος, ἔστω σοι καὶ τοῦτο· καὶ καθ’ ὁπότερον βούλει τρέφε τὸν σὸν φθόνον, ἢ τὸ πλέον, ἢ κατὰ πάντας δοκεῖν σοφώτερος εἶναι τῇ τῶν ἡμετέρων βιβλίων ἀσυνεσίᾳ καὶ ἀμαθίᾳ· ἢ τὸ πάντων δεύτερος εἶναι τὰ ληπτὰ πᾶσιν αὐτὸς ἀγνοῶν· καὶ ὡς ἀληθῶς ἀγνοῶν τῷ φθόνῳ.

12. Καὶ τοῦτο μὲν ἑκατέρωθεν, οὕτω σοι διδόαμεν· καὶ συγχωροῦμεν. ὅτι δ’ ἅπαντα τὰ τῶν παλαιῶν ἐκείνων καὶ πανσόφων ἀνδρῶν κατανοεῖν εὖ μάλα λέγεις· καὶ βρενθύῃ καὶ μέγα φρονεῖς· καὶ Ἀριστείδης σοι· καὶ Δημοσθένης· καὶ Πλάτων εὐσύνοπτα φθέγγονται, μάλιστα μὲν ἀπορῶ καὶ θαυμάζω, πῶς οὐκ ἐν τῷ καταλόγῳ σοι τῶν ὀνομάτων καὶ Θουκυδίδης παλαιὸς ἀνὴρ· καὶ πολλοῦ τοῖς Ἕλλησι λόγου, καὶ πάντων μάλιστα Δημοσθένει, εἰ μὴ καὶ οὗτος ἐς Κυνόσαργες σὺν ἡμῖν ἀπέρριπται, σκαιὸς ἀνὴρ καὶ ἀσαφῆ φθεγγόμενος· καὶ τῆς σῆς σοφίας· καὶ εὐκολίας καὶ ῥᾳστώνης ἀλλότρια. ἔπειτα βραχεῖαν σου τινὰ ταύτην αἴτησιν ἡμεῖς αἰτούμεθα σοφώτατε, μεταδοῦναι φιλανθρώπως ἡμῖν τῆς σῆς εὐμαθίας· καὶ χάρισαι τοσοῦτον ἡμῖν διψῶσι τῆς σῆς περιουσίας τῶν λόγων, ὅσον ἐξηγήσασθαι καὶ δῆλον ἡμῖν θέσθαι, τὸν Παρμενίδην τοῦ Πλάτωνος καὶ τὸν Τίμαιον· καὶ μάλισθ’ ὅσα κατὰ τοῦτον ἀνὴρ ἐκεῖνος περὶ τῆς γενέσεως τῆς ψυχῆς, διέξεισι· καὶ τὰς ἐνταῦθα μουσικὰς καὶ ἀριθμητικὰς θεωρίας, σαφεῖς ἡμῖν ποίησον, ἐργώδεις δοκούσας· καὶ μὴ ῥᾷστ’ εὐλήπτους νοεῖν. πρόθυμοί σοι παρέχομεν ἡμεῖς, αὐτοὺς ἡμᾶς εἰς ταῦτα, καὶ ποθοῦμεν πάνυ τοι μεταμανθάνειν, τῆς σῆς σοφίας, ἀπὸ πολλῶν ὀλίγα ταῦτα, τῶν ἐκείνου βιβλίων. καὶ τοίνυν εὖ ἂν δρῴης ὀλίγῳ πόνῳ (πάντα γὰρ ὡς λέγεις τὰ Πλάτωνος, ἐντελέστατα κατανοήσας
f. 324v ἔχεις), χάριτας ἡμῶν ἀπολαμβάνων μεγίστας. οὐ γὰρ | ἀγνώμονές σοι λοιπὸν ἑξῆς ἀντιβλέψομεν ὅλως εὐεργετούμενοι· ἀλλὰ κατὰ πάντων ἀνθρώπων, κήρυκές σοι τῆς μεγάλης σοφίας ἐσόμεθα· καὶ σὲ μόνον ἄξιον ὁμιλητὴν καὶ ἐπόπτην τῶν θαυμαστῶν τοῦ Πλάτωνος βιβλίων καὶ τῆς ἐκείνου μεγαλοφυίας ἀναγορεύσομεν, παρρησίᾳ· καὶ πολλοὺς ἄλλους σοι σὺν ἡμῖν τῶν νῦν περὶ λόγους

12,4–6 Ibid. (pp. 371, 1–3 et 370, 22–24) **8** Dion. Halic., De Thucyd. 53 (p. 412, 20) | CPG I, 246, 8; Greg. Naz., Or. 4, 105, 9 (p. 256) **15** Plat., Tim. 43a sqq. **21–22** Niceph. Choumn., Ad malevol. (p. 371, 1–3)

μαθητὰς προσάξομεν· οὓς μέγας ἔρως ἔχει τῆς τοῦ Πλάτωνος σοφίας· καὶ πολλοῦ τιμήσαιντ' ἄν, ἐντελέστατα τοῖς αὐτοῦ συνεῖναι καὶ χρῆσθαι· καὶ σοῦ διδάσκεσθαι καὶ μεταμανθάνειν, τοῦ πάντα καλῶς εἰδότος καὶ παμπλήρους, ἁπάσης σοφίας τοῦ Πλάτωνος, ἃ μὴ ῥᾳδίως αὐτοὶ κατανοεῖν ἔχουσιν.

13. Ἀλλ' οἴμοι δειλιῶ καὶ δέδοικ' ἔγωγε, μὴ οὐκ ἄν, πείθοιό μοι· μὴ δὲ διδοίης ἑαυτὸν διδάσκαλον ἐμοί, τῶν πολυποθήτων βιβλίων (πόθεν;), ὅς γε μὴ δ' ὅ,τί ποτέ ἐστιν ἀναλογία μουσικὴ μὴ δ' ὅ,τί ποτ' ἐστὶν αὖθις ἀριθμητική, τὴν ἀρχὴν δὲ μὴ δ' ὅ,τί ποτέ ἐστιν ὅλως ἀναλογία, δοκεῖς μοι ξυνιέναι· περὶ ἃ μάλιστα σπουδάζων ὁ Πλάτων δῆλος ἐστί· καὶ τοσοῦτον ὥστε καὶ ἀφορμὰς δοῦναι τῷ φιλονείκῳ καὶ ἀγνώμονι περὶ αὐτὸν Ἀριστοτέλει καταιτιᾶσθαι, ὡς ἄρα μὴ κατὰ καιρὸν τὰς τῶν μαθηματικῶν ἀρχὰς ἐπὶ τῶν φυσικῶν ὑποτιθέμενος. ἀλλὰ σοί γε τῷ σπουδαστῇ Πλάτωνος καὶ πάντα τελεώτατα κατανενοηκότι, τὰ τῆς ἐκείνου σοφίας, οὐδὲν ἢ βραχὺ περὶ τούτων ἐμέλησεν. ἀλλ' εἰ μὴ σοί γε περὶ τούτων, ἀλλ' ἡμῖν γε περὶ τούτων κομιδῇ μέλει· καὶ τοσοῦτον γε τῆς ἐν τούτοις ἐπιστήμης εὖ ἡμῖν ἤσκηται, ὅσον αὐτὰ βοᾷ τὰ πράγματα τοῖς ἀκούουσι· κἂν εἰ σὺ μὴ ἀκούοις ἐπιφράττων τῷ περὶ τούτων κρότῳ καὶ τῇ βροντῇ τὰ ὦτα· καὶ ὅσον αὐτὰ τὰ περὶ τούτων ἡμῖν πλεῖστα συντάγματα, δῆλον ποιεῖται τοῖς ὁρῶσι· κἂν εἰ σὺ μὴ ὁρῴης μύων ὡς εἴρηται βασκανίᾳ τὼ ὀφθαλμὼ· καὶ ἄχθη πιέζοντά σοι τὴν καρδίαν ταῦτα δοκεῖς.

14. Ἀτὰρ εἰ μὴ σύ γε αἱρῇ τά γε τοιαῦτ' ὦ βέλτιστε (καὶ ἔστω σοι τὰ παρὰ τοῦ Πλάτωνος, περὶ ὧν νῦν προβραχέος ὁ λόγος), εἰ σὺ τοίνυν μὴ περὶ τούτων αἱρῇ διδάσκειν ἡμᾶς (οὐδὲ δύνῃ γάρ), εἰ βούλει πρὸς βραχὺ, κατάσπασον τὴν ὀφρῦν· κατάθες τὸν φθόνον· γενοῦ σαυτοῦ· γενοῦ τῆς περὶ ταῦτ' ἀμαθίας, ἐπιγνώμων τῆς σῆς· καὶ πόνησον εἰ καὶ μὴ εἴωθας· καὶ πειράθητί γε ἡμῶν, εἰ οἷοι τ' ἐσμὲν, περὶ τούτων διδάσκειν, κἂν εἰ μὴ σοί γε περὶ τούτων οὕτω δόξαι· καὶ συγχωρήσαις μέγιστα τῆς σοφίας | εἶναι ταῦτα, καὶ f. 325

12,29 τιμήσαιντ' V[2]Se: τιμήσαιτ' V **13,11** σοί V[1]Se: σὺ V **14,3** οὐδὲ V: οὐ δὴ Se

13,8–9 Arist., Metaph. 1028b20–21

ἡμᾶς εὖ μάλ' ἠσκῆσθαι· καὶ ὡς οἷον τ' ἐστὶν ἀκριβέστατ' ἐνταῦθα, φάσκειν ἐμὲ τοῦ λοιποῦ μαίνεσθαι· καὶ περὶ τὰ μηδενὸς ἄξια λόγου καὶ φαῦλα, μάτην πονεῖν· καὶ τρίβειν ἀκαιρίᾳ πάσῃ ληροῦντα, ὡς οὐ μή ποτε τοῦτο φαίη τις ἄν, οὐδὲ σύ γ' αὐτὸς, πάνυ τοι θαυμάζων τὰ Πλάτωνος· καὶ Ἀριστοτέλους αὐτοῦ· καὶ προσιέμενος, ὅσα περὶ φιλοσοφίας ὑπαγορεύουσιν. Ἀριστοτέλης μέν γ' αὐτὸς φησὶν, ἐν τοῖς Μετὰ τὰ Φυσικὰ, ὡς «αἱρούμεθα ἑτέραν πρὸ ἑτέρας· ἐπιστήμην ἐπιστήμης· τῷ ἀκριβεστέραν εἶναι, ἄλλην ἄλλης· ἢ τῷ βελτιόνων καὶ τιμιωτέρων εἶναι τῶν ὑποκειμένων»· καὶ τοῦτο δὴ συγχωρήσαιεν ἡμῖν διαφερόντως ὑπάρχειν ταῖς μαθηματικαῖς τῶν ἐπιστημῶν· καὶ ὅτι τὰ περὶ τὸν οὐρανὸν θεωρήματα τιμιωτάτην ἔχοντα καὶ θειοτάτην τάξιν τῶν ἡμῖν αἰσθητῶν, διὰ τῆς ἀστρολογικῆς ἐπιστήμης γνωρίζεσθαι πέφυκε.

15. Οὕτω δὴ μεγίστην τὴν περὶ τῶν τοιούτων ἐπιστήμην τίθεται· καὶ μεγάλου πράγματος ἐπιτυχῆ τὸν ἐν τούτοις σπουδάσαντα· καὶ τοιαύτας περὶ ἡμῶν μαρτυρίας, φθάσας Ἀριστοτέλης σοι παρέχεται, ῥήγνυσθαι διδοὺς ἀφορμάς σοι. ὁ δέ γε σὸς Πλάτων ἄνευ τῶν ἄλλων πολλῶν τε καὶ ἐν πολλοῖς τῶν αὐτοῦ ἅ γ' ἐν τῇ Ἐπινομίδι φησὶν, οἶδας πάντως· καὶ ἀκούω σε ταῦτα διὰ μνήμης ποιεῖσθαι· καὶ ὡς ἄρα τοῦτον αὐτὸς καλεῖ τὸν «ἀληθείᾳ σοφώτατον τὸν πάντα ταῦτ' εἰληφότα», ἃ καταμέρος φησὶν, «πᾶν διάγραμμα· καὶ ἀριθμοῦ σύστημα καὶ ἁρμονίας σύστασιν ἅπασαν τήν τε τῆς τῶν ἄστρων περιφορᾶς· ἀναλογίαν μίαν οὖσαν ἁπάντων», σαφῶς οὑτωσὶ λέγων, τὸν περὶ τῶν τεσσάρων μαθημάτων· γεωμετρικῆς· ἀριθμητικῆς· μουσικῆς· ἀστρονομικῆς ἐπιστήμονα, ὧν εἰ μὴ ἡμεῖς ἐπιστήμονες ὡς εἴ τις ἄλλος ἄλλου του (σὺν Θεῷ δ' ὁ λόγος καὶ σὺ βάσκαινε καθ' ὅσον οἷος τ' εἶ), παρόντων οἱ μετ' ἀληθείας ἐξετάζειν βουλόμενοι· καὶ πεῖραν λαμβανόντων· καὶ

18 ⟨ἅπαντες⟩ συγχωρήσαιεν coni. Se, cf. textum Introductionis Astronomiae Theodori Metochitae **15,3** περὶ VSe: an ὑπὲρ scribendum? **14** βάσκανε V: βάσκαινε Se

14,15–21 Arist., Top. 157a9–10; De anim. 402a2–3; cf. etiam Iambl., De comm. math. scient. 23 (p. 72, 8–12) **19–21** Iambl., De comm. math. scient. 23 (p. 72, 16–19) **15,4–7** Niceph. Choumn., Ad malevol. (p. 384, 12–16) **6–8** Ps.-Plat., Epin. 992b; Iambl., De comm. math. scient. 7 (p. 31, 12–14) **9–11** Ibid. 991e; Iambl. De comm. math. scient. 6 (p. 20, 26–21)

(θαρροῦντες φαμὲν), γνώσονται. ἐν δὲ τῷ αὐτῷ Πλάτων αὖθις βιβλίῳ τὸν περὶ τῶν ὀκτὼ σεπτῶν ὡς αὐτός φησιν οὐρανίων περιόδων θεωροῦντα· ἀλλὰ μὴ κατὰ τὸν Ἡσίοδον· καὶ τοὺς γεωργικοὺς καὶ ναυτικοὺς ἴσως ἀνατολάς τινας καὶ δύσεις ἀστέρων, πρὸς τὸ καίριον τῆς χρείας ἐπισκεπτόμενον κατ' ἐμπειρίαν δή τινα ταύτην ἀλόγιστον, ὧν ὅτι γε ἡμεῖς ἐσμὲν ἀλλότριοι, καὶ τυφλῷ δῆλον, κἂν εἰ μὴ τῇ σῇ βασκανίᾳ, καὶ μάταιος ἂν εἴη | f. 325v πόνος περὶ τούτων ἀποδείξεις ποιεῖσθαι, τὸν γοῦν περὶ τῶν εἰρημένων περιόδων αὐτὸς Πλάτων ὡς ἔχουσι δυνάμενον θεωρεῖν· ⟨...⟩ καὶ παρρησίᾳ διδάσκειν τοῖς ἐλλογίμοις ἀκριβῆ τε καὶ ἀληθῆ καὶ τῆς Πλατωνικῆς ἐπιστήμης, ἄξιά τε καὶ σύμφωνα, κἂν εἰ σοὶ καὶ τῇ σῇ ἀκαιρίᾳ καὶ τῷ φθόνῳ καθάπαξ ἔκτροπα καὶ οὐκ εὔληπτα, ἔχομεν οἷος ἐστὶ ἐξ ἐκείνου πάλαι τῶν χρόνων προαγορεύοντος τὴν περὶ ἡμῶν κρίσιν· καὶ ὁποῖοί τινες αὐτῷ δοκοῦμεν ταῖς ἀληθείαις εἶναι, ταῖς ἀληθείαις ὄντες, τῶν γε τοιούτων ἐπιστήμονες· κἂν εἰ σὺ μὴ βούλει καὶ λογογραφῇς καθ' ἡμῶν βιβλία, ὡς τἀναντία τοῖς Πλάτωνος δόγμασι περὶ τὴν ἀστρονομικὴν ἐπιστήμην φρονούντων.

16. Εὖ γε σοι τοῦ τάχους ὦ γενναῖε, ὡς κάλλιστ' ἀπέδειξας παραχρῆμα τὴν κατάληψιν καὶ τὴν ἐπιστήμην ἣν ἔχεις, περὶ τὰ τοῦ Πλάτωνος. χάρις σοι τῆς ἀποδείξεως τῶν λόγων. εὖ γε μάλ' ἐσπούδασται τὰ Πλάτωνος. πῶς ἄν, βέλτιον ἡμῖν συνηγόρησας· ὡς οὐδέν σοι κοινὸν καὶ τοῖς τοῦ Πλάτωνος λόγοις· ἢ πῶς, ἂν βέλτιον, τοῖς ἑξῆς μεθ' ἡμᾶς ἀποδείξαις σαυτόν, ὡς εὖ μάλ' ἤσκηταί σοι τὰ τοῦ Πλάτωνος· καὶ περὶ τούτων ἀκριβῶς ἔχεις διδάσκειν, ἢ οὕτω τὰ περὶ τῶν οὐρανίων περιόδων αὐτοῦ καθ' ἡμῶν ἐξηγούμενος καὶ διαφθείρων· καὶ μὴ δ' ὁτιοῦν ἐπαΐων περὶ ὧν ἐκεῖνος ἐν τούτοις φησί; πρὸς τῶν λόγων, μὴ διαλύσαις τὸ σύνταγμα· μὴ δὲ μεταποιήσαις αὐτά σου ἃ φθάσας γεννικῶς ἀστρονομεῖς· ὡς ἀκούω σε πειρώμενον μεταποιεῖν ἀποδιδρά-

24 post θεωρεῖν lacunam statuit Se **27** τῇ σῇ V[2]Se: τῇ V **28** οἷος ἐστὶν scripsimus nota V in margine (σ κείμενον οἷος ἐστὶν, fort. manu Metochitae) moniti: om. VSe

18–21 Ibid. 990a **21** Karathanasis 91 **31–33** Niceph. Choumn., Ad malevol. (p. 365, 1–5)

σκοντα τὸ γελοῖον· καὶ ὄντι γε, λύπη μ' ἔχει περὶ τούτου. εἶτ' οὐκ ἄμεινον ἦν σοι περὶ τούτων σιγᾶν; εἶτ' οὐκ ἄμεινον ἦν σοι, κἂν εἰ περὶ πάντων τῶν ἄλλων τῶν τοῦ Πλάτωνος κρίνοις σεαυτὸν ἀκριβέστερον ἐπιστήμονα καὶ διδάσκαλον, περὶ τῶν γε κατὰ τὴν ἀστρονομικὴν ἐπιστήμην ἐκτρέπεσθαι καὶ συσκιάζειν ὡς οἷον τ' ἦν τὴν ἐν τούτοις σὴν ἀμαθίαν ἀλλὰ μὴ θριαμβεύειν τῇ τῶν πολλῶν ἐποπτείᾳ καὶ φιλενδεικτεῖν παντάπασιν ἄκαιρα καὶ γελοίως, καὶ τοῖς ἀμαθεστάτοις αὐτοῖς εὐέλεγκτα; ἢ τί γε ἄν, εἴη τοῖς σοῖς ἐχθίστοις ἥδιον· ἢ τί γε ἄν, εἴη σκῶμμα κατὰ σοῦ χαριέστερον, ἢ ὅτι γε Πλάτωνα δοκεῖς μὴ διδάσκειν, ὡς αἱ μετὰ τὴν πρώτην τῶν οὐρανίων φορὰν λοιπαὶ μετ' αὐτήν, ἑξῆς, ἐναντία ταύτῃ περιοδεύουσιν; οὕτω ξυνορᾷς τὰ τοῦ Πλάτωνος; οὕτω διδάσκεις τοῖς ἀμαθέσιν ἡμῖν | καὶ πρὸς ταῦτα μετ' ἀληθείας τἀναντία φρονοῦσι καὶ ἀντιφθεγγομένοις; ὡς εὐδαίμονα τὸν θαυμαστὸν ἀπέδειξας Πλάτωνα, εὐτυχήσαντα τοιούτου σοῦ προηγόρου, τῶν αὐτοῦ βιβλίων, καὶ τῆς αὐτοῦ σοφίας ἐξηγητοῦ καὶ προστάτου.

f. 326

17. Καὶ μὴν εἰ μὴ πείθῃ παρὰ τοῦ Πλάτωνος ὡς νοεῖς ἄρα τοῦτο διδασκόμενος, ἐναντίας εἶναι τὰς ἑξῆς περιόδους τῶν οὐρανίων σωμάτων, τῇ πρώτῃ καὶ καθόλου καὶ ἐπὶ πάντων φορᾷ, πρόκυψον δυσὶ νυξὶ συνεχῶς βραχὺ τοῦ δωματίου· εἰ δὲ βούλει πρόελθε μικρὸν εἰς τὴν αὔλιον αἴθριος, καὶ κατασκόπησον τὴν σελήνην· κἂν εἰ μὴ πιστεύοις ἡμῖν ἐναντιουμένοις ἐς ἀστρονομίαν τῷ θαυμαστῷ Πλάτωνι, πιστεύσαις ἂν οἶμαι δικαίως τοῖς σοῖς ὀφθαλμοῖς. ὄψει γὰρ τὴν σελήνην, μὴ τοὺς αὐτοὺς ἐπέχουσαν κατ' οὐρανὸν τόπους, ἐν ἀμφοτέραις ταῖς νυξὶν· ἀλλὰ προχωρήσασαν τῇ δευτέρᾳ νυκτί, ἀφ' οὗ τόπου κατὰ τὴν προτέραν ἦν, ὁσονδήποτε πρὸς ἕω, φερομένην πάντως εἰς τἀναντία τῇ πρώτῃ καὶ ὑπερτάτῃ φορᾷ· τῇ περιιούσῃ συνεχῶς καὶ ἀπαύστως· καὶ πάντα συνελκούσῃ τὰ οὐράνια καὶ τοὺς ἀστέρας βίᾳ, παρὰ τὴν αὐτῶν ἰδιοτροπίαν, ἀπ' ἀνατολῶν εἰς δυσμάς. οὕτως ἡμεῖς σκαιῶς σοι καὶ ἀγροικικῶς τἀναντία τοῖς δόγμασι τοῦ Πλάτωνος οἷς συνηγορεῖς ὑποτιθέμεθα.

16,13 an ⟨τῷ⟩ ὄντι scribendum? **16** ἀκριβέστερον VSe: an ἀκριβέστατον scribendum? **28** βιβλίων Se: βιβλίοον V[2], βιβλίον V **17,5** αὔλειον Se: αὔλιον V

16,22–24 Ibid. (p. 389, 11–15) **17,4** cf. Greg. Naz., Epist. 64, 1 (I, p. 83)

ἀλλ’ οὐκ ἔστι τοῦτ’ οὐκ ἔστιν, ὦ βέλτιστε. τί μάτην πονεῖς· καὶ ἀκαιρίᾳ πομπεύεις κατὰ σαυτοῦ, μὴ δὲ τοσοῦτο χρήσιμος σεαυτῷ γινόμενος, ὥστε μὴ κατελέγχειν ἀμαθῆ παντάπασι σεαυτὸν τῶν τοῦ Πλάτωνος· καὶ ὧν ἡμεῖς αὐτῷ μάλιστα συμφωνοῦντες καὶ κατὰ τὴν αὐτοῦ κρίσιν τὴν μαθηματικὴν ἐπιστήμην μάλιστα θαυμάζοντες· καὶ ἀκριβούμενοι φθεγγόμεθα;

18. Καίτοι τί ταῦτα λέγεις ὦ βέλτιστε σύ; τί δὲ διὰ τὴν πρὸς ἡμᾶς σου βασκανίαν καὶ δύσνοιαν καὶ ἐπιβουλὴν καὶ μάχην ἀγνοεῖς ἐπειγόμενος κατὰ σεαυτοῦ; καὶ ὁ μὲν τοῦ Δαρείου Γωβρύας, ὠθεῖν προυτρέπετο τὸ ξίφος, κατὰ φίλου τὲ ἅμα καὶ κατ’ ἐχθροῦ. σὺ δὲ κατὰ σαυτοῦ μᾶλλον τὴν γλῶσσαν ὁπλίζεις καὶ κινεῖς, ἐχθροὺς συκοφαντεῖν αἱρούμενος. τί γὰρ ὥσπερ μανδραγόραν τινὰ πεπωκώς, ἢ τοῦ τῆς Λήθης μετασχὼν νάματος ἐπιλέλησαι τῶν σαυτοῦ; ὁπότε γὰρ πᾶσα πρὸς τὸν θαυμαστὸν Πλάτωνα εὐλάβεια καὶ αἰδὼς ὀφείλεται· καὶ μαίνοιτ’ ἂν ὅστις πρὸς τὴν ἐκείνου σοφίαν ἀντιβλέπειν ὅλως αἱροῖτ’ ἄν· καὶ ἀντιφιλοσοφεῖν καὶ ἀντιφθέγγεσθαι, τί κρίνεις περὶ σεαυτοῦ; τίνα τὴν δίκην ἐπάγεις; ποῦ σοι τὰ θαυμαστὰ βιβλία | χωρήσει· ἃ κατὰ Πλάτωνος ἀντιφιλοσοφεῖς καὶ προφέρεις, παρρησίᾳ τοὺς ἀνθρώπους, εὐεργετῶν καὶ ἀναδιδάσκων, καὶ θέατρα συγκαλεῖς ἑαυτῷ· καὶ τοὺς νῦν ἐλλογίμους ἀκροασομένους, τῆς σῆς μεγίστης σοφίας καὶ κράτους· καὶ τόλμης κατὰ Πλάτωνος, καὶ τῶν παλαιῶν ἐκείνων μεγαλωνύμων ἀνδρῶν· καὶ μέσος προκαθήμενος ἀναγινωσκομένων τῶν σῶν, ὀργιάζεις καὶ ἐπικροτεῖς παντοίοις ἀηδίας σχήμασι· νῦν μὲν ἀναπηδῶν τοῦ σκίμποδος· νῦν δὲ συμπίπτων καὶ συνιζάνων· καὶ χειρονομίαις πάσαις· καὶ κεφαλῆς κλίσεσι· καὶ αὐχένος· καὶ στροφαῖς καὶ ἀντιστροφαῖς παντοίαις τοῦ σώματος ἐξοιστρούμενος· καὶ γέλωτος ἀφορμάς· καὶ πλείστην διατριβὴν τοῖς λόγοις, ἔπειθ’ ὕστερον ἐξιοῦσιν, ἀπὸ σοῦ τοῖς ἀκροαταῖς τε καὶ θεαταῖς παρέχων; δέον γὰρ αὐτοὺς ἐμμελετᾶν καὶ προσέχειν, εὖ μάλα τὸν νοῦν τῇ σῇ σοφίᾳ καὶ γεννικοῖς ἐπιχειρήμασι κατὰ τῆς τῶν παλαιῶν ἐκείνων καὶ μεγάλων δοκούντων ἀμαθίας· καὶ τὰ f. 326v

18,7 πεπωκὼς Se: πεποκὼς V

18,3–4 Herodot. 3, 78, 5 **6–7** cf. Demosth., Philipp. 4, 6 **18–24** cf. Greg. Naz., Or. 5, 23, 15–24 (p. 338)

πάντων ἀπ’ αἰῶνος ἀξιολογώτατα κέρδη κτᾶσθαι, οἱ δὲ (φεῦ τῆς σκαιότητος καὶ ὀλιγωρίας καὶ βδελλυρίας), τῶν σῶν ἐπιθειασμῶν, ὅλοι γίγνονται καὶ τοῦ κόρδακος καὶ τῆς βακχείας, ὧν ἐπὶ τοῖς λεγομένοις ὁρῶσι παρὰ σοῦ· καὶ περὶ ταῦτα τὸν νοῦν στρέφουσι· καὶ κακοὶ κακῶς καὶ δυσνοϊκῶς ἐγγελῶντες καὶ ἐπισκώπτοντες διατρίβουσιν. ἀλλ’ ὅπερ ἔλεγον, λέληθας ἐπηρεάζων ὦ γενναῖε σαυτῷ· καὶ τοῖς σοῖς κατὰ τοῦ Πλάτωνος συντάγμασι, κατελέγχων ἡμᾶς τὰ μὴ ὄντα· καὶ ὡς ἀντιφιλοσοφοῦμεν ἐπανιστάμενοι Πλάτωνι. ἢ σαυτῷ μὲν σὺ, τοῦτο δίδως μόνῳ· καὶ κατὰ πάντων ἔξεστί σοι παλαιῶν τε καὶ νέων καὶ τῶν ἐν μεγίστῳ λόγῳ πᾶσι τὲ καὶ σοί· καὶ τῶν οὐδενὸς ἀξίων σοι λόγου καταθρασύνεσθαι καὶ ἀμαθαίνειν· καὶ ἀντιλέγειν· καὶ ἀντιπράττειν· καὶ ἡμεῖς τοῦτο σοι συγχωροῦμεν· ἡμῖν δ’ οὐκέτι δίδως· οὐδὲ θέμις οὐδ’ ἄλλοις οἱστισινοῦν κατὰ πάντων μετὰ σοῦ μαίνεσθαι; καὶ μὴ κάμοις γε οὕτως ὦ θαυμάσιε κατὰ πάντων ἀγωνιζόμενος ἀνθρώπων· καὶ μόνῳ σοι τοῦτ’ εἴη· καὶ φιλάνθρωπος ἀποβλέποιο διδάσκαλος πάσης σοφίας· καὶ θαυμάζοιο τῇ κατὰ πάντων ἀνθρώπων ἐπιμελείᾳ καὶ βασκανίᾳ τοὺς νῦν ἀνθρώπους εὐεργετῶν.

19. Τὸν μὲν οὖν σοφιστὴν φασὶ Διονύσιον, εὖ μάλ’ ἡδόμενον τῇ
f. 327 τοῦ ῥήτορος Αἰσχίνου δεινότητι καὶ τέχνῃ καὶ εὐφωνίᾳ | καὶ λυπούμενον αὖ διὰ τὸν ὀλίγον ἀριθμὸν τῶν αὐτοῦ συνταγμάτων (τρεῖς γὰρ δὴ καὶ μόνους οὑτοσὶ λόγους Αἰσχίνης ἐξήνεγκε), τὸν γοῦν Διονύσιον δὴ τοῦτον φασὶ ἀναγινώσκοντα τὸ προοίμιον τοῦ Κατὰ Τιμάρχου λόγου τοῦ ῥήτορος Αἰσχίνου, ἐν ᾧ φησιν «οὐδένα πώποτε τῶν πολιτῶν ὦ ἄνδρες Ἀθηναῖοι οὔτε γραφὴν γραψάμενος οὔτ’ ἐν εὐθύναις λυπήσας», αὐτόθεν φάναι· «εἴθε πολλοὺς ὦ βέλτιστε τῶν σῶν πολιτῶν γραφὰς ἐγράψω, εἴθε πολλοὺς ἐν εὐθύναις ἐλύπησας, ὡς ἄν, εἴχομέν σου καὶ πλείω κάλλιστα συντάγματα· καὶ ὑποδείγματα τῆς ἐν τῷ λέγειν ἐπαινετῆς χρήσεως». ἀλλ’ ἡμῖν γε σὺ, πλεῖστα μὲν ὦ γενναῖε· καὶ τοῖς μεθ’ ἡμᾶς κατ’ ἀνθρώπων βιβλία προήνεγκας, ἀντιπαλαμώμενος καὶ κατεπιχειρῶν καὶ κατατρέχων κραταιὸς· καὶ ἀφειδὴς καὶ ἀπτόητος, εἰς

27 οἱ V: οἳ Se **28** βδελλυρίας V, servavimus: βδελυρίας Se **29** καὶ[1] add. V^2
19,11 ὑποδείγματα V^2Se: ὑποδείγματι V

19,6–8 Aeschin., Or. 1, 1; cf. etiam Phot. patr., Bibl., 61, 20ab (p. 59–60)

εὐεργεσίαν τοῦ βίου, καὶ τῶν περὶ λόγους σπουδαζόντων ἀνδρῶν. μὴ παύσαιο δέ γε τούτοις χαίρων· καὶ ταῦτ' ἐπιδεικνύμενος· καὶ τοιαῦτ' εὐεργετῶν τούς τε νῦν καὶ μεθ' ἡμᾶς ἀνθρώπους· καὶ πᾶσαν ἀριστεύων σοφίαν· καὶ πᾶσαν ἑαυτοῦ ποιούμενος· ὡς δὴ καὶ νῦν, εὖ μάλ' ἐπιστήμονα δεικνύεις καὶ τῆς ἀστρονομικῆς ἐπιστήμης σαυτὸν πρὸς τοῖς ἄλλοις ἅπασι· καὶ οὐδενὶ δίδως οὐδ' ἐνταῦθα πλέον, οὐ Πλάτωνι· οὐ Πτολεμαίῳ· οὐχ' Ἱππάρχῳ· οὐ Θέωνι· οὐ πᾶσιν ἄλλοις τοῖς περὶ τὰ μαθηματικὰ πονήσασιν· οὐχ ἡμῖν νῦν. μετέχομεν γὰρ καὶ ἡμεῖς τοῦ χοροῦ τῶν τοιούτων ἀνδρῶν· καὶ φαμὲν παρρησίᾳ· κἂν εἰ βασκαίνοις ῥήγνυσο.

20. Λέγεις γὰρ ὡς μανθάνω τῷ δευτέρῳ σοι τούτῳ βιβλίῳ καθ' ἡμῶν, ὡς ἄρα καὶ αὐτὸς ἔχεις τὰ τῆς ἐπονειδίστου σοι ταύτης ἀστρονομικῆς ἐπιστήμης· καὶ τίνος τῶν ταύτης σοι δεῖ· τίνος δὲ τῶν κατ' αὐτὴν πονούντων δεύτερα φέρεις. οἶδας γὰρ ὡς ἀντιφραττούσης ἡμῶν τοῖς ὀφθαλμοῖς τῆς σελήνης πρὸς τὴν τοῦ ἡλίου ἐποπτείαν, ὁ ἥλιος ἐντεῦθεν ἐκλείπειν δοκεῖ· καὶ οἶδας ὡς ἀντιφραττούσης τῇ σελήνῃ τῆς ἀπὸ τῆς γῆς σκιᾶς, ὥστε μὴ τοὺς ἀπὸ τοῦ ἡλίου φωτισμοὺς δέχεσθαι, τῷ ὄντι τῆς σελήνης τὸ φῶς ἐκλείπει, κἀντεῦθεν σκοτίζεται (καὶ ταῦτα γε τὰ τῶν ἀστρονόμων), καὶ ἀποχρώντως ἔχει σοι. ὦ τῆς μεγάλης σοφίας ἄνθρωπε, ὡς οὐκ ἔστιν ὅπώς ποτε βέλτιον ἔδρασας ἄν, | πρὸς αὐτῶν τῶν f. 327v ἐχθίστων σοι· οὐδ' ἐμπαιγμῶν χάριν κατὰ σοῦ σφίσιν ἔδωκας ἄν, καὶ ἀφορμὰς καταμωκᾶσθαι σου, ἢ ταῦτα λέγων. καὶ εἴπερ ἄρ' ἐσκόπεις καὶ προσεῖχες ἐπιμελὴς ὅπως ὡς ἄν, ἀράσαιντό τινες πάνυ τοι κατὰ σοῦ, ἢ φαίης τι ἢ δράσειας, οὐκ ἄν, πρὸς τοῦτ' ἄμεινον ἤνυσας, ἢ τοιαῦτ' εἰρηκὼς· παραπλήσιον ὥσπερ ἂν εἴ τις κεραμεὺς· ἢ σκυτεὺς· ἢ χαλκοτύπος, πρὸς γραμματικοὺς καὶ ῥητορικοὺς ἔλεγεν, «οἶδ' οἶδ' ἔγωγε τὰ σεμνὰ ταῦτα καθ' ὑμᾶς καὶ οἷς μέγα φρονεῖτε, ὡς οὐδὲν ἄλλο τί ποτ' ἐστὶν, εἴτουν τὸ συντιθέναι λέξεις, εἴτουν ὀνόματα καὶ ῥήματα· καὶ προφέρειν· καὶ τὸ μήτ' αὖθις ἀλλήλοις εὖ ξυντιθέναι, τοῦτ' ἐστὶ σφάλλεσθαι καὶ νοσεῖν».

21 οὐ[2] V[1] Se: οὐδὲ V **24** ῥήγνυσο V e corr. **20,11** πρὸς iteravit, deinde cancellavit V **18** ὑμᾶς corr. Se: ἡμᾶς V

20,1–6 Niceph. Choumn., Ad malevol. (p. 380, 15–20) **6–10** Ibid. (p. 386, 25–387, 5)

ἀλλὰ πότ’ ἄρ’ ὦ βέλτιστε· καὶ πῶς συντιθέμενα τὰ ὀνόματα ταῦτα καὶ τὰ ῥήματα καιροῦ τυγχάνει καὶ βέλτιστ’ ἔχει, καὶ μὴ· καὶ τίνες αἱ τούτων τέχναι καὶ βάσανοι, ταῦτ’ ἐστὶ τὸ πᾶν ἐνταῦθα· καὶ πλεῖστον ἐργῶδες ἀνύτειν. εἰ δὲ καὶ περὶ μουσικῶν ἔφασκες, εἰδέναι, ὅτι τοῦτ’ ἄρα σπουδάζουσιν, ἁρμόζειν πρὸς λόγον· καὶ κανονικαῖς τισὶ τῆς ἐπιστήμης κατατομαῖς, τὰς τάσεις τῶν φθόγγων καὶ τῶν χορδῶν (ἐντεῦθεν γὰρ τὰ μέλη γίνονται καὶ τὰ παντοῖα σύμφωνα διαστήματα· καὶ οἱ διάφοροι τόνοι καὶ τὰ συστήματα. εἰρήσθω γάρ σοι τὰ τοιαῦτ’ ὀνόματα, ἃ μὴ δ’ αὐτὰ ὅ,τί ποτε σημαίνειε τοῖς ἀστρονομικοῖς οἶδας· ἵν’ ἔτι μᾶλλον βασκαίνοις καὶ τὴν καρδίαν πλήττοιο), εἰ δ’ οὖν ταῦθ’ ὅμως ἔλεγες, ἆρ’ οὖν λοιπὸν εἶχες ἄν, σεαυτὸν ἁρμονικῆς ἐπιστήμονα, ἢ ἐδόκεις γ’ ἂν τοῖς νοῦν ἔχουσιν; οὐκ ἂν οἶμαι φαίης, μὴ μαίνεσθαι δοκεῖν βουλόμενος. τίνες γὰρ δὴ τῆς τέχνης κατατομαὶ· καὶ ποῖα πρὸς ἀλλήλους τῶν φθόγγων διαστήματα συντιθέμενα, ὡδίπως καὶ ὡδὶ καθιστῶσι τὰ διάφορα συστήματα τοῖς ἁρμονικοῖς ἐμμελῶς καὶ συμφώνως, καὶ τίνες αἱ παράφωνοι τούτων διαφοραὶ· καὶ πῶς τὰ παντάπασιν ἐκμελῆ συστήματα ξυμβαίνει· καὶ κατὰ τίνας τοὺς τρόπους, τοῦτ’ ἐστὶ τῆς ἐπιστήμης ταύτης σοφία καὶ χρῆσις· καὶ περὶ ταῦθ’ ὁ πόνος· καὶ μέγ’ ὄντως. κἂν εἰ σοὶ μὴ δοκῇ, ἀλλὰ Πλάτωνί γε καὶ Πυθαγόρᾳ δοκεῖ, ὅστις ταῦτ’ ἀκριβῶς οἶδε, καὶ οἷος τ’ ἐστὶν ὑπαγορεύειν καὶ τεχνιτεύειν καὶ χρῆσθαι· ἐπεὶ καὶ τὸ τὰ διεφθαρμένα μέλη κατανοεῖν ὁπῃοῦν, καὶ ἀκοαῖς μόναις ἴσως ἐπαΐειν δοίημεν ἂν· ἀλλ’ ὅπως ἄρα· καὶ πότε· καὶ
f. 328 τίσιν ἀμέλει τόποις | συμπίπτει νοσεῖν τὰ μέλη· καὶ ἀναρμόστως καὶ ἀσυμφώνως ἔχειν, τοῦτ’ ἐστὶν ἄρ’ ἡ ἐπιστήμη· καὶ τοῦτ’ ἀναγκαῖον εὖ μάλα δὴ προορᾶσθαι καὶ ξυνιέναι. οὐκοῦν μὴ δὲ σὺ φρονεῖν ὁτιοῦν ὦ βέλτιστε ὅτι γε οἶδας ὡς τὰ τοῦ ἡλίου καὶ σελήνης πάθη, δι’ ἀντίφραξιν συμβαίη, τοῦ μὲν, τῆς σελήνης· τῆς δὲ, τῆς σκιᾶς τῆς γῆς· μὴ δ’ οἴεσθαι λοιπὸν ἐντεῦθεν, ἔχειν τι τῆς ἐπιστήμης· μὴ δ’ ἀπατᾶσθαι ἢ ἀπατᾶν πειρᾶσθαι. ἀβέλτερον γὰρ τόδε παντάπασι καὶ εὐέλεγκτον· κἂν εἰ φωνὴν εἶχον ἰχθύες, ταῦτ’ ἂν ἴσως ἔφησαν καὶ αὐτοί. καὶ οὐδὲν τοῦτο μέγα κομπάζειν· οὐδ’ ἀπόδειξιν φέρει τῆς ἐπιστήμης· οὐδ’ ἐπίδειξιν τινὰ· ἀλλ’ ἐκεῖνο γ’

27 κανονικαῖς corr. Se: κανονικοῖς V **33** ἆρ’ V[2]Se: ἄρ’ V

35–40 cf. Metoch., Carm. 10, 454–474 (p. 192) **53–54** CPG II, 585, 16

ἐκεῖνο ὦ βέλτιστε, πάντως εἰδέναι, ποτὲ δὴ καὶ πῶς ταῦτα γίνεται· καὶ πότε καιρὸν ἔχει ταῦτα προλέγειν· καὶ ἐν ποίαις συνόδοις καὶ ποίαις πανσελήνοις· καὶ ἐν ποίοις τοῦ οὐρανοῦ τόποις· καὶ ἐν ποίαις διαστάσεσιν, ἀπ' ἀλλήλων ἡλίου τὲ καὶ σελήνης κατὰ μῆκος τὲ καὶ πλάτος· καὶ ὅσα τὰ ποσὰ, τῶν ἐπισκοτήσεων ἔσται· καὶ καθ' ὅσους ἄρα τοὺς χρόνους· καὶ καθ' οὓς ἄρα τῆς ἡμέρας ἢ τῆς νυκτὸς· καὶ ἀφ' οἵων τῶν μερῶν τῶν σφαιρικῶν σωμάτων, ἡλίου τὲ καὶ σελήνης· ἐπεὶ μηνὸς ἑκάστου καὶ σύνοδος τῶν μεγάλων τούτων φωστήρων· καὶ πανσεληνιακὴ διάστασις ἐκ διαμέτρου γίγνεται· ἀλλ' οὐκ ἀεὶ· οὐδ' ἑκάστου μηνὸς τὰ ἐκ τῶν ἐκλείψεων ἐπιγίνεται πάθη· οὐδ' ὁρᾶται σοι· ἀλλ' ὁπόθ' ἡμεῖς οἱ σκαιοὶ τὲ καὶ ἀμαθεῖς προλέγομεν· καὶ σύ γε πάντως πεπείρασαι καὶ οὐ κομπάζομεν εἰκῇ.

21. Καὶ σοί γε ὦ πάντα γενναῖε καὶ πάντ' εἰδὼς, ἀνάγκη λοιπὸν εἰδέναι ταῦθ' ἕκαστα καὶ προλέγειν, ἐπειδὴ καὶ ταύτης δὴ τῆς εὐτελοῦς ἐπιστήμης, ἀντιποιῇ πρὸς πᾶσιν ἄλλοις καὶ λέγεις καὶ τὰ κατ' αὐτὴν εὖ μάλ' εἰδέναι· εἰ δὲ μὴ, κόμπος ἄλλος· καὶ πρᾶγμα τοῦτ' αὐτόθεν εὐέλεγκτον· καὶ μὴ δόκει πολλοῖς ἀγνοεῖσθαι φιλενδεικτῶν, ἄκαιρα καὶ τὰ μὴ ὄντα προσποιούμενος. ὅλως δὲ μὴ δὲ τοῦτ' οἴου μόνον τὸ τῆς ἀστρονομικῆς ἐπιστήμης εἶναι, τὸ περὶ τῶν ἡλιακῶν καὶ σεληνιακῶν ἐκλείψεων· εἰδέναι τὲ καὶ προλέγειν ἀσφαλῶς ἔχειν· οὐδ' ἐν τούτῳ μέγα φρονοῦμεν ὡς λέγεις ἡμεῖς (μικρὸν μὲν γὰρ οὐδὲ τοῦτο εἰ μὴ παντάπασι πεπήρωσαι τῇ βασκανίᾳ), ἀλλ' ἔστιν ἀμέλει καὶ πλεῖστ' ἄλλα· ἀλλ' ἔστιν ἃ καὶ διαπέφευγέ σε· καὶ περὶ ἃ προλέγειν ἔστι τὸν ἐπιστήμονα· ὥσπερ ἄρα καὶ περὶ τῶν ἡλιακῶν καὶ σεληνιακῶν ἐκλείψεων· οἷον ὅτι δὴ (καὶ συγγνώμην | αἰτοῦμεν μέτρι' ἐκ f. 328v πολλῶν λέγοντες), νῦν μὲν ὅδ' ἀστὴρ προανατελεῖ τοῦ ἡλίου ἔξαυγος γινόμενος ἐπὶ τοῦ ἑῴου ὁρίζοντος πρώτως καὶ ἑξῆς πολλαῖς ἡμέραις· νῦν δ' ἐσχάτην τὴν πρὸ τοῦ ἡλίου αὐγὴν ἕξει καὶ λοιπὸν ἑξῆς καλυφθήσεται· καὶ νῦν μὲν ὅδ' ἀστὴρ ἐπὶ τοῦ δυτικοῦ

65 τούτων ante γίγνεται primum scripsit, deinde cancellavit V **21,4** ἄλλος VSe: an ἄλλως scribendum?

66–67 cf. Plat., Resp. 411e **21,5–11** Niceph. Choumn., Ad malevol. (p. 388, 21–23)

ὁρίζοντος δύνοντος τοῦ ἡλίου πρώτως ὄπισθεν ὀφθήσεται· καὶ πολλαῖς αὖθις οὕτως ἑξῆς ἡμέραις· νῦν δ' ἔσχατος ὀφθήσεται· καὶ ἀφανὴς τουλοιποῦ καλυφθήσεται, πολλαῖς αὖθις ἑξῆς ἡμέραις· καὶ νῦν μὲν ὅδ' ἀστὴρ ἐφ' ἑνὸς τόπου, πλείστας ἑξῆς ἡμέρας, ἀκίνητος ἑστήξει, κατὰ τοῦδέ τινος ἐν οὐρανῷ σημείου· ἢ ἀστέρος συνεγγισμοῦ· καὶ μετ' αὖθις τόσας ἡμέρας νῦν μὲν ἐπὶ τάδε τοῦ σημείου τὰ ἑῷα τυχὸν, ὀξὺς χωρήσει καὶ κινήσεται· νῦν δ' ἐπὶ θάτερα· καὶ πάντα ἐπὶ ῥητοῖς ταῦτα· καὶ ἀκριβεστάτῳ λογισμῷ τῶν ἡμερῶν καὶ καταριθμήσει· καὶ νῦν μὲν ἡ σελήνη τοῦδέ τινος ἀστέρος περιιοῦσα καὶ παροδεύουσ' ἐγγειτόνων, πρὸς βορρᾶν ἀποστήσεται· νῦν δὲ πρὸς νότον· νῦν δὲ κατ' αὐτὸν μέσον· καὶ ἐπικαλύψει γε τὸν ἀστέρα τοῖς ὀφθαλμοῖς ἡμῶν ἀντιφράττουσα· καὶ ἄλλα δὴ πλεῖστα περὶ ὧν ἄκαιρον ἂν ἴσως εἴη τρίβειν, καὶ πράγματά σοι παρέχειν· καὶ πολλῆς ἀηδίας ἀφορμάς· καὶ περὶ ὧν φθάσαντες, πλεῖστα καὶ φορτικά σοι βιβλία, συνεταξάμεθα· μᾶλλον δ' αὐτὸς Πτολεμαῖος ὁ Κλαύδιος ἐν τοῖς θαυμαστοῖς αὑτοῦ τῷ ὄντι βιβλίοις, καὶ εὐπεριφρονήτοις τῇ σῇ σοφίᾳ τὰς μεγάλας ἐποιήσατο τῶν μαθηματικῶν συντάξεις, θαυμασίως πάνυ τοι καὶ ὑπερφυῶς σχεδὸν πάνθ' ἕκαστα κρατυνάμενος· καὶ ἄσειστα κατασφαλισάμενος γραμμικαῖς δείξεσι· καὶ τοῖς δυσαντιβλέπτοις τῆς γεωμετρικῆς ἐπιστήμης, καὶ καθάπαξ ἀκλονήτοις ὀχυρώμασι.

22. Ἃ δὴ μόνου σοῦ καὶ τῆς σῆς περιουσίας τῶν λόγων καὶ τόλμης καταστρέφειν πειρᾶσθαι, διὰ τὸν καθ' ἡμῶν φθόνον· πρὸς ὃν ἀντέχειν εὖ μάλα σοι παρεσκευάσμεθα· καὶ μέχρις ἄν, ἐν τοῖς ζῶσιν εἴημεν, οὐ νῶτα σοι δώσομεν εὖ γε ἴσθι. καὶ ἢ παῦσαι λοιπὸν βασκαίνων καὶ κατεπιχειρῶν ἡμῶν ἄκαιρα, ἢ εἴ σοι τοῦτ' ἄμεινον, ἄπαυστα βάσκαινε.

20 οὕτως V[1]Se: οὗτος V **28** ἐγγειτόνων V: ἐκ γειτόνων coni. Se **22,3** μέχρις V[2]Se: μέχρι V

15

Χρυσοβούλλου προοίμιον f. 329

1. Ὡς ἀληθῶς ἄρ' ἔοικεν ἡ τῶν ἀπογόνων τοῖς γεννήτορσι διαδοχή, μὴ μόνον τρόπον τινὰ ἀθανατίζειν τὴν φύσιν ὡς ὁ παλαιὸς λόγος καὶ καθάπαξ ἀζήμιον παρατείνειν καὶ συντηρεῖν, ἀλλ' ἡνίκα δὴ καὶ τὰ ἑκατέρωθεν προδήλως ἀπαντᾷ σύμφωνα καὶ περιφανῆ καὶ λαμπρὰ τῇ τύχῃ· ἢ ἀρετῇ δή τινι καὶ ἀνδραγαθίᾳ κατ' ἀνθρώπους ὡς νομίζεται τῇ χρήσει τοῦ βίου· ἢ καὶ κατ' ἄμφω, καὶ τὴν εὔκλειαν αὐτὴν ἀθανατίζει τὰ κατὰ τοὺς εὖ βιοῦντας οὕτως ἑξῆς τοῖς βιώσασιν εὖ ἤδη πρότερον προγόνοις. καὶ θαυμάσαι γε καὶ λίαν εἰκότως ἄν τις καὶ ἅμα εὖ μάλ' ἥδοιτο τῇ ξυντυχίᾳ ταύτῃ προσέχων τὸν νοῦν· καὶ ὥσπερ ἐν τῷ παγκοίνῳ τῷδε τοῦ βίου θεάτρῳ βέλτιστ' ἐμπανηγυρίζων, καὶ ἥδιστα τῇ ἐποπτείᾳ ταύτῃ τῆς καλλίστης συνεχείας τὲ καὶ διαδοχῆς ἐπὶ τοῖς προλαβοῦσι τῶν νῦν ἑκάστοτε παριόντων τὸ τοῦ βίου θέατρον· καὶ φιλοτίμου ταύτης νομῆς καὶ φορᾶς τοῦ χρόνου. οἷον γὰρ δὴ κάλλιστον ἰδεῖν τὲ καὶ λογίσασθαι, κλῆροι πατρῷοι τῶν φυσάντων τοῖς ἐξ αὐτῶν παραπεμπόμενοι· καὶ πομπεύοντες λαμπροὶ λαμπρῶς· κἀκεῖθεν ὡσαύτως ὡς εἰπεῖν ἀντιδιδόμενοι, ἐφάμιλλ' ἔχοντες βέλτιστα· καὶ οὐ μᾶλλον τιμῶντες τῇ δόσει τοὺς χορηγοῦντας· ἢ τῇ ἀντιδόσει· καὶ μηδὲν ἧττον, εἰ μὴ καὶ μᾶλλον τιμῶντες τοὺς ἐκδεχομένους τὲ καὶ ἀντιδιδόντας· καὶ μακαρίους ὄντως καὶ εὐγενεῖς πᾶσι προδεικνύντες· οὐ μόνον ἐκ τῶν ἔργων τὲ καὶ δώρων τῆς τύχης, ἀλλὰ καὶ ἐκ τῶν οἰκείων καὶ τῆς κατ' αὐτοὺς ἀστειότητος. καὶ νομίζεται γὰρ οὐ τἀγαθὰ μᾶλλον ἐκδέξασθαι κάλλιστον καὶ μακάριον, ἀλλὰ καὶ τὸ παρ' αὐτῶν σφίσιν αὐτοῖς προσεπιχορηγῆσαι, τῶν φθασάντων ἀξίως.

2. Ἀλλ' εἰς τί δὴ ταῦτα καὶ λέλεκται; ὁ περιπόθητος γαμβρὸς τῆς βασιλείας μου μέγας δομέστικος κῦρ Ἰωάννης Καντακουζηνὸς ὁ Παλαιολόγος, ἔχει μὲν ὄντως ἐπιδηλότατα ταῖς προγονικαῖς ἐκ

tit. χρυσοβούλου προοίμιον V (fortasse manu Nicephori Gregorae) **1,2** ἀθανατίζειν VSa: an ἀθανατίζει? **2,3–4** ἐκ μακροῦ καὶ V[2] e corr.

1,10–11 cf. e.g. Ioh. Chrys., De Babyl. 56, 6–7 (p. 162)

μακροῦ καὶ λίαν πόρρωθεν λαμπρότησι περιβλέπεσθαι· καὶ μεγάλης κληρονομεῖν αὐτὸς εὐκλείας· καὶ πλεῖστα κειμήλια προαποκείμενα καὶ θησαυροὺς μεγαλοδοξίας προσόντας ἀποδεικνύειν ἑαυτῷ. ἀλλ' οὐδ' αὐτὸς ἀναξίως αὐτῶν ὁρᾶται, μήτε χρησάμενος, μήτε χρώμενος· μήτ' εἰς αἰσχύνην ἀπαντῶν ἐκ τῶν οἴκοθεν καὶ κατ' αὐτὸν· οὐ τοῖς φθάσασι μᾶλλον ἢ αὐτὸς ἑαυτῷ τῷ μὴ πεφυκέ-
f. 329v ναι πρὸς ἐκεῖνα καλῶς ἡρμόσθαι (πόθεν;), ὅς γ' ἐξέτι | παιδὸς ἀρχόμενος, σύνεσιν ἐν ἁπαλῇ πρὸ τῶν νενομισμένων τῇ φύσει χρόνων τῇ ἡλικίᾳ ὑπέφαινεν ἀρίστην· καὶ τελείοις ἐπιπρέπουσαν· καὶ περὶ τοῦ μέλλοντος ἐπαγγελλομένην μέγιστα· ἀρεϊκαῖς δ' ἔπειτα συνασκούμενος γυμνασίαις τοῖς πᾶσι τῶν τοιούτων ἔργων τρόποις βέλτιστ' ἀνύτων εἶχε· καὶ πάσῃ τῇ ἡλικιώτιδι νεότητι, διαπρέπων ἑωρᾶτο· καὶ προανιστάμενος τῶν νομίμων χρόνων, ἥρπαζε σχεδὸν τὴν ἡμετέραν ἐποπτικὴν καὶ δεσποτικὴν κρίσιν, ὥστε καὶ ἡγεμονιῶν ἀξιοῦσθαι· καὶ χρωμένοις ἡμῖν, οὐκ ἦν μέμψεως αἴτιος, ὡς οὐ κατὰ καιρὸν χρωμένοις, ἅμα μὲν νουνεχῶς, ἅμα δ' ἐπιμελῶς· ἅμα δὲ καὶ γεννικῶς καὶ ἀρεϊκῶς οἷς ἂν ἐπισταίη χρώμενος. καὶ πεῖραν λοιπὸν ἐφ' ὡντινωνοῦν ἑαυτοῦ διδοὺς, μειζόνων ἔτ' ἀξιοῦν ἑαυτὸν ἔπειθε· καὶ προυχώρει συμμετρούμενος τοῖς πράγμασι· ταῖς κρείττοσι χρείαις ἱκανούμενος· καὶ ὧν πλείων λόγος ἡμῖν.

3. Ταῦτ' ἄρα καὶ εἰς ὃ νῦν ὁρᾶται καταστὰς καὶ συντεταγμένος τοῖς πρώτοις τῶν ἐν τέλει καὶ γνησίων ἡμῖν· καὶ γνώμαις δοκιμαζόμενος· καὶ πάσαις πράξεσι· τοῦτο μὲν τόλμης Ἀρεϊκῆς· τοῦτο δὲ τεχνικῆς ἐμπειρίας περὶ τὰ πρακτέα· καὶ ὡς ἔπος εἰπεῖν πάσῃ χρήσει· καὶ πᾶσιν ἔργοις ἑαυτὸν διαρκῶς ἐξισούμενος, τὸν ἐκ τῶν φυσάντων ὡς εἴρηται πρότερον κλῆρον τῆς εὐδοξίας, οὐ συντηρεῖ μόνον ἀμείωτον, ἀλλὰ καὶ προάγει μάλ' εὐγενῶς· καὶ κατ' εὐχὴν αὐτῶν τῶν φυσάντων· ἀλλὰ καὶ τοῦτον ἐξ ἡμῶν ἔτι κλῆρον κατ' αὐτοὺς ἔχει· προσανέχειν αὐτῷ γνησίως· κἀν τοῖς μάλιστα φιλουμένοις ἡμῖν αὐτὸν ἀριθμεῖν· καὶ πρὸς εὐποιίας καὶ ταύτας διὰ πάντων σχεδὸν τῶν τρόπων ἑτοίμους ἡμᾶς ἔχειν αὐτῷ· καὶ οἴκοθεν ὡρμημένους· καὶ ταῖς αἰτήσεσιν αὐτοῦ ἡδέως κατατιθεμένους. ὅθεν δὴ καὶ ἐπεὶ ἐξητήσατο τὴν βασιλείαν μου ⟨...⟩+

5 αὐτὸς V^{2}Sa: αὐτὸν V **3,9** αὐτῷ V^{2}Sa: αὐτῶν V **13** oratio mutila

16

Πρὸς τοὺς μοναχοὺς τῆς Χώρας· ἐπὶ τῇ τελευτῇ τοῦ πρώτου καθηγουμένου αὐτῶν Λουκᾶ· μονῳδία τε ἐπ’ αὐτῷ· καὶ προτροπὴ αὐτοῖς εἰς τὴν ἐπιμέλειαν τοῦ καλοῦ

1. Ἐμοὶ παντὸς μᾶλλον ἄνδρες φίλοι· λατρευταὶ τοῦ Θεοῦ, τὰ καθ’ ὑμᾶς εὖ ἔχειν, καὶ ἀεὶ μὲν πρότερον, νυνὶ δὲ μάλιστα περισπούδαστον, τοῖσδε ξυγκεκυρηκότι τοῖς πράγμασιν, οὐκ οἶδ’ ὡς εἴ τῳ ἄλλῳ, τί ποτ’ ἂν, ἄλλο. καὶ τόδε δή τι μοι λείπεται ζώπυρον ἐλπίδος χρηστῆς, ἐπὶ τοσούτοις ἄρα τοῖς ἀλγεινοῖς καὶ παραμυθίας ὁπηοῦν ἀφορμή· νῦν τε τῷ βίῳ, ὅσον ἄρα λοιπὸν εἴη· καὶ μεθύστερον. ὡς δ’ ἀμέλει νῦν τὴν τελευτὴν ἐπυθόμην τοῦ καλλίστου πάντα, τὴν κατὰ Θεὸν πολιτείαν ὑμῖν ἡγεμόνος, τί ποτ’ ἐρῶ, τί ποτε πέπονθα; μέσην αὐτὴν δέδηγμαι τὴν καρδίαν· κλύδωνι παντάπασιν ἀπογνώσεως πάσης ἀγαθῆς ἐλπίδος, αὐτίκα αὐτόθεν ὅσαι ἡμέραι τὲ καὶ νύκτες, ταράττομαι καὶ ναυαγῶ. πόλλ’ ἔτη καὶ γὰρ ἤδη τοῦ ἀνδρὸς πεπειραμένος, οὐ μόνον τῆς πρὸς ἐμὲ γνησίας καὶ μεγάλης εὐνοίας· καὶ τοῦ πιστοῦ τῆς ἑταιρίας λιμένος, καὶ τῶν ἀδολωτάτων ἠθῶν καὶ τῆς ἀποιήτου γνώμης, ἃ μὴ πολλῶν ἐστιν ἐν τοῖς νῦν καιροῖς, μὴ δ’ ἔστιν εὐπόριστα ξυλλαχεῖν, ἀλλὰ καὶ πρὸς τὴν ἀρχικὴν καθ’ ὑμᾶς πρυμνῆτιν ἐπιστασίαν, δοκιμῆς καὶ ἱκανώσεως, ἅπαν τὸ γιγνόμενον τῇ μοναχικῇ συνοικίᾳ καὶ τῷ βίῳ, τὰς πλείστας ἐπ’ αὐτῷ καὶ μεγίστας εἶχον ἐλπίδας, ἦ μὴν καλῶς ὑμῖν ἔχειν· καὶ τῇ μονῇ τὰ πράγματα τὸν ἐγχωροῦντα τρόπον ἀεὶ, περιόντος τῷ βίῳ τοῦ ἀνδρὸς καὶ παρ’ ὑμῖν ὄντος· κἂν ὅπως ἄρ’ ἐγὼ φεροίμην, τῷ πολυστρόφῳ καὶ πάντ’ ἀπίστῳ· καὶ πολυπλάνῳ τῷδε βίῳ, κἂν εἰ φθάσας τελευτήσαιμι τὴν ζωὴν, ἐν τῇ παρούσῃ δυσχρηστίᾳ τοῦ βίου καὶ δυσχερείᾳ· καὶ πράγμασιν ἐργώδεσιν, εἰ δή τῳ καὶ ἄλλῳ ποτέ. f. 330

2. Καὶ τοίνυν ὡς ἀωρίᾳ τοσαύτῃ τῶν ἐμῶν τῶνδ’ ἐλπίδων ἀνὴρ οἴχεται λιπὼν ὑμᾶς ἐν σάλῳ τοσούτῳ, δέος ἂν, εἰκότως ἐμὲ

tit. λόγος ιε′ V[2] in marg. (ιδ′ V[2] a. corr.) **1,8** πολιτείαν ὑμῖν V[2] e corr. **12** πεπειραμένος V[2] e corr. **2,2** ὑμᾶς V[2]Se: ἡμᾶς V

1,9 cf. Synes. Cyren., Calv. enc. 1, 2 (p. 48) **13–14** cf. Soph., Aj. 683

νῦν ἔχοι περὶ τῇ μονῇ καὶ ὑμῖν τόδ’ οἴκτιστον καὶ μέγιστον καὶ τελευταῖον, μὴ ἄρα πως ἐν ἐσχάτοις ἐσχάτων κακοῖς· καὶ πανωλείᾳ τὰ κατ’ ἐμὲ πράγματα· καὶ ἤδη παντάπασιν ὄλλυται μετ’ ἤχου τοὐμὸν ἔοικε μνημόσυνον, ὡς ἱεροί φασι λόγοι, καὶ τοῦτο προσημαίνονταί μοι κρίματ’ ἐντεῦθεν, μεταστάντος ἐν τῷ νῦν εἶναι τἀνδρὸς δηλαδὴ, καὶ ψῆφοι Θεοῦ σὺν δίκῃ, ὡς ἔμοιγε προσήκειν· καὶ χρῆναι ταῖς τοσαύταις ἁμαρτίαις ἐμαῖς, ὥστε μὴ μόνον τὰ κατὰ τὸν βίοτον τόνδ’ ἅπαντά μοι τετράφθαι· καὶ πᾶσαν εὐετηρίαν καὶ | πολυδοξίαν· καὶ πλοῦτον ἔρρειν ἀθρόον· καὶ φιλτάτων· καὶ τέκνων (καὶ προσκείσθω μὴ δ’ ὀλίγων τούτων), ἐρρᾳστωνευμένην ἀγωγὴν τέως καθάπαξ οἴχεσθαι καὶ μεταβαλεῖν· εἰς πᾶν αὐτόθεν ταλαιπωρίας καὶ πᾶν ἐργῶδες· κἀμὲ τῇδε νῦν ὑπερόριον κάμνειν ἐν τοσούτοις, τά τε ἄλλα καὶ νόσοις χαλεπαῖς παλαίοντα, ἀλλὰ καὶ ὃ πρὸ πάντων ἦν ἐμοὶ· καὶ ἀντὶ πάντων λέλειπτο· καὶ ἤρκει βιοῦν ἔτι πως γεννικῶς· καὶ ὡς φιλοσόφοις ἐπέοικεν, ὀλιγωρίᾳ κραταιᾷ τῶν οἰχομένων· ἃ μὴ δή ποτε βέβηκεν ὁτῳοῦν· μὴ δέ τι πιστὸν ἔχει (καὶ πάντων ἀβελτερώτατος, ὃς ἂν ἄλλως δοκοίη· καὶ ὁτιοῦν μέγα φρονεῖν αὐτοῖς ἀξιοίη καὶ πεποιθέναι), καὶ τοῦτο δ’ ἀμέλει κατ’ ὀφθαλμοὺς ὡσανεὶ καθορᾶν ἐν κινδύνῳ· καὶ φθορᾶς ἐν χρῷ γεγονὸς, τὸ καθ’ ὑμᾶς φημὶ σαφῶς οὑτωσὶ καὶ τὴν μονήν.

f. 330v

3. Ὃ δῆτα καὶ νῦν καὶ τὸν ἐπιόντ’ ἀνθρώποις χρόνον, πάντων ἄξιον ἐμοὶ, φιλοκαλίας εὐγενοῦς ἔργον· καὶ νοῦ καρπὸς σώφρονος· καὶ ψυχῆς ἀσάλευτον, ἀληθῶς κέρδος καὶ πλοῦτος· καὶ πρὸς τὴν μέλλουσαν ἀπέραντον εὐζωΐαν, οὐ παρασκευὴ μᾶλλον, ἢ καὶ ἀσφαλὲς ἐχέγγυον· καὶ χρηστῆς ἐλπίδος ὑπόθεσις· καὶ ὥστε μόνον ἀποχρῆναι τὸν ἐμὸν λογισμὸν καθιστᾶν ἐν ῥᾴονι διαθέσει καὶ πάντων ὑπέρτερον· εὐδιεινὰ καὶ κοῦφον, εὖ μάλ’ ἀνύτοντα. ὡς δέ μοι τόδε τὸ δέος, οὐ πόρρω λόγου φέρει· μάλιστα δὲ καιρὸν ἔχει (καίτοι βουλοίμην κομιδῇ μὴ οὕτως ἔχειν· ἀλλ’ ἀστοχεῖν γνώμης αὐτὸς, ναὶ δέσποτα σῶτερ· ναὶ δέσποτ’ ἀλεξίκακε), ὡς δ’ ἄρ’ ὅμως ᾗπερ ἔφην ἔχει (νεοταγεῖς γὰρ ὑμεῖς· καὶ οὐκέτι πω τὰ καθ’ ὑμᾶς

3 ἔχοι V[1]Se: ἔχει V | τόδ’ V: τό δ’ Se **8** εἶναι Se: εἰναι V **19** τι V: τὸ Se **22** ὑμᾶς V[2]Se: ἡμᾶς V

2,4 cf. Id., Philoct. 65 **5–6** Ps. 9, 7 **6–22** cf. Metoch., Carm. 18, 83–99 (pp. 302–303)

εὐπαγῆ· ἔσωθί τε μήποτ' οὐ χρόνια καθάπαξ τῷ καθεστῶτι· μὴ δ' ἀκράδαντα· καὶ θάρρος ἔχοντα· καὶ πίστιν τῇ συνεχείᾳ τῆς καθιδρύσεως· καὶ συμπήξεως, χειμών τ' ἔξωθεν καταιγίζει κατὰ τὸ παραστὰν τοῦ καιροῦ), ἐμοὶ δ' ἔχει τὰ πράγμαθ' ὡς ἔχει· καὶ τὴν ἐμὴν ἐπικουρίαν ἀφῄρησθε, ἥτις ποτ' ἄρ' ἦν ἂν ἡ ἐμὴ τοῖς ἐμοῖς ὑμῖν ἐπικουρία· καὶ πρός γ' ἔτι λοιπὸν ἤδη προσαφῄρησθε καὶ τὸν καλὸν ὑμῖν ἐπιστάτην, τῆς συντάξεως· καὶ ἄριστον· καὶ τελεώτατον τεχνίτην, τῇ καθ' ὑμᾶς σπουδῇ· καὶ ἀρχηγὸν αὐτὸν, τῆς καθ' ὑμᾶς δημιουργίας καὶ κοινωνίας καὶ συμβιώσεως· καὶ πάντ' αἰδοῖον ὑμῖν· καὶ μάλισθ' ὑμῶν, ἐφ' ὅσον οἷόν τ' ἐστὶν ἐπιμελῆ· καὶ φροντιστὴν ἄτροπον, ἐν παντὶ τοῦ καιροῦ, κοινῇ τε καὶ ἰδίᾳ· καὶ καμάτων ἁπάντων, εὖ μάλ' ἀήττητον· καὶ τοίνυν ἀθρόον οὕτω δῆτ' ἔχοντες, ἀφηρημένοι τοῖς νῦν ὑμεῖς καιροῖς, ὃν εἴχετε σοφὸν ἀρχιτέκτονα τῆς κατὰ Θεὸν οἰκοδομῆς καὶ θεμέλιον ἀποστολικὸν ὑποθέμενον· καὶ τῆς | πήξεως καὶ τῆς εὐαρμοστίας f. 331 ὑμῖν ἐπόπτην ἐνεργὸν ἀεὶ καὶ ἄγρυπνον, περιδεῆ κομιδῇ νῦν ἐμὲ περὶ ὑμῖν ἔχετε, μὴ παντάπασι παρασυρῆτε τὸν καλὸν θεμέλιον· καὶ τὴν νεόδμητον ἐποικοδόμησιν, τῷ χειμῶνι καὶ ταῖς ἐνοχλήσεσι τοῦ καιροῦ. καὶ πολὺς ἐντεῦθεν ὁ τάραχος ἐμοὶ καὶ λογισμοὶ πανωλείας, ὡς ἔφην ἐμὲ τρύχουσι· καὶ οὐκ ἔχω τίς γένωμαι, τῇ τελευτῇ τοῦ ἀνδρὸς· οὗ ζῶντος ἐν εὐελπιστίας τέως ὥρμουν λιμένι· γαλήνης ὑμῖν τὸ μέρος ἀπολαύων ποθεινῆς· καὶ πάντων εὐκταιοτάτης. καὶ τοῦτο μὲν ὡς ἀληθῶς, ὃ πλεῖν ἢ κατ' ἄλλ' ἐπιεικῶς ἐπείγει, καὶ μάλιστα τὴν ἐμὴν κατάγχει καρδίαν· καὶ βαπτίζει βυθοῖς ἀθυμίας εἰς ἐσχάτην μικροῦ τὴν ἀπόγνωσιν. καὶ τί γὰρ οὐκ ἔμελλον, ὅς γε πάντων, ὑμᾶς τε καὶ τὰ καθ' ὑμᾶς εὖ ἔχειν ἧπερ ἔφην, ἐν πρώτοις τοῦτ' ἦγον· καὶ πρότερον εὖ πράττων· καὶ οὔρια πολὺ μάλιστα κατὰ τὸν βίον φερόμενος· καὶ νῦν δὴ τοῖς κατ' ἐμὲ τοῖσδε πράγμασιν, οἷς συνέλαχον κομιδῇ πονήρως;

4. Ἀλλὰ μὴν καὶ τόδ' ἀμέλει ὁπόσον ἄν, ἔπειτ' εἰς ἀνίας βαρυτάτης ἀφορμὴν ἐμοί, ἀνὴρ ἐκεῖνος ἐκδημήσας, ὑπερορίῳ νῦν ἔμοιγε· καὶ τελευτήσας τὸν παρόντα βίον, ἀνὴρ οὕτω βέλτιστος

3,16 τὴν ἐμὴν ἐπικουρίαν V^2Se: τῆς ἐμῆς ἐπικουρίας V **32** τέως V^1 s.l.
4,2 ὑπερορίῳ tacite corr. Se: ὑπερορίων V

3,25 cf. Eph. 2, 20–21 **31** cf. Greg. Naz., Or. 2, 88, 1 (p. 202)

ἐμοί· καὶ τὰ μέγιστα καὶ καιριώτατα, χρήσιμος καὶ βιωφελέστατος· καὶ συνήθης χρόνιος· καὶ φιλῶν διαφερόντως· καὶ παραπλησίως φιλούμενος; ὢ τῆς ἀποιήτου σοι κάλλιστε Λουκᾶ γνώμης· καὶ πάσης διπλόης ἐκτός. ὢ τῆς ἀκόμψου σοι γλώττης· καὶ πάσης ἀλλοτρίας εὐτραπελίας· καὶ πάσης πρὸς χάριν ἡδυεπείας· καὶ οὐ μᾶλλον τοῖς ταπεινοτέροις καὶ ἥττονος τάξεως, ἢ τοῖς ὑψηλοτέροις καὶ ὑπερέχουσιν· οἷς δὴ καὶ νόμιμον ἤδη τὸ χαρίζεσθαι γίγνεται, τοῖς οὐκ οἶδ' ὁπότερον ἂν φαίην, οἰκονομικώτερον· ἢ τἀληθέστερον ἐρεῖν, ἀνελευθέρως καὶ ἀφιλοσόφως βιοῦσιν. ὢ τῆς γαληνοτάτης ψυχῆς καὶ πάντων ἀκύμονος· καὶ πάσης ἐπηρείας ὑπερτέρας καὶ ἀζημίου· καὶ παντὸς ἔξωθεν πράγματος ταράττοντος καὶ τὸν θυμὸν ἐκκάοντος. ὢ τοῦ πάντα σεμνοῦ προσχήματος αὐτόθεν ἰδεῖν· καὶ προβλήματος· καὶ διὰ πάντων παραπλησίως· ὁμιλίας· λόγων, ἁπλῶς καὶ φωνῆς· βαδίσματος· στάσεως· ἕδρας· τῶν ἄλλων πάντων πραγμάτων· μάλισθ' ὡς ἄρα καιρὸν ἔχει, τούτων ἕκαστον ἀμέλει κατὰ μοναχοὺς βιοῦσι· καὶ κατὰ μοναχοὺς ἄρχουσι· καὶ ἡγεμόσι τοιοῦδε συντάγματος· ὡς ἄρα καὶ διὰ πάντων τούτων αὐτόθεν ὁρωμένῳ σοι παιδεύεσθαι, τοὺς ἑκάστοθ' ὁρῶντας ἐξεῖναι· καὶ βελτιοῦσθαι πρὸς τὸ καίριον ἀμηγέπη τῆς χρήσεως· καὶ
f. 331[v] λέγοντι μὲν ἁπλοϊκῶς, ταμάλιστ' ἐπε|οικότα καθάπαξ, ἐπιτυχέστατα τῷ σεμνῷ βίῳ τῷδε, τοὺς ὑπὸ σὲ πείθεσθαι καὶ τυποῦσθαι, πάντας τοὺς τοῦ καλοῦ χαρακτῆρας· καὶ σιωπῶντι δὲ τῷ καθ' ἕκαστα πεφυκότι καὶ ἡρμοσμένῳ τῆς χρήσεως, οὐδὲν ἧττον πείθεσθαι καὶ τυποῦσθαι πρὸς τἄμεινον αἰεί. ὢ τῆς ἱεροτελεστίαις· καὶ τῇ θεουργῷ σπονδείᾳ· καὶ τῷ φρικτῷ τῆς ἀναιμάκτου θυσίας μυστηρίῳ (τί τίς ἐρεῖ;), διαθέσεως σῆς ἔνδοθεν τῇ ψυχῇ· θειασμοῦ παντὸς ἔμπλεω καὶ βακχείας ἱερᾶς· καὶ πᾶν ἀνθρώπινον ὑπερβαινούσης τὲ καὶ ὑπερφρονούσης, ἢ κοσμίας τὲ καὶ πανσέμνου διοικήσεως, πάνθ' ἕκαστ' ἀνύτειν τιμίως τὲ καὶ ξὺν [αἰδοῖ] πλείστῃ τὸ γιγνόμενον ἅπαν τῆς χρείας· ὡς μάλ' αὐτόθεν αὐτίκα μὴ μόνον τοὺς συντελεῖς ἄλλους τῆς ἱερᾶς ἁγιστείας, καὶ συνθιασώτας λειτουργοὺς τῆς παν[άγνου] θυσίας ἑαυτῶν κομιδῇ γίγνεσθαι, ἢ

22 ἀμηγέπη V, servavimus: ἁμηγέπῃ Se **27** τῆς ἱεροτελεστίαις V[2] e corr. **29** τίς V: τις Se **32** [αἰδοῖ] πλείστῃ suppl. Se: [.....] πλείστη V **35** τῆς παν[άγνου] tacite suppl. Se: τῆς παν[....] V

4,15 Ps. 2, 12

κρεῖττον ἴσως ἐρεῖν ἑαυτῶν ἐξίστασθαι· καὶ τῶν κατ’ ἔθος ἀνθρώποις ἀποχωρεῖν ὡς εἰπεῖν· καὶ παραβά[λλ]εσθαι πλεῖν ἢ κατὰ φύσιν, ἀλλὰ καὶ τοὺς ἔξωθεν ἐποπτεύοντας, θάμβους οἵου παμπλείστου· καὶ ἅμα ἡδονῆς ἀρρήτου καὶ γλυκυθυμίας πίμπλασθαι, καὶ προσέχειν εὖ μάλα τὸν νοῦν ὡς ἄρά τι γιγνόμενον ἐπιεικῶς, τῶν κατ’ ἀνθρώπους θειότατον καὶ σεβασμιώτατον, καὶ μάλα τοι καταναγκάζον τὴν εἰς Θεὸν ἐπιστροφήν τε καὶ ἐπιμέλειαν ἑαυτῶν· καί τινος ἀμείνονος ἕξεως. ὢ τῆς ἐν εὐχαῖς ἀκλινοῦς τοῦ νοῦ προσεδρείας· καὶ ἀγωγῆς ἀσχόλου· καὶ τάξεως ἑνοειδοῦς· καὶ ἀμερίστου· καὶ παντάπασιν ἀπολύτου πάντων· καὶ ἀτυρβάστου πρὸς τὴν πρόθεσιν ἀνύτειν· ὡς ἄν, ἐκτὸς τοῦ μοχθηροῦ τοῦδε καὶ γαιώδους, συνδυασμοῦ· καὶ τῶν ἀφύκτων δεσμῶν τῆς σαρκός. ὢ τῆς ἐν ὑμνῳδίαις· καὶ χαριστηρίοις· καὶ ἱλαστηρίοις· καὶ ἱκετηρίοις κρότοις τὲ καὶ πρὸς Θεὸν ἐντυχίαις ἅμα παντὶ τῷ κοσμίῳ, πάσης ἱκανώσεως καὶ ἀκριβείας· καὶ τῶν ἐν δευτέρῳ δοκούντων ἐνίοις καὶ ἥττονος λόγου· καὶ ἴσως οὐδ’ ἀπαραιτήτων ὀλιγωρεῖσθαι, τῆς συνεχείας τῶν ἄλλων· ἣ καθάπαξ ἐν ἀσχολίᾳ καὶ οὐκ ἀζήμιος· ἀλλὰ πολὺ μάλιστ’ ἄτροπος ὀφείλεται· κἀνταῦθα φεύγοντας ἄλλῃ φέρειν, μήποτ’ ἀνεύθυνον εἴη τοῖς σώφροσι.

5. Ἔγωγέ τοι νῦν ἐπελθὸν ἐμῇ μνήμῃ περὶ τούτων ἐρεῖν (ὢ τίς γένωμαι· πῶς ἐνέγκω τὸ πάθος;), παραχρῆμα λοιπὸν ἐντεῦθεν συγκέχυμαι τοὺς λογισμούς· καὶ μὴν ἐκτόπως ἔτι διπλῇ μερίζομαι· τί μὲν τοῖς φανταστικοῖς τῶν πραγμάτων πίναξιν, ἐμπίπτων καὶ κατοπτριζόμενος· καὶ ὡσπερεὶ συνών, μάλισθ’ ὅλος ἔχομαι τῇδε θαυμαστῶς ὅπως· καὶ | τιν’ ἄρρητον καὶ ξένην συνδιατίθε- f. 332
μαι, κοινωνίαν καὶ κράσιν σεβασμοῦ, μετὰ τερπωλῆς· τί δὲ τῆς τῶν πραγμάτων ἐρημίας ὄντως γιγνόμενος· καὶ γιγνόμενος ἔπειτ’ ἐπ’ ἐμαυτοῦ κατὰ τὸ παραστὰν ἀθρόον αὐτόθεν, στενοῦμαι τὸ ζῆν, μικροῦ τὸ ζωτικὸν ἐκλείπων πνεῦμα· καὶ κατολίγον λυόμενος τὴν συνέχειαν· καὶ τὸν σύνδεσμον αὐτὸν τοῦ εἶναι. ὢ πῶς

37 παραβά[λλ]εσθαι suppl. Se: παραβά[..]εσθαι V **5,1** ἐμῇ V^1Se: ἐμοὶ V **5** ὅλος V^1Se: ὅλως V **7** κράσιν V, servavimus: κρᾶσιν Se **9** ἐπ’ V^1Se: ἐν V ἀθρόον V: ἀθρῶν Se

43 cf. Plot., Enn. 2, 9, 2, 1 (p. 226) **44** cf. Procl., In Plat. Resp. (I, p. 72, 27) **5,4** cf. Plat., Phileb. 39a et Metoch., Carm. 10, 197–200 (pp. 182–183) **10** cf. Ps. 142, 7

ποτ’ οἴχεται νῦν εἶναι τὰ πάνσεμνα· καὶ λυσιτελέστατα τἀνδρὸς ἐκείνου τῇ συναυλίᾳ· τοῖς ὑπ’ αὐτοῦ νεολέκτοις· τοῖς προβεβηκόσιν ἡλικίᾳ· ὁμοῦ γέ τοι πᾶσι τοῖς τυπουμένοις ὑπ’ αὐτοῦ, τὸ γιγνόμενον ἑκάστῳ καὶ προσῆκον ἰδίᾳ σὺν λόγῳ· καὶ κοινῇ πρὸς συμφυΐαν τῷ καλῷ καὶ ὡς ἄρ’ ἑνοειδῶς δέοι ἄν, ἀρτιοῦσθαι τῇ κοινῇ χρήσει· καὶ πάνθ’ ἡρμοσμένως ἐφάμιλλα παραβάλλεσθαι; ὢ πῶς ποτ’ ἐκλελοιπότος, ὥσπερ ἐν χοροῦ καὶ μέλους συντάγματι τοῦ κορυφαίου, τοῦ λοιποῦ κίνδυνος ὕποπτος· καὶ πάντ’ ἄνω καὶ κάτω δέος ἐσεῖσθαι; ὢ τίς ἐβάσκηνε δαίμων ἔφεδρος ἀεὶ καὶ ληστεύων, οὐκ ἀναίδην μᾶλλον, ἢ κρύφα τὲ καὶ σὺν δόλῳ· καὶ σκαιωρούμενος ἀκάμας· καὶ ἄυπνος τὸν ἀεὶ χρόνον, τὴν προκοπὴν τῶν βελτίστων καὶ λωποδυτῶν; ὢ πόσον μάλισθ’ ἡ τῶν ἐμῶν ἁμαρτάδων κραταίωσις ἴσχυσε· καὶ τἀνομήματα τῶν ἐπιταγμάτων Θεοῦ· ὑφ’ ὧν ἔοικε πάντα κατερείπεται τἀμὰ πράγματα· καὶ πάγκοινα τῇ φθορᾷ χωρεῖ· καὶ περιφανῆ με ταῖς συμφοραῖς ποιεῖται, νῦν τε εἶναι καὶ τοῖς μεθύστερον ἴσως ἀνθρώποις· οὐδ’ ὅ,τι ποτ’ ἄρ’ εὐελπιστίας ἐμοὶ λείπει· καὶ μνήμης ἐπὶ χρηστοῖς ἐμπύρευμα; καὶ ὃ γὰρ ἐμοὶ παντὸς μᾶλλον ποθεινόν τε καὶ τίμιον· καὶ μόνον ἐπὶ ξυμφορᾷ τοσαύτῃ τῶν ἀλγεινῶν ἤρκει φέρον ἥντινα δὴ ῥᾳστώνην· καὶ πνεῦμά πως οὔριον καὶ κοῦφον τῇ πάντ’ ἐμῇ ταλαιπώρῳ ψυχῇ, τὸ δὲ, καὶ αὐτὸ τραπὲν καὶ νοσῆσαν, ἐν σάλῳ λοιπὸν ἤδη προδήλῳ νῦν· καὶ προσθήκη μοι σὺ γίγνῃ, τῶν ἄλλων μείζων ὦ βέλτιστ’ ἀνδρῶν καὶ φίλτατε· καὶ κολοφὼν τῆς παροιμίας ἐπαύξων ταῖς ἀποφράσι τύχαις, τὰς πικρὰς ψήφους· καὶ μάλιστ’ ἐπισημαίνων αὐτὸς τοῖς φθάσασι δεινοῖς καὶ κράτος ἐργωδέστατον ἀπαντᾶν σφίσι διδούς. καὶ ὃν σὺ διὰ παντός σοι τοῦ ζῆν, διαφερόντως ἤρας εὖ εἶναι πάντα πράγματα· καὶ ψυχὴν καὶ σῶμα· καὶ διαπαντὸς ἠπείγου ταῖς εὐχαῖς· καὶ πλεῖστον πονεῖν ἠξίους ἐμοὶ· καὶ πρὸς πάντα κάματον ὅπως ἄρ’ ὁπηοῦν ἔξεστιν, οὐκ ἄν, μήποτ’ ἀποτρέπεσθαι, νῦν ἔλαθες ἤδη μεταλλάξας τὸ ζῆν, ἐπὶ πᾶσι f. 332v πράγμασιν ἐμοὶ δυσχερέσι καὶ χαλεποῖς, εἰ δή ποτέ | τινι καὶ ἄλλῳ τῶν ἁπάντων, τελευτῶν αὐτὸς ἐμὲ λοιπὸν τῷ βαρυτάτῳ

16 καλῷ [καὶ] suppl. Se: καλῶ [...] V **18** ἐκλελ[οι]πότος suppl. Se: ἐκλελ[..]πότος V **20** ὦ V[1]Se: εἰ V

28 cf. Greg. Naz., Or 8, 22, 13 (p. 294) **30–32** cf. Metoch., Carm. 18, 39–42 (p. 30) **34** CPG I, 373, 11–12 **37–44** cf. Metoch., Carm. 9, 76–79 (p. 165)

κινδύνῳ περιβαλὼν· καὶ ὥστε παλαίειν, ἀφορήτοις ὀδύναις· καὶ λογισμῶν τρικυμίαις· ἄκων μὲν καὶ οἶδα μάλ’ ἀηδῶς· ἀλλ’ ὅμως αἴτιος ἐμοὶ γεγονώς. καὶ ζημιοῖς μὲν, τὴν φίλην σοι μονὴν, καὶ ἀντὶ πάντων σοι τιμωμένην, καὶ εἰς ἣν ἅπαν σοι τὸ κατὰ φύσιν οἷόν τε ὃν καθάπαξ ἐξεχεῖτο τῇ ψυχῇ, καὶ τὰ σὰ φίλτατα, τοὺς σοὺς μοναστάς· οὓς ἀμέλει τοσούτους ὠδίνησας, κατὰ Θεὸν· καὶ χρόνιος ἤδη κάλλιστα καλλίστους ἐθρέψω, τὴν σὴν φιλτάτην καὶ καλλίστην ἐπιστασίαν, ἔτι πω μάλιστ’ ἐπίχρειον σφίσι· ζημιοῖς δ’ ἐμὲ, τὴν σὴν ἐπέραστόν μοι, πάνυ τοι πλεῖστον· καὶ οὐκ οἶδ’ ὡς εἴ τι ποτ’ ἄλλο ζωὴν· καὶ νῦν γε μάλιστ’ ἐπὶ τῶν κατ’ ἐμὲ τῶνδε πραγμάτων· καὶ τὴν σὴν ἐν εὐχῇ μοι μεγίστην, καὶ πόθοις μεγίστοις ὑπὲρ ἄλλ’ ὁτιοῦν ἅπαν καὶ ἴσως ἐν ἐλπίσι, πρόσοψιν καὶ ξυντυχίαν· ὃ καὶ μόνον ἐν φαντασίαις ἐμαυτῷ χαριζόμενος, ὡς ἄρ’ εἰώθασι τὰ κατὰ βούλησιν καὶ πόθον ἄνθρωποι, ῥᾷσθ’ ἑαυτοῖς χαρίζεσθαι καὶ δοκεῖν, ῥᾷον εὖ μάλ’ εἶχον ἐντεῦθεν· καὶ κούφως ἀνωρθούμην ταῖς ἐλπίσι· καὶ κατέπαυον τὰ λυποῦντα· καί πως ἐν γαλήνῃ τῶνδ’ ἀποχωρῶν, φιλοσοφώτερον ταύτῃ πως ἠξίουν βιοῦν.

6. Μαρτύρομαι τὸν ἀόρατον αὐτὸν ἐπόπτην ἁπάντων Θεὸν· καὶ τῶν ἐν ἀδύτοις καὶ μυχοῖς καρδίας αὐτῶν, ὡς οὐ τηνάλλως οὑτοσί μοι νῦν ὁ λόγος εἴρηται· λόγος ἄλλως οὕτως ἐκχυθεὶς· ἀλλὰ μάλιστα μὲν ἐμὲ καὶ ἀεὶ πρότερον εὐθηνούμενον κατὰ τὸν βίοτον· καὶ πολυδόξως ἀνύτοντα καὶ νῦν ἔτι πλεῖστον ὡς ἄρ’ εἰπὼν ἔφθην ἀρχόμενος τοῦ νυνὶ λόγου, φλέγων ἐκτόπως εἶχέ τε καὶ ἔχει περὶ τὴν μονὴν πόθος τὲ καὶ σπουδὴ ὑπερβαλλόντως ἐξηρτημένης μοι τῇδε τῆς καρδίας· καὶ ὡσανεὶ ζωηφόρον ἐντεῦθεν πνεούσης· καὶ θαλπομένης αὔραις ἀτεχνῶς εὐενδότοις, ἔνδον καὶ δροσοφόροις κατὰ παντὸς τοῦ λυποῦντος· καὶ τὸ περιλειφθῆναί μοι τὴν μονὴν ἐν ἀγαθοῖς, ὡς ἄρ’ εἶχε τέως, καὶ ἀεὶ πρόσω ᾔει, καὶ τοῦ χρόνου καθάπαξ ἀθῷον καὶ ἀλώβητον, καὶ πάσης ἐπηρείας, κομιδῇ πάντων εὐκταιότατον· καὶ πάντων ἐμοὶ τιμώμενον. καὶ τόδ’ εἶναι μάλιστ’ ἐπεπείσμην ἀσφαλέστατα, μετὰ τῆς ἐπιστασίας τοῦ

58 κούφως V[1]Se: κοῦφος V **6,2** τηνάλλως corr. Se: τηνάλως V **3** οὑτοσὶ V[1]Se: οὑτωσὶ V

49–50 cf.. Is. 23, 4

πεῖραν ἄσειστον ἐν τούτοις δεδωκότος ἡγεμόνος Λουκᾶ. καὶ οὐχ ἧττον ἢ πρὶν ἐν τῷ νῦν ἐργώδει· καὶ δυσαντήτῳ μοι· καὶ πολυκύμονι χρόνῳ· ἔπειτά με πάσης ἀφῃρημένον πρὶν δοκούσης εὐπραγίας καὶ ἀφειμένον αὐτὸν οἶμαι τοῖς λογισμοῖς, | f. 333 ἐπὶ τούτοις· εἶχεν ἅμα πόθος τὲ καὶ ἐλπὶς· ἴσως μὲν ἀπατηλὴ καὶ ψευδὴς, ἴσως δ' οὔ, εἶχε δ' ὅμως, ὡς ἄρα Θεοῦ βουλομένου καὶ κινοῦντος, γενοίμην αὐτὸς παρὰ τῇ μονῇ· καὶ τὸ λοιπὸν ἐμοὶ τῆς ζωῆς ὅ,τί ποτ' ἂν, εἴη τῇδ' οὐκ ἀηδῶς ἂν, βιωσοίμην· καὶ μάλιστ' οὐκ ἀηδῶς συνὼν τἀνδρὶ τῷδε, ἀνδρὶ φίλῳ τὲ καὶ κατὰ Θεὸν πατρὶ· καὶ ἅμα πολὺ πίστιν εὐνοίας, χρόνος ἐξότου μακρὸς, ἐμοὶ παρασχόντι· καὶ πίστιν ἀρίστης ἡγεμονίας ἀναμφίλεκτον πολυετῆ τῇ μονῇ· καὶ ταῦτα τὴν ἀρχὴν συνισταμένῃ· καὶ χωρούσῃ πρὸς οὐσίαν τέως καὶ πῆξιν, ᾗ δὴ καὶ μάλιστ' ἐργωδέστερον εὖ χρήσασθαι καὶ κατὰ πρόθεσιν ἀνῦσαι· ἢ καὶ ὁπῃοῦν ἀνεκτῶς ἐσκευασμένῃ καὶ συνεστώσῃ χρήσασθαι.

7. Καί πως ταῦτ' ἔχων ἐν νῷ καὶ κατ' ἐλπίδα, κούφως ἧπερ ἔφην ἤνυτον· κἀνταῦθα τρίβων ἀλγεινῶς ἔτι πω· καὶ τῇ φανταστικῇ ῥᾷστ' εὐδρομίᾳ καὶ τάχει· καὶ τῷ κατὰ πάντων, καὶ ὄντων καὶ δοκούντων δυσχερεστάτων καὶ δυσανύστων, κράτει τὲ καὶ ἐξουσίᾳ· καὶ παντὸς ἀδείᾳ προσκόμματος, ταχὺς ἀνύτων, ἐν μέσοις ἦν αὐτόθι· καὶ συνῆν τῷ καλῷ συντάγματι· καὶ συνῆν τῷ καλῷ πατρί. καὶ συνδιέφερον μὲν, ὅ,τί ποτ' ἄρα τὸ γιγνόμενον ἐμοὶ, τὰ καθ' ὑμᾶς εὖ εἶναι· καὶ πράττειν ὡς βέλτιστα· συνδιετιθέμην δ' ἐγὼ πρὸς τἄμεινον ἑκάστοτ' ἀνιὼν, οὐ μᾶλλον τῶν ἀνιώντων καὶ τῶν ἐκ τοῦ χρόνου δυσχερῶν· καὶ τῆς πικρᾶς τύχης, ἢ τοῦ κατάγχοντος βάρους, τῶν ἐμῶν κατὰ τὸν βίον ἀνομημάτων· ἃ πλεῖσθ' ὅσα δυστυχὴς ἐγὼ καὶ ἀβέλτερος ὠμαδὸν ἐπεσώρευσα, παντάπασιν ὀλιγωρίᾳ τῶν ἐπιταγμάτων τοῦ Θεοῦ βιώσας· καὶ τῆς ἐπειγούσης ὑπερβαλλόντως, τὴν ψυχὴν ἀχθηδόνος, ἐντεῦθεν ἀναφέρων· καὶ οὔρια τουλοιποῦ πνεύματι γαλήνης ταῖς ἐλπίσιν ἀγόμενος· εὐπλοῶν πρὸς τέλους λιμένα, μὴ πάνυ τοι πόρρω κατὰ φύσιν ἑκάστοτ' ἀνθρώποις ἅπασι· καὶ τῷ κατ' ἐμὲ λοιπὸν ἤδη γήρᾳ μάλιστα, καὶ ὅσον οὐκ ἤδη τάχιστ' ἐγγειτόνων, τῷ κοινῷ

7,4 δυσχερεστάτων V^{2}Se: δυσχερεστάτω V **8** ὑμᾶς corr. Se: ἡμᾶς V

6,20–8,8 cf. Metoch., Carm. 2, 474–485 (pp. 68–69)

πέρατι τῷ θανάτῳ· κἀντεῦθεν καὶ τοῖς παρελθοῦσι ἀνεχώρουν ἐπανιών.

8. Καὶ τοίνυν ἐμεμνήμην ἡμερῶν ἀρχαίων· καὶ μῆνας ἡμερῶν ἐπόθουν τῶν ἔμπροσθεν· ἐν αἷς ποτ' ἐγὼ τῷ βελτίστῳ ποιμένι συμπαρῆν ἐπὶ τοῦ ἱεροῦ· καὶ τοῦ καλοῦ χοροῦ συντελὴς ἦν καὶ θιασώτης· ἐν τοῖς πρὸς Θεὸν ὕμνοις, ἡμέρας τὲ καὶ μεθ' ἡμέραν νυκτὸς ἔστιν ὅτε, καὶ πάννυχος ἔστιν ὅτε· καὶ συναδολεσχῶν τὰ θεῖα· καὶ τοῖς τοῦ Χριστοῦ μυστηρίοις ἐνθεάζων· καὶ ταῖς ἑορτασίμοις τοῦ κοινοῦ δεσπότου τῶν ἡμερῶν | εὖ μάλ' ἀγαλλόμενος καὶ f. 333v φαιδρύνων· καὶ τέρπων τὴν ψυχήν· ἡδονὴν ὄντως ἐξειπεῖν, μήποτ' οὐ ῥᾳδίαν, ἁγνοτάτην· καὶ πρὸς Θεὸν καὶ Θεοῦ λατρείαν ἄγουσαν· καὶ κηλοῦσαν εὐαφῶς πάνυ τοι τὸ συνεζευγμένον τῆς ψυχῆς ἄλογον· μᾶλλον δὲ λογικοῖς πρέπουσαν εὖ μάλα· καὶ πρέπουσαν κατὰ φύσιν ἐν τοῖς ἱεροῖς καὶ θείοις οἰκείαν οὕτω· καὶ ἅμα σύγκρατον σέβας καὶ χάρμα, πλεῖστον οἷον εὐάγωγον ἄρρητον· καὶ ταῦθ' ἕκαστα πάντως ὑπὸ τῷ καλῷ τελετάρχῃ· καὶ τεχνίτῃ πάντων ἐπιλέκτῳ· καὶ τῆς εἰθισμένης ἐν τούτοις ἐς τἀκριβέστατον ἀγωγῆς· καὶ νομίμῳ τῇ κατὰ μοναχοὺς πανσέμνῳ τὲ καὶ παναρμονίῳ τοῦ πολιτεύματος ἁγιστείᾳ τὲ καὶ ἱερᾷ συντάξει.

9. Καὶ τίς γὰρ οὕτω τὰ θεῖα πεπαιδευμένος· ἐνεργός τε καθ' ἑαυτὸν ἰδίᾳ· καὶ κοινῇ τύπος καὶ νομοθέτης, ἡγεῖσθαι πολλῶν· ἅτ' οἶμαι κατὰ φύσιν οἰκειότατ' ἔχων ἔοικεν αὐτὸς τῇ χρήσει (καὶ ἴσμεν, ὅσοι, καὶ ἴσμεν τὸν ἄνδρα καὶ πεπειράμεθα), καὶ πολὺ μάλιστ' ἐκ μακροῦ βέλτιστα συνησκημένος τῇ πείρᾳ ταύτῃ· καὶ τῶν καλλίστων ἐπιστήμῃ καὶ ἐκδοχῇ, πάνυ τοι θαυμαστῶν ἀνδρῶν καὶ ἄκρων ἐν τούτοις· οὓς Ἰωνία τὲ καὶ Ἀσία πλείστους ἤνεγκέ τε καὶ ἔθρεψε; καὶ κατ' ἐκείνους ἄρα τοὺς τόπους εἶχεν ὡς ἴσασιν ἅπαντες, πλεῖστα τὲ καὶ κομιδῇ περιφανέστατ' ἤπερ ἄλλοθί πη μοναχικὰ συστήματα· τοῦτο μὲν ἐν κοινωνικαῖς συνοικίαις· καὶ συμβιώσεσι καὶ συναυλίαις πολυαρίθμοις· τοῦτο δ' ἐν

8,11 δὲ V[1] in marg.

8,1 Ps. 142, 5 | Gen. 29, 14; Num. 11, 20 **8–9** cf. Synes. Cyren., Dio 8, 2 (p. 159); cf. etiam supra, Or. 10, 50, 30–32 **9,5–12** cf. Metoch., Misc. 240 et 255

ἡσυχίοις καὶ ἀμίκτοις ἐρημίαις καὶ ἀναχωρήσεσιν. οἷς ἐννεάσας ἀνὴρ, κἀκ πρώτης ἡλικίας καὶ παιδικῆς ἔτι, πολλῶν ἐτῶν συνασκηθεὶς· καὶ τὸ κατὰ φύσιν μάλιστ’ οἴκοθεν οἰκεῖον ἔχων τῷ βίῳ, καὶ στοιχειώδη τινὰ κρᾶσιν ὡς εἰπεῖν, ἕξιν ἐντεῦθεν ἄσειστον εὖ μάλ’ ἀραρυῖαν, ἐπὶ τούτοις ἐβεβαιώσατο. καὶ ἦν γὰρ ἐνταῦθα, πᾶς ὁ νοῦς αὐτῷ, καὶ πάνθ’ ὁμοῦ τὰ πράγματα· καὶ πρὸς οὐδὲν, μήποτ’ ἄλλ’ ὁτιοῦν, οὔ· καὶ εἰ δή τις ἄλλος ὁτῳοῦν ἄλλῳ· μᾶλλον δὲ εἰ δή τις ἄλλος ἐν τούτῳ, καὶ αὐτὸς ἠκριβώσατο τὴν ἐπιλογὴν· καὶ τὸ δοκιμασθὲν ἅπαν· καὶ τὰ νόμιμα τῆς πάντα καλλίστης αἱρέσεως· καὶ τὴν τέχνην εὖ μάλα καθ’ αὑτὸν χρῆσθαι· καὶ παιδεύειν ἑτέρους. καί μοι πρὸς τὸν ἐκκάοντα τῇ μονῇ πόθον, ἐν καιρῷ πολλῶν ἐκλόγιμος δειχθεὶς· καὶ καθ’ ὅσον οἷον τ’ ἐστὶν ἱκανόχρειος αὐτῇ τῇ μονῇ καὶ τῷ πόθῳ, τῇ πείρᾳ πόλλ’ ἔτη συνεχῶς ἀφοῦ, μέχρι δεῦρο καὶ ἐς νῦν, καὶ πλείστας ἀγαθὰς ἐλπίδας ἐναποθέμενος, καὶ εἰς φλόγα λαμπρὰν ἀναρριπίσας τοῖς f. 334 ἐμοῖς | λογισμοῖς, ὥστ’ ἀμέλει καὶ νῦν εἶναι τῷ βίῳ περιόντος καὶ τελευτήσαντος ἴσως ἐμοῦ φθάντος τὴν ζωὴν, ἀδόκητά μοι λοιπὸν ἤδη κατέσβεσε πάσας (ὢ τί ποτ’ ἐρῶ;), καὶ ὁ πάντα γαληνὸς καὶ πρᾶος· καὶ πᾶσιν ἡδὺς· καὶ πάντων ἐμοὶ πλεῖστον ἡδὺς, λαθὼν ἄρα, νῦν ἔπειτ’ ἔμοιγε πικρότατον κομιδῇ καὶ δύσχρηστον κατακιρνᾷ πόμ’ ἀηδίας καὶ ἀθρόον τῇ τελευτῇ.

10. Ὦ πόσης ἐλπίδος· πόσης ἡδονῆς ἐπιδόξου μοι καὶ τρυφῆς κάλλιστ’ ἐν βελτίστοις τῆς σῆς ξυντυχίας· καὶ ἴσως τουλοιποῦ ξυμβιώσεως, ἧς ἐκ μακροῦ πόθος ἐμὲ (καὶ αὐτὸς ᾔδεις), εἶχεν, ἐμὲ νῦν ἀφείλου; ὢ μηδενὶ μὲν πλὴν ἢ σεαυτῷ καὶ ταῖς σαῖς ἴσως ἑτοιμασίαις· καὶ τῇ μεταστάσει τῶν τῇδε καὶ παρασκευῇ, μὴ κατὰ καιρὸν τελευτήσας τὰ παρόντα· καὶ τὴν ζωὴν· μηδενὶ δὲ τοῦθ’ οὕτως ὡς ἐμοὶ, τῷ πάντων σοι φιλτάτῳ· καὶ τῇ πολυεράστῳ σοι μονῇ· καὶ ἧς ὅλος ἀπλήστως εἶχες συνεῖναι καὶ περιείχου· καὶ τὴν κατ’ αὐτὴν βελτίωσιν καὶ προαγωγὴν ἐς τἄμεινον ἀεὶ, πάντα τρόπον ἐπόνεις ἀκάμας. καὶ δῆτ’ εὖ μάλ’ ἀνύτων ὅσαι ἡμέραι

9,12 ἡσυχίοις V[2]Se: ἡσύχοις V **24** ἱκανόχρειος V e corr. **25** ἀφοῦ V, servavimus: ἀφ’ οὗ Se **10,4** πλὴν V[2]Se: πλεῖν V **5** μὴ V[2] s.l. **8** ὅλος V[1]Se: ὅλως V

16 cf. Hom., Il. 7, 339 **32** cf. Ps. 101, 10

συνεχῶς ἑξῆς, ἐπιεικῶς ἔχαιρες· καὶ ὡς οὔποτ' ἂν ὁστισοῦν ἄλλος φιλτάτων εὐετηρίᾳ· καὶ τύχης ἀγαθῆς ὑπερβολαῖς. καὶ νῦν ὢ πῶς ποτε ταύτην ἔλιπες ἐρήμην· καὶ τοὺς αὐτῆς τροφίμους, τὰ σὰ φίλτατ' ἀθλίως ὀρφανικὰ· πολλοῖς γόοις καὶ δυσελπιστίᾳ τοῦ μέλλοντος συνόντα καὶ τειρόμενα· καὶ σὲ τὸν κατὰ Θεὸν ὠδινήσαντα· καὶ καλῶς τε καὶ εὐαγώγως τρέφοντα, μάλα τοι ποθοῦντα· καὶ περιαθροῦντ' ἄν, ἴσως ἰδέσθαι πάντῃ δεινῶς οἰκτρότατα· καὶ ὡς ἄν, ἀπιστοῦντα τῷ μὴ βούλεσθαι, μὴ δὲ προσδοκᾶν, τὴν σὴν ἐκδημίαν καὶ στέρησιν· καθάπερ ἀμέλει τὸ ἀπογεγαλακτισμένον τὴν μητέρα ποθεῖ, συμβὰν ὅπως ἄρα γενομένην ἀπόδημον τῶν οἴκοι· καὶ πλανᾶται διὰ πάντων ὁρῶν, κατὰ ταύτης ζήτησιν· καταρραινόμενον παρειὰς· καὶ πᾶν τὸ σῶμα δάκρυσι· καὶ γοερὸν ὀλολύζον· καὶ πολὺν αὐτόθεν τὸν οἶκτον τῶν ὁρώντων ἐφελκόμενον; ὢ τί ποτ' ἄν, αὐτοῖς ἀρκέσοι πρὸς τὸ παραστὰν τῆς δυσχερείας· ὥστε ῥᾷον σφᾶς ὁπῃοῦν θέσθαι, μετὰ τὴν πεῖραν καὶ πίστιν τῆς συμφορᾶς, ἐν τοῖς πράγμασιν; ὢ τίς ἀντὶ σοῦ τε καὶ κατὰ σέ· ἢ μᾶλλον τό γε μετριώτερον ἴσως ἐρεῖν, ὅτι ἐγγυτάτω κατὰ σέ, τὴν σὴν ἀντιλήψεται σφίσι τάξιν· μάλιστα μέν γε καὶ εἰ κατὰ σὲ τίς ἂν εἴη (τὸ δὲ, καθάπαξ δυσχερέστατον), καὶ τίς ποτ' ἄν, ἀξιόχρεως τοῦδ' ἐγγυητὴς εἴη· κἂν τῇ νῦν πρός γ' ἔτ' αὐ|τοῦ f. 334v
καιροῦ δυσκολίᾳ· καὶ τῷ σάλῳ· καὶ τῇ δυσέργῳ πάνυ τοι χρήσει; εἰ δ' οὖν, τίς ἂν καὶ εἴη, ἀλλὰ τό γ' ἔθιμον ἀνθρώποις· καὶ πείρᾳ μακρᾷ δοκιμασθέν τε καὶ κάλλισθ' ἡρμοσμένον ἐπιεικῶς πλεῖστον, ἕλκει τὲ καὶ ἔχει· καὶ ἀφῃρημένον καὶ ἀποτμηθὲν καὶ γενόμενον ἐκ μέσου, πῶς ἄν, εἴποι τις, ὅσον ἔστιν ἀλγεινόν· καὶ πόσον τινὰ τὸν αὐτοῦ πόθον καὶ τὴν ζήτησιν καὶ τὴν εὔνοιαν τοὺς πεπειραμένους πράττεται;

11. Ὦ τί ποτ' ἄν, ἐν τοιούτοις νῦν ἐγὼ γενοίμην· ὢ τί ποτ' ἄν, ἐγὼ χρησαίμην νῦν οὕτως ἐργώδει τῇ τύχῃ· καὶ χαλεποῖς τοῖς πράγμασιν, ἐνταῦθ' ὑπερόριος πόρρωθι· ξυλλαχὼν ὑμῖν· καὶ μὴ κατ' ἔφεσιν ὅ,τί ποτ' ἔχων ὑμῖν δρᾶν; ἀλλὰ μὴν καὶ εἰ παρὼν ἔτυχον ἂν ὑμῖν, τί ποτ' ἂν ἔδρων ὁπότε τὸ πρᾶγμα πάντοθεν δυσχερὲς ὁρῶσιν; ἀλλ' ἄρ' ὑμεῖς ἄνδρες φίλοι καὶ καλῶς ὑπ'

12 ὢ πῶς V² e corr. **11,1** τί¹ VSe: an *τίς*?

10,15–16 cf. Gal. 4, 19 **19–20** Ps. 130, 2

ἐκείνου πεπαιδευμένοι, μὴ καταμελεῖν μὲν τεθνηκότος πατρός, μὴ δὲ τῆς ὁσίας ἐκείνῳ· καὶ τῶν νομίμων καὶ προσηκόντων ὑμῖν τε, καὶ τῷ πατρί· μὴ δ' ὡς ἄν, ἀνεπαισθήτως ἄγειν τῆς τοσαύτης ἐκείνου ζημίας· αὐτοί δ' ὅπως, μὴ καθάπαξ ὅμως ἀπογνοίητε τῶν καλῶν ἔτι πω· μὴ δὲ τῶν εἰκότων μάλιστ' αὖ ὑμῖν· ἀλλὰ καθ' ὅσον ἐστὶν, ἀντὶ πάντων ὑμῖν αὐτοῖς, ὑμεῖς αὐτοὶ γένοισθε, ἀντὶ τοῦ μεταστάντος, πατρός· ἀντὶ τοῦ μακρὰν ὄντος νῦν ἐμοῦ· ἀνθ' ὑμῶν αὐτῶν. γένοισθε δ' ὁμοῦ ταῦτα, καὶ μάλ' ἐπαινεῖν ἀξίως, πρῶτον μὲν τὸν τῆς εἰρήνης καὶ ὁμονοίας ὑμῖν σύνδεσμον μὴ λύσαντες· καὶ ὡς ἓν ἄρα σῶμα συμφυὲς καὶ ἡρμοσμένον εὖ μάλα τὸν εἰωθότα τέως τρόπον, τὴν καλὴν ἀγωγὴν τηροῦντες καὶ κινούμενοι· ὡς ἄν, εἰ καὶ μιᾷ τελειοποιῷ ψυχῇ καὶ ζωτικῇ τῷ κατ' ἐκεῖνον τύπῳ· καὶ τοῖς δεδομένοις τῷ βίῳ νομίμοις· καὶ ὡς ἄν, χθές που καὶ τρίτην ἡμέραν ὡς πρὸς παρόνθ' ὁρῶντες· ἔπειτ' αὖ τὸν ἄνδρα. καὶ γὰρ καὶ νῦν αὖ ὑμῖν πάρεστι· καὶ μέσος ἔτι πω Θεοῦ καὶ ὑμῶν, μάλιστ' ἐμοὶ δοκεῖν ἀνὴρ ἵσταται· πρεσβεύων λιπαρῶς ὡς μάλα τοι τρανότατα καὶ προσάγων ὑμᾶς τὴν καλὴν αὐτοῦ μάνδραν καὶ ποίμνην ἀζήμιον εὐχρήστοις αὐτοῦ νομαῖς· ὅσα καὶ γινώσκων τὰ αὐτοῦ πάντας ὑμᾶς· καὶ ὑφ' ὑμῶν αὐτὸς γινωσκόμενος, κατ' ἔθος τὸν νοῦν προσεχόντων τοῖς ἐπιτάγμασι τῆς πρὶν ἐπιστασίας ἐκείνου· καὶ μή τινα παθόντων λήθην, ὡς μήποτ' ὄφελον εἴη τοῦθ' f. 335 | ὑμῖν· καὶ γινώσκοιτ' ἐκεῖνος ἄτροπος καθάπαξ τὸν εἰθισμένον τρόπον ὑμῖν· καὶ τηροῖθ' ὡσαύτως ἀλώβητα τἀνδρὸς μηδὲν ἧττον ὡς ἄρα πρὶν, τἀπιτάγματα. καὶ οὐκ οἶδ' ὅ,τί ποτ' ἄν, ἄμεινον ὑμῖν εἴη τοῦδε τὸν ἀεὶ χρόνον· καὶ αὐτοὶ πάντως ἴστε· κἀγώ δ' οὐχ ἧττον· καὶ πάντες ὅσοις τοι τὰ καθ' ὑμᾶς ξυμβέβηκεν εἰδέναι· καὶ πεῖραν ἀμηγέπη τινὰ κἀκείνου καὶ ὑμῶν σχεῖν. βέλτιστος δ' ἄν, ὡς ἀληθῶς ἐγώ μοι δοκῶ κἀκεῖνος ἔσοιτο καὶ πολὺ δρῶν, ὡς ἄν, συνοίσειν αὐτῷ τε καὶ ὑμῖν, ὃς ἔπειτ' αὐτὸς ἔσοιτο, (πάντως δ' ἔσοιτο, καὶ οὐκ ἔστιν ἄλλως), ἐπὶ τῆς ἐκείνου διαδοχῆς καὶ ποιμαντικῆς ὑμῖν, εἰ κατ' ἐκεῖνον ὑμῖν χρῷτο καὶ τοὺς ἐκείνου τύπους τῆς ἀγωγῆς· καὶ πάντα πράγμαθ' ὡς ἄρ' ἐκείνου πεπείρα-

15 καὶ[2] V[1] in marg. **31** κἀγώ V[2]Se: κἀγὼ V **33** ἀμηγέπῃ V, servavimus: ἁμηγέπῃ Se **37** ὑμῖν[1] V[2]Se: ὑμῶν V

11,15 Eph. 4, 3 **16** cf. Plat., Soph. 247d; Synes. Cyren., De regn. 13, 4 (p. 105) **22** Greg. Naz., Or. 2, 53, 11–12 (p. 160) **24–25** Io. 10, 14

σθε. ἢ τί γὰρ ἂν ἄμεινον ἔπειτ᾽ ἐκεῖνος ἔχοι χρῆσθαι· καὶ προσωτέρω· καὶ πρὸς ἐπίδοσιν φέρον; καί μοι τοῦτ᾽ εὐκταῖον ἰδεῖν πάνυ τοι· καὶ ἀεὶ καθορᾶν· καὶ ἀεὶ καθορᾶσθαι, τῇ τε μονῇ καὶ ὑμῖν.

12. Καὶ τοίνυν ἐπεὶ τὸν ἡγησόμενον ὅπως ποτ᾽ ἄρα πᾶσα ἀνάγκη δοθῆναι μετουπολὺ τῇ μονῇ· καὶ τοῦτον ἢ πάντως ἐξ ὑμῶν ὅντινα δή· καὶ τῆς ὑμῶν συναυλίας· καὶ συντρόφου βιοτῆς (ὡς εἴθε τοῦθ᾽ οὕτως εἴη κατ᾽ ἐμὸν πόθον· καὶ ἴσως ὑμῶν οἶμαι), ἢ καί τιν᾽ ἄλλοθεν νέον ὑμῖν ἐπίδημον, εἰ μὲν ἐξ ὑμῶν ὁ παρ᾽ ὑμῖν αὐτὸς ἡγησόμενος, ἔξεστιν αὐτόθεν ἀμέλει χρῆσθαι κατ᾽ ἔθος· καὶ οἷς αὐτὸς ἔστεργε καὶ καλῶς ἔχειν τὸ γιγνόμενον ἅπαν ἠξίου· καὶ οὐδὲν ὅ,τι μὴ χρηστὸν ὑμῖν παρεῖναι (καὶ οὐδεὶς γὰρ ἄλλως τῶν παρ᾽ ὑμῖν, ὅσα γ᾽ ἐμὲ εἰδέναι κοὔτι πλέον ἐξεῖναι κρίνων ᾤετο), καὶ οἷς ὡσαύτως ὑμεῖς πάντες ἐστέργετε· καὶ ἠξιοῦτ᾽ εὖ μάλα κοινῇ. εἰ δ᾽ ἐκλόγιμος ἴσως ὅθεν ἄρ᾽ ἄλλος ἄλλοθεν (ὡς εἴη γε οὗτος ὅστις ἄν, ἔσοιτο κατὰ Θεὸν ἐκλόγιμος), φθάσαντες ὑμεῖς δείξατε τῇ συνασκήσει κατ᾽ ἔθος τῶν καλῶν, ὡς ὀλίγος αὐτῷ πόνος ἔσοιτο τῇ πρὸς τὰ βέλτισθ᾽ ἡγεμονίᾳ πρὸς ἄνδρας εὖ μάλ᾽ ἠγμένους καὶ γεγυμνασμένους τὸν κατὰ Θεὸν βίοτον· καὶ πολλῶν ἐτῶν ἠσκημένους ἄμεινον. τιμήσατε τὸν μακαρίτην ἐκεῖνον πρεσβύτην πατέρα. τιμήσατε νῦν μάλισθ᾽ ὃν ἐτιμᾶτε κομιδῇ περιόντα· καὶ διαφερόντως ἐποθεῖτε· ποθοῦντα καὶ αὐτὸν, διαφερόντως ὑμᾶς· καὶ ὑπὲρ ἄλλο πᾶν περισπούδαστον ἀνθρώποις καὶ τιμῆς ἀξιούμενον, τὰ καθ᾽ ὑμᾶς τιμῶντα· καὶ ὑμῶν ἀκορέστως ἐξεχόμενον· καὶ τὴν καρδίαν ὅλην ἐκχεόμενον ὑμῖν. τιμήσαθ᾽ ὑμᾶς αὐτούς, ἐν ἀρίστοις ἀνύτοντας τέως τὸν βίον, καὶ νομίμοις ἐν ἀρίστοις, καὶ μὴ μετα|βάλλοντας τοῖς καιροῖς· μὴ δὲ τρεπομένους f. 335v ἐπιστασίας ἐρημίᾳ τῶν βελτίστων καὶ προσηκόντων ἀποδείξαντες· καὶ μάλισθ᾽ ἑαυτῶν· καὶ τῆς κατ᾽ ἐξουσίαν ὑμῖν ψήφου τἀγαθὸν, οὐ τῆς ἡγεμονικῆς ἀνάγκης καὶ βίας ἀποδείξαντες.

40 φέρον V[1]Se: φέρειν V **12,2** μετουπολὺ V, servavimus: μετ᾽ οὐ πολὺ Se **7** καὶ[1] V[1] s.l. **22** ἀνύτοντας V[2]Se: ἀνύτοντες V | νομίμοις V[1]Se: νομίμους V

12,15 cf. Plat., Polit. 266d

13. Ἀπέστω πᾶσα δύσχρηστος ἔρις ὑμῶν· ἔρις δέ γε καὶ ἅμιλλα, τῇ βελτιώσει μάλιστ’ ἔστω, κατὰ πρόθεσιν ὑμῖν. ἀπέστω φθόνος· ἀπέστω φιλαρχία· κακοῦργον ἦθος ἀπέστω. διαβεβλήσθω πᾶν ἄτακτον· καὶ φαῦλον καὶ δύσεργον ὑμῖν· καὶ ὅσα τῆς πονηρᾶς ἕξεως ἁπάσης, ἀπέστω· καὶ κακοσχόλου· καὶ θόρυβον· καὶ σάλον ἐμποιούσης τῷ συστήματι. ὁμοφροσύνη πρὸ πάντων ἤτω πᾶσι πᾶσα· περὶ τῶν ἱερῶν τὴν ἐπιμέλειαν· περὶ τὰς εὐχάς· περὶ τοὺς ὕμνους τοῦ Θεοῦ καὶ τὴν λατρείαν ὡς εἴθισθε· ὁ κόσμος ὃς ἄρα καὶ πρὶν, ὁ περὶ τὸν νεὼν καὶ τὰ κάλλιστ’ εὐαγῆ· καὶ σεμνὰ πάντα συνθήματα· ὡς δὲ, περὶ τὸ ἱερὸν ἄδυτον· καὶ τὴν πάναγνον τράπεζαν· καὶ τὰς μυστικὰς ἀναιμάκτους τελετὰς καὶ σπονδείας· καὶ τὸ μέγα θῦμα καὶ Θεοῦ καλλιέρημα· πρὸς δὲ, τὸ παρ’ ἑκάστων συγκεχωρηκὸς ἑκάστῳ, πρὸς τὸ καθ’ αὑτὸν ἑκάστῳ· καὶ οἰκεῖον καὶ δεδομένον τῆς λειτουργίας· κόσμος ἅπας τῷ καθεστῶτι τῶν νομίμων ἐν τάξει· κόσμος ᾗ δέοι ἂν, ἐν κρότοις καὶ διατόροις ᾄσμασι καὶ νενόμισται· κόσμος ἐν σιωπῇ· καὶ γαληναῖς ἀνθομολογήσεσι. τὸ κοινωνικὸν διὰ πάντων ὡσαύτως ἤτω· καὶ εὐξύμβλητον ἀλλήλοις· τὸ αἰδοῖον εὖ μάλα καὶ τίμιον, τῶν ἀπὸ τῆς δευτέρας καὶ ἥττονος τάξεως, τοῖς προέχουσι καὶ βαθμοῦ κρείττονος· ἢ γήρᾳ· ἢ συνέσει· ἢ τῆς ἱερατείας ἀξίᾳ· καὶ αὖ τῶνδε μηδὲν ἧττον, τὸ φιλόκοινον· καὶ φιλάλληλον· καὶ τοῖς ταπεινοῖς ἐπικύπτον τὲ καὶ συμπίπτον· εἰς ἑνοποιὸν τοῦ συντάγματος σύνδεσμον πρὸς τοὺς ἰδιωτεύοντας· καὶ τὴν γνώμην ὀλίγους· καὶ δεομένους ἐπικουρίας, τῶν τελειοτέρων τὲ καὶ κρειττόνων· καὶ ὀφειλόντων ὡς ἰσχυροτέρων τὰ τῶν ἀσθενεστέρων, κατὰ τὴν ἐντολὴν βαστάζειν. τὸ ὑπεῖκον καὶ ἀφιλόνεικον πρὸς τοὺς ἐπὶ τῶν διοικήσεων· καὶ πάσης βασκάνου μεμψιμοιρίας καὶ ἀκαιρίας καὶ μικρογνώμονος καὶ ἀνελευθέρου λογοποιίας, ἀλλότριον· τῶν δὲ καὶ αὐτῶν τὸ καθάπαξ, ἐπιμελὲς· καὶ πάντα τρόπον ἄνοσον· καὶ εὐγενὲς, τῇ διοικήσει. τὸ πρὸς τοὺς ἐπὶ τῆς χρείας· καὶ τῆς τῶν ἀναγκαίων διακόνους ὑπηρεσίας καὶ ὑποβεβηκότας ὑπουργοὺς, ἄτυφον τῶν ὑπερεχόντων καὶ ἀνολίγωρον· καὶ ὥστε καθάπαξ, μηδένα τῶν

13,8 εἴθισθε V: εἴθισται coni. Se **22** τὸ ante εἰς primum scriptum, deinde erasum **27** ἀκαιρίας V[2] e corr

13,1–5 cf. Theod. Stud., Catech. magn. 39 (p. 283, 15–17) **25** Rom. 15, 1 **32–33** Mt. 18, 1–6

μικροτέρων σκανδαλίσαι κατὰ τὸν | εὐαγγελικὸν λόγον· καὶ τὸ φιλάνθρωπον ἐπίταγμα· φεύγοντας τὸ παραλειπόμενον ἀσύμφορον· καὶ τὴν τοῦ κατακρίματος διὰ τὴν περιφρόνησιν ταύτην, δυσχέρειαν· καὶ κάλλιστα δὴ πεπεισμένους, ὅσον ἐστὶν ἀποτρόπαιον Θεῷ, τὸ κατωφρυῶσθαι τῶν ἡττόνων καὶ κατεξανίστασθαι· καὶ μέγα φρονεῖν ἐπ'αὐτοῖς. τῶν δὲ, καὶ αὐτῶν τὸ φίλεργόν τε καὶ ἐπίμονον τῇ χρήσει· καὶ πρὸς τὸ πεφυκὸς τῶν πόνων· καὶ πᾶν τὸ γιγνόμενον ἐνδελεχὲς· τὸ πρὸς τοὺς ἐπιδεεῖς ἔτ' ἔξω καὶ πολλοὺς ἀμέλει· καὶ τῆς ἀναγκαστῆς αὐτῆς τροφῆς· καὶ τῶν ἀπαραιτήτων τῇ φύσει δασμῶν, κατ' ἔθος ἐκ τῶν ἐνόντων μεταδοτικὸν· καὶ φίλοικτον τῇ χρείᾳ· καὶ μηδὲν ἧττον ἢ πρὶν, ἐν τῷ νῦν ὑμῖν τῆς δυσκολίας καιρῷ. τὸ πρὸς τοὺς κάμνοντας ἐν νόσοις συμπαθὲς· καὶ πρὸς ἐπικουρίαν ἥντιν' ἔξεστιν ἕτοιμον διὰ τῆς ἐνούσης, εὖ μάλ' ὡς ἴστε παρασκευῆς· καὶ χρονίας ἤδη μάλιστ' ἐξαρχῆς προθέσεως· καὶ ἧς μάλιστ' ἐμέλησεν ἐμοὶ· καὶ μηδὲν μᾶλλον τοῖς ἐντὸς καὶ συμβιοῦσι τὲ καὶ συντρόφοις, ἢ καὶ τοῖς ἔξωθεν οἱστισινοῦν ὅποι ἄρα παρείκοι· καὶ οἷον τ' ἐστὶν ἐκτείνειν τὴν συμμαχίαν τῇ κοινῇ φύσει, κατὰ τῆς ἐνοχλούσης ἐπαναστάσεως καὶ ἐπηρείας· καὶ προσέχειν τῇ τῶν ἀσθενούντων ἐπισκέψει· καὶ προσέχειν τῷ ταύτην οἰκείαν ποιουμένῳ· καὶ εἰς ἑαυτὸν λογιζομένῳ, μετὰ τῶν ἄλλων τῆς φιλανθρωπίας ἐπιταγμάτων Χριστῷ. καὶ πᾶσα πρόφασις ἐνταῦθα· καὶ πᾶσα τυραννοῦσ' ἀνάγκη καὶ νῦν μάλισθ' ὑμῖν ἀπέστω. f. 336

14. Καὶ εἰ δή τι ἄλλο, καὶ τοῦτο ὑμῖν ἐπιεικῶς ἔστω προύργου· καὶ μελέτω μὲν τούτου πλεῖστον τῷ ταύτης ἐπιτρόπῳ· καὶ ἐπιμελητῇ τῆς διακονίας· μελέτω δὲ πᾶσι κοινῇ· καὶ καθάπαξ μελέτω πᾶσιν ὑμῖν, τοῦ τε καθ' ἑαυτὸν ἑκάστῳ προσήκοντος· εἰς ἀνδραγαθίαν, ἣν ἀμέλει τοῦ βίου· καὶ τῆς καθ' ὑμᾶς αἱρέσεώς τε καὶ ἐπαγγελίας καὶ ἐνστάσεως πράττεται, καὶ τοῦ κοινῇ δὲ προσήκοντος, οὐχ ἧττον μελέτω· ὡς οὐδὲν μᾶλλον ἕκαστος ἑαυτῷ, ἢ τῷ κοινῷ

38 ἐπ' αὐτοῖς V: ἐφ' αὐτοῖς maluerit Se **14,4–5** ἀνδραγαθίαν ἣν V[2]Se: ἀνδραγαθίαν V **6** ἐνστάσεως V: ἔνστασις corr. Se; an post ἐνστάσεως lacuna statuenda (e.g. πρόθεσις, quod Se suppleverit) πράττετε etiam scribere possis

51–53 Id. 25, 43 **14,7** Rom. 14, 7

πάντες συντάγματι ζῆν εἵλεσθε· καὶ συνήρμοσθε· καὶ μέλειν ἀλλήλων· καὶ τοῦ κοινῇ συνοίσοντος καὶ κοσμίου, τὸ σύνθημα· καὶ ἡ πρόθεσις ὑμῖν καὶ προθεσμία τὸν ἅπαντα κατὰ τὴν μονὴν βίον· καὶ τὸν τῆς ζωῆς ὅρον ὑμῖν. μελέτω δὲ τῶνδε δὴ πάντων· καὶ ὃς ἐπὶ ῥητοῖς νῦν ὑμῖν ἐπίλεκτος ὥρισται καθόλου τῇ κοινῇ φροντίδι τῶν καθ' ὑμᾶς καὶ διοικήσει, μέχρι καὶ τῆς ἐπιλογῆς καὶ τῶν ἀρχαιρεσιῶν· καὶ τῶν ψήφων τοῦ κατ' ἔθος ὑμῖν καθάπαξ ἡγησομένου· καὶ τῶνδ' αὐτῷ μελέτω παντάπασιν ἠπειγμένως τὲ καὶ ἀγρύπνως, ὡς ἄν, τάδ' ἅπαντα πιστευθέντι· καὶ μὴν ἑκόντι γε ὄντι καταθεμένῳ πρὸς τὴν λειτουργίαν καὶ πρὸς τὸ βάρος ἑαυτὸν f. 336v ὑπο|θεμένῳ τῆς {τῆς} χρείας· καὶ ὡς ἄν, αὐτῷ περὶ τούτων ἁπάντων, Θεῷ λόγον ἀποδώσοντι.

15. Πρὸς δὲ τούτοις ἔτι καὶ αὐτῷ τε καὶ πᾶσιν ὑμῖν μελέτω (καὶ γὰρ ἔτι πω μετὰ τῆς τοῦ σώματος χρείας βιοῦσιν ὑμῖν καὶ τῶνδε δεῖ· καὶ ἄφυκτά πως καθάπαξ τῆδ' ὑμῖν ἐστι), καὶ τῶν τῆς ζωῆς ἀφορμῶν· καὶ ὁπόσ' ἐμοὶ φθάσαντ' ἀποχρώντως οἶμαι· καὶ πρός γ' ἴσως ἔτι, πρὸς τὴν σωματικὴν ταύτην ὑμῖν, ἀπαραίτητον εἴσπραξιν καὶ αὐτάρκειαν, ἐσκεύασται καὶ ἀποτετάχαται προσοδήματα. καὶ οἶδα μὲν ἔγωγε ὡς ἄρα πολὺ μάλιστ' ἐνταῦθα τὸ ἀντίξουν ὑμῖν, διὰ τὴν ἀντίπνοιαν ἐμοὶ τῶν πραγμάτων· καὶ τοῦ καιροῦ. ἀλλὰ καὶ ὅμως ⟨οὐκ⟩ ἀποδειλιατέον ἐστὶν ὑμῖν καὶ πονητέον ἐνταῦθα καὶ ἐπιμελητέον· καὶ πάντα κάματον ἀνθαιρετέον καθ' ὅσον οἷόν τέ ἐστι καὶ ταῖς ψυχαῖς ὑμῖν ἀκίνδυνον, ὡς οὐκ ἔστιν ἄλλως χρῆσθαι παντὶ δῆλον. καὶ βέλτιον ὑμῖν οὕτως ἔσται, ἢ καταναρκήσασι· καὶ μὴ πονοῦσι πλεῖστον ὅσον ἐν τούτοις· ἀλλ' ἀτημελήτως ἔχουσι πρὸς τὴν ἐπήρειαν τοῦ καιροῦ.

16. Καὶ τοίνυν τηρητέον μὲν καὶ προσεκτέον εὖ μάλ' ἀσχολουμένους τὸν νοῦν, ὡς ἂν ἄρ' εἰκὸς τόδε καὶ ἀνεμέσητον, ἅττα κατὰ τὴν μονὴν τεθησαύρισται· καὶ περὶ τὴν μονὴν ἔγγιον· καὶ σπουδαστέον ἀθῷον τὴν ἐντεῦθεν ἐπιεικῶς συντέλειαν. προσεκτέον

11 τὸν V[1] s.l. **13** καὶ[1] V[1] s.l. **18** τῆς[2] tacite del. Se **15,9** οὐκ ante ἀποδειλιατέον add. Se (cf. Or. 3, 3, 19) **11** ὑμῖν V[1]Se: ὑμῶν V **16,2** τόδε V[1]Se: τῶδε V

15,4–9 cf. Metoch., Carm. 1, 1214–1265 (pp. 47–49)

δὲ πρός γ’ ὑμῖν καὶ ἄττα ἐκτὸς· καὶ πολὺ μάλιστ’ ἐνταῦθα προσεκτέον τὸν νοῦν (πλείονά τε γὰρ· καὶ πολλῆς ἐπιμελείας δεόμενα, διὰ τὴν πλείον’ ἴσως ἐνοχλοῦσαν ἐν σφίσιν, τῶν ἐπ’ ἐρημίας ἐπανισταμένων ἐπήρειαν), καὶ διανεμητέον τοὺς περὶ τούτων πόνους καὶ τὴν φροντίδα, πεπειραμένοις ἀνδράσι· καὶ τὸ πιστὸν τῆς λειτουργίας ἐντεῦθεν ἔχουσιν· ἅμα μὲν πρὸς τὸ γιγνόμενον ἅπαν· καὶ τὴν ἄσχολον καὶ τεχνικὴν ἕξιν τῆς ἐργασίας· καὶ πάντ’ εὐδιοίκητον ἀνύτειν· ἅμα δὲ καὶ πρὸς τὸ καρτερῶς καὶ μὴ ἀνειμένως μὴ δ’ ἀσθενῶς ἀποδύεσθαι· καὶ συνίστασθαι· καὶ συναεθλεύειν, πρὸς τοὺς ἐπιτιθεμένους ἑκάστοτε μετὰ τοῦ καιροῦ· καὶ δύνασθαί πως οἰκονομεῖν τε καὶ φέρειν γεννικῶς τὰ ξυμπίπτοντα, πάντ’ ἐργώδη· καὶ μὴ τῶν προσηκόντων ἑκάστοις ὀλιγωρεῖν ἀμηγέπη· καὶ ἅμα τρίτον ἐρεῖν, ὃ καὶ ἴσως ἐρεῖν αἰσχύνοιτ’ ἄν τις· καὶ ἴσως ὅλως ἀμφιγνοεῖν αἰσχύνοιτο, πρὸς τὸ τοῦ ἤθους καὶ τῶν τρόπων εἱλικρινὲς· καὶ πάσης προσπαθείας ἑαυτοῖς καὶ ἰδιοκτησίας καὶ καπηλείας ἀνώτερον. ὃ παντάπασι μὲν ὡς ἀληθῶς ἀποτρόπαιον καὶ ἀπευκταιότατον, ὥστε καὶ μόνον ἐρεῖν ὡς ἔφην· ὥστε καὶ μόνον ἐν νῷ θέσθαι· καὶ μοναχικῆς μεγαλοφροσύνης καὶ ἐλευθερίας ἀλλοτριώτατον· ὕπο|πτον δὲ πεποιήκασιν ἔνιοι τῶν φαύλων f. 337 ἐπιτρόπων, ἐν τοῖς τοιούτοις, κακοὶ κακῶς χρησάμενοι τῇ διοικήσει· καὶ νοσφισάμενοι τὰ κοινὰ· μᾶλλον δ’ ἱεροσυλήσαντες, ἀληθέστατ’ ἐρεῖν τἀναθήματα τῷ Θεῷ· καὶ πόρρωθεν τῶν χρόνων· καὶ τὴν ἀρχὴν ἐκ μακροῦ, Ἀνανίας τὲ, καὶ ἡ τοῖς τρόποις, οὐ τῷ γάμῳ μόνον κοινωνὸς αὐτῷ Σάπφειρα (καὶ ἡλικιῶτις γάρ ἐστιν ἡ νόσος αὕτη τῇ Χριστοῦ διδασκαλίᾳ· καὶ τῇ κοινωνικῇ ταύτῃ συνδιαιτήσει, τῶν ἐπιλέκτων ἀνθρώπων τοῖς θείοις δόγμασι· τὴν πρώτην εὐθὺς ἀρχομένου τοῦ κηρύγματος), οἳ δὴ μὴ πρὸς οὐδεμίαν ἀνάγκην παραβαλλόμενοι· ἢ βίαν καὶ δεσμὸν ὅντιν’ ἄρα· ἢ δέος ἄφυκτον· ἀλλ’ ἑκόντες ὄντες ζηλοῦν ἑλόμενοι γνώμης· καὶ κρίσεως αὐτεξουσιότητι τὰ βέλτιστα· καὶ τὰ οἰκεῖα πραττομένου μηδενὸς εἰς μέσον φέρειν ἀξιώσαντες τῷ Χριστῷ· καὶ τῇ ὑπ’ αὐτὸν ἀδελφότητι· καὶ τὴν κτῆσιν τοῦδ’ ἕνεκεν πριαμένοις ἀποδόμενοι, τὸ

5 καὶ[1] V[2] in marg. **16** ἀμηγέπη V, servavimus: ἁμηγέπῃ Se **19** εἱλικρινὲς V[2], servavimus: εἰλικρινὲς V Se **27** Ἀνανίας Se: Ἀνανανίας V **36** τὴν corr. Se: κτὴν V | ἕνεκεν V: ἕνεκα Se

16,27–46 Act. 5, 1–11

τίμημα τοῖς ἀποστόλοις προσάγοντες, οἵ δ' ἔπειτα φαῦλοι φαύλως, καὶ δυστυχεῖς ἄνθρωποι· καὶ πάντων ὡς ἀληθῶς ἀνούστατοι· καὶ ἀθλιώτατοι τὰ οἰκεῖα· καὶ ὧν ἦσαν αὐτοὶ δεσπόται, νοσφισάμενοι καὶ ὑφελόμενοι κρύφα, καὶ λαθεῖν πειρώμενοι, καὶ λαθεῖν δόξαντες· καὶ Χριστὸν ἀπατηλῶς κλέψαι καὶ τοὺς αὐτοῦ θεράποντας, τὴν ψῆφον τοῦ καλοῦ· καὶ τῆς ἀρετῆς τὴν τελείωσιν· ἔλαθον μᾶλλον, ἑαυτοὺς τοῖς ἐσχάτοις περιβαλόντες δεινοῖς· ὡς ἀνομοῦντας διακενῆς· καὶ τὰ μέγιστ' ἀσεβοῦντες εἰς τὸ παντέφορον αὐτὸ τοῦ Θεοῦ· καὶ διὰ πάντων χωροῦν· κἀν τοῖς μυχοῖς αὐτῆς τῆς καρδίας· καὶ πάντων δραττόμενον. καὶ τοίνυν ὡς οὐκ ἀδόκητον ὃ νῦν ἐλέγομεν, φυλάττεσθαι· καὶ κατασφαλίσασθαι τὴν τῶν ὑμετέρων ἐπισκοπὴν καὶ διοίκησιν τοῖς μεταχειρίζειν ἀποτεταγμένοις ταῦτ' ἐξ ἡμῶν, ὡς ἐμοὶ μὲν καὶ τοῦ μηδὲν ὑποσυλᾶσθαι καὶ παραιρεῖσθαι τῶν ἐπιβαλλόντων καὶ διαφερόντων ὑμῖν καὶ πᾶν τὸ καθ' ὑμᾶς τῆς γιγνομένης τυγχάνον ἐπιμελείας ἀμείωτόν τε καὶ ἀθῷον· ἥκειν τῇ μονῇ, πολύ μέλει (ἢ τί γὰρ οὔ;), καὶ τὸ πρὸς τοὺς ἐπηρεαστὰς ἀνθίστασθαι, καὶ μὴ ὀλιγώρως ἐκκεῖσθαι τὰ ὑμέτερα συγχωρεῖν, τῇ κατὰ σφᾶς αὐτοὺς βίᾳ καὶ ταῖς ἁρπαγαῖς· καὶ ὥστε χειμάρρου δίκην ταῖς αὐτῶν ἐπιδρομαῖς παρασύρεσθαι, καὶ τοῦδ' αὐτοῦ μέλει. πολὺ δὲ μάλιστ' ἢ κατ' αὐτὰ μέλει τοῦ, μηδένας ἐξ ὑμῶν τὴν αὐτῶν ἐπισκοπὴν καὶ διοίκησιν πιστευθέντας, σκαιωρεῖσθαι σφίσιν, ἴδια τὰ κοινὰ καὶ f. 337v δυσνοϊκῶς | ἀνδραποδίζεσθαι σὺν δόλῳ καὶ λωποδυτεῖν· καὶ ὑπευθύνους εἶναι τοιαύταις αἰσχίσταις κακουργίαις καὶ κλοπαῖς. περὶ ὧν ἐμοὶ δοκεῖν κἀν ἐπί τινων τοῦ πολλοῦ λεὼ, καὶ δημοτῶν τινων ἀποχειροβιώτων ἀνδρῶν κἀκ παντὸς τρόπου προθεμένων πορίζεσθαι, μᾶλλον δὲ καὶ τελωνικῶς ἀναίδην ζώντων· καὶ κατὰ τοὺς κόρακας οἷς ἄν, ἑκάστοτε ξυλλάχωσιν εἰς κατάβρωσιν ἐπιχαινόντων, αἰσχύνοιτό τις καὶ κομιδῇ μυσάττοιτο, εἰ πιστευθέντες ἄττα δὴ· καὶ προνοεῖν ἄν, ἐπιτεταγμένοι, οἵ δ' ἔπειτα τούτοις διαλυμαίνοιντο· καὶ τοιούτοις ἔργοις ἐνέχοιντο· καὶ σφέτερ' αὐτῶν

44 ἀνομοῦντας V[1]Se: ἀνομοῦντες V | ἀσεβοῦντες V[2]Se: ἀσεβοῦντας V **46** αὐτῆς V[1]Se: αὐτοῖς V **58** πιστευθέντας V[2] e corr. **65** μυσάττοιτο corr. Se: μισάττοιτο V

44 Ps. 24, 3

ἐπιβούλως χρώμενοι, κακοὶ κακῶς ἐντεῦθεν καταπράττοιντο κέρδη.

17. Μή μοι γένοιτο περὶ ὑμῶν τινὸς τοιοῦτόν τι κάκιστον· καὶ σφόδρ' ἀηδίας καὶ ἀσχημοσύνης ἐσχάτης, αἰσθέσθαι· ἢ τινῶν κακηγορούντων πυθέσθαι ἐπιχαιρεκάκῳ μὲν ἴσως προθέσει· καὶ τρόπῳ δυσνοϊκῷ καὶ κακοσχόλῳ· πυθέσθαι δ' ὅμως ἐπαληθευόντων ἐφ' ὑμᾶς αὐτούς· ἐπεὶ καὶ λανθάνειν οὐκ ἔστι καθάπαξ οὕτω δὴ χρωμένους, τούς γε τοιούτους· καὶ περὶ ταῦτα δεινοὺς ἐκτόπως καὶ φιλοσκώμμονας. εἰ δὲ καὶ λανθάνοιεν ὃ πολλοῦ δέοι ἄν, ἢ παντὸς μᾶλλον ἀδύνατον οἶμαι, οὐδ' ἂν εἴ τις ὡς ἔπος εἰπεῖν τὸν παροιμιώδη Γύγου δακτύλιον περιελίξοιτο, ἀλλ' οὐκ ἂν πάντως λάθοιεν, τὸν ἐπὶ πάντων ἐπόπτην ἀόρατον αὐτὸν Θεόν· οὐδ' ἀποδράσαιεν τὴν φθάνουσαν ἅπαντας· καὶ τοὺς ταχυτάτους αὐτοὺς δοκοῦντας δίκην Θεοῦ· καὶ λόγους πραττομένην ἑκάστων τῶν κατ' ἀνθρώπους· καὶ βίου παντὸς καὶ πάσης διοικήσεως. καὶ τοίνυν ἵνα μὴ ἀπατῷντο σοφιζόμενοι τὰ μὴ πεφυκότα· μᾶλλον δ' ἀμαθαίνοιεν ὡς ἀληθῶς ἅττα μὴ ἐχρῆν καθάπαξ· καὶ ἅττα πᾶσι δῆλα, τηρούντων δή, τὸ προσῆκον, κατ' αὐτοὺς τῇ προαιρέσει τοῦ βίου· τηρούντων δ' ἑαυτούς, ὅσα γε εἰκὸς ἐπὶ τῆς θεϊκῆς ἐποπτείας· ἧς ἀμέλει πάντ' ἐπίπροσθεν χωρεῖ καὶ φέρεται· καὶ οὐδὲν μή ποτ' οὔ· καὶ ὑμεῖς δὲ κοινῇ τηρεῖν πᾶν τὸ εἰκὸς ἐν τούτοις εὐθεῖ συνειδότι στοιχοῦντες, καὶ τὴν ἐπιλογὴν ἐν καιρῷ, πάντα τρόπον ποιούμενοι· καὶ πᾶσαν προσπάθειαν ἀποποιούμενοι· καὶ μικρογνωμοσύνην τὲ καὶ μικρολογίαν· καὶ Θεὸν τὸν ἐπόπτην ὡσαύτως πρὸ ὀφθαλμῶν ἔχειν· καὶ τὴν ἔφεδρον ἀεὶ πάντων δίκην· καὶ πάσης οὐχήκιστ' ὀλιγωρίας καὶ κακουργίας.

18. Καὶ οὐ λέγω νῦν τοῦθ' ὑμῖν πρὸς τὴν ἐπήρειαν καὶ δυσκολίαν τοῦ καιροῦ (καὶ τοῦτο μὲν νῦν ὑμῖν ὅσον· καὶ τὸ πρᾶγμα | f. 338 μάλιστ' ἐπίχρειον νῦν ἐπεῖγον – ἢ πῶς γὰρ οὔ; –, κἂν ὁπόση φροντίδων ἀκμῇ καὶ ἐπιμελείας τὰ καθ' ὑμᾶς, ἀκριβῶς ἴστε πάντως), ἀλλ' ἄρ' ἔγωγε κατὰ παντὸς ἀμέλει καθάπαξ τοῦ

17,6 χρωμένους V[2]Se: χρωμένοις V **7** φιλοσκώμμονας V[1]Se: φιλοσκώμονας V **24** οὐχήκιστ' V, servavimus: οὐχ ἥκιστ' Se

17,9 CPG I, 232, 10

χρόνου, τάδε φημὶ, ὅπως ποτ' ἂν, ἔχοι, κἂν εἰ εὖ ὑμῖν· καὶ ὡς ἑτέρως φέροιτο (κατὰ παντὸς γὰρ ὑμῖν τοῦ χρόνου καὶ πραγμάτων κατὰ πάντων καθάπαξ ἡ τοῦ βίου πρόθεσις· καὶ οὐ νῦν ἑκάστοτε μᾶλλον οὐδ' ἧττον, ἢ καὶ ὁτὲ πάσης τῆς ζωῆς· οὐδ' ἄλλως χθὲς· καὶ προτρίτης ἢ νῦν· οὐδ' ἄλλως ἢ νῦν τῇ ὑστεραίᾳ· καὶ μετέπειθ' ἑξῆς· οὐδ' ἔξωθεν, ἐν εὐκολίᾳ βιοῦσιν ἄλλως· ἄλλως δὲ βιοῦσιν, ἄλλως), οὐδὲ πρὸς ἅπασαν δυσχέρειαν· καὶ ἀντίπραξιν καὶ δυσχρηστίαν ὁπηοῦν ἐναλλάττειν τὰ καθ' ὑμᾶς συνθήματα· καὶ αἱ πρὸς Θεὸν παρρησίᾳ τὴν πρώτην ὁμολογίαι (ἀλλ' ἴστε μὲν ὑμεῖς, οἷα· ἴσασι δ' ἅπαντες σχεδὸν ἄνθρωποι· καὶ ὅσοι τὰ καθ' ἡμᾶς ὅλως ἴσασι), καὶ τῶνδ' ὑμᾶς ἀεὶ μεμνῆσθαι· κἂν παντὶ τῷ παραστάντι τοῦ καιροῦ· καὶ μεμνημένους ὡς εἰκὸς, ἐφ' ὅσον οἷον τέ ἐστιν ἀεὶ παραβάλλεσθαι· καὶ τηρεῖν· καὶ μὴ προδιδόναι· μὴ δ' ἐλλείπειν τὴν τάξιν· ἐφ' ἧς ὑμεῖς ὑμᾶς αὐτοὺς ἐπὶ καλοῦ προεστήσασθε τοῦ σχήματος καὶ συντάγματος.

19. Εἰ δὲ καὶ νῦν ὑμῖν τὸ τῆς χρήσεως ἐργωδέστερον ξυμβὰν διὰ τὴν ἀντίπραξιν ὅπως ἄρα τοῦ καιροῦ· καὶ τὴν τοῦ καθηγεμόνος ἐρημίαν· καὶ ἴσως καὶ τῆς ἡμετέρας ἐπικουρίας, ὑμῖν· ἐπείγεσθαι καὶ πονεῖν ἐστι πλέον, καὶ ὅσον ἐν καιρῷ τῆς χρείας, καὶ ἡ τῶν πραγμάτων ἀνάγκη πράττεται, καὶ δὴ πονεῖτε μάλισθ' οὕτω κρίνοντες ᾗ δέοι ἂν· καὶ πλεονεκτεῖτε τοῖς καμάτοις, περίεργον ἔχειν ἀπαιτούμενοι τὴν ἐπιμέλειαν· καὶ μηδὲν μήποτε μεθιέμενοι τῶν εἰκότων· καὶ τοῦ γιγνομένου τῆς χρήσεως, ἀγαπῴην ἂν, ἔγωγ' εὖ μάλα· καὶ τοῦτο μάλιστ' ἐπαινετῶς ὑμῖν. ταῦτ' ἄρα καὶ ὅπως πλεῖστον ὅσον οἷον τ' ἐστὶν ὑμεῖς τῶν πόνων ἐνταῦθα· καὶ τῆς σπουδῆς συνεισάγοιτε· καὶ γίγνοισθε μὲν, ἐπιμελεῖς τοῦ καθ' αὑτὸν ἕκαστος προσήκοντος· γίγνοισθε δ' ἔτι πάντες ὁμοῦ τοῦ κοινῇ τῇ μονῇ συνοίσοντος· καὶ τοῦτο ἔν τε τοῖς θειοτέροις, καὶ τῷ κατὰ Θεὸν βίῳ καὶ πολιτεύματι· ἔν τε τοῖς κατὰ τὴν σωματικὴν αὐτὴν χρείαν· καὶ ἅττα πᾶσα ἀνάγκη· καὶ οὐκ ἔστιν ἄλλως συνίστασθαι καὶ ζῆν· καὶ πρὸς τὴν πρώτην ὑψηλὴν ἀνύτειν ἀπροσκόπως πρόθεσιν· καὶ τοῦτο μηδὲν μᾶλλον· μηδὲν ἧττον, ἐν τοῖς ἔνδον καὶ οἴκοι τῇ μονῇ· ἢ καὶ τοῖς ἔξωθι, πάντα τὸν ἐνόντα

18,6 καὶ VSe: an κἂν scribendum? **19,8** post χρήσεως lacunam statuerit Se **12** τοῦ V[2] e corr.

τρόπον· ὅπως ἀζήμιον ἔσται, οὐ μᾶλλον τοῖς προσοδήμασιν καὶ ταῖς | χρείαις· ἢ τῷ κατὰ Θεὸν ὑμῶν ἐπαγγέλματι. f. 338v

20. Ἀλλ’ ἐπειδὴ ταῦτα μετρίως ἔμοιγ’ εἴρηται, φέρε καὶ τόδε προστίθημι (καὶ γὰρ οὐκ ἄν μοι παραδραμεῖν ἀνεκτὸν), ὅπως φυλάσσοιτέ μοι τὰ ταμιεῖα τοῦ καλλίστου πλούτου, τῶν πολυτιμήτων βίβλων ἐν ἀσφαλεῖ, καὶ ἄσυλα πάσης ἐπηρείας ἀνώτερά τε καὶ κρείττω. τὸν μὲν, ἐγὼ φθάσας πλοῦτον, ἐνεθέμην τῇ μονῇ, προνοήσας πλεῖστον ἀμέλει· καὶ οὐκ οἶδ’ εἰ καὶ ἄλλη ποι τοσοῦτον· ἔφην δ’ ἂν, εἰ μὴ νεμεσητά γ’ ἴσως ἦν, καὶ φορτικὸν ἔδοξεν ἂν, εἰ καὶ παρὰ ταῖς ἄλλαις αὐτόθι πάσαις μοναῖς τοσοῦτον, ἅμα τῷ τοιοῦτον εἶναι· καὶ ἴσως οὐ χρειωδέστατον τῇ μονῇ μόνον, ἀλλὰ καὶ ὑπὲρ τὴν ὑμῶν χρείαν λυσιτελέστατον· καὶ περισπούδαστον· καὶ ποθεινὸν, εὖ μάλα τοι τοῖς περὶ λόγους ἔχουσι· καὶ παρὰ τῇ μονῇ τάχ’ ἂν, ἔστιν οἷς· καὶ ἔστιν ὅτε. μᾶλλον δ’ ἀεὶ τόδ’ ἐστὶ καὶ πολλοῖς ἄλλοις ἐκτὸς· καὶ οὐκ οἶδα τί ποτ’ ἂν ἄμεινον εἴη τῆς ἐμῆς προνοίας τῇ μονῇ καὶ συντελείας φιλανθρώπευμα· καὶ βιωφελέστατον ἐν παντὶ κατ’ ἀνθρώπους· ἢ φιλοτίμημα ταύτῃ· καὶ περίδοξον ἅμα, τῷ σεμνῷ καὶ κοσμίῳ καθ’ ὑμᾶς, ἢ τὸ χρῆμα τοῦτο· καὶ ἡ πολυέραστος αὕτη τὸν ἀεὶ χρόνον οὐσία· καὶ ὁ μὴ δαπανώμενος κἂν εἰ μάλιστ’ ἐκφέροιτο· καὶ πρὸς πολλοὺς θησαυρός.

21. Ἔγωγέ τοι τῇ παρασκευῇ ταύτῃ καὶ ταμειουχίᾳ καθ’ ὑμᾶς μάλιστ’ ἐν ἐμαυτοῦ χαίρω μεμνημένος (μέμνημαι δ’ ὁσημέραι· καὶ οὐκ οἶδ’ ὅτε μή· κἂν παντὶ τῷ παρισταμένῳ τοῦ καιροῦ· καὶ πᾶσι κατ’ ἐμὲ πράγμασι), καὶ πάντοτ’ ἀναψυχῆς μοι κατὰ πάσης ἀνίας τόδ’ ἀφορμὴ· μεμνημένῳ καὶ λαμβάνοντ’ εἰς νοῦν, οἷον τόδ’ εὐγενὲς ἔργον, εἰς τὸν βίον εἴργασμαι· καὶ φορὰν κατ’ ἀνθρώπους εἰσήνεγκα· καί μοι πολλοῦ τιμᾶται· καὶ ἥδιστ’ ἐκτόπως· καὶ τέρπομαι (πῶς οἴεσθε;), πρὸς τὸ μέλλον ἀφορῶν· καὶ ὅσος ἀνθρώποις ἐστὶ βίος· καὶ ζωῆς μήκη· καὶ μονῆς τῷ κόσμῳ· ὡς οὐ μήποτ’ ἂν, ἐμέ τε καὶ ὑμᾶς ἐπιλείψαι, μάλιστ’

20,4 βίβλων V p. corr. Se: βιβλίων V a. corr.

20,4–5 cf. Metoch., Carm. 4, 302 (p. 95) **21,10–15** cf. Or. 10, 57, 1–3

ἀγαθῇ· καὶ τύχῃ καὶ μνήμῃ· καὶ κλέος τοῦ παγκοίνου τοῦδε κατ' ἀνθρώπους χρησίμου καὶ καλοῦ· καὶ τῶν ἐναποκειμένων παρ' ὑμῖν κειμηλίων τῷ βίῳ· καὶ τῆς οὐ μᾶλλον ἀναγκαστῆς· ἢ καὶ ἡδίστης· καὶ ἀκενώτου μὲν οὖν ἀνθρώποις χρήσεως· καὶ μετουσίας τῶνδε ῥᾷστ' εὐπορίστως· ὧν ἄρ' ἑκάστων ἅπαντι δεῖ. δεῖ δὲ καὶ ἀεὶ δεήσει κατὰ τὸν βίον τὲ καὶ κατ' ἀνθρώπους καὶ οὔποτε μᾶλλον ἢ καὶ ἧττον, ἢ πρότερον ἐκείνοις ὧν ἡ μεγάλη φήμη καὶ δόξα· καὶ τὸ κράτος ἐν λόγοις, ἢ τοῖς κἀν τῷ νῦν εἶναι τῶν καλῶν ἐρασταῖς οἱστισινοῦν· ἢ καὶ μετέπειθ' ἑξῆς. μόνα γὰρ ταῦτα τὸν ἀεὶ χρόνον f. 339 ἐν βροτοῖς ἀγήρω παιδικά· ταυτὰ μένοντα | καὶ οὐ παραρρέοντα τοῖς ἀεὶ φιλοκάλοις. ταύτῃ τοι καὶ μελέτω πάνυ τοι περὶ τούτων ὑμῖν· καὶ φυλαττέσθων ἀμείωτα τὰ κάλλιστα ταῦτα χρήμαθ' ὑμῖν καὶ θησαυρίσματα· καὶ περισπούδαστα κομιδῇ τὸν ἅπαντ' ἀνθρώποις αἰῶνα· καὶ χρειωδέσταθ' ὑμῖν τε πάντως οἴκαδε, καὶ οὐχ' ἱερὰ μόνον, ἀλλὰ καὶ τῆς ἔξω περιττῆς σοφίας, καὶ οὐδ' ὑμῖν ἔστιν οἷστισιν ἴσως ἄρα περιφρονητῆς καὶ ἀχρείου, καὶ πολλοῖς ἄλλοις χρειωδέστατ' ἀεί. κἀν ἐπιμελείᾳ πάσῃ φυλαττέσθων ἀλώβητα, ὡς ἔμοιγ' ἄν, ἀλγεινότατον εἴη· καὶ οὐκ οἶδ' εἴ τινος ἧττον ἄλλου τῶν ἐμοὶ δυσχερῶν· καὶ μέσης ἁπτόμενον δριμύτατα γένοιτ' ἄν, οἶμαι τῆς καρδίας, εἰ ἄρα πυθοίμην ἄλλως περὶ τούτων, ἢ ὡς ἐπιτέλλω καὶ βούλομαι· καί τιν' αὐτῶν ἀμέλει σεσυλημένα πυθοίμην· καὶ τὴν μονὴν ἐρημωθεῖσαν αὐτῶν καὶ χηρεύουσαν· τινὰ δὲ καὶ ἀτημελήτως ἔχοντα θριπηδέστατα καὶ εὐρωτιῶντα· καὶ φθορᾶς ἐγγὺς ὡς οὐκ ὄφελον. μὴ τί ποτε τούτων εἴη· μήτε πυθοίμην τοῦτ' αὐτὸς· καὶ ὑμῶν πολὺ τῆς φροντίδος καὶ φυλακῆς ἐν τούτοις διδόντων κατ' ἔφεσιν ἐμὴν· καὶ μάλισθ' ὡς ἀληθῶς ὀφειλὴν· ἣν οὐκ ἄν, εἰκότως ἀποφευκτέα ὑμῖν ἐστιν, ἐν δευτέρῳ θεμένοις.

22. Ἐγὼ μὲν οὖν ἄττα δὴ ξυννενόηκα βέλτισθ' ὑμῖν διὰ βραχέων ὑπέμνησα· τὰ δίκαι' ἐμαυτῷ· καὶ ὑμῖν ἴσως ποιῶν. Θεὸς δ' αὐτὸς δοίη· καὶ γένοιτ' ἄν, ὅ,τί ποτε κἀμοί τε καὶ ὑμῖν συνοῖσον.

21,11 ἀγαθῇ καὶ τύχῃ V: ἀγαθὴ καὶ τύχη Se **22** ταῦτα Se: ταυτα V **24** τε s.l. V[1] | οὐχ' V: οὐχ Se **28** ἧττον V[2] s.l. (fortasse manu auctoris) **37** ἀποφευκτέα V[2]Se: ἀποφευκτέον V

19–20 cf. Or. 10, 26, 1–3

17

Πρός τινα φίλον ἐπὶ τῇ τελευτῇ τοῦ φιλοσοφωτάτου καὶ ὁσιωτάτου νέου Ἰωσήφ

1. Ἐγὼ δὲ νῦν ὦ θαυμάσιε, πυθόμενος περὶ τῆς τελευτῆς τοῦ πάντ' ἀρίστου καὶ θειοτάτου ἀνδρῶν Ἰωσὴφ, οὐκ οἶδ' ὅ,τι χρήσομαι πρὸς σέ. οὔτε γὰρ σιγᾶν ἔχω· καὶ μήτ' ἐκείνῳ θρήνους μετ' εὐφημίας ἀφοσιοῦσθαι· μήτε σοὶ τοὺς παρακλητικοὺς ἐν γράμμασι πέμπειν ἐπὶ τοσούτῳ πάθει, ὡς ἔμοιγ' ἀμφότερ' ὀφείλεται, οὔθ' ὁπηοῦν κατ' ἀμφότερ' ἀπαντᾶν ἱκανῶς. ἢ πῶς γὰρ, ἢ τίς πρὸς ταῦθ' ἱκανὸς· ἢ πρὸς τοσοῦτο μόνον, ὥστε τοῦ τοσούτου πράγματος καὶ τῆς ζημίας, θρηνεῖν ἀξίως· καὶ ἅμα τῆς ἀρετῆς ἐκείνου πέρι· καὶ τῶν τοσούτων ἀγαθῶν φύσει τε καὶ ἀσκήσει, λόγους οὐκ οἶδ' οὕστινας φέρων, μὴ πολλῷ λείπεσθαι καὶ ὑστερίζειν· κἂν εἰ κομιδῇ περὶ ταῦτα καὶ τοὺς λόγους αὐτὸς, εὐδοκιμῶν εἴη καὶ δυνάμενος; μάλιστα μὲν οὖν ἐπιεικῶς ἐργῶδες οὕτω καὶ παντὶ τοὖργον, τυχεῖν καὶ ἀνῦσαι. εἰ δέ τις καὶ πρὸς τἀμὰ κατίδοι πράγματα· καὶ ὅσα περὶ ἐμὲ νῦν ἀνιαρὰ· καὶ πιέζει καὶ κατάγχει τὸν νοῦν, ἔπειτ' ἐνταῦθα· τί δήποτ' ἐρεῖ; ἢ εἰ μὴ τοῦτο, | τί ποτε f. 339v ἄλλο γε ἂν, εἴη· τἀκίνητα κινεῖν τῆς παροιμίας· καὶ νεκρὸν ἅλλεσθαι; καὶ ὅστις ἀξιοῖ πειρᾶσθαι, μανίας ἔλεγχος σαφὴς, οὕτως ἄρ' ἔχοντα τοιούτοις ἔπειτα παραβάλλεσθαι κρίνειν καὶ μὴν ἔτι πλεῖστον οὕτω παλαίοντ' ἀνιαροῖς· καὶ μεγάλης ἀμέλει καὶ λαμπρᾶς ἐνταῦθ' ἐπιμελείας δεόμενον, ἄλλοις ἐπαρκεῖν καὶ φρονεῖν οὕτω μάλισθ' ὥστε καὶ παρακλητικοῖς πρὸς αὐτοὺς χρῆσθαι.

2. Καὶ οὐ λέγω νῦν ἔγωγε περὶ τῶν ἄλλων ἐμοὶ περιόντων ἀλγεινῶν, ἃ τοσαῦτα τε καὶ οὕτω πάντῃ καὶ πᾶσι διαβόητα· οὐκ οἶδ' ὡς εἰ δή ποτέ τῳ καὶ ἄλλῳ τῶν ἐπ' ἀμφότερα μεγάλῃ τῇ ῥοπῇ χρησαμένων τῆς τύχης εὖ τε καὶ ὡς ἑτέρως, ὥσπερ ἄρα καὶ

tit. Πρός τινα – Ἰωσὴφ V²: Ις´ V² in marg.   **1,1** πυθόμενος V²Tr: πειθόμενος V   **13** τοὖργον V: τοὔργου coni. Tr   **16** an ⟨ἢ⟩ τἀκίνητα?

1,6–7 cf. II Cor. 2, 16   **16** CPG II, 265, 15   **17** cf. Ioh. Chrys., In Epist. II Cor., PG 61, 571, 33   **17–22** cf. Plut., Mor. 118C

μάλιστ᾿ εἴωθεν, αὕτη γε ἀπαντᾶν ὡς ταπολλά· καὶ παρισοῦσθαι τοῖς ἐναντίοις, καὶ εἴ ποτ᾿ ἄρα, καὶ τοῦτο μάλιστα, πλεονάζειν τοῖς ἀλγεινοῖς, ἀλλ᾿ ὅτι καὶ τοῦδε μοι τοῦ πάθους οὐδὲν ἧττον, ἢ καθ᾿ ὀντιναοῦν τῶν ἄλλων ἁπάντων τῆς ἐπὶ τῇ τελευτῇ τοῦ ἀνδρὸς ἐκείνου ζημίας, μέτεστιν. ἧς ὅτῳ μὲν μὴ μέτεστιν ὡς ἀληθῶς τῶν νοῦν ἐχόντων· καὶ κατὰ τὸν βίον ἐκείνου πεπειραμένων· καὶ τῆς ἀρετῆς καὶ τῆς γλώττης ὅ,τι ποτ᾿ ἄρα, οὐκ ἔχω ξυνορᾶν. ἐμοί δ᾿ ὡς ἀληθῶς ἐστι τόδε τὸ πάθος πλεῖστον ὡς εἴ τῳ καὶ ἄλλῳ. οἶδα γὰρ αὐτὸς ἔγωγε μάλ᾿ οἶδα καὶ σύ δ᾿ αὐτὸς ἀκριβῶς οἶσθα, ὡς ἔμοιγ᾿ ἀνὴρ γνώμης εἶχε καὶ προσέκειτο· καὶ ταμάλιστ᾿ ἐμὲ τῶν φιλουμένων ἐν τοῖς πρώτοις ξυνέταττεν (εἰρήσθω γὰρ οὕτω μετριώτερον), ὀλίγοις τὸν ἀριθμὸν· ὁ πᾶσι κοινὸς καὶ πάντας κομιδῇ φιλῶν· καὶ οὐκ οἶδ᾿ ὅντιν᾿ οὔ· καὶ οὐχ ὅσον ὁμιλητὴς ἔμοιγ᾿ ἄριστος πάντων καὶ ἥδιστος· ἀλλὰ καὶ πολὺ μάλιστα χρήσιμος ἐν παντὶ καιρῷ· καὶ μηδὲν μᾶλλον εὐπραγοῦντι μοι πρότερον, ἢ καὶ νῦν εἶναι κἀν τοῖς παροῦσι πράγμασι καὶ τῇ χαλεπῇ ταύτῃ τροπῇ τοῦ βίου· ἧς ἐργώδους πάνυ τοι πεπείραμαι· καὶ μάλιστ᾿ ἐπίχρειος νῦν ἔγωγε κατ᾿ ἐκεῖνον ἀνδρὸς τελεωτάτου πάντα καὶ λόγον καὶ ἦθος φίλιον καὶ πᾶσαν ἀρετὴν, ὥστε πᾶν ἀποχρώντως δράσαι τὲ καὶ ἐρεῖν· ὃ φέρει τιν᾿ ὄνησιν· καὶ βελτίωσιν οἰκείαν, ἀνδρὶ φίλῳ κακῶς πράττοντι. καὶ τοίνυν ὅπερ ἔλεγον πρὸς τοῖς ἄλλοις τοῖς ἐμοὶ περιοῦσι τοσούτοις ἐργώδεσι καὶ ἀνιαροῖς, μάλιστά μοι καὶ τῆσδε τῆς ξυμφορᾶς καὶ τοῦ πάθους· μετὸν κομιδῇ πλεῖστον, διαφερόντως ἔμοιγε δὴ, πῶς ἂν, οἷος τ᾿ εἴην αὐτὸς, ἑτέροις οἷς τῶν αὐτῶν ἀμέλει δεῖ, μεταδιδόναι καὶ συνεισφέρειν τἀπίχρεια; ἀμείνων μέντ᾿ ἂν, εἴην, ἐμαυτῷ πρότερον ἐπαρκῶν, ἐπ᾿ ἐμαυτοῦ χρώμενος πρότερον ἐμαυτῷ, κἄπειτα προστιθεὶς ἑξῆς· καὶ γιγνόμενος ἑτέροις φιλάνθρωπος· καὶ πέμπων· καὶ χαριζόμενος, παρακλητικὰ βιβλία.

3. Ταῦτ᾿ ἄρα καὶ μάλιστ᾿ ἀπόρως ἔχειν ἔγωγ᾿ ἐφάμην, ὅ,τι χρήσομαι τῷ πάθει· μήτε σιγᾶν ἀξιῶν, ὡς ἂν, μὴ δ᾿ ἐπαΐων
f. 340 καθάπαξ ἐπὶ τοσούτῳ | πράγματι, καὶ ταῦτα ξυμβὰν ἐκτόπως οὕτω καινόν τε καὶ καίριον εἰς τὸ κοινὸν ἀνθρώποις, ὡς ἀληθῶς

2,9 τῶν corr. Tr: τὸν V **22** ἐκεῖνον correximus: ἐκείνου VTr **28** δὴ V e corr.

3,1–9 cf., e.g., Greg. Cypr., Vita Laz. (p. 601, 2, 16–20)

ἐρεῖν ἔμβραχυ γ' οὑτωσί· καὶ πολύ τι διαφέρον ἐμοὶ, μήτε λέγειν αἱρούμενος, μάλιστ' εἰ μέν γε δῆτα καὶ αἱροίμην λέγειν, οὐκέτι πω καὶ λέγειν ἔπειτα δυνάμενος· οὔκουν ὥστε γε καὶ ὁπηοῦν ἐνταῦθα προσήκειν. οὐ μὴν ἀλλ' ἐπεὶ τὸ μὲν ἐνταῦθα σιγῇ παντάπασι παρελθεῖν, ἀγνωμοσύνης ἂν δόξειεν εἰκότως· καὶ ἅμα ἀγνοίας ἔτι καὶ πολλῆς ἀβελτηρίας τῶν βελτίστων· καὶ προσηκόντων ἐπὶ τοσούτῳ πράγματι, τὸ δ' ἄρ' ὁ,τιοῦν ἐρεῖν ἐπιβαλόντα κατόπιν ἔπειτα δραμεῖν καὶ λειφθῆναι τῶν προσηκόντων αὖθις τοσούτῳ πράγματι, τοῦτο δ' ἀδυναμίας πάντως εὔδηλον, τό δ' ἐστὶ πολύ γ' ἧττον πᾶσι νοῦν ἔχουσιν ἢ τὸ πρότερον εἰρημένον νεμεσητὸν καὶ ὑπεύθυνον, καὶ μάλιστ' ἔτι μὴ ὅτι γε τῷ τοσούτοις ἐμοὶ συνεσχημένῳ τοῖς δυσχερέσιν, ἀλλὰ καὶ ὁτῳοῦν ἄλλῳ τῶν πλεῖστον δυναμένων· καὶ ἀσχόλων εὐετηρίᾳ· καὶ καλῶς πραττόντων, ἐπὶ τοῖς λόγοις, ἐπιεικῶς ἐργωδέστατον, ἀξίως ἀπαντῆσαι, καὶ τυχεῖν πράγματος τοσούτου, καὶ πολύ γ' ἴσως ἐντεῦθεν ἐμοὶ δίκαιον, οὐ μόνον, τὸ τῆς συγγνώμης ἢ κατ' ἄλλους, ἀλλὰ καὶ τῆς αἱρέσεως αὐτῆς μᾶλλον καὶ προθυμίας, ἐπαινεῖν ἀξιοῦν, τὸ καὶ οὕτως ὅμως ἔχοντα πονήρως, οὐκ ἀποστῆναι καθάπαξ, ἀλλ' ἐμαυτὸν ἐνταῦθα δοῦναι, καὶ γενέσθαι πρόθυμον ἔργου τοσούτου· ἢ καταιτιᾶσθαι, τὸ προσαψάμενον μὴ τυχεῖν, φέρε δὴ τοὺς μὲν πρὸς σὲ νυνὶ παρακλητικοὺς παρέντες (οὐδὲ γὰρ οἶμαι σοι τούτων ἄν, δεῖν. ἀρκεῖς γὰρ σὺ πρὸς τοῦτο σαυτῷ· καὶ ὁ μακάριος ἐκεῖνος ἀνὴρ· καὶ ἡ μεγάλη κοινὴ κατ' ἀρετὴν καὶ τὸν ἔνθεον καὶ φιλόσοφον ἡμῖν βίον πρόθεσις καὶ σπουδὴ· καὶ οἱ πολλοὶ περὶ τούτων λόγοι· καὶ αἱ διατριβαὶ – καὶ τί γὰρ οὐ κοινόν; – καὶ λόγος καὶ τρόπος· καὶ τὸ τῶν παρόντων ἀνωτέρω ζῆν· καὶ καθάπαξ ἐκτὸς ἐλευθέρως· καὶ ἡ πολυετὴς θαυμαστῶς ὅπως καὶ χρονία συνδιαίτησις), ἐκείνῳ δώσομεν τὰ παρόντα γράμματα· καὶ καθ' ὅσον οἷοι τ' ἄν, εἴημεν ἐν τοιούτοις ὄντες καὶ τοῖς νῦν ἐν ἡμῖν κομιδῇ καταγχόμενοι πράγμασι καὶ καταπιεζόμενοι, καθάπαξ ἄφυκτα τὴν διάνοιαν, τοὺς προσήκοντας ἀφοσιωσόμεθα θρήνους ἐπὶ τῷ πάθει· καὶ τὰς εὐφημίας τῆς ἀρετῆς· καὶ τῶν προσόντων τοσούτων πλεονεκτημάτων τἀνδρὶ· πάντως ἐκεῖνον καὶ νῦν ἐνταῦθα προσκα-

3,16 ἀλλὰ corr. Tr: ἄλλὰ V **28** ἡμῖν V: an ὑμῖν? **34** ἄφυκτα V: ἀφύκτοις maluerit Tr

28–30 cf. Greg. Naz., Epist. 1, 3 (p. 1)

λεσάμενοι τοῖς λόγοις συλλήπτορα· ὥσπερ ἄρα καὶ ζῶντα πρότερον, ἐπὶ πᾶσιν ἐγχειροῦντες ἡμεῖς· τὰ μὲν, αὐτῷ συμπαρόντες ὁπότε ξυμβαίη· τὰ δὲ καὶ ταῖς εὐχαῖς ἐπισπώμενοι καὶ θαρροῦντες· ὡς ἂν, ἐντεῦθεν ἔργῳ μάλιστα τὸ πιστὸν ἔχοντες, πλεῖν ἢ κατ' ἄλλα πάντα. πάντως δὲ· καὶ σοὶ τοῦτ' ἂν ἥδιστον εἴη· οὐκ οἶδ' ὡς εἴ τι ποτ' ἄλλο· καὶ εἰ δεῖ γ' ἐρεῖν· καὶ μέγιστον ἴσως εἰς παράκλησιν· | f. 340v οἱ κατ' ἐκείνου θρῆνοι μετ' ἐγκωμίων· καὶ ὅστις τἀνδρὸς μνημονεύει μετὰ θαύματος, ἐν παντὶ τῷ παραστάντι τοῦ καιροῦ καὶ πᾶσι λόγοις. εἰ γὰρ ἐπὶ τοῖς τῶν δικαίων ἐγκωμίοις, ὡς ἱεροί φασι λόγοι, οἱ λαοὶ· καὶ ταῦτα μὴ πολλὰ τὰ συγγενῆ πρὸς αὐτοὺς ἔχοντες· εὐφραίνονται, τί ποτ' ἂν, ἕτερον ἥδιον εἴη τῆς αὐτῶν εὐφημίας, τοῖς ἐπιμεληταῖς ἀρετῆς καὶ τῶν αὐτῶν ἐχομένοις καὶ πάντ' οἰκείως ἔχουσι καὶ γνησίως ἐκ πολλῶν ἀμέλει τῶν τρόπων· καὶ ταυτὰ τιμῶσι τὲ καὶ σπουδάζουσιν, ὡς ἄρα σοὶ πρὸς ἐκεῖνον πλεῖστ' ἐκ μακροῦ κοινά;

4. Ἐκεῖνο μέν γε νῦν ἐνταῦθα παντάπασιν ἔκτοπον ἐκείνῳ· καὶ ἀλλότριον οὐκ οἶδ' ὡς εἴ τι ἄλλῳ ἄλλο, ὅστις ἄρ' οἶμαι μεμνήσεται τἀνδρὶ πρὸς εὐφημίαν ἥντινα δὴ, καὶ ὁτουοῦν τῶν τοῦ σώματος· ἢ τῶν ἐκτὸς μάλιστ' ἔτι· καὶ περὶ αὐτό γε τὸ σῶμα· ὥσπερ ἀμέλει καὶ τοῖς τῶν Ἑλλήνων σοφοῖς ὁριζομένοις τὴν κατ' ἀνθρώπους εὐδαιμονίαν καὶ τελεσιουργοῦσι, καὶ ταῦτα συνεισφέρεταί τε καὶ συνερανίζεται· καὶ μὴν ἔτι μάλιστ' εἰθισμένον τοῦτο τοῖς ἐπιδεικτικοῖς κανόσι· καὶ ὅσοι κατὰ νόμιμα τέχνης ἐν τοιούτοις κινοῦνται, κἀνταῦθα τέως χρῆσθαι καὶ τρίβειν· καὶ τὴν πρώτην ἀρχομένοις ἐπιχειρεῖν· ὡς εἴ τις εἰς κόσμον ἐκείνῳ τῶν τοιούτων τι προσφέροι τῷ πάσης ὑπερτέρῳ καθάπαξ τῆς ὕλης τὲ· καὶ τοῦ κόσμου καὶ τῶν ἐν κόσμῳ· καὶ κρατερῶς εὖ μάλα περιγενομένῳ τῆς φύσεως καὶ τῶν ἀνθρωπίνων ἁπάντων, τοῦτον κομιδῇ γ' ἔκφρονα καὶ ἀβέλτερον ὄντα· καὶ τῶν κατ' ἐκεῖνον ἀμαθέστατον ἀνθρώπων καὶ ἀνούστατον, ὅμοιον ὡς εἴ τις ἂν, πρὸς τὴν ἐκείνου μεγαλοφυίαν καὶ μεγαλόφρονα τῆς ζωῆς αἵρεσιν παραβαλλόμε-

4,1 ἐνταῦθα V: ἐντεῦθεν Tr **9–10** ἀρχομένοις V[1]Tr: ἀρχομένους V **16** post μεγαλόφρονα spatium trium litterarum erasum reperitur

38 cf. Greg. Naz., Carm. II, 1, 597 (p. 82) **46–48** Prov. 29, 2 **4,5** cf. Arist., Ethic. Nicom. 1153b17–18

νος· καὶ θαυμάζειν ἀξιῶν· καὶ λίαν ἐπιμελῶς ὡρμημένος, ἔργον ἐπὶ τούτοις ἔπειτα ποιοῖτο· καὶ σπουδάζοι καλλύνων τὸν ἄνδρα· δοκῶν ὁτιοῦν πρὸς λόγον ποιεῖν, ὅτι δὴ κάλλιστ' ἀμφίοις ἐχρῆτο· σκέπων ἀναγκαστῶς τὸ σῶμα καὶ περιστέλλων, ἐν σώματι βιοὺς ἔτι πω· καί οἱ τὰ τρίχιν' ἃ περιέκειτο, κοσμίως εἶχεν εὐανθῆ· καὶ μαλακῶς νεαρὰ διαφερόντως· καὶ στιλπνότερα περιέρρει τὸ σαρκίον, ἐπίτηδες καὶ τῇδ' ἠσχολημένου τοῦ ἀνδρὸς, νέμειν τί σπουδῆς· καὶ προσέχειν τὸν νοῦν. φεῦ τῶν λήρων ὅστις οὕτω χρῷτο καὶ τῆς παραπληξίας. οὐ μὴν ἀλλ' ὅστις ἂν, καὶ περὶ τούτων οὕτω μεμνῆτο, ὡς ἄρα καὶ ταῦτ' ἀνὴρ, οὐ τῶν πολλῶν ὢν· οὐδὲ μὲν οὖν οὐδὲ πολλῶν δεύτερος· ὕλῃ καὶ τούτοις πρὸς τὴν ἔνστασιν τοῦ βίου· καὶ τῆς μεγαλόφρονος γνώμης ἐχρήσατο, παριδὼν ὡς εἴ τι τῶν φλαύρων ταῦτα· καὶ παντάπασιν ἀνονήτων, καὶ εὐτελεστάτων ἐν λόγῳ· καὶ ὁπηοῦν θέσθαι· καὶ πρὸς τοῖς ἄλλοις εὖ μάλα φρονήματι γεννικῷ κατολιγωρήσας, οὐκ ἂν, ἐμοὶ δοκεῖν | ἔξω τοῦ καιροῦ παντάπασι γίγνοιτ' ἂν· οὐδὲ τῶν προση- f. 341
κόντων ἔξω τἀνδρί.

5. Ἐκείνῳ τοίνυν γένος μὲν τὸ ἀρχῆθεν ἦσαν καὶ πατέρες, Ἕλληνες κατὰ φύσιν ἀκριβῶς ἐκ μακροῦ· καὶ τῆς Ῥωμαϊκῆς δὲ σφίσιν εὐγενείας ἐκ διαδοχῆς πάλαι πρότερον ἀεὶ μετῆν· ἀνοθεύτου παντάπασι καὶ ἀμιγοῦς βαρβαρικῆς ἀλλοτριότητος καὶ ἀωρίας. γενόμενος δὲ τῶν κατὰ τὸν Ἰόνιον, οὐ πολλὰ πρότερον τυραννηθέντων τόπων καὶ νήσων, Ἰταλικῆς χειρὸς, οἷα δῆτ' εἰσὶ τὰ Κερκυραίων· καὶ Κεφαλήνων πράγματα· καὶ τῶν οἰκούντων Ἰθάκην καὶ Ζάκυνθον· καὶ οὐκ οἶδα ἅττα ἕτερα νησίδια κατὰ τὸν εἰρημένον κόλπον, καὶ γενόμενος οἰκίας τινὸς τῇδε τῶν πρώτων· καὶ διασήμων ἐκ πολλοῦ παρὰ τοῖς ἐγχωρίοις, τά τε ἄλλα καὶ τὴν κατὰ τὸ θεῖον σέβας εὐγένειαν, καὶ πᾶσαν ἄλλην τῶν τρόπων ἀστειότητα καὶ εὐαρμοστίαν, τρέφεται κοσμίως πάνυ τοι καὶ λόγων μετουσίᾳ τὸν ἐγχώριον ὡς οἷον τε τρόπον (οὐ γὰρ ἔτι πω σφᾶς καθάπαξ ἀπέλιπε τὰ τῆς Ἑλληνικῆς εὐγενείας· καὶ τῆς κατὰ νοῦν καὶ λόγον γυμνασίας καὶ χάριτος αἱ ἀσκήσεις· καὶ τοὐπίση-

23 an ⟨ὡσεὶ⟩ ἐπίτηδες? **27** δεύτερος V: δεύτερα Tr **5,5** κατὰ τὸν V^{1}Tr: κατὸν V **13** πω scripsimus: πως VTr

24–25 cf. Greg. Naz., Or. 7, 11, 30–31 (p. 208)

μον), καὶ πᾶν τὸ τῇδ’ ἀνύσιμον, ἔρωτι φιλοκάλῳ· καὶ τάχει καὶ κράτει φύσεως· ἧς ἅπαντες μεθύστερον πεπειράμεθα, ὅσοι δὴ καὶ πεπειράμεθα τοῦ ἀνδρὸς, ἀτεχνῶς ἀπαραμίλλου· συλλεξάμενος ῥᾷστα τὲ καὶ τάχιστα, καὶ ὡς ἂν, εἶναι θαῦμα, τοῖς ἐκείνῃ φυλέταις τἀνδρὸς· καὶ τοῖς δυναστεύουσι ἀλλοτρίοις τοῦ γένους ζηλωτὸς ἦν ἐπιεικῶς· καὶ περιβόητος ἀμφοτέροις· ἔτι μειράκιον ὢν· καὶ ἡλικίας· ἧς ἐνίοτε πλεονεκτοῦσι καὶ προάγουσιν οἱ μεγαλοφυέστεροι τῶν ἀνθρώπων· καὶ τῶν ἡλικιωτῶν μεγαλοφυέστεροι, μάλιστ’ ἐπιδήλως ἐν κτήσει σοφίας· καὶ ἀστειότητος ἁπάσης καὶ ἀρετῆς.

6. Καὶ τοίνυν ᾗπερ εἴθισται· καὶ οἱ παρ’ ἑκάστοις ἄρχοντες οἰκειοῦνται πᾶν τὸ ὑπὸ σφίσιν ἔκκριτον καὶ δόκιμον, ἢ κατὰ τοὺς ἄλλους, προσλαμβάνονται μετ’ ἔρωτος οἴκοι τὸν νέον οἱ τῆς πατρίδος κρατοῦντες· καὶ ἦν πάνυ τοι σφίσιν ἐπέραστον τὸ πρᾶγμα καὶ σπουδῆς ἀξιούμενον, καὶ αὐτὸς τοῖς κατ’ οἶκον αὐτοῖς καὶ ἐπιτηδείοις, συνεξεταζόμενός τε καὶ συνταττόμενος. ἦν δὲ καὶ χαρίεις ἐπιεικῶς ὁ νεανίας τὴν ἐντυχίαν· καὶ πολὺ τὸ ἐπαγωγὸν ἔχων αὐτόθεν ὁρώμενος· καὶ τὴν ὁμιλίαν ἡδὺς· καὶ λόγοις συνὼν ἑκάστοις, κομιδῇ πεφυκὼς εὖ· καὶ τῇ σεμνότητι τοῦ ἤθους καὶ τῷ καθεστῶτι τῆς γνώμης πλεῖν ἢ καθ’ ἡλικίαν ἐπιπρέπων ὁ λόγος, ὁμαλός τε καὶ ταχὺς· εὐήχως τὲ καὶ ἀπροσκόπως ῥέων, εὖ μάλα κηλεῖν εἶχε· καὶ ῥαστώνην εὐξύμβλητον ἐμποιεῖν τοῖς χρωμένοις. ἀλλὰ καὶ τὸ φαινόμενον ἅπαν, εὐγενὲς ἀπήντα σφίσι· καὶ ἡ κατὰ τοῦ προσώπου χάρις προλαμβάνουσα καὶ δεξιουμένη τοὺς
f. 341v ὁρῶντας, ἐῴκει προϋπεμφαίνειν τὴν ἔνδον ἀγλαΐαν· καὶ | προτυποῦν ὥσπερ καὶ εἰκονίζειν, τὸ τῆς ψυχῆς ἄγαλμα. ἦν γὰρ εἰ δή τις καὶ ἄλλος, καὶ ὥρας εὖ ἥκων· καὶ διαφερόντως ἥρμοστο, κάλλιστα πάντῃ τὸ γιγνόμενον τῇ φύσει, τὰ τῆς μορφῆς αὐτῷ· ἕκαστον τε μόνον ὡς ἰδεῖν αὐτὸ, καὶ ἅμα πρὸς ἄλληλά τε ἐν μέρει· καὶ πρὸς τὸ πᾶν ὁμοῦ κοινῇ· καὶ πάντα οἱ κάλλιστα διέλαμπε τῇ τοῦ προσώπου σκηνῇ. καὶ ὅστις ὑπερβαλλόντως ἐνταῦθα τὸν νοῦν

20 τοῦ γένους V[2] e corr. **22** ἧς V[1]: ἣν V, ᾗ Tr **23** οἱ ante μεγαλοφυέστεροι primum scripsit, deinde del. V **6,2** ἔκκριτον V: ἔγκριτον Tr **14** προλαμβάνουσα V p. corr. Tr: προσλαμβάνουσα V a. corr.

6,16 cf. Synes. Cyren., Epist. 123 (p. 211, 7)

στρέφει, κατ' εὐχὴν ἦν ἀκριβῶς ἐπ' ἀληθείας τὸ πρᾶγμα· καὶ ὡς ἂν, νοῦς τε καὶ πόθος ἀνθρώπινος, μόνον ἱστορήσειεν· οὐδ' ἔπειτ' ἐστὶ ῥᾴδιον, ἐν πολλοῖς ὑποδείγμασιν ὁρᾶν.

7. Οὕτω κατὰ φύσιν, εἰς ὅσον οἷον τ' ἐστὶν, ἐν τούτοις εὖ ἦν· ἢ καὶ ὑπερφυῶς ὡς εἰπεῖν, ἀνὴρ κατακεκόσμητο τὸν ἅπαντα χαρακτῆρα τῆς θέας· καὶ καθ' ἕκαστα προσορᾶν, ἐφ' ὅσον τελεσιουργός ἐστιν ἡ φύσις. ὅς γε καὶ γηραιὸς ἤδη· καὶ τὸ σῶμα παντάπασι πιναρὸς καὶ κατεστραμμένος· τοῦτο μὲν ὑπὸ τῆς ἡλικίας, καιρῷ γήρως λοιπὸν· καὶ τῇ κατὰ φύσιν ῥικνότητι καὶ τροπῇ· τοῦτο δὲ, καὶ μάλιστα τοῦτο, τοῖς μακροῖς τοσούτοις καμάτοις ἐκείνοις· καὶ τῇ πολυετεῖ μογερᾷ βιοτῇ, ἧς οὐκ οἶδ' ὅστις τῶν ἀπὸ τοῦ παντὸς αἰῶνος ἐπιμελητῶν ἀρετῆς, καὶ κατὰ τῆς φύσεως ἀποδυσαμένων τῷ Θεῷ, καὶ κατὰ τοῦ σώματος ἀντιστρατευσαμένων· καὶ τὸ ταπεινὸν τόδε κατατηξάντων σαρκίον, πλέον ἢ κατ' ἐκεῖνον ἔσχεν· ἀλλὰ κἀν τούτοις οὐ παντάπασιν ὅμως ἐξίσχυσε τὴν κατὰ τοῦ προσώπου χάριν, ἀφανίσαι τὲ καὶ ἀλλάξασθαι· ἀλλὰ δῆλος ἦν ἔτι πω παντὶ καθορῶντι, τὰ δῶρα τῆς φύσεως· καὶ τὴν ἑορτὴν τοῦ κάλλους ἐμπομπεύων τῇ μορφῇ· καὶ τῆς κατὰ πάντων αὐτῶν εὐαρμοστίας καὶ ὥρας μὴ περιγενόμενος· καὶ μάλιστ' ἀντιπράξας καὶ κατασείσας, ὥστε μὴ δ' ἐν ἐρειπίοις μηδ' ἐν λειψάνοις, ἴχνη πως ὑποφαίνεσθαι τοῖς μεθύστερον θεαταῖς· ὥστ' ἐντεῦθεν ἐξεῖναι τεκμαίρεσθαι, τίς ποτ' ἂν ἦν ἐφ' ἡλικίας καὶ τηνικάδε τὴν ὥραν, ἡνίκα φιλότιμος ἡ φύσις τὰ ἑαυτῆς· καὶ ἀνθεῖ προκόπτουσα· καὶ τεχνιτεύει τὸν ἀνδριάντα τῆς σωματοπλαστίας ἀπρόσκοπος ἔτι πω καὶ ἄτρεπτος.

8. Ἀλλὰ ταῦτα, πλείω μὲν ἴσως ἢ κατὰ τὸ εἰκὸς ἐκείνῳ, παντός δ' οὐχήκιστ' ἀληθῶς εἴρηται. καὶ τοίνυν ἀναληπτέον· ὅτι πολλοῖς οὕτω καὶ παντοίοις τρόποις πρωτεύων τῶν κατ' αὐτὸν ἐν ἐκείνῳ τῷ χρόνῳ· καὶ ἀρτιουργὸς πρὸς ἅπασαν τὴν χρείαν τοῖς δεσπόταις ὁρώμενος εὖ μάλα, πρόσω ἤει· συνεχείᾳ τιμῆς παρὰ

7,2 κατακεκόσμητο V in marg. (an manu Nicephori Gregorae?) Tr: κατεκοσμήθη V **7** τοῖς μακροῖς primum iteravit, deinde linea exstinxit V **8,4** τῷ χρόνῳ V[1]Tr: τοῦ χρόνου V (fort. servandum)

7,13 Mt. 6, 16 **14–15** cf. Phil. Iud., De spec. leg. 2, 51 (p. 84, 24)

σφίσι· καὶ μετουσίᾳ βελτιόνων τῆς τύχης· ἐξ ἀεὶ βελτίστων· πεῖραν ἀεὶ διδοὺς ἑαυτοῦ μείζω. βραχὺς ὁ χρόνος καὶ τῶν ἄλλων ἁπάντων ταμάλιστα στεργόμενος· καὶ τῇ περὶ αὐτοῦ πίστει προστιθεὶς τοῖς δεσπόζουσι, τῶν πρωτείων ἐπὶ πᾶσιν ἀξιοῦται· καὶ τῶν οἴκοι πάντων ἐπίτροπος λαμπρῶς καθίσταται. βραχὺς μὲν
f. 342 οὖν αὖθις | ὁ χρόνος· καὶ τῆς λαμπρότητος ἐκείνης· καὶ τῆς ἐπισήμου κατὰ τὸ ἐγχωροῦν ἐν τοῖς κατὰ τόπον πράγμασι, καὶ πολλοῖς ἐφετῆς· καὶ ἴσως ἂν καὶ τοῖς αὐτῷ προσήκουσι καὶ γένους κοινωνοῖς ἐφετῆς ἀγωγῆς καὶ τύχης, ὑπεράνω γενόμενος· καὶ πᾶσαν ὑπεριδὼν καὶ ὑπερφρονήσας τὴν κατὰ τὸ σῶμα καὶ τὰ σωματικὰ φιλοτιμίαν καὶ φιλοκαλίαν τῆς φύσεως· καὶ κρειττόνων ὅλως γενόμενος λογισμῶν, οὓς κἀκ βρεφικῆς ἔτι πω τῆς ἡλικίας ἔτρεφεν ἑαυτῷ· καὶ τὰ παρόντα χρηστὰ δοκοῦντα καὶ τίμια θέμενος ἐν δευτέρῳ· καὶ ἀνάξια παντάπασιν ἑαυτοῦ· καὶ τῶν ἑαυτοῦ γεννικῶν καὶ ὑψηλῶν ὄντως λογισμῶν καὶ κρίσεων, λαθών, ἑαυτὸν ἄριστα· κλέπτει τῶν παρόντων· καὶ μεθίσταται αὐτῷ μόνῳ σώματι, μηδὲν προσπεριεργασάμενος· οὐ μόνον τῶν ὑπὲρ τὴν χρείαν καὶ τοῖς ἄλλοις εἰθισμένων ὡς ταπολλὰ, ἀλλ' ἄρα δὴ μάλιστα καὶ πρὸ τούτων, πατρίδα τὲ ἧς οὐδὲν γλύκιον λόγοι φασὶ· καὶ τὰς πλεῖστον ἐχούσας ἐθίμους διατριβάς· καὶ προσηκόντων· καὶ γνησίων σχέσιν ὡς εἰπεῖν ἄφυκτον καὶ δεσμά· ξένος τὲ γίνεται τῷ ξενωθέντι δι' ἡμᾶς, καὶ μέχρις ἡμῶν ἐνδημήσαντι καθ' ἡμᾶς· καὶ ταπεινωθέντι Χριστῷ· καὶ τοὺς ξένους ἡμᾶς, αὐτῷ συναγαγόντι κἀν τῇ πρώτῃ πατρίδι· καὶ τοῖς οὐρανίοις οἰκειωσαμένῳ.

9. Τὸν μὲν οὖν τὸν Κεφαλήνων ἡγεμόνα τὸν Ἰθακήσιον Ὀδυσσέα· τὸν πάνυ· τὸν πολλῆς μνήμης ἐκεῖνον· καὶ τῆς Ὁμηρικῆς γλώττης ἠξιωμένον ὑπὲρ πολλούς, εἰ μή τις ἀμέλει φαίη καὶ ὑπὲρ ἅπαντας τῶν ἡρώων, τοῦτον φησὶν ἡ ποίησις οὕτω δὴ τῆς πατρίδος ἐξέχεσθαι· καὶ μάλα τοι μνήμην ἔχειν· καὶ μάλα ποθεῖν, ὡς ἄρα καὶ τὸ, καπνὸν Ἰθάκης ἰδεῖν, πολὺ τιμᾶν· καὶ τῶν Καλυψοῦς ὑπέρτερον ἐρώτων ποιεῖσθαι· καὶ χαρίτων καὶ λήρων ποιητικῶν·

13–14 καὶ ἴσως – ἐφετῆς V[1] in marg. **25** an πλεῖστον ⟨τὸ γλυκὺ⟩?

8,24 Hom., Od. 9, 34 **27** cf. Georg. Acropol., Sticheron (p. 10, 9–11)
9,5–6 Hom., Od. 1, 58

καὶ πάσης κατ’ ἀνθρώπους ἡδονῆς· καὶ παντὸς ἄλλου πράγματος πολὺ τὸ θέλγον ἔχοντος, καὶ ἀντισπῶντος. Ἰωσὴφ δὲ τὴν αὐτὴν ταύτην πατρίδα· καὶ γένος· καὶ προσήκοντας, καὶ φίλην ἔθιμον διατριβὴν· καὶ ἥλικας· καὶ δεσπότας κομιδῇ ποθοῦντας τὲ καὶ τιμῶντας καὶ πᾶσαν ἄλλην ἐνασχόλησιν καὶ δεσμά, καθάπαξ ἀποποιούμενος· καὶ μηδενὸς ἀξιῶν ἀνδρὶ γενναίῳ καὶ μεγαλόφρονι, ὅσα δὴ καὶ καπνὸν φεύγει ταῦτα πάντα· ταχὺς ἐξιστάμενος, καὶ τοῦ τῶν καλλίστων ὄντως ἔρωτος, ὅλος γίνεται καὶ φέρων ἑαυτὸν, δίδωσι γυμνὸν· ἀπροσδεῆ πάντων· ἁπάσης προσπαθείας ἄλλης καὶ ὁλκῆς κατισχυούσης ἀνθρώπων καὶ τῆς φύσεως, ἄσχετόν τε καὶ ἐλεύθερον.

10. Καὶ τοίνυν ἐν Θεσσαλονίκῃ τῇ πόλει γενόμενος τὴν πρώτην, ἄρχεται μὲν ἐκείνῃ τῶν τῆς ἀρετῆς πόνων γεννικῶς· καὶ πάσῃ καρτερίᾳ κρείττων πάντων γενόμενος· καὶ τῶν ἀναγκαιοτάτων ἀνθρώποις οὖσι, γυμνάζει τὸ σῶμα, λανθάνων ἅπαντας, τῷ πάντα | φέρειν ἀκάμας καὶ ἀήττητος· καὶ ἀνενδεὴς μικροῦ καὶ f. 342^{v} ὑπερφυὴς· ὡς ἄν τις τῶν εὐτελεστάτων ἀρχῆθεν ἐξέτι βρέφους, καὶ ἀγροικικῶν· καὶ εἰθισμένων ἁπάσῃ τληπαθείᾳ· καὶ ἀγωγῆς στενώσει. τῆς δὲ περὶ τὴν παιδείαν τέως καὶ τοὺς λόγους σπουδῆς ὑπερβαλλόντως ἀντιποιεῖται· συνεργὸν τὸν ἐν τούτοις πόθον, πρὸς τοὺς ἀνωτάτω καὶ ὑψηλοτέρους πόθους τοῦ καλοῦ· καὶ τῆς τελείας ὄντως μακαριότητος, εἰκότως κρίνων· καὶ προύργου μάλιστά οἱ τῷ πρώτῳ σκοπῷ· καὶ τῆς ὑπερτάτης θεωρίας οἰκείαν παρασκευὴν· καὶ μελέτης καὶ γυμνασίας προάγωνα· ὅστις εὐκαίρως πειρῷτο καὶ εἰδείη χρῆσθαι, ὡς ἄρα καὶ πειρώμενος αὐτὸς καὶ χρώμενος, πίστεις τέως ἐδίδου· καὶ εἶχεν ἑαυτῷ· καὶ πίστεις παρέσχετο τούτου τρανῶς μεθύστερον παντὶ συνιέντι· ἀμφότερα γεγονὼς ὑπὲρ τοὺς πολλοὺς καὶ ὑπ’ ἀμφοτέρων βελτιωθεὶς, τέλειος εἰς ὅσον ἡ φύσις ἱκνεῖται· καὶ βοηθούμενος πρὸς τὸ γιγνόμενον ἑκατέρῳ παρ’ ἑκατέρου· καὶ τοῖς πόνοις τῶν λόγων τοὺς

9,18 ἐλεύθερον corr. Re: ἀνελεύθερον VTr **10,3** κρείττων V^{2} s.l. | πάντων κρείττων ordinem invertit Tr **4** οὖσι V: ὄντων Tr | ἅπαντας V: ἅπαντα Tr

9–18 cf. Phil. Iud., De Abr. 67 (IV, p. 14, 7–12) **14** CPG I, 314, 1 **10,8–11** cf. Phil. Iud., De congr. 74–75 (p. 76, 7–12); Clem. Alex., Strom. 1, 19, 93, 5 (p. 60, 9–11) **12–13** cf. Bas. Caes., De leg. gent. libr. 2, 10–13 (p. 22)

καρποὺς συνεισφέρων εὐδρομώτερον τῆς ἀρετῆς εὖ μάλα, ὥστε πτεροῦσθαι τὴν ψυχὴν ἐντεῦθεν τῶν βαρούντων καὶ γαιηρῶν, ἄνω κούφως ἵπτασθαι, κράτος διδούς· καὶ τοῖς πόνοις τῆς ἀρετῆς, εὐφυᾶ καὶ ἐρρᾳστωνευμένην καὶ ἱππάσιμον τὴν τῆς διανοίας ἄρουραν καὶ πεδιάδα, καθομαλίζων· καὶ κατασκευαζόμενος ἀεὶ πρὸς τὴν καρποφορίαν· καὶ τοὺς ἀπροσκόπους δρόμους τῶν λόγων. τοιγαροῦν ἐκείνην τηνικαῦτα τὴν πόλιν οἰκῶν, τοῖν διττοῖν τούτοιν πόνοιν προσεῖχε τὸν νοῦν· καὶ προύκοπτεν ἐκεῖνος ἑκάστοτ᾽ ἐρρωμένος ἀμφότερα· τήν τε τῆς ἀρετῆς ἅμιλλαν τῷ κατὰ τὸ παγκόσμιον τόδε θέατρον, ἐν κρυπτῷ τοὺς ἄθλους θεωμένῳ Χριστῷ· καὶ τὴν τῆς παιδείας βελτίωσιν.

11. Ἦν μέν γε τέως, καὶ ὅ,τι ποτ᾽ ἄρα καὶ εἴρηται πρότερον, τοῖς λόγοις ἀνύσας ἔχων οἴκοι καὶ προσκτησάμενος, βραχύ τι καὶ ὅσον ἐμπύρευμα· καὶ κέντρον ἔρωτος, αὐτοῖς εἶναι. ἐκείνῃ δὲ τελεωτέρων τυχὼν παιδευτῶν· καὶ τοῦ τοσούτου πόθου καὶ τῆς φύσεως, εἰ καὶ μὴ παντάπασι, τυχὼν δ᾽ ὅμως ἀξίων ἀμηγέπῃ καὶ οὐκ ἀλλοτρίων πόρρω τοι, θαῦμα ἦν ὁρώμενος, καὶ παιδευταῖς καὶ ἡλικιώταις τὲ καὶ συνάθλοις· καὶ πᾶσιν ἄλλοις ἔξωθεν ἐπισκεπτομένοις, ἄριστά τε καὶ τάχιστα προχωρῶν τῆς σοφίας ἀεί· ἵππος ἐς πεδίον· αἰετός τ᾽ ἐν νεφέλαις, τῷ κράτει τῆς φύσεως καιρὸν ἔχων χρῆσθαι· καὶ ἅμα προστιθεὶς ἐπιμέλειαν καὶ τόνον οἷον ἄρρητον τῷ κατὰ φύσιν, ᾗ κατὰ τοὺς ἄλλους ὑπερβάλλοντι, καὶ ἀπαραμίλλῳ· ἃ σπάνιον ἔοικεν εἰ συνέλθοι· ἢν μέν γε ὁτῳοῦν ἀμφότερ᾽ ὥσπερ ἄρ᾽ ἐκείνῳ συνέλθοι, (τίς ἐρεῖ;), κάλλισθ᾽ ὅπως τελεσιουργεῖ τὴν πρόθεσιν. ἦν μέν γε καὶ τόδ᾽ ἐπὶ τούτοις ἐκεῖνος ὡς
f. 343 ἀληθῶς ὁρώμενος θαῦμα· | ἄνθρωπος ξένος· ἀλήτης· ἀγνοούμενος ὅστις τὲ καὶ ὅθεν εἴη, τῆς καθ᾽ ἡμέραν ἀναγκαστῆς εἰς τροφὴν χρείαν ἐπιδεής· καὶ πρὸς μόνας ὁρῶν τὰς φιλανθρώπους τῶν

20 ὥστε V²Tr: ὡς V **23** ἐρρᾳστωνευμένην V: ἐραστωνευμένη Tr **27** ἐκεῖνος V: ἐκείνοις Tr **28** τῷ V²Tr: τοῦ V **11,11** τῷ ante ὑπερβάλλοντι primum scripsit, deinde erasit V **13** τίς V: τις Tr **14** μέν VTr: an μήν? **16** ἀναγκαστῆς V: ἀναγκαστῶς Tr

21–22 cf. Plat., Phaedr. 246d **23–24** cf. Phil. Iud., De somn. 2, 271 (p. 285, 17) **28–30** cf. Greg. Naz., Or. 7, 9–12 (p. 210) **11,3** cf. Eurip., Hipp. 39 **6** cf. Liban., Epist. 430, 10 (p. 420, 1) **8** cf. Phil. Iud., De vit. Mos. 1, 22 (p. 105, 16) | CPG II, 95, 3 **15** cf. Bas. Caes., Epist. 45, 1, 26–27 (p. 113)

οἰκτειρόντων χεῖρας· τοσοῦτο σπουδῆς νέμων τοῖς τῆς παιδείας νόμοις· καὶ ἀεθλεύων ἀκάμας ἄτρεπτος, ἀνεπίστροφος καθάπαξ τοῦ σώματος καὶ τῶν τοῦ σώματος· ὑπὲρ πάντα Κλεάνθην παραπλήσια τῇ σοφίᾳ προστεταλαιπωρηκότα· καὶ μνήμης ἐντεῦθεν μέχρι καὶ νῦν ἐκεῖθεν ἀξιούμενος ἐπαινετῆς, τῷ φερεπόνῳ καὶ ἀκαμάτῳ τῆς σπουδῆς ὑπ' ἔρωτος τῇ φιλοσοφίᾳ πάντων ἀηττήτου πραγμάτων. Ἰωσὴφ δὲ καὶ τοῦδε μάλιστα πόνος ἦν πρῶτος· καὶ πλείονος ἀξιούμενος λόγου. ὅλος εἶχεν ἐπιεικῶς σχολάζων τῇ τῆς ψυχῆς ἐπιμελείᾳ· καὶ τῇ κατ' ἀρετὴν πολιτείᾳ· καὶ τῷ θεουργῷ βίῳ· καὶ τῇ χρήσει τῶν τῇ θεοσεβείᾳ νομίμων· καὶ ταῖς εὐχαῖς· καὶ τοῖς ἱεροῖς οἴκοις· καὶ τοῖς τῆς πίστεως καὶ τῆς ἀρετῆς ἡγεμόσι τὲ καὶ τεχνίταις· καὶ τῇ πρὸς τὰ θεῖα καὶ τὸν Θεὸν τοῦ νοὸς ἀνατάσει, πάντ' ἀποτιθέμενος τὰ παρόντα καὶ κατασπῶντα· καὶ ἀποδιδράσκων καθάπαξ ἐλεύθερος, τἀνθρώπεια. ἀλλὰ μήπω νῦν τοῦτο· μεινάτω δ' ὁ λόγος προσβραχύ.

12. Φέρε δὴ περὶ τῆς ἐν παιδείᾳ τῷ ἀνδρὶ σπουδῆς, μέτρι' ἐροῦμεν ἄττα· ὡς ἄν, τοῖς μεθ' ἡμᾶς ἴσως τὰ κατ' ἐκεῖνον προδεικνύντες, οἷς ὅτι μηδὲν ἐν ξυγγραφαῖς ἀνὴρ καὶ βιβλίοις καταλελοίπει, ἐπείπερ τῷ ξυντάττειν καθάπαξ ἀπείπατο· ἥκιστα πονεῖν ἐνταῦθα δοὺς ἑαυτὸν· ἅτε πάσης θεατροκοπίας ὑπερφρονῶν, κἀν τῷ βίῳ καὶ μεθύστερον χρόνοις· καὶ τὸν Πυθαγόρειον καὶ Σωκρατικὸν τρόπον, μὴ πιστεύων γράμμασι καὶ βιβλίοις τὸν οἴκοι τῆς ψυχῆς πλοῦτον καὶ τοὺς θησαυρούς. ἦν μὲν οὖν ἡ φύσις ἐκείνῳ καὶ τὸ ταύτης εὐεκτοῦν κράτιστα ῥᾷστα δὴ πλεῖστον ἀνύτειν, περὶ ἅττ' ἄν, νεύσειε τῶν τῆς σοφίας· καὶ ὧν ἄν, αὐτὸν ἔρως σχοίη καὶ ἅπτοιτο· καὶ πρὸς οὐδὲν ὅ,τι μή· ἀλλὰ πᾶσι τοῖς κατ' αὐτὴν πλείστοις ὅσοις εἴδεσι καὶ ποικίλοις κόμμασιν, οἷος ἄν, εὖ μάλα τάχιστ' ἐκεῖνος χαράττεσθαι καὶ τυποῦσθαι παραχρῆμα τρανῶς· καὶ παντὶ ξυνιδεῖν αὐτόθεν διασήμως· καὶ τὸ τῆς διανοίας εὐγενές τε καὶ ἡρμοσμένον· καὶ καίριον αὐτῷ κατὰ τὸ τοῦ Πλάτωνος

22 ἀξιούμενος VTr: an ἀξιούμενον? **12,1** δὴ V^2Tr: δὲ V **2** ἅττα tacite corr. Tr: ἄττα V

20–24 Diog. Laert., Vit. phil. 7, 168 (p. 545, 6–9) **21** cf. Synes. Cyren., Dio 1, 14 (p. 144) **32** cf. Greg. Naz., Or. 18, 18, PG 35, 1008A **12,7** cf. Plat., Phaedr. 275c

κήρινον ἐκμαγεῖον ἔνδοθεν τῆς ψυχῆς, παντάπασιν εὐφυὲς καὶ ἀλλότριον ὡς ἐκεῖνος φησὶ, πάσης κοπρώδους καὶ ξηροτέρας· ἢ σκληροτέρας ἕξεως· καὶ ᾗ μή ποτ' εὐπετὲς γένοιτ' ἂν, ἐγχαράττειν ἅττα δεῖ· καὶ ὧν μάλιστα δεῖ, καὶ βούλοιτ' ἄν τις· οὐδ' αὖ τοὐναντίον ὑγρότερόν τε καὶ διάλυτον ἀπαγὲς σφραγίζειν ἔμμονα προσβραχὺ· ἀλλ' εὐενδότως κεκραμένον καὶ μαλακὸν χρῆσθαι· καὶ f. 343[v] οἷον ἀπ' ἀμφοτέρων τῶν εἰρημένων· | ἐναντίων, ἀζήμιον καὶ ἀλώβητον ἱκανοῦσθαι πρὸς τοὺς ἐμπίπτοντας τύπους· καὶ πάνθ' ἕκαστα καὶ παντοῖα· ῥᾳδίως προσίεσθαι· καὶ λαμβάνειν τὲ καὶ μεταλαμβάνειν.

13. Τοιγαροῦν ὧν ἂν ἅπτοιτο πάντων τῶν γε τοσούτων τῆς παιδείας εἰδῶν, ὡς μάλα τοι τάχιστ' ἀνύτειν κατὰ πᾶν τὸ γιγνόμενον εἶχεν, εἰ δή τις καὶ ἄλλος ἀνθρώπων ἄλλο τί ποτε τῶν κατ' αὐτόν γε καὶ πρότερον. οὕτω δὲ διὰ πάντων εὖ ἔχων καὶ πεφυκὼς εὖ, τῆς κατὰ φιλοσοφίαν σπουδῆς μάλιστ' ἔχεται ζέοντι τῷ πόθῳ, πλεῖν ἢ κατὰ τἄλλα· καὶ πάντ' ἐν δευτέρῳ θέμενος, ὁ δὲ, τῆς ἐνταῦθα φιλοπονίας· καὶ προκοπῆς ὅλος γίνεται· οὐ μόνον τῇδε κατὰ φύσιν ὡς ἔοικε χαίρων, ἀλλὰ καὶ πρὸς ἑαυτοῦ τόδε μάλιστα ποιούμενος· καὶ ὡς ἄν, τόδέ οἱ πλεῖστον ὅσον διαφέρον· καὶ προύργου κομιδῇ γε ὂν τῷ πρώτῳ κατ' ἀρετὴν· καὶ τὴν ὑψηλὴν αὐτῷ πολιτείαν σκοπῷ· καίρι' ὡς ἀληθῶς ἐκεῖνος γε κρίνων· καὶ τῶν εἰκότων τυγχάνων, ἀξίως αὐτοῦ· καὶ τῆς ἑαυτοῦ μεγαλοφυίας. ἐντεῦθεν ἀμέλει, τί τις ἐρεῖ ὅσον ἐπέδωκεν ἐν βραχεῖ, περὶ πᾶσαν θεωρίαν ἐνταῦθα· καὶ κράτιστος γέγονε τῶν πολλῶν φιλοσοφίας τμημάτων· καὶ ἀρτιόχρειος τῇ προθέσει τὲ καὶ τῷ ζέοντι πόθῳ· εἰς ὅσον οἷον τ' ἐστὶν ἀσκῆσαι καὶ τὸ ἀκρότατον ἱκόμενος τοῦ πράγματος καὶ κατηντηκὼς· καὶ μηδενὶ λιπὼν ὅ,τί ποτ' ἄρα πλέον· τοῦτο μὲν ποριμώτατος τῆς τῶν καθηγεμόνων ἐκδοχῆς ἐς τἀκριβέστατον καὶ παντέλειον γιγνόμενος· τοῦτο δὲ καὶ τῆς οἴκοθεν φιλοπονίας καὶ τοῦ γονίμου, τὰ λείποντα καὶ δεύτερα μεθεξῆς ταῖς προλήψεσι καὶ ταῖς διδομέναις ἀφορμαῖς, αὐτὸς προστιθεὶς· καὶ τοῖς ἐκεῖθεν καρποφορῶν σπέρμασιν· ἅτε κατὰ τὸν ποιητικὸν λόγον ὡς ἀληθῶς αὐτὸς μάλιστα βαθεῖαν αὔλακα, διὰ

20 διάλυτον V: διάλυγον Tr

16 cf. Plat., Theaet. 191c **13,23** Aesch., Sept. 574; cf. etiam Plut., Mor. 88B

φρενὸς καρπούμενος· καὶ πᾶν τὸ τῆς φορᾶς αὐτοφυὲς ἐφ’ ὅσον οἷόν τέ ἐστιν ἀνύσιμον; πάντα μὲν ἐπῆλθεν ἄοκνος τὰ τῆς φιλοσοφίας· πάντα δὲ τῷ πολυχωρήτῳ καὶ διαρκεῖ τῆς φύσεως πᾶν τὸ γιγνόμενον κατήνυσε καὶ συνελέξατο, ὡς οὐδεὶς εἷς, ὅτιποτοῦν ἕν· ὅλον αὐτῷ δοὺς ἑαυτὸν· καὶ μηδὲν ἔπειτα προσπεριεργασάμενος τῶν λοιπῶν ἄλλων, ὅτι δὴ πέφυκεν οὕτως ὡς ταπολλὰ· καὶ μὴ πάντων οἷον τ’ εἶναι πολλούς, μήτε μὴν τῶν πολλῶν τοὺς πολλοὺς ἀντιποιεῖσθαι. τῷ δὲ, περὶ πάντων ἐπιμελὲς γέγονε· καὶ οὐδὲν μήποτε περὶ ὁτουοῦν μᾶλλον· οὐδὲν μήποτε περὶ ὁτουοῦν αὖ ἧττον· οὐδ’ ὥστε λιχνείας ἀκαιρίαν καταγνῶναι· ὡς ἄν, μὴ τοῖς καθ’ αὑτὸν, μὴ δ’ οἷς οἷον τ’ ἐστὶ παραβαλλόμενον· ἀλλ’ εἶχεν αὐτὸν, διαρκῆ φροντιστὴν καὶ ἐπόπτην ἡ τῶν μαθηματικῶν ἐπιστήμη καὶ ἀκρίβεια· εἶχε δ’ ἡ τῶν κατὰ φύσιν γεγονότων καὶ ἀεὶ γιγνομένων αἰτιολογία τὲ καὶ συνηγορία· τῶν εὐστόχων τῆς φύσεως ἑταστῶν· τοῦτο μὲν κοινῇ· τοῦτο δ’ | ἰδίᾳ τε περὶ τῶν καθ’ f. 344
ἕκαστα· εἶχε δ’ ἡ τῆς λογικῆς ἀφοπλίσεως καὶ παρασκευῆς, ἀσφαλὴς διδασκαλία· καὶ τῶν παλαισμάτων τὰ τεχνιτεύματα, κατὰ τῆς τῶν ὄντων θεωρίας· ὅπως ἔστι δηλαδὴ τῆς ἀληθείας ἑκάστων περιγίνεσθαι· καὶ πρὸς ἑαυτοῦ θαρροῦντα ποιεῖσθαι τὸν ἐπιχειροῦντα· καὶ τἀλλότριον ἅπαν καὶ ἀμαθὲς ἢ δύσνουν καὶ κακοῦργον διωθεῖσθαι· καὶ ἀνήνυτόν τε καὶ ὑπεύθυνον ἐλέγχειν. εἶχε δ’ ἐπὶ τούτοις τὲ καὶ πρὸ τούτων, ἡ τῶν ἀνωτάτω καὶ μετὰ τὴν φύσιν εἴτουν ὑπὲρ τὴν φύσιν βασιλικὴ τοῦ νοῦ μόνον ἀμιγὴς ἐπαφὴ καὶ ὑψηγορία θιασώτην καὶ θεωρὸν ἐπὶ τοῖς ἀδύτοις τῶν ὄντων, εἰ καὶ τῆς τούτων βακχείας ἐκ τῶν ἡμετέρων μάλιστα καὶ θείων εἶχεν οὐ τὸ καίριον μᾶλλον ἢ τἀσφαλές. οὐ μὴν ἀλλὰ καὶ ὅσα περὶ τούτων ἑαυτὸν ἐπαίρει σεμνηγορεῖν Ἀριστοτέλης μετὰ τῆς εἰθισμένης δολερᾶς ἐπικρύψεως φεύγων τὰς ἐπιδήλους λαβὰς καὶ τοὺς ἐλέγχους, οὐχ’ ἧττον ἢ καί τις τῶν ἀπ’ ἐκείνου καὶ πάντα σπουδαστῶν αὐτοῦ προσέχων εὖ μάλα διηρευνήσατο. οὐ μὴν ἀλλὰ καὶ ὡσαύτως ὅσα Πλάτων· καὶ οἱ τῶν αὐτοῦ διάδοχοι, βέλτιον ὄντως ἢ κατ’ Ἀριστοτέλην· καὶ τοὺς ἐξ αὐτοῦ τὰ τοιαῦτα καθάπερ ἐν μυστηρίοις τελοῦνται, τρανότατά τε καὶ τελεώτατα, διελθὼν

13,53 διηρευνήσατο V^2Tr: διερευνήσατο V **55** τοὺς V: τὰς Tr

50–51 cf. Them., Anal. post. paraphr. 5, 1 (p. 1, 16–17) **56–57** τε…καὶ[1] cf. Greg. Naz., Or. 43, 11, 8–25 (p. 138)

μηδὲν ἧττον, ἢ κατὰ Πλωτῖνον καὶ Πρόκλον· καὶ ὅσοι τῶν ἐλλογίμων τὲ καὶ ὀνομαστῶν ἕτεροι προύστησαν τῆς αἱρέσεως· καὶ τὸ χρήσιμον εἰς τὴν καθ' ἡμᾶς θεουργὸν φιλοσοφίαν ὅμως ἀπολαβὼν καὶ δρεψάμενος, ἀζήμιος διεγένετο. οὐδὲ μὴν τῶν καιριώτατα τοῖν ἀνδροῖν τούτοιν καὶ ὅσοι σφίσι προσέσχον εἰς τὴν κατ' ἦθος φιλοσοφίαν εὑρημένων, οὐ παντάπασιν ἀλλοτρίων καὶ πόρρω φερόντων, ἢ τὰ καθ' ἡμᾶς ἔχει δόγματα· καὶ ἡ τῆς ἀληθείας νομοθεσία, ὀλίγον ἐμέλησε τῷ ἀνδρὶ, κατιδεῖν τε διαρκῶς· κἂν εἴ πη δέοι χρῆσθαι τοῖς βελτίστοις ἀμέλει καὶ ὅσα τῶν ἡμετέρων, ἐγγύς τε καὶ συγγενῆ· καὶ ὧν ἐστιν ὁτιοῦν ὄνασθαι πρὸς τὴν ἐξαρχῆς ἔνστασιν τοῦ βίου· καὶ πρόθεσιν πάντων πραγμάτων, ἄσειστόν τε καὶ ἄτρεπτον. ὡς ἄρα δὴ καὶ τηνικαῦτα τοὺς περὶ τὴν σοφίαν ἰσχυροὺς πόθους καὶ πόνους, δευτέρους ἐκεῖνος τῆς μεγαλόφρονος ταύτης αἱρέσεως θέμενος καὶ σπουδῆς, ἐρρωμενέστερον ἔτι ταύτης ἅπτεται· καὶ ὅλον ἀπὸ πάντων καθάπαξ ἀπότμητον ἑαυτὸν καθιεροῖ· καὶ ἀποτεμενίζει τῷ Θεῷ ἱερὸν ὄντως πάσης κοσμικῆς· καὶ ὑλικῆς κοινωνίας· καὶ ἐπηρείας καὶ προσπαθείας, ἄσυλόν τε καὶ ἄβατον· καὶ οὐδὲν ἄλλ' ὁτιοῦν ὑπελείπετο τῇ τῆς ψυχῆς ἐλευθερίᾳ τῶν ἐντεῦθεν ἁπάντων, ὅτι μὴ τὸ σύζυγον εἰς ὑπηρεσίαν μόνον σῶμα· καὶ ταύτῃ συνδυασθὲν ἀχώριστον συγκληρονόμον τῆς μετὰ τὸ τὰ παρόντα τελευτῆσαι πέρας οὐκ ἐχούσης μακαριότητος· ἢ τοῦ ἐναντίου τῆς ὡσαύτως ἀιδίου φευκτῆς καὶ ἀπευκταιοτάτης λήξεως καὶ πείρας.

f. 344v **14.** Καὶ ἵνα τἀν μέσῳ | παραδράμω· καὶ τοὺς τῆς ἀρετῆς ὑπὲρ τὴν φύσιν αὐτοῦ καμάτους, ἐπεὶ τὰ τρίχινα κατὰ μοναχοὺς ἠμφιάσατο, ἐν αὐτῇ τε τῇ πρότερον εἰρημένῃ πόλει· καί τισι κατὰ τὴν Θετταλίαν ὀρειναῖς ἀναχωρήσεσι καὶ νησιδίοις περὶ αὐτὴν ἐρημικοῖς πάσης ἀνθρωπίνης ἐπιμιξίας, ἐντεινόμενος ἀνὴρ ὅμως ἔτι τῇ σπουδῇ καὶ τῷ σκοπῷ καὶ τῷ πόθῳ, τοῖς κατὰ τὸν Ἄθων τὴν ὑψηλὴν ταύτην καὶ οὐρανίαν ἐπειγομένοις ἀγωγὴν ὁμόφροσι καὶ

71 ἐρρωμενέστερον V: ἐρρωμενέστερος Tr **72** ἀποτεμενίζει V^2 e corr. **77** τὸ V^2 s.l. **14,2–3** ἠμφιάσατο V: ἠμφιέσατο Tr **5** ἔτι ὅμως primum scripsit, deinde litteris βα suprascriptis ordinem invertit V

72–74 cf. Phil. Iud., De somn. 1, 149 (p. 220, 9–11) **75–78** cf. Greg. Naz., Or. 7, 21, 3 (p. 232)

συνερασταῖς τοῦ καλοῦ, φέρων ἑαυτὸν, συντάττει καὶ δίδωσιν. οἷ δὴ μάλιστα πάσης ἀρετῆς ἀγορὰν εἶναι φήμη πάντως εἶχεν ἂν αὐτὸν· καὶ πάσης μοναχικῆς ἐπιμελείας καὶ σπουδῆς ἐργαστήριον· ὥστε καὶ ῥᾷστα μεταλαμβάνειν ἐκεῖθεν ἐξεῖναί οἱ καὶ συναλλάττειν πᾶσαν τοῦ καλοῦ χρείαν· καὶ ὧν ἂν αὐτῷ πρὸς τὴν πρόθεσιν ἔτι πω δέοι· καὶ κατασκευάζειν ἑαυτὸν παραβαλλόμενον καὶ τελεσιουργεῖν, κατὰ πᾶν τὸ γιγνόμενον τῆς εὐγενοῦς ἕξεως· ὡς ἐνταῦθα γε καὶ τοὺς τεχνίτας ἅπαντας μάλιστα τῆς ἀρετῆς ὄντας καὶ τοὺς τύπους καὶ τὰ ὑποδείγματα· καὶ ὅπως ἐστὶν ἑαυτῷ χρῆσθαι πρὸς τὴν ἀκριβεστάτην δημιουργίαν τοῦ ἀγαθοῦ καὶ προσήκοντος, τῇ κατὰ τὸν βίον ἐνστάσει.

15. Καὶ τοίνυν ἐπιξενωθεὶς καὶ οἰκήσας καὶ ἐναυλισάμενος τῶν ἐκκρίτων ἐκεῖσε τινὶ μονῶν, φιλοσοφεῖ παρὰ τοσοῦτον τὸ ταπεινόν τε καὶ ἄτυφον καὶ τὴν μεγαλόφρονα καὶ ὑψηλὴν ὄντως εὐτέλειαν· καὶ λανθάνει κομιδῇ τίς τὲ εἴη· καὶ ὅ,τί ποτ' ἂν δύναιτο τἄνδον· καὶ ἅττα κατὰ νοῦν τὲ καὶ διάνοιαν πράγματα, παρ' ὅσον καὶ φυτηκομίαις καὶ ἀμπελῶσι πονεῖσθαι καὶ αὐτουργεῖν, ἐοικότι δοκεῖ. καὶ μέντοι καὶ ὡς δοκεῖ, παρ' αὐτὰ τοῖς ἐν τούτοις ἔχουσι τέως· συντάττεται ἢ καὶ ὑποτάττεται· ὡς ἂν, ἀμέλει προέχουσι, τῷ προλαβεῖν· καὶ πεῖραν δοῦναι τῶν ἔργων· αὐτὸς οὔπω δεδωκὼς ἑαυτοῦ πεῖραν. καὶ τί γὰρ οὐκ ἔμελλεν οὕτω, ἄνθρωπος τρίβωνι καὶ διερρωγότι ῥακενδυτῶν ἀγροικικῶς καθάπαξ ἐσταλμένος· οὐδὲν ἔχων μεθ' ἑαυτοῦ· οὐδὲν ἐπιφερόμενος· οὐ πήραν· οὐχ' ἱμάτιον ὁπηοῦν δεύτερον· οὐχ' ὑποδήματα ὡς ἄρ' ἀληθῶς ὁδίτης καὶ δρομεὺς εὐαγγελικὸς· οὔκουν γε οὐδ' εὔπορος ὀβολοῦ· ὅσα γε τῷ φαινομένῳ καὶ τῷ νεαρῷ τῆς ἡλικίας ἔτι πω, σκάπτειν ἰσχύων· ἐπαιτεῖν οὐκ αἰσχυνόμενος, μάζης αὐτῆς ἐπίχρειος τυχεῖν· ἢ μόνον δι' ἔλεον· ἢ πόνων μίσθωμα; ἐνταχθεὶς δ' οὕτω τὴν πρώτην καὶ καθυπουργήσας γεννικῶς πρόθυμος, οὐ τῇ κοινῇ μόνῃ καὶ δεσποτικῇ χρείᾳ· ἀλλὰ καὶ τοῖς συνεργάταις ἐκείνοις τοῦ πόνου, ἡδὺς ἦν αὐτοῖς ἐκεῖνος ὑποκύπτων καὶ συνδιαπονούμενος.

15,5 κατὰ Tr: κάτὰ V **8** προέχουσι V: προσέχουσι Tr **10** οὕτω V: οὕτως Tr **18** μόνῃ V: μονῇ Tr

14,9 cf. Max. Tyr., Or. 27, 8 (p. 232, 167) **10–11** cf. Greg. Naz., Or. 43, 12, 8 (p. 140) **15,13** Mt. 10, 10; Marc. 6, 8; Luc. 10, 4

16. Χρόνος οὐκ ὀλίγος τρίβεταί οἱ, μετιόντι τὴν θαυμαστὴν ὄντως ταύτην καὶ ὑψηλὴν, ἐν εὐτελείας σκηνῇ φιλοσοφίαν, τῷ τὰ ἐν κρυπτῷ ταῦτ' ἄνωθεν, ἐξ οὐρανῶν βλέποντι, Θεῷ πατρί. ἐπεί δ'
f. 345 οὐ πέφυκεν, οὐδ' | ἔστι δυνατὸν κατὰ τὸν εὐαγγελικὸν καὶ τοῦτο λόγον, πόλιν ἐπ' ὄρους κειμένην κρυβῆναι· τὴν ἐκ πολλῆς συνδρομῆς καὶ συνόδου τῶν τῆς ἀρετῆς καλῶν τάχα συγκεκροτημένην κραταίωσιν, εἰς ἓν ὁμοῦ συνελθόντων ἐκείνῳ, τῷ πόλιν Θεοῦ καὶ μονὴν· καὶ οἶκον, ἑαυτὸν δεδημιουργηκότι καλῶς, ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν· καὶ πάντων ἡγεμόνων καὶ διδασκάλων τῆς ἀρετῆς, οὐδ' αὐτὸν ἄρ' ἦν λαθεῖν· οὐδ' εἰς πλεῖστον, ἐπὶ τοῦ ὄρους ἐκείνου κρυβῆναι· εἰ μὲν βούλει τῆς τῶν κατ' ἐκεῖνο τὸ ὄρος οἰκούντων, ἐποπτείας τῶν τοιούτων καὶ ἐμπειρίας· εἰ δὲ βούλει τῆς μεταρσίου μονῆς· καὶ ἱδρύσεως ἐν τῷ καλῷ κατὰ φύσιν, οὐ τοῖς ἐκείνῃ μόνοις ἐπόπταις· ἀλλὰ καὶ πάντῃ· καὶ πᾶσιν ἐπίδηλον αὐτόθεν, ἀφ' ὕψους ἐφορωμένοις.

17. Τοιγαροῦν κἀκεῖνος ἐπὶ τοσούτου γενόμενος ὕψους, ὁρατὸς γενόμενος, καὶ μὴ παντάπασι, μὴ δ' ἐπὶ πλεῖστον λαθὼν· τοῖς ἐκεῖσε πᾶσι, ποθεῖται τὲ κομιδῇ· καὶ θαύματος ἀξιοῦται· καὶ ἀεὶ πλείω συνεχῶς αὐτοῦ πεῖραν λαμβάνουσι, ταῦτα σφίσιν ἐπεδίδου περὶ τὸν ἄνδρα. τί γὰρ ἦν τῶν κατ' αὐτὸν οὐ μέγιστον· καὶ οἷον ὡς εἰπεῖν τὴν φύσιν ὑπερφωνοῦν; αἱ νηστεῖαι καὶ ἀσιτίαι· ὥσπερ ἄρα μικροῦ καὶ ἀσωμάτως βιοῦντι, ὅστις ἄν, ὁρῴη τὸ καθάπαξ ἄφροντι καὶ ἀταμίευτον· καὶ αὐτῆς τῆς ἀναγκαστῆς τροφῆς καὶ χρείας· καὶ οὐ περὶ τὴν αὔριον μόνον, ἀλλὰ καὶ τῆς ἑκάστοτ' ἐνεστώσης· ὡς μᾶλλον ἐγγενέσθαι, φήσαι τις ἄν, τοῖς πτηνοῖς περὶ τῆς εἰς τὴν ὑστεραίαν τροφῆς μέριμναν· καὶ ὁτιοῦν ἐνσκευάσασθαι καὶ προαποθέσθαι, ἢ τἀνδρὶ διὰ τὸν τῆς ἡμέρας ἑκάστοτ' ἀπαραίτητον τῇ φύσει δασμόν; ὥστ' ἐνίοτε ξυμβαίνειν καὶ ἀπόσιτον, ἐπὶ πλείους μένειν ἡμέρας· καὶ ἐπικινδύνως παρατείνεσθαι· καὶ οὐκ ἄν, ἄλλως μεμνῆσθαι καὶ ἅπτεσθαι τροφῆς, εἰ μή τινας

16,12 ἐποπτείας, οἰκούντων primum scripsit, deinde litteris βα suprascriptis ordinem invertit V **17,6** ὑπερφωνοῦν V[1]Tr: ὑπερφωνεῖν V

16,2–3 Mt. 6, 4–6 **5–6** Mt. 5, 14 **7–8** cf. Phil. Iud., De somn. 2, 248 (p. 281, 26) et Or. 4, 26, 43–44 **13–14** cf. Plot., Enn. 6, 7, 36, 16 (p. 260) **17,9–11** Mt. 6, 25; cf. etiam 6, 24

ἂν, ἡ παντεπίσκοπος πρόνοια κινοίη τῶν τὰ κατ' αὐτὸν εἰδότων, ἐπιμελὲς ἑκάστοτε θέσθαι περὶ τούτου καὶ προσενεγκεῖν· ὧν ἄρα κατ' ἀνάγκην δεῖ, πρὸς τὸ διαρκεῖν ὁπηοῦν τῇ φύσει. οὕτω γὰρ ἦν ἀνεκτὸν τἀνδρί· καὶ τοῦτο, εἰ μὴ θαμίζει· ὡς οὐδὲν ἦν ὅ,τί ποτ' ἄλλο, πρὸς ὀργὴν μᾶλλον τὸν πάντα γαληνὸν ἐκεῖνον καὶ πρᾶον κινοῦν· καὶ δυσχεραίνειν πεῖθον, ἢ ὅταν πλεῖον τι τῶν ἀπαραιτήτων καὶ ἀναγκαστῶν τῇ φύσει προσάγοι τις καὶ περιεργάζοιτο, κατὰ τῆς ταλαιπώρου γαστρός· ἢ ὅτάν τινα τῶν σπανιωτέρων ἐδωδίμων ἀεὶ θαμινώτερα χαρίζοιτο καὶ πέμποι.

18. Καὶ τοῦτο μὲν, οὕτω. τί δὲ τὸ ἐν χαμευνίαις ἀβοήθητον παντάπασι τῷ σαρκίῳ· καὶ φερέπονον οἷον· μᾶλλον δὲ ἀκάματον· καὶ ἀήττητον ὡς εἰπεῖν καὶ ὑπερφυὲς, τί τις ἂν, φαίη; εἷς ὅρος ἀσάλευτος ἐκείνῳ διαπαντὸς πόλλ' ἔτη, ἀφοῦ καὶ ἤρξατο μέχρι καὶ νῦν ἐς γῆρας πεντήκοντα οἶμαι ἔτη· ἢ βραχέος δέοντα, ἢ καὶ μικρόν τι πρὸς, ἡ ἐπὶ τοῦ ἐδάφους ἀνάκλισις. καὶ μόνον ἤρκει πρὸς ῥᾳστώνην ἐπικεῖσθαι τῷ ἐδάφει καὶ ὑποκεῖσθαί οἱ | οἷα τὰ ἐκ f. 345v ῥιζοτομιῶν καὶ φλοιῶν περιπλεκόμενα καὶ συνδούμενα (ψιάθους καλοῦσιν ἄνθρωποι), ἢ καὶ σπανίως· καὶ οὐκ οἶδ' ὁπότ' ἂν, εἰ κρυμώδη τάχ' ἂν, κατανίφοι, ὁτιοῦν τῶν ἐξ ἐρίων ὑφαινομένων, τῶν φαύλων τὲ καὶ εὐώνων· καὶ εὐτελῶν καὶ προχείρων τυχεῖν. καὶ ἀνέχειν τοῦ ἐδάφους ὑπὸ τὴν κεφαλὴν ἔδει, λίθον, ἢ τί προστυχὸν τῶν ξύλων· καὶ ἥκιστα σκίμποδι· ἢ ὁτῳοῦν κλινιδίῳ, μήποτ' ἦν χρήσασθαι· καὶ εἰ κομιδῇ τοι νόσος ἐπείγει τὸ σῶμα· μάλιστ' ἐπίνοσον ἐκεῖνο γεγονὸς συχνάκις, ταῖς τοσαύταις τληπαθείαις, ἡττηθέν τε καὶ διερρυηκὸς κρατερὸν τέως πεφυκὸς καὶ ἀκμαῖον, εἰ δή τῳ καὶ ἄλλῳ.

19. Τί δὲ τὸ ἐν προσευχαῖς ἔντονον καὶ γονάτων κλίσεσιν, ἔν τε ταῖς κοιναῖς συνάξεσι καὶ τοῖς ἱεροῖς οἴκοις τοῖς κοινοῖς συνδέσμοις τῆς πίστεως καὶ τῆς ἀρετῆς· καὶ οἴκοι μάλιστ' ἰδίᾳ; τί δὲ τὸ εὐτελέστατον τῆς περιβολῆς τῷ σώματι· καὶ ὀλιγοδεὲς ὑπερβαλλόντως, καὶ ἐστενωμένον· τὸ ἀτημέλητον τοῦ τρίβωνος· καὶ τῶν

18,8 ψιάθους corr. Tr: ψυάθους V (fort. servandum) **12** τί VTr cave corrigas τί in τὸ

18,12–13 cf. Greg. Naz., Or. 43, 77, 8 (p. 296)

τριχίνων ῥακίων· ἃ δὴ καὶ τῇ χρονίᾳ λύσει καὶ τριβῇ· καὶ τῷ διερρωγότι τῆς συνεχείας καὶ συμπιλήσεως, οὐδὲν πρὸς οὐδὲν, μή ποτ’ εἶχε χρήσιμον· μὴ πρὸς χειμῶνας· μὴ πρὸς καύσωνας; τί δὲ τὸ πρὸς τούτοις ἱλαρὸν καὶ γαλήνιον· ὃ μὴ πέφυκεν ὡς ταπολλὰ, τοῖς τοιούτοις καματηροῖς καὶ πονηροῖς τῇ σαρκὶ συμβαίνειν· καὶ πρὸς ἐντυχίαν προσηνὲς καὶ χάριτος βρύον; ἡ δ’ ἐντὸς γαλήνη· καὶ τὸ εἰρηναῖον ἑαυτῷ· καὶ πάντων πραγμάτων ἀκάματον καὶ ἀζήμιον, ὥσπερ ἀύλῳ παντελῶς καὶ ἀσυνδέτῳ τὴν τοῦ βίου ταύτην θάλασσαν πλέοντι· τὸ δὲ ταπεινοῦσθαι πᾶσι· καὶ ἧττον αὐτὸς ἔχειν ἀξιοῦν, τὸ δὲ συνταπεινοῦσθαι τοῖς ὁπῃοῦν ὀλισθαίνουσι· καὶ τί μὲν, μὴ πολυπραγμονεῖν· μὴ δὲ καθορᾶν τἀλλότρια, φαύλως ἔχοντα· πρὸς ἑαυτὸν ἀεὶ καθορῶντα καὶ προσέχοντα τὸν νοῦν· καὶ μηδὲν ὁτιοῦν ἄξιον ἑαυτοῦ δοκοῦντα περὶ ἑαυτοῦ, τί δὲ τῷ καθ’ ἑαυτὸν μετρίῳ καὶ ἤθει πείθειν ἱκανῶς ἔχοντι μετὰ τοῦ καιρίου τῆς τοῦ λόγου χρήσεως, διοικεῖν σφίσι τὴν ἐπανόρθωσιν· τὸ δὲ συμπαθὲς, ἀπαράμιλλον οἷον πρὸς τοὺς ὁτιοῦν πάσχοντας, τὸ δὲ φίλοικτον καὶ πρόχειρον εἰς βοήθειαν παντὶ κάμνοντι· καὶ παντὶ, τὸν αὐτὸν καὶ ἴσον τρόπον· καὶ οὐ τῷ μὲν, μᾶλλον· τῷ δ’ ἧττον, ὅπως ἂν, ἔχοι τύχης ἢ γνώμης, οὐκ οἶδ’ ὡς εἴ ποτέ τις καὶ ἄλλος παραπλησίως· ἢ ὅτι μάλιστ’ ἔγγιστα, θαρροῦντα μετ’ ἀληθείας ἐρεῖν, καὶ παντάπασιν ἄοκνον ἐνταῦθα· καὶ ἀπρόσκοπον πᾶσι καὶ πράγμασι καὶ λόγοις· ταῦτα δὲ πάντα· καὶ τούτων ἔτ’ αὖ πλείω (καὶ τίς ἱκανὸς ἅπαντα διελέσθαι καὶ ἀριθμήσασθαι;), τίς ἂν, ἢ παρὰ τίνι τῶν ἁπάντων, ἑώραται ξυνελθόντα;

20. Τίς μὲν οὖν τὰ πλείω (καὶ οὐ λέγω παντάπασιν ἠνυσμένα καὶ παντελείως, ὡς ἄρ’ ἐκείνῳ πάντα, κατὰ πᾶν ἠκρίβωτο τὸ γιγνόμενον· ἀλλ’ ὥστε τοῖς μὲν, μᾶλλον ἱκανώσασθαι, τοῖς δ’
f. 346 ἧττον), ἢ τίς λέγων ἀμέλει | καὶ προκηρύττων τοῖς πολλοῖς ἐπ’ ἐκείνου κατηνυσμένα, πιστὰ λέγειν δόξειεν ἂν, καὶ κατ’ ἀνθρώπους, ὡς εἰπεῖν πεφυκότα, εἰ μή τις ἀκούων, ἐν πείρᾳ φθάσας ἐκείνου γένοιτο· καὶ αὐτὸν ἑαυτῷ μαρτύραιτο· τάχ’ ἂν οἶμαι καὶ συνειδὼς ὅμως ἑαυτῷ τε κἀμοὶ τῷ νῦν λέγοντι, μὴ παντάπασιν ἱκνεῖσθαι τῶν ἀξίων τοῖς πράγμασι· καὶ ὡς ἄρ’ ἐπ’ ἐκείνου παμπλήρη τοῖς ἔργοις εἶχεν;

19,11 cf. Plat., Leg. 791a **13–14** cf. Greg. Naz., Or. 43, 60, 27–28 (p. 256)
20,1–2 cf. Ibid. 60, 9–13 (p. 254)

21. Ὃ δέ μοι τῶν ἐκείνου μέγιστον καὶ θαυμασιώτατον μικροῦ παρεῖτο καὶ παρέδραμεν ἄν, εἰ καὶ αὐτό πως τοῖς εἰρημένοις ἤδη συνανεφαίνετο, ὁ μέγας αὐτῷ τῆς ἀκτησίας θησαυρὸς· καὶ ὄντως ὑπερηρμένος καὶ ἄσχετος ἀγγέλων βίος, ὅτι δὴ μή ποτε τῶν εἰρημένων ἐτῶν, καθ' οὓς ἔτι πω τῇ γῇ μένων τῷ σώματι, ἄνω πρὸς οὐρανοὺς ἐπολιτεύετο τῷ βασιλεῖ καὶ δεσπότῃ, κύριος ὁτουοῦν γέγονε νομίσματος· οὐδὲ δι' ἥντιν' ἄρα δὴ χρείαν, οὐ χρύσεον ὅλως κόμμα· οὐκ ἀργύρεον· οὐ χάλκεον, οὔτε χερσὶν ἐδέξατο, οὔτ' οἴκαδε συνέσχεν· οὔκουν γε ὡς ἄν, ἔχειν ὁπηοῦν χρῆσθαι, οὔθ' ἑαυτῷ, οὔτ' ἄλλοις ἐπαρκεῖν, φιλανθρωπίαν καὶ ἔλεον πρόφασιν. οὐ γὰρ δὴ πρὸς ἑαυτοῦ τὸν τρόπον τοῦτον ἐλεεῖν ἐποιεῖτο· οὐδὲ τῷ κατ' αὐτὸν οἰκείῳ βίῳ· ὁ πάντα φιλάνθρωπος ἐκεῖνος· καὶ πάντων ἀνάλωτος ἄλλων πραγμάτων· μόνου δ' ἁλώσιμος οἴκτου· καὶ τοῦ κάμπτεσθαι καὶ βοηθεῖν κομιδῇ, ἀμέλει πάντα τὸν ἐνόντα τρόπον τοῖς ταλαιπωρουμένοις καὶ ὁτουοῦν ἐν κατεπειγούσῃ χρείᾳ κάμνουσι καὶ διὰ τῆς παρακλήσεως τοῦ τρόπου τὲ καὶ τῆς γλώττης ὅποι παρείκοι, πολλοῖς τῶν ἐνδεῶν ἐπαρκῶν· καὶ κουφίζων τὰς συμφορὰς ταῖς τῶν ἄλλων χερσὶ καὶ οὐσίαις. ἀλλ' οὕτω δὴ μάλιστα τὰ τῶν εὐπορούντων κοινὰ τοῖς ἐνδεέσι ποιούμενος καὶ οὐκ οἶδ' οἷστισι πλεῖον ἄρα χαριζόμενος τοῖς ἐν χρείᾳ καὶ λαμβάνουσιν, ἢ τοῖς αὐτῷ πειθομένοις, μάλα δὴ πειθομένοις, χάριτας αὐτοῦ λαμβάνειν διὰ τῆς εὐποιίας ταύτης· καὶ μεταδόσεως τῶν οἰκείων, τόδ' ἄτρεπτον ἐποιεῖτο, πάντα τὸν βίον ἑαυτοῦ· καὶ νόμιμον ὥσπερ ἀσάλευτον ἴσα καὶ ὅ,τί ποτ' ἄν, τῶν τῆς θεοσεβείας δογμάτων καὶ ἀκλινῶν ὑποθέσεων, πᾶσιν ἀποφράξαι χρήμασι τὴν εἰς αὐτὸν πάροδον διὰ πάντας οὕστινας ἴσως εἴποι τις ἄν, τρόπους, οὐ πόρρω λόγου φέρειν πολλάκις ἐνίοις δοκοῦντας· καὶ καταφράξασθαι τὸν νοῦν ἐν τούτοις, ἀνεπιχείρητον καὶ ἀήττητον· καὶ ἄσυλον εἰπεῖν· καὶ τὰς χεῖρας καὶ τὸν οἶκον ἱερὸν ἄβατον· καὶ πάσαις οὐσίαις, οὐ μακραῖς μᾶλλον ἢ καὶ ταῖς ἐλαχίσταις ἀπείπασθαι· ἐν νομίσμασί τε καὶ πάσης ἄλλης ὕλης τρόπῳ.

21,3 ἀκτησίας V: ἀητησίας Tr **15** ὁτουοῦν tacite corr. Tr: ὁτοοῦν V **23** τόδ' V: τὸ δ' Tr **27** λόγου V: λόγους Tr

21,3 cf. Ibid. 60, 14 (p. 254) **5–6** cf. supra, Or. 10, 18, 1–5 **8** cf. Mt. 10, 9

22. Λέγεται γέ τοι καὶ συμβῆναί ποτε, τῶν προτέρων ἐκείνων ἐτῶν τῆς μοναχικῆς ἀσκήσεως ὑπὸ τῆς αὐτῆς αἰτίας, περὶ τὸν ἄνδρα τόδε χάριεν· καὶ ἅμα τὴν ἄνωθεν περὶ αὐτοῦ πρόνοιαν f. 346v ὑπεμφαῖνον· καὶ ὅσοι | πάντως κατ' αὐτόν. ὃ καὶ τῆς αὐτοῦ γλώττης ἐγὼ, τῆς πάντ' ἀληθοῦς καὶ ἡδίστης πυθόμενος καὶ μαθὼν, τέως ἄλλων προπεπυσμένος, πιστὸν μάλιστ' ἔσχον. ἐτύγχανε μὲν γὰρ ἀπὸ Θεσσαλονίκης εἰς τὸ Ὄρος ἰὼν· οὐκ οἶδ' ἧστινος ἕνεκεν αἰτίας καὶ χρείας ἐπιδεδημηκὼς τῇ πόλει· καὶ αὖθις ἐπαναστρέφων· ἐτύγχανε δ' ὅμως, ἐπανιὼν ἀπέριττος τὸν εἰωθότα τρόπον· μηδὲν ὅ,τι ποτ' ἔχων καθ' ὁδὸν ἰὼν· μηδὲν ὅ,τί ποτ' ἐπιφερόμενος· ποσὶ τοῖς αὐτοῦ χρώμενος βάδην. ξυμπίπτει δέ οἱ νόσος τις ἐπὶ τῆς ὁδοιπορίας· ἥτις μὲν ἀκριβῶς ἔπειτ' ἐρεῖν, ἔγωγ' οὐκ ἔχω· ἐπύρεττε δ' ὅμως· καὶ ἦν ἀκινητεῖν λοιπὸν ἀνάγκη. δεῆσαν δὲ καταλύειν ὅπη ἄρα, ὅ δ' ἐν προνάῳ τινὸς ἱεροῦ κατὰ μέσην τὴν ὁδὸν ἐπ' ἐρημίας κατακλίνεται· μάλα τοι τῷ πυρετῷ κάμνων· καὶ μή τιν' ἔχων ἐπικουρῆσαι κατὰ τῆς νόσου τὸν ἐγχωροῦντα τρόπον, μέτρι' ὁπηοῦν· κἂν εἰ μή τι ἄλλο, ψυχινὸν ὕδωρ, μάλιστ' ἐπίχρειον ὂν κομιδῇ πυρέττοντι· καὶ καομένῳ δίψῃ ἐπιεικῶς, ὅθεν ἂν ἄρα τῆς χώρας ἐξείη, πορίσασθαι καὶ κομιεῖν. ἐν τούτῳ δέ τινες ἄνδρες ληστρικοὶ καὶ θηριώδεις τοὺς τρόπους· τἀλλότρι' ἐν λόχοις ἁρπάζοντες τόλμῃ καὶ βίᾳ χειρῶν πάσης ἀλογοῦντες δίκης περιαθροῦντες ἐν κρυπτῷ τοὺς ὁδίτας ἐπ' ἐρημίας· καὶ τάχιστ' ἀπροσδόκητα κατεξανιστάμενοι καθ' ὧν ἂν, κραταιότερον πάντως ἔχειν αἴσθοιντο, ἐφίστανταί οἱ κατὰ γῆς αἴφνης ἀνακλιθέντι· φόνιον πνέοντες· βαρβαρικοὶ· βραχύ γ' ἐπαΐοντες καὶ ξυνιέντες γλώττης Ἑλλάδος· ὠμησταὶ ἄγριοι· καὶ μόνον ὁρώμενοι δέος ἐμποιοῦντες. οἱ δὲ, καὶ δῆτ' ἐπιστάντες ἀπειλοῦσι κατ' αὐτοῦ τὰ παλαμναιότατα· καὶ χεῖρας ἐπανατείνονται, ἀπαιτοῦντες πᾶν, ὅ,τί ποτ' ἐπιφέροιτ' ἂν, δοκοῦντες κεκτῆσθαι· καὶ ἴσως οὐκ εὐκαταφρόνητον· ὡς ἂν, καὶ λωποδύτην τάχα κατ' αὐτοὺς δοκοῦντες· καὶ τῶν ἀλλοτρίων δόλῳ συλητήν. ὢ τῆς φαυλότητος· ὢ τῆς ἀνοίας μάλιστ' αὐτῆς· καὶ τῆς ἀπάτης, ὥσπερ ἂν, εἰ ἐν Ἰνδοῖς ἐπειρᾶτό τις χιόνα κομίζεσθαι· ἢ δελφῖνος ἄροτρον

22,1 συμβῆναί Tr: συμβῆναί V **4** ὅσοι V: ὅ σοι Tr **11** αὐτοῦ V: αὑτοῦ Tr **12** ἐπὶ V[2] e corr. **14** ὅ δ' V: ὅδ' Tr **19** δίψῃς tacite corr. Tr: δίψῃ V

22,26 cf. Hom., Il. 11, 454 **33–34** proverbia non invenimus

ἀπήτει κατὰ τὴν παροιμίαν. ἐπεί δ’ οὐκ εἶχον· ἀπειλαῖς καὶ δεδιττόμενοι λόγοις ἀνημέροις τὰ μὴ ὄντα λαμβάνειν, οἱ δὲ, λοιπὸν ἔπειτα, καὶ χερσὶν ἐχρῶντο· καὶ διηρευνῶντο τὰ ῥακία ἀποδύοντες, ἃ περιέκειτο· εἴ τισι τῶν ποθουμένων περιτύχοιεν· ἃ κρύπτειν ἴσως αὐτὸν, ὅπως ἄρ’ ἀσφαλιζόμενον. ὡς δὲ πάντα ποιοῦντες· πάντα τρόπον ἐρευνώμενοι καὶ ἐξετάζοντες ἤνυτον οὐδέν, οὐδενὸς καί γ’ ἑνὸς, οὐδὲ τῶν εὐτελεστάτων νομισμάτων τυχόντες· οὐδὲ τοὐλάχιστον ὀβολοῦ, τοῦτο μὲν δυσχεραίνοντες καὶ μηνίοντες, τοῦτο δ’ ἐξαπορούμενοι, ἐμπτύουσι κατὰ τοῦ προσώπου· «σὺ δὲ τί ποτ’ εἶ» φάμενοι, «τί δὲ τὸ κατὰ σὲ πρᾶγμα, φαῦλον οὕτω καὶ καθάπαξ εὐτελὲς καὶ ἀνόνητον καὶ μὴ δ’ ὀβολοῦ, μέχρις ἑνὸς ἄξιον· οὔκουν γε μὴ δ’ ὥστε τοσούτου | κύριον εἶναί f. 347 σε;». ταῦτ’ εἰπόντες ὀλιγωρίᾳ παντάπασι καὶ ὕβρει τουλοιποῦ, καὶ οἴχεσθαι πειρῶνται καὶ καταλείπειν αὐτόθι τὸν ἄνδρα ὡς ἂν μηδὲν μήθ’ ἑαυτῷ, μήτ’ ἄλλοις χρήσιμον· ἀλλὰ τοῦ βίου καὶ τῆς φύσεως φορὰν ἀσυντελῆ τινα· καὶ ἀνόνητον· εἰκῇ μόνον ἄχθος. οἱ δὲ, καὶ ἤδη ὁδοῦ ἥπτοντο· τὸν δὲ, τελευτῶντ’ ἔπειτα τῶν ἀνδρῶν λαβόμενον, ἐξιστορεῖν σφίσι καὶ ἀφηγεῖσθαι τὰ κατ’ αὐτὸν, ὡς οἷόν τε βαρβαρικῶς χρώμενον, ἵν’ ὁπηοῦν ἐπαΐοιεν· καὶ ἅμα δεῖσθαι τὸν ἐνόντα τρόπον βοηθεῖν τέως μὲν, ὁπόθεν ἄρ’ ὕδωρ κομίσαντας· εἶτ’ εἴπερ οἷόν τε καὶ κινεῖ σφᾶς τὸ κατὰ φύσιν συμπαθὲς, ἀνθρώπους γε ὄντας αὐτοὺς, ἀνθρώπῳ κατ’ αὐτοὺς ὄντι· καὶ πρός τινα τῶν ἔγγιστ’ ἀγρῶν, ἢ συνοικιῶν αὐτὸν κομίσαντας, ὡς ἄν, δὴ καὶ τυχεῖν τῆς τῶν οἰκούντων φιλανθρωπίας ἐπὶ τῇ φύσει τὲ, καὶ τῇ νόσῳ. λέγων ταῦτα καὶ λιπαρῶν, ἔπειθε τοὺς ἀγριωποὺς ἐκείνους καὶ ἀτιθάσσους καὶ ληστρικούς· καὶ οὐχ ὕδωρ μόνον κομίζοντας εἶχεν, ἀλέξημα τῷ καύσωνι καὶ τῷ πυρετῷ, ἀλλὰ καὶ χερσὶν ἀράμενοι· καὶ ὠμαδὸν ἐπιθέμενοι τὸν ἄνδρα, προῆγον ἐκεῖνοι, μέχρι καὶ εἴς τινα τῶν ἔγγιστα συνοικιῶν· μέχρι καὶ ἦν σφίσιν ἀσφαλὲς, ὥστε καὶ λαθόντες ἔπειτα οἴχεσθαι· πρὶν φθάσαντες συσχεθῆναι· καὶ δίκας πράττεσθαι· ἄνθρωποι κακοῦργοι τέως καὶ παμμίαροι καὶ πολλοῖς ἴσως πολλῶν αἴτιοι συμφορῶν γενόμενοι.

23. Τί τούτου φήσαι τις ἄν, ἀμέλει θαυμασιώτερον καὶ ἥδιστον, ὡς εὐθὺς ἀκοῦσαι; πάλιν τὸ τοῦ Σαμψὼν ἐνταῦθα θαῦμα

34 ἀπήτει V: ἀπήγει Tr **38** an αὐτὸν ⟨ᾤοντο⟩? **43** τί[1] VTr: an τίς scribendum? **49** εἰκῇ VTr: an καὶ γῇ?

καὶ αἴνιγμα· «πάλιν ἐξ ἔσθοντος ἔξεισι βρῶμα» καὶ ποτίζεται κάμνων πάνυ τοι καὶ τῆς δίψης ἐκλείπων, Ναζιραῖος ὄντως ἀνὴρ· ὕδατι καινῷ τερατουργούσης πάντα ῥᾷστα τῆς θείας προνοίας· καὶ τἀδόκητα καὶ φύσιν μήποτ' ἔχοντα· καὶ τἀναντία στρεφούσης· καὶ διὰ τῶν ἐχθίστων καὶ κομιδῇ πολεμίων, πρυτανευούσης τὰ βέλτιστα καὶ χρειωδέστατα. ἐκείνης πάντως ἐστί· καὶ τὸ δουλοῦσθαι λεόντων ὠμοβόρων ὠμότητα· καὶ πείνης ἀκμὴν, συγκατακλεισθέντι προφήτῃ· ἐκείνης καὶ τὸ τρέφειν ξένως τὸν αὐτὸν ἐν δεσμοῖς ἄσιτον θεράποντα καὶ προφήτην, ὄψῳ πόρρωθεν πάνυ τοι νεουργῷ. ἐκείνης καὶ τὸ κόρακα τὸ πάντων ὀρνέων ἁρπακτικώτατον, πείθειν ὑπηρετεῖν καὶ πονεῖσθαι σίτησιν σχέδιον· καὶ φορὰν ἀπαραίτητον ἐπὶ ῥητοῖς δικαίοις ἐπ' ἐρημίας· καὶ οὐκ ἐν τοῖς πρότερον ὑπὸ νόμον· ἀλλὰ καὶ μεθύστερον, εὐαγγελικοῖς χρόνοις· καὶ πλεῖσθ' ἕτερα τῶν τεραστίων, ἐκείνης ἔργα, τοῖς πολλοῖς ἐγνωσμένα· καὶ μνήμῃ δοθέντα· καὶ ἴσως τὰ πλείω μάλιστ' οὔ. καὶ νῦν τόδ' ἔγωγ' ἔφην, ἐν μνήμῃ τῆς τοῦ ἀνδρὸς ἐς τὸ παντελὲς ἀκτησίας καὶ ἀυλίας· καὶ πιστούμενος τὸν λόγον, τῷδ' ἔφην τεκμηρίῳ βραχεῖ.

24. Θαυμάσαιμι δ' ἂν ἔγωγε καὶ μάλ' εἰκότως, ὅστις ἂν καὶ f. 347v τόδ' ἀγνοοίη τῶν ὅλως εἰδότων τὸν ἄνδρα | τὸ προχειρότατον εἰς μάθησιν τῶν αὐτοῦ· καὶ μάλιστ' ἐπίδηλον καὶ παντὶ γνῶναι ὥσπερ ἔχει τοῖς στρατηγοῖς τὰ ἐν ταῖς σημαίαις σύμβολα. ὃ δὴ καὶ τετήρητό οἱ μέχρι καὶ ἐς τέλος ὡσαύτως ἄτρεπτον καὶ μετὰ τὴν ἐκλάμψασαν τῷ βίῳ τοῦ ἀνδρὸς δόξαν· καὶ οὐκ ἰδιώταις μόνον· ἀλλὰ καὶ βασιλεῦσι, πολὺ μάλιστα τἀκείνου διὰ τιμῆς θεμένοις καὶ θαύματος. ἐπεὶ γὰρ οὐκ εἶχε λανθάνειν καθάπαξ ὁ τοῦ μὴ λαθεῖν ἐκεῖνος ἄξιος, τοὺς ἐν τοῖς κατὰ Θεὸν ἀγῶσιν ἐκεῖσε συνάθλους καὶ τῆς ἀρετῆς ἐπιστήμονας (πολλὴν γὰρ αἱ ὁμοιότητες ἐν πᾶσι· καὶ τὸ καθ' ἡντιναοῦν ἐργασίαν κοινὸν τὴν ἀλλήλων ξυναίσθησιν εἰώθασιν ἐμποιεῖν, τῷ δὲ, καὶ μάλιστα τὸ περιφανὲς

23,4 τῆς δίψης VTr: an τῇ δίψῃ scribendum? **12** τὸ² V² s.l. **16** ἔργα V² e corr. **19** ἀκτησίας V: ἀητησίας Tr **24,2** ἀγνοοίη V: ἀγνοίη Tr | εἰδότων corr. Tr: εἰδόντων V **5** τετήρητό Tr: τετήρητο V

23,3 Iud. 14, 14 **8–9** Dan. 6, 18–23 **10–11** Bel et Draco 33–39 **12–13** III Reg. 17, 4–6

καὶ διάδηλον ἀπαραίτητον εἵπετο δι' ἀμφότερα τό, τε τῆς ἀρετῆς ὑπερέχον· καὶ τὸ τῶν λόγων κράτος· οὐδὲ γὰρ ἦν κρύπτεσθαι ταῖς τε καθ' ἕκαστον ὁμιλίαις· καὶ τῇ πείρᾳ τῆς συντυχίας· καὶ τῇ περὶ τὰς βίβλους φιλοπονίᾳ), τῶν δὲ, καὶ θάτερον ἱκανὸν εὖ μάλ' ἦν, φῶς κατὰ τὸν θεῖον λόγον καταλάμψαί οἱ, τῶν ἀνθρώπων ἐνώπιον· πολὺ δὲ μάλισθ' οὕτω συνελθόντα καταστράπτειν ἠδύνατ' ἄν, τοὐπίσημον καὶ περίλαμπρον, βουλεύεται τοιγαροῦν, κἀν τῇ μεγαλοπόλει τοῦ Κωνσταντίνου τῇ βασιλίδι τῶν πόλεων, ἀνὴρ γενέσθαι· τὸν εἰωθότα τρόπον, εὐτελὴς παντάπασι καὶ ἀπέριττος τὸ φαινόμενον, αὐτοῖς μόνοις οἷς περιέκειτο τριχίνοις κατατετριμμένοις τὲ καὶ διεσπασμένοις τὰ πλεῖστα τῷ μακρῷ καὶ πολυετεῖ τῆς χρήσεως, κἂν εἴ πη παρείκοι τῆς ἐνίων καθ' ὁδὸν φιλανθρωπίας ἐπαιτῶν πορίζεσθαι, τὴν ἀναγκαστὴν τροφήν· καὶ τῆς πανδήμου τῶν ὑδάτων· καὶ κοινῆς καὶ δαψιλοῦς εἰς πόσιν χορηγίας, ῥᾷστ' ἔχειν χρῆσθαι· ἣν ἅπασιν ἀνθρώποις ὥσπερ καὶ μετουσίαν ἀέρος πάγκοινον εἰς ἀπόλαυσιν φθάσας ὁ πάντων τῶν ἀπαραιτήτων οἰκονόμος τῇ φύσει Θεὸς ἐνσκευάζεται. καὶ ἦν ἡ κινοῦσα πρὸς τὴν πόλιν χρεία καὶ κρίσις αὖ κατ' ἀμφότερα, πεῖραν τέ τινα σχεῖν· καὶ ξυντυχεῖν ἀνδράσιν ἐκείνη σπουδασταῖς ἀρετῆς· καὶ τί ποτ' ἄν, αὐτῶν ὄνασθαι· καὶ ἴσως ἀμέλει πλεῖστον (ἔπειθε γὰρ οὕτω, τὸ πάνυ τοι περὶ αὐτοῦ μέτρια φρονεῖν, καὶ λογίζεσθαι. καὶ εἶναι γὰρ ἐνθάδε πολλούς, τῶν πολὺ προεχόντων, τῇ κατὰ Θεὸν ἀγωγῇ· καὶ ὑπερηρμένῳ βίῳ), καὶ ἅμα ὁ περὶ τὴν τῆς σοφίας κτῆσιν ἔτι πω πόθος· ὃν οὐ μήποτ' εἶχε καταλῦσαι καὶ σβέσαι· καὶ συγκαταλῦσαι τοῖς ἄλλοις κατὰ τὸν κόσμον πράγμασιν· ὧν πολλῷ τῷ περιόντι περιεγένετο· κἂν εἴ τι πω ἐξείη προσκτήσασθαι, τῇ παιδείᾳ τῶν κατὰ τὸ Βυζάντιον περιφανῶν περὶ λόγους καὶ δοκίμων ἀνδρῶν (καὶ εἶναι γὰρ ἐκείνῃ πλείους ἢ ἄλλῃ πη· καὶ τοὺς περὶ λόγον ἔχοντας· καὶ διὰ βίου τοῦτο πεποιημένους σπουδήν), ὀρθῶς ἐκεῖνος κρίνων καὶ πειθόμενος τοῖς περιθρυλλοῦσι περὶ τούτων· καὶ τὰ κατὰ φύσιν ὄντα, τῇ πάντα μεγίστῃ καὶ προεχούσῃ τῶν ἄλλων δοκῶν· καὶ παρα|βαλλόμενος f. 348

21 an ἀνὴρ scribendum? **24–25** τῆς ἐνίων φιλανθρωπίας V: τῇ ἐνίων φιλανθρωπίᾳ Tr **33** μέτρια φρονεῖν V: μετριαφρονεῖν Tr **41** λόγον V: λόγους Tr | βίου V: βίον Tr

24,17 Mt. 5, 16 **26–29** cf. Greg. Naz., Or. 4, 96, 17–18 (p. 242)

οὕτω θερμῶς πρὸς ἀεὶ πρᾶγμα· χρήσιμόν τε καὶ κάλλιστον, παντὶ πειρωμένῳ καὶ τῶν ὑψηλῶν αὐτῶν· καὶ τὴν φύσιν ὑπερφρονησάντων ἀνδρῶν· καὶ πᾶσι τοῖς τῇδε καθάπαξ ἀπειπαμένων· καὶ πάντων ἀφειμένων· καὶ δραπετευσάντων ὅλῃ φορᾷ Θεῷ· καὶ τοῖς κρείττοσι. καὶ πολλοὺς μὲν οὖν εἶναι τοὺς εἰς τοῦτο πείθοντας· καὶ συνέλκοντας τῶν πάλαι περιφανῶν καὶ καθηγεμόνων πάσης θεοσεβείας· καὶ παντὸς ἀγαθοῦ· οἷον Γρηγορίους ἐκείνους τοὺς πάνυ· καὶ Βασιλείους· καὶ Ἰωάννας (καὶ τί χρὴ καταριθμεῖσθαι πλείους;), ὅσοι πρὸς τῷ κατ' ἀρετὴν ἀπαραμίλλῳ καὶ διαβεβηκότι, καὶ τῷ κατὰ τὴν παιδείαν πόθῳ καὶ κράτει, καὶ ταῦτα πάντα παραδραμόντες τἄλλα, ὡς αὐτῶν τε καὶ τοῦ κατ' αὐτοὺς ἀνάξια φρονήματος· καὶ τῆς ὑψηλῆς καὶ ὑπεράνω τῶν παρόντων φερούσης αἱρέσεως, βιωφελέστατοι τῷ κοινῷ κατ' ἀνθρώπους ὅμως γεγόνασι· καὶ καθ' αὑτοὺς, οὐκ ἀζήμιοι μόνον τῇ προθέσει τοῦ καλοῦ, καὶ τῆς ἀρετῆς, ἀλλ' ἄρα δή· καὶ πολὺ μάλιστ' ἐντεῦθεν ἐπικρατέστεροι καὶ πλεῖον κατηνυκότες, ἢ κατὰ τοὺς ἄλλως ἔχοντας.

25. Ἐπεί δ' ὅμως κατὰ τὴν πόλιν γένοιτο, φέρων δίδωσιν ἑαυτὸν καθυπουργεῖν τῶν τῇδέ τινι μοναχῶν χαλεπῶς ἔχοντι πάνυ τοι· καὶ πονήρως ἐργώδει παλαίοντι νόσῳ· ἡ δὲ, ἦν ῥεύμασι συνεχῶς ἄνωθεν ἐκ κεφαλῆς, ἐλλιμνάζοντα τὸν ἄνδρα τὸν γαργαρεῶνα τὲ καὶ τὸ στῆθος, νύκτωρ καὶ μεθ' ἡμέραν ἀεὶ σχεδὸν, ἄγχεσθαι ἦν ἀνάγκῃ· καὶ μὴ δ' ὁτιοῦν ἀνιέμενον, ἀφορήτῳ τληπαθείᾳ καὶ ἀλγηδόσι, μὴ δ' ἀκαρεὶ λοιπὸν μὴ δ' ὕπνου, μὴ δή ποτε μεταλαγχάνειν. τούτῳ φέρων ἑαυτὸν δίδωσιν ὑπηρετεῖσθαι, τά τε ἄλλα τῆς χρείας, καὶ εἴ τι μάλιστ' ἀναγκαῖον τῇ νόσῳ· καὶ συγκάμνειν ὡς εἰπεῖν ἄπαυστα. τρισὶ τοίνυν ἦν ἀναγκαῖον ἑαυτὸν μερίζειν πονοῦντα· τοῖς καθ' αὑτὸν ἀσκητικοῖς εἰωθόσι καμάτοις· καὶ γυμνάσμασι· τῇ τοῦ νοσοῦντος θεραπείᾳ, καὶ εἴ τί ποτ' ἄρ' ἐξείη, καὶ τῇ περὶ λόγους σπουδῇ. οὐ γὰρ ἦν παντάπασι κατολιγωρῆσαι τοῦδε· καὶ καταλύσασθαι τὴν ἐνταῦθα πρόθεσιν. ὢ θαυμαστὸς μὲν τὴν καρτερίαν ἐκεῖνος· θαυμαστὸς δὲ καὶ τὸ ἄτυφον

46 an post πειρωμένῳ lacuna statuenda? **25,6** an ἄγχεσθαι {ἦν} ἀνάγκῃ?

46–47 cf. Synes. Cyren., Aeg. 2, 7, 1 (p. 157) **57** cf. Metoch., Carm. 6, 240 (p. 123) **25,3–6** cf. Galen., De sympt. caus. (VII, p. 263, 9)

ἀνὴρ· ἀνὴρ οὕτω γενναῖος καὶ γεραρὸς· καὶ πάσης αἰδοῦς ἄξιος, ὅσα καὶ ὀλίγων κομιδῇ δραχμῶν· ἢ οὐκ οἶδ’ ὧντινων νομισμάτων ὠνητὸν ἀνδράποδον, καθυπηρετούμενος οὕτως ἀνδρὶ τοῦ καθ’ αὑτὸν πολλῷ δευτέρῳ· καὶ συνταλαιπωρούμενος ἑκών γε εἶναι μισθοῦ τὸ δοκοῦν τοσούτου· τῆς ἀναγκαστῆς· καὶ ὀλιγαρκεστάτης χρείας· καὶ τροφῆς εἵνεκα· ἣν εἴπερ ἠβούλετο παραγυμνοῦν ἑαυτὸν ὁτῳοῦν τῶν ἀστείων, ἀπελάμβανεν ἄν, οὕτω δὴ ῥᾷστα τε καὶ ἥδιστα, ὡς ἄν, εἰ καὶ μεγάλας αὐτῷ κατατιθέμενος χάριτας. ὁ δὲ, πάνυ τοι φέρων ἡδὺς καὶ χαίρων, ἠξίου καὶ ἔκαμνεν οὕτω, παριστάμενος οἰκέτου τρόπον τῷ κάμνοντι καὶ χεῖρα ὀρέγων καὶ ὑποκλινόμενος· καὶ κουφίζων τὸ σῶμα· καὶ στρέφων· καὶ μεταστρέφων ἐπὶ τοῦ σκίμποδος· ὅσαι ἡμέραι· καὶ ὅσαι νύκτες, ἱλαρὸς καὶ ἀκάμας· καὶ πρὸς | μηδὲν, μήτ’ ἀποτρεπόμενος· μὴ δ’ f. 348v ἀπαξιῶν ἑαυτοῦ· κἂν εἰ δέοι πρὸς ἀγορὰν ἐλθόντα πρίασθαι τὴν χρείαν· κἂν εἰ δέοι καθήρασθαι τῆς νόσου τὲ καὶ τῆς φύσεως οἴκοι, αἴσχη τὲ καὶ ῥυπάσματα, καὶ ταῦτα ἦν τῷ ἀνδρὶ· καὶ τὸ καρτερικὸν τοῦτο καὶ ἄτυφον· καὶ ὄντως ὑψηλὸν τῆς φιλοσοφίας μέχρι πολλοῦ· καὶ οὐκ ὀλίγα ἔτη λανθάνων ἴσχυεν.

26. Ἐπεὶ δὲ πολλοί τε ἄλλοι· καὶ πρὸ τῶν ἄλλων αὐτὸς ὁ κάμνων· καὶ ᾧ καθυπούργει (καὶ ἦν γὰρ ὁ ἀνὴρ νουνεχὴς· καὶ ἀρετῆς ἐπιμελὴς· τά τε ἄλλα καὶ γεννικῶς φιλοσοφῶν τοῖς πάθεσι καὶ τῇ τοσαύτῃ ταλαιπωρίᾳ), συνέντες, ἐθαύμαζον τὸ τοσοῦτο τοῦ ἀνδρὸς γενναῖον τοῦ φερεπόνου τὲ καὶ τῆς ἀτυφίας καὶ καθάπαξ τῆς ἀρετῆς· καὶ μεταπείθειν ἐπειρῶντο· καὶ ὥστε καταλῦσαι καὶ μεταθέσθαι τὴν σκηνὴν ταύτην τῆς εὐτελείας· καὶ ἀμεῖψαι τοῦ χθαμαλοῦ τοσούτου πρὸς τὸ εὐσταλέστερον τὸ σχῆμα· καὶ εἰ μὴ τοῦ καθ’ αὑτὸν εἰκότος βούλοιτ’ ἂν φροντίδα θέσθαι, τὸ κατ’ αὐτοὺς ἀνεμέσητον ἐν λόγῳ φιλανθρώπῳ ποιήσασθαι· καὶ ὡς ἄν, μὴ δὴ πολλῆς ἀλογίας σφᾶς καὶ ἀβελτηρίας· εἰ δ’ οὖν ἀγνωμοσύνης ἐσχάτης κρίνεσθαι· καὶ δίκας εἰκότως ὑπέχειν· πρᾶγμα τοσοῦτο παρορῶντας ἀμελῶς καὶ ἀνεπιστρόφως τῆς ὀφειλομένης ἀξιώσεως τῷ καλῷ καὶ τιμῆς, τῷ δὲ πλεῖστα μὲν ἦν ἐντεῦθεν ἀνιᾶσθαι καὶ ἀλγεινῶς ἔχειν, τῇ ζημίᾳ τῶν ποθουμένων μὴ ξυγχωρουμένῳ τὰ δοκοῦντα βέλτιστα πράττειν· καὶ τοσαῦτα κατακτᾶσθαι καὶ θησαυρίζειν ἑαυτῷ, μὴ πομπεύοντα κέρδη, καὶ ὧν οὐκ ἄν, μήποτ’ εἴη πᾶν τίμιον καὶ σεμνὸν, ἀξιόχρεων· βίᾳ δ’ ὅμως καὶ μόλις εἴκει τοσοῦτο δὴ καὶ ὑφίησιν, ὥστε συνεῖναι μὲν

ὅμως τῷ κάμνοντι· καί οἱ τῶν πρὸς θεραπείαν ἐπὶ τῇ νόσῳ, μέλειν τὲ καὶ πονεῖν· καὶ φροντίδα ποιεῖσθαι (καὶ τὸ αἴτιον, αὐτόθεν ἀπαραίτητον· καὶ τὸ ἀποστολικὸν, ἄφυκτόν τε καὶ ἀσάλευτον ἐπὶ γλώττης· ὡς ἄν, μὴ παντάπασιν ἀργὸς τρέφοιτο· καὶ τοῦ χορηγοῦντος ἀπολαύοι, πάντ' αὐτὸς ἀνόνητος καὶ ἀχρεῖος αὐτῷ ἀνύτων), ὑπεξίστασθαι δ' ἀμέλει καὶ φεύγειν τὰς τῶν ὑπουργιῶν δοκούσας ἀσχήμονας· καὶ τὰς ἀγοραίας διὰ τὰς ἑκάστοτε χρείας ἀσχολίας ὡς ἄν, ἑαυτῷ καὶ πλεῖον ἴσως καὶ τοῖς βιβλίοις προσέχοι.

27. Τοὐντεῦθεν τοίνυν συνὼν καὶ αὖθις ὡς πρὶν ἐκείνῳ· καὶ διακονούμενος αὖθις ἃ συνέθετο, καὶ διδόναι τί πλέον εἶχε τῇ περὶ λόγους σπουδῇ· καὶ πρὸς τὴν πρόθεσιν δὲ ἀνύτειν· καὶ τῷ πόθῳ τούτῳ χαρίζεσθαι· ἅμα τε τοῖς ἐκ μακροῦ περὶ ταῦτ' ἔχουσι καὶ δοκίμοις πλεῖν ἢ πρότερον συγγινόμενος καὶ συγγυμναζόμενος· καὶ ἅμα καθάπερ ἡ πυρίτις λίθος ταῖς ἐκεῖθεν παρατρίψεσιν, οἴκοθεν ἀνάπτων· καὶ πυρὸς δίκην δραστικώτερον χωρῶν τῇ λαμπρότητι τῆς σοφίας. ὃ δὲ κάλλιστον ἐντεῦθεν εἵπετο· καὶ ὥσπερ ἐοικὸς αἰνίγματι· καὶ τεράστιον οἷον θαυμάζειν, τὸ μᾶλλον αὐτὸν τρέφειν τὸν τρέφοντα· ἢ αὐτὸν ἐκείνου τρέφεσθαι τουλοιποῦ, τῆς τῶν πολλῶν αὐτοῦ ξυναισθήσεως καὶ περὶ αὐτὸν φιλοκαλίας,
f. 349 κατὰ τὸ περὶ τὸν θαυμαστὸν | ἐκεῖνον Ἠλίαν· καὶ τὴν φιλόξενον ἐκείνην ἱστορούμενον γυναῖκα· οὐ μᾶλλον αὐτὴν τρέφουσαν, ἢ τρεφομένην, ἐν πολλῇ τῇ τῆς χρείας ἀκμῇ· καὶ ταχίστην αὐτὴν ἀντιλαμβάνουσαν καὶ πάνυ τοι πλείστην τὴν τῆς φιλανθρωπίας ἀντίδοσιν. ἐπεὶ γὰρ πολλοῖς τὰ κατὰ τὸν Ἰωσὴφ ἔγνωστο· καὶ διαβεβόητο ποῖος ἀνὴρ τὴν ἀρετὴν, καὶ τὸ τῶν λόγων κράτος, ἐφάμιλλ' ἔχων· καὶ σχεδὸν ἄμφω γε ἀπαράμιλλος· ὅτι δὴ κατὰ τὸν παλαιὸν λόγον, ὥσπερ ἄρα τῷ μύρῳ τὲ καὶ τοῖς ἄνθεσιν αὐτόθεν ἕπεται τὸ εὐῶδες ἐν ξυναισθήσει τοῖς ἔγγιστα καὶ πειρωμένοις, οὕτω δὴ καὶ τῇ ἀρετῇ καὶ πάσῃ προκοπῇ τε καὶ ἀστειότητι, τὸ πρὸς τοὺς πολλοὺς διαδόσιμον· καὶ οὐκ ἔστι μὴ λανθάνειν

27,16 τὰ V: τὸ Tr **17** ποῖος VTr: an ὁποῖος?

26,23 II Thess. 3, 10 **27,6–7** cf. Eustath. Thess., De emend. vit. mon. 110, 7–8 (p. 122) **10** Eurip., Fragm. 561, 1 (p. 587) **12–14** III Reg. 17, 8–16 **19–22** cf. Bas. Caes., In Gord. mart., PG 31, 493A

εἰ καὶ προσβραχὺ γένοιτο, κἀντεῦθεν οὐκ ὀλίγη τιμὴ περὶ τὸν ἄνδρα καὶ κλέος ἐπέραστον· καὶ πολλοὶ πολλῶν· εἰ οἷον τ' εἴη χρημάτων εὖ μάλα πρίαιντ' ἂν, ἐκείνῳ χαρίζεσθαι καὶ φέρειν, ὅ,τι ποτ' ἂν, καθ' ἡδονὴν Θεῷ τοῦτο φορὰν, καὶ ἑαυτοῖς μεγίστην ὄνησιν καὶ δόξαν κρίνοντες, ἐπεὶ δὴ ταῦθ' οὕτω, τὸ μὲν προσίεσθαι καὶ ὁτιοῦν ἐκεῖνον οὐκ εἶχον αἱρούμενον, κἂν εἰ πάντα γίγνοιτο, οὐ τῶν ῥᾳδίων τὲ καὶ εὐώνων· οὐ τῶν δυσπορίστων τὲ καὶ πολυτιμήτων· τῶν δὲ, καὶ μάλιστ' οὔ· μισθοῦ δὲ μόνον τῆς διακονίας ἐκείνῳ ἀξιοῦντα παντάπασιν ἀτρέπτως, ἀποζῆν· καὶ τὴν ἀναγκαστὴν ἀποφέρεσθαι χρείαν.

28. Καὶ τοίνυν ἐπεὶ μή τι κατὰ τοῦ ἀνδρὸς εἶχον δρᾶν ὧν ἔρως εἶχε, καὶ περιγενέσθαι πάνυ τοι ποθοῦντες καὶ πάντα πειρώμενοι τρόπον, οἵ δ' ἔκλεπτον ἔπειτα τὴν μετάδοσιν καὶ εὐποιίαν· καὶ ἥκιστ' ἀηδῶς ἐντεῦθεν ἦν σφίσι ἰᾶσθαι· καὶ τελεσφορεῖν τὰ τοῦ πόθου· καὶ συχνὰ παρ' αὐτῶν ἐπέρρει Μακαρίῳ (τόδε γὰρ ὄνομα τῷ κάμνοντι), τῶν ἐν χρείᾳ καὶ ὑπὲρ τὴν χρείαν, δι' Ἰωσὴφ· καὶ ὡς μήπω τέως. καὶ ἀμφοτέροις ἦν ὁ ἀνὴρ ἀγαθῶν αἴτιος· τῷ μὲν, ὧν ἔδει τυγχάνειν εὖ μάλα· τοῖς δ' εὖ ποιεῖν· οὗ μάλιστ' εἶχε σφᾶς ἔφεσις· μᾶλλον δὲ καὶ αὐτοὺς τυγχάνειν, ὧν ἄρ' ἔδει σφίσι· καὶ βάλλοντες ἄλλῃ, μᾶλλον δ' ἄλλῃ σκοπούμενοι, καὶ βάλλοντες ἄλλῃ, μὴ δ' οὕτω δὴ τοῦ κατὰ σκοπὸν ἔφερον πόρρω τοι· μὴ δ' ἔπειτ' ἔξω· ἀλλ' ὡς ἥδιστα καὶ αὖ ἔχειν. καὶ ὁ μὲν λόγος φησὶ τὸν βαλόντα κατὰ τῆς κυνὸς καὶ μὴ τυχόντα· καὶ καθικόμενον τῆς μητρυιᾶς, ὡς ἕρμαιον ἁρπάσαντα τὴν τύχην· καὶ αὖ ἡσθέντα πρὸς τἀδόκητον κατὰ σκοπὸν οὐχ ἥκιστ' ὂν, τὸν δὲ, φάναι μὴ δ' οὕτω κακῶς· τοῖς δ' ἀποτυγχάνουσι τοῦ ἀνδρὸς ἐκ τοῦ εὐθέος ὡς τὴν ἀρχὴν ἡ πρόθεσις ἦν, ἔπραττε τὸ βουλόμενον τῆς ψυχῆς ἐν Μακαρίῳ καθ' ἡδονὴν αὖθις· καὶ πολλὴ περὶ αὐτὸν ἦν ἐντεῦθεν, ἡ ἀφθονία καὶ ἡ ἑταιρεία· καὶ τῶν ἀστείων καὶ φιλοκάλων ἀνδρῶν ἡ σπουδὴ· καὶ μέγα δεξιὸν τἀνθρώπῳ συγκύρημα, ξυλλαχεῖν ἀνδρὶ τοιούτῳ καὶ εἰσοικίσασθαι. ὁ μὲν οὖν πριάμενος Διογένη τὸν

30 μισθοῦ V[2]Tr: μισθὸν V **28,14** μητρυιᾶς Tr: μητρυᾶς V **17** ἔπραττε τὸ VTr: an ἐπράττετο τὸ?

28,12–15 cf. Plut., Mor. 147C; 467C **21–29** Diog. Laert., Vit. phil. 6, 74 (pp. 421, 14–422, 10)

Κυνικὸν φιλόσοφον (γενέσθαι γὰρ τόνδε πειραταῖς αἰχμάλωτον, f. 349v καὶ πραθῆναι μὴ | πολλοῦ τινὸς), σφόδρα ἡδόμενος τῇ ξυντυχίᾳ ταύτῃ· καὶ τοῦ ἀνδρὸς ἀπολαύων κατὰ καιρὸν ἄνθρωπος χρῆσθαι (μὴ φαῦλός τις ὢν ἔοικε, μὴ δ᾿ ἀμαθὴς τῶν βελτίστων· καὶ χρησίμων ἑαυτῷ, μὴ δ᾿ ὥστε λαθεῖν τἀγαθὸν, χερσὶ φασὶν ἔχων), ἀγαθὸν ἔλεγε δαίμονα, τὴν οἰκίαν εἰσελθεῖν αὐτοῦ, καὶ ὡς ἂν πολὺ βέλτιον ἔχων ἢ πρότερον, ἐκαλλωπίζετο, καὶ μάλιστ᾿ εὐγνώμων ἦν, τῇ τύχῃ καὶ τῷ ἀνδρί. ἀλλ᾿ οἱ μὲν, ἐρρόντων· καὶ ὁ κτησάμενος· καὶ ὁ πραθεὶς Διογένης· αὐτοῖς μάλ᾿ αὐτῶν δαίμοσι καὶ τύχαις· αὐτοῖς μάλ᾿ ἀσεβέσι ῥήμασι καὶ δυσφήμοις· κἀν οἷς δοκοῦσι χρηστοί τινες εἶναι καὶ εὐμαθεῖς· καὶ χρήσιμοι, τὰ μέγιστα περὶ τῶν θείων ἀμαθαίνοντες.

29. Μακαρίῳ δ᾿ ἔοικε καὶ παντὶ τοῦτο δῆλον ἐμοὶ δοκεῖν, προνοίας περὶ αὐτὸν ἀγαθῆς ἔργον γενέσθαι, καὶ πολλή τις ὄνησις, Ἰωσὴφ ἐς αὐτοῦ γινόμενος, καὶ καθάπαξ συνών. καὶ οὐ λέγω νῦν ἔγωγε τὰ πρόδηλα ταῦτα μόνον, τὸ τῆς λειτουργίας τοῦ ἀνδρὸς ἐνδελεχὲς· καὶ τὴν κατὰ τῆς νόσου καὶ τὴν κατὰ τοσαύτης δυσχερείας ἐπιμέλειαν· καὶ ἐπικουρίαν· καὶ πᾶσι λόγοις· καὶ πᾶσι πράγμασι· καὶ ἀμφοτέροις κατὰ πᾶν τὸ γινόμενον ἀρίστοις· καὶ τὴν τῶν εὐγενῶν ἀνδρῶν δι᾿ αὐτὸν δωροφορίαν, ὧν δέοι ἂν, καὶ πλεῖν ἢ δέοι ἂν, ἀλλ᾿ ὅτι καὶ κέντρον ἀρετῆς ἦν αὐτῷ· καὶ τῶν καλλίστων ἐκεῖνος, ὑπόμνημα, ὁσημέραι καὶ ὅσαι νύκτες· συμβιοτεύων καὶ συγγινόμενος, τοσοῦτος ἀνὴρ ἐννοῆσαι τε καὶ ἐρεῖν τὰ δέοντα· καὶ ἅμα τελεσιουργὸς αὐτὸς τέως ὁρώμενος, ὡς ἐννοεῖν τε καὶ λέγειν οἷος τ᾿ ἂν εἴη. ἀμέλει τοι χρηστὸς μὲν ἦν καὶ τέως ἐδόκει, Μακάριος, ἀλλ᾿ ἐπέδωκε πολὺ μάλιστα τῷ καλῷ, δι᾿ αὐτόν τε καὶ τὴν αὐτοῦ συνουσίαν· καὶ τοῖς βελτίστοις· καὶ πλεῖστον ὅσον ἑαυτοῦ κρείττων γέγονε, τὴν ἐπαινετήν τε καὶ σεμνὴν ἀγωγὴν· τοῦτο τε, καὶ ἅμα πολλοῖς γέγονε γνώριμος, τοιοῦτος ὢν, οἷς οὐκ ἦν πρότερον, συνακουόμενος Ἰωσὴφ· καὶ τοῖς περὶ αὐτοῦ λόγοις πᾶσα ἀνάγκῃ συνεισαγόμενος. καὶ ἦν αὐτῷ τοῦτ᾿ αὐτὸ πρόδηλον εὐθὺς εἰς εὐφημίαν καὶ κλέος μέγιστον οἷον

24 ἄνθρωπος V: ἀνθρώποις Tr **27** οἰκίαν corr. Tr: οἰκείαν V **29,11** τοσοῦτος V: τοιοῦτος Tr **17** τοῦτο τε V: τοῦ τότε Tr

29,11–12 cf. Thucyd. 2, 60 **16** cf. Greg. Naz., Ep. 249, 27 (p. 147)

αὐτόθεν, ὃς ἂν, πύθοιτο τἀνδρὶ συνοικῶν Ἰωσὴφ· καὶ ἥδιστα καὶ χαίρων συνοικῶν· καὶ πρὸς αὐτοῦ τὴν κοινωνίαν ποιούμενος. μὴ δὲ γὰρ εἶναι τοῖς ἀνομοίοις χαίρειν τὸν τοσοῦτον τὴν ἀρετὴν· μὴ δ’ ἀλλοτρίοις τὲ καὶ ἀνοικείοις, ἀξιοῦν ἑαυτὸν συμβιοῦν· ἀλλ’ εἶναι κοινόν τι τῶν τρόπων, καὶ τῆς προθέσεως. καὶ τὸν ὅμοιον γὰρ ἄγειν Θεὸς ἐς τὸν ὅμοιον παλαιὸς ὁ λόγος οὗτος· καὶ πάντων οὐχήκιστ’ ἀληθής. οὔκουν γέ ἐστιν οὐδὲ πέφυκε πῦρ συνάπτειν ψυχροῖς· οὐδὲ σκότῳ φῶς· ἀλλ’ ἀνάγκη πᾶσα φωτὸς εἴ πῃ ἄρα μένοντος, φωτοειδῆ τὰ πρόσοικα γίνεσθαι καὶ ὁρᾶσθαι· καὶ τοῦ κάλλους ἀπολαύειν καὶ τῆς χάριτος ἐκεῖθεν.

30. Καὶ τοῦτ’ ἦν ἄρ’ οἶμαι καὶ Μακαρίῳ τῆς λαμπρότητος Ἰωσὴφ καὶ τῆς φωταυγείας ἐπιεικῶς ὄνασθαι· καὶ βέλτιστ’ ἔχειν· καὶ δοκεῖν ἔχειν βέλτιστα· ὡς | [f. 350] οὐ μᾶλλον γέ οἱ τῆς δόξης ἐντεῦθεν μετὸν, ἢ τῆς χρήσεως πρότερον εὖ εἶναι· καὶ τοῦ ἀγαθοῦ κατὰ φύσιν αὐτόθεν μεταλαμβάνειν. καὶ τὸ μὲν, οὕτως ἔχει· καὶ εἶχε τηνικαῦτα Μακαρίῳ· καὶ τὸ πρᾶγμα καὶ νῦν ἀφ’ ἑστίας φασὶ τοῖς νῦν λόγοις πιστὸν· οἷς τῇ περὶ ἐκείνου μνήμῃ καὶ ταῖς εὐφημίαις, καὶ τὰ κατὰ Μακάριον, καιρὸν ἔχει παραχρῆμα· καὶ συνεισάγεται μετ’ εὐδοξίας ἀμφοῖν· καὶ παρελθεῖν οὐχ οἷον τε. τῶν μέν γε κατὰ τὴν μεγαλόπολιν διατριβῶν, ἀνάγκην ἔχων ἀποχωρεῖν Ἰωσὴφ, χρόνοις ἔπειτ’ οὐκ ὀλίγοις ὕστερον, διὰ τὸ κρατῆσαν αὐτὸ τῆς πολυδοξίας· ὡς ἂν, μὴ φέρειν ἔχων τὸ βάρος ἐπικείμενον τοσοῦτο τῆς περὶ αὐτὸν σπουδῆς ἁπάντων· καὶ δυσχεραίνων ὑπερβαλλόντως τῶν ποθούντων τὸν ὄχλον τὲ καὶ τοὺς κρότους, μηδὲν ἧττον· ἢ τῶν ἀνθρώπων οἱ πλείους τὰ σκώμματα, καὶ τὸ ἄπραγμον ἐκ πολλοῦ ποθῶν τε καὶ σπουδάζων τῇ ἀρετῇ, καταλείπει μὲν ἑκὼν αὐτὸς Μακάριον· καὶ αὖ δὲ ἄκων μάλα τοι τὸν ἄνδρ’ ἀλγοῦντα, μάλα τοι καὶ αὐτὸς ἀλγῶν (καὶ τοῦτο γὰρ ἦν μόνον, ὁ πάνθ’ ἱλαρὸς ἐκεῖνος· καὶ γαληνὸς· καὶ χαριέστατος ἀνθρώπων ὧν ἴσμεν ἁπάντων, ἀνθρώποις ἀηδὴς· καὶ μάλιστα τοῦτο τοῖς γε ποθοῦσι· καί οἱ συνεῖναι ποθοῦσι διαπαντός), καὶ αὐτὸς μὲν οὖν οὐχήκιστ’ ἀηδῶς ἔχων, φεύγων αἰεὶ τῆς εἰρημένης αἰτίας ἕνεκα τοὺς φιλοῦντας· καὶ τὰς αὐτῶν διατριβὰς· καὶ τἀν μέσῳ πράγματα φορᾷ

30,11 αὐτὸ V[1]Tr: αὐτῷ V Tr **22** ἕνεκα corr. Tr: ἐνίκα V

25–26 Hom., Od. 17, 218; CPG II, 559, 8 **30,6** CPG II, 321, 5

πάσῃ, τάχους ὅσον ἀποτρεπόμενος. οὐ γάρ ποτ' οὐκ ἦν μὴ συμπαρόντα πάνυ τοι σφίσιν ἄσχολον εἶναι τῆς περὶ αὐτὸν τιμῆς καὶ σπουδῆς, ἐπιδιδούσης ἐσαεὶ· καὶ πάντας θερμῶς ἐπ' αὐτὸν κινούσης, ὡς οὔποτ' ἀπραγμόνως ἔχειν· κἀντεῦθεν οὐδ' ἀζημίως ὡς τοὺς ἐραστὰς παρῃτεῖτο πείθων τῶν πρὸς Θεὸν μάλιστ' ἐρώτων αὐτῶν· καὶ τῆς ὑπερκειμένης πάντων αὐτῷ προθέσεως. τὸ μὲν γὰρ τὴν εἰς ἑαυτὸν σπουδὴν καὶ τιμὴν ἀποτρέψασθαι καὶ κατασβέσαι, οὐκ ἦν ἄλλως, ἢ φαῦλον γενόμενον· καὶ μεταβαλόντα τῆς ἀμείνονος ἕξεως (τὸ δὲ, παντὸς μᾶλλον ἀδύνατον ἦν, μηδὲν ἧττον, ἢ εἴ τις λέγοι τὸ πῦρ ἀλλάξασθαι τὴν φύσιν καὶ μὴ φωτίζειν· ἢ μᾶλλον ἐρεῖν, καθάπερ ἐπὶ τῆς θείας καὶ μακαρίας φύσεως ἀδυναμίαν φησὶν ὁ τῆς ἀληθείας λόγος πονηρίας καὶ φαύλης ἕξεως), τὸ δὲ μὴ προσίεσθαι, τοὺς δι' αἰδοῦς τὰ κατ' αὐτὸν ἄγοντας καὶ πόθῳ διψῶντας αὐτῷ χρῆσθαι καὶ συνεῖναι· καὶ μάλισθ' ἡνίκα καί τις ἐπείγει χρεία σφᾶς, ὁπότερα εἴτε κατὰ ψυχὴν ὄνασθαι, καὶ ὁπηοῦν βελτιωθῆναι καὶ παθεῖν εὖ, εἴτε κἂν τοῖς ἐνθάδε κατὰ κόσμον πράγμασιν, ἤτοι χρηστοῦ τινος τυχεῖν, ἢ τινὰ συμφορὰν ἰάσασθαι λόγοις, ἤ τισιν ἔργοις καὶ φιλοπονίᾳ κατὰ τοῦ λυποῦντος καὶ τῆς ἀλγηδόνος ἀκεσώδυνα πορίσασθαι τῆς ἑαυτοῦ σοφίας· ἢ ἀρετῆς· ἢ ὅλως ἐπιμελείας ὅπως ἄρα· καὶ μάλιστα δοκοῦν γε ἀμηγέπη πειρωμένῳ τυχεῖν ἐξεῖναι, τὸ δὲ, καὶ
f. 350[v] καθάπαξ ἀλλοτριώτατον | εἶναι, τῶν αὐτοῦ τρόπων· καὶ τῆς τοσαύτης ἑτοιμότητος κατὰ φύσιν εἰς οἶκτον καὶ δυσωπίας, οὐκ οἶδ' ὡς εἴ ποτε καὶ ἄλλῳ τῳ, τῶν ἀπὸ τοῦ παντὸς αἰῶνος, πλέον ἀνδρῶν· καὶ δεινόν γε εἶναι κομιδῇ, τὸ πλεῖστον ἐνταῦθ' ἄσχολον· καὶ τὴν τῶν φιλούντων οἰκτιζόμενον ἐπιπόθησιν· καὶ ἅμα τὴν τῆς χρείας τυχὸν ἐλπίδα, νέμειν ἑαυτὸν τῇδε καθάπαξ· καὶ ἀποτρέπεσθαι τῶν βελτίστων, καὶ τῆς πρώτης ἐνστάσεως τοῦ βίου. καὶ τί λοιπὸν ἄρα· ἢ τὸ σπουδῇ φεύγειν· καὶ τάχει παντὶ τὰς μετὰ τῶν πολλῶν ἐπιμιξίας· καὶ τὸ ῥᾷστον εἰς κοινωνίαν καὶ χρῆσιν· κἂν εἰ μάλιστ' αὐτοῖς ἀνιαρώτατον· καὶ μηδὲν ἧττον τοῦ κατ' αὐτὸν ἀλλοτριώτατον ἤθους· καὶ ἀνιαρώτατον ἢ αὐτοῖς; καὶ τοῦτο μόνον ἀνὴρ τοῖς φίλοις ἦν ἀηδής· καὶ αὐτὸς οὐχήκιστ' ἀηδῶς εἶχεν

32–36 παντὸς μᾶλλον – τὸ om. Tr **44** δοκοῦν γε V: δοκοῦν τε Tr

34–35 cf. Macar. Magn., Apocr. 4 (p. 316, 21–38); cf. etiam Clem. Alex., Paedag. 1, 3, 9, 3 (p. 7, 18–20) **42** cf. Metoch., Carm. 16, 185–186 (p. 281)

ἐνταῦθα. καὶ ἀλγῶν μὲν ὅμως πάνυ τοι καὶ δυσχερῶς φέρων (ἢ τί γὰρ οὐκ ἔμελλεν ἐκεῖνος;), ἀλλ᾽ εἶκεν ἔπειτ᾽ ἀμέλει· καὶ ἀπετρέπετο φίλοις τὸ μέρος χαρίζεσθαι τόδε· κἂν εἴ πάντα ῥᾴδιος ἦν· καὶ μήποτε πρὸς οὐδέν᾽ ἀποκναίων πόνον, ἣν ὁτῳοῦν δέῃ χρήσιμος γίγνεσθαι.

31. Ἀλλ᾽ ἐνταῦθ᾽ οὐκ εἶχεν ἄλλως χρῆσθαι, ἀνάγκῃ μᾶλλον τολμῶν καὶ πάσχων, ἢ πειθόμενος. καὶ ἦν γὰρ τὸ πάντων περὶ αὐτὸν λίχνον· καὶ ἡ ποθὴ· καὶ τὸ πρὸς ἑαυτοὺς ἑκάστων ἀνθέλκον· καὶ τὸ πρὸς ἀλλήλους φιλότιμον καὶ ἡ ἅμιλλα, πρᾶγμα θαυμαστὸν οἷον ἐκτόπως· καὶ οἷον, οὐκ ἂν, μήποτ᾽ ἄλλῳ τῳ κατεῖδέ τις· ἢ μήποτ᾽ ἂν, ἐννοήσειέ τις· ἢ λέγοντος ἄλλου πείθοιτ᾽ ἂν, τῶν ἀγνοούντων τὸν ἄνδρα. ἀπορήσαιμι δ᾽ ἂν, ὡς ἀληθῶς, ὅστις ἀγνοοίη τῶν νῦν ὄντων· οὐδ᾽ οἶμαι γέγονέ τῳ πλέον, ἢ μᾶλλον τοσοῦτο, παρρησί᾽ ἐρεῖν, τῶν ἀπὸ τοῦ παντὸς αἰῶνος, τὴν ἀρετὴν περικλεΐστων ἀνδρῶν, ὅτῳ δὴ. καὶ ἦν κοινὸν ἐπίσης ἅπασι· καὶ ἦν ἱεροῖς ἀνδράσι καὶ μοναχικοῖς· ἡσυχίοις τὲ καὶ μιγάσι· καὶ οὐ μᾶλλον ἀνδράσιν ἢ γυναιξὶ κοσμίαις τοῖς ἐν τέλει καὶ προέχουσι· καὶ ὅσοι λοιποὶ καὶ τὰ δεύτερα φέρονται· καὶ ἦν οὐχήκιστα βασιλεῦσιν αὐτοῖς· κἀνταῦθα μηδὲν μᾶλλον ἀνδράσιν· ἢ βασιλίσιν ἔστιν ἐρεῖν συζύγοις. τοῖς μὲν οὖν καὶ πατρὸς ἀπεδίδοτο πρὸς τὸν ἄνδρα σπουδὴ καὶ τιμὴ· καὶ οὐ πράγμασι μόνον καὶ ἀποδείξει τῶν ἔργων, ἀλλὰ καὶ λόγοις ἀπεδίδοτο· οἱ δὲ, καὶ πρὸς αὐτὸν· καὶ πρὸς ἅπαντας οὕτω χαίροντες ἐκάλουν κἀν ἐπιστολιμαίοις συνθήμασιν, ὡς ἄρα μὴ τιμῶντες μᾶλλον ἢ τιμώμενοι τοῦ προσρήματος αὐτοί. καὶ τόδ᾽ Ἰωσὴφ τοὐπίσημον· καὶ τῶν ὁμωνυμούντων ἴσως ἀποτέμνον ἄλλων, πατὴρ ἦν ὄνομ᾽ ἀνὴρ βασιλεῦσι· καὶ κλῆσις αὕτη. ἀτὰρ δὴ καὶ οὕτω δηλοῦν καὶ οὐκ ἄλλως αὐτὸν, καὶ λέγουσιν ἔδει πᾶσι καὶ ἀκούουσιν· ἀμφοῖν, αὐτῷ τε καὶ βασιλεῦσι· καὶ μηδὲν ἧττον σφίσι, τὸν προσήκοντα καὶ εἰωθότα τρόπον χρωμένοις.

32. Οὕτω δή τοι πολύ τι τὸ κλέος περὶ τὸν ἄνδρα· καὶ ἡ σπουδὴ· καὶ πᾶσιν ἀνθρώποις κοινὸν· καὶ πᾶσιν εὐγενὴς ἐκράτει περὶ αὐτοῦ πρόληψις ἐκ συμφώνου | καὶ κρίσις· καὶ πάσης αὐτὸν f. 351

57 ἢ V: ἦ Tr **60** οὐδέν᾽ V: οὐδὲν Tr **31,10** περικλεΐστων V: περικλειστων Tr **15** ἔστιν ἐρεῖν V[1] in marg.

ἀξιοῦσα τιμῆς· καὶ δοκιμασίας· καὶ ὅση τοῖς κατ' αὐτὸν ἀνωτάτη καὶ πρώτη, καὶ μὴ μόνα οἱ τὰχ βασιλέων ταῦτα καὶ τοιαῦτα περίδοξα καὶ πράγματα· καὶ ὀνόματα, ὥστε καὶ πολλάκι δεῆσαν ἀφοῦ τὰ κατ' αὐτὸν ἔγνωστο καὶ πλεῖστον· καὶ ἀεὶ πλεῖον ἐκράτει τὲ καὶ προυχώρει· τὸν πρῶτον ποιμένα τῇ ἐκκλησίᾳ καταξίαν ἀποδοθῆναι τε· καὶ τοὺς αὐτῆς οἴακας ἐγχειρισθῆναι· καὶ καθόλου τὴν ἐπὶ πᾶσιν ἀρχὴν, ἅπαντες ὥσπερ ἐκ συνθήματος κοινῇ καὶ προρρήσεως τινὸς, εἰς αὐτὸν ἑώρων παραχρῆμα σπουδῇ πάσῃ σύμφρονες, οὐκ ἄλλον· οὐδ' ἔστιν ὅστις οὔ· καὶ μέγα τόδ' ἐτίθεντο καὶ βιωφελέστατον· καὶ τῆς ἀξίας ἐν καιρῷ εἰ ἄρ' ἐξείη· καὶ πᾶσιν, ἐπιεικῶς τόδ' εὐκταῖον τελεσφόρον γεγονὸς· καὶ ὃ πάντων πρίαιντ' ἂν, ἥδιστά τε καὶ ἑτοιμότατα· εἴπερ οἷόν τ' ἦν. καὶ οὐ βασιλεῖς ἐνταῦθα μᾶλλον, ἢ καὶ πάντες ἄνθρωποι· καὶ ὅσοι τῶν ἱερῶν· καὶ τῆς θειοτέρας κληρουχίας καὶ τοῦ βήματος· καὶ ὅσοι τῶν ἐκτὸς, τῆς τε γερουσίας καὶ τῶν ἐν τέλει· καὶ ἁδροὶ τοῦ λαοῦ καὶ προύχοντες· καὶ ὅσοι μὴ τοιοῦτοι· κἂν τῷ ὑπηκόῳ τὴν τοῦ δήμου τάξιν ἔχοντες· καὶ πρὸ τούτων ἔτι μάλιστ' εἰς οὓς, τὸ πᾶν ἐν τοῖς τοιούτοις ἥκει· καὶ τὸ κράτος αὐτοὶ τῶν ψήφων, καὶ τῶν ἀρχαιρεσιῶν φέρονται· καὶ τοῦ φυλοκρινεῖν ἐνταῦθα καὶ προχειρίζεσθαι τοὺς χρησίμους· καὶ πεφυκότας ἐπὶ τῷ τοσούτῳ πράγματι, τὴν ἐπιτιμίαν καὶ τὴν ἰσχὺν εἰσὶν ἀνεζωσμένοι· τῶν δευτέρων ἐκκλησιῶν οἱ προστάται καὶ ἀρχιποίμενες. οἳ μὴ τἄλλ' ἅπαντα, πάντες ἴσως συμφωνοῦντες· μὴ δὲ τὰ πρὸς τὰς τοιαύτας, ὅμως ἔστιν ὅτε δοκιμασίας τὲ καὶ ἀρχαιρεσίας, ἐνταῦθ' ἀφιλονείκως παντάπασι· καὶ πάσης φιλαρχίας· καὶ βασκανίας ἀνώτεροι, κοινῇ χαίροντες καὶ σπουδάζοντες, ὡς ἑνὸς τρανότατα τοῦ ἀγαθοῦ καὶ προσήκοντος ὄντος· καὶ πᾶσιν εἰς προῦπτον τὸ ξυγκεχωρηκὸς ἔχοντος, συνιέντες καὶ συμφρονοῦντες, συνήεσαν εἰς ταυτὸ πάντες, αὐτόθεν τιθέμενοι ἐκλόγιμον αὐτὸν Ἰωσὴφ, ἐπὶ τῆς τοσαύτης ἐργασίας τὲ καὶ ἀξίας πάσαις ψήφοις αἱρούμενοι. τετράκις γὰρ ἤδη τῶν καιρῶν τῆς κατὰ τὸν βίον ἀναδείξεως αὐτῷ καὶ λαμπρότητος, οἱ τῶνδ' οὗτοι συντελεῖς, ἐπὶ πατριάρχῃ καὶ κύριοι τῶν ψήφων κατ' ἀνάγκην συνῆλθον, συνεχῶς ἄλλοτ' ἄλλοις τοῖς χρόνοις τὸν εἰθισμένον τρόπον ἀρχαιρεσιάσαι, κατὰ τὸ παραστὰν τῆς χρείας ἑκάστοτε· τετράκις δὲ καὶ προείλοντο τὸν ἄνδρα· καὶ ἀνεῖπον ταῖς ἐκλογαῖς συνηγοροῦντες· καὶ τῇ τῶν ἔξωθεν κρίσει·

32,7 τὰ V: τὸ Tr **8** τὲ om. Tr **23** τῷ om. Tr **27** ὅτε V[2] e corr.

καὶ τὸν κοινὸν σφίσι πόθον ἀφοσιούμενοι· ἀλλὰ μὴν καὶ τοσάκις ἔπειτ' ἀπέτυχον αὐτοῦ· καὶ οὐχ οἷοι τε ἐγένοντο, τῆς ταπεινόφρονος αὐτοῦ γνώμης περιγενέσθαι· καὶ ὑπὸ χεῖρα θέσθαι· καὶ τῆς περὶ τὸ ἰδιωτεῦσαι διὰ βίου καθάπαξ προθέσεως καὶ τοῦ κράτους. καὶ τὰς μὲν πρώτας ἐκείνας ἐπιλογὰς καὶ ἀναγορεύσεις, ἐνεποίει καὶ ἤπειγεν, ἅμα μὲν, ἡ παντὸς τοῦ εἰκότος πρόνοια καὶ κρίσις καὶ ἅμα, ἡ τοῦ | τυχεῖν ἐλπίς, τοῖς οὐ πώποτε πεπειραμένοις. τὰ f. 351v δεύτερα δ' ἐμοὶ δοκεῖν ἦν· καὶ μετὰ τὴν πολλὴν ἐκείνην ἔνστασιν καὶ ἀπαγόρευσιν τοῦ ἀνδρὸς, ἴσως μὲν καὶ αὖθις διὰ τὴν ἐλπίδα (φιλεῖ γὰρ ἀεὶ τὸ σφόδρα ἐπέραστον καὶ πολλάκις ἀτυχοῦσι, καὶ αὖ ἐπέραστον εἶναι, καὶ οὐ παντάπασιν ἀπειπεῖν καὶ τὰς ἐλπίδας ἀπολιπεῖν, ξυγχωροῦν· καὶ ὡς ἂν, αὖθις παντὸς τοῦ προσήκοντος, ἐπιμελεῖς εἶναι δοκεῖν· καὶ μήποτε τῶν κατὰ λόγον καὶ δικαίων, ἐπὶ τῷ πεφυκότι τοῦ πράγματος, ἀμαθεῖς ἢ ἀγνώμονες κρίνεσθαι), μάλιστα δὲ σφίσι καιρὸν εἶχε τηνικαῦτα ταῖς ἐκλογαῖς ἀριθμούμενος Ἰωσὴφ, ὥστε μὴ μᾶλλον αὐτὸν τιμᾶσθαι ταῖς ψήφοις ταύταις καὶ κρίσεσι (χρῆναι γὰρ δὴ καὶ τοῦτο, καὶ εἴκοντά τε καὶ μὴ), ἢ τοὺς συναριθμουμένους ἄλλους κατὰ τὸ ἔθος τῶν ἐκλογῶν, ἐντεῦθεν τιμᾶσθαι τῇ συντάξει μετ' ἀνδρὸς τοσούτου καὶ κοινωνίᾳ τῆς δοκιμασίας καὶ κρίσεως· καὶ ἅμα καὶ τόδ' ὄγκον τινὰ καὶ σεμνότητα φέρειν, οὐκ αὐτοῖς μόνον· ἀλλὰ καὶ τῷ ὕψει· καὶ τῇ ἀξίᾳ τῆς προστασίας.

33. Καὶ τοῦτο μὲν ἴσως οὕτω. οὐ μὴν ἀλλὰ τὸ μέγιστον ὄντως εἰς σεμνότητα· καὶ τιμὴν· καὶ χάριν τῷ προκεχειρισμένῳ λοιπὸν ἔπειτα, τοὺς τῆς ἐκκλησίας οἴακας παραχρῆμα, καὶ ἀεὶ μὲν οὖν μεθύστερον, Ἰωσὴφ αὐτὸς ὑπείκων καὶ ταπεινούμενος· καὶ ὡσπερεὶ δουλούμενος, ὅσα καὶ τῶν ὑπὸ χεῖρα τις, εὐτελεστάτων τὲ καὶ ἀμαθεστάτων. τί δ' ἄρα τόδ' ἐκείνῳ μέγα; ὅς γε καὶ πρὸς ἅπασαν ὁμοῦ καθάπαξ τὴν ἱερωσύνην, οὕτως εἶχε· καὶ οὕτω μέγιστον ᾤετο τὸ χρῆμα· καὶ πάσης λαμπρότητος· καὶ ὑπεροχῆς· καὶ αἰδοῦς, ἠξίου, ὥστε καὶ ὑπέστελλε καθάπαξ ἑαυτὸν ἐκ τούτου· καὶ ἀπεχώρει τῷ μὴ πρὸς αὐτὸ μηδὲν ἱκανὸν· μὴ δὲ πεφυκὸς καὶ προσῆκον περὶ ἑαυτοῦ καὶ ὁπηοῦν φρονεῖν ὁ πολλῷ τῷ περιόντι παρὰ πάντων καὶ πάσης γνώμης καὶ κρίσεως ἀξιούμενος. ἀλλ'

53 ἀγνώμονες V[2]Tr: ἀγνώμονας V **56** ψήφοις corr. Tr: ψήφαις V **33,10** τῷ V[2]: τὸ VTr

ἔστεργε τὸ ταπεινὸν, ἀκίνητον ἑαυτῷ· καὶ τὴν ἥττω τάξιν· καὶ κάτω μένουσαν· ἀλλ’ οὐκ ἤμειψεν ὅλως τῆς ἐξαρχῆς τοῦ βίου προθέσεως· οὐδὲ τῆς περὶ τὴν εὐτέλειαν πρώτης ἐνστάσεώς τε καὶ χρήσεως· ἄτρεπτον τηρῶν τὸ χθαμαλὸν ἑαυτῷ καὶ ἀπέριττον· καὶ πάσης ἀποίητον ἔξωθεν σεμνότητος, δῆθεν ἐπιθέτου· καὶ σκηνῆς· καὶ ὄγκου· καὶ κόσμου.

34. Ταῦτ’ ἄρα καὶ ἧπερ ἔφην ὅλῃ φορᾷ, φεύγειν ᾤετο χρῆναι τοὺς πολλούς· καὶ τὴν μεγαλόπολιν ταύτην· καὶ βασιλεῖς· καὶ βασίλεια· καὶ πατρότητας· καὶ προεδρίας τὲ καὶ προκλήσεις· καὶ ξυνουσίας τῶν ἐν ὑπεροχαῖς καὶ τιμὰς· καὶ πᾶσαν τὴν ἀντισπῶσαν καὶ ἀνθέλκουσαν ἔφεδρον ἐπίθεσιν· καὶ ἀσχολίας πάσης ὑπόθεσιν, ὁ παρὰ τοσούτοις χρόνοις ἐγγυμνασάμενος, τοῖς τοιούτοις λόγοις καὶ λογισμοῖς· καὶ τοῖς ἐνταῦθα καμάτοις ἐγγηράσας ἀκάμας· καὶ ἀήττητος παντάπασι τοῦ περὶ ταῦτα κόρου. καὶ τοῦτ’ ἐκεῖνος μόνον ἦν ἀηδὴς τοῖς ποθοῦσι (καὶ πρὶν εἴρηται), ὁ πάνθ’ ἥδιστος σφίσι· καὶ πάντων συνεῖναι φίλτατος καὶ προσορᾶν, οἷς ἐν πείρᾳ
f. 352 γένοιτ’ ἄν. καὶ τοίνυν τὴν ἐν τῷ | προέχοντι τῆς πόλεως Θεσσαλονίκης ἐπὶ κορυφῆς ὄρει· καὶ ἡσυχίας· καὶ ἀποχωρήσεως καὶ ἐρημίας τῶν πολλῶν, μονὴν εὖ ἔχουσαν· καὶ πάσης εὐγενοῦς ἀγωγῆς, καὶ τοῦ κατ’ αὐτὸν σκοποῦ, στέρξας ἐκ μακροῦ καὶ χρόνον οἰκήσας οὐκ ὀλίγον, τελευτῶν ἔπειτα, καὶ ταύτης ἀπόπροθι κατά τινα πάντων ἀπόλυτον, καὶ ἀπόστροφον ἐρημίαν, καταλύειν ἀνθαιρεῖται. καὶ ἦν τόδέ οἱ πόλλ’ ἔτη, ποθεινὸν μάλιστα καὶ φίλον ἐξ οὗ· καὶ εἲς πόλλ’ ἔτη καὶ αὐτῷ συνοικῶν, σπουδαῖος ἀνὴρ· καὶ τῶν αὐτῶν καὶ παραπλησίων, εὖ ἔχων κομιδῇ· καὶ ἄτρεπτος ἐχόμενος· καὶ ὁμόφρων τὰ θεῖα· καὶ τοὺς περὶ ἀρετὴν πόνους (καὶ τί γε ἄλλο, ἢ πάντως ἄξιος αὐτοῦ· καὶ πάντων ἄξιος αὐτῷ;), καὶ ἡδὺς ὁρώμενος καὶ ὁρῶν· καὶ συνὼν· καὶ στέργων ἐκτόπως· καὶ στεργόμενος· καὶ οὐ μᾶλλον αὐτὸς ἐν νόσοις· καὶ οἷς δέοι ἂν, ἄλλοις, κατ’ ἀνθρώπους ἔτι βιοῦντι, προσέχων αὐτῷ καὶ ὑπηρετούμενος, ἢ τῶν ἴσων καὶ αὐτὸς τυγχάνων, δεῆσαν, τοῦ ἀνδρός· καὶ θεραπείας ἁπάσης. καὶ πάντα ἦν σφίσι κοινά· καὶ ἀρκοῦντ’ ἀμφοῖν τὰ τῆς χρείας, τῆς φίλης ἐκείνης μονῆς, εἰς τὸ

34,15 καὶ V[1] s.l.

33,14–16 cf. supra, Or. 10, 20, 1–4 **34,26–27** Act. 4, 32

καθάπαξ ἀπέριττον· καὶ ἀπερίεργον, ἐστενωμένα κομιδῇ· καὶ οὔ ποθεν ἄλλοθεν πολλῶν ἀμέλει χορηγεῖν διψώντων· καὶ τὴν ἐπίδοσιν χάριν αἰτούντων· καὶ ὡς φίλον καὶ κατ’ ἔθος εἰς τὸ πάμπαν ὀλιγαρκέστατον ἀπονέμουσαν, ἅττα πᾶσα ἀνάγκη· καὶ ἃ μηδενί ποτε τῶν ἁπάντων ἑνὶ δίκαια τὸ γιγνόμενον ἔκπλεω τῇ φύσει· καὶ ἀπέχρησεν ἄν· ἐσθήματα καὶ περιβολαὶ τῆς ἀνθρωπίνης ἀσθενείας· καὶ τὸ τῆς τρυφῆς ἀναγκαστόν, ἐς ὅσον οἷόν τ’ ἐστὶν ἐκ προχείρου καὶ ῥᾷστα· καὶ βραχὺ χρήσασθαι· καὶ πάσης φιλοπονίας καὶ πολυπραγμοσύνης ἐλεύθερον. οὔκουν γε ἦν διελέσθαι τοῖν ἀνδροῖν, οὐδ’ ὁτιοῦν ὁτῳοῦν ἐν μέρει πλέον ἢ βέλτιον· οὐδ’ ὡς προσῆκον μᾶλλον προέχοντι καὶ φερομένῳ τὰ πρῶτα· οὐ τῶν τριχίνων ἐκείνων ῥακίων ὀλίγων· οὐ τῆς μάζης· οὐ τῶν τροφίμων ἄλλων· οὐκ οἶδ’ ὥντινων· πλὴν ὅτι γε τὸ πλεῖον καὶ σχεδὸν τὸ πᾶν, ἐν λαχάνοις ἦν καὶ ὀσπρίοις· οὐ τοῦ ἡδίστου μὲν ὕδατος εἰς πόσιν καθάπαξ χρῆσθαι· καὶ οὐκ οἶδ’ ὅ ποτ’ ἴσως ⟨οὔ⟩· πρός γ’ ἔτι, καὶ τοῦ οἴνου· οὐδ’ ὅσων οἶμαι τῶν ἡμερῶν. οὕτω μὲν δὴ πλέον οὐδὲν ἦν· ἀνδρὶ τοσούτῳ· καὶ ταῦτα τοῖς προτέροις χρόνοις ἁδρότερον ἢ κατ’ ἐκεῖνον εἰθισμένῳ· καὶ πάντως δυσχερέστερον τῇ ἀλλοτριότητι καὶ τοῖς ἐναντίοις χρωμένῳ καὶ ξυμβαίνοντι. οὕτω δ’ ἦσαν τὰ πάντα χρόνον ἐπιπλεῖστον ἀμφοῖν κοινά, τὰ τῆς ἐν εὐτελείᾳ φιλοσοφίας· καὶ τῆς ἄλλης συμβιώσεως, εἰ καὶ πλέον εἶχε πάντως εὔδηλον τοῦ κατὰ τὴν ἰσότητα ταύτην καὶ κοινωνίαν θαύματος, ὅτῳ δὴ προσῆκε πλέον φέρεσθαι. οὕτω δέ τοι καὶ συμπεράναντες τὴν καλλίστην καὶ πολυτελῆ συνοίκησιν ταύτην, τελευτῶντες ἔπειτα, καὶ κοινῷ τέλει καὶ μεταστάσει, ταύτην ἐσφραγίσαντο καὶ συνέκλεισαν· καὶ τὴν ἐνταῦθα παροικίαν ἴσως καὶ μακρυνομένην τῷ πόθῳ καλῶς συμβιώσαντες καὶ διοικησάμενοι· καὶ ἀεὶ μετασκευαζόμενοι διαδράντες, τῆς | ἄνω πατρίδος f. 352v γεγόνασι· πρὸς ἣν ἐκ παρασκευῆς, καὶ τῇδ’ ἔτι πω τρίβοντες ἐπολιτεύοντο· καὶ τοῦ βίου τὸ δρᾶμα τόδε καὶ τὴν σκηνὴν εἰς τέλος ἠνυκότες κάλλιστα τὸ καθ’ αὑτὸν ἑκάτερος καὶ ἠγωνισμένοι, λοιπὸν ἔπειτα κοινῇ πρὸς ἀληθινὴν βιοτὴν μετέθεντο· καὶ τὰ

34 τρυφῆς VTr: an τροφῆς scribendum? **40** πλὴν V^{1}Tr: πλεῖν V | γε V: τε Tr **42** οὔ addidimus | γ’ VTr: an δ’?

57 cf. Metoch., Carm. 17, 190 (p. 292) | cf. Max. Tyr., Or. 1, 305 (p. 13)

παρατρέχοντα καὶ ῥέοντα παρατρέχοντες ἑκάστῃ σπουδῇ καὶ παραδραμόντες ἤδη, τῶν ἑστώτων ἐλάβοντο· καὶ μενόντων· καὶ ὄντων ἀεί· καὶ τῆς ἀλήκτου τε καὶ ἀκινήτου· καὶ ἀτρέπτου μακαριότητος· ἧς ἤρων ἀεί· καὶ πρὸς ἣν ἑώρων ἀεί.

35. Καὶ νῦν ὁ καλὸς οἰκονόμος Ἰωσὴφ καὶ πάντα σοφὸς προπέμψας τὸν αὐτῷ σύνοικον καὶ φίλον ὁπαδὸν ταῖς ἑτοιμασθείσαις ἐκεῖσε μοναῖς, ταχὺς ἔπειτ᾽ αὐτὸς αὐτῷ κατόπισθεν συνέξεισι· καὶ συναπαίρει· ὡς ἄν, ἀχώριστος αὐτοῦ καθάπαξ, ἐν οἷς ἄν, εἴη τε καὶ γίγνοιτο, καὶ ὁ διάκονος αὐτοῦ τρυφῶν, εἴη τε καὶ συγγίνοιτο· καὶ μὴ λείποιτο μόνος ἐπ᾽ ἐρημίας ἐνθάδε, δίχα κάμνων αὐτοῦ· καὶ τρίβων ἔτι πω τῷ μοχθηρῷ τῷδε βίῳ. τὸ δὲ, καὶ δι᾽ εὐχῆς ἀμφοῖν ἀείποτ᾽ ἦν· καὶ συμβιῶσαι παντάπασιν ἄτμητοι μένοντες· ἐφ᾽ ὅσον ἐνθάδε Θεῷ δοκοίη· καὶ συναπελθεῖν ἐκείνῃ μὴ χωρὶς αὐτοί, ὁπότε δοκοίη Θεῷ· καὶ Θεὸς εἰς τέλος ἄγων φιλανθρώπως δικαίαν αἴτησιν, ἀποπληροῖ τὴν αἴτησιν σφίσι καὶ τὸν πόθον.

36. Καὶ σὺ μὲν ὦ κάλλιστε νῦν ἀνδρῶν, ὡς ἤρας, αὐτὸς ἔχεις· καὶ ὧν εἶχε σε πόθος, διαφερόντως ἔτυχες· καὶ λιπὼν τὰ παρόντα· καὶ τὴν τῇδε σύγχυσιν, καὶ τὴν τοῦ κλαυθμῶνος ταύτην κοιλάδα· καὶ ὅσα κατ᾽ ἀνθρώπους ἀεὶ πολύπλανα καὶ ἐπίνοσα, τὸν ἀεὶ χρόνον, ἄνω καὶ κάτω φέροντα καὶ φερόμενα καὶ οὐδὲν ὑγιές, μένεις ἐπ᾽ ἀσφαλοῦς ἤδη· μάλιστα μὲν κἀνταῦθα τἀληθὲς ἐρεῖν, ἐπ᾽ ἀσφαλοῦς ὡσαύτως ἔχων· καὶ μηδὲν αὐτὸς κλονούμενος τοῖς ξυμπίπτουσι καὶ στροβούμενος ὅπως ἄρ᾽ ἔχει· νυνί δ᾽ ὅμως ἱδρυμένος ἔτι πω βέβαιος τῇ ξυντυχίᾳ τῶν βελτίστων· καὶ ὧν ἐλπίς τε καὶ πόθος τὸν ἀκύμονά σοι κἀνθάδε φρονήματι γεννικῷ παρείχετο βίον· καὶ παντὸς τοῦ θορυβοῦντος καὶ καταστρέφοντος, τοὺς ἀνιδρύτους καὶ μικρογνώμονας, ἀνέπαφον καὶ ἀζήμιον. καὶ σὺ μὲν οὕτω· ἀλλ᾽ ἡμῖν ἡ σὴ μετάστασις, ἀδόκητος ἡ ζημία· καὶ ἀφόρητος οἵα, τοῖς ἐν πείρᾳ σου γενομένοις· καὶ φιλουμένοις τὲ

35,2 ὁπαδὸν V, servavimus: ὀπαδὸν Tr **5** γίγνοιτο V: γίνοιτο Tr **9–10** καὶ συναπελθεῖν – δοκοίη Θεῷ: in marg. V (manu Metochitae?), om. Tr **36,8** στροβούμενος V: στροβλούμενος Tr

60–61 cf. Greg. Naz., Or. 19, 1, PG 35, 1045A **36,3** Ps. 83, 6 **5** cf. Plat., Crat. 440c

καὶ φιλοῦσι· καὶ νῦν μετὰ τὴν πεῖραν ἀφῃρημένοις. τίς γὰρ ἡμῖν ἀντὶ σοῦ· τίς δὲ νῦν κατὰ σὲ· ἢ ὅλως ἔγγιστα; τίς τὸ ἦθος· τὸν νοῦν· τὴν γλῶτταν· τίς ὁμοῦ τάδε πάντα· τίς ἅττα δή· τίς μὲν οὖν ἄρ' ὁτιοῦν; ὢ τῆς κατὰ τὴν γλῶτταν σοι πηγαίας τῶν ῥευμάτων. ὢ μάλιστα τῆς κατὰ τὸν νοῦν πολυρρόων μέν· ἡδίστων δέ. ὢ τοῦ γονίμου τοσούτου· καὶ πάντα δὲ καιρίου. ὢ τῆς αὐτόθεν κατὰ τοῦ προσώπου χάριτος ὡς εὐθὺς ἰδεῖν, ἐπιπρεπούσης τῇ ἀρετῇ· καὶ τοῦ ἱλαροῦ· καὶ γαληνοῦ· καὶ ἡδέος, συγκεκραμένου τῷ σεμνῷ καὶ αἰδοίῳ· ὡς ἄρ' αὐτίκα παντὶ τῷ ξυγγινομένῳ, τί μὲν τὸ σωφρονικὸν ἐμποιεῖν καὶ κόσμιον· καὶ πρὸς νοῦν | ἐπιστρεπτικόν, μετὰ f. 353 θάμβους εἴσω· τί δὲ τὸ γλυκάζον· καὶ ἡδονὴν οἵαν ἄρρητον· καὶ ὅλως εἶναι κατάστημα ξυμμιγὲς κατὰ καιρὸν ἔχον· τὸ μὲν ἀξιωματικόν, οὐ τραχὺ καὶ ἀγριωπόν· τὸ δὲ τερπνὸν καὶ προσηνὲς οὐκ εὐκαταφρόνητον. ὧν ἡ σύνοδος, οὐ τῶν ῥᾴστων· οὐδ' ἐκ προχείρου λαβεῖν· ἀλλὰ τῶν σπανιωτάτων ἐν βίῳ· καὶ δυσανύστων· καὶ δυσχερῶν, εἰ δή τι καὶ τῶν ἁπάντων ἄλλο· καὶ δυσποριστων ξυλλαχεῖν· ἐπὶ σοὶ δὲ συνῆλθε εὖ μάλα· καὶ ἐπιεικῶς ἥρμοστο. καὶ νῦν ἡμῖν οἴχεται· καὶ τὴν ἐρημίαν οὐκ ἔστιν ἐνεγκεῖν· οὐδ' ἑτέρωθεν ἰάσασθαι.

37. Ὢ τῆς ἀκινήτου καὶ ἀμεταβλήτου βαρείας ἐπιφορᾶς· ὢ τῆς ἀνιάτου ζημίας. ὢ τίνας ἄν τις ἐπὶ τούτοις οἰκτίσαιτο μάλιστα, τοὺς ἐπαΐοντας τοῦ δεινοῦ· καὶ τῆς πικρᾶς τύχης ὡς μήποτ' ὄφελον τοσούτου πράγματος τυχόντες ἔπειτα στέρεσθαι, ἢ τοὺς μὴ ξυνιέντας, ὧν ἀφῄρηνται· καὶ παρὰ τοῦτ' ἀλυπότερον ὄντας θρεμμάτων δίκην, ὡς μήποτ' ὄφελον μὴ δ' οὗτοι βιοῦν, ἀσυνέτως οὕτω τῶν καλῶν· καὶ τυχόντες τὲ καὶ στερόμενοι; θαυμάσαιμι δ' ἂν ἔγωγε, τίς οὕτω δυστυχὴς ἄνθρωπος καὶ βοσκηματώδης τὴν ζωὴν ἀνύτει· μᾶλλον δὲ προτέθνηκεν ὄντως ἔτι πω ζῶν. σοῦ γὰρ ἡ τελευτή, τοῖς μέν, ἴσως μᾶλλον, τοῖς δ' ἧττον οἶμαι· ξυναίσθησιν δ' ὅμως ἀλγεινὴν ἐμποιεῖ πᾶσιν, ὡς ἄρα καὶ πᾶσιν ἧς κοινὸν ἀγαθὸν καὶ ὄνησις, ἡδίστη μᾶλλον τε καὶ ἧττον· ὡς ἄν, ἀμέλει τὸ γιγνόμενον ἦν ἑκάστοις τῶν βελτίστων ἀποφέρε-

17 ἅττα V: ἄττα Tr **25** οἵαν V[2]Tr: οἷον V **37,10** τοῖς δ' Tr: τίς δ' V

25 cf. supra, Or. 10, 53, 14–15 **37,6–7** cf. Or. 10, 7, 1–2 **9–10** cf. Phil. Iud., De fug. 55 (p. 107, 27); cf. etiam Or. 10, 7, 30

σθαι· καὶ πᾶσιν ἱκανὸς ἐπαρκεῖν πρὸς λόγον ὡς δύναιντ’ ἄν, ὄνασθαι, τῶν σῶν πρυτανείων τῆς ἀρετῆς καὶ σοφίας. ὢ πῶς νῦν τόδ’ ἐπελθὸν εἰς μνήμην ἐμὴν τοῦ πράγματος ἀξίως ἔπειτ’ ἐρῶ καὶ θαυμάσαιμι, πῶς ἕκαστος εἶχε παρὰ σοῦ τοὐπιβάλλον· καὶ πᾶσιν ἤρκεις τὸ μέρος ἑτεροίως ἔχουσι· καὶ πᾶσιν ἦς ἡδὺς καὶ ἐπέραστος· καὶ οἰκεῖον ἀγαθόν· οὐκ ἐν τοῖς αὐτοῖς οὖσιν· οὐδ’ ἐν ἴσοις καὶ φύσεως καὶ γνώμης καὶ τοῦ τῶν καλλίστων ἔρωτος· καὶ τοῖς διαφορωτάτοις αὐτοῖς καὶ μαχιμωτάτοις, ἐνίοτε συμπλεκόμενος ἐπὶ βελτιώσει μὲν οὖν ἀμηγέπη καὶ προκοπῇ, παντάπασιν ἀπρόσκοπος συμπαραβαλλόμενος· καὶ χρήσιμος· καὶ ὡς ἄν, αὐτοῖς μόνοις ἑκάστοις, διδοὺς ἑαυτὸν πρᾶγμα σχεδὸν ἄπιστον καὶ ὑπερφυές· καὶ ἀνυπονόητον, τέως ξυνιδεῖν· πλὴν ἢ ὅστις ἐπὶ σοῦ κατεῖδε καὶ πεπείραται. καὶ νῦν (ὤ μοι), πᾶσιν οἴχῃ λιπὼν ἀθρόους ἐν ἀλγεινοῖς ὁ πᾶσι χρηστὸς· καὶ πάντα πρόθυμος εὖ ποιεῖν καὶ φιλάνθρωπος. καὶ οὔθ’ οἱ πράττοντες εὖ καὶ ξυνόντες εὐετηρίᾳ τὸν σπουδαῖον ἐπόπτην ἔχουσιν, εἰς φιλοσοφίας ὑπόμνησιν καὶ χρήσεως, ἀνεμέσητον σφίσι καὶ τῇ τύχῃ· ἢ καὶ ἴσως τῷ καθ’ αὑτοὺς δοκίμῳ τινὶ καὶ τῶν ἄλλων προὔχοντι, οὔθ’ οἱ κακῶς χρώμενοι καὶ νοσοῦντες· ὁποτέραν ἄν τις φαίη, νόσον ψυχῆς ἢ σώματος ἢ τῷ βαπτίζεσθαι καθάπαξ τῷ τῶν ξυμπιπτόντων ἐργώ-f. 353v δει· καὶ τῇ τῆς | ἀνίας ἀμετρίᾳ· ἢ τῷ δυσχεραίνειν καὶ ἰλιγγιᾶν, τῇ τῆς ἀνωτάτω προνοίας ἐπικρίσει (ὡς ὄφελον μή τις οὕτω δυστυχὴς εἴη), οὔτε μὲν οὗτοι πάντες οἱ κακῶς οὕτω φερόμενοι καὶ χαλεπῶς ξυνόντες, τὸν ἑτοιμότατόν τε καὶ ἱκανώτατον· καὶ πάντ’ ἐν καιρῷ πάσης χρείας ἐπίκουρον, κατ’ ἔθος καὶ λόγοις πᾶσι καὶ πράγμασι ἔχουσι· τὰ μέν, παρὰ τοσοῦτο συναλγοῦντα, παρ’ ὅσον οὐ μήποτ’ ἄν, λυμήνασθαι καὶ ὁπῃοῦν τῇ φιλοσοφίᾳ· τὰ δὲ, καὶ τῆς καρτερίας ὑποδεικνῦντα τὰ κέρδη θαυμαστῶς ὅπως· καὶ ὡς ἄν, αἰδεσθείη τις αὐτόθεν αὐτίκα καὶ ἀγάσαιτο· καὶ συμπείθοντα μάλα τοι γεννικῶς βέλτιον ξυγκυρῆσαι νῦν εἶναι τῷ πάσχοντι τὴν ἐργώδη τύχην καὶ πολλῷ λυσιτελέστερον ἢ πρὶν τὰ τῆς εὐπραγίας πρὶν ἢ τάδ’ ἀμεῖψαι καὶ τὴν ἐναντίαν πεῖραν μεταλαβεῖν. καὶ

26 λιπὼν V[2] e corr. **27** πάντα VTr: an πάντας? **30** τῷ V[1]: τὸ V **34** τὸ V[1]: τῷ VTr

15 cf. Plat., Protag. 337d **34–35** cf. Metoch., Carm. 16, 120 (p. 279) et Carm. 15, 105–129 (p. 264)

τούτων ἐγώ σοι καὶ αὐτὸς εἰ δή τις ἄλλος, ἐπ' ἀμφότερα κομιδῇ πεῖραν ἔσχηκα τῆς τε σῆς πάντων ὑπερτέρας ἀρετῆς καὶ τῶν λόγων.

38. Νυνί δ' (ὤ μοι), τῷ τοσούτῳ κλύδωνι καὶ δυσχερείᾳ τῶν κατ' ἐμὲ πραγμάτων ἔρημος ἀπολειφθεὶς τῆς σῆς ἐπικουρίας καὶ παρακλήσεως, οὐκ ἔχω τίς γένωμαι· οὐδ' ὅ,τι χρήσομαι ἐμαυτῷ τε καὶ τοῖς περὶ ἐμὲ χαλεποῖς· καὶ τῇ προσθήκῃ τῆς σῆς ζημίας. ἐμοὶ καὶ τὸ μεμνῆσθαι σου μόνον ζῶντος· καὶ κατὰ τὸν βίον ἔτι πω περιόντος, κἂν εἰ μὴ παρὼν ἑωρῶ καὶ παρακαθήμενος ἐπτέρους, ἄνω φέρειν ἐξαίρων καὶ κουφίζων τῶν δυσχερῶν, καὶ ἡ τοῦ τάχ' ἄν ποτε καὶ κατίδοιμί σε τὸ πάντων ἐμοὶ τίμιόν τε καὶ ποθεινότατον ὅραμα κατὰ νοῦν ἐλπὶς καὶ ὀφθείην αὐτὸς ποθοῦντι καὶ αὐτῷ· καὶ πᾶν ὅ,τι χρηστὸν βουλομένῳ μοι, μέγιστον ἦν αὐτόθεν κατὰ τῶν ἀνιώντων φάρμακον ξυμπτωμάτων· καὶ τῶν ἐπ' ἐμὲ νῦν ἀκμαζόντων δεινῶν. καὶ δὴ συνεχῶς προχειριζόμενος τῶν ἔσωθεν φανταστικῶν πινάκων ὑπ' ὄψιν ὥσπερ τὰ σά, προσηνὲς ἦθος ἐκεῖνο καὶ πάνσεμνον· γλῶτταν ἐκείνην· λόγους ἐκείνους ἐκ τῶν ἄνωθεν θεοφορήτων πηγῶν· ὁμαλῶς τε καὶ πολὺ μάλιστ' εὔδρομα ῥέοντας καὶ πιαίνοντας ἐκτηκομένας ψυχὰς, ἀλγεινῶν καύσωνι, ὧν ἔτι καὶ νῦν ἔνηχος ἐγὼ καὶ τοῦ προσέχειν εὖ μάλα σφίσι καὶ πάσης εὐπειθείας ὑπόχρεως, αὐτίκα σωφρονικός τις καὶ ἥδιστ' ἀνύτων ἐγιγνόμην ἐν ἐμαυτοῦ· καὶ κρατερὸς πάντα πράγματα· μάλιστ' ἐμαυτὸν αἰσχυνόμενος, ἣν μὴ κάλλιστ' ἐοικὼς ἀπαντῶν φαινοίμην, ἐμαυτῷ καὶ τοῖς σοῖς λόγοις· καὶ ταῖς σαῖς ἐλπίσι τὲ καὶ προλήψεσι.

39. Νυνί δ' ἐλέγχει τὸ πρᾶγμα, τὸ ξυμβὰν ἀδόκητον, ὡς ἀβούλητόν μοι τῆς σῆς τελευτῆς· καὶ δέδοικα κομιδῇ περὶ ἐμαυτῷ, μήπου τι καὶ ἀλλοῖον γενοίμην τὲ καὶ ὀφθείην· καί μοι πρὸς τὸ ἀφιλόσοφον ἡ ψυχὴ τουλοιποῦ καὶ ἀγεννέστερον τελευτῶσα χωρήσοι· σοῦ βιοῦντι χωρὶς ὅ,τι ποτ' ἄρ' ἄν· καὶ ἀπειπαμένῳ τὴν σὴν ἐντυχίαν ἔμψυχον· καὶ ἡγεμονίαν ἐν τοῖς βελτίστοις. ὢ τί πάθω·

38,3 τίς V²Tr: τί V **7–8** ἡ τοῦ V: ἡγοῦ Tr **39,4–5** χωρήσοι scripsimus: χωρήσει VTr **5** ἂν V² e corr.

38,3 cf. Greg. Naz., Or. 24, 7, 6–7 (p. 52) **39,3** cf. Hom. Od. 16, 181

f. 354 πῶς δ' οὐκ ἂν, ἀγεννὴς | αὐτὸ τοῦτο τέως ὁρῴμην, ἐπὶ τῇ σῇ τελευτῇ καὶ ζημίᾳ· κἄπειθ' ἑξῆς τοῖς περὶ ἐμὲ πράγμασιν ἄλλοις; ἀλλ' ἦν ἄρα καὶ νῦν ἔτι παρείης αὐτὸς, ἀφανὴς μὲν ἡμῖν· παρείης δ' ὅμως (δύνῃ γάρ), καὶ μάλιστ' ἢ πρότερον ἀκμαιότερος καὶ πλεῖστον ἰσχύων, λυθεὶς τῶν τῇδε δεσμῶν· καὶ τῷ ποθουμένῳ δεσπότῃ γενόμενος ἔγγιον, καὶ πλείονος πάντως ἐποπτείας καὶ παρρησίας τυχὼν, ὥστε καὶ δυσωπῶν πείθειν ῥᾷον ἢ πρότερον καὶ βοηθεῖν αἱρούμενος, βοηθεῖν εὖ μάλ' ἑτοιμότερον, ἴσως ἂν, ἡμῖν καὶ βέλτιον ἕξει τὰ παρὰ σοῦ. καὶ ἀηδὴς μὲν αὖ καὶ πάντων ἀλγεινότατον ἡ σὴ καὶ οὕτω μετάστασις ἐξ ἡμῶν· καὶ τὸ τελευτῆσαι σε τὰ παρόντα καὶ τὴν μεθ' ἡμῶν ζωήν (ἢ πῶς γὰρ οὔ;), μέχρι περ ζῶμεν· οὐ μὴν ἀλλ' ὅμως ὀνησιμώτερον ἂν, ἡμῖν ἐντεῦθεν εἴη· καὶ τοῖς ποθοῦσι· καὶ ποθουμένοις ἐκ μακροῦ πρότερον, ἀνυσιμώτερον ἐπικουρεῖν ἔχοις ἂν, καὶ κατὰ βούλησιν· καὶ ὡς ἂν, ἄμεινον ἐφ' οἷς δέοι χρῆσθαι. οὕτω τοι καὶ μὴ τῇδε μόνον, ἀλλὰ καὶ μεταστᾶσιν ἴσως ἐντεῦθεν ἡμῖν, προεντυγχάνων αὐτὸς, καὶ μέγα τιμώμενος, ἱλεώσῃ Θεόν· καί σου τὰ κάλλιστα καὶ μέγιστα πάντων ὀναίμεθα· σοῦ τε καὶ τῶν ἡμετέρων ἐλπίδων ἀξίως τῶν ἐπὶ σοί.

15 τὰ V[1] s.l. **22** μεταστᾶσιν scripsimus: μεταστάσιν V, μετάστασιν Tr

7 cf. Ibid. 5, 465 **21–23** cf. Greg. Naz., Or. 43, 82, 11 (p. 304)

18

Ἐπιστασία καὶ κρίσις τῆς τῶν δύο ῥητόρων εὐδοκιμήσεως· τοῦ τε Δημοσθένους καὶ Ἀριστείδου f. 356

1. Ἔτυχον μὲν σχολῆς ἐμοὶ παρούσης πλείονος ἢ θέλω κατ' Αἰσχύλον ἐρεῖν, ἐν χερσὶν ἔχων βιβλί' ἄττα τῶν Δημοσθένους· καὶ προσέχων ὡς εἰκός, πάνυ τοι τὸν νοῦν σφίσι, ταῦτ' ἐπιὼν· τοῦ δ' αὐτοῦ καιροῦ κατὰ ταὐτὸ ἅμα καὶ ἄττα τῶν Ἀριστείδου. ξυμβὰν δ' οὕτω τῶν ἐπιτηδείων τινές, μεμαθηκότες ἐμὲ περὶ ταῦτ' ἔχοντα γλώττης εὐκολίᾳ οἷα δὴ φιλεῖ γίγνεσθαι πολλάκις, πυνθάνονταί μου, ὅ,τι ποτ' ἄρα δοκοίην ἀμφὶ τὼ ῥήτορε τώδε· καὶ ποτέρῳ δὴ τούτοιν ὁτιοῦν ἀξιῶ, νέμειν πλέον. ἐγὼ δ' «εὐφημεῖτ'» ἔφην αὐτόθεν· «καὶ μὴ πειρᾶσθε καθάπαξ ἀνευλαβῶς οὕτω· καὶ γνώμης· καὶ γλώττης· οὐδὲν δέον ἀπρόοπτ' ἀφειδοῦντες. ἀμφοτέρω μὲν γὰρ τώδε τὼ ἄνδρε, περὶ τὸ λέγειν ἄκρω τῶν ἀπὸ τοῦ παντὸς αἰῶνος Ἑλλήνων (τό γε δὴ καὶ ἴδμεν ἅπαντες), ἐμοὶ δὲ καὶ ἐπιεικῶς φίλα σφίσιν, ἐξέτι παιδὸς ἀεί· καὶ πρὸς ἀμφοῖν κάθημαι, καὶ οὐδὲν μᾶλλον οὐδ' ἧττον, θατέρου τοῦδε τινός, ἢ θατέρου τοῦδε τινός. καὶ τί ποτ' ἂν χρησαίμην ἔγωγ' ἀμέλει, ἐργώδει πάντοθεν οὕτω τῷδε προβλήματι· καὶ μὴ ξὺν καιρῷ πυνθανομένοις ὑμῖν; ἀλλ' ἐγώ τοι καὶ ἄλλως οὔ μοι προσήκειν τὰ τῆσδε τῆς ψήφου καὶ διαχειροτονίας δοκῶ, ὡς ἄρα νῦν | εἶναι περὶ f. 356^{v} τοῖνδε τοῖν ἀνδροῖν ὑμεῖς ἀθλοθετεῖν τε καὶ ἑλλανοδικεῖν παρακαλεῖτε. καὶ ἴστε γὰρ ὡς πολλῶν ἐτῶν ἀποτέτραμμαι, πρὸς ἄλλοις πονεῖν τε καὶ διατρίβειν· καὶ κομιδῇ φιλοσοφίᾳ προσέσχηκα· καὶ τῷ μαθηματικῷ κατ' αὐτήν· εἰ δή τις ἄλλος, εἰ δή τῳ ἄλλῳ· καὶ τῶν ἐν τούτοις ἰύγγων μετ' ἔρωτος ἐκκάοντος· ἑάλων καὶ καθάπαξ ἤρτημαι μηδὲν ἧττον, ἢ πρὸς τὴν ἕλκουσαν λίθον τὰ σιδήρια. καὶ δή μοι καὶ βιβλί' ἄττα τῆς ἐντεῦθεν ἕξεως καὶ τῶν ἐνταῦθα πόνων ἐκτόκια συντετάχαται· καὶ ἴσως ἄν, οὐκ εὐπεριφρόνητα παντάπασι καθάπαξ τοῖς περὶ ταῦτ' ἔχουσιν (ἐρρέτω δ' Ἀδράστεια),

tit. Ἐπιστασία – Ἀριστείδου V^{2} | ιη´ V^{2} in marg. **1,14–15** θατέρου τοῦδε τινὸς, ἢ θατέρου τοῦδε τινὸς V^{1}Gi: θατέρῳ τῷδέ τινι ἢ θατέρῳ τῷδέ τινι V **17** ὑμῖν V^{2}Gi: ἡμῖν V

1,1–2 Aesch., Prom. 818 **12** cf. Hom., Il. 7, 281 **21–22** cf. Metoch., Carm. 4, 134 (p. 89) **22–25** cf. Ael. Arist., Or. 17, 17 (p. 6, 23–24)

ἀλλ' ὧν ἂν εἴη πλέον ἔχειν ἀμηγέπῃ· καὶ ὁπῃοῦν τοὺς ξυντυχόντας ὄνασθαι. καὶ δῆτα τοῦτ' εὖ δῆλον ῥᾷστα συνιδεῖν παντὶ νοῦν ἔχοντι. ὅστις μὴ μελέτῃ μακρᾷ συνειθισμένος καὶ συνουσίᾳ καὶ πείρᾳ τελεωτάτῃ· ἀλλ' ἀπ' ἀσχολίας τινὸς ἀλλοτρίας· καὶ ὡντινωνοῦν ἔπειτα κριτὴς γίγνοιτο· καὶ ψήφους φέροι, οὐκ ἄν, μήποτε κάλλιστα καιροῦ τυγχάνοι· οὐδ' ἄν, ἀνεμέσητα δρῴη γνώμης ἀσφαλείᾳ· παραπλήσιον, οἷον εἴ τις ἀπὸ γυμνικῶν χρονίας ἐποπτείας ἀγώνων· καί τινος πεντάθλων ἁμίλλης· ἀθρόον μουσικῶν χαρίτων ἀγωνίαις ἐπιστατοίη· καὶ διαιτητὴς αὐτὸς παραβάλλοιτο. ἄνθρωπε μὴ τῶν εἰκότων ἁπτόμενος· μήθ' ὡς ἄν, πέφυκε· μήθ' ὡς ἄν, χρῆναι πειρώμενος, ἔπειτα λέληθας ἀβελτηρίας αὐτόθεν ὑπεύθυνος ὤν· καὶ γέλωτ' ὄφλων οἶμαι.

2. Ἀμέλει τοι κἀμοί, καὶ ἀεὶ μὲν μάλιστα πάντοτε διὰ τὸ τῆς χρήσεως ἐργῶδες καθόλου περὶ τὴν βάσανον ταύτην τοῖν ἀνδροῖν τοῖνδε καὶ τῆς νομῆς τὴν ἀξίαν, πολὺ δ' ἔτι νῦν εἶναι, μὴ καιρὸν ἔχειν τὰς ψήφους ταύτας· καὶ εἰς ἣν ἔφεσιν ἐνθάδε προκαλοῦμαι· οὐκ ὀλίγα (καὶ ἴστε πάντως πρότερον ἤδη), ἔτη ἐν ἄλλοις ἠσχολημένῳ· καὶ μὴ κατὰ μέτρα καὶ πήχεις καὶ στάδια τῶν περὶ λόγους δολιχοδρομοῦντι· καὶ διασταθμωμένῳ τῶν περὶ ῥητορείας ἐπιμελῶς ἐχόντων, φωνῆς ποιότητας καὶ βάρος ἕξεως· ἀλλ' ἄνω περὶ τοὺς τῶν οὐρανίων διαύλους ἁμιλλωμένῳ· καὶ ταῖς τῶν ἀστέρων ἐμμελεστάταις χορείαις· καὶ τῇ πομπείᾳ παραβαλλομένῳ τῆς θεωρίας· καὶ ἴσως οὐ πάνυ τοι λειπομένῳ, ἀλλ' ὥστε καὶ ὅ,τί ποτ' ἄν, ἐνταῦθ' ἀνύτειν κατὰ καιρόν. ἄλλος γε μὴν ἄν τις μάλιστα μὲν ἔξωθεν ἐπισκεπτόμενος καὶ κρίνων· ἴσως δ' ἄν, καὶ ὁστισοῦν ἄρα τοῖς πράγμασιν αὐτοῖς αὐτὸς ξυνὼν καὶ χαλεπῶς χρώμενος, καὶ τοῦθ' ὡς ἂν δὴ μέγα τι πάντως· καὶ οὐκ ἔξω λόγου τοῖς πολλοῖς δοκοῦν προσετίθει· καὶ προύφερεν εἰς ἀνάγκην κομιδῇ τῆς σιωπῆς, καὶ τοῦ περὶ ὧν ἀμέλει πυνθάνεσθ' ὑμεῖς ὑπερβαλλόντως
f. 357 ἔπειτ' ἀποτραπέσθαι, τὰ κατ' | ἐμὲ τάδε νυνὶ πράγματα· καὶ τὴν τοσαύτην ἐργώδη κατέχουσάν με ξυμφορὰν τῆς τύχης· καὶ τὴν

38 ἀβελτηρίας V: ἀβελτερίας Gi **2,7** ῥητορείας V: ῥητορείαν coni. Gi **11** οὐ V^2 e corr. **16** προσετίθει VGi: an προετίθει?

37–39 cf. Metoch., Carm. 1, 577–579 (p. 25) **2,8–11** cf. Phil. Iud., De spec. leg. 3, 1 (p. 129, 12–14)

τροπήν· ἐξ οὕτω δῆτ' ἐπιεικῶς, εὐδαιμονεστάτων δοκούντων, εἰς ἅπαν ὅτι πλεῖστον κακοδαιμονίας· καὶ μάλιστα τοῦ σώματος, τήνδ' ἐπήρειαν καὶ βαρυτάτην νόσον, πάντων ἀπασχολοῦσαν ἄλλων τὸν νοῦν βίᾳ· καὶ πρὸς ἑαυτὴν ἔχειν καθάπαξ στρέφουσαν. ἀλλ' οὐκ ἄν, μήποθ' οὕτως ἔγωγ' ἐνθάδε νῦν ἀξιοίην· μήθ' οὕτω δὴ κακῶς ὄντως ὁρῴμην ἔχων· κἄν, αἰσχυνοίμην μὲν οὖν ἄλλου λέγοντος. δεινὸν γὰρ ἐκτόπως εἶναι· καὶ κομιδῇ μὴ προσῆκον, μηκέτι τοῖς ἑξήκοντα ἔτεσι καὶ πρός γ' ἔτι, ἃ ἐγὼ τυγχάνω γεγονὼς, τῇ τ' ἐνταῦθα μακρᾷ πείρᾳ· καὶ τῇ γε μὴν διὰ πόλλ' ἔτη πολλῶν πραγμάτων ξυντυχίᾳ, μεγάλων τε καὶ παντοίων, οἷς εἰ δή τις καὶ ἄλλος ἐν τῇ ζωῇ ξυνεκύρησα· καὶ μὴν ἔτι τῇ περὶ τοὺς λόγους ἀτρέπτῳ πάντων πραγμάτων σπουδῇ καὶ ἀκαμάτῳ καὶ ἀηττήτῳ πάντων ἔρωτι, παρὰ τὴν εἰρημένην ταύτην αἰτίαν, καὶ τὰ τοῦ μοχθηροῦ τοῦδε βίου, καὶ πάντ' ἀπίστου πράγματα, καὶ τοῦ μοχθηροῦ τοῦδε σώματος, καὶ πάντ' ἀπίστου παραπλησίως, σκήπτεσθαι παραίτησιν ὅλως ἐπιμελείας τινὸς τῶν καλλίστων καὶ θεωρίας. τούτου γε μὴν αἰτίας ἔγωγ' ἐμαυτὸν ἐξαίρω. οὔκουν γέ ἐστιν οὐδ' ὅπως ἄν, καὶ ἄλλῳ τοιαῦτα προφέροντι· καὶ καταλογιζομένῳ συνθείμην· ἀλλά μοι πρὸς ὑμᾶς ἐστι· καὶ τὴν τολμηρὰν τήνδε πρόκλησιν, ἃ τέως προύλεγον».

3. Οὐκ ἔπειθον ταῦτα λέγων· οὐδ' ἀπέσχοντο συνέλκοντες παντὶ τρόπῳ καὶ καταλιπαροῦντες τὴν ἔνστασιν, ὃ δήπου προύθεντο. καὶ τοίνυν ἔγωγε τοῖς ἀνθρώποις ἤδη καταδυσωπηθεὶς καὶ παρηγμένος, τυχὸν μὲν, οὐκ ἀνεμεσήτως· τυχὸν δ' οὔ, ἃ ξυννενόηκα κατ' ἐμέ γ' αὐτὸν ἀμφὶ τὼ ῥήτορε· καὶ ὥς μοι γέγονε περὶ αὐτοῖν δοκιμάσαι τὲ καὶ φρονεῖν, τόδε νῦν εἶναι βιβλίον ξυντιθεὶς, ἔκδηλα ποιοῦμαι· μεγάλης ἴσως ἐγχειρήσεως· καὶ τόλμης ἐμαυτὸν ὑπεύθυνον, τοῖς ἐρασταῖς τῶν λόγων, καὶ μηδὲν ἧττον τοῖνδε τοῖν ἀνδροῖν, διδοὺς· καὶ πρὸς διαφόρους τῶν ἄλλοτ' ἄλλων γνώμας καὶ κατὰ τοὺς ἐκκάοντας ἐφ' ἑκατέρῳ τοῖν ἀνδροῖν πόθους παραβαλλόμενος. ἔξεστι δ' ὃς ἄν, ἐντύχοι τῷ βιβλίῳ πεῖραν λαβόντι, ψῆφον ἐκφέρειν ὡς ἄν, δοκοίη· εἴθ' ὡς παντάπασιν ἡμᾶς διαφεύγουσιν, οἱ περὶ τοῖν ἀνδροῖν προσήκοντες

33 cf. Soph., El. 599 **34** cf. Greg. Naz., Or. 14, 6, PG 35, 865A

λογισμοὶ καὶ λόγοι· εἴθ' ὡς ἀμέλει καὶ ὁπηοῦν καιρὸν ἡμῖν ἔχοι, τάδ' ἃ κρίνομεν. πάντως δὲ καὶ ἡμεῖς κατὰ τοὺς πολλοὺς γνώμης οὐκ ἀπεικότως ἄν, ἐνθάδε κύριοι.

4. Παλαιὸς μὲν λόγος οὑτοσί τις, ἐρομένου δή ποτέ τινος περὶ f. 357[v] τῶν λόγων αὐτοῦ Δημοσθένους ὅστις ἄρ' ὁ βελτίων τῶν | ἄλλων εἴη, φάναι τὸν ἀκούσαντα, ὡς ὁ τῶν ἄλλων μείζων, βελτίων τῶν ἄλλων ἄν, εἴη. ἐβούλετο δ' οἶμαι ὃ καὶ παντί που δῆλον ἐστὶν ὁ λόγος τῷ εἰπόντι, ὡς ἄρα πάντων ἐπίσης καλῶν ὄντων, βελτίονα πάντως εἶναι, τὸν σταθμῷ δή τινι· ἢ πήχεσι δή τισι τῶν λόγων τῆς ἀρετῆς, τῆς ὁμοίας ἕξεως πλείονα. τοῦτον ἐγὼ μέμνημαι τὸν λόγον ἐν ὁμιλίᾳ πρός τινα δὴ τῶν ἀστείων καὶ ἐλλογίμων ἐπελθὸν οὑτωσὶ κατά τινα χρείαν πάντως, ἐξειπὼν, ὡς εὖ γέ πως καὶ δεξιῶς εἰρημένον. καὶ ὃς ἔφη μηδὲν ἧττον εὖ, ἢ καὶ ἄμεινον ἴσως ἄν, ἔχειν, εἰ ἄρ' ἔφησεν ὁ φάμενος, βελτίονα τῶν ἄλλων ἄν, εἶναι, ὅν τις ἄν, ἐν χερσὶν ἔχοι· καὶ δίεισιν ἑκάστοτε νῦν εἶναι· ὡς ἐπὶ τῶν ὁμοίων καὶ ἀναμφηρίστων καλῶν, τοῦ ἀεὶ παρόντος οἶμαι κατὰ τὴν ἐποπτείαν ἤ τινα χρῆσιν, μάλιστ' ἀεὶ πάντ' ἄν, ἴσχοντος· καὶ πρὸς ἑαυτοῦ ποιεῖσθαι δυναμένου, τὸν ἐποπτεύοντά οἱ, ἢ καὶ ὁπηοῦν χρώμενον. τοῦτον μέν γε φαίην ἄν, ἔγωγε τὸν λόγον καὶ μή τοι τῶν εἰκότων ἴσως ἔξω περὶ τοῖν ἀνδροῖν καθόλου τοῖνδε· περὶ ὧν ἡ σκέψις ἥδε· καὶ φυλοκρινοῦμεν τὴν ἀρετὴν τῶν βιβλίων, ὧν συνετάξαντο καὶ κατέλιπον ἡμῖν, ὡς ἄρα πάντ' ἀρίστων ὄντων· καὶ παραπλησίων καὶ ἀναμφηρίστων τοῦ κάλλιστα πεφυκότος τῆς τοῦ λέγειν ἕξεως, οὔκουν γε μή τινι λειπόντων ὅλως ὑπερβολὴν· μὴ δέ τινι διαίρεσιν ἡντινοῦν, εἰς τἄμεινόν τε καὶ τοὐναντίον, ἔπειθ' ὕστερον ἐποπτεύοντι, ὅτῳ ἄν τις ἀμφοῖν ἑκάστοτε ξυλλάχοι νῦν εἶναι καὶ ξυγγίνοιτο κατὰ τὸ παραστὰν ἴσως τοῦ καιροῦ καὶ τῆς χρείας, τούτῳ δῆτ' αὐτόθεν αὐτίκα, καὶ πλεῖν αὐτὸς εὖ μάλ' ἔχεσθαι· καὶ πρὸς αὐτοῦ γίγνεσθαι· καὶ ὡς ἄν, ἀμείνονι προσέχειν τὸν νοῦν· καὶ θαυμάζειν ἀξιοῦν διαφερόντως· καὶ μεταβάλλειν αὖ τὴν κρίσιν, αὐτὸς μεταβάλλων αὖ τὴν χρῆσιν· καὶ πρὸς τὴν τοῦ ἑτέρου ξυντυχίαν ἀμοιβαδὸν γιγνόμενος· καὶ τοῦτ' οὐ μεταπολὺ

3,14 ἔχοι V: ἔχει coni. Gi **4,18** φυλοκρινοῦμεν VGi: φιλοκρινοῦμεν V[1] **22** μὴδέ τινι V: μήτινι Gi

4,1–4 Plut., Cicer. 24, 6 (p. 338, 3–4)

καὶ χρόνου τινὸς ἐν μέσῳ ἀποστάσει· ἢ καί τινος ἴσως ἑτεροιότητος, τὴν ἕξιν ἐν ἑαυτοῦ, οἷα δὴ γίγνεται κατ' ἀνθρώπους· καὶ ἀεὶ ῥέομεν, ὅ,τί ποτ' ἦμεν, ἢ ἐσμὲν ἄνθρωποι, πάντα πράγματα· καὶ τρεπόμεθα· καὶ πρὸς ἑαυτοὺς ἀμφιγνοοῦμεν καὶ στασιάζομεν· ἀλλ' ὅτι ἐγγυτάτω· καὶ τῆς φθασάσης χρήσεως κατὰ τὸν ἕτερον τοῖν ἀνδροῖν, αὐτόθεν ἐπιεικῶς ἐξ ὑπογυίου. οὕτω πολὺ δὴ τὸ κοινὸν σφίσι· καὶ ὡς ἄν, οἷόν τέ ἐστι, τοῦ ἄκρου μὲν οὖν τυγχάνειν ἀμφοτέρω, εἰς τὴν τῆς φωνῆς ἀρίστην ἕξιν καὶ τὸ τελεσφόρον τῆς ἀσκήσεως· καὶ ῥᾷσθ' ὁπῃοῦν οὐκ ἔστι διαιρεῖσθαι, τὰ καὶ τὰ· βελτίω καὶ ἧττον ἔχοντα, τῳδέ τινι ἀμφοῖν· καὶ τὰ καὶ τὰ· βελτίω τε καὶ ἧττον αὖ ἔχοντα θατέρῳ τῳδέ τινι.

5. Ὡς δ' ἄρ' ὅμως ἔχοιμεν ἄν, ἐπειδὴ καὶ ὑπέστημεν τὴν κρίσιν ὅλως τε καὶ τοὖργον, φέρε χρησαίμεθ' ὁπῃοῦν, νῦν εἶναι διαιροῦντες. | ἔοικε τοίνυν κατὰ τὸν ἑκατέρῳ παρὰ τοῦ χρόνου f. 358
πρυτανευθέντα καὶ δεδομένον βίον· καὶ τὴν ἡλικιῶτιν ζωήν· καὶ τὴν τῶν πραγμάτων οἷς ξυνέλαχον ἄρα τηνικαῦτα, καὶ τῆς τύχης· καὶ τῆς πολιτείας ἀγωγήν· καὶ ἣν αἵρεσιν ἐν τούτοις εἵλοντο· καὶ μὴν ἔτ' ἀμέλει καὶ τὸ ἦθος αὐτὸ καὶ τὴν οἴκοθεν φύσιν· καὶ τὴν τοῦ λέγειν ἕξιν καὶ τὸ κράτος, ἀπηντηκέναι σφίσι· καὶ προσσχών τις, εὖ μάλ' ὄψεται. τῷ μὲν γὰρ γονίμῳ τῆς φύσεως καὶ ταῖς περινοίαις ἐφ' ἑκάστης ἐνστάσεως ἑκάστοτε· καὶ τοῦ προκειμένου σκοποῦ καὶ τῆς χρείας, ἐφαμίλλω τὼ ἄνδρε· καὶ ἀτεχνῶς ἀπαραμίλλω πᾶσι σχεδὸν, τῶν ἀπὸ τοῦ παντὸς αἰῶνος ἀνδρῶν. οὔκουν γέ ἐστιν, ὅτῳ τις ἄν, πλεῖον ἐνταῦθα δοίη πρὸ τοῖνδε τοῖν ἀνδροῖν. Δημοσθένης μέντοι ἐπὶ κοινότητος καὶ ἐλευθερίας δήμου βιοὺς· καὶ πράττων, καὶ πολιτευόμενος· καὶ πολὺ μάλιστ' ἐπιμελὴς τῇδε· καὶ δραστικός τε καὶ φιλεργὸς εἰ δή τις καὶ ἄλλος, καὶ φιλότιμος ἐπιεικῶς πᾶσι πράγμασι παραβάλλεσθαι τῇ πατρίδι καὶ τοῖς κοινωνοῖς τοῦ βίου· καὶ φιλόνεικος, καὶ κατὰ φύσιν οὐκ εὐκολίᾳ ζῶν, ἀλλ' ὑπόπικρος, καὶ μηδὲν ὑφιεὶς ἔν τε τοῖς κοινοῖς,

30 κατά ante τινος add Gi (fort. recte) **5,8** προσσχών V^{2}Gi: προσχών V **14** βιοὺς δήμου primum scripsit, deinde litteris βα suprascriptis ordinem invertit V

32–33 cf. Greg. Naz., Carm. mor., PG 37, 757A–758A; cf. etiam supra, Or. 10, 79, 10–18 **5,18–19** Id., Plut., Comp. Demosth. et Cicer. 1 (p. 369, 6)

καὶ τοῖς ἰδίᾳ διαφέρουσι, τὴν τοῦ λέγειν χρῆσιν ἐπαληθεύουσαν τοῖς πράγμασι καὶ ἀναγκαίαν, οὐκ ἀκίνδυνον εἶχεν· οὔθ' ὡς ἄν, εὐστομίας τοῦτο μὲν ἄσκησιν οἰκονομεῖν, τοῦτο δ' ἐπίδειξιν ποιεῖσθαι· ὡς ἄρα κατ' Ἀριστείδην αὐτὸν εἶχεν ἐπὶ μοναρχίας ἀνευθύνου καὶ αὐτοκράτορος βιοῦντα· καὶ τῆς κατὰ πάντων σχεδὸν ἀνθρώπων, τηνικαῦτα κρατούσης τῶν Καισάρων Ῥωμαϊκῆς ἡγεμονίας· ὥστε καὶ δι' ἄπραγμον κατ' αὐτὸν ἦθος καὶ φύσιν, ἰδιοτροπίᾳ καὶ εὐκολίᾳ χαίρουσαν, μάλιστά οἱ καὶ τοῦ καιροῦ ξυγχωροῦντος, πάσῃ πολιτείᾳ· πάσαις σπουδαρχίαις· πᾶσι πράγμασιν, ἀπείπασθαι· καὶ ζῆν αἱρεῖσθαι, ἑαυτῷ μόνῳ· καὶ ταῖς τῆς ῥητορικῆς Χάρισι· καὶ θεάτροις ἐπιδείξεων, ὡς ἄν, βούλοιτο καθάπαξ ἀζήμια. καὶ γὰρ δῆτ' ἐπ' ἐξουσίας, οἷς ἄν, εἶχε· καὶ ἅττα ἦν πορίζειν εἰς τὴν ἑκάστοτε πρόθεσιν, τῇ εὐφορίᾳ καὶ τῷ τάχει τῆς φύσεως, καὶ τῷ κράτει τῆς τέχνης, ἀφειδὴς ἅπασιν ἐχρῆτο· καὶ πρὸς οὐδὲν ὅ,τι μὴ μεθίετο μὴ δ' ὕποπτος ἦν, ὥστε καὶ δεδιέναι τοὺς ἀκροωμένους μήπως δόξειε, σφίσιν ἔξω τοῦ καιροῦ σοφίζεσθαι περιττά· καὶ τοῦ κατὰ φύσιν τοῖς πράγμασι· καὶ πρὸς τὴν χρείαν ἐπαληθεύοντος· καὶ ὡς εὐηθικοῖς προσφέρεσθαι· καθάπερ ἐν ψηφολογίαις, κλεπτούσαις ἀπατηλῶς. καὶ πολλή τις ἦν ἐκεχειρία τῷ ἀνδρὶ, πάσης ἀνάγκης καὶ δέους ἀπὸ τῶν ἀκροα-
f. 358v τῶν | καὶ χώρα τῷ γονίμῳ τῆς φορᾶς· καὶ πάσαις ταῖς ἐπιβολαῖς τῆς διανοίας· καὶ ταῖς εὐπεριστρόφοις ἀναδόσεσιν ἀνευλαβῶς ὡς ἄν, ἕκαστα ἐπέλθῃ· ἅττα ἄν, ἐπέλθοι, κἂν εἰ τούτων ἴσως ἅττα τῶν πραγμάτων ἀλλότρια κομψεύοιτο· καὶ οὐδὲν ἄλλ' ἢ διάκενον ἔξω τῆς χρείας λογισμῶν εὐθηνίαν ἔχοι.

6. Ὡς ἔστι καὶ ἀληθῶς, οὕτως εἰ χρὴ παρρησί' ἐρεῖν, ἀνὴρ χρώμενος· καὶ γυμνάζων ἑαυτὸν τοῖς παλαιοῖς· καὶ συναεθλεύων· καὶ συνασκούμενος, ἅμα δὲ καὶ τρυφῶν ἔοικε ταῖς αὐτὸς αὑτοῦ μακραῖς οὐσίαις καὶ τῇ δυνάμει τῆς φωνῆς ἐπιδεικνύμενος· καὶ διαμελετῶν, Ἑλληνικοῖς προτέροις οὐ κατ' αὐτὸν πράγμασι· καὶ ὑποθέσεσιν ἐπὶ καιροῦ οἷα δὴ πλεῖστα τῶν αὐτοῦ, ἀφθονώτερον ἐπιμελεῖται πολλάκις ταῖς ἐργασίαις· καὶ ἀλλοτριώτερον ἐξάγει, ἢ

26 ἡγεμονίας Ῥωμαϊκῆς primum scripsit, deinde litteris βα suprascriptis ordinem invertit V **31** οἷς V^2 e corr.: ἧς V, om. Gi **39** ἦν ἐκεχειρία V^2 e corr.

29–33 cf. Metoch., Carm. 3, 11 (p. 74)

κατὰ τὴν ἀληθινὴν χρείαν τῶν ὄντων. καὶ θαυμάζειν μὲν ὄντως ἐστὶν ἄξιος τῆς πολυφορίας καὶ τοῦ τάχους καὶ τοῦ ἀστείου· καὶ τῆς χάριτος ἐφ' ἑκάστων. οὐ μὴν ἀλλ' εἴ γε τοῖς πράγμασιν ἐκείνοις αὐτὸς τότε ξυμβιοὺς ἠξίου τὲ καὶ χρεία ἴσως ἤπειγε παριέναι· καὶ κόπτειν τὰ βουλευτήρια· καὶ τὸ βῆμα τοῖς τῶν λόγων ἀγωνίσμασιν, οὐκ ἄν, ἦν ἐμοὶ δοκεῖν οὕτω χρῆσθαι· ἀλλ' ἢ πρὸς τὴν αὐτόθεν ξυναίσθησιν καὶ διδασκαλίαν τῶν πραγμάτων, ἄλλως κέχρητ' ἄν, καὶ κατὰ τὴν ἀληθεύουσαν ὄντως τῶν πραγμάτων διάθεσιν καὶ βίαν τῆς χρήσεως· ἢ εἰ μὴ οὕτως· ἀλλὰ κατὰ τὸ νῦν ἐμφαινόμενον ἔθος τὲ καὶ ἦθος τῶν λόγων, οὐκ ἄν, οἶμαι τρυφᾶν εἶχεν, οὐδ' ἐφ' οἷς ἐπιδείξαιτ' ἄν· ἀλλ' ὕποπτος γενόμενος, ὡς ἄρα περιττὰ σοφιζόμενος καὶ γοητεύων καὶ περιφρονῶν, ὡς ἀπροόπτως ἐχόντων τῶν ἀκουόντων, ἔξω πραγμάτων ἦν ἄν· καὶ ἀκουσίαν εἶχεν, ἀσχολίαν ἀπὸ τῶν κοινῶν· καὶ ἣν εἵλετ' αὐτὸς ἑκών γε ὢν ἰδιοπραγίαν, ἐπὶ τῆς ὕστερον αὐτοῦ βιώσεως· ὅπου γε καὶ Ἀντιφῶν ὁ Ραμνούσιος δεινὸς ἀνὴρ μάλιστ' εἰπεῖν ἐν τοῖς τότε καὶ χρῆσθαι πράγμασι, διὰ τὴν τοιαύτην εὔθηκτον γλωττοστροφίαν καὶ τὸ ῥᾴδιον ἐν τοῖς λόγοις ὑποπτευθεὶς ὡς οὐκ ἄν, ἀληθεῦσαι τὰ κοινὰ καὶ τὴν χρῆσιν τῶν πραγμάτων αὐτῶν· καὶ οἷος τ' ἄν, εἴη κλέπτειν τὰ ὄντα· κἂν εἰ λανθάνοι· κἂν εἰ μή, ἀπεώσθη τῆς πολιτείας· καὶ τῶν κοινῶν καὶ τοῦ βήματος.

7. Καὶ περὶ μὲν Ἀριστείδου, τοσοῦτο νῦν εἰρήσθω. Δημοσθένης δὲ καὶ αὐτὸς, ἔστι μὲν πολὺς κατὰ φύσιν· καὶ ἅμα ἐπιμελέστατος περιεργάσασθαι· καὶ ἐπιτυχέστατος ἅπαν τὸ γιγνόμενον εἰς τὴν φορὰν καὶ τὸ γόνιμον πρὸς τὴν ἑκάστοτε χρείαν· καὶ οὐκ ἂν μήποτε τις | στήσαιτο κατὰ τῶν Δημοσθένους λόγων τούτου γ' f. 359
ἕνεκεν τρόπαιον· οὐδ' ἔστιν ὡς ἀληθῶς διά τινος ἀνθρωπίνης ἐπινοίας ὅ,τι ποθ' εὑρημένον ἄν, ἡντιναοῦν φέρον ὄνησιν εἰς τὴν αὑτοῦ πρόθεσιν καὶ τἀγώνισμα, ὃ μὴ Δημοσθένει γένοιτ' ἄν, ἁλώσιμον· καὶ ἄφυκτον εὑρέσθαι· καὶ διαθέσθαι, κάλλιστα καὶ δριμύτατα καθαπτόμενον τῶν ἀκροωμένων. καὶ πόλλ' ἂν εἴη σχεδὸν· καὶ ἀνυπονόητ' ἀνθρώποις οἱστισινοῦν, κατὰ νοῦν αὐτῷ τε

6,25–26 ἀληθεῦσαι V[1]Gi: ἀληθεύσων V

6,23–24 Hermog., De id. 2, 11 (pp. 399, 18–401, 11) 7,4–5 cf. Ps.-Lucian., Demosth. enc. 39 (III, p. 281, 8)

γιγνόμενα καὶ διοικούμενα πάντ' ἄριστα· καὶ ὡς εἰπεῖν δαιμονίως πρὸς τὸ κατὰ σκοπὸν ἀνύσιμον· καὶ ὅστις ἐνταῦθα θαυμάζειν ἄξιος· καὶ πορίζων πολύχους· καὶ εὐθηνῶν ταῖς εὑρέσεσιν, ἀγαπητὸν· καὶ θαυμάζειν δικαίως ἄξιος ἂν εἴη, παραπλήσια δρῶν ὁρώμενος ἢ ὅτι ἐγγυτάτω κατ' αὐτὸν, εἰς τὴν ἀνάδοσιν καὶ τὴν συντέλειαν φημὶ τῶν εὑρέσεων· κἂν εἰ μὴ ὡσαύτως τὴν διαχείρισιν.

8. Καίτοι τί λέγω; δῆλον μὲν οὖν εὖ μάλ' αὐτόθεν. καὶ ὅσοι γὰρ Ἀριστείδην ἐξαίρουσι περὶ τὸ λέγειν, ἐρασταὶ τοῦ ἀνδρὸς· καὶ τὰ μέγιστα προσήκειν οἴονται περὶ αὐτοῦ· καὶ πάντας ἄλλους ὡσαύτως οἴεσθαι πράττουσι· καὶ ἀξιοῦσι πρὸς τοῖς ἄλλοις ἃ κατεπείγονται περὶ τοῦ ἀνδρὸς, καὶ τοῦτο προστιθέασι· μάλιστα δὲ καὶ πρῶτον, ὡς μέγα τι καὶ μέγιστον τίθενται, οἷς καὶ αὐτὸς ἔγωγε σύμψηφος· καὶ πάντα κατὰ γνώμην ὄντως ἐμοί φασιν, ὡς ἄρ' ὁμοιότατα κομιδῇ λέγων Ἀριστείδης ἀνύτει τά τε ἄλλα τῷ ῥήτορι καὶ ταῖς ἐπιβολαῖς μάλιστα, καὶ τῷ γονίμῳ. οὕτω δὴ πολὺ μέτεστι τοῦδε Δημοσθένει· καὶ πολὺ τὸ παρὰ πάντων καὶ τῶν ἐν προλήψεσιν ὡντινωνοῦν ξυγκεχωρηκὸς αὐτῷ τῆς πολυαρκεστάτης καὶ ὑπερβαλλούσης εὐφορίας, ἐν οἷς ἂν βούληται. καὶ θαυμαστὸν μὲν οὕτως αὐτῷ πολὺ τὸ γόνιμον καὶ ποριστικὸν· θαυμαστὸν δ' ἔτι πολὺ μάλιστα τὸ κατ' ἐπιλογὴν καὶ διαίτησιν τῆς ὑπερφυοῦς σχεδὸν καὶ ἀπαραμίλλου δεινότητος εἰς τὸ καιριώτατον χρῆσθαι· ὡς οὐδέν ἐστιν αὐτῷ πομπικὸν, ὡς ἂν, ἐν εὐστροφίᾳ δή τινι καὶ εὐτραπελίᾳ· καὶ τάχει φύσεως· καὶ φέρον ἀμηγέπῃ τῆς ἐπαληθευούσης ἀνάγκης τῶν πραγμάτων ἔξω· ἐπίδειξις ἄλλως ἀκαιρίας ἴσως ἡττωμένη, κἂν δυσθήρατος τοῖς ἀκροαταῖς.

9. Ἀλλὰ τοῦτο καὶ πάντων μάλιστ' ἐστὶ θαυμάζειν τοῦ πραγματειώδους καὶ ἐνεργοῦ· καὶ τῆς τοῦ ἀνδρὸς δεινότητος, ὅπως ἑκάστου τῶν λεγομένων ἡ χρῆσις μάλιστα καιρὸν ἔχει· καὶ ἄφυκτά πως τελεσφόρος ἐστὶ· καὶ πάσης καὶ παντοίας ὀλιγωρίας καὶ ὑποψίας ὑπερτέρα, ὡς ἀνάγκην ἀπαραίτητον εἶναι ἢ τἀναντία
f. 359v | παραβάλλεσθαι φέροντας· καὶ ὡς οἷόν τ' ἀντιπράττοντας περιγί-

7,17–18 διαχείρισιν corr. Gi: διαχείρησιν V **8,4** πράττουσι V^{2}Gi: πράττονται V **17** ἀμηγέπῃ V, servavimus: ἁμηγέπῃ Gi **17–18** ἐπαληθευούσης V^2: ἐπαληθεύσης VGi

νεσθαι· καὶ κρατεῖν ἢ κρατεῖσθαι, ὃ παντὸς μᾶλλόν ἐστι, τὸ πρότερον ἐργωδέστατον καὶ κατὰ τὴν παροιμίαν Σεμιράμεια κατασπᾶν τείχη, ἢ μηδὲ τοῦτο μᾶλλον, ἀλλ᾽ ἢ μετὰ τῆς παροιμίας αὖ ἑτέρωθεν, κινεῖν τἀκίνητα καὶ τηνάλλως μοχθεῖν, ἢ σιωπᾶν καθάπαξ ἀνύποπτα (πῶς ἄν τις ἑκόντας ἢ ἄκοντας, αἱρεῖσθαι φαίη;), καὶ μὴ διαβάλλειν, ὡς ἐπὶ κομψείαις ἀπατηλαῖς, ἀλλ᾽ οὐ κατ᾽ ἀνάγκην τῶν ὄντων τἀγώνισμα. καὶ τὸ μέν γε κράτιστον οὕτω διαφερόντως ἐστὶ καὶ τελεσφόρον, ἀνύσιμον τῇ Δημοσθενικῇ δεινότητι ἐπιτυχὲς ἐς τἀκριβέστατον ὅμοιον· οὐ γὰρ ἢ κατὰ πάντας ἄλλους, ἢ κατ᾽ αὐτὸν Ἀριστείδην.

10. Δοκεῖ δ᾽ ἔμοιγε κατὰ τὸν ἐξ ἀρχῆς ὃν ἐφάμην λόγον καὶ ὅτι φίλερις ἀμέλει τὴν φύσιν καὶ δραστικώτατος ἐστὶ Δημοσθένης, καὶ ξυνὼν αὐτοῖς πράγμασι τῇ τῶν λόγων ἀνάγκῃ καὶ παραβαλλόμενος· καὶ συναεθλεύων ἀντιπολιτευόμενος καὶ τοῖς πατρίδος ἐχθροῖς, ἐνεργέστερος τῇ χρείᾳ γίνεσθαι καὶ δριμύτερον, ἔθ᾽ ὡς οἷόν τέ ἐστιν ἀποδύεσθαι τοῖς ἀγωνίσμασι· καὶ παντὸς τοῦ γιγνομένου τυγχάνειν· ὡς ἔστι γε καὶ τοῦτο πάντων οὐχήκιστ᾽ ἀληθέστατον, τὴν ἀνάγκην εὑρετικώτατον εἶναι. οὔκουν γέ ἐστιν ὃς ἂν αὐτοῖς ἐνίσχητο τοῖς πράγμασιν, οὐκ ἀνεύθυνος, εὖ μάλα παθαινόμενος ἑκάστοτε· καὶ ὃς ἂν ὑποκρίνοιτο παθαίνεσθαι πλαττόμενος καὶ ἐμμελετῶν κατά τιν᾽ ἄσκησιν ἢ ἐπίδειξιν, ἀθῷος παντάπασι τῶν πραγμάτων τῆς ἀνάγκης· ἐπίσης πρὸς τὴν χρῆσιν ἀπαντᾶν ἀμφοτέρῳ· καὶ δρᾶν παραπλήσια.

11. Ἀλλ᾽ ὁ μὲν Δημοσθένης φησὶν ὁποῖα ποτ᾽ ἄν, ᾖ τισι τὰ πράγματα, τοιαῦτα καὶ τὰ φρονήματα γίγνεσθαι. καὶ τοῦτο δ᾽ ἄν, ἴσως εἴη καὶ μάλισθ᾽ ἕποιτο, ὡς ὁποῖα ποτ᾽ ἂν εἴη τὰ κατὰ καρδίας ἔνδοθεν πάθη, καὶ ὡς αὐτῇ ποτ᾽ ἂν διατίθεσθαι· καὶ πράττειν εἴη καὶ πεφυκέναι· καὶ τὰ παρ᾽ αὐτῆς πρόεισιν ὡς φῶς ἐκτόκια· τῆς παθήσεως ὁπῃοῦν ἀπολαύοντα καὶ συνδιατιθέμενα.

9,10 σιωπᾶν V: σιωπῆς Gi **10,5** ἐνεργέστερος corr. Gi: ἐναργέστερος V **8** εὑρετικώτατον V: εὑρετικώτατος corr. Gi **9** ἐνίσχητο V: ἐνίσχοιτο coni. Gi **11,5** ὡς VGi: pro εἰς

9,8 CPG II, 670, 1 **10** Ibid. II, 265, 15; Plat., Leg. 684e **11,1–2** Demosth., Olynth. 3, 32

Ἀριστείδῃ μέν γε καὶ Δημοσθένει, κοινὴ τῆς φύσεως ἡ ἀκρότης· καὶ τῆς τοῦ λέγειν τέχνης ὡσαύτως κοινή· τὰ πράγματα δὲ καὶ ἡ τοῦ βίου παντὸς ἀγωγή, πολὺ μάλισθ' ἑτεροίως ἔχει· καὶ οὐκ ἀπὸ τῆς αὐτῆς ὁρμῆς ἔσωθεν καὶ αἱρέσεως εἴτουν ἀνάγκης οἱ λόγοι προχέονται, ἐφ' οἷς ἄν, κοινὰ κατὰ τὰ τῆς τέχνης εἴδη προχέοιντο. οὐ γὰρ πάντα σφίσι κοινῶς ἔχει, τὰ πράγματα τοῖς λόγοις· ἀλλ' Ἀριστείδῃ μὲν πολὺς ὁ πόνος αὐτῷ τοῦ καιροῦ οἱ μάλιστα ξυγχωροῦντος, περὶ τὸ ἐπιδεικτικὸν αὐτῆς εἶδος καὶ πανηγυρικόν· καὶ πολὺς ἀνὴρ ἐντεῦθεν πράττων· καὶ οὐκ ἄν, μήποτέ τῳ βέλτιον ἐνταῦθ' ἀνύτειν εἴη (οὐκ οἶδα μὲν οὖν ὡς ἀληθῶς, ἔγωγε κατὰ ταὐτὸν ὅτῳ ἄν), τὸ δὲ καὶ ἐλευθεριώτατόν ἐστιν αὐτόθεν κατὰ
f. 360 φύσιν· καὶ ὡς βούλοιτ' ἄν, | ἔχοι χρῆσθαι. Δημοσθένει δ' ἧττον ἐμέλησε· μᾶλλον δ' οὐδὲν ὅλως ὅσα γ' ἐμὲ εἰδέναι καὶ κρίνειν περὶ τούτου. οὐ γὰρ ἔγωγ' ἐπιπείθομαι τοῖς Ἐρωτικοῖς αὐτοῦ καὶ Ἐπιταφίοις προδεικνυμένοις· πολλοῖς τισι καὶ ἄλλοις πρὸ ἐμοῦ πειθόμενος· οἷς περὶ αὐτῶν, οὕτω ξυνδοκεῖ· καὶ διισχυρίζονται τὸ δοκοῦν, τῇ τῆς χρήσεως, καὶ τῆς ἑρμηνείας ἀνομοιότητι τῶν τοιούτων λόγων, πρὸς τἄλλ' ἅπαντ' αὐτοῦ. ταῦτ' ἄρα καὶ ἀποποιοῦμαι τοῦ ἀνδρὸς τοὺς λόγους αὐτοὺς· καὶ τὴν κατὰ τὸ ἐπιδεικτικὸν καθάπαξ ἐπιμέλειαν· εἴτε καὶ ἁπλῶς ἀμεληθὲν αὐτῷ περὶ ταῦτα πονεῖν, μὴ τοῦ καιροῦ διδόντος, ἢ μάλιστ' εἰπεῖν πραττομένου· πᾶσα ἀνάγκη, εἴτε καὶ οὐκ ἔχω πῶς ἂν ἐρῶ· ἀποποιοῦμαι δ' ὅμως, εὖ μάλα προσέχων τὸν νοῦν. κοινὰ δ' ἔχετον τὼ ῥήτορε τῶν τῆς τέχνης ἄμφω τὰ λοιπὰ τοῦ λέγειν εἴδη διαπονεῖσθαι καὶ ἀεθλεύειν τὸ δικανικόν τε καὶ πραγματικὸν περὶ βουλάς. ἀλλ' Ἀριστείδης μὲν τὰ πλεῖστα τῶν κατὰ ταῦτα τὰ εἴδη συντάττει βιβλία· πλαττόμενος καὶ ἐμμελετῶν, παλαιῶν ἔργων προβλήμασιν· ἑαυτῷ χρώμενος ἐπ' ἀδείας· αὐτοκράτωρ ἑαυτοῦ καὶ τῶν λόγων· οὐδεμίαν μὴ πρὸς ἀνάγκην ξυμπίπτων καὶ ξυμπλεκόμενος· καὶ παλαίων, μηδὲν μᾶλλον ἐνεργὸς τοῖς πράγμασιν, ἢ καὶ οἱ ἐν ὀνείροις μισθὸν μόνον ἔχων τῶν ἄθλων ἢ ζημίαν, τὸ παρὰ τῶν ἀκροωμένων θαῦμα ἢ μή. καὶ οὐκ ἄν, ἀπεικὸς ἴσως εἴη, τὸν ἀπὸ

11 κατὰ τὰ V²Gi: κατὰ V **13** Ἀριστείδῃ corr. Gi: Ἀριστείδης V **17** τὸ δὲ V: τόδε corr. Gi

20–21 Dion. Halic., Demosth. 44 (p. 228, 16–24) **34** cf. Metoch., Carm. 3, 142 (p. 79)

μηδεμιᾶς ἐπειγούσης χρείας ὡρμημένον οὕτω μὴ δ’ ὥσπερ ἄν, εἰ περὶ ψυχῆς ὡς ἔπος ἐρεῖν ἦν ἡ σπουδὴ, ὃ περὶ Δημοσθένην ἐστὶν, ἔστιν οὗ, τῆς ἀκριβείας καὶ τοῦ πεφυκότος παντὸς εἰς τὴν ἔνστασιν ἐκπίπτειν. ἀλλ’ οὐ Δημοσθένης μήποθ’ οὕτω δή (πολλοῦ μέν γε δεῖ), ἀλλ’ ἄρα πολλοῖς τοῖς πόνοις κατεπιχειρῶν αὐτῶν, ἄφυκτα τῶν πραγμάτων· καὶ πολλοῖς τοῖς ἱδρῶσιν, ἐπὶ τοῖς ἑκάστοτε σπουδαζομένοις βάπτων τὸν κάλαμον εἰς τὸ μεταχειρίζειν τὴν χρείαν· καὶ κατεπειγόμενος ὑπερβαλλόντως, ἄκρος ἀνὴρ· καὶ τὴν φύσιν τὲ καὶ τὴν τέχνην τοῦ λέγειν, ἀνυσιμώτατός ἐστιν ἀμέλει καὶ ἀκριβέστατος, πάντα πράγματα, εἰς ὅσον δῆτ’ ἐστὶν ἱκνεῖσθαι· καὶ οὐκ ἄν, μήποτε λείποιτο μηδενὸς ὧν ἐστιν ὅλως εὑρεῖν τε καὶ μηχανήσασθαι· μᾶλλον μὲν οὖν κἀξ ἀμηχάνων ἄλλοις σχεδὸν ἅπασι οἷος τ’ ἄν, εἴη πορίζειν αὐτὸς, εἰς τὸν σκοπὸν περαίνειν. ἔστι δὲ καὶ καθάπαξ ἡ φύσις πάντ’ αὐτῷ, μὴ τοὺς ἀγῶνας μόνον τῶν λόγων φιλεργὸς ἐπιεικῶς καὶ ἀκάματος· ἀλλ’ ἄρα καὶ τῶν πράξεων ὧν ἄν, αὐτῶν ἅπτοιτο (πῶς ἂν εἴποι τις;), εἰς ὅσον ἀνθρώποις ἅπαν δὴ τὸ γιγνόμενον, ἐπιμελέστατος ἀνὴρ καὶ δραστικώτατος ἀνύτειν. καὶ μαρτύρεταί μοι τῷ νυνὶ λόγῳ, Φίλιππος ὁ Μακεδόνων βασιλεὺς· ὃς λέγων ἰσχυρίζετο, τῶν παρὰ τῆς τύχης αὐτῷ δεδομένων ἀγαθῶν, ἓν | τιθέμενος, ὅτι μὴ Δημοσθέ- f. 360v νης ἐστρατήγει, ὅτε καὶ τοὺς λόγους αὐτοῦ καὶ τὸ τῆς διοικήσεως ἐφ’ ἅπασιν ἐντρεχὲς, ὥσπέρ τινας κριοὺς ἢ καταπέλτας Ἀθήνηθεν ὡρμημένους, κατασείειν αὐτοῦ τὰ πράγματα· καὶ ἃ βουλεύειν οἷος τ’ ἄν, εἴη, μάλιστ’ ἐπιτυχέστατα. ὅ δ’ αὐτὸς καί τινων τῶν αὐτοῦ, μετὰ τὴν ἐν Χαιρωνείᾳ νίκην αὐτοῦ καὶ περιφάνειαν· ᾗ πάντα τὰ τῶν Ἑλλήνων κατέστρεψε πράγματα· ἐντρυφώντων καὶ ὑβριζόντων τοῖς πράγμασι καὶ καταμωκωμένων Δημοσθένην, καὶ γέλωτος ἀφορμὴν πεποιημένων τὰ τοῦ ἀνδρὸς ψηφίσματα· καὶ κόρδακος ἐν χρήσει προφερόντων καὶ βωμολοχούντων τὰ τῶν ψηφισμάτων προοίμια «Δημοσθένης· Δημοσθένους Παιανιεὺς», ὁ δὲ, μάλιστ’ ἐπετίμα σφίσι κατὰ νοῦν ὑπερβαλλόντως ἑαυτοῦ γινόμενος· καὶ μικροῦ μετὰ τὴν πεῖραν καὶ τὰ λαμπρὰ τέλη δειμαίνων,

41 οὗ V: οὖν Gi **55** δὴ V: δὲ Gi **60** an post ἐντρεχὲς lacuna statuenda? Ἀθήνηθεν corr. Gi: Ἀθήνησιν V

57–63 Ps.-Luc., Demosth. enc. 38 (III, p. 280, 9–15) **63–68** Plut., Demosth. 20, 3 (p. 299, 17–26)

ὅπως ἐπὶ μιᾶς ἡμέρας ἀνὴρ τοῖς αὐτοῦ πολιτεύμασι καὶ ψηφίσμασιν ἐπέστησε τόν τε περὶ τῆς ἀρχῆς αὐτῷ καὶ τὸν περὶ ψυχῆς κίνδυνον.

12. Φίλιππος μὲν δὴ ταῦτα λέγων, εὖ μάλ' εἰδὼς τὰ κατ' αὐτὸν, οὕτω πολὺ δὴ μάλιστ' ἐξαίρει τὴν ἀκμὴν τῆς τοῦ ἀνδρὸς φύσεως· καὶ τὸ τῆς ἐργασίας ἐπίμονον, καὶ μάλιστ' ἐν καιρῷ. ἀλλ' ἄρα δὴ καὶ Παρμενίων αὐτὸς ὁ τὰ μάλιστα τῶν ὑπ' αὐτῷ δὴ στρατηγούντων, παραπλήσια τὸν ἄνδρα· καίπερ ἔχθιστον κρίνων, θαυμάζων, τὴν αὐτοῦ μακαρίζει πατρίδα, τῆς εὐποτμίας αὐτοῦ· τοιούτου δὴ κτήματος καὶ φορᾶς· κἀκ τῆς αὐτῆς ἐν τοῖς πράγμασιν αἱρέσεώς τε καὶ χρήσεως τοὺς προδότας καὶ λωποδύτας τῆς πατρίδος, καὶ τοὺς κατὰ Δημοσθένην οἵους ἀξιοῖ κρίνειν, ἄριστα ἐκεῖνος ἀνὴρ νομοθετῶν ὥσπερ ὑποδείκνυσιν καὶ ὅπῃ δὴ χρηστέον αὐτοῖς ἐστιν ἀμφοτέροις, τοὺς ἐν πράγμασι μεγάλοις ὄντας. καὶ γὰρ δὴ φάσκειν αὐτὸν εἰσὶν οἵ φασιν· ὡς «εἰ μέν τις Ἀθηναῖος ὤν, ἐν Ἀθήναις λέγων καὶ δημηγορῶν ἐμὲ προτιμᾷ τῆς πατρίδος»· τούτῳ δῆτ' ἀργύριον πορίζειν, οἷος τ' ἄν, εἶναι· φιλίαν δ' οὐκ ἄν, οἷοι πάντως οἱ κατὰ Δημάδην· Φιλοκράτη τὲ καὶ Αἰσχίνην· ἂν δέ τις ὑπὲρ τῆς πατρίδος ἐμὲ μισῇ (Δημοσθένην αὐτὸν λέγων), καὶ πάντ' ἐπιτυχῶς ὑπὲρ αὐτῆς δρᾷ, θαυμάζειν μὲν ἄν, τόνδε τῆς ἀρετῆς· καὶ μακαρίζειν τὴν πατρίδα τοῦ τοιούτου κτήματος· προσπολεμεῖν δ' ἄν, αὐτῷ πᾶσα ἀνάγκη· καθάπερ εὖ μάλ' ἐχούσῃ ταύτης ἀκροπόλει καὶ τείχει· καὶ νεωρίῳ· καὶ τάφρῳ. οὕτω δὴ πολὺ τὸ κράτος εἶχε τὲ· καὶ ἐδόκει τοῖς ἐχθροτάτοις αὐτοῖς ἔχειν ἀνὴρ οἷς ἄν, ποιοίη τὲ καὶ λέγοι· καὶ ἀσφαλέστατα πάντα τρόπον
f. 361 καθωπλίσθαι | κατάφρακτος· καὶ πάντα τρόπον ὃν ἔξεστι τοῖς λόγοις· ἔννοιάν τε καὶ μέθοδον· καὶ τὴν λεκτικὴν αὐτήν, ἐπικαιρότατα χρῆσιν, ἀρτιόχρειος εἶναι τῇ δεινότητι τοῦ λέγειν.

13. Τὴν ποικιλίαν δ' αὐτὴν τῶν σχημάτων, τά τε ἄλλα ὅσα πρότερ' ἔθιμα τῆς τέχνης· καὶ μὴν ἔθ' ὑπ' αὐτῷ μάλιστα

12,6 αὐτοῦ V[2] e corr. **10** ὥσπερ VGi: an ὅσπερ scribendum? **24** ἔννοιαν V: εὔνοιαν Gi

12,4–13,1 Ps.-Luc., Demosth. enc. 33–34 (III, pp. 277, 23 – 278, 16) **13,1–10** cf. Phot., Bibl. 265, 491b40–492a5 (VIII, p. 59)

καινισθέντα καὶ εὑρημένα καὶ τὰς ἐπαναφορὰς καὶ τὰς ἐπιστροφὰς ἐν παντὶ τῷ παραστάντι κάλλιστ' ἐν καιρῷ καὶ τὰς περιοδικὰς συστροφάς, τί τίς ἂν φαίη; περιοδικαῖς μέντοι περιγραφαῖς ἐπιτόμοις αἷς ὁ Δημοσθενικὸς λόγος ὅσα καὶ νεύροις ἔσφιγκται καὶ τετόνωται, οὔτ' οὐδεὶς πρὸ αὐτοῦ οὔτε μάλιστα τῶν εὐδοκιμησάντων μετ' αὐτόν, ἐγγύς ἐστι τῷ ἀνδρὶ παραβάλλειν. ὅλως δὲ τὸ περιοδικὸν αὐτὸ σχῆμα τῆς ἑρμηνείας, πολὺ μάλιστ' εὔχρηστον καὶ ἀνυσιμώτατον ταῖς ἐμβολαῖς καὶ ἐπιχειρήσεσι τῷ Δημοσθένει καθάπερ τὰ ἀμφήκη τῶν ξιφῶν, αὐτός γ' ἐστὶν ὁ καθυποδείξας σχεδὸν καὶ ὥσπερ στομώσας· κἂν εἴ τισι πρὸ αὐτοῦ γε μὴν, ἀμηγέπη κατὰ χρῆσιν ἦν, οὐκ οἶδ' οἷστισιν, οὐδ' ὅσοις, ἀτημέλητον ὂν· καὶ ὅσοι μετ' αὐτὸν ἐχρήσαντο, οὐκέτι μέν γε τῶν ἁπάντων οὐδεὶς κατ' αὐτόν· ἀλλὰ πολὺ λείπονται. καθόλου μὲν οὖν ὁ Δημοσθένης ταῖς περινοίαις βρύων καὶ πολυφορώτατος ὤν, ἐπιτομώτατα τῇ τῆς διανοίας ἀγγελίᾳ· καὶ περιβολῇ τῆς λέξεως ἔξωθεν χρῆται· εἴτε κατ' ἔθιμον φύσεως οὕτω τι καὶ συντεῖνον ὅλως τῇ δεινότητι· εἴτε πρὸς ἀνάγκην ὕδατος ξυμμετρούμενος. καὶ βραχύ τι κῶλον ἢ κόμμα· ἢ καὶ λέξις ἥτις ἄρ' ἐνίοτε, πολύ τι μεμέστωται τἄνδον τῇ διανοίᾳ· καὶ ἅπτεται κατὰ σκοπὸν δριμύτατα· καὶ βάθος ἔχει δεινότητος ὕφαλον, εἴ τις ἰχνεύειν δύναιτο, καθ' ὃ ξυμπίπτειν πᾶσα ἀνάγκη, καὶ ἔχεσθαι τὸν ἀντιδιατιθέμενον. ταῖς δέ γε περιόδοις αὐταῖς, πολύ γ' ἔτι τοῦτ' ἐστι. καὶ τοῦτο γὰρ ἡ φύσις ἐστίν, ὡς ἐρεῖν αὐταῖς, ἐν ὀλίγῳ κομιδῇ τοῦ δρόμου τῷ μήκει περιεστράφθ' ἐπιτομώτατα· καὶ συντονώτατα· καὶ εὐεφοδώτατα· καὶ ὥσπερ ἐν ἐπιεικῶς βραχείᾳ τινὶ σαγήνῃ θησαυρίζειν, πολυτίμητα κειμήλια· ἢ καθάπερ ἐν σαγήνῃ τοιαύτῃ μάλιστ' ὀλίγῃ, τὸ ἀντιπράττον ἅπαν· καὶ ἄρκυσιν εὐπεριορίστοις, ἄρρηκτά τε συνίσχειν αὐτόθεν καὶ ἄφυκτα. καὶ τοῦτο μέν γε καὶ αἴτιον ἂν εἴη τῇ Δημοσθενικῇ δεινότητι καὶ τῇ διοικήσει τῆς φωνῆς ἐμοὶ δοκεῖν πρὸς τὸ ταχὺ τῶν τοῦ λόγου δρόμων ὡς ἔφην τῷ ῥήτορι, τῆς ἐπιμελοῦς εἰ δή τῳ ἄλλῳ τοῦ περιοδικοῦ τούτου σχήματος χρήσεως, ὡς ἄν, ἐπικαιρότατα κατὰ σκοπὸν ἀνύτειν πρὸς τῇ ἄλλῃ πάσῃ διαχειρίσει τῆς εὐστομίας· καὶ πᾶσι καὶ παντοίοις τοῖς

13,13 ἀμηγέπη V, servavimus: ἀμηγέπῃ Gi **17** τῆς[1] corr. Gi: τῇ V
20 λέξις V: λέξιν Gi

3 cf. Alex. Soph., De fig. (p. 20, 30–32)

τρόποις· οἳ τὸν Δημοσθενικὸν τονοῦσι λόγον· καὶ κραταιὸν f. 361v αὐτόθεν ἀποφαίνουσιν | ἐνεργὸν ὡς μάλιστα τῶν ἀπὸ τοῦ παντὸς αἰῶνος ἁπάντων, κἂν ὅστις ἄλλος ἄριστ᾽ ἐχρήσατο καὶ τελεώτατα, ἀλλ᾽ οὔκουν μήποθ᾽ οὕτως, ὥστε τῷδε παραβάλλειν τἀνδρί· καὶ τῇ κατ᾽ αὐτὸν πυκνότητι· καὶ ὡσπερεὶ ζεούσῃ συνεχείᾳ καὶ ζωτικῇ. ὥστ᾽ ἔμοιγε καιριώτατ᾽ εἰρῆσθαι δοκεῖ καὶ τοῦ πράγματος ὄντως ἀξίως ἐν συναισθήσει βέλτιστα καὶ εὐαφῶς, ὃ Λεωσθένης φησίν, ὡς ἄρα μόνος ἁπάντων Δημοσθένης, ἔμψυχόν τε· καὶ ὡσπερεὶ σφυρήλατον τὸν τόνον τῶν λόγων προφέρει. ταύτην μέν γε τὴν περὶ τῶν τοῦ Δημοσθένους λόγων ἔννοιαν Λεωσθένους μέμνημαι πολλάκις ἔγωγε, κατ᾽ ἐμαυτὸν συλλογισάμενος· καὶ δοκιμάσας πρὶν· ἢ {πρὶν} τοῖς εἰρημένοις περὶ τούτου Λεωσθένει ξυντετυχηκέναι· καὶ (ναὶ μὰ τοὺς λόγους), κἂν εἰ μὴ καθάπαξ, ἁπάσαις ταῖς αὐτοῦ λέξεσιν, ἐνίαις δ᾽ ὅμως ὡσαύτως, περὶ τοῦ αὐτοῦ χρησάμενος· καὶ προσεῖχον εὖ μάλα τὸν νοῦν ἀτεχνῶς, ὅσα γ᾽ ἐμψυχωμένῳ τῷ Δημοσθενικῷ λόγῳ, θαυμάζων ἐκτόπως, ὅπως τὰ κατὰ νοῦν ἥκοντ᾽ ἀνὴρ περαίνει· καὶ δύναται λέγειν ἄντικρυς τῶν πραγμάτων, ἐνεργὸς τοῖς ἐν λόγοις ἀγωνίσμασιν, ὥσπερ ἄν, οἱ πὺξ ἀεθλεύοντες, αὐταῖς χερσὶ χρώμενοι. καὶ γὰρ ἅπαντες σχεδὸν ἄνθρωποι πεφύκασιν, ἐνδεέστερον ἅττ᾽ ἂν νοῶσιν εὐαφῶς μάλιστα τῶν πραγμάτων, προφέρειν, γλώττῃ καὶ ὁμιλίαις ἁπλαῖς· μὴ δ᾽ ἱκανοῦσθαι παντελείως πρὸς τὸ καίριον τῆς διανοίας, ἑκάστοτε καὶ τῆς χρήσεως· καὶ αὖ ἅττα δῆθ᾽ ἁπλῶς οὑτωσὶ λέγειν οἷοι τ᾽ ἂν ὦσιν, ἐν ξυγγραφαῖς, ἐκτιθέμενοι καὶ προδεικνύντες ἔτι μάλιστ᾽ ἐκπίπτειν τοῦ τελεσφόρου· μὴ μόνον τῶν ἔνδοθεν οἴκοι κατὰ διάνοιαν καὶ ἀσθενέστερον χρῆσθαι· ἀλλὰ καὶ τῶν ἀπὸ γλώττης αὐτῶν, οὑτωσὶ λόγων. καὶ τίς ὅλως ἱκανὸς ἐξισοῦσθαι, συντάττων βιβλία, ταῖς τε τοῦ νοὸς πρώταις ἐπιβολαῖς, καὶ ταῖς ἁπλαῖς αὖ ἀπὸ στόματος ἐμψύχοις τῶν νοουμένων ἀγγελίαις; Δημοσθένει δ᾽ οὕτως ἱκάνωται τὰ γεγραμμένα πρὸς τὸν ἔνδοθι καί γε δραστικώτατον ὄντα νοῦν· καὶ παντὸς τοῦ κατὰ καιρὸν τοῖς πράγμασιν ἐπιτυχέστατον, ὥστε καὶ πάσης περιγίνεσθαι κραταιότατα, τῆς

47 πρὶν delevimus **55** νοῶσιν corr. Gi: νοοῦσιν V **56** ἁπλαῖς V[1]Gi: ἁπλῶς V **58** ἅττα V: ἄττα Gi

42–44 Ps.-Luc., Demosth. enc. 14 (III, p. 268, 11–13) **55–58** cf. Metoch., Misc. 18 et Or. 10, 77, 1–6

κατὰ φύσιν ἑπομένης νόσου καὶ εὐτελείας· καὶ χρῆσθαι δυσκολίας· καὶ οἷον ἐμψυχῶσθαι τοῖς πράγμασι δοκεῖν· καὶ πολὺ τὸ ἐνεργὸν ἔχειν, κατὰ πᾶσαν τὴν τῆς διανοίας χρείαν· καὶ τὰς ἀρίστας καὶ παμπλήρεις τοῦ γιγνομένου παντὸς ἀναδόσεις τοῦ νοῦ καὶ τυπώσεις, ἀποπιμπλάναι παντάπασιν ἐκτὸς· καὶ καλλιγραφεῖν πᾶσιν ἐπεοικόσι χρώμασι καὶ βαφαῖς· βάπτοντι τὸν δονακίσκον καὶ κινοῦντι τὴν χεῖρα, πρὸς τὸ πεφυκὸς ἀμέλει κατὰ πρόθεσιν ἑκάστοτε ἑκάστοις.

14. Ὃ δ’ ἔμοιγε θαυμάζειν ἐπὶ πᾶσιν ὡς σχεδὸν ὑπερφυὲς ἔπεισι, τὸ δίαρμα τῆς φωνῆς τῷ ἀνδρὶ· καὶ ὁ τόνος· καὶ τὸ λογοειδὲς, ἐς τὸ | ἄκρον ἠσκημένον· καὶ φέρον δρόμον ἀπρόσκοπον· οὐδὲ f. 362
μήποθ’ ὑποχαλῶν καὶ καταπίπτον ὁπηοῦν· ὥσπερ ἂν, εἰ τοῦτο μόνον ἦν ὁ σκοπὸς αὐτῷ καὶ μὴ πρός τιν’ ἀνὴρ ἄλλην παραβαλλόμενος ἦν ἀνάγκην· ἀλλ’ εὐστομίας τὸ πᾶν ἦν ἐπίδειξις καὶ ἐπιμέλεια· καὶ τοῦτο δὲ μάλιστα μετὰ τοῦ ἀρχαιοτρόπου· καὶ τῆς παλαιᾶς ἐκείνης εὐγενείας τῇ ἑρμηνείᾳ· καὶ τοῦ σεμνοῦ παντὸς καὶ σωφρονικοῦ. τὸ γὰρ σὺν τούτοις κεκαλλιεπημένον ἅμα τὸν λόγον εἶναι καὶ τοσαύτην ἐν τῇ κατεπείξει τῆς πραγματειώδους χρείας ἐπιπρέπειν ἅμα μὲν ὥραν· ἅμα δὲ τόνον, καὶ τὸ λογοειδὲς ἀνένδοτον ὁπηοῦν διαρκεῖν, τοῦτ’ ἐστὶν οἶμαι ὃ πρὸς τῷ ἐμψύχῳ Λεωσθένην ἔπεισεν ἅμα, καὶ σφυρήλατον Δημοσθένει τὸν λόγον ἀνειπεῖν· τὸ συνεχὲς καθάπαξ καὶ συνεσφιγμένον, τοῦ λεκτικοῦ καθορῶντα τόνου· μετ’ ἀξιώματος καὶ μεγέθους ὑπερφυῶς ἡρμοσμένον· ὑπὲρ πάντα παλαιόν τε καὶ νέον, ἑνός γε τούτων ὁποτέρου δὴ μάλιστα γιγνόμενον· καὶ κομιδῇ συνισχημένον· οὐδέν γε περὶ θατέρου μέλον αὐτῷ· οὔκουν γε ὥστε καὶ προσέχειν ἐπιεικῶς κἀνταῦθα τὸν νοῦν.

15. Μεγέθει μὲν οὖν καὶ ὄγκῳ καθάπαξ ὁ λόγος ἀμφοῖν Δημοσθένει τε καὶ Ἀριστείδῃ καὶ ταῖς συντελούσαις ἄλλαις ἰδέαις

68 δυσκολίας V: δυσκολίαις corr. Gi **14,8** τῇ ἑρμηνείᾳ V: τῆς ἑρμηνείας corr. Gi **10** τῆς om. Gi

72–75 cf. Dion. Halic., Demosth. 46 (p. 231, 13–14) **14,11** cf. Ibid. 43 (p. 224, 5–7) **13** cf. supra, 13, 43–44 **15,1–16** Hermog., De id. 1, 11 (p. 277, 21–278, 2)

ἐνταῦθα καὶ ὑποκειμέναις ἐπιεικῶς, ὡς μάλισθ' ὡς ἔπος εἰπεῖν οὐσίωται· καὶ πᾶσι μὲν τρόποις· καὶ πᾶσι πράγμασιν· ἃ χαρακτηρίζει καὶ χρωματίζει τὰ εἴδη· μάλιστα δὲ ταῖς μεθόδοις. Ἀριστείδῃ μέν γε πλεῖστον ἐστὶ χρῆσθαι· καὶ ταῖς ἐννοίαις ἐνταῦθα· καὶ χρῆται μάλιστ' ἀνὴρ, ῥᾷον ἔχων, ἢ κατὰ Δημοσθένην, χώραν διδόντων αὐτῷ πρὸς τοῦτο καὶ χορηγούντων καὶ τῶν πραγμάτων, περὶ ἃ προύθετο τὰ πλεῖστα καὶ ἐσπούδακε. σπανίως γὰρ Δημοσθένης, ἐφ' οἷς συντάττει βιβλίοις, πράγμασι, δύναιτ' ἂν, ἐνταῦθα χρῆσθαι. τῇ δὲ λεκτικῇ πάσῃ διαχειρίσει μεγεθύνεται· κομιδῇ· καὶ τῷ λαμπρῷ καὶ ἀκμαίῳ καὶ περιβεβλημένῳ, πολύς ἐστι διὰ πάντων· καὶ τούτοις δὴ τοῖς ὑποκειμένοις εἴδεσι τῷ μεγέθει, πάνυ τοι συντείνεται, καὶ τὸν αὐτοῦ λόγον ἐξαίρει. ἀξιώματι μὲν οὖν ὥσπερ εἴρηται· καὶ σεμνότητος χρήσει περὶ τὸ λέγειν· καὶ ἄμφω τὼ ῥήτορε, πολύ τι νέμουσι· καὶ σχεδὸν ὡς εἰπεῖν τὸ πᾶν τῆς ἐπιμελείας καὶ τῆς σπουδῆς· καὶ τυγχάνουσί γε κατὰ πᾶν τὸ γιγνόμενον τοῦ σκοποῦ, ὡς μηδενὶ τῶν ἁπάντων λείπειν ὑπερβολὴν· ἢ ὥστε σχεδὸν ἐρεῖν κατ' αὐτὼ γενέσθαι. ταῦτ' ἄρα καὶ τοῦ τῆς ἀφελείας χρώματος ὀλίγον ἀμφοῖν, ἢ οὐδὲν μέτεστι· καὶ τούτου κατὰ πᾶν τὸ εἰκὸς εἰς τοὐναντίον ἔκδηλα φέροντος. Ἀριστείδης μέντοι παντάπασιν ἀλλοτριώτατα χρῆται· ὅς γε κἀν τισι τῶν αὐτοῦ, πᾶσα ἀνάγκη ταῖς ἐννοίαις εὐτελέσι καὶ τῷ τῆς ἀφελείας προσηκούσαις εἴδει χρώμενος, οἷαι δῆτ' εἰσὶ πρός τισι καὶ ἄλλοις· καὶ ἃ κατὰ τοὺς Ἱεροὺς ὑπ' αὐτοῦ κληθέντας Λόγους
f. 362v διέξεισι, πράγ|ματα χαμερπῆ, καὶ μυθαρίοις γραϊδίων ἐοικότα, ἐξαίρειν ἀμηγέπῃ πειρᾶται τῇ λεκτικῇ χρήσει· καὶ ὄγκου τί καὶ σεμνότητος νέμειν σφίσι βιάζεται· μὴ μεταπίπτων τῇ εὐτελείᾳ καθάπαξ τῶν ὑποθέσεων· ἀλλὰ τῇ εὐγενείᾳ τῆς γλώττης κἀνταῦθα μὴ τοιοῦτος ὁρώμενος, οἷος ἂν, καὶ εὐτελὴς δοκεῖν· καὶ περιφρονεῖσθαι· ἀλλὰ καὶ γιγνόμενος αὖ ὑπεράνω· καὶ φέρων ὑψηλῶς. οὕτω παντάπασιν ἀποποιεῖται τὸ τοιοῦτο τῶν λόγων εἶδος· καὶ ὅλως ἀπέστραπται πρὸς τὸ τῆς ἀφελείας ὕπτιον· καὶ ἀναβεβλημένον τὸ κατ' Ἀριστείδην φρόνημα· πλὴν εἰ μή που (καὶ

15,22 κἀν scripsimus: κἂν VGi **26** πράγγματα V **27** ἀμηγέπῃ V, servavimus: ἁμηγέπῃ Gi **32** ὑψηλῶς V^{1}Gi: ὑψηλὸς V

16–19 Ibid. 2, 10 (p. 383, 17–22) **20** Ibid. 2, 3 (p. 322, 5–6) **33–34** Ibid. 2, 11 (p. 397, 23–24)

τοῦτο πάνυ τοι βραχὺ καὶ σπάνιον διὰ πάντων τῶν αὐτοῦ, τόσων καὶ τόσων), τῇ κατὰ γλυκύτητ' ἀφελείᾳ χρήσαιτο· εὐλαβῶς ὡς εἰπεῖν· καὶ ξὺν φειδοῖ μάλισθ' ἁπτόμενος· καὶ τάχιστ' ἀπαλλάττων. ἔστι γὰρ καὶ τὸ ὅλον ἦθος αὐτῷ τῶν λόγων, ὑπέρσεμνον καὶ ἀρρενωπὸν καὶ καθάπαξ ἀνὴρ διαβέβληται πρὸς ἅπαν μείλιχον καὶ ἐρραστωνευμένον· καὶ κατατέρπον εὐτραπελίᾳ τινὶ καὶ εὐκολίᾳ τὴν ἀκοὴν· καὶ ὅλως ἐστὶν ἀταπείνωτος τῇ προθέσει τὲ καὶ αἱρέσει τοῦ ἀξιωματικοῦ· καὶ ὥσπερ δεδιότι ἐοικὼς ὁπηοῦν δόξαι τῇ ἑρμηνείᾳ θρύπτεσθαι (καὶ πολὺ κεχρωμάτισται κατὰ τὸ ἀρχαιότροπον ὁ λόγος αὐτῷ· καὶ ἀποίητον βλακείας ἁπάσης καὶ τρυφῆς καὶ ἡρωϊκὸν, ὑπὲρ πάντα παλαιόν τε καὶ νέον· καὶ Δημοσθένην αὐτὸν, τοῦτο τὸ μέρος), καὶ ταῦτα πόρρω δῆτα τῶν χρόνων νεώτερος ὢν, ἢ κατ' αὐτὸν, ἡνίκα καί τι δὴ πρὸς χάριν τοῖς σωφρονεστέροις ἐκκλίνειν· τοῖς δ' ἀσελγεστέροις καὶ κόρδακα καὶ βακχείαν ὁ καιρὸς ἐδίδου (καὶ ὁρῶμεν πολλούς γε τῶν κατ' αὐτὸν ἢ ὅτι ἔγγιστα τοῖς χρόνοις οὕτω), ἄλλως τε καὶ τὸ πλεῖστον· ἢ καὶ πᾶν σχεδὸν πρὸς τὸ τῆς τέχνης ἐπιδεικτικὸν ἦθος καὶ πανηγυρικὸν χρώμενος· καὶ ὥστε ἑορτάζων τῷ βίῳ. ἐνταῦθα γὰρ δὴ, βρύει μὲν τῷ γονίμῳ· καὶ περιττός ἐστι περιουσιάζων ἑκάστοτε ἐφ' ἑκάστοις ταῖς περινοίαις· καὶ πλεῖν ἀτεχνῶς ἢ κατὰ τὰ πράγματα πομπεύων δαψιλῶς τῇ ἐργασίᾳ· καὶ πλεῖστον ὀγκῶν καὶ ἐπαίρων, ὅ,τι ἂν ἡ πρόθεσις ᾖ· ἁβρῶς μὲν, ὑπερσέμνως δ' αὖ· καὶ πολυαρκῶς μὲν, ἀλλ' οὐκ ἀπειροκάλως· καὶ ὥρας μὲν προστιθείς τι τῇ πολυφορίᾳ· σωφρονικώτατα δὲ· καὶ πάσης ἐκτὸς ἀγωγῆς παρανόμου, πρὸς τὸ τῆς παλαιᾶς ἐκείνης εὐγενείας ἀρχαιότροπον· ἀλλ' ἄρ' οὕτω καθάπαξ ἔχεται τῶν αἰδεσίμων θεσμῶν ἐκείνων. καὶ πολλὰ γὰρ καινίσας ὡς αὐτός φησι· καὶ ἀληθῶς φησιν· ἐπὶ τῇ τέχνῃ, τὸ ἀγχίνουν μὲν καὶ τὴν εὐφορίαν ἐντεῦθεν προδείκνυσιν, ἀλλὰ καὶ οὕτως ἀπρὶξ ἔχεται τῶν προτέρων ἐκείνων νομίμων καὶ τῆς εὐλαβείας τῆσδ' οὐκ ἐξίσταται. πόθεν; ὅς γε τοσαῦτα πάνυ τοι πλεῖστα προενεγκὼν βιβλία| καὶ τὰ πλείω γ' ὡς εἴρηται μάλιστα f. 363
τὸν ἐπιδεικτικὸν τρόπον τῆς τέχνης, ἥκιστα καθάπαξ φωραθείη, κἂν, εἴ τις πολυπράγμων κἂν εἴ τις βάσκανος, ἐπιβούλως ἐτάζοι,

36 γλυκύτητ' corr. Gi: γλυκύτατ' V

36 cf. Hermog., De id. 2, 3 (p. 328, 23–24) **61–62** cf. Ael. Arist., Or. 28, 115 (p. 178, 1–6)

παρακεκινδυνευμένον τί καὶ διερρυηκὸς καὶ τῆς ἀρχαίας καὶ ἀμειδοῦς ἐκείνης ἀγωγῆς καὶ πανσέμνου προενεγκὼν καὶ κατορχησάμενος ὁτιοῦν ἀκρατῶς. καὶ θαῦμα μέγ᾽ ὡς ἀληθῶς, ὅστις ἄν, οἷος τ᾽ εἴη προσέχειν εὖ μάλα τὸν νοῦν ὅπως ἀνὴρ κράτιστος ἐστὶ καὶ ἡρωϊκὸς τὸν πρότερον ἐκεῖνον τῆς φωνῆς τρόπον· καὶ πάσης λαλιᾶς ἀκαίρου καὶ τρυφῆς ἐν λόγοις ἀνελευθέρου καὶ μειρακιώδους ἀνώτερος τῷ ἀποιήτῳ· καὶ ὡς δοκεῖν ἀτερπεῖ καὶ ἀκόμψῳ τοῖς χείλεσιν ἐρεῖν· καὶ τοῖς ὠσὶν ἀκοῦσαι, τῆς ἑρμηνείας ἀξιώματι σεμνυνόμενος καὶ πάσης κομμωτικῆς ἐπιτρίψεως καὶ βαφῆς ἐπιπλάστου καὶ νόθου καὶ φάντασμα μόνον ἐχούσης διάκενον καὶ καταπεπορνευμένον ἀωρίᾳ· καὶ τῆς κατὰ φύσιν εὐγενείας καὶ σωφροσύνης ἀλλότριον, γεννικῶς ὑπερφρονῶν· καὶ ἀστεμφὴς ὢν τὴν ὄντως ἀρετὴν τοῦ λέγειν· ὅσα γε τὸ ἐπιπολάζον ἔξω χρῶμα τῇ φωνῇ πρὸς ἡδονὴν τοῖς ἀμαθεστέροις καὶ νηπιώδεσι καὶ μὴ καθάπαξ τῶν ὡς ἀληθῶς καλῶν ἐπαΐουσι· καὶ ὃν τρόπον ἀπατηλῶς ἔχει τοῖς παιδαρίοις πρὸς τὸ συνέλκειν κατὰ βούλησιν τοῖς ὀρέγουσι τὰ μελίπηκτα μηδὲν ἴσως ἔχοντα χρήσιμον.

16. Καὶ Ἀριστείδης μὲν οὕτω σεμνὸς σεμνῶς καὶ πάσης ὀλιγωρεῖ μικρολογίας, ἔξωθεν τῇ γλώττῃ· καὶ μάλισθ᾽ ὃ προύλεγον καὶ σκοπὸς ἦν, πάσης ἀλλότριος ἐστὶν ἀφελείας καὶ εὐτελείας κατὰ τὸ ἑρμηνείας ἔθος· μόνῳ τῷ ἀξιωματικῷ ταύτης ἀκράτῳ διὰ πάντων τῶν αὐτοῦ συντεινόμενος. ἀλλὰ καὶ αὐτῷ Δημοσθένει κομιδῇ πρὸς ἀφέλειαν ἐπολίγον ἐστὶ κοινά· ἔστι δ᾽ ὅμως πλεῖν ἢ κατ᾽ Ἀριστείδην, διὰ πάντων εἰδῶν τῆς φωνῆς κεκραμένον διοικοῦντι τὸν αὐτοῦ λόγον· εἰ μὴ καὶ τοῦθ᾽ ὁπηοῦν ἀμέλει δεινότητος ἐστὶν, ὅστις οἶδεν ἀκριβέστερον ξυνορᾶν κατὰ χρείαν ἐν καιρῷ τόνδε χρῆσθαι τὸν τρόπον· ὅτι δῆτ᾽ οἰκεῖον καὶ πολὺ μάλιστα διαφέρον ἐνίοτε, τὸ διὰ σαφήνειαν πιθανὸν τῷ πολιτικῷ λόγῳ· οὗ δῆθ᾽ ὡς ἀληθῶς κανών ἐστι Δημοσθένης ὡς Ἑρμογένει τῷ διδασκάλῳ τῆς τέχνης κἀμοὶ δοκεῖ. τοιγαροῦν καὶ τῷδε τῷ

68 an καὶ[2] delendum vel lacuna statuenda? **69** ἐκείνης V[2]Gi: ἐκείνου V **16,2** ὀλιγωρεῖ μικρολογίας V[2] e corr. **4** ἔθος V[2] e corr. **9** οἶδεν corr. Gi: εἶδεν V

16,3 cf. Hermog., De id. 2, 3 (p. 324, 11–12) **7–8** cf. Dion. Halic., Demosth. 33 (p. 203, 3–12) et 8 (p. 143, 13–144, 5) **12–13** cf. Hermog., De id. 2, 10 (p. 381, 3–5)

κόμματι καὶ τύπῳ τῆς γλώττης πρὸς τὸ παριστάμενον τῆς χρείας, ἔστιν οὗ χαράττειν ἀξιοῖ, τὸν αὐτοῦ λόγον· καὶ χρῆται σπανίως μὲν τἀληθὲς ἐρεῖν ἐν τοῖς δημοσίοις αὐτοῦ λόγοις· χρῆται δ' ὅμως κἀνταῦθ' ὅπως ἄρα· ἐν δ' ἄρα τοῖς ἰδιωτικοῖς αὐτοῖς μάλιστα πλεῖον· καὶ πλεῖστον ὡς εἰκὸς ἀμέλει· καὶ κατὰ φύσιν τοῖς πράγμασι. καὶ ταῖς μὲν ἐννοίαις, οὐδ' ἔστιν ἄλλως διὰ τὸ πεφυκὸς τοῖς τῇδε πράγμασι· | καὶ τῇ περὶ ταῦτα διατριβῇ f. 363ᵛ
πάντως εὐτελές· καὶ εἰωθὸς τῇ τῶν ἀνθρώπων ἀγωγῇ· ἀλλ' ἄρα μὴ δὲ τῇ λεκτικῇ χρήσει λυσιτελεῖ πως κἀνταῦθα μήποτ' ἐξαίρεσθαι· καὶ χρῆσθαι πρὸς ὄγκον καθάπαξ καὶ ἀξιωματικῶς. τί γὰρ κοινὸν ἢ οἰκεῖον ταῖς τοιαύταις ὑποθέσεσι τῶν λόγων, καὶ τῷ μεγέθει τῆς φωνῆς καὶ τῇ λαμυρότητι· καὶ τῷ διάρματι τῆς ἀγγελίας ἐπ' αὐταῖς; δεινότητι μέν γε κἀνταῦθα κατὰ μέθοδον χρῆσθαι μάλιστα χώραν ἔχει· καὶ δῆθ' ὁ ῥήτωρ κἀν τούτοις ἐπιεικῶς χρῆται, εἰς ὅσον ἂν ἐξείῃ· καὶ οὐκ ἂν μήποτ' εἴη πορίσασθαι καὶ διοικῆσαι πλεῖον τε καὶ βέλτιον. καὶ Δημοσθένης ἐστὶν ὁ Δημοσθένης κἀνταῦθα· ὁ αὐτὸς ἑαυτῷ τοῦτο τὸ μέρος· καὶ τὴν χρῆσιν τοῦ λέγειν· μεγαλοφωνίαν δ' ὡς εἴωθεν ἐν τοῖς ἄλλοις, ἐνθάδ' ἀποποιεῖται καὶ οὐκ ἀξιοῖ συνεισφέρειν· οὐδὲ πρὸς αὐτοῦ, τόδ' ἀνὴρ ἔοικε τηνικάδε κρίνειν· καὶ μηδὲν ἧττον μὴ δὲ πρὸς τῶν πραγμάτων αὐτῶν (πόθεν; πολλοῦ γε καὶ δεῖ), ὅμοιον ἂν εἴ τις εἰς ἀγορὰν ἰών, ἐφῷ τῶν κατὰ χρείαν τί πρίασθαι, ἢ τῶν αὐτοῦ ἀποδόσθαι, τὰ ἐν τελεταῖς καὶ μυστηρίοις ἱεροπομπεῖν ἰόντι προσεοικότα σεμνά τε καὶ αἰδοῖα περιαμπίσχοι τὸ σῶμα καὶ περιβάλλοιτο ἐσθήματα· ἢ εἴ τις κατὰ δὴ χρείαν ὡσαύτως βαλανείῳ χρώμενος, ὁπλίζοιτο μάλα καρτερῶς ἀρεϊκώτερος καὶ κατάφρακτος ἀξιοίη τοῦ βαλανείου γίγνεσθαι. τί λέγεις ὦ χρηστὲ σύ; μελαγχολᾶν μὲν οὖν ἄνθρωπε καὶ παραπαίειν τοῦτ' ἐστὶν ὄντως, χωρεῖν οὕτω· ὃν γε καὶ αὐτὸ δῆτα, τὸ κἀπὶ τοῦ σώματος αὐτοῦ γυμνοῦ χιτώνιον, αὐτίκα αὐτόθεν ἀποδύεσθαι πᾶσα ἀνάγκη· καὶ διδόναι καθάπαξ ἑαυτὸν ἀπέριττον καὶ αὐτοφυῆ τοῖς ὑπηρέταις ἐπιτρίβεσθαι καὶ ἀπορρυπτεῖσθαι, τὸ σαρκίον.

17 κἀνταῦθ' ὅπως V[2] e corr. **19** οὐδ' V e corr. **25** λαμυρότητι V: λαμπρότητι dubitanter corr. Gi **39** ἀρεϊκώτερος V: ἀρεϊκώτερον Gi

15–21 cf. Dion. Halic., Demosth. 13 (p. 156, 8–22) **25** cf. Hermog., De id. 1, 9 (p. 264, 17) **41** cf. Luc., Tim. 34 (I, p. 324, 19–20)

17. Ταῦτ᾽ ἄρα καὶ Δημοσθένης καιριώτατος ἀνὴρ χρῆσθαι λόγοις, χρῆσθαι μὲν οὖν αὐτοῖς πράγμασιν, οὐκ ἀξιοῖ πολὺ δῆτα χρῆσθαι τῷ διάρματι· καὶ τῇ εὐτονίᾳ τῆς γλώττης, ἐν τοῖς ἰδιωτικοῖς τῶν λόγων αὐτοῦ· τοῦ προσήκοντος ἑκάστοτε ἑκάστοις καὶ πεφυκότος γιγνόμενος· καὶ τῷ εὐτελεῖ τῶν πραγμάτων καιριώτατα τὴν λεκτικὴν συνδιατιθέμενος· ἐπεὶ ὅτι γ᾽ ἐν τοῖς ἄλλοις τίνι μάλιστ᾽ ἐμέλησε Δημοσθένους πλεῖν ἀξιώματος καὶ μεγέθους ἐν τῷ λέγειν· ἢ πόσοις δή τισι τοῦδ᾽ ἐμέλησε κατ᾽ αὐτὸν ἢ ὅτι ἔγγιστα; ὅς γε καὶ διαφερόντως ἐν τούτοις μάλιστ᾽ εὐεργέτης γέγονε τοῖς μετ᾽ αὐτὸν ἅπασιν ἐλλογίμοις τε καὶ δοκίμοις ἐν Ἕλλησι· καὶ ἡγεμὼν τῆς χρήσεως τῶν καλλίστων· καὶ ὡσπερεὶ πίναξ οἷον ἔμψυχος, κατ᾽ αὐτὸν τυποῦσθαι· καὶ αὐτῷ μὲν οὖν τῷ πάντ᾽ ἀρίστῳ μετ᾽ αὐτὸν Ἀριστείδῃ, ὡς καὶ μάλιστ᾽ αὐτὸς Ἀριστείδης φησίν. οὕτω διὰ πάντων ἐξέλαμψεν ἐν τῷ λέγειν ἄνθρωπος· καὶ μάλιστα μεγέθει καὶ ἀξιώματι σεμνός ἐστι· καὶ διὰ πάντων τῶν ἐνταῦθ᾽ ὑποκειμένων εἰδῶν· καὶ ἀκμῇ καὶ λαμπρό-
f. 354 τητι· καὶ τῷ περιβεβλημένῳ τῆς ἑρμηνείας | καὶ σφοδρότητι μὲν οὖν· ἔστιν οὖν καὶ τραχύτητι κατὰ καιρόν. οὐ γὰρ εἰκός ἐστιν ἐνταῦθα πλεονάζειν, τὸν ἐν δήμῳ καὶ πλήθει πολιτευόμενον· καὶ ἀκαίρως ἐλευθεροστομεῖν, ἐν ἀσυμφωνίᾳ πολλῶν· καὶ ἐξίσου κρατούντων· ποικιλίᾳ γνωμῶν, παραβαλλόμενον· ἢ τἀληθὲς ἐρεῖν δουλεύοντα· κἂν εἰ ἐνίοτε τὸ πικρὸν τῷ ἀνδρὶ κατὰ φύσιν τοῦ ἤθους, ἐκφέρειν ἐνταῦθα βιάζηται· καὶ ἐκφέρῃ μὲν οὖν· οὐ μήν γε ὥστε· ἀλλὰ καὶ μὴ αὖθις ἐπικρατέστερον εἶναι· καὶ περιγίνεσθαι τὸ τοῦ λογισμοῦ καίριον ἐφ᾽ ἅπασι. καὶ τίς γένοιτ᾽ ἄν ποτε Δημοσθένους ἐγκρατέστερος ἅπαν ἔσω καιροῦ τῷ λέγειν· καὶ παντὸς τοῦ εἰκότος, ἐπιτυχέστερος; ἀλλ᾽ ὅπερ ἔλεγον, διὰ πάντων ὁ ῥήτωρ ἐξαίρεται· καὶ τῷ ἀξιωματικῷ τῆς φωνῆς, πολύς ἐστι· καὶ νομοθέτης ἀτεχνῶς· καὶ ἡγεμὼν αὐτός ἐστι καθάπαξ τῆς τέχνης· καὶ πᾶσιν ἐκ τῶν αὐτοῦ κανόνων καὶ τύπων ἐστὶ χρῆσθαι· καὶ αὐτῷ γε μὴν οὐχήκιστ᾽ Ἀριστείδῃ, δευτέρῳ μετ᾽ αὐτὸν ἥκοντι (ἢ

17,2 οὖν V^2 in marg. **13** μετ᾽ corr. Gi: κατ᾽ V **18** an ἔστιν οὗ? **24** post ὥστε lacunam perperam statuit Gi | μὴ V: μὴν Gi **26** ἔσω scripsimus: ἔξω V; οὐκ ante ἔξω add. Gi

17,10–14 cf. Ael. Arist., Or. 46 (p. 398, 1–3) **17–18** cf. Hermog., De id. 1, 8 (p. 260, 17–18)

τί γὰρ ἄν, εἶχε βέλτιον χρήσασθαι· ἢ τῶν αὐτὸς αὑτοῦ πηγῶν οἴκοθεν, καὶ τῆς ἀναδόσεως, ἢ ἄλλου τῶν ἁπάντων ἐκλεξάμενος· ἢ τί γὰρ ἔμελλεν;), ἀλλὰ πάντ' ἄριστος, τῷ πάντων ἀρίστῳ καὶ βελτίονι· καὶ πάντ' ἀρίστῳ καὶ τελεωτάτῳ· καὶ μηδὲν ἐλλελοιπότι προλαβόντι τοῖς χρόνοις εἰς τὴν ἐργασίαν τοῦ παντὸς ἀγαθοῦ τοῖς λόγοις, κατὰ πᾶσαν ἀνάγκην προσέχειν τὸν νοῦν καὶ παραβάλλεσθαι;

18. Καίτοι τί λέγω; οὐ γὰρ μόνον τοῖς αὐτοῦ Δημοσθένους τύποις τὲ καὶ κανόσιν Ἀριστείδης ἀξιοῖ μεταχειρίζειν ὡς οἷόν τε τοὺς λόγους οὓς ἑκάστοτε προτίθεται· καὶ τῶν ἰχνῶν ὡς ἔπος εἰπεῖν τοῦ ἀνδρὸς, ἐπιμελῶς ἔχεται, ἀλλ' ἔστιν οὗ καὶ παλαιαῖς ἐμμελετῶν ὑποθέσεσι καὶ βουλεύων ὡς εἴρηται πρὶν κατ' ἄσκησιν προτέροις πραγματικῇ χρήσει ζητήμασι, ταῖς αὐτοῦ Δημοσθένους ἐργασίαις τρανότατα χρῆται· καὶ σχεδὸν ἐνίοτ' ἤδη καὶ λέξεσι ταῖς αὐταῖς διαπραττόμενος· καὶ καταπείθων ὡς μάλισθ' ἃ σπουδάζει. καὶ τοὖθ' ὁρᾶν ἐστιν, εὖ μάλ' ἐν οἷς, ξυμπίπτετον ἀμφοτέρω τὼ ῥήτορε, τοῖς αὐτοῖς πράγμασιν· ὡς ἔχουσιν ἀμφοῖν τὰ κατὰ τὰς τοῦ Φιλίππου, μάλισθ' ὑποθέσεις τῶν λόγων παλαίσματα· καὶ οἱ ἀγῶνες πρὸς τοὺς Ἕλληνας κατ' αὐτοῦ. καὶ μὴν ἔτ' αὖ ὅ τε περὶ τῆς Ῥοδίων ἐλευθερίας Δημοσθένους λόγος ὅ τε ὑπὲρ Μεγαλοπολιτῶν, οὐκ ὀλίγας κραταιοτάτας, συμπεφυκυίας τοῖς πράγμασιν ἐπιχειρήσεις, ἐχορήγησαν Ἀριστείδῃ τοῖς λόγοις· τοῖς τε ἄλλοις καὶ τοῖς Λευκτρικοῖς ἐπικεκλημένοις· οὓς μετὰ τὴν ἐν Λεύκτροις τῶν Θηβαίων νίκην, καὶ τὰ ἀπὸ Λακεδαιμονίων περιφανῆ τρόπαια τοῖς Ἀθηναίοις ὡς ἄν, βουλεύων, εἰσφέρει περὶ τῆς ἀμφοτέρων συμμαχίας, ἐφ' ἑκάτερα γυμναζόμενος θαυμασίως ὅπως ταῖς τε περινοίαις· καὶ ταῖς ποικίλαις· καὶ πολυστρόφοις καὶ βιαίαις εὑρέσεσι. καὶ θαυμαστὸν οὐδὲν, οὐδὲ νεμεσήσαι τις ἂν εἰκότως· εἰ φθάσαντος ἐκείνου τῷ χρόνῳ δοκίμου καθάπαξ | ἀνδρὸς οὕτω καὶ τελεωτάτου τὴν τοῦ λέγειν ἀρετὴν· καὶ τὰ καιριώτατα τοῖς πράγμασιν εὑρηκότος, αὐτὸς δεύτερος ἰὼν κατ' αὐτὸν· καὶ ξυντετυχηκὼς τέως εὑρημένοις τὲ καὶ εἰρημένοις, τοῖς αὐτοῖς ὡσαύτως, ἔπειτ' ἀξιοῖ χρῆσθαι· ἀλλ' οὐχ ἑκών γε εἶναι, τὰ χείρω τῶν βελτίστων ἀνθαιρεῖται· ἀφειμένος ἐπίτηδες αὐτῶν καὶ παρο- f. 354^{v}

18,11 κατὰ τὰς V^{2}Gi: κατὰ V **13** ὅ τε … ὅ τε V: ὅτε … ὅτε Gi
17 Λακεδαιμονίων V^{2} e corr.

ρῶν, τῷ γε δὴ φθάντα προειρῆσθαι. ἃ κἄν, αὐτὸς, πάντως, ἔσχεν ὡσαύτως, πορίσασθαι καὶ κατερεῖν· κἂν εἰ μὴ πρότερον σφίσι ξυντετυχήκει· τῆς αὐτῆς ὢν ἕξεως, ὡς ἀληθῶς καὶ δυνάμεως ἐκείνῳ καὶ τῶν βελτίστων ἑκάστοις μηδὲν ἧττον ἄν, ἐπιγνώμων εὑρέσθαι. καὶ τοῦτ' εὖ γε δῆλον, ἐξ ὧν ἄλλων ἑκάστοτε κατὰ χρείαν πορίζεται καὶ πηγάζει πολὺ, τὸ παρεμφερὲς καὶ συγγενὲς, ἐκείνοις ἐχόντων. εἰ γὰρ μὴ καὶ τἄλλα τὰ κατ' αὐτὸν οἴκοθεν πρὸς αὐτὰ δὴ τὰ ἐκείνου λόγον εἶχε· καὶ πρόδηλον εὖ μάλα τὸ οἰκεῖον καὶ γνήσιον σφίσι καὶ συνήρμοστο κατὰ τὸ πεφυκὸς ἅπαν εἰς ἑνοειδῆ καὶ τὴν αὐτὴν κρᾶσιν, ὡς ἂν ἀφ' ἑνὸς δή τινος κρατῆρος ὁμαλῶς καὶ παραπλησίως ἐκχεόμενα τοῖς χρωμένοις· καὶ ξυντυγχάνουσι, γέλως τοῦτ' ἄν, ἦν αὐτόθεν πλατὺς· καὶ πολὺ τὸ τῆς αἰσχύνης τῷ τυμβωρυχοῦντι τἀλλότρια· καὶ μὴ πρὸς αὐτοῦ· ὥσπερ ἂν εἴ τις ἐπὶ τρίβωνος καὶ ῥακίου προδήλου πιναροῦ, τήβενον ἀλλοτρίαν λωποδυτήσας ἐπαμπίσχοιτο· καὶ χλαμύδα κατάχρυσόν τε καὶ περιπόρφυρον. καὶ τοῦτ' ἂν ἦν, οὐκ οἶδ' ὡς εἴ τι μάλιστά ποτ' ἀληθῶς ἄλλο, τὸ τὰ ἀσύγκλωστα συνάπτειν τῆς παροιμίας· καὶ αὖ τὸ τῆς Δωρικῆς παροιμίας, τὸ μηδὲν εἶναι ποτὶ τὰν ὑπάταν τὰς λοιπὰς χορδάς· ὥστε καὶ παγγέλοιον ἂν ἐντεῦθεν ὕφασμά τε καὶ μέλος τοῖς ὁρῶσι τὲ καὶ ἀκούουσι συνείρεσθαι. νῦν δ' ἀλλ' οὐκ ἔστι μή ποθ' οὕτως ἐνταῦθα (πολλοῦ γε καὶ δεῖ), πάντα δ' ὅμοιος Ἀριστείδης, ἐφ' ἑκάστοις οἷς ἄν, φθέγγοιτο, τοῖς τε αὑτὸς αὑτοῦ καὶ τοῖς Δημοσθένους ἔστιν οὗ κατὰ χρείαν ἐπιλέκτοις· καὶ πάντα πολὺ μάλιστα θαυμάζειν κατὰ Δημοσθένην ἄξιος. καὶ εἰ οἷον τ' ἦν τὰ οἰκεῖ' ἀλλήλοις ἑκατέρῳ κατὰ συνθήκας ἀλλάξασθαι, παντάπασιν ἀζημίως, ἠλλάξαντ' ἄν· καὶ οὐκ ἄν, μήποτε ῥᾳδίως ἦν εὑρεῖν ὅτῳ γε ἀμφοῖν πλέον τί γέγονεν· ἢ τοὐναντίον. εἰ δὲ δεῖ τι καὶ τολμηρότερον ἐξειπεῖν περαίνοντα λοιπὸν τὴν περὶ τὼ ῥήτορε τώδε βάσανον ἀφειδήσαντα θράσους καὶ πάσης ἀγανακτήσεως ἴσως ἀκροατῶν, καὶ πᾶσαν ἐν δευτέρῳ νέμεσιν θέμενον, θαυμάζειν μὲν ὑπερβαλλόντως ἔγωγ' ἀξιῶ τὸν Δημοσθένους λόγον τὸ παντέλειον καὶ ἠκριβωμένον ἐνεργὸν τοῖς

30 ὢν V: ὂν Gi **31** τῷ ante τῶν add. Gi **35** λόγον V: λέγειν Gi **41** προδήλως maluerit Gi **42** τήβενον V, servavimus: τήβεννον Gi χλαμύδα corr. Gi: χλαμίδα V **50** αὑτοῦ correximus: αὐτοῦ VGi

18,45–47 Synes. Cyren., Ep. 41 (p. 65, 6–7)

πράγμασι, ἐπὶ τῷ καιρίῳ τῶν λεγομένων, πᾶσαν ἀρετήν· καὶ πάντα τρόπον τῆς τοῦ λέγειν χρήσεως· καὶ πλεῖν ἢ κατ' Ἀριστείδην ἴσως ἐμοὶ δοκεῖν· καὶ τὸν τόνον αὐτὸν καὶ τὸ δίαρμα τῆς φωνῆς ἀπρόσκοπον παντάπασιν ἰὸν ἀνενδότως ὁπηοῦν· καθ' ὃ δὴ καὶ Λεωσθένει, σφυρήλατος ὁ λόγος ὁ Δημοσθένους εἴρηται προσφυῶς, ἧπερ | εἴρηταί μοι πρὸ βραχέος ἀφορῶντι δοκῶ μοι f. 364 πρὸς τὸ σύντονον οὕτω δὴ καὶ ἀεί πως ἴσον, ἐπιμελῶς τοῦ δρόμου τῆς γλώττης· καὶ ὥσπερ ἄν, εἰ καθ' ὁμαλοῦ δή τινος πεδίου, ῥεῦμα πηγαῖον, ἀείρρουν ὅμοιον ἑαυτῷ καθάπαξ φέροιτο· ἀτὰρ δῆτ' αὖ Ἀριστείδην τοῖς ἐν τῷ νῦν γε εἶναι τοῦ χρόνου, καὶ τῶνδε καθ' ἡμᾶς τῶν πραγμάτων, λυσιτελέστερον ἀμηγέπῃ τοῖς ἐλλογίμοις· καὶ ὅσοι περὶ τὴν ἄσκησιν τοῦ λέγειν σπουδάζουσιν εἶναι ξυλλαγχάνειν· καὶ τῇδε κατ' αὐτὸν πειρᾶσθαι καὶ τρίβειν καὶ παραβάλλεσθαι. ἀτεχνῶς γὰρ ἐπὶ τῆς αὐτῆς οὖσιν ἡμῖν ἀγωγῆς τοῦ βίου καὶ τῶν πραγμάτων, κατ' αὐτόν· καὶ τῆς αὐτῆς τοῦ λέγειν χρήσεως· πλεοναζούσης ὡς ἀληθῶς τῷ τῆς τέχνης ἐπιδεικτικῷ πλεῖν ἢ κατὰ τἄλλα τῶν αὐτῆς εἴδη· καὶ ἐλευθερίῳ πρὸς τὴν φοράν, τίς ἂν γένοιτο κατ' Ἀριστείδην ὀνησιμώτατος, τοῖς πειρωμένοις καὶ συνασκουμένοις· εὖ μάλα τὸν νοῦν προσέχουσι τῇ πολυφορίᾳ τοῦ ἀνδρὸς καὶ ῥᾳστώνῃ μετ' εὐχρηστίας ἁπάσης καὶ ἀκριβείας αὖ; Δημοσθένης γὰρ ἄλλοις ξυμβιώσας πράγμασι· καὶ τὸ μέγιστον περὶ αὐτοῦ καὶ τῆς φύσεως θαῦμα ἐπιδειξάμενος· καὶ τὴν τελειότητα τῆς καλλίστης ἐν τῷ λέγειν ἕξεως, οὐ πολὺ χορηγοῦσαν καὶ κατ' Ἀριστείδην τοῖς νῦν χρωμένοις ὀρέγει τὴν πηγαίαν ἀνάδοσιν. εὖ μέντοι γε καὶ τοῦτ' αὖ οἶδα, ὡς ὁπότερον ἄν τις τοῖν δυοῖν θατέρου προέλοιτο, ὡς ἂν δή τινος ἀνάγκης ἐπικειμένης ἑνὸς τυχεῖν μόνου μὴ δῆτ' ἐξὸν ἀμφοῖν, ἐν καλλίστοις τὲ ἂν εἴη καὶ πολυκερδέστατος τῷ σκοπῷ καὶ τῇ χρήσει· ἀλλὰ καὶ αὖ ὡς ἂν μάλιστα διὰ θάτερον ζημιούμενος, μάλιστ' ἂν εἰκότως ἀγανακτοίη πρὸς τὴν αἵρεσιν· καὶ χαλεπὸς ἔχοι φέρειν.

66 ἴσον om. Gi **68** ἀείρρουν V, servavimus: ἀείρουν Gi **70** ἀμηγέπῃ V, servavimus: ἁμηγέπῃ Gi **85** προέλοιτο V: προσέλοιτο Gi **89** χαλεπὸς V: χαλεπῶς corr. Gi

64 cf. supra, 18, 13, 43–45

19. Ἃ μὲν οὖν ἔμοιγε προσσχόντι τὸν νοῦν ὡς ἄρ' ἐνῆν κατ' ἐμέ γ' αὐτὸν ἀμφὶ τώδε τὼ ῥήτορε· Δημοσθένην τὲ καὶ Ἀριστείδην ἐγγέγονε ξυνεωρακέναι, κἄπειτ' ἐρεῖν, ταῦτα ἐστὶ· καὶ μηκύνειν ἔτι, περιττὸν ἂν, ἴσως εἴη. πάρεστι δ' ὅστις ἂν ἀξιώσειεν ὅλως τοῖσδ' ἐντυχεῖν, ὡς ἄρα καὶ τὴν ἀρχήν μοι προείρηται, ψῆφον ἐκφέρειν, εἴθ' ὁπηοῦν τῶν προσηκόντων τοῖν ἀνδροῖν γιγνόμεθα καὶ τυγχάνομεν, εἴτε καὶ μή.

19,1 προσσχόντι V[2]Gi: προσχόντι V

19

Εἰς τὸν ὅσιον Ἰωάννην τὸν νέον f. 364

1. Διέτριβον μὲν ἐπὶ Θρᾴκης ὑπερόριος τῆς πατρίδος ἐν πόλει παρ᾽ Εὔρῳ μάλ᾽ ἔγγιστα ῥέοντι. Διδυμότειχον ἡ πόλις ὄνομα οὕτω. καὶ τοίνυν μονῇ δή τινι, ἣ τὰ πρῶτα τῶν κατ᾽ αὐτὴν, ποιουμένῳ τὴν οἴκησιν, οἷα εἰκὸς, συνήθεις μοι πλεῖστοι τῶν μοναχῶν γίγνονται· καὶ οὐκ ἄρ᾽ ἔπειθ᾽ οἳ κατ᾽ αὐτὴν μόνον, ἀλλ᾽ οἳ καὶ τὰς τῇδ᾽ ἄλλας μονὰς ἐπῴκουν. συγγινόμενοι δ᾽ οἱ ἄνδρες ἔμοιγ᾽ ἐπὶ πλεῖστον ὡς ἂν, ἀμέλει συνήθεις γινόμενοι· καὶ τοῖς ἐμοῖς ἀλγεινοῖς συν|διατιθέμενοι φιλανθρώπως· καὶ τῇ συμπεσούσῃ μοι νόσῳ f. 364^{v} μάλιστα πάσχοντες· καὶ κάμνειν πρὸς ἐπικουρίαν πᾶν ὅ,τί ποτ᾽ ἂν, οἷοι τ᾽ εἶεν αἱρούμενοι πρόθυμοι, παρρησίᾳ λοιπὸν ἐντεῦθεν ἀξιοῦσι πρός με χρῆσθαι. καὶ δῆτ᾽ ἔνιοι τούτων, «ἀλλὰ σύ γε πολλῇ» φασι «ξυνὼν σχολῇ νῦν εἶναι βέλτιστ᾽ ἂν, ἴσως δράσαις καὶ πρὸς σαυτοῦ, πρὸς εὐφημίαν εὖ μάλα κεκινημένος, τῷδε καθ᾽ ἡμᾶς ἀνδρὶ μακαρίῳ. καὶ τοῖς ἐκ μακροῦ γὰρ τέως Χριστοῦ δούλοις, καὶ ὑπηρέταις, ὅδ᾽ ἐστὶν ἐναρίθμιος ἀνδράσιν ἐκείνοις ἁγίοις· καὶ ὧν πολλὰ τὰ κλέα· καὶ πολὺς ἐν θαύμασι· καὶ κατὰ νόσων χαλεπῶν ἰσχυρὸς (μάλ᾽ ἐπίδηλον πολλοῖς κάμνουσιν ἑκάστοτ᾽ ἐπικαλουμένοις), καὶ τοῦτο συχνάκις, ἐπὶ πολλοῖς ἡμῖν μάρτυσιν. Ἰωάννης ὅδ᾽ ὄνομα νέος· μὴ πάνυ τοι τῶν χρόνων πόρρω τοῖς ἀσκητικοῖς οὑτοσὶ πόνοις διαφερόντως ἐνιδρώσας, ἐνθάδε τοῖς καθ᾽ ἡμᾶς τοῖσδε τόποις· ὅτι μάλιστ᾽ ἔγγιστα τῇ πόλει· καὶ κατ᾽ ἐκείνους ἄρα τοὺς πάνυ καὶ διαβοήτους θαυμαστῇ καὶ μακρᾷ τῇ μνήμῃ· τῶν χρόνων μὴν ἐκείνων, ὅτε Βασίλειος αὐτοκράτωρ Ῥωμαίων, ἐπὶ τῶν σκήπτρων ὢν, κομιδῇ κατὰ Βουλγάρων ἠρίστευε· παρὰ τοσοῦτον ἀμέλει κράτιστα, παρ᾽ ὅσον καὶ παρωνυμίαν ἐντεῦθεν εὑρέσθαι τῶν ἐπ᾽ αὐτῶν τροπαίων. καὶ τόδ᾽ ἂν ἴσως ἐν καιρῷ σοι» φασὶν «ἀτὰρ γένοιτο. τῶν νῦν ἐπὶ σοῦ πραγμάτων καὶ τῆσδε χαλεπῆς τῆς νόσου οὕτως ὄναιο. πρόθυμος, ἡμῖν προσθέμενος, τῷ μακαρίτῃ τῷδε τὴν γλῶτταν δός· ταχὺς ἀνύσας. χάρισαι μὴ

tit. Εἰς τὸν – νέον V^2 | ιη´ V^2 in marg. **1,2** Εὔρῳ V, servavimus: Ἕβρῳ De **10** οἷοι τ᾽ V^1 in marg. **16–17** ἰσχυρὸς χαλεπῶν primum scripsit V, deinde litteris βα suprascriptis ordinem invertit V^2 **26** ἐπ᾽ αὐτῶν V^{1}De: ἀπ᾽ αὐτῶν V

μᾶλλον αὐτῷ γ’ ἴσως ἢ σεαυτῷ. ὄναιο τῆς παρασκευῆς τῶν λόγων, ἐν ἀκμῇ πράγματος, τοσαύτη νῦν εἶναι. ὄναιο σεαυτοῦ καὶ τῆς γλώττης ὡς οὐ μήποτ’ ἄλλοτ’ ἄν, μᾶλλον». οὕτω δή μοι περὶ τὴν εἴσπραξιν ταύτην· καὶ τὴν τῆς εὐφημίας ἐκείνῳ συντέλειαν, ἐπιεικῶς οἱ ἄνδρες πολλοὶ γίγνονται· πολὺ μάλιστ’ ἐγκείμενοι. καὶ μὴ τοίνυν ἀναβάλλεσθαι· μὴ δ’ ἀποποιεῖσθαι τοὖργον ἐμοῦ τοῖς τῶν ἀνδρῶν παρακλητικοῖς ἔχων ἐγώ, καὶ ταῦτα πλείστας ἔχων καὶ μάλισθ’ ἱκανὰς ἀποσπᾶν τὰς προφάσεις ἐφῷ μὴ πρὸς τὴν αἴτησιν ἀπαντᾶν, μὴ δὲ προσίεσθαι τὴν πρόκλησιν ταύτην, πείθεσθαι· καὶ πρὸς ἐμαυτοῦ ποιεῖσθαι (ἢ πῶς γὰρ οὔ; καὶ πάντες ἴσασιν οἶμαι, καὶ οὐ μήποτ’ ἄν, ἀναγκαῖον εἴη προστιθέναι), οὐχ’ ἑκὼν μὲν μάλα τοι· οὐδὲ τοῦ καιροῦ ξυγχωροῦντος (εὖ γε δὴ τόδε δῆλον), πείθομαι δ’ ὅμως τοῖς προτρεπτικοῖς οὕτω δὴ τῶν ἀνδρῶν. ἢ τί γὰρ ἔμελλον· ἢ πῶς ἄρ’ ἄτρεπτος ἐνθάδ’ ἀξιοῦν, καὶ τῶν ἐμαυτοῦ κρίσεων ἔχεσθαι· καὶ μὴ καταθαρρεῖν ὅποί ποτ’ ἄν, τῷ πάντ’ εὐδρομοῦντι· καὶ περαίνοντι ῥᾷστα· καὶ τὰ μάλιστ’ ἐργώδη δοκοῦντα Θεῷ· μὴ πόρρω τοι νῦν ἐνταῦθ’ ἢ κατὰ τὴν αὐτοῦ βούλη-
f. 365 σιν | ἐπιβάλλων ὥς γε μοι δοκῶ· καὶ ἅμα φίλοις ἀνδράσιν, οὕτω μετ’ εὐχῶν ἐπείγουσι· καὶ χρηστῶν τῶν ἐλπίδων· καὶ κατὰ Θεὸν ὄντως κινοῦσι· καὶ κατὰ Θεὸν κινουμένοις ἴσως αὐτοῖς· καὶ πρός γ’ ἔτι τῇ τοῦ μακαρίτου τοῦδε Χριστοῦ θεράποντος καὶ πρὸς αὐτοῦ πολυδόξου τὲ καὶ τιμίου πάντως, ἐπικουρίᾳ τὲ καὶ συνάρσει πρὸς τοὖργον· καθ’ οὗ καὶ τὸ πρόθυμον ἡμῖν τόδε· καὶ ἡ τῆς εὐφημίας πρόθεσις καὶ οἱ λόγοι· καὶ τῶν λόγων ἡ πρόκλησις· τάχ’ ἂν καὶ μάλιστ’ αὐτοῦ τὴν ἀρχὴν ὑποθεμένου τὴν πρόκλησιν;

2. Ἐπεί δ’ οὖν ταῦθ’ οὕτως ἔχει· καὶ πρὸς τὴν τοῦ ἀνδρὸς εὐφημίαν, ὡς ἄν, ἐξείη, κατὰ τὸ παραστὰν τοῦ καιροῦ, ἀδόκητά πως ὡς εἰπεῖν ἡ πρόθεσις ἤδη τῷ λόγῳ, ἔξεστι μὲν ἀρχομένῳ λοιπὸν χρῆσθαι, καὶ παριδεῖν ἐνταῦθα νῦν ὅμως καὶ μὴ χρῆσθαι κατὰ τοὺς ἔξωθεν τοῖς τοιούτοις τῆς τέχνης νόμοις· ὡς ἄρ’ ἐκείνοις δηλαδὴ δοκεῖ χρῆναι τὴν πρώτην ἐπιβάλλοντας προστιθέναι· μᾶλλον δὲ προτιθέναι καὶ προφέρειν πρὶν τοῖς ἐπαινουμένοις, πρὶν ἢ τὰ καθ’ αὐτὸν ἕκαστον ἐπισκέπτεσθαι, καὶ ὁπόσ’ ἄν, εἴη φέρειν ἔξωθεν, καὶ πόρρω τοι τῶν χρόνων ἀνιέναι· καὶ κατεπιχειρεῖν ἐκ μακροῦ τῆς εὐφημίας· οἷον τὰ ἐκ τῆς πατρίδος σφίσι· τὰ ἐκ τῶν προγόνων τὲ καὶ πατέρων· τὰ τοιαῦτα· καὶ ἅττα κατάγει παλαιάν τινα σφίσι δοκοῦσαν εὐγενείας εὔκλειαν· καὶ τιμῆς ἐκδοχὴν ἐκεῖ-

θεν. ἔξεστι μὲν οὖν ὡς ἔφην ἐνταῦθα παρορᾶν τε καὶ παρατρέχειν· τοῦτο μὲν καὶ ὡς μηδὲν ἔχοντας ἐντεῦθεν τῷ ἀνδρὶ χρῆσθαι· τοῦτο δὲ, καὶ μάλιστα τοῦτο, ὡς εἰ ἄρα καὶ προσῆν ἅττα δὴ, μηδεμίαν ἄρ᾽ ἐκ τούτων ἔτι προσθήκην οὖσαν· καί τινα θαύματος ὄγκον· καὶ βάρος τοῖς ἐπαίνοις· μηδέ τι πλέον ἐντεῦθεν γιγνόμενον ἐκείνῳ (μὴ δὲ γὰρ μετεῖναι ταῖς ἀληθείαις παντὶ τῷ νῦν ἑκάστοτε προκειμένῳ τοῖς λόγοις, τῶν ἔξωθεν προτέρων καὶ ἀλλοτρίων, ὅπώς ποτ᾽ ἂν ἔχοι πάντως εὖ τε καὶ ὡς ἑτέρως· ἀλλ᾽ ἢ μόνον τῆς οἴκοθεν αὐτοῦ παρασκευῆς τε καὶ χρήσεως), ἔξεστι δὲ καὶ χρῆσθαί πως ἐνταῦθα τρόπον ἄλλον, ἢ κατὰ τὰ νόμιμα τοῖς τεχνικοῖς λόγοις· καὶ μάλισθ᾽ ὡς ἔπος εἰπεῖν, ἀπεναντίας σφίσι· καὶ θαυμάζειν ἀξιοῦν, καὶ πάνυ τοι δικαίως ἐνταῦθα, κἀντεῦθεν τὸν ἐπαινούμενον· ὁπότε μηδὲν, ὅ,τί ποτ᾽ ἄρ᾽ ἐκεῖθεν ἔχων ἀποφέρεσθαι γεννικὸν καὶ ἀστεῖον· καί τινά οἱ λαμπρότητα χαριζόμενον, ἀμηγέπῃ καὶ δόξης συντέλειαν, ὁ δὲ μόνος αὐτὸς οἴκοθεν αὐτοῦ, καλλίστη γέγονε τῷ βίῳ φορά· καὶ ὥσπερ ἐξ ὀστρεώδους· καὶ μηδὲν τίμιον ἐχούσης ἀωρίας, ὅσα καὶ μαργαρίτης ἀνεδόθη· ἀστράπτων ὥρᾳ· καὶ στίλβων· καὶ ἰδεῖν ἡδὺς· καὶ πολὺ τὸ τερπνὸν ἔχων· καὶ διέλαμψεν ἐπίσημος, οὐ τῷ γένει μᾶλλον, ἢ τῇ κοινῇ κατ᾽ ἀνθρώπους φύσει. πατρὶς γὰρ αὐτῷ, τῶν παντάπασιν εὐτελῶν αὕτη· καὶ πάντ᾽ ἀσήμων· κώμη τις | πρὸ τῆς ἄνωθεν εἰρημένης ἤδη πρότερον πόλεως, κατ᾽ αὐτὸν Εὔρον εὐπεριφρόνητος (ἀπορήσαι τις ἂν, ἐμοὶ δοκεῖν, εἰ καὶ κατ᾽ ἄλλην ἡντιναοῦν οὐ τῇδε μὴν ἀμέλει κατὰ χώραν, ἀλλ᾽ εἰ καὶ ἄλλῄ ποι ἴσως ἂν), βαρβαρικὴ καὶ τὴν κλῆσιν αὐτὴν· καὶ τὴν τῶν ἐποίκων ἅπασαν χρῆσιν. πατέρες δὲ καὶ τούτων ἔτι πατέρες, καὶ τούτων ἔτι· καὶ εἰς ὅσον οἷόν τ᾽ ἂν εἴη τοῖς προγόνοις τὲ καὶ ἀρχηγέταις ἀναχωρεῖν, παραπλησίως ἔχοντες· καὶ μάλιστ᾽ εἰκότα πάντως κατ᾽ αὐτὴν ἀμέλει τὴν πατρίδα πράττοντες· ἀγροῖκοι· καὶ περὶ πόνους γεωργίας τὸν ἀεὶ χρόνον ἔχοντες· χειρῶν ἐπιμόχθῳ καθάπαξ ἀσχολίᾳ· καὶ χρήσει τὸν πάντα βίον, τὰς τοῦ ζῆν ἀφορμὰς πορίζοντες· καὶ σφίσιν αὐτοῖς ἐπαρκοῦντες τἀναγκαῖα τῇ φύσει· καὶ ταπεινῶς ὡς μάλιστα χρώμενοι· οἰκόσιτοι τὸν ἀεὶ βίοτον ἐκ διαδοχῆς ἅπαντες· κἀπὶ μηδὲν ὁτιοῦν f. 365v

2,14 ἔχοντας V²De: ἔχοντες V **34** Εὔρον V², servavimus: Ἕβρον VDe **36** βαρβαρικὴ V: βαρβαρικῇ De **40** εἰκότα πάντως V¹De: εἰκότως πάντες V

2,28–29 cf. Plat., Phaedr. 250c

πλέον ἑαυτοὺς καὶ περαιτέρω τοῖς λογισμοῖς ἀνατείναντες· καὶ οὐδὲν μᾶλλον αὐτοὶ μήτε περιεργασάμενοι· μήτε δὴ ξυλλαχόντες ὅπως ἄρα, οἷα δὴ τὰ κατ᾽ ἀνθρώπους πράγματα· μὴ δὲ τοῖς ἐκ γειτόνων ὡς εἰπεῖν γνώριμοι· καὶ λόγον τινὰ λιπόντες ἑαυτῶν οἱστισινοῦν ἀνθρώποις· καὶ μνήμης ὁτιποτοῦν ἄξιον. οἵ δ᾽ ἄρα δὴ τοῦτο μόνον εἶχον εὐγενὲς καὶ πάντ᾽ ἀλώβητον (τὸ δὲ, καὶ πάντων ὡς ἀληθῶς κατ᾽ ἀνθρώπους τοὐπίσημον· καὶ πάσης εὐετηρίας ἐν βροτοῖς εὖ μάλ᾽ ἔχον, καὶ κάλλιστον ἁπάντων προύργου· καὶ κατὰ καιρὸν μάλιστα τῇ ζωῇ· καὶ πᾶσιν ὁπόσοι γενέσει δῆτα καὶ βιότῳ χρήσαιντ᾽ ἂν), τὴν περὶ Θεὸν εὐσέβειαν ἀκριβεῖς πάντῃ πάντες ἐβίουν· καὶ πάντ᾽ ἄνοσοι. καὶ τί γὰρ οὐκ ἔμελλον οὕτως ἄρ᾽ ἐκεῖνοι ἐν μέσοις οἶμαι καὶ χρόνων καὶ τόπων χριστιανικῆς θεοσεβείας· καὶ μάλισθ᾽ οὕτω κρατούσης ἀρχῆς συμβιοῦντες;

3. Τοῦτον μέν γε τὸν ἀληθῆ πλοῦτον· καὶ τὴν εὐγένειαν· καὶ τὸ κλέος, ἀνὴρ ἐκεῖνος ἔτ᾽ ἐκ βρέφους οἴκοθεν τοῦ κατὰ χώραν ἐθίμου καὶ τῶν πατέρων ἐκδεξάμενος, ἐπείπερ ἐφ᾽ ἡλικίας γένοιτο τὸν λογισμὸν ἐπικρατεστέρας, ἐπιμελὴς ἦν ἐπὶ τῶν ἱερῶν τοῖς θείοις λόγοις ἀκροατὴς· καὶ προσέχων μάλα τοι τὸν νοῦν· καὶ κατ᾽ ἐπιταγὴν ἀξιῶν σφίσι πείθεσθαι· καὶ μὴ τηνάλλως μόνον ἀκούειν· ἢ μὴ δ᾽ ὦτα ἔχων αὐτὸς οὐκ ἀκούειν· οὐδὲ συνιέναι τὸ πάλαι πρότερον ἐν κατάρᾳ κείμενον· μὴ δ᾽ ὥσπερ ἐν διαύλῳ σωλήνων τὴν ἀκοὴν τοῖς τῶν λεγομένων ῥεύμασι καταντλεῖσθαι μόνον παροδικῶς· καὶ τάχους ὅσον ξυγχωρεῖν αὐτίκα τὰ ῥεύματα παρατρέχειν· καὶ διολισθαίνειν· καὶ ἀπορριπίζεσθαι τῶν τῆς καρδίας ταμείων· ὥσπερ ἐπὶ τῶν πολλῶν τοῦθ᾽ ὁρᾶται, κακῶν· κακῶς τε f. 366 καὶ ὀλιγώρως ἑαυτῶν τὲ | καὶ τῶν βελτίστων ἑαυτοῖς· ἀλλ᾽ ἐπισκέπτεσθαι τίς ποτ᾽ ἐστὶν ὁ κατὰ τὸν δεσποτικὸν λόγον ἔχων ἀκούειν ὦτα· καὶ ἀκούειν προτρεπόμενος· καὶ κατ᾽ αὐτὸν ἐνεργὸς αὐτὸς εἶναι· καὶ ταχὺς καὶ πρόθυμος ἀνύτων. καὶ τοίνυν τῶν ἱερῶν ἀναμανθάνων λογίων τοῦ σωτῆρος ἑκάστοτε τά τε ἄλλα· καὶ ὡς «ὁ φιλῶν πατέρα, ἢ μητέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος»· καὶ ὅστις αὐτοῦ κατόπισθεν ἀκολουθεῖν βούλοιτο, τὸν δὲ, χρῆναι πρὸς τῷ πάντα τὰ τῇδε κατὰ τὸν παρόντα βίοτον φυγεῖν καὶ ἑαυτὸν ἀπαρνήσασθαι· καὶ τὸν αὐτοῦ σταυρὸν ἀράμενον κατωμαδὸν αὐτόθεν

3,7–8 Deut. 29, 3; Mt. 13, 13 **13–15** Mt. 11, 15; Marc. 4, 9 et 23; Luc. 8, 8 et 14, 35 **18** Mt. 10, 37 **18–21** Mt. 16, 24; Marc. 8, 34

ἕπεσθαί οἱ· πάντων παντάπασιν ἀνεπίστροφον· καὶ πρὸς πᾶν ἐργῶδες εὖ μάλα παρεσκευασμένον, ὀπαδὸν αὐτοῦ τοιοῦτον ἑαυτὸν αἱρεῖται· καὶ φυγὰς ἁπάντων τοῦ βίου· καὶ τεκόντων ὁμοῦ· καὶ πάντων ἐπιτηδείων· καὶ πάντων δεσμῶν, αὐτομολεῖ τῷ δεσπότῃ. καὶ ἐπεὶ μήποτ᾽ ἐστὶν ἄλλως πρὸς τοῖς ἄλλοις ἀποχωρῆσαι· καὶ φυγεῖν ἑαυτοῦ· καὶ κατὰ τὴν ἐπιταγὴν ἀπαρνήσασθαι, ὅτι μὴ κατὰ τὴν μεγαλόφρονα τῶν μοναχῶν ἔνστασιν, ἀλλαξάμενον τὰ πάντα· καὶ τὴν τοῦ κόσμου τοῦδε χρῆσιν ἅπασαν, τῶν τριχίνων ῥακίων καὶ τῆς τοῦ σταυροῦ καθοπλίσεως, ἐπὶ τῇ κατὰ τῶν δαιμόνων μάχῃ σφοδροτάτῃ, καὶ καθάπαξ ἐπιμόνῳ, νύκτας ἁπάσας· ἡμέρας ἁπάσας, καὶ πάντα δεινὰ, καὶ αὐτὸν τελευτῶν τὸν θάνατον ἑλόμενον ἀντὶ τοῦ Χριστοῦ· καὶ τῆς κατ᾽ οὐρανοὺς κληρουχίας καὶ μακαριότητος, πήξας ἐν τούτοις νέος ἐκεῖνος ἔτι πω· μάλισθ᾽ οὕτω δὴ καὶ κρατυνάμενος πλεῖν ἢ καθ᾽ ἡλικίαν γεννικῶς ἄσειστος τοὺς λογισμοὺς καθάπαξ, μεταλαμβάνει καὶ ἀμφιέννυται τὰ τῶν μοναχῶν· καὶ μετατίθεται τὴν σκηνὴν ἄλλως ἄρα τήνδε τοῦ βίου· καὶ τὸ θέατρον· καὶ τὴν ἐρημίαν διώκει σπουδῇ πάσῃ· ὡς ἐκεῖ μάλιστ᾽ ἐντευξόμενος τῷ ποθουμένῳ· Χριστῷ· καὶ ποθοῦντι μᾶλλον αὐτῷ· καὶ πρὸς ἑαυτὸν ἕλκοντι· κἀκεῖθεν ἀμέλει ῥᾷον χωρήσων εἰς οὐρανούς· καὶ τῶν ὑπερτάτων ἐπιληψόμενος· καὶ συνεσόμενος ἅμ᾽ αὐτῷ. καὶ γὰρ ἐκείνου, καὶ βούλησις ἥδε· καὶ πρόρρησις εἶναι, τὸ πιστὸν ἀναμφίλεκτον ἔχουσα· ὡς ὅπῃ ποτ᾽ ἂν, αὐτὸς εἴη καὶ τὸν, αὐτῷ καλῶς διακονήσαντα, πάντως συνεσόμενον· ἐπ᾽ ἀρρήτοις ὄντως· καὶ πάντα νοῦν καὶ λόγον, ὑπερβαίνουσιν ἀγαθοῖς.

4. Καὶ εἶχε τοιγαροῦν τὸν νέον ἐκεῖνον τὴν ἡλικίαν· καὶ πολιᾷ καὶ γήρᾳ τιμίῳ κοσμούμενον, ὃ μὴ ἀριθμῷ καταμετρεῖται· μὴ δὲ βιοτῇ πολυμήκει· συνέσει δὲ καὶ τῶν βελτίστων, αἱρέσει καὶ κρίσει κάλλιστ᾽ εὐπαγεῖ, ἡ κατ᾽ ἔρημον ἀποικία μόνον· ἁπάντων ἐν ἐρημίᾳ πάσης ἀνθρωπίνης ἐντυχίας· πάντων τῶν τῆς τροφῆς· πάντων τῶν τῆς ἁπάσης σκέπης ἀναγκαστῶν· πάσης, ἣ κατ᾽ ἀνθρώπους, καθάπαξ χρείας. καὶ εἶχεν ἀμέλει κατ᾽ | ἐκεῖνον τὸν f. 366v
ὁμώνυμον αὐτῷ πάλαι πρότερον ἐξέτι νεαρᾶς τῆς ἡλικίας, πατρί-

3,27 ἑαυτοῦ V[1]De: ἑαυτὸν V **45** ὄντως V[2]De: ὄντος V

42–45 Io. 12, 26

δος· καὶ γένους· καὶ τεκόντων· καὶ πάσης ἀνθρώπων κοινωνίας δραπέτην· ταῖς ἐρήμοις ἔποικον, τὸν τοῦ δεσπότου Πρόδρομον καὶ βαπτιστὴν αὐτόν. καὶ εἶχεν ἔθ᾽ ὡσαύτως κατὰ τὸν ἔνθεον· καὶ ζηλοῦντα Θεῷ παντοκράτορι θαυμαστὸν ἐκεῖνον Ἠλίαν· τὰς ἐρήμους ἄσκευον ἁπάντων οἰκοῦντα πολλῶν ἐτῶν· καὶ πάσης ὡς εἰπεῖν τῆς ζωῆς· καὶ τρίβοντα· καὶ μοναυλοῦντα, τῷ πάντων ἐπόπτῃ Θεῷ· καὶ ξυγγινόμενον ἀσχολίᾳ πάντων πάσῃ. καὶ ἦν ὡσαύτως τῷδε τῷ ἀνδρὶ τά τε ἄλλα, τοῖς μεγάλοις ἐκείνοις ἐπ᾽ ἐρημίας, κοινὰ καὶ παραπλήσια· καὶ τὰ τῆς εὐτελείας περιβόλαια τῇ σαρκί· ζῴων ἀλόγων ἀπαμφιέσματα· καὶ ταυτὸν εἶχον εὖ γε δῆλον αὐτῷ τε τὰ τρίχινα τῶν ὀΐων ῥάκια· καὶ Ἠλίᾳ τῶνδ᾽ ἐξ αὐτῶν ἡ μηλωτή· καὶ τὰ ἐκ καμήλων· καὶ ἡ δερματίνη ζώνη τῷ βαπτιστῇ.

5. Ἐπὶ ταύτης τοίνυν τῆς ἐρημίας ὁ θαυμαστὸς ἐκεῖνος· καὶ πάντων ἀποχωρήσεως· καὶ καθάπαξ ἀπολύτου βιώσεως παντὸς τοῦ βίου· καὶ πάντων ἀνθρώπων τὲ καὶ πραγμάτων, αὐτῷ μόνῳ ζῶν τῷ Θεῷ· αὐτῷ μόνῳ προσορῶν· αὐτῷ μόνῳ προσευχόμενος καὶ πονῶν, τῷ τὰ ἐν κρυπτῷ ταῦτα βλέποντι· καὶ κομιδῇ λαμπρῶς, εἰς προῦπτον ἀποδιδόναι τὰς ἀμοιβὰς ἐπαγγελλομένῳ· καὶ οὐ μόνον ἐπὶ τῆς φοβερᾶς ἐκείνης αὖ παρουσίας αὐτοῦ· καὶ τοῦ παγκοσμίου τηνικάδε θεάτρου· ἀλλ᾽ ἔσθ᾽ ὅτε κἀν τῇ παρούσῃ ζωῇ, μεγάλους ἐνετείνατο τοὺς ἀσκητικοὺς ἀνὴρ καμάτους, τῷ τῶν πόνων καὶ τῶν ἄθλων ἐπόπτῃ τὲ καὶ ἀγωνοθέτῃ· καὶ βραβευτῇ τῶν ἐπάθλων Χριστῷ· καὶ πολλὴν καὶ ὑπερφυῆ τὴν κατὰ τοῦ σώματος ἀγωνίαν· καὶ παιδαγωγίαν· καὶ πάλην· ὡς ἂν, αὐτὸ προσαγαγεῖν τε καὶ ἀποδοῦναι, τῷ πρὸς φῶς ἀγαγόντι· καὶ δεδωκότι· καὶ δεδημιουργηκότι πάντ᾽ ἄνοσον καὶ ἀτεχνῶς ἄυλον. καὶ τὴν ψυχὴν μὲν εἰς οὐρανοὺς ἐπτέρου ταῖς κατὰ νοῦν ἀναβάσεσιν· αὔραις καταπνεομένην ἄνωθεν θεοφορήτοις· καὶ τὸ σῶμα δ᾽ αὐτὸ, πάντα τρόπον ἐκκαθαίρων καὶ ἀποκόπτων πάσης γαιηρᾶς

4,13 οἰκοῦντα ἁπάντων primum scripsit, deinde litteris βα suprascriptis ordinem invertit V **5,17** αὐτὸ V²De: αὐτῷ V | γαιηρᾶς V, servavimus: γεηρᾶς De

4,10 Marc. 1, 4 **12** III Reg. 19, 14 **14** cf. Metoch., Carm. 3, 143 (p. 79) et Or. 10, 54, 12 **20** III Reg. 19, 13; Mt. 3, 4 **5,4** cf. Phil. Iud., De mut. 213 (p. 178, 30) **5–6** cf. Mt. 6, 4 et 6 **16** cf. Phil. Iud., De spec. leg. 3, 5 (p. 130, 9)

προσπαθείας· καὶ ῥᾳστώνης· ᾗ μάλιστα κατασπῶντος βάρους παντὸς, συνανεῖλκε κουφίζων τὸ σύζυγον· ἄτμητον δοῦλον αὐτῇ· καί τισιν ἐνίοτε δυσνοϊκὸν καὶ μάλιστ᾽ ἐπίβουλον, τοῖς ἀπροόπτως αὐτοῦ καὶ ὀλιγώρως ἔχουσιν· ὥσπερ ἐνίους πολλάκις ὁρῶμεν ἀμέλει κακοήθεις ἐφέδρους ἐπιτίθεσθαι τῶν συντρόφων καὶ κοινῶν καὶ δούλων.

6. Καί τί τίς ἂν φαίη λοιπὸν ἔπειτ᾽ ἐνταῦθα· ἢ πῶς ἂν οἷος τ᾽ ἐρεῖν, ἱκανῶς τὲ γένοιτο περὶ τῆς ἐκεῖσε ταλαιπωρίας· καὶ νικώσης μικροῦ τὴν φύσιν καρτερίας τῷ ἀνδρὶ· ἣν τάχ᾽ ἄν, καὶ αὐτά μοι δοκῶ τὰ καθάπαξ ἄλογα κατοπτεύοντα κατεθαύμασαν ἐκείνῃ σύνοικα θηρία καὶ | σύσκηνα· μᾶλλον δὲ τἀληθέστερον f. 367 ἐρεῖν καὶ οἰκειότερον, ἢ θαῦμα καὶ τοῖς ἀγγέλοις αὐτοῖς καὶ ταῖς νοεραῖς οὐσίαις καὶ ἀΰλοις ἄνωθεν ἐποπτεύουσι κατὰ πᾶν τὸ εἰκὸς ἦν; καὶ γὰρ ἦν κατ᾽ ἐκείνους ὡς εἰπεῖν πρᾶγμα· καὶ καινὸν οἷον ἐκτόπως· ἄνθρωπος ἀνύτων δίχα σχεδὸν ἁπάσης μετουσίας ὧν ἀνθρώποις ἔτι ζῶσι τὸν παρόντα βίοτον δεῖ· ἀνεπίστροφος καθάπαξ· ἀπροσδεής (οὔ τι μέλον αὐτῷ τροφῆς· οὔ τι μέλον αὐτῷ σκέπης· οὔ τινος περιβολῆς τῷ σώματι), βιαζόμενος ὥσπερ διαβῆναι τὴν παροῦσαν φύσιν· τὴν ἐκ τῆς ἀρχαίας ἐκείνης παρακοῆς ἐπαχθισθεῖσαν ἡμῖν καὶ ὡς ἐν ἀνεκφύκτῳ κατέχουσαν εἱρκτῇ· καὶ δεσμοῖς τῆς σαρκὸς ἀλύτοις· καὶ ζῆσαι κατὰ τὴν πρώτην ἐκείνην ἔνθεον πλάσιν ἀνθρώπου· καὶ βίον ἄσκευον ἐν Ἐδὲμ· καὶ μὴ πεφυκότα δεῖσθαι· καὶ ὡντινωνοῦν ἐντεῦθεν καὶ τῆς ὕλης εἰς ἐπικουρίαν ὥστε καὶ διαρκῶς εἶναι· καὶ ὧν τοῖς μεθύστερον ἐκεῖθεν, ἔτι πω νῦν ἀνάγκη δεῖσθαι. εἰ δέ τι γε καὶ εἶχεν ἐντεῦθεν αὐτὸς χρῆσθαι μᾶλλον δ᾽ ὁπῃοῦν κἀνταῦθα κατὰ σῶμα, καὶ τόδ᾽ ἀμέλει παντάπασι φλαῦρον ὂν· καὶ οὐδὲν πρὸς λόγον ὅσα καὶ μηδὲν σχεδόν. ἢ πῶς γὰρ οὔ; ᾧ γε παρὰ πολλοῖς ἔτεσιν ἤρκεσεν, εὖ μάλ᾽ οὕτω βιοῦντι, πρὸς τροφὴν τὰ ἐκ τῆς γῆς σχέδια· καὶ χλόη· καὶ βοτάνη τῶν ἀήθων χρῆσθαι κατ᾽ ἀνθρώπους· ἀλλ᾽ ἢ μόνοις ἀναδιδομένη· καὶ ἀπονενεμημένη κτήνεσι· καὶ ζῴοις ἀλόγοις· κἂν εἴ ποτε καὶ μάζα τὴν ἀρχὴν ἴσως· εἰ δέ ποτε καὶ μεθύστερον οὐκ οἶδ᾽ ὁπόθεν τῷ παντάπασιν ἀγνοουμένῳ· ὁπόση τὲ

22 κακοήθεις ἀμέλει primum scripsit, deinde litteris βα suprascriptis ordinem invertit V **6,2** ἱκανῶς V[1]De: ἱκανὸς V **22** ᾧ γε V: ὅ γε De **24** χλόη καὶ βοτάνη V: χλόῃ καὶ βοτάνῃ coni. De

καὶ αὕτη· καὶ ὁπόσον τοῦ καιροῦ· καὶ ὁποία δὴ τελευτῶσα· καὶ χρόνου πάντως οὐκ ὀλίγου παρολκῆς ἀπολαύουσα· καὶ ὕδωρ εἰς πόσιν αὐτῷ, ὡς τοῖς θηρίοις καὶ αὐτὸ τοῦ ἀγροῦ· τὸ ποτὸν ἄφθονον ἐνσκευασθὲν τῇ θεϊκῇ προνοίᾳ καὶ ἄπονον· καὶ τρίχινον εἰς ἀναβολὴν τῷ σώματι χιτώνιον μόνον· οὔποτε συνδυασθὲν (ἢ πόθεν ἂν, ἐπὶ τῆς ἐρήμης ἐκείνῳ· καὶ πᾶσιν ἀνθρώποις ἀκοινωνήτου;), κἂν εἰ πάντ᾽ ἀνέμων καὶ τῆς ὥρας γίγνοιτο χαλεπὰ· καὶ σώμασι γυμνητεύουσιν ἐργώδη· καὶ τοῦτο δὲ πᾶσα ἀνάγκη διερρωγὸς τῷ χρόνῳ· καὶ πρὸς πᾶσαν ἐπείγουσαν χρείαν ἀνίκανον αὐτὸ καθάπαξ ἐξίτηλον· ἴσα καὶ εἰ μὴ παρῆν, καὶ περιέκειτο τὸ σαρκίον· καὶ πρὸς μηδὲν ὅλως μήποτε πρᾶγμα χρήσιμον· μὴ πρὸς χειμῶνας· μὴ τοὐναντίον αὖ, πρὸς ἡλίου φλογώσεις καὶ καύσωνας. ὃ δ᾽ ἔτι προσεπιτείνων οἶμαι· καὶ προστιθεὶς τῷ καλῷ σκοπῷ καὶ τοῖς κατὰ Θεὸν πόνοις, χῶρον εὑρών τινα σπηλαιώδη καὶ πᾶσιν ἀνθρώποις ἀστιβῆ τε καὶ ἄβατον· καὶ τῆς τετριμμένης παντάπασιν ἀπόστροφον καὶ ἀπέλαστον· διορυγῆναι καὶ πλεῖν ἔτι πω δυνάμενον, τὸν δὲ, καὶ διορύξας, ὡς ἂν οἷος τ᾽ ἦν πρὸς εὖρος ὁτιοῦν σύμμετρον τῇ προθέσει καὶ μῆκος, τούτῳ φέρων ἑαυτὸν ὁ
f. 367v γεννάδας εἰσοικίζει· λανθάνειν ἔοικεν | ἐπειγόμενος· καὶ ἀποκρύπτεσθαι πάντας ἀνθρώπους· ὡς ἂν, μὴ δ᾽ ἄκων· μὴ δ᾽ ἑκοῦσι τισὶν ὁτὲ, μὴ δ᾽ ἄκουσιν ἐντυχεῖν ἔχοι. ὢ μακαρίας ἐκείνης μοναυλίας ἀνὴρ· ὢ μακαρίας σκηνῆς. ὢ καλλίστου θαλάμου, τὴν ἄνω περιφανῆ καὶ θαυμαστὴν προμνωμένου πόλιν, τὴν τῶν δικαίων μητρόπολιν· τὴν ἐπὶ τῶν χειρῶν τοῦ Θεοῦ· καί τινα περίλαμπρον ἐν αὐτῇ μονὴν καὶ τερπνοτάτην οἰκεῖν· ὧν πολλῶν ἐκεῖσε μονῶν τοῖς αὐτοῦ σπουδασταῖς πρὸς λόγον ἑκάστῳ κατὰ τὸν θεῖον λόγον ὁ δεσπότης φθάσας, εὐτρεπίζει καὶ προπαρασκευάζεται.

7. Ταύτην οἰκεῖ τὴν διώρυχα, σπουδῇ μάλιστ᾽ ἀνύσας· μόνος ἀπὸ παντὸς τοῦ κόσμου, μόνῳ Χριστῷ· καὶ οὐ μόνῳ μὲν οὖν· ἀλλ᾽ ἅμα τῷ ἀχωρίστῳ Πατρὶ· καὶ τῷ πάντως ὡσαύτως ἀχωρίστῳ Πνεύματι, κατὰ τὴν αὐτοῦ τοῦ σωτῆρος ἐπαγγελίαν· τοῦ τοῖς τοιούτοις αὐτόθεν ἐπιδημοῦντος πρὸς αὐτὸν ὁρῶσι· καὶ διαφερόν-

29 πάντως V^{2} e corr. **37** αὐτὸ V^{1}De: αὐτῷ V

6,30 Gen. 2, 19–20; Is. 43, 20 **50–51** cf. Gal. 4, 26 **52–54** cf. Io. 14, 2
7,1–6 cf. Io. 14, 23

τως ἐρωτικῶς ἔχουσιν αὐτοῦ· καὶ μονὴν ἅμα τῷ Πατρὶ ποιουμένου. ἐνταῦθ᾽ ὡς εἰκὸς ξυλλογίζεσθαι κἂν εἰ μή τινάς ἐστιν ἀγγέλους ἔχειν ἐκεῖθεν, διὰ τὴν τοῦ ἀνδρὸς πάντων ἐρημίαν καὶ μόνωσιν· καὶ τῶν πραττομένων ἐπόπτας καὶ μάρτυρας, τοῦ γε πράγματος αὐτοῦ μονονοὺ φωνὴν ἀφιέντος καὶ προκηρύττοντος, ἐπιδίδωσι τοῖς ἀσκητικοῖς πόνοις· ἐπιτείνει πάντως τὰς ἀσιτίας· τὰς χαμευνίας· μᾶλλον δὲ τὰς ἀγρυπνίας· τὰς στάσεις· τὰς τῶν γονάτων κλίσεις· τὰς ἐμμόνους προσευχὰς τῷ Θεῷ· τὴν πᾶσαν ταπείνωσιν τῆς σαρκός· τοὺς πρὸς τὰ ἄνω τῆς ψυχῆς δρόμους· τὴν προκοπὴν καὶ τὴν κτῆσιν ἅπασαν τοῦ καλοῦ καὶ τῆς ἀρετῆς· καὶ ὡς ἀληθῶς οἶμαι κατὰ τὸν εὐαγγελικὸν ἄριστον ἔμπορον τὸν ἐγκεκρυμμένον ἐκεῖσε τῇ διώρυχι θησαυρὸν, τῆς κατὰ Θεὸν ἀγωγῆς καὶ βελτιώσεως ἐπινοήσας καὶ εὑρηκὼς, πάντων ἀπαλλαγεὶς· καὶ πάντων αὐτὸν ἀλλαξάμενος, φιλοπονεῖ τε καὶ ἀνορύττει· καὶ ἰδιόκτητον πρὸς αὑτοῦ ποιεῖται· λανθάνων ἐπὶ τῷ μεγάλῳ τῷδε κέρδει πάντας ἀνθρώπους.

8. Χρόνος πολὺς ἐξ οὗ τὴν δραπέτιν ταύτην αἱρεῖται πάντων βίωσιν ἐν μονώσει· καὶ τοῦ βίου παντὸς ἀειφυγίαν· ἀλλ᾽ οὐ ξυγχωρεῖται τῷ πάντων καὶ μάλιστα τῶν τοιούτων, ἐπόπτῃ δεσπότῃ λανθάνειν ἐς τέλος· οὐδὲ κλέπτειν οὕτως εὐγενῶς ἑαυτὸν, τῆς τοῦ κόσμου παντάπασι κοινωνίας· καὶ κρύπτεσθαι· καὶ τὸ ἀπ᾽ αὐτοῦ χρήσιμον, πολλοῖς τῶν ἀνθρώπων ζημιοῦν. δεινὸν γὰρ εἶναι· καὶ τῆς τοῦ φιλανθρώπου Θεοῦ μεγάλης τόδε προνοίας ἀλλότριον, συγχωρεῖσθαι κρύπτεσθαι κατορωρυγμένον οὕτω τὸ τάλαντον ἀτημέλητον· ὃ κακῶν οἰκονόμων φθάσας ἔκρινε καὶ ὑπευθύνων· καὶ τῆς γιγνομένης ἐργασίας ἐκτὸς· καὶ τῆς μεγάλης ἐπικερδείας, ἀφανὲς ἀνθρώποις καὶ ἀσυντελὲς· καὶ τὸ πρὸς ἄρα τηλαυγοῦς | f. 368
ὄντος λύχνου φῶς ὑπὸ τὸν μόδιον οὕτω καλύπτεσθαι· ἀλλ᾽ ἐν μέσοις εἰς πολλῶν ὄνησιν καὶ χρῆσιν κατὰ καιρὸν λάμψαι· καὶ παρρησίας τυχὸν μεταδοῦναι τῆς αὑτοῦ λαμπρότητος εὖ μάλα καὶ χάριτος. καὶ ὅπως τόδ᾽ ἔπειτα λοιπὸν γίγνεται καὶ οὐ ξυγχωρεῖται τῷ καλῷ προνοητῇ καὶ δεσπότῃ; τῷ κατὰ χώραν ἡγεμόνι

7,6–7 ποιουμένου corr. De: ποιουμένῳ V **18–19** ἀπαλλαγεὶς V²De: ἀλλαγεὶς V **20** αὑτοῦ V p. corr. De: αὐτοῦ V a. corr.

16–17 Mt. 13, 44 **8,2** cf. Or. 10, 22, 2 **8–9** Mt. 25, 14–30 **12** Mt. 5, 15

πονεῖν ἐπῄει σχολάζοντι πόνων ἴσως τῶν εἰκότων κατ' αὐτὸν, καὶ ὅσοι τῆς ἀρχῆς· οἷα δὴ κατ' ἔθος ὡς τὰ πολλὰ γίγνεται, περὶ κυνηγέσια· καὶ κατ' ὀρέων· καὶ ἀοικήτων χώρων, τρίβειν ἐπὶ ζητήσει· καὶ ἁμίλλῃ· καὶ κατεπιχειρήσει θηρῶν· οἳ δὴ καὶ τὰ τοιαῦτα τῶν ζῴων φιλοχωρεῖν εἴωθε. συμβαίνει δὴ τῷδ' ἡγεμόνι κατὰ τὸν ἐν τούτοις ὁτὲ πλάνον ἐν τοῖς ἀοικήτοις· καὶ τὴν τῆς ἄγρας ἐπιμελῆ ζήτησιν, ἐπιστῆναι τῷ χώρῳ τῆς διώρυχος ἐκείνης· ἣ τὸν τοσοῦτον ἐγκόλπιον εἶχε θησαυρὸν· καὶ ὥσπερ ἐν κάλυκι κρυπτόμενον ἄνθος ἔτι πω κάλλιστ' εὐωδέστατον καὶ τερπνότατον ἀνθρώποις χρήσασθαι· εἰ γένοιτ' ἐν φωτὶ τόδ' ἀνακαλυφθῆναι· καὶ γένοιτ' ἐν ἀκωλύτῳ μεταδόσει τῆς αὐτοῦ χάριτος. γενόμενον δ' οὕτως, οὐκ ἀμελῶς ἔπειτα παρελθὼν ἄνθρωπος προσσχὼν εὖ μάλα τοι τὸν νοῦν καὶ περίεργον τῷ ξυντυχόντι πονήσας, θηρᾶται κάλλιστον ὄντως ἐκεῖνος θήραμα· καὶ περιτυγχάνει μάλιστ' ἀδοκήτως ἀθρόον ἀγαθῇ τύχῃ τοσούτῳ πράγματι· καὶ κατὰ θεῖον νουνεχῶς τόδε κρίνει. ἐπεὶ δ' οὕτω τὸν, πολὺ λαθόντα· καὶ πολὺ λανθάνειν ἐπειγόμενον Ἰωάννην· καὶ τὰ κατ' ἐκεῖνον ἔγνω, οὐ μόνον καὶ πολὺς ἦν παραχρῆμα θαυμάζων, ἐν ἐκπλήξει τὸν ἄνδρα, τὴν μεγάλην ἐκείνην καὶ γεννικὴν αὐτοῦ πρόθεσιν καὶ τὴν σπουδὴν· καὶ τὴν τοσαύτην καρτερίαν, ἀλλὰ καὶ συνετὸς ὢν ἄρ' ἐκεῖνος ὡς ἔδειξε κομιδῇ (μᾶλλον δὲ τἀληθέστερον ἐρεῖν ἄνωθεν ἔοικε κινούμενος), ἐννοεῖ λοιπὸν αὐτόθεν αὐτίκα καὶ μέγα τι περὶ αὐτοῦ· οὐχήκιστα δ' ὄντως ἂν εἴποιμι περὶ ἑαυτοῦ· καὶ πρὸς ἑαυτοῦ τὸ πρᾶγμα ποιούμενος καὶ τἀδόκητον καὶ πόρρω ἢ κατὰ τοὺς αὐτοῦ λογισμοὺς καθάπαξ οὗ ξυνέλαχεν ἑρμαίου πάρεργον οὕτω, κρειττόνων ἔπειτα λογισμῶν, γίνεται· καὶ χρήσιμος ἐνταῦθα μάλισθ' ἑαυτῷ γίγνεται· καὶ ὄνασθαι ταμεγάλα τοῦ ἀνδρὸς, εἰς νοῦν ἀμέλει βάλλεται καὶ ἀξιοῖ. ὁ δὲ, καὶ ἀνιδρύσαί οἱ θεῖον νεὼν, ἐν ἐπικαίρῳ τῆς χώρας βούλεται· καὶ πείσας· καὶ βιασάμενος ὡς εἰπεῖν πᾶσι λόγοις αὐτὸν πᾶσιν πράγμασιν, ὑπεξαγαγεῖν τῆς καταδύσεως ἐκείνης· καὶ τοῦ ταρταρώδους ζόφου· καὶ περὶ τὸν νεὼν συστήσασθαι μονὴν· καὶ πλείστους ἀθροῖσαι συνάθλους αὐτῷ· μᾶλλον δ' ὁπαδοὺς, ὑπ' αὐτῷ καθηγεμόνι καὶ

8,26 χρήσασθαι: σα V s.l. **29** προσσχὼν V[2]De: προσχὼν V

24–25 cf. Greg. Naz., Or. 26, 11, 13–14 (p. 252)

πολιτάρχῃ, τῆς κατὰ Θεὸν καλλίστης ἐκείνης συναυλίας καὶ συμβιώσεως· καὶ κληρουχίας.

9. Ὁ μέν, δὴ ταῦτ᾽ εἰς νοῦν θέμενος, καὶ δὴ λαμπρῶς εὖ μάλα καὶ γεννικῶς κατεπιχειρεῖ τοῦ ἀνδρός· καὶ τῆς προτεθειμένης | f. 368ᵛ αὐτῷ καὶ εἰθισμένης μακρὸς ἤδη χρόνος ἐξ οὗ μονώσεως· τί μὲν οὐ λέγων· τί δὲ οὐ πράττων εἰς δυσώπησιν ἐκείνῳ τῷ πάντα καρτερωτάτῳ, πρὸς τὴν ἐξαρχῆς ἔνστασιν καὶ τὸν σκοπὸν τοῦ βίου. ἀλλ᾽ ἦν οὐδὲν αὐτῷ πλέον πάντα πονοῦντι· καὶ παίων ἀδάμαντα· καὶ τἀκίνητα κινῶν ἠλέγχετο τῆς παροιμίας. οὐ γὰρ εἶχε μεταστῆσαι τὸν ἄνδρα τῶν ἀτρέπτων ἐκείνων λογισμῶν· καὶ σβέσαί οἱ τοὺς ἐκκάοντας ἔρωτας τῆς ἡσυχίας· καὶ τῆς ἀποχωρήσεως ἁπάντων ἀνθρώπων· οὐδ᾽ εἶχε μεταπεῖσαι τὸν πτωχὸν καὶ ταπεινὸν ἐκεῖνον τῷ πνεύματι καὶ τῇ καρδίᾳ συντετριμμένον, ὥστε περὶ ἑαυτοῦ πολύ τι φρονῆσαι· καὶ λόγου καθάπαξ ἄξιον· καὶ ἡγεμονίας εἰς τὸ καλὸν σπουδαίοις ἀνδράσι· καὶ τοῖς κατὰ Θεὸν ἑλομένοις ζωὴν ἐν μοναχικῷ συντάγματι· ἀλλ᾽ ἄρ᾽ ἐκεῖνος, ἀσάλευτος εἴχετο καὶ ἀκίνητος τῶν περὶ ἑαυτοῦ λογισμῶν τῆς εὐτελείας καὶ οὐδενείας· καὶ οἷος τ᾽ ἦν διακαρτερεῖν ἐνταῦθα τῆς γνώμης· καὶ εἰς τέλος ἀπωθεῖσθαι τὴν πρόκλησιν. ὡς δ᾽ ὅμως εἶχεν οἰκονομίᾳ χρησάμενος· καὶ μὴ καθόλου τὰς περὶ τούτων τὸν ἡγεμόνα χρηστὰς ἐλπίδας ἀφῃρημένος ἀποπεμψάμενος, σκοπῶν ὡς ἄν, ἐν τῷ νῦν εἶναι τοῦ ἀνδρὸς ἀπαλλαγεὶς ὕστερον ἔχοι χρῆσθαι καθ᾽ αἵρεσιν ἑαυτῷ, ταχὺς ἔπειτ᾽ ἀνύσας καὶ τὸν καιρὸν ἁρπάσας· καὶ τὴν πρόσκαιρον ἀσχολίαν, ἔξεισιν, ἀλγῶν μὲν κομιδῇ· ἔξεισι δ᾽ ὅμως· καὶ καταλείπει τὴν φίλην ἐκείνην καὶ εἰθισμένην χρόνιον οἴκησιν καὶ διατριβήν· καὶ πρὸς ἄλλην ἐρήμην παντάπασι καὶ ἀδόκητον καὶ ἄγνωστον, ἑαυτὸν ὑποσυλᾷ· καὶ μεταφέρεται· δραπετεύων τὸν ἐπιεικῶς οὕτω ποθοῦντα· καὶ μετολίγον αὖ ἐπιθησόμενον.

9,8 σβέσαί scripsimus: σβεσαί V, σβέσαι De **13** τοῖς VDe: an τὴν? **16** τῆς γνώμης V[1]De: τὴν γνώμην V **19** ἀφῃρημένος VDe: an ἀφῃρημένον? **20** ἔχοι V e corr. **26** ἐπιθησόμενον V[1]De: ἐπιστησόμενον V

9,6 cf. e.g. Ioh. Chrys., In Gen., PG 53, 40, 55 **7** cf. Plat., Leg. 684e **10–11** cf. Ps. 33, 19; Is. 57, 15; Mt. 5, 3

10. Τί τοἐντεῦθεν; ἐπιστὰς ἐκεῖσε τῇ ὑστεραίᾳ κατὰ χώραν αὖ ὁ καλὸς ἐραστὴς μετ᾽ ἐλπίδων οὐκ ὀλίγων ἴσως καὶ παρασκευῆς ἐνστατικωτέρας ὡς ᾤετο κατεπιχειρῆσαι τῆς ἀπειθείας τοῦ ἀνδρὸς· καὶ μὴ ξυλλαχὼν, ὡς ἐπόθει τὲ καὶ ἐδόκει τέως· ἀλλ᾽ ἄρ᾽ αἰσθόμενος προδεδομένος οὕτω καὶ ἀποβουκοληθεὶς τῶν θερμῶν ἐκτόπως ἐρώτων· καὶ τῶν ἐπ᾽ αὐτοῖς καλλίστων ἐλπίδων, ἤσχαλλε δεινῶς ὅπως· βέλεσιν ἀνυποίστοις ἀθυμίας, μέσην ἐπλήττετο τὴν καρδίαν· ἠνιᾶτο, μάλα τοι καταμεμφόμενος ἑαυτοῦ τῆς εὐηθείας καὶ τῆς ἀπάτης· οὐκ εἶχεν ὅ,τι χρήσαιτο, πάντοθεν ἀναδιφῶν, μὴ ξυλλαγχάνων· ἐξαπορούμενος. ἀλλ᾽ ἐν τούτοις γίνεταί οἱ κατὰ Θεοῦ πάντως πρόνοιαν, ἀκεσώδυνόν τι καὶ χρηστῆς ἐλπίδος ἐχέγγυον τἀνδρί. μοναχός τις ἐπαινετῆς ἐχόμενος ἀνὴρ ἐκ μακροῦ πολιτείας· καὶ τὸν τρόπον τοῦτον ὡς εἰκὸς· καὶ ἅμα καθ᾽ αἷμα ᾠκειωμένος Ἰωάννῃ, συναλγήσας πάνυ τοι τῷ τῆς ἐρωμένης ἐντυχίας ἀποτυχόντι· κἀντεῦθεν ἐπιεικῶς δυσχερῶς ἔχοντι, πρόθυμος ἐθελοντὴς αὐτὸς ὑφίσταται τὸν πόνον καὶ τὴν Ἰωάννου ζήτησιν· καὶ θαρρεῖν ἐγγυᾶται Θεῷ θαρρῶν αὐτὸς τῷ πάντων
f. 369 αἰ|τίῳ καλῶν, τὸ πάντως τυχεῖν. οὐκ ἀστοχεῖ μέν γε ὡς ἀνὴρ ἤλπισεν· ἀλλὰ μετὰ πολλὴν ἔρευναν ἀμέλει καὶ πόνον καὶ πλάνον περὶ τῷ ἀνδρὶ· καὶ τῇ τοῦδε φυγῇ καὶ ἀποκρύψει, ξυντυγχάνει πως ἀδόκητά οἱ· μᾶλλον δ᾽ ἀληθέστερον ἐρεῖν, ἐν παντὶ τῷ κατ᾽ αὐτὸν εἰκότι, παλαιῷ τινι τὴν ἀρετὴν· καὶ τὴν ἡλικίαν μοναχῷ, τὰ κατ᾽ αὐτὸν ἴσως ἀγνοοῦντι, προθύμως εὖ μάλα καθυποταττομένῳ· καὶ ξυνόντι πρὸς πᾶσαν μετ᾽ ἔρωτος ὑπηρεσίαν πονεῖσθαι. ἐπεί δ᾽ ἐντύχοι, λιπαρῶς ἐμπίπτει τῷ ἀνδρὶ, πάντα τρόπον πειρώμενος, ἀποσπᾶν ἐκεῖθεν καὶ συνέλκειν, ᾗ βούλοιτ᾽ ἄν· καὶ σκοπὸς ἦν ἀνύτειν· καὶ πᾶς ἦν αὐτῷ γιγνόμενος· πείθων πᾶσι λόγοις· βουλεύων περὶ τοῦ συνοίσοντος κατ᾽ αὐτὸν· δεδιττόμενος· ἀπειλῶν τὸ ἀπὸ τοῦ Θεοῦ βάρος καὶ τὰ τῆς ἀπειθείας κρίματα· χρησταῖς αὖ ἐλπίσι κουφίζων καὶ ἀνακτώμενος· ὑποτιθέμενος ὡς ῥᾷον ἕξει τὸ πρᾶγμά οἱ Θεοῦ συνόντος· πάντως δὲ συνέσεσθαι, τῇ τῆς ταπεινώσεως ὑπακοῇ· καὶ τῷ πρὸς αὐτὸν ἠλπικότι· καὶ χρῆναι δῆτα μάλα τοι θαρρῆσαι· καὶ μὴ δεδιέναι· ὡς οὐδὲν μήποτ᾽ ἀπαντῆσον ἐντεῦθεν δυσχερὲς· οὐδὲ ζημίαν μή τιν᾽ ἐσομένην αὐτῷ, τῷ

10,3 ὡς V^2 s.l. **6** ἤσχαλλε scripsimus: ἤσχαλε VDe **8** ἑαυτοῦ V^1De: ἑαυτῷ V
18 καλῶν De: καλῷ V | τὸ V^2 e corr. | ὡς VDe: an ὧν? **22** αὐτὸν V^2 e corr.
27 πᾶν V a. corr. De

πρώτῳ σκοπῷ καὶ τῇ προθέσει· καὶ αὐτὸς δὲ συνέσεσθαί οἱ τοῖς καμάτοις· καὶ κοινωνεῖν ὑφίσταται καὶ συμπονεῖν· καὶ πᾶν ἄρα πρόθυμος τὸ κατ᾽ αὐτὸν ἱκνούμενον συνεισφέρειν. τούτοις ἀνὴρ μαλάξας ἐκεῖνον, καὶ ὑπὸ χεῖρα ποιησάμενος· καὶ μάλιστα τῷ τοῦ Θεοῦ δέει, καὶ τῇ τῆς ἀπειθείας ἐπιτιμήσει, καὶ τοῦ ἀταπεινώτου καὶ ἀδουλώτου καθάπαξ φρονήματος· ὁ δὲ, ταχὺς ἔπειτ᾽ ἀναστρέφων φέρων ἡδὺς ἥκει τὸ ζητούμενον τῷ ποθοῦντι. καὶ παρῆν Ἰωάννης, τὸ γλυκὺ θέαμα· καὶ παρῆν τῷ σφοδρῶς ἐρῶντι κάλλιστα προσηνὴς, ἑτοιμασθεὶς χαρίζεσθαι.

11. Τί δῆθ᾽ ἑξῆς ἀμέλει; θερμὸς ἀνιστᾶν τὸν ἱερὸν οἶκον ὁ ἡγεμὼν· καὶ τῆς ἐπαγγελίας ταχὺς ἀπρόσκοπος· ἀπολαύων τῆς εὐπορίας· καὶ τῶν μακρῶν ἔοικεν οὐσιῶν ἐν τοῖς βελτίστοις· ἀπολαύων τῆς ἡγεμονίας ἐν τούτοις αὐτῆς κρεῖττον, ἢ μάλιστ᾽ ᾠήθη ποτ᾽ ἂν· χάριν ἔχων αὐτῇ μονονοὺ μεγίστην, ὡς ταύτην αἰτίαν οὖσαν οὕτω πράγματος εὐκταιοτάτου· καὶ πολλῶν δικαίως ἂν, τιμωμένου τυχεῖν. συνίσταται λοιπὸν τάχους ὅσον· καὶ εἰς ὅσον οἷον τ᾽ ἦν, τὰ τῆς μονῆς κάλλιστα πάντα· περίλαμπρα πάντ᾽ ἐν καιρῷ· χορὸς συναυλίας· καὶ πρόθυμοι πολλοὶ γεννικῶς ἀριστίνδην ἀθροίζονται τῆς ἀρετῆς ἐργάται. καὶ προστάτῃ μὲν πάντες· καὶ ἀλείπτῃ τοῦ βίου καὶ ἡγεμόνι σαφῶς ἀθροίζονται μετ᾽ ἔρωτος, Ἰωάννῃ. ἀλλὰ μὴν ὅδ᾽ ἔπειτα τὴν ἡγεμονίαν αὐτὴν, ἀνατίθεται μάλιστα καὶ τῶν συνιόντων· καὶ τῆς μονῆς τὴν ἐπισκοπὴν τῷ καλῷ κοι|νωνῷ· καὶ παρακεκληκότι πρὸς τοὖργον ἐκείνῳ (f. 369v) πρεσβύτῃ· καὶ ἡλικιῶτιν ἔχοντι τὴν ἐν τῇ μοναχικῇ βιοτῇ παιδείαν καὶ ἄσκησιν· εἰ καὶ τῆς ἐκείνου νεότητος, πολλῷ δευτέραν· ὃ δ᾽ ἔχεται καὶ αὖ τὸ πλέον τῆς πρὶν μονώσεως καὶ ἡσυχίας. καὶ ἦν μὲν καὶ τῷ κοινῷ συμπαρὼν, πολλή τις ὄνησις· καὶ πάσης ἀρετῆς καὶ ἀνδραγαθίας προσηκούσης τῷ βίῳ, κανὼν ἐκεῖνος καὶ λόγοις καὶ ὑποδείγμασι τῷ καθ᾽ αὐτὸν βίῳ· καὶ τῇ τῆς ἀρετῆς αὐτουργίᾳ· πρᾶγμα μὲν τόδ᾽ ὄντως ἀνέφικτον· οὐ μὴν ἀλλὰ καὶ ὅμως ὅσα καὶ κέντρῳ νύττον, καὶ τοὺς ἄλλους ἐραστὰς τῶν καλῶν πρὸς μίμησιν· ἦν δὲ μάλισθ᾽ ἑαυτῷ προσέχων καὶ τῇ πρὶν εἰθισμένῃ τὸν νοῦν ἡσυχίᾳ· καὶ μονώσει τῆς βιοτῆς ἔστιν ὅτε καὶ

36 συμπονεῖν V^{2}De: πονεῖν V **37** αὐτὸν V: αὐτὸ De **42** ἐρῶντι V^{2}De: ἐρῶτι V **11,3** μακρῶν V e corr. **9–10** ἀριστίνδην corr. De: ἀρινστίνδην V **15** πρεσβύτῃ V^2 e corr. **24** τῷ νῷ exspectaveris

πολλάκις τοῦτο· καὶ τῆς μονῆς ἀπόδημος ἐν ἐρημίᾳ· καὶ τῶν πολλῶν ἀπότροφος· καὶ ὡς ἀληθῶς ἄτροφος ἐκεῖνος πολλῶν ἡμερῶν· γυμνὸς ἐξιὼν· καὶ πάσης καθάπαξ ἀπαράσκευος χρείας.

12. Εἶχε μὲν οὖν οὕτω ταῦτα, χρόνος οὐκ ὀλίγος Ἰωάννῃ· καὶ τῷ κοινωνῷ τοῦ παντὸς ἔργου πρεσβύτῃ· καὶ τῇ καλῇ μάνδρᾳ τῶν λογικῶν ἐκείνων προβάτων· καὶ πάσης ἦν ἀρετῆς εὐθηνία τῇ μονῇ· καὶ πάντων ἐπιμέλεια τῶν καλλίστων. ἐπεί δ᾽ ὁ κοινωνὸς ἐκεῖνος τοῦ παντὸς σπουδάσματος· καὶ μάλιστα τῶν πλειόνων φροντίδων ἐπίτροπος τῇ μονῇ· καὶ ὧν μάλιστα κατ᾽ ἀνθρώπους ἔτι πω ζῶσι δεῖ, φθάνει τὸ χρεὼν ἀποτίσας· τῇ φύσει τὲ καὶ τῇ σεμνῇ πολιᾷ· καὶ μεταθέμενος τὴν ζωὴν, διαδέχονται κατὰ πᾶσαν ἀνάγκην τὸν Ἰωάννην οἱ πόνοι πλείους. οἵ τε γὰρ καθ᾽ αὑτὸν ἰδίᾳ μηδὲν ἧττον εἰ μὴ καὶ μᾶλλον ἑκάστοτ᾽ ἀεὶ προκόπτοντες οἶμαι· καὶ συμπροϊόντες τῷ χρόνῳ· καὶ τῷ ἀνδρὶ προσεπαύξοντες· ἡλικιῶται τῇ ζωῇ· καὶ συμπροστιθέμενοι πλεῖν ὅ,τί ποτ᾽ ἄρ᾽ αἰεὶ τοῖς ἔτεσι· καὶ τὰ κατὰ τὴν μονὴν· καὶ τοὺς ἐν αὐτῇ σπουδαστὰς τῆς ἀρετῆς, αὐτῷ μόνῳ πάσης ἐπικουρίας, καὶ κοινωνίας ὀρφανικῷ λείπεται· καὶ τὸ καθεστὼς ἦν, ἀνάγκη συντηρεῖσθαι τῆς εὐεξίας πάνυ τοι τῇ μονῇ· καὶ μᾶλλον ἴσως αὐτῷ, ὥς γε τὸ κατ᾽ αὐτὸν εἰκὸς ἐπαύξειν· καὶ λαμβάνειν ἐπίδοσιν εὐγενῆ. καὶ ἦν οὕτω λοιπὸν· καὶ τῷ ἀνδρὶ μάλιστ᾽ ἐπαύξειν εἶχεν ἡ μονὴ συνεχῶς ὅσαι ἡμέραι καὶ προχωρεῖν· καὶ τῆς εἰς Θεὸν φερούσης πρὸ ὁδοῦ γίνεσθαι· καὶ πάσης ἀγαθῆς ἕξεως ἦν ἐργαστήριον· καὶ πάσης ἀγαθῆς ἕξεως, ἐν μνήμῃ πάσῃ καὶ διαβόητος. πᾶσα γὰρ ἐκείνη ὥσπερ ἐν πεντάθλοις ἅμιλλα, τοῖς τῆς ἀρετῆς ἀγωνισταῖς· πᾶσι πρὸς ἀλλήλους παραβαλλομένοις· πᾶσιν ἀφορῶσιν εἰς τὸν ἡγεμόνα, τοῦ κατὰ Θεὸν βίου· καὶ τῶν σκαμμάτων ἀγωνοθέτην· καὶ μὴ λείπεσθαι τοῦ ἀνδρὸς ἐπειγομένοις· εἰ καὶ πεζοὶ παρὰ Λύδιον ὄντως ἅρμα τὸν ἐκείνου δρόμον ἅπαντες ἤλαυνον. ἀτὰρ ὡς ἔδει γε ὅμως πρὸς ἐκεῖνον [...]

12,8 μεταθέμενος V^2 e corr. **19** προόδου coni. Se **21** πάσῃ VDe: an πᾶσι? ἐκείνη VDe: an ἐκείνῃ? **27** post ἐκεῖνον folium unum vel pluria cecideruntin V

12,2–3 cf. Soph. 2, 6 **25–26** cf. Greg. Naz., Or. 43, 22, 3–4 (p. 170)

13. […] | συναλώμενον· καὶ πονήρως ἐκδεδιητημένον, πλάνῃ f. 355 τοῦ καλοῦ· καὶ τῇ δυστυχεῖ ταύτῃ τῆς γνώμης ἕξει καὶ τοῦ δόγματος, ἀγαπῶν μάλα τοι· καὶ στέργων· καὶ χαίρων ἀτρέπτως. τὸ δὲ, δεινῶς ἠνία τὸν Ἰωάννην· καὶ πολὺς ἦν ὅσαι ἡμέραι πρὸς τὸ γύναιον, βουλεύων· πείθων· ἐκκαλούμενος εἰς τὴν μετάθεσιν. ἀλλ' ἦν οὐδὲν αὐτῷ πλέον ἐντεῦθεν· οὔκουν γε ὥστε καὶ ὁπηοῦν κατὰ σκοπὸν ἔπειτ' ἀνύτειν. καὶ τοίνυν ἀπειπάμενος τῇ τῶν λόγων πείρᾳ, ὅ δ' ἐπιμελῶς προσέκειτο λοιπὸν, ταῖς πρὸς Θεὸν εὐχαῖς περὶ τούτου· καὶ συχναῖς ἐπόνει μετὰ δακρύων ταῖς ἱκεσίαις. τί δὲ ὁ κἀκ τῶν λίθων αὐτῶν τῶν μὴ πεφυκότων ὅλως μαλθάσσειν· καὶ τὴν ἕξιν παντάπασι καὶ τὴν φύσιν ἀτήκτων καὶ ἀπαθῶν δυνάμενος ἐγείρειν τέκνα τῷ Ἀβραάμ· καὶ πάντα ποιῶν· καὶ μετασκευάζων ῥᾷστα κατὰ βούλησιν; πλήττει τὴν καρδίαν αἴφνης ἀδήλως τῷ γυναίῳ, πρὸς τὴν ἐπιπόθησιν τῆς θεοσεβείας· καὶ τῇ παρατρίψει ταύτῃ πῦρ ἐναύσας αὐτόθεν θεογνωσίας αὐτῷ, ὁ πῦρ ἐλθὼν ἐπὶ τῆς γῆς βαλεῖν καὶ οὐ τότε μόνον, ἀλλ' ἄρ' ἑκάστοτε τοῦτ' ἀεὶ (καὶ τί θέλων, εἰ ἤδη ἀνήφθη, καὶ τοῦθ' ἑκάστοτ' ἀεί;), κινεῖ τὸ γύναιον ταχῦναν ἐς Ἰωάννου γίγνεσθαι· καὶ τοὺς λογισμοὺς κοινοῦσθαι. ὅ δ' αὐτίκα λαβόμενος τοῦ καιροῦ· καὶ ταχὺς ἀνύσας, ἁρπάσας τὸ τοῦ πόθου ξυγκύρημα· καὶ πυρσὸν ἐντεῦθεν λαμπρὸν ἐξάψας· καὶ φλόγα τοῦ τῆς θεοσεβείας ἔρωτος τῇ καρδίᾳ τῇ γυναικὶ, παραχρῆμα δροσίζει ταύτην ἠπειγμένως ὡς πάνυ τοι· τῷ θείῳ λουτρῷ· τῇ δωρεᾷ τῆς παλιγγενεσίας· καὶ τῇ χάριτι καὶ σφραγῖδι κατασφαλίζεται τοῦ πνεύματος· τοῖς ἐπιβούλοις ἐχθροῖς ἀπέλαστον καθάπαξ καὶ ἀνεπίβατον. παρὰ τοσοῦτο δ' αὐτίκα δευσοποιὸς ἡ βαφὴ τοῦ βαπτίσματος τῷ γυναίῳ· καὶ οὕτως ἀνεπίστροφος πάντων, ἁλίσκεται τοῖς λόγοις Ἰωάννου· καὶ τοῖς ἀλύτοις δεσμοῖς τῆς πίστεως, ὥστε καὶ παντάπασι ῥήγνυται τοῦ κόσμου· καὶ τῶν αὐτοῦ πάντων δεσμῶν· καὶ ὄντων τὲ καὶ δοκούντων πολλοῖς ἀρρήκτων τὲ καὶ ἀφύκτων· καὶ καταλείπει προσήκοντας· καὶ φίλτατα· καὶ σύνοικον (καὶ ἦν γὰρ αὐτῇ), καὶ τέκνον δεινῶς

13,1–15,24 συναλώμενον – καταστραφθέντα om. De **3** στέργον καὶ χαῖρον coni. Se **22** ἠπειγμένως V[1]: ἠπειγμένος V **30** προσήκοντα Se

13,10–12 Mt. 3, 9; Luc. 3, 8 **12–13** Amos 5, 8 **15–17** Luc. 12, 49 **23–24** Tit. 3, 5; II Cor. 1, 22; Eph. 1, 13; 4, 30 **25–26** cf. Plat., Resp. 430a

ποθούμενον μόνον καὶ αὐτὸ καταλείπει· καὶ εἰς ὀσμὴν τοῦ μύρου τρέχει Χριστοῦ· καὶ νύμφη γίνεται Χριστοῦ· καὶ πρόβατον κείρεται μάνδρας Χριστοῦ· καὶ τὰς τρίχας ἀποθεμένη· καὶ ῥάκια κατὰ μοναχὰς ἀμφιασαμένη, φροντιστηρίῳ σεμνῶν θηλειῶν συνοικίζεται· καὶ συναεθλεύει τοὺς καλλίστους αὐταῖς ἀγῶνας.

14. Τοιαῦτα τὰ τῆς διαπύρου θεοσεβείας ἔργα· καὶ τῆς μεγαλόφρονος καὶ πολυφρόντιδος ἐν καλοῖς ἅπασιν ἀρετῆς Ἰωάννου· καὶ πολλοὶ μάλισθ' οὕτως ὤναντο τῆς τοῦ ἀνδρὸς ἐπιμελείας καὶ σπουδῆς· καὶ συμπροήει τοῖς χρόνοις τὰ τῶν καλλίστων πόνων αὐτῷ· καὶ τὰ τῆς καλλίστης ἀγωγῆς τῇ μονῇ. ὁ δὲ, καὶ ταύτης
f. 355[v] ἔστιν ὅτε καὶ συχνάκις τοῦτο ἀποχωρῶν | ὑπὸ μάλ' ἐπιτρόποις, πάντως καλοῖς καὶ ἀξίοις αὐτοῦ, χαίρων κατὰ τὸ μακρὸν ἔθος προσέτρεχε τῇ ἐρημίᾳ· καὶ τῇ μονώσει τῆς ζωῆς, ἄσκευος· γυμνὸς ἀπὸ πάσης τῆς χρείας· καὶ ἐπανήκων αὖ ἑωρᾶτο, θαῦμα καὶ μόνον ἰδεῖν· κατεσκληκὼς ἀνὴρ καὶ ἐκτετηκὼς τοῖς καμάτοις· καὶ καταδεδαπανημένος τὸ σαρκίον ταῖς ἀσιτίαις· καὶ μόνον οὐκ ἐκλείπων ἤδη· καὶ πάνυ τοι στενὸν πνέων· καὶ βραχεῖ τῷ λειφθέντι καθάπαξ ἄσθματι ζῆν ἔτι πω πεπιστευμένος. καὶ τῆς μονῆς ἔτ' αὖ ἀπόπροθι πρὸς ἡσυχίαν εὑρηκὼς εὐκαίρως ἔχοντα τόπον καὶ φίλον κατ' ἔθος παλαιὸν καὶ ἀντρώδη· καὶ πρὸς διώρυχα πεφυκότα πως ἔτι· καὶ κατεργασάμενος ὡς ἦν ἔφεσις, τὸν δὲ μάλιστ' ᾤκει· τὴν ἀρχὴν μὲν μόνος ἔρημος αὐτὸς ἀπὸ πάντων· χρόνοις δ' ὕστερον ἐγγηράσκων ἤδη τοῖς καμάτοις ὡς ἂν πόλλ' ἔτη, καὶ οὐκ οἶδ' ὡς εἴ τις ποτὲ πλέον ἐγγεγυμνασμένος, καὶ ξὺν ὀλίγοις εὖ μάλα σπουδαίοις ἀνδράσι καὶ κατ' αὐτὸν οἰκείοις εἰς φροντιστήριον βραχὺ κατασκευάσας καὶ ἡσύχιον, ᾤκει· τὸ ἄπραγμον αὐτῷ καθάπαξ ὡς οἷον τέ ἐστι καὶ τὴν ἀτύρβαστον σχολὴν τῆς τῶν πολλῶν ἐπιμιξίας αἱρούμενος καὶ ποθῶν· καὶ μάλισθ' ὡς ἑώρα, τῇ προσθήκῃ τῶν ἀνδρῶν ηὐξημένην τὴν μονὴν· καὶ αὔξουσαν ἔτ' ἀεὶ συνεχῶς, τοῖς συνεχῶς ἀεὶ προστιθεμένοις καὶ προσιοῦσιν.

14,13 ἄσθματι corr. Se: ἄσματι V **16–17** τόνδε Se

32–33 Cant. 1, 4 **33–34** cf. supra, 12, 2–3 **14,21–23** cf. Or. 10, 21, 4–10

15. Οὗ δὴ μάλισθ᾽ εἵνεκα, καί τις αὐτὸν εἶχεν ἀνία δεινῶς καὶ φροντίς. τὸν γάρ τοι νεὼν ὡς τὴν ἀρχὴν ἀνίστη, μήπω δοκῶν μὴ δ᾽ ὑπονοῶν τὴν πρώτην ἔοικεν, εἰς τοσοῦτο χωρῆσαι τὰ τῆς μονῆς τοῖς ἐρασταῖς αὐτοῦ καὶ ἐποίκοις καὶ πληθύναι τοῖς μονασταῖς, εἰ καὶ κάλλιστον μὲν ὅμως τόνδε καὶ ἀσφαλέστατον, βραχὺν δ᾽ οὖν ἀνιδρύσας καὶ δειμάμενος, συμβὰν οὕτω λοιπὸν καὶ γεγονὸς πολὺ περαιτέρω τῆς ἐλπίδος καὶ ἀεὶ γιγνόμενον τὸ πολυάριθμον τῶν εἰκότων καὶ προσιόντων ἀεὶ, μετέμελεν αὐτῷ πάνυ τοι τῆς ὀλιγότητος τοῦ νεὼ· καὶ σφόδρ᾽ ἐπὶ τούτοις ἀλγῶν εἶχε· καὶ οἷος τ᾽ ἦν νέον ἐγεῖραι μείζω πολὺ, ἢ κατὰ τὸν πρότερον ἐκεῖνον. καὶ πολὺς ἔρως εἶχεν αὐτὸν ἀεὶ καὶ φροντὶς περὶ τούτου· δεδιότα καὶ κατ᾽ ὀφθαλμοὺς ἐφορώμενον ὅσον οὐκ ἤδη, τὸ τέλος ἧξον αὐτῷ τῆς ἐνθάδε ζωῆς. ἀπορουμένῳ δ᾽ αὐτῷ περὶ τούτων καὶ λογισμοῖς δυσχερῶς ἔχοντι καὶ παλαίοντι πολλοῖς, ὁ θέλημα τῶν φοβουμένων αὐτὸν ἀποπληρῶν Κύριος· καὶ συνιὼν ἐν πᾶσι χρηστοῖς, ἀδόκητά οἱ περαίνει· καὶ τερατουργεῖ μὲν κατέθος τῆς αὐτοῦ προνοίας καὶ μεγαλειότητος, ῥᾷστα τὸ βούλημα καὶ τὸν πόθον· καί τινα τῶν πάνυ φιλοθέων καὶ μηδὲν ἧττον περιλάμπρων ἀνδρῶν τῷ βίῳ· καὶ περιρρεομένων μακραῖς οὐσίαις καὶ ὄλβῳ πρὸς τοιαῦτα μάλιστ᾽ ἀρκοῦντι ῥᾳδίως, ξυμβὰν οὕτως ἄλλῃ ποι καθ᾽ ὁδὸν ἰόντα κατ᾽ ἐπιταγὴν δεσποτικὴν βασιλέως, ἐφιστάνει κατὰ χώραν τῷ θαυμαστῷ Ἰωάννῃ. καὶ τόνδ᾽ ἐπιστάντα παρὰ δόξαν ἐκείνῃ· καὶ τῇ φήμῃ τοῦ ἀνδρὸς ὥσπερ ἀήθει τινὶ καὶ ξένῃ μεγίστῃ βροντῇ περιηχηθέντα τὲ καὶ καταστραφθέντα, | τέως μὲν f. 370
μετ᾽ ἔρωτος αὐτίκα προσσχεῖν αὐτοῦ τῇ ξυντυχίᾳ· ξυντυχόντα δὲ καὶ τῇ πείρᾳ τὴν φήμην πιστωσάμενον, παρὰ τοσοῦτον ἁλῶναι τῆς ἀρετῆς Ἰωάννου· καὶ τῶν λόγων καὶ τῆς ἡδίστης ὁμιλίας, ὥστε κἂν, ἀπέστη τῆς προκειμένης αὐτόθεν ἄνθρωπος, κἂν, ἀπείπατο καθάπαξ παντὶ τῷ βίῳ καὶ πᾶσι πράγμασιν, ὀπίσω κολληθεὶς ἄτμητα παντάπασι τοῦ ἀνδρὸς, εἰ μὴ ἄρ᾽ αὐτὸς ἐκεῖνος Ἰωάννης μάλιστ᾽ οὐκ ἠξίου· μὴ δὲ ξυνεχώρει· μὴ δ᾽ ᾤετο μὴ χρῆναι κράτιστα πάσῃ κρίσει· μὴ δ᾽ ὀλιγωρῆσαι δεσποτικῶν

15,3 μονῆς corr. Se: μονοῖς V **8** εἰκότων V: an ἡκόντων? **25** προσσχεῖν V[2]De: προσχεῖν V

15,14–15 Ps. 144, 19 **18–20** cf. Phil. Iud., De mut. 91 (p. 155, 19–20)

συνθημάτων· καὶ χρήσεως ἐπικαιροτάτης ἴσως τοῖς κοινοῖς πράγμασι.

16. Ταῦτ᾽ ἄρ᾽ ἀντιτείνειν οὐκ ἔχων ἐκεῖνος (ἢ τί γὰρ οὐκ ἔμελλεν οὕτως;), ἄκων μὲν καὶ μάλιστ᾽ ἀηδῶς, μέλλων δ᾽ ὅμως ἀπαλλάττεσθαι καὶ παριέναι, καὶ χωρεῖν πρόσω κατὰ πρόθεσιν, εὐγενὴς ἔπειτ᾽ ἀπαντᾷ κάλλιστ᾽ εὖ μάλα τῇ χρείᾳ· καὶ τοῖς περὶ τοῦ νεὼ πόθοις Ἰωάννῃ· καὶ χρημάτων οὐκ ὀλίγων μὲν, ὀλίγων δ᾽ οὖν εἴ τις εἰκότως ξυμμετροῖτο, μέγιστ᾽ ἀλλαττόμενος, καὶ κατακτώμενος κέρδη· καὶ μεῖζον ὡς ἀληθῶς ἐκεῖνος κατὰ λόγον τοῦ ἔργου τὸ πάρεργον ἐμπορευσάμενος τῆς ὁδοῦ, κατατίθεται μὲν Ἰωάννῃ πρόθυμος, ἥδιστα πᾶν ὅτι μάλισθ᾽ ἱκανὸς· καὶ πρός γ᾽ ἔτ᾽ ἴσως, ὅσου χρήματος ἔδει πρὸς τοὔργον· τὴν ἀνίδρυσιν εἰς κάλλος τὲ καὶ κρατίστην μὲν οὖν τοῦ νεὼ· τυχὼν δ᾽ ἐφοδίων εὐκταιοτάτων ὄντως, εἰς τὸν ἅπαντα βίον· καὶ τὴν προκειμένην αὐτῷ νῦν εἶναι πάντ᾽ εὖ σχήσειν ᾗ βούλοιτ᾽ ἂν καὶ πρόθεσις ἦν τῶν εὐχῶν ἐκείνου, λοιπὸν ἔπειτ᾽ ἀνύσας ἀπαίρει· καὶ ὁδοῦ ἅπτεται. Ἰωάννης δ᾽ ἑξῆς αὖ πρὸς τὸν ἀδόκητον πορισμὸν ἐκεῖνον· καὶ τὴν ἄνωθεν οἰκονομίαν ἐκ Θεοῦ σαφῶς οὑτωσὶ ξυλλογίζεσθαι καὶ χορηγίαν, εἶχεν ὅ,τι ἂν, χρῷτο κατ᾽ ἔφεσιν· καὶ ταχὺς εὖ μάλ᾽ ἀνίστη τὸν νεὼν, κάλλιστόν τε καὶ μέγιστον ἢ κατὰ τὸν πρὶν· καὶ πάντ᾽ ἀσφαλιζόμενος ὡς οἷον τ᾽ ἂν, εἴη κράτιστον· καὶ ξυμπεραίνει τελευτῶν πάσῃ σπουδῇ χρησάμενος, ἅτε τὴν αὐτοῦ τελευτὴν τῆς ἐνθάδε ζωῆς ἤδη παροῦσαν, καὶ προορώμενος καὶ προλέγων ἐπὶ ῥητοῖς. καίτοι γ᾽ ἐπηρείαις τισι τοὺς θεμελίους καταβαλλόμενος, καὶ τὴν οἰκοδομὴν ἐγείρων ἤδη· τοῦ μισοκάλου καὶ ἀεὶ τοῖς ἀγαθοῖς ἀντιπράττοντος προσκόψας· καὶ πολλοῖς ἐργώδεσιν αὐτομάτοις κατὰ τῆς σπουδῆς συμβᾶσιν, ὃ δ᾽ ὅμως οὐκ ἀνῆκε, μὴ οὐ πάντα τρόπον αὐτὸς κατεπείξας τέλος ἐπιθέσθαι· καὶ παντέλειον ἔτι πω περιὼν τῷ βίῳ, τὸν ἱερὸν ἐκεῖνον οἶκον δείμασθαι· καὶ καταλιπεῖν ὡς ἔρως εἶχεν.

16,1 ἀντιτείνειν corr. De: ἀντινείνειν V **9** ἱκανὸς V[1]De: ἱκανῶς V **25** συμβᾶσιν tacite corr. De: συμβάσιν V

16,7–8 cf. Greg. Naz., Or. 43, 14, 12–14 (p. 148)

17. Ἀτὰρ ἔπειθ᾽ ὡς ἐκεῖνον μάλιστ᾽ ἔρως οὗτος ἄρ᾽ εἶχεν ἀλλάξασθαι τὰ παρόντα καὶ μεταθέσθαι τὸν βίον, λύεται δὴ τῶν δεσμῶν τῆς σαρκὸς, καθάπαξ καὶ τῆς ἐνταῦθα βιώσεως· ὁ καὶ πρὶν ὡς ἀληθῶς ἄδετος· καὶ πολὺς ἀνύτων ἄνω· καὶ βλέπων· καὶ τὸ πολίτευμα ἔχων ἐν οὐρανοῖς· λύεται δ᾽ ὅμως καὶ τῶν | εἰς f. 370v προὖπτον ἐχόντων δεσμῶν τῆς φύσεως· καὶ τὴν ψυχὴν μὲν ἀπολαμβάνουσιν ὡς ἠπείγετο, ἡ τῶν θείων ἐποπτεία· καὶ τῶν οὐρανίων ἡ διατριβὴ· καὶ τῶν συνάθλων καὶ κοινωνῶν συναγωνιστῶν τῆς ἀρετῆς αἱ χορεῖαι καὶ συναυλίαι περὶ τὸν κοινὸν δεσπότην· τὸ δὲ καλὸν αὐτῇ καθηγνισμένον σύζυγον σῶμα ταῖς ἐπαινεταῖς ἀγωγαῖς καὶ ὑπηρεσίαις, αὐτῇ λείπεται τῇ μονῇ· καὶ παντὶ τῷδε μάλιστα τῷ βίῳ θησαυρὸς, θαυμαστῶς ὅπως ἐπαρκῶν ὁ νεκρὸς, πολλοῖς εὐζωίαν κατὰ καιρὸν ἑκάστοις κατὰ τὸ παραστὰν ἑκάστοτε τῆς χρείας. αὐτίκα γὰρ πολὺς ἐκεῖνος ἐν θαύμασι καὶ τεραστίοις· εὐεργεσίας ἀνθρώποις βρύων ἀδάπανος· καὶ ῥᾷσθ᾽ ἕτοιμος αὐτόθεν ἅπασιν, οἷς ἄρα δεῖ· καὶ ὧν ἄρα δεῖ πάντως ἑκάστων· καὶ πάσης ἀπαλλάττει ῥᾷον δυσχερείας· καὶ πάντων χαλεπῶν πραγμάτων· καὶ οὐκ ἔστι ἐφ᾽ ὅτῳ μή. καὶ δοξάζει τὸν ἄνδρα μεγάλως, ὁ πάντ᾽ ἀγαθὸς καὶ πάντα δυνάμενος Θεός· καὶ δοξάζειν ἐπαγγειλάμενος, τοὺς αὐτὸν δοξάζοντας· ἥντιν᾽ ἄρα δὴ πάντως ἔστι λογίζεσθαι δόξαν αὐτοῦ παρ᾽ ἀνθρώπων· καὶ δῆλον ὡς οὐκ ἂν ἄλλοις ἢ ὅσοι κατὰ τὸν ἀποστολικὸν λόγον δοξάζουσι τὸν Θεὸν ἐν τοῖς μέλεσιν αὐτῶν· καὶ τῇ τῆς σαρκὸς ἁγνότητι· καὶ ταλαιπωρίᾳ καὶ πόνοις κατὰ Θεὸν, συνεργοῦσι τῇ τῆς ψυχῆς πτερώσει· καὶ κούφοις ἄνω φέρουσι δρόμοις· ὡς ἄρα καὶ γέγονε κομιδῇ περὶ τοῦδ᾽ ἐπιμελὲς Ἰωάννῃ ξὺν ὀλίγοις παλαιοῖς ἐκείνοις ἐκ μακροῦ πάντων ἀνθρώποις ἐκλογίμοις τὲ καὶ περιβοήτοις· καὶ νέοις οὐχήκιστα κατ᾽ αὐτὸν, ἔτ᾽ αὖ ἑξῆς. καὶ δοξάζει πολλοῖς αὐτίκα τὸν ἄνδρα θαύμασιν, ᾗπερ ἔφην Θεὸς· καθάπερ ἀμέλει κατ᾽ ἔθος τοὺς ἐραστὰς αὐτοῦ· καὶ ἅμα πιστούμενος ἔοικεν ἐκ τῶνδε τῶν ὁρωμένων τὴν τοῦ ἀνδρὸς ἀρετὴν· καὶ ὡς αὐτῷ κατὰ γνώμην ἀνὴρ ἐβίου· καὶ βεβαιῶν ἴσως ἀμφιγνοοῦσι τισὶν· οἳ πρὸς τοὺς ἡλικιώτας κατὰ βίον· καὶ νέους ἐπιμελητὰς τοῦ ἀγαθοῦ μὴ ῥᾳδίως

17,12 τῷδε corr. De: τόδε V **17** ἑκάστων V: an ἑκάστῳ? **21** ἀνθρώπων V[1]De: ἀνθρώποις V **22** ἄλλοις V[2]: ἄλλην VDe

17,4–5 Phil. 3, 20 **20** I Reg. 2, 30 **22–23** I Cor. 6, 20

ἔχουσι πείθεσθαι· καὶ κακοὶ κακῶς ἀποτρέπονται καὶ ἀφηνιάζουσι τῇ τῆς ἀρετῆς κατὰ φύσιν τὸν ἀεὶ χρόνον, ἀπροσκόπῳ χρήσει· καὶ τοῖς τοιούτοις μόνοις ἀναμφιλέκτως ἔργοις τερατώδεσι· καὶ τὴν φύσιν, καὶ πᾶν κατ᾽ ἔθος ἀνθρώποις νικῶσι πείθονται. καὶ τοῦτ᾽ εὖ γε δῆλον ἐκ τῶν προτέρων ἐκείνων καὶ τῆς αὐξήσεως ὄντως διὰ θαυμάτων τῆς χριστιανικῆς εὐσεβείας· ἃ καὶ ὑπηγάγοντο τῷ δόγματι τῆς ἀληθείας· καὶ τῷ Χριστῷ· καὶ κατησφαλίσαντο δούλους πάντας ἀνθρώπους τὴν πρώτην εὐθύς, ἅμ᾽ ἀρχομένῳ τῷ καλῷ κηρύγματι· ἡνίκα μετὰ σαρκὸς ἔτι πω τοῖς ἀνθρώποις, ἐπεδήμει καὶ συνῆν, ὁ πάντα πληρῶν ἀεὶ Θεός· καὶ πᾶσι πανταχοῦ, παρών· καὶ τὸν ἀεὶ τοῦτο χρόνον· καὶ καθεξῆς τοῖς ἐκδεξαμένοις τὸ κήρυγμα τοῦ Κυρίου συνεργοῦντος ὡς τὰ ἱερά φασι λόγια· καὶ τὸν λόγον βεβαιοῦντος, διὰ τῶν ἐπακολουθούντων σημείων· καὶ τοῖς μετ᾽ ἐκείνους ἔθ᾽ ἑξῆς προαγωνισταῖς· καὶ ὀπαδοῖς τῆς πίστεως. τούτοις δὴ καὶ νῦν εἶναι, δοξάζει τὸν αὐτοῦ θεράποντα Χριστός, τοῖς θαυμαστοῖς ἔργοις· καὶ ἅμα συνήθως ἧπερ εἴρηται f. 371 πιστοῦται καὶ καθόλου τὴν πίστιν· καὶ τὴν τοῦ | ἀνδρὸς ἀρετήν· καὶ τὸν τῷ Θεῷ φίλον βίον.

18. Καθ᾽ ἕκαστον μὲν οὖν ἐπεξιέναι καὶ διερευνᾶσθαι καὶ προτιθέναι λόγοις καὶ ἱστορίᾳ τῶν τοῦ ἀνδρὸς θαυμασίων, μανίας ἂν σαφοῦς ἔργον εἴη· καὶ παραπλήσιον κατὰ τὸν Μαργίτην ἐπ᾽ αἰγιαλῶν ἑστῶτα, καταριθμεῖσθαι κύματα· ἢ μᾶλλον γραφικῶς ἐρεῖν τὴν ἄμμον τὴν παρὰ τὰ χείλη τῆς θαλάσσης καταριθμεῖσθαι. οὐκ ἄκαιρον δ᾽ ἄν, ἴσως εἴη τῷ λόγῳ μέτρι᾽ ἄττα τῶν πολλῶν ἀπολεξάμενον νυνὶ παραθεῖναι, φεύγοντα τὸ μῆκος· κἀκ τούτων τὸ πᾶν κατ᾽ αὐτὸν πιστώσασθαι, καὶ τὴν ἐκ τῶν σημείων βεβαιωθεῖσαν κατὰ τὸν εὐαγγελικὸν λόγον τοῖς ἀνθρώποις ἀρετὴν τοῦ ἀνδρός, τὸν εἰωθότα τρόπον ὑπὸ τῆς μεγάλης τοῦ Θεοῦ προνοίας τὲ καὶ σοφίας, κἀκ τοῦ κρασπέδου θοιμάτιον ὡς εἰπεῖν ὑποδεῖξαι τὴν κατὰ τὸν βίον τοῦ ἀνδρὸς ἅπασαν ἐργασίαν· ἢ κἀκ τῶν ὀνύχων αὖ ὑποφῆναι τὸν λέοντα μάλ᾽ εἰς προὖπτον ἔπειτα, ξυλλογίσασθαι· εἴτουν τὸν ὡς λέοντα πεποιθότα δίκαιον, καὶ κατὰ πάσης ἀλκιμώτατον τῆς κακίας καὶ τῆς ἀντικειμένης δυνάμεως.

44–46 Marc. 16, 20 **18,3–4** CPG II, 517, 10–11 **5** Gen. 22, 17; Dan. 3, 36 **8–9** cf. supra, 17, 44–46 **11–14** Ael. Arist., Or. 47 (p. 416, 12–13) **14** Prov. 28, 1

19. Γύναιόν τι πονήρως μάλιστ᾽ ἔχον μανιώδει πνεύματι διασεσεισμένον τὸν νοῦν, τἄλλ᾽ ἅπαντα· καὶ παράτροπον φερόμενον· καὶ λυμαινόμενον σπαραγμοῖς ἀσχέτοις καὶ φοραῖς σπαργώσαις ἑαυτῷ, καί τισιν ἴσως ἄλλοις ἔγγιστα γιγνομένοις· σωφρονικὸν δὲ τοσοῦτο μόνον ὡς ἄν, εἰς ἐπικουρίαν ἐκκαλεῖσθαι τὸν Ἰωάννην· κατὰ τοῦ πονηροῦ πνεύματος, ἔτι πω περιόντα τῷ βίῳ, λιπαρῶς προσέκειτο τῇ τοῦ ἀνδρὸς ἱκεσίᾳ. καὶ ἦν αὐτῷ κάμνοντι μηδὲν πλέον ἐπὶ τῇ ζητήσει· ὥστε καὶ τελευτῶν ἀπεγνωκὸς οἴχεσθαί τε καὶ ἀποστῆναι τοῦ δι᾽ ὄχλου τῷ ἀνδρὶ γίγνεσθαι· ταμιεύοντος ἔοικε τοῦ Θεοῦ τῇ μεταστάσει τῆς ζωῆς ἐκείνου τὸ θαῦμα. ἐπεὶ δ᾽ οὖν ἀνὴρ μετήλλαξε τὸ ζῆν καὶ ὁ νεκρὸς αὐτοῦ κατὰ γῆς ἐκέκρυπτο μηδὲν ἐπ᾽ αὐτῷ περίεργον εἰς φιλοτιμίαν· καὶ πλεῖν ἢ κατὰ τὸ εἰωθὸς ἐπ᾽ ἄλλοις πονησαμένου τινὸς τῶν προσηκόντων, τὸ γύναιον ἐκεῖνο μή τι μὴ παρά του προπεπυσμένον περὶ τοῦ νεκροῦ· περὶ τοῦ τάφου· πόρρω τοι διατρίβον, παραυτίκα φέρεται δρόμῳ παντὶ καὶ τάχει πολλῷ· μὴ δή τινος ὑποδεικνύντος ἐπὶ τῆς γῆς· ἣ τὸν τίμιον ἐκεῖνον θησαυρὸν εἶχε· καὶ θαυμαστῶς ὡς εἰπεῖν ζῶντα Θεῷ νεκρὸν· ἀνακαλεῖται τρανῶς αὖ σὺν δάκρυσιν· ὀλολυγῇ· καρδίας ζέσει· νῦν γοῦν ἐπινεῦσαι καὶ προσσχεῖν ταῖς λιταῖς· καὶ μὴ παριδεῖν· ἀλλ᾽ ἀπώσασθαι τὸν κατατυραννοῦντα δαίμονα· καὶ τοῦδ᾽ ἀπαλλαγὴν· καὶ ἴασιν δοῦναι. καὶ ἅμα χερσὶ πονεῖται· καὶ ἀνορύττει τὸν τάφον. καὶ θαῦμα ἐπὶ θαύματι· καὶ προκαλεῖται συμπονεῖσθαι καὶ συνασπίζειν ἑαυτῷ· καὶ συνασπίζειν τῷ θαύματι· καὶ πλείω τὴν ὕλην καὶ τὴν ἀφορμὴν ἐπεισφέρειν· καὶ ἐπιδιδόναι τῷ παραδόξῳ, ἄνδρα λελωβημένον τὴν χεῖρα καὶ κατηργημένην νεκρὰν ἔχοντα· ὡς ἂν καὶ τῶν αὐτῶν ἀμέλει τοῦ Θεοῦ τε καὶ τοῦ θεράποντος αὐτοῦ τυχὼν, καὶ τυχὼν κοινῇ τῆς ἰάσεως, καλῶς ἔπειτ᾽ ἀπαλλάττοιτο. καὶ πάντων συγχωρούντων | ἀμφοῖν μόνοιν τῷ πόνῳ· καὶ ἠρέμ᾽ ἐχόντων τῶν f. 371v παρεστώτων τῷ καινῷ τοῦ πράγματος· καὶ προσδοκώντων Θεοῦ πάντως κινοῦντος μέγα τί ποτ᾽ ἄρ᾽ ἐντεῦθεν ἐσόμενον τὸ πρᾶγμα τάχους ὅσον, αὐτόθεν αὐτίκα· παράδοξον μὲν οἷον Θεοῦ· κατ᾽

19,10 ἐκείνου V[1]De: ἐκείνῳ V **16–17** ὑποδεικνύντος ἐπὶ V in marg. (manu Metochitae?) De: ὑπὸ V **17** εἶχε V: εἶχεν De **19** ἐπινεῦσαι V[2] e corr. προσσχεῖν V[2]De: προσχεῖν V **26** αὐτῶν V[2]De: αὐτῷ? V (fort. servandum)

19,18 Mt. 16, 16

ἐλπίδα δ᾽ ὅμως καὶ δόξαν ἣν τηνικαῦτ᾽ εἶχον, ἀπαντᾷ τοῖς τε κάμνουσιν ἐκείνοις τὲ καὶ πονουμένοις· καὶ τοῖς ἐφεστῶσι τὲ καὶ ἐφορωμένοις καὶ ἄμφω γε τὼ νενοσηκότε τυχόντε κατ᾽ ἔφεσιν· καὶ ὑγιῶς ἔχοντε τουλοιποῦ, κήρυκε μεγαλοφώνω γίγνεσθον· καὶ τρανοῦντε τὸ θαῦμα πάντῃ καὶ πᾶσιν, ἀνοίγετον λοιπὸν τὴν θύραν ἐπὶ τῷ τερατουργοῦντι τοῖς ζῶσι, νεκρῷ πᾶσι τοῖς ὑπό τινος συμφορᾶς ἐχομένοις τοῦ σώματος· καὶ πονήρως πράττουσιν. ἐξαίρουσί τε γὰρ παρρησίᾳ τοὐντεῦθεν οἱ μοναχοὶ τοῦ τάφου· καὶ τῆς κατάγαιω τὸν νεκρὸν ἐπικρύψεως εἰς φῶς· καὶ καταπεπληγμένοι τῷ γεγονότι· καὶ τὰ εἰκότα δρᾶν ἀξιοῦντες, ἀνάγουσιν εἰς εὔκαιρον ὄντως καὶ ἀδαπάνητον τὸν θησαυρὸν καὶ μετάληψιν ὅστις ἄν, δέοιτο χρῆσθαι· καὶ ἡ πηγὴ ῥᾷστ᾽ ἀναστομοῦται παντὶ κάμνοντι προσιέναι· καὶ πᾶν ἀλεξίκακον πάσης ἐπηρείας ἀρύτεσθαι.

20. Καὶ τοίνυν πρὸς πολλοῖς ἄλλοις μάλιστ᾽ ἔγγιστ᾽ αὐτίκα καὶ γύναιον ἕτερον ὡσαύτως κάτοχον πονηρῷ δαίμονι καὶ τὰ δεινότατα πάσχον πρόσεισί τε καὶ τυγχάνει τῆς τοῦ δαίμονος ἀπαλλαγῆς· καὶ σωφρονικῶς ἐντεῦθεν ἀναφέρει τουλοιποῦ βιοῦν ὡς ἥδιστα. καὶ νέος τις ἄλλος ὡσαύτως πνεύματι πονηρῷ παλαίων καὶ μεμηνὼς οἴκτιστα καὶ βαρυσυμφορώτατα χρώμενος, ἐκείνῃ τὲ γίγνεται· καὶ ὡσαύτως εὖ ἔχων ἐκεῖθεν ἀποχωρεῖ. καὶ ἄλλος αὖ ἐπ᾽ ἄλλῳ πρόσεισι· καὶ πλείους ἐπὶ πολλοῖς ὅσαι ἡμέραι· καὶ πάντες ὡς ἤρων καὶ κατελιπάρουν ἱκετεύοντες, εὖ πράττοντες ἀπηλλάττοντο. καὶ δή τις καὶ τῶν τῆς αὐτῆς ξυλλαχὼν Ἰωάννῃ πατρίδος, χρόνιος πολὺ μεγάλῃ νόσῳ συντακεὶς πάσης τέχνης περιγενομένῃ καὶ τεχνικῆς κατεπιχειρήσεως, τεθαρρηκὼς οὗτος ἔοικε τάχα τῇ οἰκειώσει ταύτῃ· μᾶλλον δ᾽ ὡς ἀληθῶς τοῖς ὁρωμένοις τεθαρρηκὼς καὶ κεκινημένος καὶ τῇ μεγάλῃ περὶ τὸν Ἰωάννην τοῦ Θεοῦ χάριτι, παρειμένος καθάπαξ καὶ τῇ νόσῳ κατειργασμένος ὅσα καὶ νεκρὸς φοράδην, ἐπὶ σκίμποδος πρόσεισι· καὶ ταχὺ ῥωσθεὶς οἴκαδε κατ᾽ ἔλαφον ἁλλόμενος παντὸς ἀζήμιος τοῦ σώματος καὶ τῶν τοῦ σώματος πάντων ἔνδον ἀμέλει καὶ ἔξωθεν ἀποχωρεῖ. ἀλλὰ μὴν καὶ μάλισθ᾽ οὗτος ἔτι κρεῖττον οἰκειούμενος Ἰωάννῃ

41 κατάγαιω V, servavimus: κατάγεω De **43** καὶ[2] V^2 s.l.

20,17 Is. 35, 6

καὶ συνιεὶς ἐπὶ τῇ παρ᾽ αὐτοῦ δωρεᾷ· καὶ ἀνθομολογούμενος βέλτισθ᾽ ἑαυτῷ καὶ λυσιτελέστατα, τὴν τρίχα κείρεται κατὰ μοναχοὺς αὐτόθεν· καὶ παρεδρεύει τῇ μονῇ καὶ τῷ τάφῳ τοῦ Ἰωάννου· πρόσπολος καὶ θεράπων εὐγνώμων τὸν ἅπαντα τῆς ζωῆς αὐτῷ χρόνον· καὶ ὄντως ἄνθρωπος κρείττονα μεταλαμβάνει ζωήν.

21. Φέρε δὴ καὶ τόδ᾽ ἕτερον προσθέντες· καί τι δεύτερον ἑξῆς αὖ· καὶ πρός γ᾽ ἔτι τρίτον αὖ ἕτερον ἴσως ἢ καὶ πλεῖν, τουλοιποῦ καταπαύσομεν τὸν λόγον. ἀνὴρ γάρ τις ἐπιληπτικῷ | νοσήματι f. 372 βαρύτατα συχνάκις κατατροπούμενος καὶ καταστρέφων ὥσπερ τὸ ζῆν· καὶ κατὰ γῆς ῥιπτούμενος ἄθλιος ἐλεεινὸν θέαμα τὰ κατὰ τὸν τάφον Ἰωάννου πυθόμενος χάριτι θείᾳ τεράστια τῶν ἔργων· καὶ τοὺς ἑκάστοτε προσιόντας ἀνάγκαις τισὶ τῶν τοῦ σώματος συμφορῶν· καὶ ῥᾷον ἔχοντας πᾶσαν ἐπήρειαν ἔπειτ᾽ αὐτόθεν ἀναχωροῦντας, θερμὸς τῇ πίστει πρόσεισι καὶ αὐτὸς· ἀνακαλεῖται σὺν δάκρυσιν ἀρῆξαί οἱ πάνυ τοι δυσχερῶς οὕτως ἔχοντι· καὶ τυχὼν παραπλησίως ἐπινεύσαντος ὡς καὶ πολλοῖς ἄλλοις, προστίθεται καὶ αὐτὸς, τῷ τῶν πολλῶν ἀριθμῷ· κῆρυξ πάντη περιιὼν· καὶ παριστῶν ἑαυτὸν στήλην ἔμψυχον τοῦ τῆς ἀρετῆς τοῦ ἀνδρὸς κράτους καὶ τῶν τοῦ νεκροῦ κατὰ πάσης δυσκολίας τροπαίων· χαλεπωτάτῃ μὲν παλαίοντα νοσήματος ἀκμῇ, προσδραμόντα τῷ τάφῳ· τῇ δ᾽ ἐκεῖθεν ἐπικουρίᾳ κάλλιστ᾽ ἀπαλλάξαντα· καὶ καθάπαξ ἀζήμιον περιγενόμενον παντὶ τῷ λειφθέντι τῆς ζωῆς. τό δ᾽ αὐτὸ καὶ γυνή τις ἄλλη μετὰ τῆς αὐτῆς νόσου καὶ μετὰ τῆς αὐτῆς πίστεως προσελθοῦσα τῷ τάφῳ καὶ τυχοῦσα κατ᾽ εὐχὴν ἑωρᾶτο· καὶ τὸ θαῦμα καὶ τὴν εὐεργεσίαν κηρύττουσα· καὶ φυγαδευθεῖσαν τὴν ἐνοχλοῦσαν τέως συμφορὰν· καὶ ῥᾷσθ᾽ ὑπερτέραν ἑαυτὴν ταύτης τὸν βίον ἀνύτουσαν· ἐπίδηλον ἀνθρώποις ἅπασι· καὶ μάλισθ᾽ οἳ πρότερον τῆς χαλεπῆς ἐκείνης νόσου κυμαινομένην ἑώρων τὴν ἄνθρωπον· ὡς ἂν ἄφυκτον ἔχουσαν τὸ πάθος, ἀεὶ γόων ὠδίνουσαν καὶ δακρυρροοῦσαν.

22. Ἀλλά τις ἑτέρα γυνὴ γλῶτταν ἀκόλαστον ἔχουσα· καὶ πρὸ ταύτης λογισμὸν σωφρονικὸν μηδὲν ἐννοοῦσα διασεσεισμένον δὲ περὶ τὴν πίστιν ἔοικε τῶν θείων, ἀναιδῶς βακχεύουσα, χλευάζειν

21,1 τόδ᾽ tacite corr. De: τοδ V **22,2** ἐννοοῦσα VDe: an ἐννοοῦντα?

ἐτόλμα τὰ θαύματ᾿ ἐκεῖνα, καὶ τοὺς κηρύττοντας· καὶ κόμπον ἄλλως· καὶ πρᾶγμ᾿ εὐδιάβλητον· καὶ ψεύδους ἀπάτην· καὶ λῆρον μακρόν· καὶ τὰ τοιαῦτα· πᾶν ὅπερ ἂν ἀκούοι τῶν Ἰωάννου τεραστίων ἔργων ἐθρασύνετο βλασφημοῦσα· καὶ πολλὴν ἀμαθίαν καὶ κόριζαν τῶν πειθομένων τούτοις κατήλεγχε· καὶ κατεμωκᾶτο· καὶ πλάνον ἀνόητον παντάπασι. καὶ φειδὼ μή τις ἦν ὅλως αὐτῇ φασι διὰ στόμα. ἡ δέ, καὶ προσετίθει τῇ ὕβρει θρασέως ἡ πάντολμος ἐκείνη καὶ δυστυχής, ὡς «εἰ τάδ᾿ ἀληθῆ, δειξάτω δὴ κἀμοὶ τοιοῦτο δὴ τῶν αὐτοῦ θαυμασίων, ὁ μάτην οὕτω κλεϊζόμενος νεκρός. ἕτοιμος ἐγὼ πειρᾶσθαι· καὶ πειραθεῖσα πείθεσθαι». καὶ μέντοι πειρᾶται τάχους ὅσον, ἡ κατὰ φρένα καὶ τὴν γλῶτταν ἀναιδὴς ἐκείνη· καὶ τούτου δὴ πραττομένη κατὰ πᾶν τὸ εἰκὸς δίκας, αὐτίκα πλήττεται χαλεπῶς τὸ σῶμα· καὶ καταπίπτει πᾶσιν εἰς προῦπτον· ἀλλὰ δῆθ᾿ οὕτω κατὰ τὴν ζήτησιν ἣν ὕβρις ἐκίνει καὶ θράσος πειραθεῖσα· καὶ πείθεται λοιπὸν αὐτόθεν ὡς ἐπηγγείλατο· προσπαίζουσα μὲν ἀναιδῶς καὶ κατατρέχουσα τῆς ἀληθείας τῶν ἔργων· ἐπηγγείλατο δ᾿ ὅμως· καὶ σωφρονικώτερον
f. 372[v] αὐτόθεν μεταβαλοῦσα καὶ νοῦν | ἀτὰρ μεταλαβοῦσα κατὰ τὸν λόγον ὡς νήπιος ἐκείνη παθοῦσα, κλαίει μάλα τοι πικρόν· πλύνει δάκρυσι τὸν τάφον ἐγκύπτουσα· πλύνει δάκρυσιν ἑαυτήν· καὶ τὸ πρὶν ἀνόμημα καὶ θράσος γοερὸν ὀλολύζει καταβοωμένη· τί μέν, οὐ λέγουσα· τί δ᾿ οὐ πράττουσα, τῶν ὅσα κινεῖν πέφυκεν εἰς οἶκτον. τυγχάνει μὲν οὖν καὶ αὕτη τοῦ πρὸς οἶκτον, καὶ πρὸς τὸ βοηθεῖν τοῖς κακῶς πράττουσι διαφερόντως ἑτοίμου τοῖς αὐτῆς δάκρυσιν ἵλεω· καὶ τὴν ὑγείαν αὖ καὶ τὴν ῥῶσιν ἀντιλαβοῦσα τοῦ σώματος, ἡ δέ, καὶ αὐτὴ σὺν τοῖς φθάσασιν ἄλλοις πολλοῖς, κῆρυξ κατὰ παντὸς τοῦ χρόνου καὶ κατὰ πάντων ἀνθρώπων τῶν Ἰωάννου θαυμάτων μεγαλοφωνότατος πάντῃ περίεισι· τρόπαιον οὐχ᾿ ἑστὼς ὅπῃ ἄρα τόπου πάντως ἑνός, ἀλλὰ περιφερόμενον, ἑαυτὴν τῆς τοῦ ἀνδρός· μᾶλλον δὲ τῆς ἀληθείας αὐτῆς, ἀποδείκνυσιν ἀριστείας καθάπαξ βέβαιόν τε καὶ ἄσειστον πᾶσιν οἷς ἂν ἐντύχοι.

8 τούτοις V[1]De: ταῦτα V **9** ἀνόητον VDe: an ἀνόνητον? **15** τούτου V[2]De: τοῦτο V **18** ἐκίνει V[2] e corr. **21** μεταλαβοῦσα tacite corr. De: μεταλαβουσα V

22,21–22 cf. Hes., Op. 218; Plat., Symp. 222b

23. Προσκείσθω δὲ καὶ τόδ' ἔτι λοιπὸν αὐτῷ. γυνή τις ἄλλη μὴ τῶν ἐγχωρίων ἀλλὰ πόρρωθεν ἐπίδημος, ἐφ' ἑνὶ μόνῳ τέκνῳ τὰς πάσας εἶχεν ἐλπίδας. τοῦτο φῶς εἶχε· τοῦτο ζωῆς ἀφορμὴν· τοῦτο ζωῆς ἐχέγγυον. οὐ γὰρ ἄλλως ἢ τούτῳ μόνῳ καὶ ζῆν ἠξίου. ἀλλ' ἐπηρείᾳ πάντως τοῦ βάσκανον πᾶσιν ἐφορωμένου καὶ κακομηχάνου τὸν ἀεὶ χρόνον ἐχθροῦ, καὶ κακεργάτου, χειμάζεται τὰς πάσας ἐκείνας χρηστὰς ἐλπίδας ἐπὶ τῷ παιδὶ καὶ ναυαγεῖ· καὶ νόσοις ἐκείνου συχναῖς ἐκ διαδοχῆς κατατετριμμένου καὶ ταῖς κραταιαῖς ταλαιπωρίαις ἐκείναις καὶ χεῖρας· καὶ πόδας κατεσχημένου· καὶ μικροῦ παρὰ τὸν Ἅιδην ἐγγὺς ὄντων καὶ διασκορπιζομένων τῶν ὀστῶν αὐτοῦ, καὶ πάντων αὐτοῦ τῶν μελῶν, κινδυνεύει καὶ τὰς μεγάλας ἐκείνας, ἐπ' αὐτῷ τοῦ βίου καθάπαξ ἐλπίδας, ἡ γυνὴ συγκατασκάψαι τῷ τάφῳ· καὶ μάλισθ' ἑαυτὴν τελευτῶσαν. πᾶσα γὰρ ἀπέγνωστο βοηθείας ἐλπίς. πᾶν ἄρα τῇ τέχνῃ κατὰ τρόπον ἅπαντ' ἐπιμελῶς εὑρημένον καὶ κεκινημένον κατὰ τοῦ πάθους, ἤνυτεν οὐδὲν πλέον· ἀλλ' ἄπρακτον καὶ ἀργὸν ἐλείπετο τελευτῶν. καὶ τοίνυν κατωμαδὸν ἀραμένη φόρτον ἐλεεινὸν τὸ παιδίον ἐκείνη· τὸ πρὶν ὑπαγκάλισμα τῇ μητρὶ φίλτατον, ἄλλῃ μεταίρειν ἠξίου πάντως ἀπορουμένη καὶ δυσανασχετοῦσα τῇ συμφορᾷ. καὶ δὴ πρὸ ὁδοῦ γιγνομένῃ, ἔννοιά τις αὐτῇ γίγνεται περὶ τῶν Ἰωάννου θαυμάτων· καὶ τῶν ὅσοι δι' αὐτοῦ χαλεπωτάτων παθῶν ἀπαλλαγῆς ἔτυχον. καὶ δῆτα καθάπερ εἰς ἐσχάτην ἄγκυραν, ἐπὶ τοσούτῳ τῆς δυσχερείας κλύδωνι, τὰς πρὸς ἐκεῖνον ἐλπίδας ὁρᾷ· καὶ θερμὸς ἀνακαλεῖται πρὸς ἐπικουρίαν τὸν Ἰωάννην· καὶ τὴν πρὸς αὐτὸν ἄνωθεν χάριν κρατίστην, κατὰ παντὸς βαρυσυμφορωτάτου πράγματος· καὶ ἦν αὐτοῦ λιπαρῶς ἐχομένη, μετὰ πολλῶν δακρύων ἱκέτις. ξυμβὰν δὲ | οὕτω, τάχα δὴ τοῖς f. 373 πολλοῖς καμάτοις, ὕπνου βίας ἡττηθῆναι τὴν ἄνθρωπον· καὶ κατακλιθῆναι κατὰ τὸ προστυχὸν ἐπὶ τοῦ ἐδάφους· καὶ τὸ τέκνον εἶχεν ἔγγιστ' ἐξ ὑπογυίου παρακείμενον. καὶ ὁρᾶτε δῆθ' ἑξῆς ἐν ἡδονῇ πάντες καὶ θάμβει πολλῷ. προσσχὼν ταῖς ἱκεσίαις ὁ ταχὺς εἰς οἶκτον· καὶ ταχὺς εἰς τὸ βοηθεῖν Ἰωάννης, ἐπιδημεῖ τηνικαῦτα σφίσιν· ἢ πέμπει γ' ὡς ἐρεῖν θαύματα· καὶ μάλ' ἐρρωμένος ὁ παῖς

23,4 τούτῳ V[2]De: τοῦτο V **24** θερμὸς VDe: an θερμῶς? **31** προσσχὼν V[2]De: προσχὼν V

23,10–11 Ps. 140, 7 **18** cf. Eurip., Troad. 757

ἀνεγρόμενος ποσὶ χρώμενος τοῖς, αὐτὸς αὑτοῦ χωρὶς ἁπάσης ἐπικουρίας, χωρεῖν οἷος τ᾽ ἦν· καὶ ὁδοῦ μάλιστ᾽ ἀπόνως ἅπτεται· τὴν μητέρα δ᾽ ἀφυπνισθεῖσαν καὶ ἀφορῶσαν τὸ καινὸν τόδε πρᾶγμα τὸν παῖδα ποσὶν ἑστῶθ᾽ ὑγιᾶ· ποσὶν ἀμογητὶ καὶ ῥᾷστα βαδίζειν, ἐπιβαλόντα καὶ βαδίζοντα, τὴν δὲ, τέως μὲν δέος εἶχε· μή που τι τόδ᾽ ὄναρ ἐν ὕπνοις, ἔτ᾽ οὔσης εἴη· βεβαιωθεῖσαν δ᾽ ὅμως ὡς ἅπαν τὸ βλεπόμενον ὕπαρ ἐστὶ καὶ πράγματος ἀπλανὴς ἀλήθεια, πάντ᾽ εἶχεν αὖθις ὁμοῦ· ἔκπληξις· ἡδονὴ μάλιστ᾽ ἄρρητος οἵα· πρὸς Θεὸν εὐχαριστία· πρὸς τὸν ὑπ᾽ αὐτοῦ δοξαζόμενον αὐτοῦ θεράποντα.

24. Ἀλλὰ σὺ μὲν ὦ μάκαρ Ἰωάννη, οὔτέ πω καὶ νῦν ἔληξας, οὔτε μήποτε λήξαις ἂν εὖ ποιῶν ἀνθρώπους καὶ θαύματα χορηγῶν καθ᾽ ὅ,τι ἂν, ἑκάστῳ δέοι. ἀλλ᾽ ἡμῖν ἀπόχρη νῦν εἶναι καὶ λοιπὸν ὁ λόγος ἤδη πεπαύσεται. κἂν εἰ μέν γε κατὰ σκοπὸν ἀνύσαντες ὁτιοῦν ἔχωμεν, εἰ δὲ μὴ (καὶ τοῦτο πάντως εἰκός ἐστι λογίζεσθαι, τοῖς ἤδη γήρᾳ τὲ καὶ νόσοις ἀλλεπαλλήλοις· καὶ συμφοραῖς κατὰ τὸν βίον ὁρᾷς ὅσαις χαλεπῶς ἔχουσι), συγγνώμην νέμοις ἂν, ὁ ταύτης πάντως ἕτοιμος. ἢ τί γὰρ ἐν τοῖς τοιούτοις ἡμεῖς παραβαλλόμενοι μέγα δρᾶν ἔχοιμεν ἄν; εἰ δέ γε καὶ ἡμῖν ἱλεώσῃ Θεὸν ἐφ᾽ οἷς ἡμάρτομεν, ἅμα μὲν ὑπὸ φιλανθρωπίας κατ᾽ ἔθος κεκινημένος· ἅμα δ᾽ ἴσως· καὶ πρὸς τὸ πρόθυμον μόνον ἡμῶν ἀπιδὼν, ᾧ νῦν παρίστασαι τρανῶς ἐποπτεύων τῶν τῇδε καθάπαξ λυθεὶς καὶ πρὸς τἄμεινον τῆς σῆς δεήσεως εἰς Θεὸν καὶ ἐπικουρίας, καὶ ῥᾳστώνην ὁπηοῦν ἀλλάξαι τὰ πράγμαθ᾽ ἡμῖν· οὐκ ἄρα παντάπασιν ἔξω τοῦ καιροῦ δόξαιμεν ἂν ἴσως ἡμεῖς ἐγχειρῆσαι τῷ παρόντι λόγῳ· οὐθ᾽ οἳ πρὸς τοῦτον ἡμᾶς προυτρέψαντο πρὸς τοῦτον ἀκαίρως προτρέψασθαι.

24,8 τί V[2] s.l. **14** ἀλλάξαι VDe: an ἀλλάξαις?

24,12 cf. Greg. Naz., Or. 43, 82, 7 (p. 304)

INDEX NOMINUM PROPRIORUM

INDEX LOCORUM SANCTAE SCRIPTURAE

INDEX FONTIUM LAUDATORUM VEL PARALLELORUM E FONTIBUS PRIORIBUS

7, 13, 1	1, 16, 12–13
7, 17, 1–2	6, 2, 17–22
7, 21, 3	17, 13, 75–78
7, 24, 21	13, 6, 30–31
8, 14, 6	6, 24, 13–19
8, 22, 13	16, 5, 28
10, 1, 3	6, 9, 3–4
10, 1, 16	5, 31, 5–6
10, 2, 3	6, 35, 4
10, 12, 19–20	6, 12, 34–36
10, 18, 1–5	17, 21, 5–6
10, 65, 11–14	18, 6–9
11, 1, 7	6, 26, 4–5
12, 1, 6–10	6, 8, 19–21
12, 2, 5	6, 35, 10–11
14, 6	18, 2, 34
15, 5	7, 18, 20
16, 5	6, 42, 5–6
18, 2	7, 28, 10
18, 5	5, 13, 13–14; 6, 5, 37–38
18, 16	6, 37, 31–33
18, 17	6, 33, 21–26
18, 18	17, 11, 32
18, 21	9, 8, 14
18, 31	6, 12, 18–14, 26
19, 1	17, 34, 60–61
19, 5	11, 35, 14
21, 9, 10	6, 40, 61–62
21, 10, 5–8	6, 51, 23–25
21, 15, 14–15	6, 43, 38–39
21, 28, 11	4, 6, 1–3
22, 3, 9	9, 6, 39
22, 14, 25–27	5, 13, 15
22, 15, 1–7	6, 28, 23–26
22, 16, 10–14	10, 12, 19–20
23, 6, 12–13	11, 104, 19
23, 6, 13	11, 8, 28–30
24, 6, 8	10, 22, 7
24, 7, 6–7	17, 38, 3
24, 11, 5	4, 3, 31
24, 19, 12–13	4, 24, 18
25, 4, 23–25	5, 32, 1
25, 8, 20–24	6, 27, 1–24
26, 11, 13–14	19, 8, 24–25

27, 3, 1–3	6, 2, 20–21
28, 20, 4–5	5, 2, 11
28, 27, 9–10	6, 9, 28–29
30, 16, 1	4, 2, 9–10
32, 5, 12–16	6, 57–73
33, 6, 15–16	11, 68, 15
33, 7, 1	5, 18, 14–15
33, 7, 1–2	11, 14, 5–6
33, 7, 3–4	5, 13, 2–3
33, 15, 20	6, 51, 9–10
33, 16, 11–12	2, 8, 8
36, 2, 3–6	7, 31, 15
36, 2, 7–9	6, 52, 19–20
38, 11, 8	4, 3, 18–19
38, 12, 29–30	3, 19, 18–19
38, 13, 18	10, 11, 8
38, 13, 38–39	10, 11, 3–4
38, 18, 23–24	6, 30, 1–2
40, 5, 1–10	2, 8
40, 27, 5–6	7, 31, 17
40, 45, 7	6, 43, 88–89
40, 41, 6–17	6, 37, 69–72
42, 4, 1	11, 85, 1
42, 5, 1–12	6, 42, 1–11
42, 6, 9–11	6, 39, 31–32
42, 10, 9–10	11, 136, 6–10
42, 16, 2–5	6, 37, 31–33
42, 16, 8–9	6, 37, 24–25
42, 21, 2	6, 53, 15–16
42, 22, 18	11, 126, 28
42, 23, 8	6, 42, 23–24
42, 26, 9–11	11, 67, 19–20; 11, 81, 7–8
42, 26, 35–37	6, 57, 41–42
42, 27, 20	6, 57, 26–27
43, 1, 8	14, 9, 16–17
43, 10, 16–19	6, 3, 7–10
43, 11, 8–25	17, 13, 56–57
43, 12, 3	6, 10, 13–14
43, 12, 8	17, 14, 10–11
43, 12, 29–30	5, 15, 1–3
43, 13, 6–10	6, 10, 3–4
43, 14, 5	6, 11, 39
43, 14, 12–14	19, 16, 7–8
43, 14–24	6, 9, 13–19